ια'. Κοίμησις τῆς ἁγίας μάρτυρος Ζηναΐδος καὶ [π. 22) Φιλονίλλης τῆς ἀδελφῆς αὐτῆς ἐκ Ταρσοῦ τῆς Κιλικίας, αἵτινες, ὡς φασιν, συγγενεῖς ὑπῆρχον Παύλου τοῦ ἀποστόλου, ἐκ χωρίου Δημητριάδος, ἡ δὲ Ζηναΐς τῇ τέχνῃ ἦν ἰατρίνα. Καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ Σαβαΐτου καὶ γραπτοῦ καὶ ἀρχιεπισκόπου γενομένου πόλεως Νικαίας, καὶ μνήμη τῆς ἁγίας ζ' συνόδου. Ὅρος τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ τὸ δεύτερον.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Κωνσταντινουπόλεως Νεκταρίου, Ἀρσακίου, Ἀττικοῦ καὶ Σισινίου. Εἰς τὸν Ν' τροπάριον ἦχος· Θεοφόροι κυβερνῆται λαῶν, τῷ τῶν ὅλων κυβερνήτῃ Θεῷ, ἐκτενῶς πρεσβεύσατε, ἱεραρχικῶς ὁδηγοῦντες [οβ.) καὶ νῦν τὴν ποίμνην ὑμῶν ἄνωθεν εἰρήνην ἀεὶ αἰτήσασθε καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Προκείμενον ἦχος βαρὺς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων. Ἀλληλούια ἦχος β', Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. λβ'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιβ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ταράχου, Πρόβου καὶ Ἀνδρονίκου ἐπὶ Διοκλητιανοῦ βασιλέως συσχεθέντες ἐν Πομπηιουπόλει τῆς ἐν [π. 23) Ταρσῷ Κιλικίας καὶ Μαξίμου ἡγεμόνος, καὶ τῆς ἁγίας Ἀναστασίας τῆς παρθένου ἐπὶ Δεκίου βασιλέως καὶ συγκαθέδρου αὐτοῦ Βαλλεριανοῦ ἐκ τῆς πόλεως Ῥώμης, ἡγεμονεύοντος Βόρβου, καὶ τῆς ἁγίας μάρτυρος Δομνίνης ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ τῆς Ἀ(να)ζαρβέων μητροπόλεως, ἐπὶ Λυσίου τοῦ ἡγεμόνος.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων Διδώρου καὶ Ἀνδρομάχου.

ιγ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Παπύλου, Καρπου καὶ τῆς συνοδίας αὐτῶν ἰατρικὴν τέχνην, καὶ ὁ μὲν ἅγιος Κάρπος ἐπίσκοπος ἦν, ὁ δὲ Πάπυλος διάκονος, χειροτονηθεὶς ὑπὸ τοῦ Κάρπου, ἐπὶ Δεκίου βασιλέως καὶ ἀνθυπάτου τῆς Ἀσίας.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Μαρτυρόχου, Φλωρεντίου πόλεως Θεσσαλονίκης.

ιδ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ναζαρίου [об.), Γερβασίου, Προτασίου καὶ Κελσίου ἐπὶ Νέρωνος τοῦ βασιλέως ἐν τῇ Ῥώμῃ.

ιε'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λουκιανοῦ πρεσβυτέρου ἐξ Ἀντιοχείας τῆς μεγάλης ἐπὶ Διοκλητιανοῦ βασιλέως καταλαμβάνει τὴν Νικομηδείων πόλιν, τῇ καλλιγραφικῇ τέχνῃ εὖ μάλα ἐπιστάμενος, κατέλειπεν εἰς τὴν Νικομηδείων ἐκκλησίαν βίβλους τρισὶν σελιδίοις γεγραμμένην παλαιάν τε καὶ νέαν Διαθήκην, ὅστις αἱμοκτονεῖται ὑπὸ τοῦ βασιλέως καὶ τελευτᾷ.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Σαβίνου, ἐπισκόπου ἐν τῷ ἁγίῳ Μωκίῳ.

ις'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Λογγίνου τοῦ Ἑκατοντάρχου καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων δύο στρατιωτῶν ἐπὶ Τιβερίου Καίσαρος, Καππαδόκης [л. 24) τῷ γένει.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ μεγάλου καὶ θαυματουργοῦ Μαλοῦ καὶ Ἀντιγόνου μάρτυρος καὶ τοῦ ἁγίου Θεοφάνους.

ιζ. Ἄθλησις τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρίας ἐπὶ Νουμεριανοῦ βασιλέως, υἱὸς συγκλητικοῦ ὀνόματι Πολεμίου ἐκ πόλεως Ἀλεξανδρείας, καὶ τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ὡσηέ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Λεοντίου, Δομετίου, Δομνίνου καὶ τῆς συνοδίας αὐτῶν πλησίον τοῦ δευτέρου. καὶ τοῦ ἁγίου μάρτυρος Καλλινίκου.

ιη'. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ, Ἀντιοχεὺς τῷ γένει οὗτος ἦν, ἰατρὸς τέχνῃ ἐπὶ Τραϊανοῦ βασιλέως. Εἰς τὸν Ν' τροπάριον ἦχος γ' Ἀπόστολε ἅγιε, πρέσβευε .... [л. 25) Прокименъ, апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος πλ. δ' Σοί εἰσιν οἱ οὐρανοί. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιθ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαδὼθ, ἐπισκόπου καὶ σὺν αὐτῷ τελειωθέντων ρκ' ἁγίων ἐν Περσίδι ἐπὶ Σαβωρίου βασιλέως τῶν Περσῶν, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐν τοῖς χρόνοις Οὐαλεντιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος τῶν βασιλέων παρατείνας μέχρι Θεοδοσίου τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ. καὶ τοῦ ἁγίου ἐνδόξου προφήτου [об.) Ἰωὴλ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Οὐάρου καὶ τοῦ ἁγίου μάρτυρος Μνάσονος, ἐπισκόπου Κύπρου καὶ Μοδέστου, ἐπισκόπου τῶν Ἱεροσολύμων.

κ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κορνηλίου τοῦ ἑκατοντάρχου ἐκ Καισαρείας τῆς Παλαιστίνης Ἰταλικῆς τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων πρῶτος ἐξ ἐθνῶν πιστεύσας τῷ Χριστῷ, καὶ τοῦ ἁγίου καὶ τοῦ θαυματουργοῦ μάρτυρος Ἀρτεμίου ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου, δοὺξ καὶ

ἀγουστάλιος, Αλεξανδρείας γεγονὼς καὶ Πατρίκιος διαπρέψας ἐν διαφόροις ἀξιώμασιν ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων νεοφανῶν μαρτύρων Ἀνδρέου, Στεφάνου, Παύλου, Πέτρου καὶ τῆς συνοδίας αὐτῶν. Προκείμενον ἦχος δ'· Τοῖς ἁγίοις τοῖς, στίχος· Προωρώμην τὸν Κύριον. [л. 26) Ὁ ἀπόστολος Πράξεων. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνήρ τις ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος. Ἀλληλούια ἦχος πλ. β', Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Εὐαγγέλιον κατὰ Μάρκον κεφ. σδ'· Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς Καπερναοὺμ. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

κα'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Δασίου, Γαΐου καὶ Ζωτικοῦ ἐν Νικομηδείᾳ τῇ πόλει, καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου ἐκ Γαζαίων πόλεως, κώμης Θαβαθὰ, ἐν Ἀλεξανδρείᾳ δὲ μαθητευθείς. Εἰς τὸν Ν' καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος β'· Τοῦ ὁσίου σου, Κύριε, τὴν μνήμην ἑορτάζοντες. Προκείμενον [об.), апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια, Φῶς ἀνέτειλε τῷ δικαίῳ. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

κβ'. Μνήμη τοῦ ἁγίου καὶ ἰσαποστόλου πατρὸς ἡμῶν Ἀβερκίου ἐπισκόπου Ἱεραπόλεως τῆς Φρυγίας Σαλουταρίας ἐπὶ τῆς βασιλείας Μάρκου καὶ Ἀντωνίνου.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἡρακλείου καὶ ἱερομάρτυρος Ἀλεξάνδρου ἐπισκόπου.

[л. 27) κγ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος εὐγενεστάτης Θεοδότης καὶ Σωκράτους πρεσβυτέρου ἐπὶ Ἀλεξάνδρου βασιλέως ὑπάρχουσα τῆς Ποντικῆς χώρας ἐν ἀσκητηρίῳ ἑαυτὴν προσηλώσασα ἐπὶ Σιμπλικίῳ ἄρχοντι, τὸ δὲ τίμιον αὐτῆς λείψανον κεῖται ἐν τῇ Νικαέων πόλει, καὶ τῶν ἁγίων ζ' παίδων τῶν ἐν Ἐφέσῳ ἐπὶ Δεκίου βασιλέως, φανερωθέντες δὲ ἐπὶ Θεοδοσίου τοῦ μικροῦ.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Ἰγνατίου, ἀρχιεπισκόπου Κωνσταντινου— πόλεως.

Τῇ αὐτῇ ἡμέρᾳ ἐγκαίνια ἐπιτελοῦμεν τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου κατὰ σάρκα, συνέφθασεν δὲ καὶ τοῦ ἁγίου Ζαχαρίου τοῦ ἱερέως καὶ Συμεὼν τοῦ δικαίου. Συναγόμεθα δὲ ἐν τῷ ἁγίῳ αὐτοῦ ἀποστολίῳ, τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς παναγίας Θεοτόκου πλησίον τῆς ἁγιωτάτης [об.) μεγάλης ἐκκλησίας. Εἰς τὴν εἴσοδον τῆς λειτουργίας τροπάριον ἦχος δ'· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Προκείμενον ἦχος

δ'· Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, στίχος· Ὁ Κύριος ἐβασίλευσεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρξα· Ἀδελφοί, ἅγιοι κλήσεως ἐπουρανίου. Ἀλληλούια ἦχος ά, Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ϛβ'· Τῷ καιρῷ ἐκείνῳ ἐγένετο τὰ ἐγκαίνια. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

κδ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρέθα καὶ τῆς συνοδίας αὐτοῦ τετρακισχιλίων σνγ'. Οὗτος ὑπῆρχεν πρῶτος τῆς πολεως Νεγρᾶς ἐν Αἰθιοπίᾳ κειμένης ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ [σ. 28) τοῦ φιλοχρίστου Φίληκος ἐπισκοποῦντος τῆς Ρωμαίων ἐκκλησίας, τῆς Ἱερουσαλὴμ Ἰωάννου, Ἀντιοχείας Εὐφρατίου, βασιλεύοντος Ἐλεσβαᾶν ἐν Αὐξούμῃ τῇ πόλει τῆς Αἰθιοπίας, τῶν Ὁμηριτῶν δὲ Δουναὰς ἑβραῖος παρανομώτατος.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Μάρκου, Σωτηρίχου, Οὐαλεντιανοῦ ὑπὸ τῶν Ἑλλήνων καταχωσθέντες τοῖς λίθοις ἐν τῇ Ἀσίᾳ τῇ γῇ, κατετέθησαν δὲ τὰ τίμια αὐτῶν λείψανα ἐπὶ τὴν Θάσον τὴν νῆσον.

κε'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαρκιανοῦ καὶ Μαρτυρίου ἀναγνωστῶν καὶ νοταρίων καὶ μαθητῶν τοῦ ἁγίου Παύλου ὁμολογητοῦ καὶ πατριάρχου ἐπὶ Κωνσταντίου τοῦ ἀρειανοῦ. Τούτους ἀνεῖλεν Φίλιππος ὁ ἔπαρχος τῇ ἑαυτοῦ [σ. 6.) μαχαίρᾳ καὶ ἐτάφησαν ἔν τῇ Μελανδησία πόρτῃ Κωνσταντινουπόλεως, καὶ τοῦ ἁγίου μάρτυρος Νέστορος ἐν Θεσσαλονίκῃ ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, καὶ τοῦ ἁγίου μάρτυρος Οὐάρου καὶ τῶν σὺν αὐτοῖς ἁγίων ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, στρατευόμενος ἐν Αἰγύπτῳ.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων Οὐαρίου καὶ Χρυσαφίου καὶ τῆς ὁσίας Ταβιθᾶς ἐν Ἰόππῃ. Εἰς τὸν Ν' λέγομεν τροπάριον ἦχος α'· Τὰς ἀλγηδόνας τῶν ἁγίων, ἃς ὑπέρ σου ἔπαθον δυσωπήθητι, Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασε, φιλάνθρωπε, δεόμεθα. Προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ ἀπόστολος πρὸς Κορινθίους α'· Ἀδελφοί, Θεοῦ [σ. 29) ἐσμὲν συνεργοί. Ἀλληλούια ἦχος δ' στίχος· Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρμε'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς οὐδὲν συγκεκαλ. Κοινωνικὸν· Ἀγαλλιᾶσθε δίκαιοι.

κϛ'. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου ἐκ τῆς Θεσσαλονικέων πολέως ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων καὶ τῶν ἁγίων μαρτύρων Ἀρτεμιδώρου καὶ Γλύκονος. Συναγόμεθα δὲ ἐν τῷ ἁγίῳ μαρτυρίῳ, τῷ ὄντι ἐν τῷ δευτέρῳ. Καὶ εἰς τὴν εἰσο-

δον λέγομεν τροπάριον ἦχος γ΄· Ἀθλοφόρε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ. Προκείμενον δ΄· Τοῖς ἁγίοις τοῖς [об.], στίχος· Προωρώμην τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς τὸν Τιμόθεον κεφ. ρνδ΄. Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι. Ἀλληλούια ἦχος πλ. α΄, Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κεφ. ρλη΄· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς ταῦτα ἐντέλλομαι ὑμῖν. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεὸς ϡσμθ΄ ἔτει τοῦ κόσμου ἰνδικτ. θ΄ ἐπὶ Λέοντος τοῦ Ἰσαύρου. Ἔωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ οὕτως λιτανεύοντες ἀπερχόμεθα ἐν τῷ φόρῳ, ἐκεῖσε τὰς συνήθεις ποιοῦμεν εὐχάς, καὶ μετὰ τῆς αὐτῆς λιτῆς παραγινόμεθα ἐν τῷ σεβασμίῳ (л. 30) ναῷ τῆς ἁγίας ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, τῷ ὄντι ἐν Βλαχέρναις, τὴν θείαν λειτουργίαν καὶ μυσταγωγίαν ἐκεῖσε ἐπιτελοῦντες. Περὶ ὥραν α΄ κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον, καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τῆς λιτῆς ταύτης τροπάριον ἦχος πλ. δ΄· Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. Καὶ δοξάζουσιν οἱ ψάλται ἐν τῷ φόρῳ καὶ ἐν Βλαχέρναις τὸ αὐτὸ τροπάριον. Ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθέως τὸ Τρισάγιον. Τὸ προκείμενον ἦχος πλ. β΄· Σῶσον, Κύριε, τὸν λαόν σου, στίχος· Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοὶ, ὃν ἀγαπᾷ Κύριος [об.) Ἀλληλούια ἦχος πλ. α΄, στίχος· Ὁ Θεὸς ἀπώσω ἡμᾶς. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ξβ΄. Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον. Κοινωνικὸν· Ποτήριον σωτηρίου.

κζ΄. Ἄθλησις τῆς μάρτυρος Καπετωλίνης καὶ Ἐρωτηίδος τῆς αὐτῆς οἰκέτιδος ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Ζιλικινθίου ἄρχοντος τῆς Καππαδόκων χώρας.

κη΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος τοῦ Νέστορος ἐν Θεσσαλονίκῃ ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως καὶ τοῦ ὁσίου Ἰωάννου τοῦ Χοζεβίτου ἐκ Θηβαίων τῇ κατ' Αἴγυπτον, καὶ τοῦ ὁσίου πατρὸς Στεφάνου τοῦ σαββαΐτου, ἀνηψιοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Διομήδους ἐν Λεύκῳ πόλει καὶ τοῦ ἁγίου Ῥωμανοῦ, καὶ μνήμη Φηρμιλιανοῦ [л. 31), ἀρχιεπισκόπου Καισαρείας καὶ Μελχίονος σοφιστοῦ, πρεσβυτέρου Ἀντιοχείας. Οὗτοι καθεῖλον Παῦλον Σαμοσατέα, καὶ ἐγκαίνια τοῦ ἁγίου Ζαχαρίου ἐν τῷ Παραδεισίῳ.

κθ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάββα στρατιώτου καὶ τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ, καὶ τῶν ἁγίων μαρτύρων Στεφάνου, Βαρνάβα, Ἰωσὴφ, Τροφίμου, Δορυμέδοντος, Κοσμᾶ καὶ Δαμιανοῦ, Σάββα, Βάσσης, Ἀβραμίου καὶ τῆς συνοδίας αὐτῶν ἐν τῷ ὀρφανοτροφείῳ, καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Κλεώπα καὶ τοῦ ὁσίου Παύλου τοῦ Θηβαίου τοῦ πρώτου μοναχοῦ καὶ εὐλαβοῦς πάνυ, καὶ τῶν ἁγίων μαρτύρων Μίνη καὶ Μιναίου ἐν τῷ ἑβδόμῳ. Λειτουργεῖ ἐκεῖ ὁ πατριάρχης καὶ εἰς τὸ γ' ἀντίφωνον τροπάριον ἦχος δ' Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε [οδ.) πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Προκείμενον ἦχος δ' Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, στίχος Ὁ Κύριος ἐβασίλευσεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους Ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου. Ἀλληλούια ἦχος δ', Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρξς'. Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Κοινωνικόν Ἀγαλλιᾶσθε δίκαιοι.

λ'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ζηνοβίου καὶ Ζηνοβίας τῆς ἀδελφῆς αὐτοῦ ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ πόλεως Αἰγαίας τῆς Κιλίκων ἐπαρχίας καὶ τοῦ ἁγίου Μαρκιανοῦ, ἐπισκόπου Συρακούσης τῆς Σικελίας, καὶ τῶν ἁγίων μαρτύρων Κλαυδίου, Ἀστερίου καὶ μάρτυρος Νέωνος καὶ Νεονίλλης [π. 32) ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Λυσίου ἡγεμόνος τῆς Κιλίκων ἐπαρχίας.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυριακοῦ, ἀρχιεπισκόπου γενομένου Κωνσταντινουπόλεως, καὶ Εὐτροπίας μάρτυρος. Εἰς τὸν Ν' καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος πλ. δ' Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου, πάτερ ὅσιε, ταῖς προσευχαῖς ἀδιαλείπτως προσκαρτερήσας, τοὺς πτωχοὺς ἀγαπήσας καὶ τούτοις ἐπαρκέσας, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος βαρύς Εὐφρανθήσεται δίκαιος, στίχος Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρξζ'. Ἀδελφοὶ, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ἀλληλούια ἦχος πλ. α', Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον [οδ.) κατὰ Ἰωάννην κεφ. πθ'. Εἶπεν ὁ Κύριος ἐγώ εἰμι ἡ θύρα... Κοινωνικὸν Εἰς μνημόσυνον.

λα' Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου. Οὗτος ἦν ἀνὴρ ἀγροῖκος, ὡραῖος δὲ τῇ ὄψει ἐκ τῆς Αἰγυπτίων χώρας, πόλεως τοῦ Πηλουσίου ἐπὶ ἡγεμόνος Ἐπιλιανοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Λεοντίου φιλοσόφου καὶ τὰ ἐγκαίνια τῶν εὐκτηρίων τοῦ πατριάρχου. Ψάλλομεν καὶ ἀναγινώσκομεν τὰ προγεγραμμένα εἰς τὰς κγ΄ τοῦ αὐτοῦ μηνός.

Μὴν Νοέμβριος, ἡμέρας ἔχων λ΄, ἡ ἡμέρα ἔχει ὥρας ι΄, ἡ νὺξ ὥρας ιδ΄.

α΄. Τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῶν θαυματουργῶν καὶ ἰατρῶν, τῶν υἱῶν Θεοδότης, τῶν καὶ ὁσίως κοιμηθέντων [σ. **33**) καὶ κατατεθέντων ἐν τόπῳ καλουμένῳ Φερεμάν.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Κυριαίνης ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐκ Ταρσοῦ τῆς Κιλίκων ἐπαρχίας, ἐπὶ Μαρκιανοῦ ἡγεμόνος τῆς αὐτῆς χώρας, ἥτις μετὰ πολλὰς βασάνους ἀπαχθεῖσα ἐν πόλει Ῥώσῳ ἐκεῖ τῷ πυρὶ παραδίδοται σὺν τῇ ἁγίᾳ μάρτυρι Ἰουλιανῇ, ὑπάρχουσα ἐκ τῆς Ῥώσου, καὶ τῶν ἁγίων Ἰωάννου ἐπισκόπου καὶ πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ, τὸ ἐπίκλην υἱὸς Μαρίας, ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι, καὶ τοῦ ἁγίου μάρτυρος Καισαρίου, καὶ τῶν ἁγίων Δασίου, Σάββα, Σαβίνου, Ἀγρίππα, Ἀδριανοῦ, Θωμᾶ καὶ τῆς συνοδίας αὐτῶν, καὶ τῶν ἁγίων γυναικῶν Δομνίνης καὶ Δόμνης καὶ Κυριακῆς μάρτυρος. Εἰς τὸν Ν΄ καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος α΄· Οἱ σοφοὶ τῆς οἰκουμένης ἰατροί, [σ**6**.) ἐκ Θεοῦ λαβόντες τὸ συμπαθές, πρεσβεύσατε καὶ νῦν ὑπὲρ ἡμῶν τῶν βοώντων· Κύριε, σῶσον τὸν λαόν καὶ τὴν πόλιν σου, καὶ τῶν συνεχόντων δεινῶν ἐλευθέρωσον διὰ τῶν Ἀναργύρων τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ ἀπόστολος πρὸς Κορινθίους κεφ. 4ς΄. Ἀδελφοί, ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ... Ἀλληλούια ἦχος β΄, Ἰδοὺ δὴ τί καλόν. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. οθ΄. Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς... Κοινωνικόν· Ἀγαλλιᾶσθε.

β΄. Ἄθλησις τῶν ἁγίων Ἀκινδύνου, Πηγασίου, [σ. **34**) Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδηφόρου καὶ ἑτέρων ἑπτακισχιλίων κη΄ καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον ἐκ Περσίδος ἐπὶ Σαβωρίου βασιλέως Περσῶν.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ἀττικοῦ, Εὐδοξίου. Ἀγαπίου, Μαρίνου, Ὠκαιαροῦ, Εὐστρατίου, Καρτερίου, Νικοπολίτου, Σταυρακίου, Τοβὴλ καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι στρατιῶται ὑπῆρχον ἐν Σεβαστείᾳ ἐπὶ Λικινίου βασιλέως, διὸ καὶ βασανίζονται ὑπὸ Αὐξάνοντος ἄρχοντος Σεβαστείας καὶ Μαρκέλλου δουκὸς καὶ Μάρκου καὶ τοῦ Ἀγρικολάου καὶ μετὰ πολλὰς βασάνους πυρὶ παρεδόθησαν.

γ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκεψιμᾶ καὶ τῆς συνοδίας αὐτοῦ, Ἰωσὴφ πρεσβυτέρου καὶ Ἀειθαλᾶ [οϐ.) διακόνου, ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι, Ῥωμαίων δὲ Κωνσταντίνου τοῦ Μεγάλου, κολάζονται ὑπὸ Ἀδαρχοσχάρ τοῦ ἀρχιμάγου.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ ἐν τῷ Ὀλύμπῳ.

δ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πορφυρίου ἐπὶ Αὐρηλιανοῦ βασιλέως, ἀσιανὸς τὸ γένος ἀνατραφεὶς ἐν τῇ Ἐφεσίων πόλει ἐν τῇ θεατρικῇ θυμέλῃ, κολάζεται ὑπὸ Ἀλεξάνδρου κόμητος πρωτεύοντος τῆς Καισαρέων πόλεως τῶν Καππαδόκων, ὑφ᾽ οὗ τῇ προστάξει μετὰ πολλὰς βασάνους τὴν κεφαλὴν ἀποτέμνεται. Καὶ τῶν ἁγίων μαρτύρων Νικάνδρου, ἐπισκόπου Μύρων καὶ Ἑρμαίου πρεσβυτέρου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου, ἐπισκόπου Ἀγκύρων καὶ ὁμολογητοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων [π. 35) Δασίου, Σεβήρου, Ἀνδρωνᾶ καὶ Θεοδότου καὶ Θεοδότης μάρτυρος.

ε΄. Ἄθλησις τῶν ἁγίων καὶ ὁσίων μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης, καὶ τοῦ ἁγίου μάρτυρος Δομνίνου τοῦ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, καὶ τοῦ ἁγίου Ἀγαθαγγέλου, καὶ ἱερομάρτυρος Κάστορος ἐπισκόπου.

Τῇ αὐτῇ ἡμέρᾳ ἐγκαίνια τοῦ ἁγίου Θεοδώρου ἐν τῷ Σπαρακίῳ. Δεῖ εἰδέναι, ὅτι πᾶσα ἡ ἀκολουθία γίνεται καθὼς προεγράφη εἰς τὴν κθ΄ τοῦ ὀκτωβρίου μηνὸς χωρὶς τοῦ εὐαγγελίου, ᾧδε γὰρ ἀναγινώσκεται τοῦτο τὸ εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Λουκᾶν κεφ. σκε΄. Τῷ καιρῷ ἐκείνῳ διήρχετο ὁ Ἰησοῦς τὴν Ἰεριχώ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Τῇ κυριακῇ πρὸ τῆς κονίας ἀναγινώσκεται ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες παρρησίαν εἰς τὴν εἴσοδον. [οϐ.) Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρϟς΄ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.

ς΄. Μνήμη τοῦ ἁγίου Παύλου ὁμολογητοῦ, ἀρχιεπισκόπου γενομένου Κωνσταντινουπόλεως, θρέμμα δὲ καὶ νοτάριος γενόμενος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως Ἀλεξάνδρου τοῦ μετὰ Μητροφάνη, ὃντινα Παῦλον οἱ ἀριανοὶ κατέπνιξαν.

Συνέφθασε δὲ καὶ ἡ μνήμη τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κονίας. Συναγόμεθα δὲ ἐν τῷ ἀποστολίῳ τῶν ἁγίων Πέτρου καὶ Παύλου, τῷ ὄντι ἐν τῷ τρικόγχῳ. Ἔωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ οὕτως λιτανεύοντες ἀπερχόμεθα ἐν τῇ εἰρημένῃ συνάξει. Μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου

γίνονται ἀντίφωνα γ'· τὸ α' Ἐλέησον ἡμᾶς, φιλάνθρωπε, καὶ βοήθησον ἡμῖν, Χριστὲ, ὁ Θεὸς ἡμῶν, τὸ β' Πρεσβείαις τῶν ἁγίων σου, το γ' ἁπλοῦν δειλινόν. [π. **36**) Καὶ κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον, καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἐν τῷ φόρῳ δοξάζομεν, καὶ μετὰ τὸ δέξασθαι αὐτοῦ τὸν λαὸν καὶ πληρῶσαι, εὐθὺς γίνεται ἀντίφωνον α' ψαλμός ριθ', Ἐλέησόν με, τὸ β' ψαλμὸς ρκ', Ἀλληλούια ἁπλοῦν δειλινόν, τὸ γ' ψαλμὸς ρκα' μετὰ τροπαρίου ἦχος πλ. α'· Κύριε, ἡμάρτομεν καὶ ἠνομήσαμεν, προσπίπτομεν ἐλέησον ἡμᾶς. Καὶ ποιεῖ ὁ ἀρχιδιάκονος τὸ μέγα Κύριε ἐλέησον, καὶ ἀπέρχονται οἱ ψάλται τῆς λιτῆς καὶ δοξάζουσιν ἐν τῇ τρικόγχῳ, καὶ εἶθ' οὕτως γίνονται ἀντίφωνα γ', καὶ εἰς τὸ γ' ἀντίφωνον λέγομεν τροπάριον ἦχος γ'· Θείας πίστεως ὁμολογίᾳ ἄλλον Παῦλόν σε [**οδ.**). Προκείμενον ἦχος βαρὺς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ, στίχος· Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτον ἔχομεν ἀρχιερέα. Ἀλληλούια ἦχος πλ. β', Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρμέ· Εἶπεν Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς οὐδὲν συγκεκαλυμμένον. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

Τοῦ ἁγίου Παύλου τοῦ ὁμολογητοῦ ἡ ἀκολουθία· Προκείμενον ἦχος βαρὺς· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος, στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ροα'. Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν [π. **37**) ἀρχιερεύς. Ἀλληλούια ἦχος α', Ὑπομένων ὑπέμεινα τὸν Κύριον... Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρμς'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς πᾶς, ὅστις ὁμολογήσει. Κοινωνικόν· Ἀγαλλιᾶσθε...

ζ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀντωνίου καὶ τῶν γονέων αὐτοῦ Μελασίππου καὶ Κασίνης ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἐν Ἀγκύρᾳ τῇ πόλει, καὶ τῶν ἁγίων μαρτύρων Αὔκτου καὶ Ταυρίωνος καὶ Θεσσαλονίκης, καὶ τῶν ἁγίων λγ' μαρτύρων τῶν ἐν Μελιτινῇ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Ἀθηνοδώρου, τοῦ ἀδελφοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ. Εἰς τὸν Ν' καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος α'· Τὰς ἀλγηδόνας τῶν ἁγίων. [**οδ.**) Προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ροε'· Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν. Ἀλληλούια ἦχος πλ. δ', Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. σ'· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

η'. Τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ μνήμη τῶν ὁσίων Ματρώνης καὶ Μαρώνης ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βερήκας ἐκ Πέργης τῆς

Παμφύλων ἐπαρχίας. Εἰς τὸν Ν΄ καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος β΄· Ἀρχιστράτηγε Θεοῦ, λειτουργὲ θείας δόξης. Προκείμενον· Ὡς ἐμεγαλύθη τὰ ἔργα σου, στίχος· [π. 38) Εὐλόγει ἡ ψυχή μου. Ἄλλο προκείμενον ἦχος βαρύς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, στίχος· Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρνθ΄. Ἀδελφοί, εἰ ὁ δι' ἀγγέλων λαληθείς. Ἀλληλούια πλ. δ΄, στίχος· Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, στίχος· Ὁ ποιῶν τοὺς ἀγγέλους. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρις΄· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει. Κοινωνικὸν Ἀγαλλιᾶσθε.

Θ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Θεσσαλονίκῃ ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως καὶ τῆς ὁσίας Εὐστολίας, καὶ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰακώβου τοῦ ἀλφαίου, καὶ τῶν ἁγίων μαρτύρων Ὀνησιφόρου καὶ Πορφυρίου, Χριστοφόρου, Μαύρας καὶ Τιμοθέου [οϐ.), καὶ τὰ ἐγκαίνια τῶν Ὁρτασίου καὶ ἁγίων μαρτύρων Ἀρτέμονος καὶ Ναρσῆ.

ι΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντωνίου ἐπαρχίας τῶν Σύρων λιθοτόμος τὴν τέχνην, καὶ τῶν ἁγίων μαρτύρων Νηρέως καὶ Καλλιοπίου, καὶ μνήμη Θεοδοσίου τοῦ μεγάλου βασιλέως καὶ τοῦ ἁγίου μάρτυρος Ὀρέστου.

ια΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μηνᾶ ἐπὶ Μαξιμιανοῦ βασιλέως τῆς Αἰγύπτων χώρας, στρατιώτης τοῦ Νουμέρου τοῦ λεγομένου Ῥουταλιακὸν ἐν τῷ Κοτυαείῳ Φρυγίας Σαλουταρίας ὑπὸ Ἀργυρίσκου ἡγεμόνος, καὶ τῶν ἁγίων μαρτύρων Βίκτωρος καὶ Στεφανίδος. Οὗτος ἐμαρτύρησεν ἐπὶ Ἀντωνίου τοῦ Ῥωμαίων βασιλέως καὶ Σεβαστιανοῦ δουκὸς ἐν τῇ Ἰταλίᾳ, ἡ δὲ ἁγία Στεφανὶς ὑπῆρχε στρατευομένου γυνὴ οὖσα ὡς ἐτῶν ις΄, ἥτις παρ' αὐτὰ [π. 39) χηρεύσασα καὶ μακαρίζουσα τὸν ἅγιον Βίκτωρα ἐν τῷ πάσχειν, κελεύσει τοῦ ἡγεμόνος σχοινίοις τὰς χεῖρας ἐκτανθεῖσα καὶ ἐν δύο φοίνιξι βίᾳ καμφθεῖσιν προσδεθεῖσα τῶν φοινίκων καὶ αὖθις πρὸς τὴν ἑαυτῶν ἀνακλινάντων ὁρμὴν διέσπασαν τὴν ἁγίαν εἰς μέρη δύο.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ ἐλεήμονος, κύπριος τὸ γένος, καὶ τοῦ ὁσίου πατρὸς Θεοδώρου τῶν Στουδίων. Εἰς τὸν Ν΄ καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος πλ. α΄· Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων. Προκείμενον ἦχος δ΄· Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, [οϐ.) στίχος· Προωρώμην τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Τιμόθεον κεφ. ρνα΄· Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι. Ἀλληλούια ἦχος πλ. α΄, στίχος· Φῶς ἀνέτειλεν. Εὐαγγέλιον

κατὰ Ἰωάννην κεφ. ρλη΄· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς ταῦτα ἐντέλλομαι ὑμῖν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιβ΄. Ἄθλησις τοῦ ἁγίου πατρὸς ἡμῶν Μαρτίνου, ἐπισκόπου Φραγγίας τοῦ θαυματουργοῦ ἐπὶ Τραϊανοῦ βασιλέως ἐν Ῥώμῃ, κόμης πρώην τὴν ἀξίαν τυγχάνων, καὶ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Φλαβιανοῦ καὶ Λεοντίου καὶ τῶν ἁγίων μαρτύρων Ἀρσακίου καὶ Βίκτωρος καὶ ὁσίου Νείλου καὶ τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τοῦ ἄββα Κύρου ἐν τῷ Σπαρακίῳ [л. 40).

ιγ΄. Κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Γέγονεν ἐκ πόλεως Ἀντιοχείας υἱὸς Σεκούνδου, στρατηλάτου Συρίας, ἡ δὲ μητὴρ αὐτοῦ Ἀνθοῦσα ἐκαλεῖτο, παιδεύεται παρὰ Λιβανίῳ καὶ Ανδραγαθείῳ τὰ πολλὰ μαθητευθεὶς τὸ διακονικόν, ἡσυχάζοντι αὐτοῦ ἐν τῷ σπηλαίῳ ὄντι, ἐν μέρει τῆς πόλεως ὄντι ἀποκρύφῳ ἅμα Βασιλείῳ τῷ μεγάλῳ. Καὶ τῶν ἁγίων μαρτύρων Μίλη, ἐπισκόπου καὶ τῶν μαθητῶν αὐτοῦ Ἐβόρη παπᾶ καὶ Σεβόη διακόνου ἐπὶ Μισθοφάρη βασιλίσκου πόλεως Μηξιγέρδας, μετὰ τὰς πολλὰς βασάνους ἀναστὰς ἀπὸ τοῦ θρόνου αὐτοῦ ὁ αὐτὸς Μισθοφάρης ἐθανάτωσε τὸν ἅγιον κατὰ τοῦ στήθους μαχαίρᾳ, ὁμοίως καὶ τοὺς μαθητὰς αὐτοῦ λιθολεύστους ἐποίησαν [об.).

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ἀντωνίου, Νικηφόρου, Ζεβινᾶ, Γερμανοῦ, Βαναθᾶς ἐν Καισαρείᾳ ἐπὶ Μαξιμιανοῦ βασιλέως. Τροπάριον ἦχος δ΄· Ἡ τοῦ στόματός σου.—Прокименъ, апостолъ, евангеліе и причастенъ, что нынѣ.

[л. 41) ιδ΄ Ἄθλησις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου καὶ τοῦ ἁγίου ἱερομάρτυρος Ὑπατίου, ἐπισκόπου Γαγγρῶν τῆς Παμφλαγόνων ἐπαρχίας. Οὗτος ἦν ἐπὶ Κωνσταντίου υἱοῦ Κωνσταντίνου εἷς τῶν τιη' πατέρων τῶν ἐν Νικαίᾳ πάσῃ ἀρετῇ κεκοσμημένος, καὶ Ἰουστιανοῦ καὶ Θεοδώρας καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θωμᾶ πατριάρχου. Ἐν τῇ ἁγίᾳ μεγάλῃ ἐκκλησίᾳ εἰς τὸν Ν΄ λέγομεν τροπάριον ἦχος γ΄· Ἀπόστολε ἅγιε... Ἄλλο ἦχος γ΄· Τῆς ἐκκλησίας θρέμμα γέγονας καὶ ἐκ νυκτὸς ὀρθρίσας πρὸς Κύριον, ἀνεδείχθης, πάτερ ὅσιε, σταυρῷ τὴν πόλιν τοιχήσας, λαὸν κινδύνων [об.) λυτρωσάμενος, ταῖς ἀγρύπνοις σου δεήσεσι, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ἄλλο ἦχος γ΄, προσόμοιον τὸ· Θείας πίστεως, Ἰουστιανοῦ καὶ Θεοδώρας· Ἔργοις λάμψαντες ὀρθοδοξίας πᾶσαν σβέσαντες κακοξίαν, νικηταὶ τροπαιοφόροι γεγόνατε, τῇ εὐσεβείᾳ τὰ πάντα πλουτήσαντες, τὴν ἐκκλησίαν μεγάλως κοσμήσαντες, ἀξίως ἤρατε Χριστὸν τὸν

Θεὸν δωρούμενον τῷ κόσμῳ καὶ ἡμῖν τὸ μέγα ἔλεος. Прокименъ, апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος πλ. δ΄, Ἐκέκραξαν οἱ δίκαιοι... Κοινωνικόν· Ἀγαλλιᾶσθε.

[л. 42) ιε΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν Гурія, Самонѣ и Авива[1]) ἐν Ἐδέσσῃ μαρτυρησάντων ἐπὶ Ἀντωνίου δουκός, ὁ δὲ ἅγιος Ἄβιβος ἐμαρτύρησεν ἐπὶ Λικινίου βασιλέως, διάκων τὴν τάξιν. Καὶ τοῦ ἁγίου μάρτυρος Δημητρίου τοῦ εἰς τὰ Δαβουδὴν μαρτυρήσαντος ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων καὶ Πουπλίου ἡγεμόνος ἐν χωρίῳ Δαβουδὴ, ἀπὸ πόλεως Ἀμισσοῦ ἀπέχοντος μίλια κδ΄.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, τοῦ ἀδελφοῦ τοῦ Θεολόγου καὶ τοῦ ὁσίου Βαρούχ. Τροπάριον ἦχος α΄· Τὰς ἀλγηδόνας τῶν ἁγίων. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. [об.) Ὁ ἀπόστολος πρὸς Ἐφεσίους κεφ. ρξγ΄· Ἀδελφοί, ἐνδυναμοῦσθε. Ἀλληλούια ἦχος πλ. δ΄· Ἐκέκραξαν οἱ δίκαιοι... Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ρλη΄· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς ταῦτα ἐντέλλομαι ὑμῖν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ις΄. Ἄθλησις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου καὶ τοῦ ἁγίου μάρτυρος Βαρλαὰμ ἐξ Ἀντιοχείας τῇ ἡλικίᾳ γεγηρακώς, προσαχθεὶς τῷ ἄρχοντι τῆς χώρας θεολογικῶς τὰς ἀποκρίσεις ἐποιεῖτο.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Εὐψυχίου, Νεάρχου, Καρτερίου καὶ τῆς συνοδίας αὐτῶν. Εἰς τὸν ἅγιον Πέτρον λειτουργεῖ ὁ πατριάρχης, καὶ εἰς τὸ γ΄ ἀντίφωνον λέγομεν τροπάριον ἦχος γ΄· Ἀπόστολε ἅγιε, πρέσβευε. [л. 43) Προκείμενον, апостолъ, евангеліе, аллилуія и причастенъ, какъ и въ другія апостольскія памяти.

ιζ΄ Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ. Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως. Εἰς τὸν Ν΄ τροπάριον ἦχος δ΄· Ἐν προσευχαῖς γρηγορῶν. [об.) Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, στίχος·

---

[1]) На полѣ записанъ этимъ святымъ тропарь: Τροπάριον ἦχος δ΄ Οἱ τῆς Ἐδέσσης προστάται καὶ πρόμαχοι θαυματουργεῖτε ἐν κόσμῳ μεγάλως τοῖς θαύμασιν, τὴν γὰρ κόρην μητρικαῖς χερσὶν ἀπεδώκατε, καὶ τὸν παράνομον Γότθον δικαίᾳ κρίσει κατάκρινον ἀπεδείξατε, ταῖς πρὸς Θεὸν πρεσβείαις δωρίσασθε ἡμῖν τὸ μέγα ἔλεος.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους α΄. κεφ. ρδ΄· Ἀδελφοί, γρηγορεῖτε. Ἀλληλούια ἦχος δ΄, Δίκαιος ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. οθ΄· Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς ιβ΄ μαθητὰς. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιη΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πλάτωνος. Οὗτος ἦν ἐκ τῆς Γαλάτων χώρας ἐξ Ἀγκύρας τῆς μητροπόλεως, ἀδελφὸς ὑπάρχων τοῦ ἁγίου μάρτυρος Ἀντιόχου, παρέστη Ἀγριππίνῳ τῷ ἡγεμόνι, καὶ τῶν ἁγίων μαρτύρων Ῥωμανοῦ καὶ νηπίων ἐπὶ Μαξιμιανοῦ βασιλέως [π. 44 καὶ Ἀσκληπιάδου ἐπάρχου καὶ τῶν ἁγίων μαρτύρων Ζαχαρίου καὶ Ἀλφαίου καὶ Ζα(κ)χαίου.

ιθ΄ Μνήμη τοῦ ἁγίου καὶ θαυματουργοῦ Ἀζίου. Οὗτος ἦν ἐκ τῆς Ἰσαύρων χώρας, στρατιώτης τῇ τάξει ἐπὶ Διοκλητιανοῦ βασιλέως.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνθίμου, Θαλλελαίου, Χριστοφόρου καὶ Εὐφημίας καὶ τῶν τέκνων αὐτῶν, καὶ τῶν ἁγίων μαρτύρων Δασίου, Παγχαρίου καὶ Ἄζη.

κ΄. Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Δασίου ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐν πόλει Δοροστόλῳ, καὶ τοῦ ὁσίου Γρηγορίου τοῦ νέου θαυμαθουργοῦ τοῦ δεκαπολίτου, καὶ τῶν ἐν Περσίδι τελειωθέντων ἁγίων Νηρσᾶ, ἐπισκόπου ἐτῶν π΄, Ἰωσὴφ, μαθητοῦ αὐτοῦ ἐτῶν πε΄, ἀμφότεροι ἐπίσκοποι καὶ τῶν σὺν αὐτοῖς.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη [οβ.) τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Μαξίμου, Ἀλεξάνδρου, Ἀνατολίου Γενναδίου καὶ Πρόκλου. Εἰς τὸν Ν΄ τροπάριον ἦχος δ΄· Θεοφόροι κυβερνῆται λαῶν. Προκείμενον ἦχος πλ. β΄· Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι ὧν. Ὁ ἀπόστολος· πρὸς Ἑβραίους κεφ. ρθ΄ Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων. Ἀλληλούια ἦχος β΄, Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. λβ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἔστε τὸ φῶς. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κα΄. Σύναξις τῆς ἁγίας Θεοτόκου, ὅτε ἀπεδόθη [π. 45) ὑπὸ τῶν γονέων αὐτῆς, προσενεχθεῖσα ἐν τῷ ναῷ Κυρίου τριετίζουσα.

κβ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Στεφάνου καὶ Μάρκου ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Μάγνου ἡγεμόνος, ἐκ πόλεως Ἀντιοχείας τῆς Πισιδίας.

κγ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀρχίππου καὶ Φιλήμονος τοῦ στρατιώτου αὐτοῦ ἐπὶ Νέρωνος βασιλέως, μαθηταὶ γεγονότες τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, οἵτινες ἐμαρτύρησαν ἐν Κολασσαέων πόλει τῆς Φρυγίας πλησίον τῆς Λαοδικείας, καὶ τοῦ ἁγίου μάρτυρος Σισινίου

καὶ Μενίγνου, καὶ τοῦ ἁγίου μάρτυρος Προκοπίου τοῦ ἐν Περσίδι, καὶ τῆς ἁγίας μάρτυρος Μυρόπης καὶ Ἑλένου, ἐπισκόπου Ταρσοῦ.

κδ΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Κικιλίας καὶ τῶν σὺν αὐτῇ ἁγίων Βαλεριανοῦ καὶ (Τι)βουρτίου ἐν Ῥώμῃ τελειωθέντων [οβ.) ἐπὶ Ἀλμωκίου ἐπάρχου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Ἀκραγάντου καὶ τοῦ ἁγίου μάρτυρος Φιλομένου.

κε΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κλήμεντος, ἐπισκόπου Ῥώμης τοῦ μεγάλου. Οὗτος ἦν μαθητὴς καὶ διάδοχος τῶν ἀποστόλων, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας ἐπὶ Μαξιμιανοῦ βασιλέως, περὶ οὗ μαθὼν ὁ βασιλεὺς, ἀπέστειλε πέντε τριβούνους εἰς τὸ λαβεῖν τὴν κεφαλὴν αὐτοῦ, καὶ τοῦ ἁγίου μάρτυρος Μερκουρίου. Οὗτος ἦν ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων, ὁρμώμενος ἐκ γῆς ἀνατολῶν καὶ στρατευόμενος ἐν τῷ ἀριθμῷ τῶν μαρτισίων, ἦν δὲ ἐτῶν κε΄ εὐήλιξ, ὡραῖος, τῷ εἴδει ῥοδινὸς, τῇ ὁράσει ξανθόκομος διεβλήθη τῷ Δεκίῳ. Καὶ τῆς ἁγίας μάρτυρος Αἰκατερίνης. Αὕτη ὑπῆρχεν τῆς μεγαλωνύμου πόλεως Ἀλεξανδρείας θρέμμα, θυγάτηρ [π. 46) βασιλίσκου τινὸς, ὀνόματι Κόστου, πάνυ οὖσα ὡραία καὶ τῷ κάλλει ἀμώμητος, καὶ ὑπερμεγέθης τῇ ἡλικίᾳ, καὶ ὅλῳ τῷ σώματι ἀστεία, καὶ χριστιανὴ πιστοτάτη ἐπὶ τῆς βασιλείας Μαξεντίου τοῦ τυράννου. Αὕτη πᾶσαν παιδείαν ἑλληνικὴν καὶ ῥωμαϊκὴν ἀκριβῶς ἐγγυμνασθεῖσα, φημὶ δὴ Ὁμήρου σοφοῦ καὶ Βηργιλίου τοῦ Ῥωμαίων μεγίστου ποιητοῦ, Ἀσκληπιοῦ τε καὶ Γαληνοῦ τῶν ἰατρῶν, Ἀριστοτέλους καὶ Πλάτωνος, Φιλιστίωνος καὶ εὐσεβίων φιλοσόφων, Ἰαννῆ καὶ Ἰαμβρὶ τῶν μάγων, Διονυσίου καὶ Συβίλλης, καὶ ὅσοι ῥητορικοὶ ἐφευρέθησαν τῷ κόσμῳ οὐ μὴν, ἀλλὰ καὶ πᾶσαν γλῶσσαν τῶν οβ΄ ἐθνῶν τὴν διάλεκτον μαθοῦσα, εἰς ἔκπληξιν ἔφερεν οὐ μόνον τοὺς ὁρῶντας αὐτὴν, ἀλλὰ καὶ τοὺς [οβ.) ἀκούοντας τὴν φήμην τῆς παιδείας καὶ τῆς σοφίας αὐτῆς. Προκείμενον ἦχος βαρὺς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους κεφ. ρλε΄. Ἀδελφοὶ, ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς. Ἀλληλούια ἦχος δ΄, στίχος· Ὁ Θεὸς ἐν τοῖς ὠσὶν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ρλη΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

κς΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐξ Ἀραβίας καὶ τῶν σὺν αὐτοῖς Ἀνθίμου, Λεοντίου καὶ Εὐπρεπίου. Ἰατροὶ τὴν τέχνην καὶ ἀδελφοὶ γνήσιοι ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἰώμενοι ἐν τοῖς ἀνθρώποις πᾶσαν [π. 47) μαλακίαν καὶ ἐν τοῖς κτήνεσιν, ἡγεμονεύοντος δὲ Λυσίου τῆς Αἰγέων πόλεως, ὅστις καὶ βασανίζει αὐτοὺς, ῥίπτει τούτους ἐν τῇ θαλάσσῃ καὶ ἐξελθόντας παρα-

δόξως, εἶτα κελεύει φρύγανα καὶ ξύλα ἐξάψαι καὶ ριφθέντες ἄφλεκτοι διαμένουσι, σταυροῦνται καὶ λιθοβολοῦνται καὶ οἱ λίθοι ὑπέστρεφον κατὰ τῶν ριπτόντων, καὶ κελεύει Νουμέρα δ' τοξεῦσαι αὐτούς, οἱ δὲ τὰ βέλη ἀναλύσαντες αὐτοὶ οὐκ ἠδικήθησαν, εἶτα τὲ ὁ τύραννος καὶ ξίφει τέμνει τὰς κεφαλὰς αὐτῶν.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλυπίου τοῦ Κιονίτου ἐπὶ Ἡρακλείου βασιλέως ἐξ Ἀδριανουπόλεως τῆς Παφλαγόνων χώρας, καὶ τοῦ ὁσίου Ἀκακίου τῆς ὑπακοῆς τοῦ ἐμφερομένου ἐν τῇ Κλίμακι.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου [ος.] ἀποστόλου Σύλα, ἐπισκόπου Κορίνθου.

κζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰακώβου τοῦ Πέρσου, ἐν τοῖς χρόνοις Ὀνωρίου καὶ Θεοδοσίου βασιλέων Ῥωμαίων· ἦν οἰκῶν ἐν Βηθλαβᾶ τῇ πόλει ἐν χώρᾳ τῶν Περσῶν.

κη'. Ἄθλησις τοῦ ἁγίου Εἰρηνάρχου ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Μαξίμου ἡγεμόνος πόλεως Σεβαστείας· νέος ἦν τῇ ἡλικίᾳ, δήμιος πρότερον ὑπάρχων, καὶ τῶν ἁγίων μαρτύρων Στεφάνου, Πέτρου καὶ Ἀνδρέου ἐπὶ τῆς βασιλείας Κωνσταντίνου, υἱοῦ Λέοντος τοῦ Ἰσαύρου. Ἄνδρες διαλάμποντες ἐν τῇ ὀρθοδόξῳ πίστει καὶ τῇ μοναχικῇ πολιτείᾳ.

κθ' Ἄθλησις τοῦ ἁγίου μάρτυρος Φιλομένου, ἐπὶ Αὐρηλιανοῦ βασιλέως, τὸ γένος Λυκαέων, ὁδοιπόρος, σιτοδότης τῆς χώρας τῶν Γαλάτων, διαβάλλεται [σ. 48] Φήλικι τῷ ἡγεμόνι Ἀγκύρας καὶ ἐρωτηθεὶς ὡμολόγησεν αὐτὸν εἶναι χριστιανόν, ἠλοῦται σιδήροις χεῖρας καὶ πόδας καὶ αἰκίζεται σφοδρῶς, εἰσάγουσιν αὐτὸν εἰς τὸν ναὸν τοῦ Διὸς λεπτήνι (?), τοῦτον κρεμασθεὶς σπαθίζεται, βάλλεται ἐν χαλκῷ κλιβάνῳ ἁβλαβὴς ἐξέρχεται, ἤλωσαν αὐτοῦ κεφαλήν, χεῖρας καὶ πόδας καὶ ἤλασαν ἕως λ' σταδίων καὶ ἐάσαντες ἐκλιπόντα εὔχεται ὁ ἅγιος τοῦ προσδέξασθαι αὐτοῦ τὸ πνεῦμα. Ἀποστέλλονται πρὸς αὐτὸν τρεῖς ἔφιπποι λευκοφόροι καὶ ἀσπάζονται αὐτὸν καὶ φωνὴ ἐκ τοῦ οὐρανοῦ· εἰσηκούσθη ἡ δέησις σου καὶ εὐθέως παρέδωκε τὸ πνεῦμα καὶ κηδεύεται ὑπὸ πιστῶν ἀνδρῶν.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Παραμόνου τοῦ ἐν τῷ γέρῳ, καὶ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰωάννου τοῦ ἐν Περσίδι, καὶ τοῦ ἁγίου [ος.] Οὐρβανοῦ, ἐπισκόπου Μακεδονίας καὶ Διονυσίου, ἐπισκόπου Κορίνθου, καὶ τὰ ἐγκαίνια τῶν ἁγίων Σεργίου καὶ Βάκχου πλησίον τῆς ἀετοῦ γιστέρνης.

λ'. Ἄθλησις τοῦ ἁγίου καὶ πανευφήμου καὶ πρωτοκλήτου ἀποστόλου Ἀνδρέου, ἀδελφοῦ Πέτρου τοῦ Κορυφαίου τῶν ἀποστόλων. Εἰς τὴν εἴσοδον λέγομεν τροπάριον ἦχος γ'· Τῆς νοητῆς θαλάσσης τοὺς ἀνθρω-

ποβόρους ἰχθύας ἐσαγήνευσας ἀνδρίᾳ καὶ συνέσει ἐπιβὰς τῇ ταραχῇ τῶν κυμάτων καὶ τούτους ἐκ βάθους εἰδωλικοῦ ἀναγαγὼν, προσήγαγες τῷ Δεσπότῃ τῶν ὅλων, αὐτὸν ἱκέτευε, ἀπόστολε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Апостолъ, прокименъ и евангеліе, что нынѣ, а аллилуарій и причастенъ, какъ и въ другія апостольскія памяти.

[л. 49) Μὴν Δεκέμβριος, ἡμέρας ἔχων λα΄, ἡ ἡμέρα ἔχει ὥρας θ΄, καὶ ἡ νὺξ ὥρας ιε΄.

α΄. Ἄθλησις τοῦ ἁγίου Ἀνανίου ἐκ πόλεως Ἀρβιὴρ τῆς Περσίδος τῷ σχήματι λαϊκὸς χριστιανὸς καὶ συσχεθεὶς ὡμολόγησε, καὶ μετὰ τὰς πολλὰς βασάνους κείμενος νεκρὸς, ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπε· ποιήσατε εὐχὰς πρὸς τὸν Θεὸν, ὁρῶ γὰρ κλίμακα, φθάνουσαν εἰς τὸν οὐρανὸν καὶ πυροειδεῖς ἄνδρας λέγοντας μοι· Ἐλθὲ μεθ' ἡμῶν καὶ εἰσάγομέν σε εἰς πόλιν πλήρη φωτὸς καὶ εὐφροσύνης, καὶ οὕτως παρέδωκε τὸ πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ [об.) τοῦ ἁγίου καὶ ἐνδόξου Ναοὺμ τοῦ προφήτου, καὶ τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Ὀνησίμου Ἐφεσου καὶ Σολομῶνος, καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου Τρύφωνος καὶ Χριστοφόρου πλησίον τῆς ἁγίας Εἰρήνης ἀρχαίας καὶ νέας.

β΄. Ἄθλησις τοῦ ἁγίου Ἀβίβου ἐπὶ Λικιννίου τοῦ βασιλέως, διάκων τάξει, ἐκέλευσε πυρὶ παραδοθῆναι, καὶ τούτου συσχεθέντος ἐν Θελσὲν τῇ κώμῃ, ἐποίησαν τὸ κελευσθὲν, καὶ περιβαλόντες ὀθόνην καὶ ἔλαιον μεμυρισμένον ἀλείψαντες, ἔθηκαν μετὰ Γουρία καὶ Σαμωνὰ ἐν τόπῳ λεγομένῳ Βηθελακήκλα (?) σαββάτῳ, δευτέρα Δεκεμβρίου μηνὸς.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου καὶ ἐνδόξου Ἀββακοὺμ τοῦ προφήτου, καὶ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἐρημιτῶν ἐν Αἰγύπτῳ· Ἰωάννου, Ἀνδρέου, [л. 50) Ἡρακλαίμονος καὶ Θεοφίλου, καὶ μνήμη τοῦ ὁσίου Μωσῆ τοῦ ὁμολογητοῦ.

γ΄. Ἄθλησις τοῦ ἁγίου Θεοδώρου, ἐπισκόπου ἐν Ἀλεξανδρείᾳ. Οἱ Ἀλεξανδρεῖς ἐστεφάνουν ἀκάνθαις, ἔτυπτον κατὰ κόρης, ἐπεκερτόμουν ἐχλεύαζον ἔλεγον, ῥίπτεται ἐν θαλάσσῃ πρὸ ἑπτὰ σημείων τῆς Φάρου, ἐξέρχεται σῶος καὶ ἀχθεὶς τῷ ἄρχοντι τέμνεται τὴν κεφαλὴν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Θεοδο(ύ)λου. Οὗτος ἐγένετο ἐν Κύπρῳ ἐκπαιδόθεν ἀκολουθήσας τῷ Χριστῷ. Καὶ τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Σοφονίου, καὶ τῶν ἁγίων μαρτύρων Ἴνδη καὶ Δόμνας, Σε-

λεύκου, Μάμαντος καὶ τῆς συνοδίας αὐτῶν μ' ἐν Σοφιαναῖς καὶ Γλυκερίου μάρτυρος.

δ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Βαρβάρας ἐπὶ [об.) Μαξιμιανοῦ βασιλέως καὶ Χριστοδούλης καὶ Μυρόπης, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου γραπτοῦ καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ. Προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοὶ, ὅσοι πνεύματι τοῦ Θεοῦ. Ἀλληλούια ἦχος α', Σωτηρία τῶν δικαίων. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. σξ'· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

ε'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θεοφόρου Σάββα. Οὗτος ἦν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ ἐκ χώρας τῶν Καππαδόκων, καὶ τοῦ ἁγίου Ἀβερκίου. [л. 51) Τροπάριον ἦχος β'· Τοῦ ὁσίου σου, Κύριε, τὴν μνήμην ἑορτάζομεν. Ζήτει τὴν ἀκολουθίαν πᾶσαν τοῦ ἁγίου Εὐθυμίου.

ς'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου τοῦ θαυματουργοῦ, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως. Εἰς τὸν Ν' τροπάριον ἦχος δ'· Κανόνα πίστεως. Прокименъ, апостолъ и евангеліе, что выше преподобнымъ.

[об.) ζ'. Ἄθλησις τοῦ ἁγίου Ἀθηνοδώρου ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ Μεσοποταμίας Συρίας, μοναχοῦ, παρέστη Ἐλευσίῳ ἄρχοντι καὶ ἐκτείνεται μέσῳ δύο στυλῶν καὶ κδ' κανδήλας πυρὶ καιομένας φλέξαι αὐτὸν, μεθ' ὧν ἄλλας δ' κανδήλας προσέφερον αὐτὸν, μίαν κατὰ στόματος καὶ μίαν κάτὰ τῶν μηρῶν καὶ δύο κατὰ τῆς καρδίας.

Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνου, ἀνὴρ ἀξιέπαινος, καὶ τῶν ἁγίων μαρτύρων Πρίσκου, Μαρτίνου καὶ Νικολάου, καὶ τοῦ ἁγίου Ἀβραμίου.

η'. Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν καὶ [л. 52) ἐπισκόπων Ἰωάννου, γενομένου Κολωνείας καὶ Σωφρονίου Κωνσταντίας τῆς Κύπρου, καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Θεοτόκου τῶν Κουράτωρος.

θ'. Ἡ σύλληψις τῆς ἁγίας Ἄννης, ὅτε συνέλαβε τὴν παναγίαν Θεοτόκον, καὶ μνήμη τοῦ ὁσίου πατρὸς Παταπίου. Οὗτος ἦν Θηβαῖος τῷ γένει πλησίον τῆς χώρας. Καὶ ἄθλησις τῶν ἁγίων Σωσιθέου, Ναρσῆ καὶ Ἰσαὰκ. Ἡ ἀκολουθία πᾶσα μηνὶ Σεπτεμβρίῳ θ'.

ι' Ἄθλησις τῶν ἁγίων μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου. Τούτων τῶν ἁγίων μαρτύρων τὸ μαρτύριον συγγράφεται ὁ ἅγιος Ἀθανάσιος Ἀλεξανδρείας.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐγενίου καὶ τοῦ ἁγίου Μαρίνου ἐν Καισαρείᾳ.

ια'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀειθαλᾶ καὶ Ἄψεϊ. Οὗτοι ὑπῆρχον ἐν Περσίδι, [οδ.) καὶ ὁ μὲν Ἀειθαλᾶς ὑπῆρχεν ἱερεὺς τῶν εἰδώλων. Καὶ τοῦ ὁσίου Δανιὴλ τοῦ στυλίτου ἐν τῷ Ἀνάπλῳ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Βικεντίου καὶ Εὐμηλιανοῦ ἐν τῷ Καστελίῳ καὶ τῶν ἁγίων μαρτύρων Πέτρου, ἀσκητοῦ γενομένου, καὶ Ἀκεψημᾶ τῶν ἐν Περσίδι μαρτυρησάντων.

ιβ'. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σπυρίδωνος, ἐπισκόπου Τριμυθούντων τῆς Κύπρου· ἦν ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Μεγάλου καὶ Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ, καὶ τοῦ ὁσίου Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου.

ιγ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐστρατίου Αὐξεντίου, Εὐγενίου, Ὀρέστου καὶ Μαρδαρίου ἐπὶ Διοκλητιανοῦ τῶν δυσσεβῶν (?).

Τῇ αὐτῇ ἡμέρᾳ Λουκίας τῆς παρθένου καὶ μάρτυρος ἐν Συρακυ-
σῃ [π. 53) τῆς Σικελῶν νήσου ἐπὶ ἄρχοντος Πασχασίου καὶ τῆς ἁγίας μάρτυρος Κυριέννης. Εἰς τὴν εἴσοδον τροπάριον ἦχος πλ. δ'· Φιλοσοφῶν ἐν ταῖς γραφαῖς ῥητορικοῖς ἔπεσι τοὺς ἀγῶνας τῶν ἄθλων ἐκόσμησας, ἐμμελετήσας νηπιόθεν ταῖς τῶν μαρτύρων νίκαις, πίστει τρόπαιον ἤγειρας· ἐν γὰρ τῇ τάξει διαπρέψας, καὶ τῶν πόνων ἐραστής, ἐν τούτοις ἥρπασας μάρτυρος τὸν στέφανον, διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Προκείμενον ἦχος δ'· Θευμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Κορινθίους κεφ. ρια'· Ἀδελφοὶ, ἐνδυναμοῦσθε ἐν Κυρίῳ. Ἀλληλούια ἦχος δ', Ἐκέκραξαν οἱ δίκαιοι. [οδ) Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. σν'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιδ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου καὶ Καλλινίκου ἐπὶ Δεκίου βασιλέως καὶ Κουμβρικίου ἡγεμόνος.

Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Φιλήμονος καὶ Ἀπολλωνίου καὶ τῶν μετ' αὐτῶν πλησίων τῶν ἑλληνιανῶν, καὶ τοῦ ἁγίου Ὑπατίου, καὶ μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς. Ἔωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ οὕτως λιτανεύοντες ἀπερχόμεθα ἐν τῇ εἰρημένῃ συνάξει, ἀναφέρομεν δὲ τῷ πατριάρχῃ καὶ ἐν οἵῳ δὲ ἀντιφώνῳ ἐπιτρέψει εἰσερχόμεθα ἔσω, καὶ κατέρχεται ὁ [π. 54) πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον, καὶ μετὰ τὸ πληρῶσαι τὰ ἀντίφωνα γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται τῆς λιτῆς

ταύτης τροπάριον ἦχος πλ. α΄· Κύριε, ἡμάρτομεν καὶ ἠνομήσαμεν, προσπίπτομεν, ἐλέησον ἡμᾶς. Καὶ δοξάζουσιν ἐν τῷ φόρῳ, καὶ λέγει ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον, καὶ εἶθ' οὕτως ἄρχονται οἱ ψάλται τῆς αὐτῆς λιτῆς, καὶ εἰς τὸν ἅγιον Θύρσον ὁμοίως δοξάζουσιν. Ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ· Τρισάγιον, τὸ Προκείμενον ἦχος πλ. β΄· Σῶσον, Κύριε, τὸν λαόν, στίχος· Πρὸς σὲ Κύριε κεκράξομαι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρκζ΄. Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει. Ἀλληλούια ἦχος δ΄, Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον [οβ.) κατὰ Ματθαῖον κεφ. μθ΄. Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον. Κοινωνικὸν· Ἀγαλλιᾶσθε δίκαιοι.

ιε΄. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου ἐκ πόλεως Ῥώμης ἐπὶ Ἀδριανοῦ βασιλέως.

Τῇ αὐτῇ ἡμέρᾳ τῆς ὁσίας μάρτυρος Σωσάννης ἐπὶ Μαξιμιανοῦ βασιλέως.

ις΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου. Οὗτος ἦν ἐπὶ Μακρίνου βασιλέως συγκλητικὸς Ῥώμης παῖς τὴν ἡλικίαν. Καὶ τοῦ ἁγίου μάρτυρος Βάκχου, τοῦ μαρτυρήσαντος ἐν τοῖς χρόνοις ἡμῶν (780 γ.) ἐν Παλαιστίνῃ ἐπὶ Εἰρήνης καὶ Κωνσταντίνου, ὀρθοδόξων καὶ φιλοχρίστων βασιλέων.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου, Ἰλάρεως καὶ τῆς συνοδίας αὐτῶν, καὶ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Μέμνονος, ἐπισκόπου Ἐφέσου καὶ Μοδέστου, ἐπισκόπου Ἱεροσολύμων, καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου μάρτυρος Χριστοφόρου ἐν τῇ οἰκίᾳ τῶν Προμούντων.

[σ. 55) ιζ΄. Ἄθλησις τῶν ἁγίων τριῶν παίδων Ἀνανία, Ἀζαρία, Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου, καὶ τῶν ἁγίων Πατερμουθίου, Κόπρι καὶ Ἀλεξάνδρου, μαρτυρησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου.

ιη΄. Ἄθλησις τοῦ ὁσίου Φλώρου· Οὗτος ὁ τῆς Ἀμισηγῶν ἐκκλησίας ἐπίσκοπος γεγονὼς ὑπῆρχεν ἐπὶ βασιλέως Ἰουστίνου τοῦ νέου καὶ Τιβερίου καὶ Μαυρικίου, οὗτινος ὁ πατὴρ καὶ αὐτὸς ὁμώνυμος Φλῶρος ἐκαλεῖτο καὶ ἡ μήτηρ αὐτοῦ Εὐφημία. Καὶ τῶν ἁγίων μαρτύρων Φωκᾶ, Ἑρμύλου, καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Θεοτόκου τῶν Χαλκοπρατείων. Ἑωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ οὕτως λιτανεύοντες, ἀπερχόμεθα ἐν τῇ εἰρημένῃ συνάξει. Ἑσπέρας εἰς τὴν παραμονὴν κατέρχεται ὁ πατριάρχης, [οβ.) ὡς προσύνηθες καὶ εἰσοδεύει, καὶ μετὰ τὸ προκείμενον καὶ τὰ γ΄ ἀντίφωνα μικρὰ γίνεται εὐχὴ συναπτὴ μετὰ τῶν αἰτήσεων, καὶ λέγονται

ἀναγνώσματα γ΄, τὸ α΄ Βασιλειῶν τρίτης· Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου, τὸ β΄ Παροιμιῶν· Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε, τὸ γ΄ Σολομῶντος· Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον. Οἱ ψάλται ἐν τῷ ἄμβωνι λέγουσι τροπάριον ἦχος βαρὺς· Χαῖρε κεχαριτωμένη. [π. 56) Καὶ μετὰ τοῦτο λέγει ὁ ἀρχιδιάκονος· Σοφίᾳ καὶ ἀνέρχεται προανάγνωσις καὶ γίνεται ἡ παννυχὶς κατὰ τάξιν, τὸν δὲ ὄρθρον ποιοῦμεν ἐν τῷ ἄμβωνι καὶ εἰς τὸν Ν΄ λέγομεν τροπάριον ἦχος δ΄· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι ἀιώνιοι καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. Καὶ περὶ ὥραν γ΄ ἐξέρχεται ἡ λιτὴ ἐκ τῆς μεγάλης ἐκκλησίας καὶ ἄρχονται οἱ ψάλται τὸ· Χαῖρε κεχαριτωμένη. Καὶ κατέρχεται ὁ πατριάρχης διὰ τοῦ Μολυβουργοῦ εἰς τὴν Μήλην εἰς τὰ Χαλκοπρατεῖα καὶ εἰσέρχεται εἰς τὸν νάρθηκα, καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ψαλλομένου τροπαρίου ἄρχεται τὰ ὀρφανὰ τό· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν. Καὶ ἀνοίγεται ἡ ἐκκλησία καὶ δοξάζουσιν οἱ ψάλται. Ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ Τρισάγιον, τὸ προκείμενον [οδ.) ἦχος δ΄· Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, στίχος· Ὁ Κύριος ἐβασίλευσεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους. Ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου. Ἀλληλούια ἦχος δ΄, Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρξ΄. Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

ιθ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Πρόμου, Ἄρεως καὶ Ἡλία. Αἰγύπτιοι τὸ γένος ἐπὶ ἄρχοντος Φιρμιλιανοῦ καὶ τῶν ἁγίων μαρτύρων Τιμοθέου, διακόνου ἐν Μαυριτανίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτυχίου Θεσσαλονίκης καὶ τῶν σὺν αὐτοῖς ἀνδρῶν σ΄ καὶ γυναικῶν ο΄, καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Βονιφατίου καὶ Ἑρμολάου.

κ΄. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου [π. 57) τοῦ θεοφόρου. Οὗτος ἦν διάδοχος τῶν ἀποστόλων τῆς Ἀντιοχέων ἐκκλησίας. Καὶ τῶν ἁγίων μαρτύρων Εὐγενίου καὶ Μακαρίου ἐπὶ Ἰουλιανοῦ παραβάτου ἤλεγξαν αὐτοῦ τὴν ἀσέβειαν, τείνονται ἔν τισι κίοσιν. Καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ τοῦ συγγέλου τῆς ἁγίας τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ ὁμολογητοῦ. Τροπάριον ἦχος δ΄· Καὶ τρόπων μέτοχος, что ныне, προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεός.—Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρξγ΄ [οδ.) Ἀδελφοί, ἔχοντες ἀρχιερέα. Ἀλληλούια ἦχος β΄, στίχος· Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου. Εὐαγγέλιον κατὰ Μάρκον κεφ. 4δ΄· Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς Καπερναούμ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Κυριακῇ τῶν ἁγίων πατέρων. Προκείμενον ἦχος βαρὺς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς κεφ. ρμ'· Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ. Ἀλληλούια ἦχος πλ. α', στίχος· Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. σα'. Τῷ καιρῷ ἐκείνῳ εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην. [л. 58) Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

Σαββάτῳ πρὸ τῆς Χριστοῦ γεννήσεως, что нынѣ.

Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως. Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τῶν ἁγίων γ' παίδων Ἀνανία, Ἀζαρία καὶ Μισαὴλ καὶ Δανιὴλ τοῦ προφήτου. Ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ εἰς τὸν Ν' τροπάριον ἦχος β'· Ἐν πίστει τοὺς προπάτορας ἐδικαίωσας τὴν ἐξ ἐθνῶν δι' αὐτῶν προμνηστευσάμενος ἐκκλησίαν σου καυχῶνται ἐν δόξῃ οἱ ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν ὑπάρχει καρπὸς [об.) εὐκλεὴς ἡ ἀσπόρως τεκοῦσά σε ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἄλλο ἦχος β'· Μεγάλα τὰ τῆς πίστεως. Прокименъ, апостолъ и евангеліе, что нынѣ. Причастенъ: Ἀγαλλιᾶσθε—одинъ.

[л. 59) κα'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς ἐκ πόλεως Νικομηδείας ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως καὶ τοῦ ἁγίου μάρτυρος Θεμιστοκλέους ἐκ Μύρων τῆς Λυκίας, ποιμὴν προβάτων ὑπάρχων. Ὁ ἅγιος Διοσκορίδης ἐζητεῖτο ὑπὸ τοῦ ἄρχοντος, οἱ δὲ στρατιῶται ἀνῆλθον ἐν τῷ ὄρει ζητοῦντες αὐτὸν. Λέγει αὐτοῖς Θεμιστοκλῆς· εἰ οὖν ἐκεῖνον ζητεῖτε, ἰδοὺ ἐγὼ ἀντὶ ἐκείνου χριστιανὸς ὢν ἀπολογήσομαι. Καὶ ἄθλησις τῶν ἁγίων Εὐβιότου, Πολιεύκτου, ἰατροῦ Καισαρέως.

κβ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀναστασίας καὶ τῶν σὺν αὐτῇ ἁγίων γυναικῶν ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ τοῦ ἁγίου Καπίτωνος. ἐπισκόπου Χερσῶνος [об.) ἐπὶ Θεοδοσίου μεγάλου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Χρυσογόνου, ἐπάρχου Σαλονίκης καὶ τῶν ἁγίων μαρτύρων γυναικῶν Θεοδότης σὺν γ' παιδίοις· Ἀγάπης. Εἰρήνης, Χιονίας. Προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Γαλάτας κεφ. Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. Ἀλληλούια ἦχος δ', Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρνζ'. Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

κγ'. Ἄθλησις τῶν ἁγίων ι' μαρτύρων ἐν Κρήτῃ ἐπὶ Δεκίου βασιλέως· Ἀπὸ μὲν τῆς μητροπόλεως Γορτύνης πέντε ὧν ἐστὶ· Γελάσιος καὶ Εὐνικιανός, ἐκ τοῦ ἀνωτέρου μέρους τῆς μητροπόλεως ὑπάρχοντες, τοῦ καλουμένου Ἑρμέου, [л. 60) ἀπὸ δὲ Κνωσοῦ Ζωτικὸς, ἀπὸ δὲ τοῦ

Ἐπινεικίου Πανόρμου, Ἀγαθόπους, ἐκ δὲ Κυδωνίας Βασιλείδης, καὶ ἀπὸ τοῦ Ἡρακλείου Εὐάρεστος. Ἡ ἀκολουθία τῶν ἁγίων μ΄ ζήτει μαρτίῳ θ΄. Καὶ τὰ ἐγκαίνια τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. Περὶ ὥραν γ΄ κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον, καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τὸ τροπάριον ἦχος δ΄· Ἡ πόλις σου, Θεοτόκε, ἡ ἐν σοὶ βασιλεύουσα μεγάλων λυτρωθεῖσα διά σου περιστάσεων, σοὶ ὕμνον εὐρωστίας προβάλλεται, τὴν ἁγίαν σου ᾠδὴν φθεγγομένη· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ μόνος πολυέλεος. Καὶ ἡνίκα ἐξέλθῃ ἡ λιτὴ ἐκ τῆς ἐκκλησίας, εὐθέως ἀσφαλίζεται ἡ ἐκκλησία, καὶ ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ, καὶ δοξάζουσιν οἱ ψάλται τὸ αὐτὸ τροπάριον καὶ ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον καὶ πάλιν ἄρχεται τροπάριον ἦχος πλ. δ΄· [об.) Τὴν πόλιν ἡμῶν, Κύριε, ὡς τῆς οἰκουμένης ὀφθαλμὸν ἐκ πάσης σου δικαίας ἀπειλῆς ἐλευθέρωσον καὶ τοῖς σκήπτροις τῆς βασιλείας αὐτῆς διὰ παντὸς κατακόσμησον, βαρβάρων ἀποστροφὴν καὶ τῶν κινδύνων ἀπαλλαγὴν διὰ τῆς Θεοτόκου δωρούμενος. Καὶ ὅτε φθάσῃ ἡ λιτὴ εἰς τὸν νάρθηκα πλησίον τῶν μεγάλων πυλῶν μετὰ τὴν συμπλήρωσιν τοῦ τροπαρίου, εὐλογεῖ ὁ πατριάρχης καὶ ἄρχεται τὰ ὀρφανὰ τό· Ἄρατε πύλας, καὶ εἰσέρχεται ἡ λιτὴ, καὶ γίνεται εὐθὺς εὐχὴ τοῦ Τρισαγίου. Προκείμενον ἦχος γ΄· Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ἀλληλούια ἦχος α΄, Μνήσθητι τῆς συναγωγῆς σου. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. 4β΄. Τῷ καιρῷ ἐκείνῳ ἐγένετο τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις. Κοινωνικὸν· Ἀγαλλιᾶσθε δίκαιοι. [л. 61) Καὶ ἀντὶ τοῦ· Ἐν εἰρήνῃ προέλθωμεν, ὁ διάκονος· Σοφία, καὶ γίνεται ἡ παννυχὶς κατὰ τὴν τάξιν. Δεῖ δὲ εἰδέναι, ὅτι ἐὰν συμβῇ ἐν σαββάτῳ ἢ ἐν κυριακῇ φθάσαι ἡ παραμονὴ τῶν ἐγκαινίων, γίνεται ἐν τῷ λυχνικῷ τό· Κλῖνον, Κύριε, τὸ τελευταῖον καὶ τό· Κύριε ἐκέκραξα, καὶ μετὰ τὴν εἴσοδον τοῦ πατριάρχου, καὶ τὸ προκείμενον, καὶ τὰ γ΄ ἀντίφωνα τὰ μικρά, γίνεται εὐχὴ συναπτὴ μετὰ τῶν αἰτήσεων, καὶ λέγονται ἀναγνώσματα γ΄· τὸ α΄ Βασιλειῶν γ΄, τὸ β΄ Παροιμιῶν, τὸ γ΄ Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, τὸ δὲ λοιπὸν ψάλλομεν καθὼς προεγράφη εἰς τὰς ιη΄ τοῦ αὐτοῦ μηνὸς εἰς τὰ ἐγκαίνια τῶν Χαλκοπρατείων. Ἐξαποστειλάριον προεόρτιον τῆς Χριστοῦ γεννήσεως, πρὸς τό· Ὁ οὐρανὸν τοῖς ἄστροις· Βηθλεὲμ εὐτρεπίζου.

κδ΄. Ἡ παραμονὴ τῆς Χριστοῦ γεννήσεως, καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐγενίας. Αὕτη ἦν ἐπὶ [об.) Κομόδου τοῦ βασιλέως, ὑπῆρ-

χε δὲ θυγάτηρ Φιλίππου ἐπάρχου Ῥώμης, καὶ τοῦ ἁγίου μάρτυρος Ἀχαϊκοῦ. Ἑσπέρας ἀρχόμεθα τό· Κλῖνον, Κύριε, τὸ τελευταῖον καὶ τό· Κύριε ἐκέκραξα, καὶ λέγεται τροπάριον ἦχος πλ. β΄· Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε, πρέσβευε αὐτὸν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ μετὰ τὸ εἰσοδεῦσαι τὸν πατριάρχην, ὁ ψάλτης λέγει προκείμενον ἦχος πλ. β΄· Ὁ Κύριος ἐβασίλευσεν, στίχος· Ἐνεδύσατο ὁ Κύριος. Καὶ οἱ διάκονοι στέκουσιν ἐν τῇ σωλέᾳ ἕως ἄρξονται τὰ ἀντίφωνα τῆς λειτουργίας, καὶ μετὰ τὸ προκείμενον καὶ τό· Κύριε ἐλέησον γίνεται εὐχὴ ἀντιφώνου καὶ γίνονται τὰ γ΄ ἀντίφωνα τὰ μικρὰ ἐν τῷ ἄμβωνι καὶ λέγεται εἰς τὸ δόξα τοῦ β΄ ἀντιφώνου τροπάριον ἦχος πλ. β΄· Τὴν ὑπερένδοξον τοῦ Χριστοῦ Μητέρα. Καὶ μετὰ τοῦτο γίνεται εὐχὴ συναπτὴ μετὰ τῶν [**π. 62**) αἰτήσεων καὶ δίδοται· Σοφία καὶ γίνεται καθέδρα, καὶ οὕτως ἀναγνώσματα ζ΄· τὸ α΄ ἀνάγνωσμα Γενέσεως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν, τὸ β΄ Ἀριθμῶν τὸ ἀνάγνωσμα· Ἐγένετο πνεῦμα ἐπὶ Βαλαὰμ, τὸ γ΄ Μιχαίου· Τάδε λέγει Κύριος· συνάξω τὴν συντετριμμένην. Καὶ μετὰ τοῦτο λέγουσιν οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος πλ. β΄· Λαθὼν ἐτέχθης. Τοῦτο δὲ λέγεται καὶ γ΄ στίχοι πς΄ ψαλμοῦ κατὰ στίχον, δεχομένου τοῦ λαοῦ ἀπὸ τό· Μεθ' ὧν ἐλέησον ἡμᾶς. Στίχος α΄· Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι, στίχος β΄· [**οβ.**) Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαός τῶν Αἰθιόπων, στίχος γ΄· Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ δοξάζει καὶ λέγει μίαν περισσὴν, καὶ οὕτως ἀναγινώσκεται ἀνάγνωσμα δ΄ Ἡσαΐου· Τάδε λέγει Κύριος· ἐξελεύσεται ῥάβδος, τὸ ε΄ ἀνάγνωσμα Ἱερεμίου· Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται, τὸ ς΄ Δανιὴλ· Εἶπε Δανιὴλ τῷ Ναβουχοδονόσωρ. Καὶ πάλιν μετὰ τοῦτο λέγουσιν οἱ ψάλται τροπάριον ἦχος πλ. β΄· Ἀνέτειλας, Χριστὲ, ἐκ οὗ Παρθένου, στίχος α΄ ψαλμὸς ϟβ΄· Ὁ Κύριος ἐβασίλευσεν [**π. 63**), στίχος β΄· Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, στίχος γ΄· Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης ἕως τέλους τοῦ ψαλμοῦ καὶ ἡ περισσὴ, καὶ μετὰ τοῦτο ἀνέρχεται ἀνάγνωσμα ζ΄ Ἡσαΐου· Παιδίον ἐγεννήθη ἡμῖν, καὶ εὐθέως γίνεται συναπτὴ καὶ ἀντίφωνα γ΄ ἐν τῷ ἄμβωνι· τὸ α΄ Ἀντιλαβοῦ μου, Κύριε, τὸ β΄ ψαλμός β΄, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ γ΄ ψαλμὸς κθ΄, Ἀλληλούια τριπλοῦν δειλινὸν καὶ λοιπὸν γίνεται εὐχὴ τοῦ Τρισαγίου καὶ εὐθὺς τό· Τρισάγιον. Καὶ εἰσέρχονται οἱ διάκονοι ἐν τῇ σωλέᾳ εἰς τὸ ἱερατεῖον, καὶ γίνεται ἡ καθέδρα τοῦ συνθρόνου. Δέον δὲ γινώσκειν, ὅτι ἐὰν οὐκ ἔστι νηστεία, ἀνέρχεται Εὐαγγέλιον ἐν τῷ συνθρόνῳ, καὶ κάθεται ὁ πατριάρχης ἐν τῷ εὐωνύμῳ μέρει, καὶ λέγεται προκείμενον ἦχος α΄· Κύριος εἶπε πρός με· [**οβ.**) Υἱός μου εἶ σὺ, στίχος· Αἴτησαι

παρ' ἐμοῦ. Καὶ μετὰ (ταῦτα) ἀνέρχεται ἀνάγνωσμα Ἡσαΐου· Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ. Προκείμενον ἦχος πλ. β'· Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ, στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ριζ'· Ἀδελφοί, πολυμερῶς καὶ πολυτρόπως. Ἀλληλούια ἦχος πλ. α', στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Εὐαγγελιὸν κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος. Κοινωνικὸν· Αἰνεῖτε τὸν Κύριον. Δέον γινώσκειν, ὅτι ἐὰν ἐστὶ νηστεία εἰς τὴν παραμονὴν ταύτην, εὐθὺς μετὰ τὸ Τρισάγιον ἀνέρχεται τὸ β' προκείμενον καὶ εὐθὺς [π. 64) ὁ ἀπόστολος, καὶ κουφίζεται τὸ α' προκείμενον καὶ ἡ προφητεία. Εἰ δὲ φθάσῃ ἐν σαββάτῳ ἢ ἐν κυριακῇ ἡ παραμονή, λέγεται πᾶσα ἡ ἀκολουθία καθὰ προεγράφη ἕως τοῦ εὐαγγελίου καὶ τῆς ἐκτενοῦς καὶ ἀπολύει. Καὶ ἀνέρχεται προανάγνωσις τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου καὶ ἑτέρων πατέρων ἕως τῆς παννυχίδος. Τοῦτο δὲ ἔστω γινώσκων πᾶς ἱεράρχης, ὅτι ἐὰν οὐκ ἐστι νηστεία οὐκ ἔξεστι καθέζεσθαι ἐν τῷ συνθρόνῳ, ἀλλὰ πλαγίως εἰς ἕτερον σκάμνον, εἰ δὲ ἐστὶ νηστεία γίνεται ἡ καθέδρα ἐν τῷ συνθρόνῳ.

κε'. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα γέννησις ἐκ τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου Μαρίας. Ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τὸν ὄρθρον ποιοῦμεν ἐν τῷ ἄμβωνι, καὶ κατέρχονται τὰ γ' ἀσκητήρια καὶ ψάλλουσιν ἀντίφωνα ιη' σὺν τοῦ μεγάλου (τῷ μεγάλῳ) καὶ λέγομεν τροπάριον ἦχος πλ. δ'· Τὸν ἐν ἀρχῇ λόγον τοῦ Θεοῦ ἐν [οβ.) σαρκὶ τεκούσης σου, Θεοτόκε Παρθένε, στρατειὰς ἀγγέλων ἐπὶ γῆς ποιμένες ἐθεάσαντο, οὐράνιον ὕμνον τῷ τεχθέντι βοῶσας, μεθ' ὧν καὶ ἡμεῖς ὡς Μητέρα Θεοῦ μεγαλύνομεν. Εἰ δὲ ἐστὶν ἡ β' ἑβδομὰς τροπάριον ἦχος πλ. δ'· Τὸν ἀΐδιον τοῦ Πατρὸς ἐν ἀρχῇ λόγον σωματωθέντα ἀφράστως ἐκ σοῦ Θεομῆτορ, χορὸς ἀγγελικὸς οὐρανόθεν ὕμνησε καὶ ποιμένες ἐπὶ γῆς ὁρῶντες φόβῳ ἐδόξαζον τὸ ἀκατάληπτον μυστήριον, διὸ καὶ ἡμεῖς, οἱ σωθέντες τῷ τόκῳ σου, κατὰ χρέος μεγαλύνομεν. Ἄλλο εἰς τό· Θεὸς Κύριος καὶ εἰς τὸν Ν' τροπάριον ἦχος δ'· Ἡ γέννησις σου, Χριστὲ ὁ Θεὸς ἡμῶν. Ἐξαποστειλάριον· [π. 65) Ἐπεσκέψατο ἡμᾶς ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν. Εἰς δὲ τὴν λειτουργίαν ἀντίφωνα γ'· τὸ α' ψαλμὸς ρι', Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β' ψαλμὸς ρια', Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, καὶ εἰς τὸ δοξα Ὁ μονογενὴς Υἱός. Καὶ εἰσοδεύει ὁ πατριάρχης καὶ ὁ διάκον(ος) προεκβάλλει τὸ εὐαγγέλιον εἰς τοὺς μέσους πυλῶνας. Ἀντίφωνον γ' ψαλμὸς ρθ' καὶ λέγομεν τὸ προγεγραμμένον τροπάριον· Ἡ γέννησις σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ ἀντὶ τοῦ Τρισαγίου· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον ἦχος πλ. δ'· Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, στίχος· Ἀλαλάξατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Γαλάτας κεφ. ρκα'· Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου. Ἀλληλούια ἦχος α', Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. δ' [об.) Τοῦ Ἰησοῦ γεννηθέντος. Κοινωνικόν· Λύτρωσιν ἀπέστειλε Κύριος. Ἑσπέρας εἰς τὸ λυχνικὸν προκείμενον ἦχος βαρὺς· Τις Θεὸς μέγας κ. τ. λ.

κς'. Σύναξις τῆς Θεοτόκου ἐν Βλαχέρναις, καὶ ἄθλησις τοῦ πλήθους τῶν καέντων ἐν Νικομηδείᾳ καὶ τοῦ ἁγίου μάρτυρος Εὐθυμίου τοῦ Σάρδης ἐπὶ Θεοφίλου βασιλέως. Λειτουργεῖ ὁ πατριάρχης, καὶ λέγομεν τροπάριον ἦχος βαρὺς· Χαῖρε κεχαριτωμένη. Εἰς τὸ δόξα ἦχος β· Ὑπερευλογημένη ὑπάρχεις. Προκείμενον ἦχος γ'· Μεγαλύνει ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν, [л. 66) апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος πλ. δ', στίχος· Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Σαββάτῳ μετὰ τὴν Χριστοῦ γέννησιν. Апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος πλ. δ', Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν μνήμη τῶν ἁγίων καὶ δικαίων Δαβὶδ τοῦ προφήτου [об.) καὶ Ἰωσὴφ τοῦ δικαίου καὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου. Εἰς τὸν Ν' καὶ εἰς τὴν εἴσοδον ἦχος β' Εὐαγγελίζου Ἰωσὴφ, (Μαρτυρικόν)· Ὡς τοῦ Κυρίου μαθητὴς ἀνεδέξω, δίκαιε, τὸ Εὐαγγέλιον, ὡς μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον, τὴν παῤῥησίαν ὡς ἀδελφόθεος, τὸ πρεσβεύειν ὡς ἱερεύς, ἱκέτευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος β'· Εὐφράνθητε ἐπὶ Κύριον στίχος· Μακάριοι ὧν, апостолъ, аллилуарій [л. 67) и евангеліе, что нынѣ.

Случай, если будетъ два воскресенія между праздникомъ и отданіемъ, изложенъ согласно съ нынѣшнимъ Типикономъ.

κζ'. Ἄθλησις τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου ἐν Κωνσταντιναῖς, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου σαββαΐτου καὶ πρεσβυτέρου, ἀδελφοῦ μακαρίου Θεοφάνους τοῦ ὁμολογητοῦ. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ Ῥαΐθου(ὼ) ἀναιρεθέντων. Τροπάριον ἦχος δ'· Βασίλειον διάδημα, (об.) προκείμενον· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεὸς. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Στέφανος πλήρης χάριτος. Ἀλληλούια ἦχος δ', Δίκαιος, ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. συπ'· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἦν οἰκοδεσπότης· Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κη'. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ [π. 68) Στεφάνου. Εἰς τὸν Ν' τροπάριον ἦχος γ'· Τὸ στόμα σου ἐκπλατύνας ἐν δόγμασι καὶ καρδίᾳ μελετήσας τὴν σύνεσιν θεολογίαν ἐξηρεύξω σωτήριον, διὰ τοῦτο ὡραιώθης ἐν κατορθώμασιν, καλλιγραφῶν ἡμῖν τοὺς νόμους τοῦ πνεύματος. Θεῖον δώρημα, πάτερ ὅσιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεὸς. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. Ἀδελφοί, οὐχὶ αὐτός τις λαμβάνει τὴν τιμήν. Ἀλληλούια ἦχος πλ. β', Μακάριος ἀνὴρ ὁ φοβούμενος. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. πθ'· Εἶπεν ὁ Κύριος ἐγὼ εἰμὶ ἡ θύρα.

κθ' Ἄθλησις τῶν ἁγίων καὶ μακαρίων νηπίων τῶν διὰ Χριστὸν ὑπὸ Ἡρώδου τοῦ ἀσεβοῦς ἀναιρεθέντων καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκέλλου [οδ.) μονῆς τῶν ἀκοιμήτων. Οὗτος ὑπῆρχεν ἐκ πόλεως Ἀπαμείας τῆς Συρίας καὶ τοῦ ὁσίου Ζωτικοῦ. Τῇ αὐτῇ ἡμέρᾳ πάντων χριστιανῶν ἀδελφῶν ἡμῶν τῶν ἐν λιμῷ καὶ μαχαίρᾳ καὶ ἐν θαλάσσῃ καὶ ἐν κρύει καὶ ἐν πικρᾷ δουλείᾳ τελειωθέν(των). Εἰς τὸν Ν' καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος δ'· Τοῦ τεχθέντος κράτος πτοούμενος καὶ τῶν μάγων τὸ ἀγενὲς ἐνθυμούμενος ὁ Ἡρώδης τοῖς στρατιώταις ἔλεγεν· Βηθλεὲμ τοὺς παῖδας ἀνέλετε ἀνταρσίας ἀναμένων περίστασιν, ἠγνόει γὰρ τὸν ἑαυτοῦ δημιουργὸν, ὅτι Χριστὸς ὁ Θεὸς ὑπάρχει, ὁ ἔχων τὸ μέγα ἔλεος. Προκείμενον ἦχος δ'· Αἰνεῖτε παῖδες, στίχος· Εἴη τὸ ὄνομα Κυρίου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρξ'. Ἀδελφοὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ἀλληλούια ἦχος δ', στίχος [π. 69) Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ς'. Ἀναχωρησάντων τῶν μάγων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

λ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀνυσίας ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἐκ πόλεως Θεσσαλονίκης καὶ μνήμη Λεοντίου ἀρχιμανδρίτου καὶ τὰ ἐγκαίνια τῶν ἁγίων μ'.

λα'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωτικοῦ πρεσβυτέρου καὶ ὀρφανοτρόφου καὶ τοῦ ὁσίου Γεωργίου τοῦ Κυπρίου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰνδῆ καὶ Δόμνης καὶ τοῦ πλήθους τῶν ἐν Νικομηδείᾳ καέντων ἐν τῇ ἐκκλησίᾳ. Ἡ ἁγία Δόμνα ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ βασιλέως ἱέρεια τυγχάνουσα τοῦ ἐνδοδεκαθύτου τοῦ ἐν τῷ παλατίῳ, ἐντυγχάνουσα δὲ ταῖς [οδ.) Πράξεσιν τῶν ἁγίων ἀποστόλων καὶ ἐπιστολαῖς τοῦ ἁγίου ἀποστόλου Παύλου ἐπίστευσε τῷ Χριστῷ καὶ βαπτίζεται παρὰ Κυρίλλου, ἐπισκόπου Νικομηδείας ἅμα Ἰνδῇ εὐνούχῳ καὶ

ἑτέροις πολλοῖς δώδεκα ἔτη ζοῦσα κατὰ τοὺς χρόνους ἐπισκόπων Νικομηδείας Ἑλλάδιος, Κλήμης, Κύριλλος.

Μὴν Ἰαννουάριος ἡμέρας ἔχει λά, ἡμέρα ἔχει ὥρας ι', ἡ νὺξ ὥρας ιδ'.

α'. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ ὀκταήμερος τῆς κατὰ νόμον περιτομῆς αὐτοῦ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου. Οὗτος ὁ μέγας ἀρχιερεὺς τοῦ Χριστοῦ Βασίλειος, ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας γεγονὼς ἤκμασε καὶ ἐπαιδεύθη τὰ θεῖα διαλάμψας ἐπί τε Κωνσταντίου καὶ Ἰουλιανοῦ τοῦ παραβάτου [л. 70) καὶ μὴν καὶ Οὐάλη τῶν δυσσεβῶν βασιλέων. Εἰς τὴν εἴσοδον καὶ εἰς τὸν Ν' τροπάριον ἦχος α'· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος. Прокименъ, апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος βαρὺς· Στόμα δικαίου λαλήσει σοφίαν. [об.) Κοινωνικὸν· Λύτρωσιν ἀπέστειλε Κύριος.

β'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βασιλείου· Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ ἐξ Ἀγκύρας, πίστιν ὀρθὴν κεκτημένος κατὰ πὴν Βηρυτὸν καὶ παρήνει πάντας. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Συλβέστρου, ἀρχιεπισκόπου τῆς μεγάλης πόλεως Ῥωμης ἐπὶ Κωνσταντίνου μεγάλου βασιλέως, ὅστις καὶ βαπτίζει τὸν αὐτὸν βασιλέα, καὶ ἄθλησις τῶν ἁγίων παρθένων Συγκλητικῆς καὶ Σάρας θεογνοῦς.

γ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Γορδίου ἐκ Καισαρείας Καππαδοκίας ἐπὶ Λικινίου βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεογένους ἐπισκόπου ἐπὶ Ζηλικινθίου τοῦ τριβούνου καὶ τοῦ ἁγίου προφήτου Μαλαχίου καὶ Ἰνδικῆς καὶ τῆς ἁγίας Θωμαΐδος [л. 71).

Σαββάτῳ πρὸ τῶν ἁγίων θεοφανίων ὁ ἀπόστολος πρὸς Τιμόθεον κεφ. ρμθ'· Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην. Τέλος· αἰώνων Ἀμὴν· Εὐαγγέλιον κατὰ Ματθαῖον κζ'· Τῷ καιρῷ ἐκείνῳ παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς. Κοινωνικὸν· Ἀγαλλιᾶσθε. Δέον γινώσκειν ὅτι ἐὰν φθάσουσι β' σάββατα μεταξὺ τῶν β' ἑορτῶν τῇ παρασκευῇ εἰς τὴν νηστείαν ἀναγινώσκεται τὸ εὐαγγέλιον τοῦτο.

Κυριακῇ πρὸ τῶν ἁγίων φώτων. Апостолъ, евангеліе и кинонконъ, что нынѣ.

δ'. Τοῦ ἁγίου Θεοπέμπτου ἐπισκόπου καὶ Θεωνᾶ μάρτυρος. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Ζωσίμου μοναχοῦ καὶ Ἀθανασίου, κομενταρησίου καὶ τῆς ὁσίας καὶ μακαρίας Συγκλητικῆς καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου καὶ ἡγουμένου.

ε΄. Ἄθλησις τῆς ἁγίας Ἀπολιναρίας. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Γρηγορίου τοῦ ἐν τῷ Ἀκρίτᾳ καὶ τοῦ ἁγίου Λουκιανοῦ, ἐπισκόπου καὶ Θωμᾶ, καὶ ἡ παραμονὴ τῶν φώτων. Ἑσπέρας μετὰ τὸ γενέσθαι τὰ γ΄ ἀντίφωνα τὰ μικρὰ γίνεται εὐχὴ συναπτὴ μετα τῶν αἰτήσεων καὶ ἀνέρχονται τὰ ἀναγνώσματα ὑποτεταγμένα τὸ α΄ Γενέσεως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς, τὸ β΄ τῆς Ἐξόδου· Εἶπε Κύριος πρὸς Μωυσῆν, τὸ γ΄ τῆς Ἐξόδου· Ἐξῆρε Μωυσῆς τοὺς υἱοὺς, καὶ λέγουσιν οἱ ψάλται τροπάριον ἦχος πλ. β΄· Ἐπεφάνης ἐν τῷ κόσμῳ. [л. 72) Τοῦτο δὲ λέγουσι γ΄ καὶ γ΄ στίχους ἐκ τοῦ ξς΄ ψαλμοῦ, στίχος· Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς, στίχος β΄· Ἐξομολογησάσθωσάν σοι λαοὶ, ὁ Θεός, στίχος γ΄· Ἐξομολογησάσθωσάν σοι καὶ κατὰ στίχους δέχεται ὁ λαὸς ἀπὸ τό· Φιλάνθρωπε δόξα σοι. Καὶ δοξάζει καὶ λέγει μίαν περισσὴν, καὶ εἶθ' οὕτως ἀνέρχεται ἀνάγνωσμα δ΄ Ἰησοῦ τοῦ Ναβῆ· Εἶπεν ὁ Κύριος πρὸς Ἰησοῦν, ἀνάγνωσμα ε΄ Βασιλειῶν δ΄· Εἶπεν Ἠλίας τῷ Ἐλισαιὲ κάθου, ἀνάγνωσμα ς΄ Βασιλειῶν δ΄· Παρεγένετο Νεεμὰν ἄρχων Συρίας. Οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος πλ. β΄· Ἁμαρτωλοῖς καὶ τελώναις [об.), στίχος α΄· Ὁ Κύριος ἐβασίλευσεν, στίχος β΄· Ἐπῆραν οἱ ποταμοὶ, στίχος γ΄· Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης καὶ δοξάζει καὶ λέγει πρισσὴν, καὶ εὐθὺς ἀνέρχεται ἀνάγνωσμα ζ΄ Ἡσαΐου· Τάδε λέγει Κύριος λούσασθε. Δεῖ δὲ εἰδέναι ὅτι μέχρι τούτου ἀναγινώσκομεν, μὴ εἰσερχομένου τοῦ πατριάρχου ἐκ τοῦ παλατίου, ἐὰν δὲ εἰσέλθῃ καὶ παραγίνεται τοῦ μὴ ὑποστρέψαι ἀναγινώσκονται καὶ ἕτερα ἀναγνώσματα. Ἀνάγνωσμα η΄ Γενέσεως· Ἀναβλέψας Ἰακὼβ, εἶδε παρεμβολὴν, [л. 73) ἀνάγνωσμα θ΄ τῆς Ἐξόδου· Κατέβη ἡ θυγάτηρ Φαραὼ, καὶ εὐθὺς προκείμενον ἦχος βαρὺς· Ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς, στίχος· Ὁ ποιμένων τὸν Ἰσραὴλ πρόσχες, ἀνάγνωσμα ι΄ Κριτῶν· Εἶπεν Ἠλίας πρὸς τὸν λαὸν, ἀνάγνωσμα ιβ΄ Βασιλειῶν γ΄· Εἶπον οἱ ἄνδρες τῆς πόλεως Ἱεριχὼ. Χρὴ προσθῆσαι τὴν δευτέραν εἴσοδον τοῦ πατριάρχου, καὶ ὅτε δοθῇ καιρὸς τῶν ἀντιφώνων, γίνεται εὐχὴ, λέγονται ἀντίφωνα γ΄· τὸ α΄ ψαλμὸς κς΄, [об.) Βοήθησόν με, τὸ β΄ ψαλμὸς κη΄, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ γ΄ ψαλμὸς ριγ΄, Ἀλληλούια τριπλοῦν. Προκείμενον ἦχος γ΄· Κύριος φωτισμός μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. καὶ γίνεται ἡ καθέδρα τῶν ἱερέων. Και εἰ μὲν ἐστὶ νηστεία καὶ μέλει γίνεσθαι προσκομιδὴ, εὐθὺς ἀναγινώσκεται ὁ ἀπόστολος πρὸς Κορινθίους α΄· Ἀδελφοὶ, ἐλεύθερος ὢν ἐκ πάντων. Ἀλληλούια ἦχος β΄, στίχος α΄· Ἐξηρεύξατο ἡ καρδία μου, στίχος β΄. Ἡ γλῶσσά μου κάλαμος γραμματέως. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ς΄· Ἐν ἔτει πεντεκαιδεκάτῳ. Κοινω-

νικόν· Αἰνεῖτε τὸν Κύριον. Ἐν δὲ τῷ τέλει τῆς λειτουργίας ὁ διάκονος οὐκ ἀπολύει τὸν λαόν, ἀλλ' ἀντὶ τοῦ· Ἐν εἰρήνῃ προέλθωμεν, δίδοται Σοφία, [π. 74) καὶ ἐπιτίθησιν ὁ ἀρχιδιάκονος τὸ ὠμοφόριον τῷ ἀρχιεπισκόπῳ ἔμπροσθεν εἰς τὸ ἐσώτερον τῆς ἁγίας τραπέζης σὺν (μετὰ?) διακόνων καὶ μανουαλίων καὶ θυμιατοῦ, καὶ ποιεῖ ὁ ἀρχιδιάκονος εὐχὴν συναπτὴν, καὶ οὕτως εὐλογεῖ ὁ ἀρχιεπίσκοπος τὰ ὕδατα, καὶ μετὰ τὸ εὐλογῆσαι ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος πλ. δ'· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, καὶ ψάλλοντες αὐτὸ εἰσερχόμεθα σὺν τῷ πατριάρχῃ εἰς τὸν λουτῆρα, καὶ ποιεῖ ὁ ἀρχιδιάκονος εὐχὴν συναπτὴν καὶ ὁ πατριάρχης ποιεῖ τὴν τοῦ ὕδατος εὐχὴν καὶ εὐλογεῖ τὰ ὕδατα καὶ εὐθὺς γίνονται ἀναγνώσματα γ'· τὸ α' Ἡσαΐου· Τάδε λέγει Κύριος, εὐφράνθητι ἔρημος διψῶσα, [οϐ.) ἀνάγνωσμα β' Ἡσαΐου· Τάδε λέγει Κύριος, οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, ἀνάγνωσμα γ' Ἡσαΐου· Τάδε λέγει Κύριος, ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης. Καὶ μετὰ ταῦτα ψάλλοντες τὸ αὐτὸ τροπάριον εἰσερχόμεθα εἰς τὸν ναὸν, καὶ λέγει ὁ διάκονος τὸ· Ἐν εἰρήνῃ προέλθωμεν. Εἰ δὲ φθάσῃ ἐν σαββάτῳ ἢ κυριακῇ ἡ παραμονή, εἰσέρχονται δύο εὐαγγέλια, καὶ τὸ ἓν τίθεται ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ τὸ ἄλλο τίθη(σιν) ὁ ἀρχιερεὺς εἰς τὸ σύνθρονον, καὶ οὕτως γίνεται πᾶσα ἡ ἀκολουθία, ὡς προεγράφη. Ἀπὸ δὲ τοῦ Τρισαγίου λέγεται προφητεία Ἡσαΐου· Τάδε λέγει Κύριος, καιρῷ δεκτῷ, καὶ οὕτως τὸ προκείμενον ἦχος γ'· Κύριος φωτισμός μου, [π. 75) στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ ἀπόστολος καὶ τό· Ἀλληλούια, τὸ εὐαγγέλιον καὶ ἡ ἐκτενής, καὶ οὕτως πᾶσα ἡ ἀκολουθία τοῦ ἁγιασμοῦ, καθὼς προεγράφη· ἡ δὲ νηστεία γίνεται τῇ παρελθούσῃ παρασκευῇ, καὶ εἰς τὴν λειτουργίαν λέγεται προκείμενον ἦχος βαρύς· Ὁ Θεὸς ἀντιλήπτωρ μου, στίχος· Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν. Ὁ ἀπόστολος πρὸς Τιμόθεον α'· Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην. Ἀλληλούια ἦχος πλ. δ', στίχος· Κύριε ὁ Θεὸς τῶν δυνάμεων ἐπίστρεψον. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ζ'· Τῷ καιρῷ ἐκείνῳ παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

ς'. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ βάπτισις. [οϐ.) Εἰς τὸν ὄρθρον εἰς τὸν Ν' λέγεται τροπάριον ἦχος δ'· Σήμερον Τριὰς ἐν μονάδι θεότητος ἔδειξεν ἡμῖν τὴν αὐτῆς ἀγαθότητα. Πατὴρ γὰρ ἠκούετο οὐρανόθεν φθεγγόμενος, Υἱὸς ἐγνωρίζετο ἐν σαρκὶ βαπτιζόμενος, Πνεύματος ἁγίου ἐδηλοῦτο παρουσία, ἣν ἐκ πίστεως λαβόντες, πάντες κράζομεν συμφώνως· ὁ ἐπιφανεὶς Θεὸς ἡμῶν δόξα σοι. Ἡ ἀκολουθία τῶν νεοφωτίστων καθὰ προτέτακται εἰς τὴν ἁγίαν Ν' καὶ λοιπὸν

τὰ ἀντίφωνα τῆς λειτουργίας· τὸ α' (ψαλμὸς) ριγ'· Ἐν ἐξόδῳ Ἰσραήλ, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, ἀντίφωνον β' ψαλμὸς ριδ'· Ἠγάπησα ὅτι εἰσακούσεταί, Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ, καὶ εἰς τὸ δόξα Ὁ μονογενὴς Υἱός, ἀντίφωνον γ' ψαλμὸς ριζ'· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, [л. 76) καὶ μετὰ τοῦτο τροπάριον ἦχος α'· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Καὶ εἰσερχομένης τῆς εἰσόδου, στίχος· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, τροπάριον ἦχος δ'· Σήμερον Τριὰς ἐν μονάδι. Ἀντὶ δὲ τοῦ Τρισαγίου λέγομεν· Ὅσοι εἰς Χριστὸν. Προκείμενον, апостолъ [об.) аллилуарій, евангеліе и причастенъ, что нынѣ. Вечеромъ (Εἰς τὸ λυχνικὸν) прокименъ большой: „Богъ нашъ на небеси“ съ стихами, что нынѣ.

ζ'. Σύναξις τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ, καὶ τοῦ ἁγίου ἀποστόλου Ἀπολλῶ. Εἰς τὸν Ν' τροπάριον ἦχος β'· Πρόδρομε προφῆτα καὶ τῆς ἐρήμου πολίτα, ὁ τῆς θείας τοῦ Πατρὸς ἀκούσας φωνῆς, ὁ τὸν Υἱὸν καὶ Κύριον βαπτίσαι [л. 77) καταξιωθείς, ὁ τοῦ ἁγίου Πνεύματος αὐτόπτης γενόμενος καὶ πᾶσι κηρύξας μετανοίας ἄφεσιν, καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὴν ἴασιν αἴτησαι διὰ τῶν ὑδάτων καὶ τῶν πρεσβειῶν σου, ἵνα λάβωμεν παρὰ Κυρίου τὸ μέγα ἔλεος. Прокименъ, апостолъ, аллилуарій и евангеліе, что нынѣ. Коинωνικόν· Ἀγαλλιᾶσθε.

Σαββάτῳ μετὰ τὰ φῶτα. Апостолъ и евангеліе, что нынѣ.

[об.) Κυριακῇ μετὰ τὰ φῶτα. Апостолъ и евангеліе что нынѣ. Ἀλληλούια ἦχος δ'· Ἴδοσάν σε ὕδατα... Коинωνικόν· Ἀγαλλιᾶσθε.

η'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοφίλου διακόνου καὶ Ἑλλαδίου λαϊκοῦ καὶ Εὐγενίου καὶ τῆς ἁγίας Τατιανῆς καὶ Δομνίκης.

θ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πολυεύκτου καὶ τοῦ μεγάλου σεισμοῦ ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ βασιλέων.

ι'. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Νύσσης ἐπισκόπου, [л. 78) ἀδελφοῦ τοῦ μεγάλου Βασιλείου. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Δομετιανοῦ ἐπισκόπου Μελιτινῆς, τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας. Τροπάριον ἦχος δ'· Ὁ Θεὸς τῶν πατέρων. Προκείμενον ἦχος πλ. β' Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι ὧν. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους κεφ. ρλ'. Ἀδελφοί, ἐν ἑνὶ ἑκάστῳ ἡμῶν. Ἀλληλούια ἦχος β', στίχος· Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφαλ. λβ'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς. Коинωνικόν· Ἀγαλλιᾶσθε.

ια'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πέτρου τοῦ Ἀβσελάμου. [οδ.) Οὗτος νέος ὑπῆρχε τῇ ἡλικίᾳ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ κοινοβιάρχου πλησίον τοῦ Ταύρου καὶ τῶν ἁγίων Μάρκου καὶ Ἀγαπίου. Ζήτει τὴν ἀκολουθίαν τοῦ ἁγίου Νικολάου δεκεμβρίου ς'.

ιβ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Τατιανῆς ἐπὶ βασιλέως Ἀλεξάνδρου ἐκ πόλεως Ῥώμης, διακονίσσης τὴν τάξιν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μεορτίου. Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ βασιλέως. Καὶ τοῦ ἁγίου ἀποστόλου Μάρκου, ὁ καὶ Ἰωάννης κληθείς, καὶ τῆς ἁγίας μάρτυρος Θεοδώρας.

ιγ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου ἐπὶ Λικιννίου τοῦ βασιλέως καὶ τῶν ἐν τῇ Ραίθοῦ ἀναιρεθέντων ὁμολογητῶν.

ιδ'. Μνήμη τῶν ὁσίων πατέρων τῶν ἐν Σινᾷ τῷ ὄρει τελειωθέντων, ὧν ὅσιος Νεῖλος [π. 79) τὸν βίον συνεγράψατο διηγούμενος καὶ τὴν αἰχμαλωσίαν Θεοδούλου υἱοῦ αὐτοῦ Παύλου Ἰωάννου καὶ τῶν σὺν αὐτοῖς, ὧν ὁ ἀριθμὸς π', καὶ τοῦ ἁγίου Παφνουτίου καὶ τοῦ ὁσίου Στεφάνου, τοῦ κτίσαντος τὴν μονὴν τοῦ Χηνολάκκου. Προκείμενον ἦχος βαρὺς· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος, στίχος· Τί ἀντοποδώσω τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν. Ἀλληλούια ἦχος δ', Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ιγ' Οἱ μακαρισμοί. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

ιε'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Θηβαίου ἐν τοῖς χρόνοις Δεκίου καὶ Βαλεριανοῦ τῶν διωκτῶν. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Ἰωάννου, ὁποῦ (εἶχε) τὸ χρυσοῦν εὐαγγέλιον [οδ.), υἱοῦ Εὐτροπίου τοῦ συγκλητικοῦ, καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Χριστίνης ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Δομετιανοῦ κόμητος τῆς Κουρικιοτῶν πόλεως. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καρτερίου καὶ Βαβύλου ἐπισκόπου Ἀντιοχείας καὶ τῶν νηπίων καὶ τῶν ἁγίων μαρτύρων Ἐλπιδίου καὶ Δάνακτος ἀναγνώστου καὶ Ἑλένης, καὶ μνήμη Λέοντος τοῦ μεγάλου βασιλέως.

ις'. Τοῦ ἁγίου ἀποστόλου Πέτρου, ἐν ᾗ προσκυνεῖται ἡ διὰ Χριστὸν ἐπιτεθεῖσα αὐτῷ ἄλυσις ἐν τῷ ναῷ αὐτοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πανσοφίου. Οὗτος ὁ γενναῖος στρατιώτης τοῦ Χριστοῦ, υἱὸς μὲν ὑπῆρχεν εὐγενῶν καὶ θεοφίλων γονέων. Καὶ τοῦ ἁγίου μάρτυρος Δάνακτος, καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Σπευσίππου, Ἐλασίππου καὶ Βελεσίππου καὶ Νεονίλλης [π. 80) μάμμης αὐτῶν, καὶ τῆς ἁγίας μάρτυρος Ἄννης. Καὶ κατέρχεται ἀσκητή-

ριον· καὶ οὕτως ποιοῦμεν τὸν ὄρθρον· Εἰς τὸν Ν' τροπάριον ἦχος δ'· Τὴν Ῥώμην μὴ λιπών. Καὶ περὶ ὥραν β' ἐξέρχεται ἡ λιτὴ ἀπὸ τῆς ἐκκλησίας, ψαλλομένου τοῦ αὐτοῦ τροπαρίου, καὶ εἰσέρχεται εἰς τὸν ἅγιον Πέτρον, καὶ δαξάζουσιν οἱ ψάλται τὸ αὐτὸ τροπάριον. Ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ Τρισάγιον, τὸ προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Апостолъ, [об.) аллилуарій и евангеліе, что нынѣ. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

ιζ'. Ἄθλησις τῶν ἁγίων γ' παίδων Σπευσίππου, Ἐλασίππου καὶ Νεονίλλης τῆς μάμμης αὐτῶν καὶ τῶν λοιπῶν μαθητῶν τῶν ἐν Καππαδοκίᾳ, καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου, Αἰγύπτιος τῷ γένει, καὶ τοῦ ἁγίου ἀποστόλου Ὀνησιφόρου. Τροπάριον ἦχος δ'· Τὸν ζηλωτὴν Ἠλίαν. [л. 81) Прокименъ, апостолъ, евангеліе и причастенъ преподобному.

ιη'. Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Ἀλεξανδρείας Ἀθανασίου καὶ Κυρίλλου. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας Εὐσεβίας τῆς μετονομασθείσης Ξένης. Тропарь, [об.) евангеліе и апостолъ святителямъ, что выше.

ιθ'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδότου ἐπισκόπου Κυρηνίας τῆς Κύπρου καὶ Λουκιανοῦ καὶ Παύλης καὶ τῆς συνοδίας αὐτῶν καὶ Εὐφρασίου μάρτυρος.

κ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Οὐαλεριανοῦ, Κανδίδου, Ἀκύλα καὶ Εὐγενίου ἐν Τραπεζοῦντι ἀθλησάντων. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων [л. 82) Βάσσου καὶ Εὐσεβίου, Εὐτυχίου καὶ Βασιλείδους ἐπὶ Διοκλητιανοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ἰννᾶ, Ῥημᾶ, Πιννᾶ, καὶ μνήμη τοῦ ὁσίου πατρὸς Εὐθυμίου πρεσβυτέρου γενομένου. Τροπάριον εἰς τὸν Ν' ἦχος α'· Εὐφραίνου ἔρημος. Προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεὸς. Ὁ ἀπόστολος πρὸς Κορινθίους β' κεφ. ρν'· Ἀδελφοὶ, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς. Ἀλληλούια ἦχος δ', [об.) στίχος· Δίκαιος ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρια'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός. Κοινωνικὸν· Εἰς μνημόσυνον αἰώνιον.

κα' Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νεοφύτου ἐκ Νικαίας τῆς πόλεως Βιθυνῶν ἐπαρχίας, Θεοδώρου καὶ Φλωρεντίου· Γονέων χριστιανῶν ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Ζωσίμου ἐπισκόπου Συρακούσης τῆς Σικελῶν νήσου· Οὗτος γονέων ἦν τῶν

ἐν αὐταρκεία βιούντων. Καὶ τοῦ ὁσίου Μακαρίου καὶ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἁγνῆς.

κβ'. Τοῦ ἁγίου ἀποστόλου Τιμοθέου, πρωτοεπισκόπου γενομένου Ἐφέσου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Βικεντίου καὶ Ἀναστασίου Πέρσου. [л. 83) Εἰς τὸν Ν' τροπάριον ἦχος δ' Χρηστότητα ἐκδιδαχθείς. Προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεός. Ὁ ἀπόστολος πρὸς Τιμόθεον κεφ. ρη'· Τέκνον Τιμόθεε, χάριν ἔχω τῷ Θεῷ. Ἀλληλούια ἦχος α', στίχος· Σωτηρία τῶν δικαίων. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ 4γ'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὅστις ὁμολογήσει. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κγ'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας καὶ Ἀγαθαγγέλου καὶ τοῦ ἁγίου Θεοδώρου τοῦ στεφανίτου. Τροπάριον ἦχος δ' Κλῆμα ὁσιότητος. [об.) Προκείμενον ἦχος δ' Τοῖς ἁγίοις τοῖς ἐν, στίχος· Προωρώμην τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους κεφ. ρλε'. Ἀδελφοί, ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς. Ἀλληλούια ἦχος δ', Δίκαιος ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ματθαῖον κέφ. ριγ'· Τῷ καιρῷ ἐκείνῳ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασιν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κδ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Παύλου καὶ Παυσιρίου καὶ Θεοδοτίωνος ἐν Κλεοπατρίδι μαρτυρησάντων ἐπὶ Διοκλητιανοῦ, καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἑρμογένους καὶ Φιλήμονος [л. 84) ἐπισκόπου Καρπάθου καὶ τῶν ἁγίων μαρτύρων γυναικῶν Χρυσοπλόκης καὶ Θεοδούλης.

κε'. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Ναζιανζοῦ. Τροπάριον ἦχος α'· Ὁ ποιμενικὸς αὐλός. Прокименъ, апостолъ и аллилуарій, что нынѣ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. κγ' οἱ μακαρισμοί. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κς'. Τοῦ ἁγίου Ξενοφῶντος καὶ τῆς συμβίου καὶ τῶν τέκνων αὐτοῦ Ἀρκαδίου καὶ Ἰωάννου. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Δομετίου καὶ Παφνουτίου καὶ τοῦ γενομένου σεισμοῦ ἐν τῷ Ἐξακιονίῳ. Ἕωθεν μέντοι συντρέχομεν ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου. Μετὰ τὸν ὄρθρον κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος πλ. α'· Ἀνέτειλας, Κύριε, τὴν ἡμέραν, ἐν ᾗ δικαίως ἐπαίδευσας ἡμᾶς, καὶ μετὰ φόβου πάντες σοι προσπίπτομεν λέγοντες· Ἅγιε, ἅγιε, ἅγιε Δέσποτα Σωτὴρ ἡμῶν, ἐλέησον ἡμᾶς. Καὶ ἐν

τῷ [л. 85) φόρῳ δοξάζουσιν οἱ ψάλται καὶ ὁ διάκονος τὸ μέγα· Κύριε ἐλέησον καὶ οὕτως πάλιν ἄρχονται τῆς λιτῆς καὶ μετὰ τὸ εἰσελθεῖν τὴν λιτὴν ἐν τῷ Ἑξακιονίῳ, δοξάζουσι κἀκεῖσε οἱ ψάλται καὶ εὐθὺς ἄρχεται τὸ Τρισάγιον. Προκείμενον ἦχος βαρὺς· Κύριος ἰσχὺν τῷ λαῷ, στίχος· Ἐνέγκατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὃν γὰρ ἀγαπᾷ Κύριος. Ἀλληλούια ἦχος πλ. α', στίχος· Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ξθ'. Τῷ καιρῷ ἐκείνῳ, ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον. Κοινωνικόν· Ποτήριον σωτηρίου.

κζ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνανίου πρεσβυτέρου καὶ Πέτρου κλειδοφύλακος καὶ ἑτέρων ζ' στρατιωτῶν, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Χρυσοστόμου τοῦ λειψάνου αὐτοῦ [об.) ἡ ἐπάνοδος ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Πολυχρονίου, Βαρδανίου καὶ Ἑρμογένους. Ζήτει τὴν ἀκολουθίαν ιγ' τοῦ Νοεμβριού.

κη'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραίμ. Οὗτος ἦν ἐξ ἀνατολῶν σύρος τῷ γένει γονέων εὐσεβῶν. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου τοῦ ἡσυχαστοῦ, καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πλουτοδώρου. Τροπάριον ἦχος α'· Μετανοίας θεμέλιος ὑπογραμμὸς κατανύξεως προτροπὴ καὶ παράκλησις πνευματικῆς τελειώσεως, ὁ ἰσάγγελος βίος σου ὑπάρχει, μακάριε, ἐν προσευχαῖς καὶ νηστείαις καὶ δάκρυσι, πάτερ Ἐφραίμ, πρέσβευε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ζήτει τὴν ἀκολουθίαν μηνὶ τῷ αὐτῷ ιζ τοῦ ἁγίου Ἀντωνίου.

κθ'. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου [л. 86) τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Σαρβήλου ἱερέως καὶ τῆς ἀδελφῆς αὐτοῦ Βαβαίας παθόντων ἐν Ἐδέσσῳ. Ζήτει τὴν ἀκολουθίαν Δεκεμβρίου κ'.

λ'. Τοῦ ἁγίου Βαρσιμαίου ἐπισκόπου Ἐδέσσης, τοῦ φωτίσαντος Σάρβηλον τὸν ἱερέα τῶν Ἑλλήνων. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Ἱππολύτου ἐπισκόπου Ῥώμης, καὶ ἄθλησις τῶν ἁγίων ις' μαρτύρων καὶ τοῦ ἁγίου μάρτυρος Περγήτου καὶ Θεοφίλου τοῦ νέου.

λα'. Τῶν ἁγίων μαρτύρων καὶ θαυματουργῶν Κύρου καὶ Ἰ(ω)άννου καὶ τῶν γ' παρθένων Θεοδότης, Θεοκτίστης, Εὐδοξίας καὶ τῆς τούτων μητρὸς Ἀθανασίας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Οὐικτωρίνου, Οὐίκτωρος, Νικηφόρου, Κλαυδιανοῦ, Διοδώρου, Σαραπίωνος, Παππίας ἐπὶ Δεκίου βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας μάρτυρος Τρυφαίνης. Αὕτη ἦν ἐπὶ Καισαρίου [об.) ἡγεμόνος. Τροπάριον ἦχος

πλ. α΄ Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος πρὸς Κορινθίους α΄· Ἀδελφοὶ, ἑκάστῳ δίδοται. Ἀλληλούια ἦχος δ΄, Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. οθ΄. Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

Μὴν Φευρουάριος ἡμέρας ἔχων κή, ἡ ἡμέρα ἔχει ὥρας ια΄ καὶ ἡ νὺξ ἔχει ὥρας ιγ΄.

α΄ Ἄθλησις τοῦ ἁγίου μάρτυρος Τρύφωνος. Οὗτος ὑπῆρχεν ἐκ Λαμψάκου κώμης τῆς Φρυγῶν ἐπαρχίας ἐπὶ τῆς βασιλείας Γορδιανοῦ ἐν [л. 87) τῷ σϟε΄ ἔτει ἀπὸ τῆς Αὐγούστου βασιλείας, δυετὴς οὖν γενόμενος καὶ χῆνας βόσκων ἐπλήσθη Πνεύματος ἁγίου καὶ ἦν θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ δαίμονας ἀπελαύνων. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Βενδιμιανοῦ, μαθητοῦ τοῦ ὁσίου Αὐξεντίου. Τροπάριον ἦχος γ΄· Ἀθλοφόρε, ἅγιε πρέσβευε. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους κεφ. ξη΄· Ἀδελφοὶ, τοῖς ἀγαπῶσι τὸν Θεὸν. Ἀλληλούια ἦχος δ΄, στίχος· Δίκαιος ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ριζ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν. (Κοινωνικόν)· Ἀγαλλιᾶσθε.

β΄. Ἡ ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἁγίας μάρτυρος Περπετούας καὶ τῶν σὺν αὐτῇ [об.) Σατύρου, Ῥευκάτου, Σατορνίλου, Σεκούνδου καὶ Φιλικιτάτης ἐκ πόλεως Θουβριτανῶν τῆς Ἀφρικῆς ἐν Βλαχέρναις.

Ἑσπέρας εἰς τὴν παραμονὴν κατέρχεται ὁ πατριάρχης καὶ ἐν τοῖς Χαλκοπρατείοις, ὡς προσυνήθη καὶ μετὰ γ΄ ἀντίφωνα τὰ μικρὰ γίνεται εὐχὴ μετὰ τῶν αἰτήσεων καὶ ἀναγνώσματα γ΄ τὰ προγραφέντα εἰς τὸ γενέσιον τῆς ἁγίας Θεοτόκου, οἱ ψάλται τροπάριον ἦχος α΄· Χαῖρε κεχαριτωμένη, Θεοτόκε παρθένε. Τοῦτο δὲ λέγεται καὶ εἰς τὸν Ν΄ καὶ μετὰ τὴν ἀπόλυσιν προανάγνωσις. Εἰς δὲ τὴν μεγάλην ἐκκλησίαν εἰσερχόμεθα ἔσω καὶ εἰς ὃ κελεύει ὁ πατριάρχης ἀντίφωνον κατέρχεται καὶ εἰσέρχεται εὐχὴ συναπτὴ καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ (л. 88) ἄμβωνι τὸ αὐτὸ τροπάριον τὸ· Χαῖρε κεχαριτωμένη καὶ δοξάζουσιν ἐν τῷ φόρῳ, καὶ ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον καὶ πάλιν τὸ αὐτὸ τροπάριον. Ἐν Βλαχέρναις ὁμοίως δοξάζουσιν, ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ Τρισάγιον. Προκείμενον ἦχος γ΄· Μεγαλύνει ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρξς΄· Ἀδελφοὶ, χωρὶς πάσης ἀντιλογίας. Ἀλληλούια στίχος α΄, Νῦν ἀπολύεις τὸν δοῦ-

λόν σου, στίχος β΄· Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. γ΄. Τῷ καιρῷ ἐκείνῳ ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον. Κοινωνικόν· Ποτήριον σωτηρίου.

γ΄. Μνήμη τοῦ δικαίου Συμεών, τοῦ δεξαμένου [οβ.) τὸν Κύριον καὶ Ἄννης τῆς προφήτιδος. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Ἀδριανοῦ τοῦ ἐν Καισαρείᾳ. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ρξθ΄· Ἀδελφοί Χριστὸς παραγενόμενος ἀρχιερεύς. Ἀλληλούια ἦχος πλ. α΄, Φῶς ἀνέτειλεν. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. γ΄ Τῷ καιρῷ ἐκείνῳ ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ. Κοινωνικόν· Ἀγαλλιᾶσθε. Ἐξαποστειλάριον· Τῶν οὐρανίων ἀψίδων κατεμετρήσας τῇ χειρί.

δ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παππίας, Διοδώρου [π. 89) καὶ Κλαυδιανοῦ. Οὗτοι ὑπῆρχον ἐκ τῆς Ἀτταλέων πόλεως τῆς Παμφυλῶν ἐπαρχίας ἐπὶ Δεκίου βασιλέως.

ε΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβραμίου τοῦ Πέρσου καὶ τῆς ἁγίας Ἀγάθης.

ς΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ ἐπὶ τῆς βασιλείας Νουμεριανοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Φαύστης καὶ τῶν σὺν αὐτῇ Εὐλασίου ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Βαρσανουφίου, καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Φαύστου καὶ Βασιλείου τοῦ ἐν τῷ Δαρείῳ καὶ Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ.

ζ΄. Ἄθλησις τῶν ἁγίων γ΄ μαρτύρων τῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων. Οὗτοι ὑπῆρχον ἱκέται τῶν δ΄ προδικτόρων, ὑφ' ὧν κατεσχέθησαν ἐκ προστάγματος Διοκλητιανοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Παρθενίου ἐπισκόπου Λαμψάκου. Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σαραπίωνος [οβ.) τῆς Κύπρου καὶ τοῦ ἁγίου μάρτυρος Θεοπέμπτου καὶ τῆς συνοδίας αὐτοῦ.

η΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρθας καὶ Μαρίας ἀδελφῶν καὶ Λυκαρίωνος μανάζοντος. Αὗται ὑπῆρχον ἀδελφαὶ νόμιμοι παρθενίαν ἀσκοῦσαι, τοῦ οὖν ἡγεμόνος διερχομένου δι' ἐκείνης τῆς ὁδοῦ ἔνθα κατέμενον, αὗται ἄνωθεν διὰ τῆς θυρίδος παρακύψασαι ἐφάνησαν αὐτῷ χριστιανὰς ἑαυτὰς ἀποκαλοῦσαι. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλαδέλφου καὶ Πολυκάρπου, καὶ μνήμη τοῦ ἁγίου Μακαρίου ἐπισκόπου Πάφου τῆς Κύπρου καὶ τῆς ὁσίας Θεοδοσίας.

θ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικηφόρου. Οὗτος ὑπῆρχεν ἐπὶ Οὐαλεριανοῦ καὶ Γαλλιηνοῦ τῶν βασιλέων, λαϊκὸς τῇ τάξει. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Φιλαγρίου ἐπισκόπου τῆς Κύπρου καὶ Παγκρατίου ἐπισκόπου τοῦ Ταυρομενίου.

ι΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Χαραλάμπους [π. 90) ἐπισκόπου Μαγνησίας, Πορφυρίου, Δαύκτου, Θεοκτίστου καὶ τῶν ἁγίων γ΄ γυναικῶν, καὶ μνήμη Ἀναστασίου ἐπισκόπου Ἱεροσολύμων.

ια΄. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου ἐπισκόπου Σεβαστείας καὶ τῶν σὺν αὐτῷ γυναικῶν, καὶ ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Ζαχαρίου τοῦ πατρὸς τοῦ Προδρόμου καὶ βαπτιστοῦ. Προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεὸς. Ὁ ἀπόστολος πρὸς Ἑβραίους κεφ. ϛξζ΄. Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν. Ἀλληλούια ἦχος δ΄, Δίκαιος ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. λβ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἔστε τὸ φῶς. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

[οϐ.) ιβ΄. Μνήμη τῆς ἁγίας Μαρίας τῆς ἐπονομασθείσης Μαρίνου, πατέρα ἔχουσα Εὐγένιον. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πλωτίνου καὶ Σατουρνίνου καὶ Μελετίου πατριάρχου Ἀντιοχείας.

ιγ΄. Μνήμη τοῦ ὁσίου Μαρτινιανοῦ. Οὗτος ἦν ἀπὸ Καισαρείας τῆς Παλαιστίνης γονέων χριστιανῶν, ὅστις ἀπὸ ἐτῶν ιη΄ καταλιπὼν τὴν πόλιν, κατέλαβε τὴν ἔρημον. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκύλα καὶ Πρισκίλλης, οὓς μέμνηται Παῦλος ὁ ἀπόστολος, καὶ Εὐλογίου ἐπισκόπου Ἀλεξανδρείας.

ιδ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου τοῦ θαυματουργοῦ. Οὗτος ἦν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ βασιλέως ἐν τῷ λε΄ ἔτει τῆς βασιλείας αὐτοῦ. Καὶ τοῦ ἁγίου ἱερομάρτυρος Φιλίππου ἐπισκόπου Γάζης.

ιε΄. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ὀνησίμου, [π. 91) μαθητοῦ γενομένου τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, καὶ μνήμη τοῦ ὁσίου Παφνουτίου καὶ Εὐφροσύνης.

ις΄. Ἄθλησις τῶν ἁγίων τῶν ἐν Μαρτυροπόλει καὶ τοῦ ἁγίου Μαρουθᾶ τοῦ ἀνεγείραντος τὴν πόλιν ἐπ' ὀνόματι τῶν μαρτύρων, κλῆμα χώρας ἐστὶ Σοφανινῶν λεγομένον, κείμενον κατὰ ἀνατολὰς ἀναμέσον Ἀρμενίας καὶ Περσίδος. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παμφίλου, Οὐάλεντος, Παύλου, Πορφυρίου, Σελεύκου, Θεοδούλου, Ἰουλιανοῦ καὶ ε΄ Αἰγυπτίων Ἠλίας, Ἱερεμίας, Ἡσαΐας, Σαμουὴλ, Δανιὴλ. Εἰς τὸν Ν΄ τροπάριον ἦχος γ΄· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ δοξάζων τοὺς δοξάζοντάς σε διὰ γὰρ τῶν ἱκεσιῶν τῶν ἁγίων σου

μαρτύρων, ἐποίησας θαυμάσια ἀνεκδιήγητα καὶ ταῖς δεήσεσιν αὐτῶν ἔδειξας ἡμῖν μεγάλα καὶ ἀνεξιχνίαστα πρεσβείαις τῆς Θεοτόκου ἐπισυνάγαγε τοὺς ἀδελφούς [οϐ.) ἡμῶν ἐκ τῶν ἐθνῶν, μόνε φιλάνθρωπε. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος πρὸς Ἑβραίους. Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον. Ἀλληλούια ἦχος δ΄, στίχος· Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. Ν΄· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

ιζ΄. Μνήμη τοῦ ὁσίου μεγαλομάρτυρος Θεοδώρου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Αὐξιβίου ἐπισκόπου Κύπρου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοστηρίκτου καὶ τῆς ἁγίας μάρτυρος Μαριάμνης, ἀδελφῆς τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

ιη΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λέοντος [π. **92**) πάπα Ῥώμης καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ἀγαπητοῦ ἐπισκόπου Σιναίου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θωμᾶ καὶ Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ιθ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότου, καὶ Ἡσυχίου, καὶ Σωφρονίου ἐπισκόπου, καὶ τοῦ ἁγίου Τιμοθέου τοῦ ἐν Καισαρείᾳ.

κ΄. Τοῦ ἁγίου ἐπισκόπου Σαδὼχ καὶ μετ' αὐτοῦ τελειωθέντων ἁγίων τὸν ἀριθμὸν ρκη΄ ἐν Περσίδι ἐπὶ Σαβωρίου βασιλέως ἐν πόλει Ἀλήχης. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Ἀρχίππου, μαθητοῦ Παύλου τοῦ ἀποστόλου, καὶ τοῦ ἁγίου Λέοντος ἐπισκόπων γεγονότων, καὶ Κεντέου ἐπισκόπου Πισσιδείας, καὶ Εὐτροπίου, καὶ τοῦ ἁγίου Ἀνίνα, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀγάθωνος ἐπισκόπου Ῥώμης.

κα΄. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσταθίου τοῦ μεγάλου Ἀντιοχείας καὶ τοῦ ὁσίου καὶ θαυματουργοῦ Τιμοθέου. Τῇ αὐτῇ ἡμέρᾳ [οϐ.) ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀνθούσης, καὶ μνήμη Ἰωάννου πατριάρχου τοῦ ἀπὸ σχολαστικῶν καὶ Ζαχαρίου Ἱεροσολυμιτῶν.

κβ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Ἀθανασίου τοῦ Παυλοπετρίτου. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Τελεσφόρου ἐπισκόπου Ῥώμης καὶ Συνετοῦ μάρτυρος καὶ μνήμη Θωμᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

κγ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Παλυκάρπου ἐπισκόπου Σμύρνης. Οὗτος ἦν δεύτερος μετὰ τοὺς ἀποστόλους μαθητευθεὶς τῷ Θεολόγῳ. Ζήτει τὴν ἀκολουθίαν τῇ κυριακῇ τῆς β΄ ἑβδομάδος τῶν νηστειῶν χω-

ρὶς τοῦ ἀποστόλου καὶ τοῦ εὐαγγελίου. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους κεφ. ρλ΄· Ἀδελφοί, ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ρδ΄· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν.

[л. 93) κδ΄. Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου. Εἰς τὸν Ν' τροπάριον ἦχος δ΄· Ὡς θεῖον θυσαύρισμα ἐγκεκρυμμένον τῇ γῇ Χριστὸς ἀπεκάλυψε τὴν κεφαλήν σου ἡμῖν, προφῆτα καὶ Πρόδρομε, πάντες οὖν συνελθό(ν)τες ἐν τῇ ταύτης εὑρέσει ᾄσμασι θεηγόροις τὸν Σωτῆρα ὑμνοῦμεν τὸν σώζοντα ἡμῶν τὴν ζωὴν ταῖς ἱκεσίαις σου. Прокименъ, апостолъ и евангеліе, что нынѣ. [об.) Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

κε΄. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ταρασίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου μαρτυρήσαντος ἐν Δριζιπάρῳ τῆς Θράκης. Οὗτος ἦν ἐκ πόλεως τῶν κατὰ Ῥώμην ἐπὶ Μαξιμιανοῦ βασιλέως καὶ Τιβερίου ἡγεμόνος. Καὶ τοῦ ἁγίου Μαρκέλλου ἐπισκόπου Ἀπαμείας τῆς Κύπρου καὶ τοῦ ἁγίου ἱερομάρτυρος Ῥιγίνου καὶ Ἀντωνίου μάρτυρος.

κς΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πορφυρίου ἐπισκόπου Γάζης καὶ τῆς ἁγίας Ἀσθένης καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Προκοπίου τοῦ Δεκαπολίτου.

κζ΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θεοφόρου Μαρκιανοῦ.

[л. 94) κη΄. Του ἁγίου Νέστορος ἐπισκόπου ἐπὶ Δεκίου τοῦ βασιλέως καὶ Ποπλίου ἡγεμόνος ἐκ Πέργης τῆς Παμφυλίας συλληφθεὶς ὁμολογεῖ τὴν πίστιν παῤῥησίᾳ ἐπὶ τοῦ ἄρχοντος Εἰρηνάρχου, τοῦ δὲ ἄρχοντος τῷ ἡγεμόνι ἐμφανίσαντος τὴν ἀναφορὰν τοῦ βουλευτηρίου καὶ ἀναδιδάξαντος τὰ περὶ τῆς πίστεως αὐτοῦ, ἀναγκασθεὶς θῦσαι ἔφη· εἰ τὸ σῶμά μου πολυπλόκοις βασάνοις καὶ πυρὶ ἀναλώσεις οὐ μὴ ἀρνήσομαι τὸ ὄνομα τοῦ Θεοῦ μου, διὸ κρεμασθεὶς σπαθίζεται καὶ ἐρωτηθεὶς· τί ἄρα αἱρεῖται συνεῖναι τῷ Χριστῷ ἢ τοῖς ἕλλησιν, μετὰ χαρᾶς ἔφη· Μετὰ τοῦ Χριστοῦ μου καὶ εἰμὶ καὶ ἔσομαι. Σταυρῷ οὖν καθηλωθεὶς ἐνουθέτει τοὺς παρεστῶτας χριστιανοὺς λέγων· τεκνία μου, παρακαλῶ ὑμᾶς ἀνεξάρνητος ἔστω [об.) ἡ ὁμολογία ὑμῶν ἡ πρὸς τὸν Χριστὸν μὴ ἀρνησώμεθα τὸν δι' ἡμᾶς παθόντα, καὶ εὐξάμενος καὶ τὸ· Ἀμὴν ἀναπέμψας, ἀπέδωκε τὴν ψυχὴν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβερκίου καὶ τῶν ἁγίων ἀποστόλων Εὐβούλου καὶ Νυμφᾶς.

Μὴν Μάρτιος ἡμέρας ἔχων λ', ἡ ἡμέρα ἔχει ὥρας ιβ', ἡ νὺξ ὥρας ιβ'.

α'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Εὐδοκίας τῆς ἀπὸ Σαμαρειτῶν. Αὕτη ἦν ἐξ Ἡλιουπόλεως τῆς ἐπαρχίας Λιβανησίας Φοινίκης ἐπὶ τῆς βασιλείας Τραϊανοῦ. Καὶ τῶν ἁγίων μαρτύρων Νέστορος καὶ Τριβιμίου εἰς τὸ Συλλέον (?). Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Μαρκέλλου καὶ Ἀντωνίου, Σιλβέστρου καὶ Σωφρονίου καὶ τῆς ἁγίας Ἀντωνίνης.

β'. Ἄθλησις τοῦ ἁγίου Πορφυρίου ἐπισκόπου Γάζης. Οὗτος ὡρμεῖτο ἐκ τῆς [π. 95) Σαλονικῶν πόλεως πλουσίων καὶ εὐγενῶν γονέων υἱὸς ὑπάρχων, ἐπὶ τῆς βασιλείας Ὀνωρίου καὶ Ἀρκαδίου. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Τρωαδίου καὶ τῆς συνοδίας αὐτοῦ ἐπὶ Δεκίου μαρτυρησάντων καὶ τῆς ἁγίας μάρτυρος Εὐθαλίας, καὶ μνήμη Ἀνδρονίκου καὶ Ἀθανασίας καὶ τοῦ ἁγίου ἀποστόλου Παρμενᾶ ἑνὸς ζ' διακόνων.

γ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ συνστρατιῶται καὶ συγγενεῖς τοῦ ἁγίου μάρτυρος Θεοδώρου γενόμενοι. Ὁ μὲν Εὐτρόπιος καὶ Κλεόνικος ἐξάδελφοι αὐτοῦ, ὁ δὲ Βασιλίσκος ἀνεψιός, καππαδόκες τῷ γένει, καὶ οἱ μὲν γ' συνήθλησαν, καὶ οἱ δύο τελιοῦνται κατὰ τὴν ἡμέραν ταύτην, ὁ δὲ Βασιλίσκος ἐάθη ἐν τῷ δεσμωτηρίῳ, ὢν ἐν τῇ φρουρᾷ [οδ.) τελειοῦται καὶ αὐτὸς ὕστερον μηνὶ Μαΐῳ κβ'.

δ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἡραΐδος καὶ τῶν ἁγίων μαρτύρων Ἀρχελάου, Κυρίλλου καὶ Φωτίου καὶ τοῦ ὁσίου Γερασίμου.

ε'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου μοναχοῦ. Οὗτος ὁ ὅσιος νεώτερος ὢν παλαιὰν καὶ καινὴν πᾶσαν γραφὴν ἐκστηθίσας ἠξιώθη πνευματικῶν χαρισμάτων, ἐξέθετο δὲ λόγους περὶ νόμου πνευματικοῦ καὶ περὶ μετανοίας, καὶ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι, καὶ περὶ τοῦ ἁγίου βαπτίσματος, καὶ περὶ σώματος καὶ ψυχῆς, καὶ πρὸς Νικόλαον ἐπιστολήν, καὶ πρὸς σχολαστικὸν ἀντιβολὴν περὶ τελειότητος βίου, καὶ κατὰ Σαββατιανῶν καὶ κατὰ Μελχισεδεκιτῶν, [π. 96) ἀσκήσας ἐν τῷ μονήρει βίῳ ἔτη ξ' τελευτᾷ ὢν ἐτῶν ρ', ἐξ οὗ δὲ ἀπετάξατο οὐκ ἔπτυσε χαμαί. Ἀκρωμένου δὲ τοῦ Παφνουτίου, οὗτος διηγήσατο, ὅτι ἔλεγεν ἑαυτῷ διαμαχόμενος τῷ διαβόλῳ· τί θέλεις, κακόγηρε, ἰδοὺ καὶ οἴνου μετέλαβες καὶ ἐλαίου, λοιπὸν τί θέλεις ποιῆσαί σοι, πολυφάγε, κοιλιόδουλε, φιλήδονε ἑαυτόν. Οὗτος ἐνυβρίζων εἶτα ἔλεγε καὶ τῷ διαβόλῳ· συγγεγήρακάς μοι, διάβολε, ἐν διαφόροις ἀσθενίαις τοῦ σώματος, ἐπέρριψα ἑαυτὸν εἰς τὸ θέλημά σου καὶ οἴνου καὶ ἐλαίου μετέλαβον, μὴ καὶ ἁρμὴν τί σοι χρεωστῶ; οὐδὲν εὑρήσεις ἐν ἐμοὶ ὅτι θέλεις συλῆσαι. Καὶ

ἄλιν ὁ ὅσιος ὀνειδίζων ἑαυτὸν διελέγετο· δεῦρο λοιπόν, λῆρε, πολυφάγε, ψαγόγηρε ἕως πότε ἔσομαι μετὰ σοῦ. Διηγήσατο δὲ καὶ τοῦτο ὁ αὐτὸς Παφνούτιος· ὅτι μίᾳ ἡμερῶν καθεζομένου αὐτοῦ ὗαινα θηρίον, λαβοῦσα αὐτῆς τὸν σκύμνον τυφλὸν ὄντα, ἤνεγκε, τῇ κεφαλῇ κρούουσα τὴν θύραν τῆς αὐλῆς, εἰσῆλθε καὶ ῥίπτει ἑαυτὴν πρὸς τοὺς πόδας αὐτοῦ, καὶ προσάγει τὸν σκύμνον αὐτῆς τυφλὸν ὄντα, τοῦτον λαβὼν ὁ ἅγιος καὶ πτύσας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐπεύξατο καὶ παραχρῆμα ἀνέβλεψε, καὶ θηλάσασα αὐτὸν λαβοῦσα ἀπήνεγκεν. Τῇ ἑξῆς ἡμέρᾳ κώδιον μεγάλου προβάτου ἤνεγκε τῷ ἁγίῳ καὶ θεασάμενος τὸ κώδιον ἔλεγε τῇ ὑαίνῃ· οὐ λαμβάνω παρά σου. Ἡ δὲ ὕαινα, κλίνασα τὴν κεφαλὴν ἕως τοῦ ἐδάφους [π. 97) ἐγονυπέτει καὶ πρὸς τοῖς ποσὶ τοῦ ἁγίου ἐτίθη κώδιον. Αὐτὸς δὲ ἔλεγεν αὐτῇ· ἐὰν ἀπὸ τοῦ νῦν συνθῇ μηκέτι λυπεῖν πένητας, οὐ λαμβάνω τὸ κώδιον. Ἡ δὲ καὶ ἐπὶ τοῦτο ἔνευσεν τῇ κεφαλῇ. Ὡς δὲ καὶ ἡ μακαρία Μελανία εἶπεν, ὅτι παρὰ τοῦ ἁγίου ἐγὼ ἔλαβον τὸ κώδιον ξένην τῆς ὑαίνης. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐλογίου ἐν Παλαιστίνῃ, καὶ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Γρηγορίου Κωνσταντίας τῆς Κύπρου Ἀδριανοῦς.

ς'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κόνωνος τοῦ κηπουροῦ ἐπὶ Δεκίου βασιλέως ὁρμώμενος ἐκ Ναζαρὲτ τῆς Γαλιλαίας. Οὗτος, ἐλθὼν ἐν τόπῳ τινὶ λεγομένῳ Καρμενᾶ γαιηπονῶν καὶ ἐπαρδεύων κῆπον, συλλαμβάνεται ὑπὸ Ποπλίου ἡγεμόνος τῆς Παμφυλίας. Καὶ τοῦ ἁγίου [οβ.) μάρτυρος Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ. Οὗτος ἦν ἐπὶ χρόνοις τῶν ἁγίων ἀποστόλων ἀπὸ κώμης λεγομένης Βυδανῆς, ἀπεχούσης ιη' σταδίους τῆς Ἰσαύρων πόλεως, γονέων ὑπάρχων Νέστορος πατρὸς καὶ Νάδας μητρὸς προσαγορευομένων. Καὶ τῶν ἁγίων μαρτύρων καὶ ἱεραρχῶν τῶν ἐπισκοπησάντων ἐν Χερσῶνι· Βασιλέως, Εὐγενίου, Ἀγαθοδώρου καὶ Ἐλπιδίου, καὶ Αἰθερίου, καὶ Καπίτωνος, καὶ Ἐφραὶμ τῷ ις' ἔτει τῆς βασιλείας Διοκλητιανοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἡ εὕρεσις τοῦ τιμίου σταυροῦ, καὶ ἄθλησις τῶν ἁγίων μβ' μαρτύρων τῶν ἐν τῇ Συρίᾳ μαρτυρησάντων· Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Στρατηλάτου, Θεοφίλου καὶ τῆς συνοδίας αὐτῶν.

ζ'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρκαδίου, Νέστορος ἐπισκόπου Τριμυθοῦντος [π. 98) καὶ τῶν ἁγίων μαρτύρων Εὐβούλου καὶ Ἰουλιανοῦ ἰατροῦ, καὶ τοῦ ὁσίου Δομετίου.

η'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Διονυσίου καὶ τοῦ ἁγίου ἀποστόλου Ἑρμοῦ, οὓς μέμνηται Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, καὶ τοῦ ὁσίου καὶ ὁμολογητοῦ Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας.

θ'. Ἄθλησις τῶν ἁγίων μ' μαρτύρων τῶν ἐν Σεβαστείᾳ πόλει. Οὗτοι ὑπῆρχον ἐκ Καππαδοκίας ἐν νουμέρῳ ἐνὶ στρατευόμενοι ἐπὶ τῆς βασιλείας Λικινίου, ἡγεμονεύοντος Ἀγρικολάου, πλησίον τοῦ χαλκοῦ τετραπύλου. Λειτουργεῖ ἐκεῖ ὁ πατριάρχης καὶ εἰς τὴν εἴσοδον τῆς λειτουργίας τροπάριον ἦχος α'· Τὰς ἀλγηδόνας τῶν ἁγίων. [об.] Прокименъ, апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος δ', Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεὸς, στίχος· Ἔθου θλῖψιν ἐπὶ, κοινωνικόν· Ἀγαλλιᾶσθε.—Ταῦτα δὲ ἐὰν φθάσῃ ἐν σαββάτῳ ἢ κυριακῇ. Εἰ δὲ ἐν νηστίμῳ ἡμέρᾳ φθάσει εἰσοδεύει ὡς καθημέραν καὶ λέγονται τὰ δύο προκείμενα καὶ τὸ· Κατευθυνθήτω καὶ ποιεῖ ὁ διάκονος τὴν συναπτὴν, καὶ ὁ ἱερεὺς ποιεῖ τὴν εὐχὴν τοῦ Τρισαγίου καὶ λέγεται τὸ Τρισάγιον καθεξῆς ἕως τοῦ εὐαγγελίου, καθὼς προεγράφη. Χρὴ οὖν γινώσκειν ὅτι τελεία (λειτουργία) οὐ γίνεται, ἀλλὰ τὸ· Νῦν [л. 99) αἱ δυνάμεις, καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Παύλου ἐπισκόπου Πλουσιάδος.

ι'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κοδράτου, Διονυσίου, Κυπριανοῦ, Ἀνέκτου, Παύλου, Κρήσκεντος. Οὗτοι ὑπῆρχον ἐκ Κορίνθου ἐπὶ τῶν βασιλέων Δεκίου καὶ Οὐαλεριανοῦ, ἡγεμονεύοντος Ἰάσωνος τοῦ τῶν Ἑλλήνων ἔθνους. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου ἐπισκόπου Ἱεροσολύμων καὶ τοῦ ἁγίου Πουπλίου.

ια'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πιονίου πρεσβυτέρου. Οὗτος ἦν ἐπὶ Δεκίου βασιλέως πρεσβύτερος καθολικῆς ἐκκλησίας Σμύρνης.

ιβ'. Μνήμη τοῦ ἁγίου Γρηγορίου πάπα Ῥώμης. Οὗτος ἦν ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως, πρῶτον μὲν μοναχὸς ἡγούμενος γεγονὼς ἐν Ῥώμῃ τῆς ἐπονομαζομένης [об.) Κλειοσκαύρη, καλλιγράφος ἄκρος. Καὶ τοῦ ἁγίου Θεοφάνους τῆς Σιγριανῆς.

ιγ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σαβινιανοῦ. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ὑπάρχων ἐξ Ἑρμουπόλεως τῆς Αἰγύπτου, πρῶτος καὶ εὐγενὴς τῶν ἐκεῖσε ὑπαρχόντων. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀφρικανοῦ, Πουπλίου καὶ Τερεντίου ἐν τῷ Πετρίῳ, καὶ τοῦ ἁγίου μάρτυρος Σαβίνου καὶ τῆς συνοδίας αὐτοῦ, καὶ ἡ ἀνακομιδὴ τοῦ λειψάνου ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ιδ'. Ἄθλησις τοῦ ἁγίου Βενεδίκτου ἀρχιμανδρίτου Ῥώμης, ὅστις κατὰ τὴν Ἑλλάδα φωνὴν μεθερμηνεύεται εὐλογημένος. Οὗτος ἦν ἐκ τῆς Ῥωμαίων χώρας Νουρσίας λεγομένης. Οὗτος ἔτι νήπιος ὤν, γονεῖς καὶ οὐσίαν καταλείψας, ἐξῆλθε μετὰ τῆς τροφοῦ αὐτοῦ εἰς ἔρημον τόπον, κά-

κεῖ ἀσκοῦντος [л. 100) ἔλαβε τὴν χάριν τῶν ἰαμάτων. Τούτου ἡ τροφὸς μαγίδιον λαβοῦσα ἐν χρήσει πρὸς τὸ καθαρῖσαι σῖτον, πεσὸν ἀφ' ὕψους ἐκλάσθη εἰς δύο, ὅπερ λαβὼν καὶ εὐξάμενος ἀνεκατέστησε σῶον, ὅπερ μαγίδιον διέμεινε κρεμάμενον ἐν τῇ ἐκκλησίᾳ ἐπὶ ἔτη πολλά. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Σατουρνίνου, Περπετούας, Φιλήτης καὶ τῆς συνοδίας αὐτῶν ἐν Ῥώμῃ μαρτυρησάντων καὶ τῆς Χριστίνης τῆς Περσίδος.

ιε'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀγαπίου, Ἀλεξάνδρου, Διονυσίου, καὶ Ἀλεξάνδρου, καὶ Διονυσίου, Τιμολάου, Ῥωμύλου καὶ Πλησίου ἐπὶ Διοκλητιανοῦ βασιλέως. Καὶ ὁ μὲν Ἀγάπιος ἦν ἀπὸ Γάζης, Τιμόλαος δὲ ἐκ τοῦ Πόντου, Διονύσιος ἐκ Τριπόλεως τῆς Φοινίκης, Ῥώμυλος διάκονος ἦν τῆς Διοσπολιτῶν ἐκκλησίας, Πλήσιος δε καὶ δύο Ἀλέξανδροι ἀπὸ Αἰγύπτου. Οὗτοι δέσαντες ἑαυτῶν τὰς χεῖρας, προσῆλθον ἑκόντες Οὐρβανῷ ἡγεμόνι τῆς Καισαρέων πόλεως χριστιανοὺς ἑαυτοὺς διαπρυσίως εἶναι βοῶντες, ξίφει τούτων ἀποτέμνει τὰς πανολβίους κάρας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικάνδρου, καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Ἀριστοβούλου, ἀδελφοῦ τοῦ ἁγίου Βαρνάβα τοῦ ἀποστόλου.

ις'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ. Οὗτος ἦν ἐκ τῆς Ἀναζαρβέων πόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας, υἱὸς γενόμενος βουλευτοῦ, μητέρα ἔχων χριστιανὴν καὶ παιδευθεὶς πάσῃ παιδίᾳ τῶν ἱερῶν γραμμάτων, καὶ γεγονὼς ιή' χρόνων προσῆλθε Μαρκιανῷ Λιγαταρίῳ ἡγεμόνι. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Ἀλεξάνδρου πάπα Ῥώμης.

ιζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου, καὶ μνήμη (л. 101) τοῦ ἀνθρώπου Ἀλεξίου καὶ τοῦ μεγάλου σεισμοῦ [1]).

ιη'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων.

ιθ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρείας.

---

[1]) Въ апостолахъ XI—XII в. патріаршей библ. въ Іерусалимѣ № 53 л. 161 об. и XIV в. № 285 л. 236 об. замѣчено: Τῇ αὐτῇ ἡμέρᾳ μνήνη ἐπιτελοῦμεν τῆς φοβερᾶς ἀπειλῆς σεισμοῦ. Δεῖ εἰδέναι ὅτι εἰς τὴν τριθέκτην καὶ ἀντὶ ἐνορδίνου ἕτερον ἀναγινώσκει Ἡσαΐου. Ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ Κύριε καὶ ἴδε, καὶ ἀντὶ τῆς Παροιμίας ἀναγινώσκεται Δανιὴλ· Κύριε ὁ Θεὸς ἡμῶν ὡς ἐξῆγε. Προκείμενον ἀντὶ τοῦ ἐνορδίνου ψάλλεται ἦχος πλ. δ'· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου. Ἀπόστολος· Ἀδελφοί, ὃν ἀγαπᾷ Κύριος παιδεύει. Ἀλληλούια ἦχος δ', ὁ Θεὸς ἀπώσω ἡμᾶς. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον.

κ'. Ἄθλησις τῶν ἁγίων ζ' μαρτύρων γυναικῶν τῆς Ἀμησοῦ· Ἀλεξανδρίας, Κλαυδίας, Εὐφρασίας Ματρώνης, Ἰουλιανῆς, Εὐφημίας καὶ Θεοδοσίας.

κα'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Φιλήμονος καὶ Δομνίνου Σαλονικέου.

κβ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Καλλινίκης καὶ τῆς ἁγίας μάρτυρος Βασιλίσσης, καὶ τῆς ἁγίας μάρτυρος Βασιλίσσης[1]), καὶ τοῦ ἁγίου μάρτυρος Κυρίλλου ἐπισκόπου Κατάνης, καὶ μνήμη Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως. Εἰς τὸν Ν' τροπάριον ἦχος δ'· Τὸ ἄπλαστον τοῦ Ἰακὼβ, Μωσέως τὸ πρᾶον, τοῦ Δαβὶδ τὸ ἀκάκιον, ἱεροπρεπῶς ἐνδυσάμενος γέγονας καὶ τοῦ σκεύους τῆς ἐκλογῆς [об.) ἀπεικόνισμα τῆς πρὸς πάντας ἀγάπης ὁμοίως ἔχων πλούσιον, πάτερ ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεός. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοὶ, τοιοῦτος ἡμῖν ἔπρεπεν. Ἀλληλούια ἦχος πλ. α', Φῶς ἀνέτειλεν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. πθ'· Εἶπεν ὁ Κύριος ἐγὼ εἰμὶ ἡ θύρα. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κγ'. Ἄθλησις τοῦ ἁγίου Δομετίου καὶ Πελαγίας μάρτυρος καὶ Ἀκύλα ἐπάρχου καὶ Θεοδοσίας.

κδ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων τῶν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης.

κε'. Ὁ εὐαγγελισμὸς τῆς παναχράντου ὑπερευλογημένης Δεσποίνης ἡμῶν [л. 102) Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐν τοῖς Χαλκοπρατείοις. Περὶ ὥραν τρίτην ἐν τῇ ἁγίᾳ μεγάλῃ ἐκκλησίᾳ συντρέχομεν καὶ οὕτω λιτανεύοντες ἀπερχόμεθα ἐν τῷ φόρῳ, ἐκεῖσε τὰς συνήθεις ποιοῦμεν εὐχὰς καὶ μετὰ τῆς αὐτῆς λιτῆς ἀπερχόμεθα ἐν τοῖς Χαλκοπρατείοις. Ἑσπέρας εἰς τὴν παραμονὴν κατέρχεται ἡ λιτὴ ἐν τοῖς Χαλκοπρατείοις ὡς προσυνήθη, καὶ εὐθὺς ἄρχεται ἡ λειτουργία ἡ καθημερινὴ μηδενὸς προτιθεμένου ἀναγνώσματος διὰ τὴν μνήμην, καὶ γίνεται ἐκεῖσε ἡ παννυχὶς κατὰ τάξιν. Εἰς δὲ τὴν ἐκκλησίαν εἰς τὸν Ν' τροπάριον ἦχος δ'· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. [об.) Καὶ μετὰ τὸν ὄρθρον καὶ τὴν τριθέκτην γίνεται εὐχὴ τοῦ Τρισαγίου καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τὸ αὐτὸ τροπάριον καὶ εἰς τὸν φόρον δοξάζουσιν. Ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον καὶ εἶθ' οὕτως ἄρ-

---

[1]) Здѣсь, очевидно, нужно читать: τοῦ ἁγίου μάρτυρος Βασιλείου.

χονται οἱ ψάλται τῆς αὐτῆς λιτῆς καὶ εἰς τὰ Χαλκοπρατεῖα δοξάζουσι [1]), καὶ εὐθὺς ἀνέρχεται ὁ πατριάρχης ἐν τῷ συνθρόνῳ. Προκείμενον δὲ οὐ λέγεται, ἀλλ' εὐθὺς ἀνέρχεται τὸ α' ἀνάγνωσμα τῆς Ἐξόδου· Ἐν ταῖς ἡμέραις ἐκείναις εἰσῆλθε Μωσῆς. Προκείμενον ἦχος δ'· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀνάγνωσμα β' Παροιμιῶν· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ. Προκείμενον β'· Κατευθυνθήτω ἡ προσευχή μου [2]), στίχος· Κύριε ἐκέκραξα. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· [л. 103) Ἀδελφοί, ὁ ἁγιάζων. Ἀλληλούια ἦχος α', Καταβήσεται ὡς ὑετὸς. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. β'. Ἐν ταῖς ἡμέραις ἐκείναις συνέλαβεν Ἐλισάβετ, ἡ γυνὴ Ζαχαρίου. Κοινωνικὸν· Ποτήριον [3]). Δεῖ εἰδέναι ὅτι αὕτη ἡ ἀκολουθία γίνεται, ὅταν εἰς ἡμέραν νηστείας φθάσῃ ὁ εὐαγγελισμός, εἰ δὲ ἐν σαββάτῳ ἢ κυριακῇ [4]) φθάσῃ λέγονται ἐν τῇ παραμονῇ τὰ δύο ἀναγνώσματα τὰ προγεγραμμένα τῆς Ἐξόδου καὶ ἡ Παροιμία καὶ ἕτερον ἀνάγνωσμα Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον. Τὸ αὐτὸ δὲ λέγεται καὶ εἰς τὸ γενέσιον τῆς ἁγίας Θεοτόκου καὶ εἰς τὰς λοιπὰς ἑορτὰς αὐτῆς.

Εἰ δὲ κυριακὴ [5]) τῆς βαϊοφόρου [6]) φθάσῃ γίνεται οὕτως· Εὐθέως κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς [об.) πλαγίας εἰς τὸ

---

[1]) Рукпп. патріаршей іерусалимской биб. № 53 и № 285: Ἀκολουθία τοῦ εὐαγγελισμοῦ. Χρὴ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς εἰς νήστιμον ἡμέραν ψάλλεται τὸ· Εὐλόγει ἡ ψυχή μου, τὸ· Κύριε ἐκέκραξα καὶ τὰ στιχηρὰ καὶ ἀντὶ τοῦ στίχου τοῦ θεοτοκίου εἰς τὸ δόξα εἰσοδεύει καὶ λέγει τροπάριον ἦχος δ'· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Τρισάγιον δὲ οὐ λέγεται, ἀλλ' εὐθέως ἡ Ἔξοδος κ.τ.λ. —[2]) Τοῦτο (т. е. Κατευθυνθήτω) δὲ ψάλλεται καθεζομένων τῶν ἱερέων. —[3]) Κοινωνικὸν· Ἐξελέξατο Κύριος τὴν Σιών. Καὶ οὕτως τελειοῦται ἡ θεία λειτουργία μετὰ τῆς προσκομιδῆς. —[4]) Ἑτέρα ἀκολουθία τοῦ εὐαγγελισμοῦ εἰς τὸν ἐκκλησιαστὴν ἐὰν φθάσῃ ἡ παραμονὴ τοῦ εὐαγγελισμοῦ εἰς ἡμέραν σαββάτου ἢ κυριακῆς, κατέρχεται ἡ πρεσβεία ἐν τοῖς Χαλκοπρατείοις ὡς προσυνήθη παρασκευάσασθαι καὶ ψάλλεται τὸ· Κύριε ἐκέκραξα καὶ τὰ τρία ἀντίφωνα τὰ μικρά, εὐχὴ συναπτή, καὶ ἄρχονται τὰ προγεγραμμένα γ' ἀναγνώσματα εἰς τὴν κοίμησιν καὶ εἰς τὴν γέννησιν, καὶ εἶθ' οὕτως καταβασία καὶ ὁ ἀπόστολος. —[5]) Въ рукописныхъ апостолахъ патріаршей іерусалимской библіотеки имѣется изложеніе службы Благовѣщенія въ субботу Лазаря: Ἑτέρα ἀκολουθία ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῷ σαββάτῳ τοῦ Λαζάρου μετὰ τὸ βαπτίσαι τὸν πατριάρχην ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ, ψάλλονται τὸ τροπάριον ἦχος α'· Τὴν κοινὴν ἀνάστασιν, καὶ ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις καὶ ψάλλεται ἡ καταβασία· Σήμερον τῆς σωτηρίας (по рукоп. № 53: ἀντίφωνα

θυσιαστήριον, καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος α'· Τὴν κοινὴν ἀνάστασιν καὶ εἰς τὸν φόρον δοξάζουσι τὸ αὐτὸ τροπάριον, καὶ ποιεῖ ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον, καὶ μετὰ τοῦτο ἄρχεται τροπάριον ἦχος δ'· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Καὶ κατέρχεται ἡ λιτὴ εἰς τὰ Χαλκοπρατεῖα καὶ δοξάζουσι κἀκεῖσε καὶ λοιπὸν τὰ ἀκόλουθα.

Εἰ δὲ καὶ εἰς μεγάλην ε' φθάσῃ γίνεται οὕτως [*]). Μετὰ τὴν ἀπόλυσιν τῆς τριθέκτης καὶ τὴν κατάπαυσιν τῆς ἁγίας τραπέζης, ἐξέρχεται ἡ λιτὴ καὶ ἀνέρχεται ἐν τῷ φόρῳ καὶ ὑποστρέφει εἰς τὰ Χαλκοπρατεῖα, καὶ δοξάζουσι κἀκεῖσε οἱ ψάλται καὶ εὐθὺς τὸ Τρισάγιον καὶ τὸ προκείμενον, ὁ ἀπόστολος, τὸ Ἀλληλούια, τὸ εὐαγγέλιον, καὶ τὸ μέγα Κύριε ἐλέησον, καὶ εὐχὴ συναπτὴ [π. 104) μετὰ τῶν αἰτήσεων, καὶ τὸ· Ἐν εἰρήνῃ προελθωμεν.

ψαλμὸς 4α'· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, ψαλμὸς 4γ'· Δεῦτε ἀγαλλιασώμεθα, τροπάριον· Σήμερον τῆς σωτηρίας) καὶ εἰσοδεύει καὶ εἰς τὴν εἴσοδον τὸ αὐτὸ, καὶ εὐθὺς ἀντὶ τοῦ Τρισαγίου· Ὅσοι εἰς Χριστὸν καὶ οὕτως τὸ προκείμενον, ὁ ἀπόστολος, τὸ· Ἀλληλούια, τὸ εὐαγγέλιον. Καταλιπὼν ὁ πατριάρχης ἐκεῖσε πρεσβυτέρους καὶ διακόνους ποιεῖν τὴν πᾶσαν ἀκολουθίαν, καὶ ἀπελθὼν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τελεῖ τὴν θείαν λειτουργίαν.—6) Ἑτέρα ἀκολουθία ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῇ κυριακῇ τῆς βαϊοφόρου, ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ πάντων ψαλλόντων ὡς προγέγραπται· Τὴν κοινὴν ἀνάστασιν, καὶ εἰς τὸ ὑποστρέφειν ψάλλονται. Σήμερον τῆς σωτηρίας, καὶ εἶθ' οὕτως ποιεῖ ὁ πατριάρχης τὴν προγεγραμμένην ἀκολουθίαν, καθὼς καὶ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου.

[*]) Πληρουμένης τῆς τριθέκτης ἀποσμήχεται ἡ ἁγία τράπεζα, καὶ ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ ψάλλουσα τροπάριον· Σήμερον τῆς σωτηρίας ἡμῶν, καὶ εἶθ' οὕτως ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις, ψάλλουσα τὸ αὐτὸ τροπάριον, καὶ εἶθ' οὕτως γίνεται ἡ ἀκολουθία τοῦ εὐαγγελισμοῦ μέχρι τοῦ εὐαγγελίου. Καὶ ἀφίει ἐκεῖ ὁ πατριάρχης πρεσβυτέρους καὶ διακόνους τοῦ τελέσαι τὴν θείαν λειτουργίαν καὶ ἀνέρχεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ποιεῖ τὴν ἀκολουθίαν τῆς θείας λειτουργίας μετὰ τῆς προσκομιδῆς. Ἀντὶ δὲ τοῦ χερουβικοῦ ψάλλεται εἰς πάσας τὰς ἐκκλησίας· Τοῦ δείπνου σου τοῦ μυστικοῦ.—Εἰς δὲ τὸν ἁγιοπολίτην ψάλλονται τὰ στιχηρὰ τοῦ εὐαγγελισμοῦ καὶ τῆς μεγάλης πέμπτης καὶ τὰ ἀναγνωσματα, ἀποστόλους β', εὐαγγέλια β', χερουβικὸν· Τοῦ δείπνου σου. Χρὴ εἰδέναι καὶ τοῦτο, ὅτι τῇ αὐτῇ ἡμέρᾳ τῇ μεγάλῃ πέμπτῃ εἰς τὸ Ἰὼβ λέγεται· Φῶς Χριστοῦ φαίνει, κοινωνικὸν· Τοῦ δείπνου σου.

Εἰ δὲ καὶ εἰς ἁγίαν παρασκευὴν [1]) φθάσῃ ἡ ἐν ἁγίῳ σαββάτῳ [2]) ὁμοίως γίνεται ἡ ἀκολουθία. Καὶ εἰ μὲν ἔστι παρασκευὴ περὶ ὥρας ς΄ χρὴ ἀπόλυσιν, εἰ δὲ καὶ εἰς ἅγιον σάββατον ταχύτερον.

Εἰς δὲ τὴν ἁγίαν κυριακὴν [3]) τελεῖται οὕτως· Μετὰ τὸν ὄρθρον κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος δ΄· Σήμερον τῆς σωτηρίας ἡμῶν. Καὶ ἐξερχομένης τῆς λιτῆς ἐκ τῆς μεγάλης ἐκκλησίας, εὐθὺς ἀπέρχεται εἰς τὰ Χαλκοπρατεῖα, καὶ ὅτε εἰσέλθῃ, εὐθὺς ἄρχονται τὸ Τρισάγιον, τὸ προκείμενον, ὁ ἀπόστολος, τὸ Ἀλληλούια ὡς προγέγραπται. Καὶ ὁ πρεσ-

---

[1]) Ἑτέρα ἀκολουθία ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ Χρὴ εἰδέναι, ὅτι γίνεται ἡ τριθέκτη ἐν τῇ ἁγίᾳ Εἰρήνῃ καὶ ἡ κατήχησις, καὶ ἀνέρχεται ἡ λιτὴ εἰς τὸν φόρον, ψάλλονται τὸ· Σήμερον τῆς σωτηρίας ἡμῶν καὶ ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις ψάλλουσι τὸ αὐτὸ τροπάριον, καὶ γίνεται ἡ ἀκολουθία τοῦ εὐαγγελισμοῦ ἕως τοῦ ἁγίου εὐαγγελίου, καὶ ἀφίει ἐκεῖ ὁ πατριάρχης ἐγκαθέτους πρεσβυτεροδιακόνους καὶ ποιοῦσι τὴν θείαν λειτουργίαν μετὰ τῆς προσκομιδῆς. Καὶ ἀνέρχεται ὁ πατριάρχης ἐν τῇ προγεγραμμένῃ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης καὶ ποιεῖ τὴν ἀκολουθίαν τῆς θείας λειτουργίας ἄνευ τῆς προσκομιδῆς. — Ὁ ἁγιοπολίτης ψάλλεται τὰ στιχηρὰ τοῦ εὐαγγελισμοῦ καὶ τῆς μεγάλης παρασκευῆς καὶ ἀντὶ τῶν ἀναγνωσμάτων καὶ τῶν ἀποστόλων καὶ τῶν εὐαγγελίων. Χρὴ εἰδέναι, ὅτι καὶ τῇ ἁγίᾳ παρασκευῇ εἰς τὸ Ἰὼβ λέγεται· Φῶς Χριστοῦ φαίνει. Εἰς δὲ τὸν ναὸν τῆς Ὑπεραγίας Θεοτόκου λέγομεν τοὺς β΄ ἀποστόλους καὶ τὸ β΄ εὐαγγέλια. Οὐ τελειοῦται μετὰ τῆς προσκομιδῆς ἡ θεία λειτουργία. —

[2]) Ἑτέρα ἀκολουθία τοῦ εὐαγγελισμοῦ. Δεῖ εἰδέναι, ὅτι ἐὰν φθάσῃ τῷ μεγάλῳ σαββάτῳ μετὰ τὸ γενέσθαι τὴν ὑπαλλαγὴν ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ, ψάλλουσι τροπάριον· Σήμερον τῆς σωτηρίας ἡμῶν καὶ οὕτως ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις ψάλλουσι τὸ αὐτὸ τροπάριον, καὶ γίνεται ἡ προγεγραμμένη ἀκολουθία, καθὼς τῇ ἁγίᾳ παρασκευῇ. Καὶ ἀνελθὼν ὁ πατριάρχης ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ποιεῖ τὴν ἀκολουθίαν τοῦ μεγάλου σαββάτου. Ἐὰν δὲ προσθήσῃ οὐδὲν ἥμαρτεν ἀπὸ τὸν ἀπόστολον καὶ τὰ ἑξῆς —

[3]) Ἀκολουθία ἑτέρα τοῦ εὐαγγελισμοῦ. Χρὴ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ τοῦ πάσχα. Ἀπὸ τὸν ὄρθρον ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ πάντων ψαλλόντων τροπάριον πλ. α΄· Χριστὸς ἀνέστη, καὶ ἐν τῷ ὑποστρέφειν ἐν τοῖς Χαλκοπρατείοις ψάλλεται· Σήμερον τῆς σωτηρίας ἡμῶν, καὶ οὕτως γίνεται ἡ ἀκολουθία ἡ προγεγραμμένη, ὡς ἐν σαββάτῳ τοῦ Λαζάρου. Ἀπὸ δὲ τοῦ εὐαγγελίου ἀνέρχεται ὁ πατριάρχης ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ποιεῖ τὴν ἀκολουθίαν τοῦ Πάσχα καὶ τὴν λιτήν.

βύτερος ἀναγινώσκει διὰ τὸ πάσχα αὐτὴν [σϐ.) τὴν προτεταγμένην περιοχὴν τοῦ εὐαγγελίου καὶ λοιπόν, ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον. Καὶ εὐθὺς ἀνέρχεται ὁ πατριάρχης ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ διὰ τὸ καταλαβεῖν αὐτὸν τὴν εἴσοδον τῆς λειτουργίας καὶ λοιπόν. Εἷς ἐκ τῶν ἑβδομαδαρίων πρεσβύτερος οἷόν τινα ἐπιτρέψει ὁ πατριάρχης ἐν τοῖς Χαλκοπρατείοις τελεῖ τὴν θείαν μυσταγωγίαν. Οἱ ψάλται τὸ κοινωνικὸν· Ποτήριον σωτηρίου.

Εἰ δὲ τῇ β' τῆς διακαινησίμου [1]) φθάσῃ γίνεται οὕτως· Μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι· Σήμερον τῆς σωτηρίας ἡμῶν καὶ εἰς τὸν φόρον δοξάζουσι, καὶ πάλιν ἄρχονται τὸ αὐτὸ τροπάριον, καὶ εἰσέρχεται ἡ λιτὴ εἰς τὰ Διακονίσσης, [π. 105) καὶ δοξάζουσι κἀκεῖσε καὶ εὐθέως τὸ προκείμενον, ὁ ἀπόστολος, τὸ Ἀλληλούια, τὸ εὐαγγέλιον τῆς ἑορτῆς, καὶ τὸ· Κύριε ἐλέησον καὶ ἄρχονται ἐν τῷ ἄμβωνι· Χριστὸς ἀνέστη καὶ λοιπόν. Ἀπέρχεται ἡ λιτὴ εἰς τοὺς ἁγίους Ἀποστόλους, καὶ γίνεται ἡ θεία λειτουργία καθεξῆς.

Εἰ δὲ καὶ εἰς τὴν γ', ἢ εἰς τὴν δ', ἢ ε', ἢ παρασκευὴν, ἢ εἰς τὸν σάββατον τῆς δικαινησίμου φθάσῃ ὁ εὐαγγελισμὸς γίνεται οὕτως· Εἰς τὴν παραμονὴν κατέρχεται ὁ πατριάρχης ἐν τοῖς Χαλκοπρατείοις, ὡς προσυνήθη, καὶ μετὰ τὴν εἴσοδον καὶ τὸ προκείμενον καὶ τὰ γ' ἀντίφωνα τὰ μικρὰ γίνεται εὐθέως συναπτὴ μετὰ τῶν αἰτήσεων, καὶ λέγονται ἀναγνώσματα τὰ προγραφέντα εἰς τὸ γενέσιον τῆς Θεοτόκου, οἱ ψάλται τὸ τροπάριον ἐν τῷ ἄμβωνι· Σήμερον τῆς σωτηρίας ἡμῶν καὶ λοιπὸν ἡ παννυχὶς κατὰ τάξιν.

κς'. Ἄθλησις τῶν ἁγίων ἐν Γοτθίᾳ μαρτυρησάντων· εἰσὶν οἱ πρεσβύτεροι β' Βαφούης καὶ Οὐίρκας μετὰ β' υἱῶν αὐτῶν καὶ θυγατέρων

---

[1]) Δεῖ εἰδέναι ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῇ β' τῆς διακαινησίμου ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ ψάλλουσι τροπάριον· Χριστὸς ἀνέστη καὶ οὕτως ἀνέρχεται ἐν τοῖς Διακονίσσης ψάλλουσι τροπάριον· Σήμερον τῆς σωτηρίας ἡμῶν, καὶ ποιεῖ ἐκεῖ ὁ πατριάρχης τὴν ἀκολουθίαν μέχρι τοῦ εὐαγγελίου, καὶ ἀπὸ τῆς ἐκτενοῦς ἀφίει ὁ πατριάρχης ἐκεῖσε πρεσβυτεροδιακόνους ἐγκαθέτους τοῦ ποιῆσαι τὴν θείαν λειτουργίαν, καὶ οὕτως ἀπέρχεται μετὰ τῆς λιτῆς ἐν τοῖς ἁγίοις Ἀποστόλοις, ψάλλονται τροπάριον· Χριστὸς ἀνέστη, καὶ εἶθ' οὕτως γίνεται ἡ ἀκολουθία τῆς β' τῆς διακαινησίμου. Προκείμενον τοῦ λυχνικοῦ ἦχος δ'· Εὐαγγελίζεσθε ἡμέραν, στίχος α'· Ἄσατε τῷ Κυρίῳ, στίχος β'· Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι.

β΄. καὶ Ἀρπύλλας μονάζων, λαϊκοὶ δὲ Ἀβήπας, Κῶνστας, ἅγιος Οὐΐας, Ἀγάθραξ, Ἠσκόης, Σύλας, Σίγητζας, Σουρίλλας, Σείμβλας, Θέρμας, Φίλγας καὶ γυναῖκες συναθλήσασαι αὐτοῖς· Ἄννα, Ἀλλάς, Κάρκα, Μωίκη, Μαμύκα, Οὐιρκώ, Ἀνιμάϊς. Οὗτοι ὑπῆρχον ἐπὶ Ἰουγγουρίχου βασιλέως τῶν Γότθων καὶ Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος καὶ Γρατιανοῦ, βασιλέων Ῥωμαίων. Οὗτος Ἰουγγουρῖχος, κόψας ξύλα μετὰ τοῦ στρατεύματος, ἐνέπρησε τὴν ἐκκλησίαν τῶν χριστιανῶν καὶ κατέκαυσαν τούτους τοὺς ἁγίους. Τῇ αὐτῇ ἡμέρᾳ [π. 106) ἄθλησις τῶν ἁγίων Σαβίνου, Κοδράτου καὶ Θεοδοσίου, μνήμη τοῦ ὁσίου Στεφάνου τοῦ ξυλινήτου.

κζ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰωάννου καὶ Βαρσχίου τοῦ Πέρσου.

κη΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ματρώνης ἐκ πόλεως Θεσσαλονίκης. Αὕτη θεράπαινα ὑπῆρχε Παντίλλης τινὸς Ἰουδαίας γυναικὸς στρατοπεδάρχου ἐν τῇ Σαλονικέων πόλει, ἥ τις καὶ τοὺς πλοκάμους ἔπλεκε τῆς κυρίας αὐτῆς, καὶ ἀκολουθοῦσα μέχρι τῆς συναγωγῆς τῶν Ἰουδαίων, ὑπέστρεφεν ἐν τῇ ἐκκλησίᾳ, καὶ διαβάλλεται ὑπὸ τῆς κυρίας αὐτῆς ὡς χριστιανὴ καὶ τύπτεται ὑπὸ τεσσάρων ἀνδρῶν ἀφειδῶς καὶ φρουρᾷ κατακλείεται μέχρι τεσσάρων ἡμερῶν, ἄσιτος διαμείνασα, ἐξάγεται πάλιν καὶ μάστιξι καταξέεται ἐπὶ πλείσταις ἡμέραις, καὶ τῇ φρουρᾷ ἐναπομείνασα [οϐ.) εὐχομένη παρέδωκε τῷ Θεῷ τὴν ὁσίαν αὐτῆς ψυχήν. Ταύτης ἡ Παντίλλα τὸ λείψανον, διά τινος Στρατονίκου ἀπὸ τοῦ τείχους ἐν δέρει ἐνειλήσασα, ῥίπτει κάτω, ὅπερ οἱ χριστιανοὶ λαβόντες, κατέθεντο πλησίον τῆς Λεοφόρου. Μετὰ δὲ διωγμὸν Ἀλέξανδρος ἐπίσκοπος ἔνδον τῆς πόλεως εὐκτήριον οἶκον δειμάμενος τὸ ἅγιον λείψανον κατέθηκεν. Παντίλλα δὲ καὶ ὁ ταύτης ἀνὴρ εἰς ἐσχάτην πενίαν κατήντησαν. Εἰσελθούσης δὲ Παντίλλης ἐν τῷ ὑπολημίῳ τὸν ἐκ τῶν σταφυλῶν ἐκθλιβομένων οἶνον καταμαθεῖν ὀλισθήσασα καὶ ἐπὶ κεφαλὴν κατενεχθεῖσα καὶ τὸ σῶμα συντριβεῖσα, [π. 107) ἀπέῤῥηξεν τὴν ψυχήν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἡρωδίονος καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐτυχίου ἐπισκόπου.

κθ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰωνᾶ, Βαρουχησίου. Οὗτοι μονάζοντες ὑπῆρχον ἐκ Περσίδος ἐπὶ Σαβωρίου, βασιλέως Ῥωμαίων Θεοδοσίου τοῦ μεγάλου. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰωάννου πατριάρχου Ἱεροσολύμων.

λ΄. Ἄθλησις τοῦ ἁγίου Ἀκακίου εἰπισκόπου καὶ ὁμολογητοῦ ἐπὶ Δεκίου βασιλέως καὶ Μαρκιανοῦ ὑπάτου καὶ τῶν ἁγίων καὶ ὁμολογητῶν καὶ μαρτύρων ἐπὶ Ἰουλιανοῦ ὑπὸ τῶν Ἑλλήνων παθόντων Μάρκου τοῦ

Ἀρεθουσίων ἐπισκόπου καὶ Κυρίλλου διακόνου καὶ ἑτέρων πολλῶν ἐπὶ τοῦ παραβάτου. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κυριακοῦ καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Κλίμακος [об.)

λα'. Ἄθλησις τῶν ἁγίων τῶν ἐν Περσίδι μαρτυρησάντων Ἀβδᾶ ἐπισκόπου καὶ Βενιαμὶν διακόνου καὶ ἑτέρων μαρτύρων καὶ ὁμολογητῶν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ καὶ Ἰσδιγέρδου τοῦ Περσῶν βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων λή μαρτύρων.

Μὴν Ἀπρίλιος ἡμέρας ἔχων λ', ἡ ἡμέρα ἔχει ὥρας ιγ', ἡ νὺξ ὥρας ια'.

α'. Κοίμησις τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας τῆς ἀπὸ ἑταιρίδων ὁσίως ἀσκησάσης κατὰ τὴν ἔρημον τοῦ Ἰορδάνου.

β'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀμφιανοῦ καὶ Αἰδεσίου ἀδελφοῦ αὐτοῦ ἐν Καισαρείᾳ ἐπὶ Μαξιμιανοῦ βασιλέως, ἀδελφοὶ ὁμόμητροι, τῆς Λυδίας ὁρμώμενοι χώρας Βηρυτοῦ καὶ Παλαιστίνης, ἐνδημήσαντες παρὰ Παμφίλῳ, συνασκηθέντες [л. 108) τοῦ ἁγίου μάρτυρος Πολυκάρπου.

γ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀγάπης, Εἰρήνης καὶ Χιονίας. Αὗται ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐκ τῆς Θεσσαλονικέων ὁρμώμεναι πόλεως καὶ συλληφθεῖσαι παρέστησαν τῷ ἄρχοντι Δουλκιτίῳ ᾧτινι μὴ πισθεῖσαι Ἀγάπη καὶ Χιονία πυρὶ παραδίδονται, τὴν δὲ ἁγίαν Εἰρήνην περιτυχὼν, ἔχουσαν ἱερὰ βιβλία καὶ διφθέρας καὶ πινακίδας, ἐν οἷς ἐμελέτων αἱ ἅγιαι, ὅθεν ταῦτα κἀκείνην μετὰ πολλὰς κολακείας πυρὶ παραδίδει. Καὶ τῆς ἁγίας μάρτυρος Θεοδοσίας τῆς παρθένου. Αὕτη ἦν ἀπὸ Τύρου, ιη' ἔτος ἄγουσα τῇ ἡλικίᾳ παρίσταται Οὐρβανῷ ἄρχοντι Παλαιστίνης διὸ αἰκίζεται κατὰ τῶν πλευρῶν καὶ μαζῶν καὶ μὴ πισθεῖσα ῥίπτεται ἐν τῇ θαλάσσῃ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις [об.) τοῦ ἁγίου μάρτυρος Γλαυκοῦ Βιθυνίου καὶ τοῦ ὁσίου Νικήτα Μηδικίτου.

δ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοδούλου καὶ Ἀγαθόποδος, ὁρμώμενοι ἐκ πόλεως Θεσσαλονίκης, Καπίτονα καὶ Μητρόδωρον ἔχοντες ἀδελφούς, καὶ ὁ μὲν Θεόδουλος νεώτερος ἦν ἀναγνώστης, Ἀγαθόπους δὲ γεραιὸς διάκων ἄγονται τοίνυν διὰ τὴν εἰς Χριστὸν πίστιν Φαυστίνῳ ἄρχοντι Θεσσαλονίκης, καὶ τούτῳ μὴ πισθέντες, μετὰ πολλὰς βασάνους ῥίπτονται ἐν τῇ θαλάσσῃ καὶ ῥιφθέντων κηδεύονται ὑπὸ τῶν οἰκείων.

ε'. Ἄθλησις τῆς ἁγίας Φερφούθης ἀειπαρθένου καὶ τῆς ἀδελφῆς αὐτῆς καὶ τῆς παιδίσκης αὐτῆς. Αὗται ὑπῆρχον ἐπὶ Σαβωρίου βασιλέως ἐν Περσίδι, ἀδελφαὶ οὖσαι τοῦ ἁγίου Συμεὼν τοῦ ἐπισκόπου τοῦ ἐν Περσίδι [л. 109) μετὰ χιλίων μαρτυρησάντων καὶ τῶν ἁγίων μαρτύρων

Τερεντίου, Πομπηίου, Μαξίμου, Ζήνωνος καὶ τοῦ ἁγίου μάρτυρος Θέρμου καὶ τῆς ἀδελφῆς αὐτοῦ μετὰ παιδίσκης.

ς'. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐτυχίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ μεγάλου ἐκ τῆς Φρυγῶν χώρας, ὁρμώμενος ἐκ χωρίου Θείας Κώμης, καὶ τῶν ἁγίων ρκ' μαρτύρων τῶν ἐν Περσίδι. Εἰς τὸν Ν' τροπάριον πλ. δ'· Πάντα πόνον ὑπὲρ τῆς ἐκκλησίας ὑπέμεινας, πάτερ ὅσιε, καὶ ἐν διωγμοῖς περισσοτέρως, διὸ παῤῥησίαν ἔχων ἐν ὑψίστοις, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Прокименъ, [об.) апостолъ, аллилуарій, евангеліе и причастенъ, что выше преподобнымъ.

ζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλιοπίου ἐπὶ Μαξιμιανοῦ βασιλέως καὶ Μαξίμου ἡγεμόνος, υἱὸς Θεοκλείας, γυναικὸς εὐσεβοῦς ἐκ Πέργης τῆς Παμφυλίας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ῥουφίνου διακόνου καὶ τῆς ἁγίας Ἀκυλίνης καὶ τῶν σὺν αὐτῇ μαρτυρησάντων σ'. Ἡ ἀκολουθία τῶν ἁγίων μ' μαρτύρων.

η'. Ἄθλησις τοῦ ἁγίου Παυσιλύπου. Οὗτος ἦν ἐπὶ Ἀδριανοῦ βασιλέως καὶ Πρέκου ἐπάρχου τῆς Εὐρώπης, διὸ τύπτεται ῥάβδοις τριακοσίαις καὶ ἐκδίδοται [л. 110) Πρέκῳ τῷ ἐπάρχῳ, καὶ πολλὰ καταναγκασθεὶς οὐκ ἐπίσθη, ὅθεν δέσαντες αὐτὸν ἀπήγαγον τελειῶσαι τῷ ξίφει, διαῤῥήξας δὲ τὴν ἅλυσιν ἀπέφυγεν ἀπ' αὐτῶν, καὶ διωκόμενος ηὔξατο, καὶ οὕτως ἀπέδωκε τὴν ψυχὴν, καὶ χριστιανοὶ μυρίσαντες τὸ ἅγιον λείψανον αὐτόθεν ἐκήδευσαν καὶ κατέθηκαν ἐν τόπῳ λεγομένῳ Δαύλῳ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κελεστίνου πάπα Ῥώμης ἐπὶ Θεοδοσίου τοῦ νέου.

θ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βαδίμου, ἀρχιμανδρίτου. Οὗτος ἦν ἐκ Σίδος (?) ἐκ πόλεως Βηθλαπάτης γένους πλουσίου, μοναχὸς καὶ ἀρχιμανδρίτης συνελήφθη μετὰ ζ' μαθητῶν αὐτοῦ καὶ ἐν φυλακῇ ἐβλήθη καὶ κατὰ κέλευσιν Σαβωρίου βασιλέως, ποιήσας μῆνας δ'. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων τῶν ἐν τῇ αἰχμαλωσίᾳ τελειωθέντων ἐπὶ Σαβωρίου βασιλέως.

ι'. Μνήμη τῶν ἁγίων μαρτύρων Τερεντίου, [об.) Ἀφρικανοῦ, Μαξίμου καὶ Πομπηίου καὶ ἑτέρων λς' τῶν περὶ τὸν μακάριον Ζήνωνα, Ἀλέξανδρον, Θεόδωρον ὁμοῦ μ' ἐπὶ Δεκίου βασιλέως, Φουρτουνάτου ἡγεμόνος ἐκ τῆς Ἀφρικῆς ὁρμωμένων τῶν ἀριθμῶν μ'. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ προφήτου καὶ ἀποστόλου Ἀγάβου.

ια'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα ἐπισκόπου Περγάμου τῆς Ἀσίας τοῦ καὶ μυροροοῦντος. Οὗτος ἦν ἐπὶ Δομετιανοῦ βασι-

λέως, γεγηρακὼς πάνυ ἐν τοῖς τῶν ἀποστόλων χρόνοις, ὅτε καὶ ὁ Θεολόγος Ἰωάννης ἐξόριστος εἰς Πάτμον τὴν νῆσον κατέβαλεν.

ιβ'. Ἄθλησις τοῦ ἁγίου Ἀρτέμωνος ἐπὶ Διοκλητιανοῦ βασιλέως πρεσβύτου τῆς Λαοδικῶν πόλεως γηραιὸς καὶ ἱεροπρεπής.

ιγ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Κρήσκεντος ἐν Μύροις τῆς Λυκίας, γένους ἐνδόξου τῇ ἡλικίᾳ γεγηρακὼς, καὶ τοῦ ἁγίου μάρτυρος [π. 111) Ἐλευθερίου τοῦ Πέρσου καὶ Ζωίλου Ῥωμαίου καὶ τῶν ἁγίων μαρτύρων Θεοδοσίου καὶ Βασιλίδος.

ιδ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Συμεὼν ἀρχιεπισκόπου Περσίδος καὶ τῆς συνοδίας αὐτοῦ, Ἀνανίας καὶ Αὐδελλᾶ πρεσβυτέρου καὶ Φουσίκης καὶ ἑτέρων ρ'. Οὗτος ὁ ἅγιος Συμεὼν ἦν ἐτῶν ριζ' ἐπὶ τῆς βασιλείας Σαβωρίου ἐκ πόλεως Σαλὴκ Σελευκείας ὁμοῦ καὶ Κτησιφῶντος τῶν πόλεων ὑπάρχων πατριάρχης. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων χιλίων μαρτύρων μετὰ τῶν ρν' τῶν περὶ τὸν ἅγιον Συμεῶνα ἀποφάσεως ἐξενεχθείσης, ἐν οἷς καὶ ὁ ἅγιος Ἀζάτος ὑπῆρχεν εὐνοῦχος. Οὗτοι οἱ ἅγιοι ἐρωτήθησαν ἐπὶ Σαβωρίου βασιλέως καὶ ὡμολόγησαν τὸν Χριστὸν, ἐσφάγησαν ἀπὸ τῆς ἡμέρας τῆς παρασκευῆς τῆς ἀναστασίμου ἕως ἡμέρας ι', ἐν οἷς καὶ Ἀζάτος ὁ εὐνοῦχος ἀνηρέθη, ὃν ἠγάπᾳ [οβ.) ὁ βασιλεὺς καὶ λυπηθεὶς ἐκέλευσεν ἔκτοτε μὴ ἀναιρεῖσθαι χριστιανούς, βουλομένους μαρτυρεῖν, οἱ δὲ τελειωθέντες πλεῖστα θαυματουργοῦσι ἐν οἷς κατέθησαν τόποις. Καὶ τῶν ἁγίων μαρτύρων Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ διακόνου, ἐπὶ Σαβωρίου βασιλέως Περσῶν, καὶ ὁ μὲν Ἰάκωβος ἦν ἀπὸ κώμης λεγομένης Φαρναθά, Ἀζᾶς δὲ ὁ διάκονος ἀπὸ κώμης Βιθνηρή. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον σταυρόν.

ιε'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάββα τοῦ Γότθου ἐπὶ τῆς βασιλείας Οὐαλεντινιανοῦ τοῦ μεγάλου καὶ Οὐάλεντος καὶ τοῦ ἁγίου μάρτυρος Θεοδώρου, καὶ μνήμη Βασιλίσσης καὶ Ἀναστασίας.

ις'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Λεωνίδους, Χαρίσσης, Νουνεχίας, Βασιλίσσης, [π. 112) Νίκης, Γαληνῆς, Καλλίδος καὶ Θεοδώρας, παθόντων ἐν Κορίνθῳ. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐκ τῆς Ἑλλάδος ἐπὶ Βενούστου ἡγεμόνος.

ιζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀρδαλίωνος τοῦ μιμολόγου ἐπὶ Μαξιμιανοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἐν ἁγίοις Ἀγαπητοῦ πάπα Ῥώμης ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου βασιλέως.

ιη'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Βίκτωρος, Ζωτικοῦ, Ζήνωνος, Ἀκινδύνου καὶ Σεβηριανοῦ, καὶ τοῦ ἁγίου Γεωργίου ἐπισκόπου Ἀντιοχείας.

ιθ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Χριστοφόρου καὶ Θεωνᾶ καὶ Ἀντωνίου.

κ'. Μνήμη τοῦ ἁγίου Ἀναστασίου τοῦ Σινὰ ὄρους καὶ τοῦ Παφνουτίου μοναχοῦ καὶ τοῦ ἁγίου ἱερομάρτυρος Ἀναστασίου ἐπισκόπου Ἀντιοχείας τῆς Συρίας.

κα'. Μνήμη τοῦ ὁσίου Μαξίμου πατριάρχου Κωνσταντινουπόλεως, καὶ ἄθλησις [об.) Ἀπολλῶ καὶ Ἰσαακίου καὶ τῆς ἁγίας μάρτυρος Ἀλεξάνδρας τῆς βασιλίσσης.

κβ'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τῶν Συκεῶν τοῦ θαυματουργοῦ ἐπισκόπου Ἀναστασιουπόλεως. Οὗτος ὥρμητο ἐκ τῆς Γαλατῶν χώρας χωρίου Συκεῶν τελοῦν ὑπὸ Ἀναστασιουπόλεως τῆς πρώτης τῶν Ἀγκύρων ἐπαρχίας, ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ πάλαι γεννηθείς. Καὶ μνήμη τοῦ ἀποστόλου Ναθαναήλ.

κγ'. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ Καππαδοκίας εὐγενῶν γονέων ὑπάρχων, τριβουνάτα πράξας, κόμης δὲ τὴν ἀξίαν. Εἰς τὸν Ν' τροπάριον ἦχος δ'· πρὸς τὸ· Ὁ ὑψωθεὶς. Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης τῆς εὐσεβείας γεωργὸς τιμιώτατος (нынѣ кондакъ). [л. 113) Προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. апостолъ, аллилуарій и евангеліе, что нынѣ. Κοινωνικὸν· Ἀγαλλιᾶσθε. Δεῖ εἰδέναι ὅτι ἐὰν φθάσῃ ἐν ἄλλαις ἡμέραις τοῦ ἁγίου Γεωργίου ἀναγινώσκεται ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, Θεοῦ ἐσμὲν συνεργοί.

κδ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Πασικράτους καὶ Βαλεντίονος. Οὗτοι ὑπῆρχον ἐκ Δωροστόλου τῆς Μοισίας, λεγιονάριοι στρατευόμενοι ἐπὶ Αὐλοζάνου ἐπαρχοῦντος. [об.) Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἀδελφοῦ τοῦ Κυρίου Ἰωσὴφ, Συμεών, Μάρθας καὶ Μαρίας, καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου, Νέωνος, Λεοντίου, Λογγίνου, Χριστοφόρου, Δημητρίου, Δάνοβος, Δονάτου καὶ τῆς συνοδίας αὐτῶν καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισσίῳ καὶ τῆς ὁσίας Ἐλισάβετ.

κε'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σάββα τοῦ στρατηλάτου ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει, στρατηλάτης τὴν τάξιν, τὸ γένος Γότθος λῆ ἐτῶν ὑπάρχων, λευκὸς ὑπὲρ χιόνα τῷ σώματι, ῥοδινὸς τῷ προσώπῳ, ἡ δὲ θριξ τῆς κεφαλῆς αὐτοῦ ἦν ὡς τὸ χρυσίον, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ [1]). Καὶ τοῦ ἁγίου ἀποστόλου Μάρκου καὶ εὐαγγελιστοῦ.

---

[1]) Не окончено въ рукописи.

Οὗτος ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ Χριστοῦ πάσῃ τῇ Αἰγυπτίων χώρᾳ Λιβύᾳ τε καὶ Μαρτυρικῇ καὶ Ἀμωνιακῇ καὶ Πενταπόλει [л. 114) ἐπὶ τῆς βασιλείας (Τιβερίου) Καίσαρος, ὅθεν καὶ Εὐαγγελιστὴν αὐτὸν ἐθέσπισαν οἱ ἅγιοι κανόνες ἡνίκα καὶ τὸ κατ' αὐτὸν εὐαγγέλιον συνεγράψατο ὑπαγορεύσαντος τοῦ Κορυφαίου. Καὶ μνήμη Μακεδονίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου ἀποστόλου Πέτρου τῷ συγκειμένῳ τῇ μεγάλῃ ἐκκλησίᾳ. Ποιοῦμεν τὸν ὄρθρον εἰς τὸν ἅγιον Πέτρον καὶ κατέρχεται ἀσκητήριον καὶ λέγεται τροπάριον ἦχος δ', κατάβασία τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου ἦχος πλ. δ': Ὁ τῷ κορυφαίῳ Πέτρῳ μαθητευθεὶς καὶ τῷ τούτου θρόνῳ ἐνιδρυθεὶς ἱεραρχικῶς ὥσπερ ἥλιος τοῖς πέρασιν ἐξανέτειλας, τῶν Ἀλεξανδρέων καλλώπισμα γεγονώς, παμμακάριστε, τὰ γὰρ στίγματα τοῦ Χριστοῦ προθύμως ἐβάστασας, καὶ σταυρὸν ἐπὶ ὤμων λαβὼν αὐτῷ [об.) ἠκολούθησας, διὰ τοῦτο τιμῶντές σε φαιδρῶς ἑορτάζομεν καὶ συμφώνως βαῶμέν σοι· πρέσβευε τῷ ὑπὸ σοῦ εὐαγγελισθέντι Χριστῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ λέγεται τροπάριον ἦχος γ'· Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐπ' ὀνόματι τοῦ Κορυφαίου σου πέτραν προσαγορεύσας τὴν ἐκκλησίαν σου, ταῖς αὐτοῦ ἱκεσίαις ἀσάλευτον αὐτὴν διατήρησον, καὶ παράσχου ἡμῖν τὸ μέγα ἔλεος. Τὸ προκείμενον, ὁ ἀπόστολος, ἀλληλούια, τὸ εὐαγγέλιον, τὸ κοινωνικὸν εἰς τὰς κθ' τοῦ ὀκτωβρίου μηνὸς εἰς τὰ ἐγκαίνια τοῦ ὀρφανοτροφείου. Προκείμενον τοῦ ἁγίου Μάρκου, ὁ ἀπόστολος, ἀλληλούια, что ныне. [л. 115) Εὐαγγέλιον κατὰ Μάρκον κεφ. νγ'· Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς ιβ' μαθητὰς αὐτοῦ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κς'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως. Οὗτος ἦν ἐπὶ Λικινίου βασιλέως ἐπίσκοπος τῆς Ἀμασέων μητροπόλεως. Εἰς τὸν Ν' τροπάριον ἦχος α'· Τοῦ ἀθλοφόρου σου τὸ λείψανον ἐδυσώπησε καὶ βυθὸς, ἐμοῦ δὲ πάντοτε Σωτὴρ. Προκείμενον ἦχος βαρὺς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ζήτει τὴν ἀκολουθίαν τοῦ ἁγίου Γεωργίου ὄπισθεν κγ'.

κζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ποπλίονος, καὶ μνήμη Εὐλογίου ξενοδόχου ἐν τῷ ἁγίῳ Μωκίῳ καὶ τοῦ (об.) ἁγίου ἀποστόλου Ἰάσονος καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης ἀρχαίας καὶ νέας.

κη' Ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Δάδα καὶ Κιντιλιανοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ βασιλέως καὶ Μαξιμίνου καὶ Γα-

βίου καὶ Ταρκυίνου τῶν ὑπάτων ἐκ Δωροστόλου τῆς πόλεως τῆς δευτέρας Μοισίας. Ὁ δὲ ἅγιος Μάξιμος ἀναγνώστης ἦν τῆς μεγάλης ἐκκλησίας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Βιταλίου, Ζήνωνος, Εὐσεβίου καὶ Νεστάβου καὶ τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Κανανίτου, καὶ ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Βασιλέως ἐπισκόπου Ἀμασείας, καὶ μνήμη τοῦ ὁσίου Κλήμεντος τοῦ ποιητοῦ.

κθ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Διοδώρου καὶ Ῥοδιοπιανοῦ διακόνων, ἐπὶ Διοκλητιανοῦ βασιλέως, πολλὰς ὕβρεις καὶ μάστιγας ὑπομείναντες ὑπὸ τῶν ἰδίων συμφυλετῶν καὶ πολιτῶν [π. 116) Ἀφροδισιέων τῆς Καριῶν ἐπαρχίας, τέλος ἐπ' ἀγορᾶς λιθόλευστοι γεγόνασιν.

λ'. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. Ἦν υἱὸς Ἰωσήφ, ἀδελφὸς δὲ τοῦ Χριστοῦ χρηματίσας, ὅστις καὶ Ὠβλίας ἐκαλεῖτο, ἑρμηνεύεται δὲ περιοχὴ παθῶν. Οὗτος ὁ μακάριος ἅγιος ἦν ἐκ κοιλίας μητρὸς αὐτοῦ οἶνον καὶ σίκερα οὐκ ἔπιεν, οὔτε ἔμψυχον ἔφαγεν. Τοῦτον Ἰουδαῖοι οὐκ ἠδέσθησαν οἱ μηδὲ προφήτας αἰδεσθέντας ἰδοὺ [1]) ἐν ταῖς ἡμέραις τοῦ πάσχα τελειοῦται, ἀπὸ γὰρ τῆς πρώτης ἡμέρας ἕως τῆς Ν' πάσχα λέγεται. Ζήτει τὴν ἀκολουθίαν πᾶσαν τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν.

Μὴν μάϊος ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ', ἡ δὲ νὺξ ὥρας ι'.

α'. Ἄθλησις τοῦ ἁγίου προφήτου Ἱερεμίου. [οϐ.) Οὗτος ἦν ἐξ Ἀναθὼθ καὶ ἐν Τάφναις τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ, ἀποθνήσκει, κεῖται δὲ ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτόν, εὐεργετηθέντες δι' αὐτοῦ, ἠύξατο γὰρ καὶ αἱ ὀλοθρεύουσαι αὐτοὺς, ἀσπίδες ἀπέθανον καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσι μὲν Αἰγύπτιοι νεφὼθ, Ἕλληνες δὲ κορκοδείλους, καὶ ὅσοι εἰσὶν πιστοὶ Θεοῦ ἕως τῆς σήμερον εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ λαμβάνοντες τοῦ χώματος τοῦ τόπου ἐκείνου δήγματα ἀσπίδων θεραπεύουσιν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βατᾶ. Οὗτος ἦν ἐκ Περσίδος ἐκ κώμης Βηργαμῶν, ἐπὶ Ἰασδὴχ ἀδελφοῦ Βαρζαναβᾶ, ἄρχων καὶ τελώνης Βατζιέως. Καὶ τοῦ ἁγίου ἀποστόλου Φιλίππου ἑνὸς τῶν ζ' καὶ τοῦ ἁγίου Βάσσου καὶ ὅτε ἦλθον τὰ τίμια ξύλα.

[π. 117) β'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ζωῆς καὶ Ἑσπέρου, τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν τέκνων αὐτῶν Κυριακοῦ καὶ Θεοδούλου ἐπὶ Ἀδριανοῦ βασιλέως, ἱκέται μὲν ὄντες, χριστιανικῶς δὲ ζῶντες, ἀγορασθέντες

[1]) Это мѣсто въ рукописи написано крайне неразборчиво.

ἐκ φυλῆς ὑπὸ Κατάλλου τινὸς καὶ Τετραδίας γυναικὸς αὐτοῦ, ἀποίκων Ῥωμαίων ὄντων ἐν Ἰταλίᾳ. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου, ἀρχιεπισκόπου Ἀλεξανδρείας. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ καὶ Ἰουλιανοῦ καὶ Οὐάλεντος βασιλέων. Ἡ ἀκολουθία πᾶσα Ἰανουαρίου ιη΄.

γ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Τιμοθέου καὶ Μαύρας. Οὗτος ἀναγνώστης ἦν ἀπὸ κώμης Πεναπέων ἐπὶ Ἀρριανοῦ ἡγεμόνος Θηβαΐδος. Καὶ Μαύρας τῆς τούτου συζύγου, οὔπω ἡμέρας ἔχουσα κ΄ συναφθεῖσα αὐτῷ πρὸς γάμον.

δ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σιλβανοῦ ἐπισκόπου. Οὗτος ἦν [οδ.) ἐκ χώρας τῶν Γαζαίων ἐπίσκοπος, καὶ τῶν μαθητῶν αὐτοῦ. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως, ἡγεμονεύοντος τῆς Ἀσίας Ἰουλιανοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀφροδισίου, Μηλδᾶ, Μακροβίου, Οὐαλλεριανοῦ, Γορδιανοῦ, Λεοντίου, Ἀντωνίνου καὶ τῶν ἐν Σκυθοπόλει ξ΄ καὶ τοῦ ἁγίου Ὀλβιανοῦ. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνδρέου κρητός. Προκείμενον ἦχος· Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ, στίχος· Προωρώμην τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Ἑβραίους, ἀλληλούια ἦχος, Ἐκέκραξαν οἱ δίκαιοι, εὐαγγέλιον τῶν ἁγίων πάντων.

ε΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Εἰρήνης. Αὕτη ἦν θυγάτηρ μονογενὴς Λικινίου βασιλίσκου καὶ Λικινίας μητρὸς ἐν πόλει Μαγιδῶ, Πηνελόπη παρὰ τῶν [π. **118**) γονέων πρότερον ὀνομασθεῖσα. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Νεοφύτου, Γαΐου καὶ Γαΐνης καὶ τοῦ ἁγίου μάρτυρος Βαρβάρου καὶ Πελαγίας μάρτυρος.

ς΄. Μνήμη τοῦ δικαίου Ἰὼβ. Οὗτος ὑπῆρχεν ἐκ τῆς Αὐσίτιδος χώρας Ἡσαῦ υἱῶν, υἱὸς πέμπτος ἀπὸ Ἀβραὰμ καταγόμενος, ἔζησε μετὰ τὴν πληγὴν ἔτη ρο΄, ὅλα δὲ πάντα ἔζη ἔτη σμη΄. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Δημητρίου, Δάναδος, Δανάτου, Θερινοῦ Νικήτα καὶ τῆς συνοδίας αὐτῶν ἐν τῷ β΄, καὶ μνήμη τῶν ὁσίων πατέρων Παχωμίου καὶ Ἱλαρίωνος καὶ τοῦ ὁσίου Μάμαντος πέραν Αἰνοχίαις (?).

ζ΄. Μνήμη τοῦ ἐν οὐρανοῖς φανέντος σταυροῦ ἐπὶ Κωνσταντίου βασιλέως, υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου καὶ Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων τοῦ κατηχητοῦ. Ἐν αὐτῇ τῇ ἁγίᾳ πόλει ἐν ἡμέραις τῆς ἁγίας Ν΄ [οδ.) μηνὶ μαΐῳ ζ΄ ὥρᾳ γ΄ τῆς ἡμέρας ἐφάνη ὁ τίμιος σταυρὸς ἐκ φωτὸς ὁρῶντος παντὸς τοῦ λαοῦ, τὸν ὑπεράνω τοῦ ἁγίου Γολγοθᾶ ἐκτεταμένον μέχρι τοῦ ἁγίου ὄρους τῶν Ἐλαιῶν, ὅστις τῇ λαμπρότητι τῶν μαρμαρυγῶν τὰς ἡλιακὰς ἀκτῖνας κατεκάλυψεν. Τῇ αὐτῇ

ἡμέρᾳ ἡ μετάθεσις τῶν λειψάνων τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου.

η'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκακίου ἐπὶ Μαξιμιανοῦ βασιλέως Καππαδόκης τῷ γένει, στρατιώτης γενόμενος ἀριθμοῦ τῶν μαρτισίων, προσαχθεὶς Φιρμιλίῳ τῷ ἄρχοντι, ὁμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ, διὸ τύπτεται πλείστας καὶ παρεπέμφθη Βιβιανῷ ἑτέρῳ ἄρχοντι, ὅστις ἤγαγεν αὐτὸν μεθ' ἑτέρων δεσμοτῶν ἐν τῷ Βυζαντίῳ, κἀκεῖ βασανισθεὶς ἐκπέμπεται ἑτέρῳ ἄρχοντι Φαλκιανῷ, ὅστις δέδωκεν αὐτῷ [л 119) τὴν διὰ τοῦ ξίφους ἀπόφασιν, καὶ κηδεύεται ὑπὸ ἀνδρῶν εὐλαβῶν ἐν τόπῳ ἐπιλεγομένῳ Σταυρίῳ. Τῇ αὐτῇ ἡμέρᾳ ἁγίου Ἰωάννου τοῦ Θεολόγου μνήμη. Μανθάνομεν ἐκ τοῦ ἐγκωμίου Σωφρονίου Ἱεροσολύμων, ὅτι ὁ πατὴρ τοῦ Θεολόγου ὁ Ζεβεδαῖος ἦν, ἡ δε μήτηρ Σαλώμη, θυγάτηρ Ἰωσὴφ, τοῦ μνηστευσαμένου τὴν ἁγίαν Θεοτόκον· ὁ γὰρ Ἰωσὴφ ὁ' υἱοὺς εἶχε καὶ τρεῖς θυγατέρας· Ἰάκωβον, Συμεὼν, Ἰούδαν καὶ Ἰωσῆν, θυγατέρας δὲ τὴν τε Ἐσθὴρ καὶ τὴν Μάρθαν, καὶ τὴν Σαλώμην, ἥτις ἦν γυνὴ Ζεβεδαίου, μήτηρ δὲ Ἰωάννου, ἐντεῦθεν ὁ Σωτὴρ θεῖος ἦν τοῦ ἁγίου Ἰωάννου, ὡς ἀδελφὸς Σαλώμης τῆς θυγατρὸς Ἰωσὴφ· ὅτι μόνον τὸν ἅγιον Πέτρον ὁ Κύριος ἐβαπτισεν οἰκίαις χερσὶ καὶ Πέτρος Ἀνδρέαν καὶ Ἀνδρέας Ἰάκωβον καὶ Ἰωάννην, Ἰωάννης δὲ καὶ Ἰάκωβος [об.) τοὺς λοιποὺς ἀποστόλους· ὅτι πάντων φυγόντων, Ἰωάννης ὁ ἀγαπητὸς ἐν τῇ παραδόσει καὶ ἐν τῷ σταυρῷ παρέστη καὶ εἰς τὸν τάφον πρῶτος τοῦ Πέτρου ἦλθε καὶ εἰσῆλθεν, ὅτι τὴν ἁγίαν Θεοτόκον εἰς τὰ ἴδια ἔλαβεν ὁ Θεολόγος· ὅτι ὄντος ἐπὶ τῆς γῆς τρεῖς μητέρας ἐσχηκὼς· πρώτην τὴν Σαλώμην, ἐξ ἧς καὶ γεγένηται, δευτέραν δὲ ὅτι τῆς βροντῆς υἱὸς ἐχρημάτισε παρὰ τοῦ Κυρίου, τρίτην τὴν ἁγίαν Μαρίαν κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου· ἰδοὺ ἡ μήτηρ σου· ὅτι τὴν ἁγίαν Θεοτόκον Πέτρος καὶ Ἰωάννης ἐβάπτισαν, καὶ ὅτι μέχρι τῆς κοιμήσεως συνῆν αὐτῇ ὁ Θεολόγος καὶ μετὰ τὴν κοίμησιν αὐτῆς ἦλ(θεν) ἐν Ἐφέσῳ· ὅτι Ἠλίβατον καλεῖται τὸ ὄρος, ἐν ᾧ ἵσταται ὁ ναὸς τοῦ Θεολόγου, ἐκ δύσεως δὲ ὁ ἅγιος [л. 120) Τιμόθεος, Μαρία δὲ ἡ Μαγδαληνὴ καὶ οἱ ἑπτὰ παῖδες ἐν τῷ πλησίον Χειλέων ὄρει. Ἡ ἁγία Ἑρμιόνη, θυγάτηρ Φιλίππου, μία οὖσα τῶν δ' πρφητίδων, θυγατέρων αὐτοῦ, κεῖται εἰς τὸ πλησίον ὄρος. Φίλιππος δὲ ἐστὶν ὁ εἷς τῶν ἑπτὰ διακόνων καὶ Ἄδικτος ὁ μάρτυς καὶ ἡ τούτου θυγάτηρ Καλλισθένη. Καὶ ἕτεροι μάρτυρες ἐπίσκοποι γεγονότες· Ἀρίστων, Τύραννος καὶ Ἀριστόβουλος, ὁ Παῦλος τῆς ἐρήμου πολίτης ἐκεῖσε κατάκειται. Εἰς τὸν Ν' τροπάριον ἦχος β'· Ἀπόστολε Χριστοῦ τοῦ Θεοῦ. Прокименъ, апостолъ, аллилуарій [об.) и евангеліе, что нынѣ. Κοινωνικὸν· Ἀγαλλιᾶσθε.

θ'. Ἄθλησις τοῦ ἁγίου προφήτου Ἡσαΐου. Οὗτος ὁ μαγαλοφωνότατος προφήτης ἦν ἀπὸ Ἱερουσαλὴμ, θνήσκει δὲ πριονισθεὶς ὑπὸ Μανασσῆ τοῦ βασιλέως, υἱοῦ Ἐζεκίου, καὶ ἐτέθη ὑποκάτω δρυὸς Ἀρωὴλ ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων, ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς χώσας αὐτὰ, καὶ ὁ Θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ ἐποίησε διὰ τὸν προφήτην, διότι πρὸ τοῦ ἀποθανεῖν ὀλιγωρήσας ηὔξατο ποιεῖν ὕδωρ καὶ εὐθέως ἀπεστάλη ἐξ αὐτοῦ ζῶν ὕδωρ, διὰ τοῦτο ἐκλήθη Σιλωὰμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. Καὶ τοῦ ἁγίου μάρτυρος Χρστοφόρου τοῦ καὶ Πρόβου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Δεκίου γένους κυνοκεφάλλων. [π. 121) Καὶ τῶν ἁγίων Ἐπιμάχου καὶ Γορδιανοῦ. Οὗτοι ῥωμαῖοι ὄντες κατεσχέθησαν ὡς χριστιανοὶ παρὰ τοῦ ἄρχοντος τῶν Ἑλλήνων καὶ πολλὰς βασάνους θέντες ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. Καὶ τοῦ ἁγίου μάρτυρος Κοδράτου καὶ τῆς συνοδίας αὐτοῦ ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ τῶν βασιλέων ἐν τῇ Νικομηδέων πόλει καὶ ἀχθέντες τῷ ἀνθυπάτῳ Περινίῳ ὡμολόγησαν τὸν Χριστὸν.

ι'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀλφιοῦ, Φιλαδέλφου, καὶ Κυπρίνου καὶ τῆς συνοδίας αὐτῶν. Οὗτοι ὑπῆρχον τῆς τῶν Βασκάνων μὲν χώρας, πόλεως δὲ Πρεφακτῶν, εὐγενεῖς καὶ τῇ περιουσίᾳ λαμπροὶ, υἱοὶ γεγονότες Βιταλίου βάσκανος καὶ ἄρχοντος τυγχάνοντος τῆς αὐτῆς Πρεφακτῶν πόλεως, ἦσαν δὲ καὶ καλλιγράφοι καὶ γνώσει θείᾳ κεκοσμημένοι διὰ πολλὴν εὐφυότητα, [οϐ) ἀκροπαιδευθέντες διὰ Ὀνησίμου τοῦ ἱεροῦ καὶ ἁγίου, ἐμαρτύρησαν δὲ ἐπὶ Τερτύλου ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἡσυχίου τοῦ ὁμολογητοῦ, ἀνὴρ ἀγαθὸς καὶ πρᾶος καὶ φερώνυμος ὄντως κληθεὶς ἡσύχιος. Καὶ μνήμη τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ. Οὗτος πᾶσαν τὴν Μαυριτανίαν καὶ τὴν τῶν Ἄφρων χώραν διελθὼν, ὕστερον δὲ ἐν Βρεττανίᾳ ὑπ' αὐτῶν σταυρωθεὶς θάπτεται ἐκεῖ.

ια'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μωκίου πρεσβυτέρου γενομένου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Λαοδικίου ἀνθυπάτου τῆς Εὐρώπης τῆς Ἀμφιπολιτῶν δὲ πόλεως, ἁγίας Θεοῦ ἐκκλησίας πρεσβύτερος ὑπάρχων καὶ διδάσκαλος εὐσεβείας, υἱὸς ὑπάρχων Εὐφρασίου καὶ Εὐσταθίας εὐγενῶν καὶ πλουσίων ὄντων. [π. 122) Καὶ τοῦ ἁγίου μάρτυρος Διοσκορίδους. Οὗτος ὥρμητο ἀπὸ τῆς Σμυρναίων μητροπόλεως καὶ προσαχθεὶς τῷ αὐτῆς ἄρχοντι καὶ χριστιανὸν ἑαυτὸν ὁμολογήσας δέσμιος ἀπίχθη ἐν τῇ φρουρᾷ, καὶ πάλιν ἐρωτηθεὶς ἀπελογήσατο μετὰ πάσης σοφίας καὶ συνέσεως περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ τῆς ἐλπίδος εἰς αὐτὸν. Τῇ αὐτῇ ἡμέρᾳ τὸ γενέθλιον τῆς πόλεως. Εἰς τὴν πα-

ραμονὴν κατέρχεται ὁ πατριάρχης καὶ ποιεῖ τὴν εἴσοδον, καὶ μετὰ τὰ γ' ἀντίφωνα τὰ μικρὰ γίνονται ἀναγνώσματα γ', τὸ α' Ἡσαΐου· Τάδε λέγει Κύριος τῇ πόλει τῇ ἁγίᾳ, τὸ β' Ἡσαΐου· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, τὸ γ' Ἡσαΐου· Τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ποιῶ τὸν Ἰσραήλ. Οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος δ'· Τῆς Θεοτόκου ἡ πόλις. [об.) Καὶ μετὰ τοῦτο λέγει ὁ ἀρχιδιάκονος· Σοφία καὶ γίνεται ἡ παννυχὶς κατὰ τάξιν, τὸν δὲ ὄρθρον ποιοῦμεν ἐν τῷ ἄμβωνι καὶ εἰς τὸν Ν' λέγομεν τὸ προγεγραμμένον τροπάριον. Καὶ περὶ ὥραν α' κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται τὸ προγεγραμμένον τροπάριον, καὶ ἀνέρχεται ἡ λιτὴ ἐν τῷ φόρῳ, καὶ δοξάζουσιν οἱ ψάλται, καὶ λέγεται εὐχὴ, ἀντίφωνον τὸ α' ψαλμὸς με', Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β' ψαλμὸς μς', Ἀλληλούια ἁπλοῦν δεϊλινόν, τὸ γ' ψαλμὸς μζ' [л. 123) μετὰ τὸ τροπάριον ἦχος δ'· Ἡ κυρίως καὶ ἀληθῶς Θεοτόκος ἡ πρεσβεύουσα ὡς Μήτηρ ἐν παρ[1]). Καὶ μετὰ τοῦτο ποιεῖ ὁ πατριάρχης εὐχὴν καὶ εἰρηνεύει, καὶ εὐθὺς λέγει ὁ ψάλτης προκείμενον ἦχος γ'· Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, ἀνάγνωσμα Πράξεων τῶν ἀποστόλων· Ἐν ταῖς ἡμέραις ἐκείναις χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν. Ἀλληλούια ἦχος δ', στίχος· Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. λδ'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, καθὼς ἠγάπησέ με ὁ πατὴρ. [об.) Ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον καὶ πάλιν ἄρχονται οἱ ψάλται τῆς λιτῆς τροπάριον ἦχος δ'· Τὴν πόλιν ἡμῶν, Κύριε, ὡς τῆς οἰκουμένης ὀφθαλμὸν (что выше). Καὶ τῆς λιτῆς ὑποστρεφούσης καὶ εἰσερχομένων ἐν τῇ ἐκκλησίᾳ δοξάζουσιν οἱ ψάλται. Ἀντίφωνα οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ Τρισάγιον, τὸ προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος Πράξεων τῶν ἀποστόλων· Ἐν ταῖς ἡμέραις ἐκείναις Ἀγρίππας ὁ βασιλεὺς τῷ Παύλῳ ἔφη. [л. 124) Ἀλληλούια ἦχος β', Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ρκε'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν ἀγαπᾶτέ με. Κοινωνικὸν· Αἰνεῖτε τὸν Κύριον.

ιβ' Μνήμη τοῦ ἁγίου Ἐπιφανίου ἀρχιεπισκόπου Κωνσταντίας τῆς Κύπρου. Οὗτος ὁ μέγας καὶ θαυματουργὸς ἀρχιερεὺς τῆς τῶν Κυπρίων νήσου, γενόμενος Ἐλευθερουπόλεως γαιηπονῶν, ἔχων πατέρα καὶ μητέρα

[1]) Въ рукописи этотъ тропарь не оконченъ.

Ἑβραίων ὄντων τῷ γένει. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ πατριάρχου, υἱοῦ Ἰουστινιανοῦ τοῦ Πατρικίου, ἀνδρὸς περιφανοῦς καὶ περιβοήτου, καὶ ἀρχὰς δημοσίας πλείστας διοικήσαντος ἐπὶ Ἡρακλείου τοῦ βασιλέως καὶ τῶν τέκνων αὐτοῦ, ὄντινα ἔκγονος [οδ.) Ἡρακλείου ὡς βασιλεῦσαι μέλλοντα ἀπέκτεινε, Γερμανὸν δὲ τὸν υἱὸν αὐτοῦ τραχύτερον ὄντα εὐνούχησε καὶ ἐποίησε κληρικὸν τῆς καθολικῆς ἐκκλησίας. Οὗτος ἐν πλείστοις χρόνοις κατήντησεν ἕως τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, καὶ πρῶτον μὲν χειροτονεῖται μητροπολίτης Κυζίκου, ὕστερον δὲ διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν καὶ διὰ τὸ εἶναι αὐτὸν σοφὸν πάνυ καὶ λόγιον μετήγαγον ἀπὸ Κυζίκου εἰς Κωνσταντινούπολιν καὶ ἐποίησαν πατριάρχην. Εὐφυής τε ὢν καὶ ἀσματικὸς ἐποίησε τροπολόγια εἰς τὲ πάντας ἑορτὰς καὶ εἰς ἁγίους πλείστους πλήρη χάριτος Θεοῦ καὶ γνώσεως ὄντα, ἅτινα τῷ γλυκασμῷ τῆς ἡδονῆς ὑπὲρ κηρίον καὶ μέλι εὐφραίνουσι τὰ τῆς καρδίας αἰσθητήρια. Τοῦ δὲ βασιλέως Λέοντος [π. 125) τὰς ἱερὰς βίβλους αὐτοῦ, ἃς περὶ τῆς ὀρθοδόξου πίστεως συνέταξε, πυρὶ κατακαύσαντος, μόλις βραχέα τινὰ διασωθῆναι τῶν αὐτοῦ ποιημάτων. Ταῦτα ἰδὼν ὁ μακάριος καὶ ὡς οὐδὲ ὠφέλησε λαλῶν ἔθηκε τὸ ὠμοφόριον αὐτοῦ ἐν τῇ θείᾳ τραπέζῃ καὶ ἐξελθὼν ἡσύχασε ἐν τῷ οἴκῳ αὐτοῦ, καταντήσας εἰς βαθύτατον γῆρας, ζήσας περὶ τὰ ἐννενήκοντα ἔτη καὶ πρόσω· θάπτεται ἐν τῷ μοναστηρίῳ τῆς Χώρας. Τῇ αὐτῇ ἡμέρᾳ ἀθλησις τῆς ἁγίας μάρτυρος Γλυκερίας ἐπὶ Ἀντωνίνου βασιλέως καὶ Σαβίνου ἡγεμόνος τῆς Εὐρώπης ἐν Τραϊανουπόλει. Τροπάριον ἦχος β΄· Τῶν ἱεραρχῶν σου, Κύριε, τὴν μνήμην ἑορτάζοντες, δι' αὐτῶν σε δυσωποῦμεν, σῶσον τὰς ψυχάς. Προκείμενον ἦχος βαρὺς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσομεν. [οδ.) Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Βαρνάβας καὶ Παῦλος. Ἀλληλούια ἦχος β΄, στίχος· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. 4γ΄· Εἶπεν ὁ Κύριος· ἐγώ εἰμὶ ἡ θύρα. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιγ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐν Ῥώμῃ στρατιώτης ἐπὶ κόμητος Τιβεριανοῦ. Καὶ τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου Πατάρων. Καὶ μνήμη τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Διακονίσσης. Καὶ μνήμη Πολυβίου μαθητοῦ τοῦ ἁγίου Ἐπιφανίου.

ιδ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου ἐπὶ Δεκίου βασιλέως ὥρμητο δὲ ἐκ τῆς μεγαλωνύμου πόλεως Ἀλεξανδρείας, στρατιώτης Ὀπτίωνος τόπον ἔχων, ὅστις κατέλαβε μετὰ στόλου ἐν Χίῳ τῇ νήσῳ, ταξι-

ἀρχοῦντος Νουμερίου, τούτῳ διαβληθεὶς [π. 126) ὁ ἅγιος ὑπὸ Ἰουλίου Κεντυρίωνος. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Παχωμίου καὶ Θεοδώρου ἡγουμένου. Οὗτος ὁ πατὴρ ἡμῶν ὑπῆρχεν ἐκ τῆς Αἰγυπτίων χώρας Θηβαΐδος τῆς κάτω ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, γονέων Ἑλλήνων ὑπάρχων. Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαξίμου. Οὗτος ἦν μάρτυς ἀληθὴς χριστιανὸς καὶ διδάσκαλος τῆς εὐσεβείας γεγονὼς καὶ τὸν Χριστὸν κηρύξας πολλὰς ὕβρεις καὶ αἰκίας ὑπὸ τῶν ἀπίστων ὑπομείνας λιθόλευστος γενόμενος τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο.

ιε΄. Μνήμη τοῦ ἁγίου προφήτου Ζαχαρίου τοῦ ἐν τοῖς ιε΄. Οὗτος ἦν υἱὸς Βαραχίου, ὅστις καὶ ἦλθεν ἀπὸ τῆς [οδ.) Χαλδαίων ἤδη προβεβηκὼς καὶ ἐκεῖ ὢν πολλὰ τῷ λαῷ προεφήτευσε καὶ τέρατα πολλὰ ἔδωκεν εἰς ἀπόδειξιν. Οὗτος εἶπε τῷ Ἰωσεδὲκ, ὅτι γεννήσει υἱὸν καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει τῷ Κυρίῳ, οὗτος καὶ τὸν Σαλαθαὴλ εὐλογεῖ ἐπὶ υἱῷ λέγων, ὅτι γεννήσει υἱὸν καὶ καλέσει τὸ ὄνομα αὐτοῦ Ζωροβάβελ, καὶ ἐπὶ Κύρου τοῦ βασιλέως τῶν Περσῶν ἔδωκεν εἰς νῖκος περὶ Κροίσου τῶν Λυδῶν βασιλέως καὶ ἕτερα πολλὰ προφητεύσας ἀπέθανεν ἐν γήρει καλῷ καὶ μακρῷ καὶ ἐτάφη ἐγγὺς Ἀγγαίου τοῦ προφήτου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Πέτρου καὶ Διονυσίου καὶ Χρηστίνης παρθένου, Ἀνδρέου καὶ Παύλου ἐν Ἀθήναις. Καὶ ὁ μὲν Πέτρος ἦν ἐκ Λαμψάκου πόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας, Παῦλος δὲ καὶ Ἀνδρέας ἐκ Μεσοποταμίας, [π. 127) ὄντες στρατιῶται, ἦλθον σὺν τῷ ἄρχοντι ἐν Ἀθήναις, ἐν αὐταῖς δὲ συνελήφθη Διονύσιος καὶ Χρηστίνα παρθένος ὡραία σφόδρα ὡς ἐτῶν ις΄. Καὶ τοῦ ἁγίου μάρτυρος Βαχθισσόη καὶ Ἰσαακίου καὶ Συμεὼν ἐν Περσίδι ἐπὶ Σαβωρίου βασιλέως Περσῶν καὶ τῶν ἁγίων μαρτύρων Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου ἐν Ἀθήναις μαρτυρήσαντες. Οὗτοι προσήχθησαν τῷ ἄρχοντι καὶ μετὰ πολλὰς αἰκίας μὴ πεισθέντες πυρὶ παραδίδονται. Καὶ ἡ εὕρεσις τῆς ἀχειροποιήτου εἰκόνος ἐν Καμουλιαναῖς.

ις΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀβδᾶ καὶ Ἀβδιησοῦ ἐπισκόπου καὶ πρεσβυτέρων ις΄, καὶ διακόνων θ΄, καὶ μοναζόντων ς΄, καὶ παρθένων ζ΄ ἀπὸ πατρίδος Χασχὰρ. Οὗτος ὁ ἅγιος Ἀβδίησος ὁ ἐπίσκοπος [οδ.) ὢν ἐν Περσίδι διεβλήθη ὑπὸ τοῦ ἰδίου ἀνεψιοῦ διακόνου τῷ βασιλεῖ τῶν Περσῶν. Καὶ τοῦ ἁγίου ἀποστόλου Ἰούδα ἀδελφοῦ Ἰακώβου, καὶ μνήμη τῶν ἁγίων ἀββάδων τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα τελειωθέντων καὶ τοῦ ἁγίου Ἀλεξάνδρου ἐπισκόπου Ἱεροσολύμων.

ιζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σολόχωνος καὶ τῶν σὺν αὐτῷ ἐπὶ Μαξιμιανοῦ βασιλέως, αἰγύπτιος τῷ γένει, στρατιώτης τὴν ἀξίαν.

ιη'. Ἄθλησις τῶν ἁγίων ζ' παρθένων καὶ Θεοδότου μάρτυρος ἐν Ἀγκύρᾳ. Αὗται αἱ ἅγιαι παρθένοι ζ'· Τεκοῦσα, Ἀλεξανδρία, Κλαυδία, Φαεινή, Εὐφρασία, Ματρώνα, Ἰουλία ἀπὸ Ἀγκύρας τῆς Γαλατίας. Οὗτος ὁ ἅγιος Θεόδοτος ζευχθεὶς γυναικὶ χριστιανὸς ὢν τὴν τοῦ καπήλου ἐμπορίαν μετήρχετο καὶ τοῦτο ἐπετήδευσε διὰ τὸν βαρύτατον διωγμὸν [л. 128) τοῦ ἄρχοντος Θεοτέκνου κατὰ τῶν χριστιανῶν καὶ ὑπῆρχε λιμὴν τῶν διωκομένων ἀνυφόρατος. Καὶ τοῦ ἁγίου ἀποστόλου Ἐπαφροδίτου καὶ τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ καὶ Θεοδωρήτου πρεσβυτέρου, καὶ ἄθλησις Θεοδώρου πάπα Ῥώμης, καὶ μνήμη τοῦ ὁσίου Μαρτινιανοῦ.

ιθ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Πατρικίου, ἐπισκόπου Προύσης καὶ τῶν σὺν αὐτῷ ἁγίων· Ἀκακίου, Μενάνδρου, Πολυαίνου ἐπὶ Ἰουλιανοῦ ὑπατικοῦ καὶ τοῦ ἁγίου μάρτυρος Ἀκολούθου ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐκ τῆς Θηβαΐδος τῆς Αἰγύπτου ἐν Ἑρμουπόλει.

κ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θαλλελαίου ἐπὶ Νουμεριανοῦ βασιλέως ὁρμώμενος ἐκ τοῦ Λιβάνου, γονέων Βερροκίου καὶ Ῥωμυλίας προσαγορευόμενοι. Καὶ τοῦ ἁγίου μάρτυρος Ἀκλᾶ. Οὗτος ἦν ἐκ Θηβαΐδος τῆς Αἰγύπτου ἐπὶ Ἀρριανοῦ ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Μάρκου τοῦ ἐρημίτου καὶ τοῦ ὁσίου Θαλασσίου. [об.) Καὶ τὰ ἐγκαίνια τοῦ εὐκτηρίου τῶν ἁγίων πάντων ἐν Βούλῳ.

κα'. Τῶν ἁγίων καὶ εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλέων ἡμῶν Κωνσταντίνου καὶ Ἑλένης· Οὗτος υἱὸς ἦν Κωνσταντίου ἐπιλεγομένου τοῦ Χλωροῦ καὶ Ἑλένης τῆς ἁγίας· ἐβασίλευσεν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ κατὰ τὸ εωιη' ἔτος ἀπὸ κτίσεως κόσμου, ἀπὸ δὲ τῆς ἐν σαρκὶ ἐπιδημίας τοῦ Σωτῆρος ἡμῶν ἔτος τιη', λβ' ἔτη ἐβασίλευσεν ἀπὸ τῆς ἀρχῆς Αὐγούστου τῆς Ῥωμαίων βασιλείας βασιλεύσας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μάρκου τοῦ μετὰ τῶν ἁγίων Καλυτίνου καὶ τοῦ ἁγίου Ἡρακλείου. Εἰς τὸν Ν' τροπάριον ἦχος πλ. δ'· Τοῦ σταυροῦ σου τὸν τύπον. [л. 129) Прокименъ, апостолъ и евангеліе, что нынѣ. Ἀλληλούια ἦχος δ', Μνήσθητι, Κύριε, τοῦ Δαβίδ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κβ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Βασιλίσκου. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἀπὸ χώρας Χουμιαλὰ τῆς Ἀμασείας, ἀνεψιὸς [об.) τοῦ ἁγίου Θεοδώρου. Οὗτος συναθλήσας Εὐτροπίῳ τε καὶ Κλεονίκῳ, οἵτινες ὑπῆρχον συστρατιῶται τοῦ ἁγίου μάρτυρος Θεοδώρου· Βασιλίσκος τελειωθέντων μόνος ἦν ἐν τῇ φυλακῇ καὶ οὗτος μετὰ πολλὰς βασάνους

ἐτμήθη τὴν κεφαλήν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Σοφίας τῆς ἰατραίνης καὶ τοῦ ἁγίου ἀποστόλου Ἰούδα τοῦ Ζηλωτοῦ.

κγ'. Μνήμη τοῦ ὁσίου Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. Οὗτος ὁ θαυματουργὸς ἦν ἐπὶ Ἰουστίνου παλαιοῦ, γεγέννηται δὲ ἐν τῇ Ἀντιοχέων μεγαλοπόλει, πατέρα ἐσχηκὼς τὸ ὄνομα Ἰωάννην, ὁρμώμενον ἐκ τῆς Ἐδεσσηνῶν πόλεως καὶ Μάρθαν τὴν ἀοίδιμον αὐτοῦ μητέρα τῆς εἰρημένης Ἀντιοχείας Συρίας οὖσαν θρέμμα. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου πατρὸς ἡμῶν Μιχαὴλ Συνάδου. Ζήτει τὴν ἀκολουθίαν τοῦ ἁγίου Ἀντωνίου μηνὶ Ἰανουαρίῳ ιζ'.

κδ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μελετίου στρατηλάτου, [**л. 130**) Ἰωάννου καὶ Στεφάνου κομήτων καὶ τῶν σὺν αὐτοῖς μυρίων καὶ χιλίων διακοσίων πεντήκοντα σὺν γυναιξὶν καὶ παιδίοις ἐπὶ Ἀντωνίου βασιλέως. Ὁ δὲ ἅγιος Μελέτιος καὶ Ἰωάννης καὶ Στέφανος ὑπῆρχον ὁρμώμενοι ἐκ τῆς Γαλατῶν χώρας διεβλήθησαν Μαξίμῳ τῷ ἡγεμόνι τῆς Ταβιανῶν μητροπόλεως.

κε'. Ἄθλησις τοῦ ἁγίου Θεράποντος ἐπισκόπου γεγονότος τῆς Κύπρου καὶ ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου καὶ βαπτιστοῦ.

κς'. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἁλφαίου ἀδελφοῦ Κυρίου καὶ τῶν ἁγίων μαρτύρων Ἀβερκίου καὶ Ἑλένης.

κζ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοδώρου καὶ Διδύμου. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Εὐστρατίου ἡγεμονεύοντος τῆς Ἀλεξανδρέων πόλεως. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Ἀλυπίου καὶ Εὐβιώτου, [**об.**) Παύλου καὶ τῆς ἀδελφῆς Ἰουλιανῆς.

κη'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἑλικωνίδος ἐπὶ Γορδιανοῦ καὶ Φιλίππου βασιλέων ἐκ πόλεως Θεσσαλονίκης, Περίνιος δὲ δοὺξ τῆς Κορίνθου, ἐρωτήσας οὖν αὐτήν· εἰ θύει τοῖς θεοῖς, αὕτη δὲ θεολογικαῖς φωναῖς κατέπληξεν αὐτόν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Κρήσκεντος καὶ Παύλου καὶ Διοσκορίδους καὶ τοῦ ἁγίου Ναταλίου ρωμαίου καὶ Σαλονᾶ.

κθ'. Μνήμη τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τῆς πρώτης συνόδου καὶ περὶ τοῦ μακαρίου Ἀλεξάνδρου πάπα Ἀλεξανδρείας καὶ περὶ τοῦ δυσσεβοῦς Ἀρείου καὶ ὅπως ἤρξατο τῆς πρὸς αὐτὸν αἱρέσεως. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Θεοδοσίας καὶ τοῦ ἁγίου μάρτυρος Ὀλβιανοῦ καὶ τοῦ ὁσίου Ἰσαακίου ὁμολογητοῦ.

[**л. 131.**) λ'. Ἄθλησις τοῦ ἁγίου Ἰσαακίου πρεσβυτέρου καὶ μοναχοῦ. Οὗτος ἦν ἐξ Ἀνατολῆς καὶ ἐλθὼν εἰς τὸ Βυζάντιον ἐπὶ τῆς βα-

σιλείας Οὐάλεν(τος), ὄντι ἀρριανῷ ὑπήντησε τῷ Οὐάλεντι ἐξερχομένῳ ἐπὶ τῷ κατὰ Γότθων πολέμῳ καὶ λέγει· Βασιλεῦ, ἄνοιξον τὰς ἐκκλησίας τῶν ὀρθοδόξων. Ὁ γὰρ αὐτὸς βασιλεὺς ἀρριανὸς ὢν ὑπερμάχει τῶν αἱρετικῶν καὶ οὐκ ἐπείσθη ὑπακοῦσαι, καὶ μετ' ὀλίγον πάλιν ὑπαντήσας λέγει αὐτῷ· βασιλεῦ, ἄνοιξον τὰς ἐκκλησίας, ἐπεὶ οὐχ ὑποστρέφεις. Ὁ δὲ βασιλεὺς θυμωθεὶς ἤρξατο καλάζειν αὐτόν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου, Ῥωμανοῦ, Χαραλάμπου, Χρηστίνης καὶ τοῦ πλήθους τῶν ἁγίων τῶν ἐν Νικομηδείᾳ κοιμηθέντων ἐν ἐκκλησίᾳ. Καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Εὐφημίας ἐν Δεξιοκρατιαναῖς πλησίον τοῦ ἁγίου Λαυρεντίου.

[οδ.) λα'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἑρμείου ἐπὶ Ἀντωνίου βασιλέως ἐν Κομάνοις τῇ πόλει στρατιώτης γεγονὼς γηραιὸς καὶ λευκὸς τὴν τρίχα, ἀχθεὶς δὲ Σεβαστιανῷ τῷ δουκὶ θλάτεται τὰς σιαγόνας καὶ ἀφαιρεῖται τὸ δέρμα τῆς ὄψεως αὐτοῦ σὺν τοῖς ὀδοῦσιν αὐτοῦ, βάλλεται ἐν καμίνῳ πυρὸς, ἐξέρχεται ἀβλαβὴς, δίδουσιν αὐτῷ φάρμακα καὶ ἄπαξ καὶ δὶς καὶ μένει ἐξ αὐτῶν ἀβλαβής, ἐκσπᾶται τὰ νεῦρα πάντα, βάλλεται ἐν ἐκπυρωθέντι ἐλαίῳ καὶ ἀφαιροῦσιν αὐτοῦ τοὺς ὀφθαλμοὺς ἐπὶ ἡμέρας γ' κατὰ κεφαλῆς κρεμάσαντες καὶ λαβὼν τὴν διὰ ξίφους ἀπόφασιν ἐτμήθη τὴν κεφαλὴν καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ καὶ ἐτέθη ἐν Καππαδοκίᾳ ἐν τόπῳ λεγομένῳ Κομάνῃ.

[π. 123). Μὴν Ἰούνιος ἡμέρας ἔχων λ', ἡ ἡμέρα ἔχει ὥρας θ'.

α'. Ἄθλησις τῶν ἁγίων μαρτύρων, ὧν ὁ ἀριθμὸς μύριοι τῶν ἐν Ἀντιοχείᾳ ἐπὶ Δεκίου μαρτυρησάντων, καὶ τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου καὶ τοῦ ὁσίου Ὑπατίου. Ὁ μὲν θεῖος Ἰουστῖνος ἦν ἀπὸ Φλαβίας Νεαπόλεως τῆς Συρίας, υἱὸς Πρίσκου τοῦ Βακχείου, ὃς ἐλθὼν ἐν Ῥώμῃ ἐπὶ Ἀντωνίου τοῦ βασιλέως, τούτῳ λίβελον ἐπιδέδωκε κατὰ τῆς πλάνης τῶν ἑλλήνων καὶ ὁμολογίας τῆς ὑπὲρ τῆς πίστεως ἡμῶν τῶν χριστιανῶν. Οὗτος ὑπὸ Κρήσκεντος φιλοσόφου φθόνῳ βληθεὶς θανάτῳ παραδίδοται. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰουστίνου, Χαρίτωνος, Χαριτοῦς, Εὐελπίστου, Ἱέρακος, Παίωνος καὶ Λιβεριανοῦ ἐν Ῥώμῃ ἐπὶ Ῥουστικοῦ ἐπάρχου ἠρωτήθη παρ' αὐτοῦ· ἐὰν μαστιγωθῇς [οδ.) καὶ ἀποκεφαλισθῇς πέπεισαι, ὅτι μέλλεις ἀναβαίνειν εἰς τὸν οὐρανόν. Ἰουστῖνος εἶπεν· Ναί. Ῥουστικὸς ἔπαρχος εἶπε· τοῦτο οὖν ὑπονοεῖς, ὅτι ἀναβαίνεις εἰς τὸν οὐρανόν, ἀμοιβάς τινας χρηστὰς ἀπολαμβάνων. Ἰουστῖνος εἶπεν· οὐχ ὑπονοῶ, ἀλλ' ἀκριβῶς πεπληροφό-

ρημαι. Καὶ νομίμως ἀθλήσαντες ἐτμήθησαν τὰς κεφαλάς. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Ἑρμύλου καὶ Στρατονίκου ἐν τοῦ Πόσεως (?).

β΄. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Νικηφόρου καὶ τοῦ ὁσίου Γερασίμου, καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀκακίου καὶ τῆς συνοδίας αὐτοῦ, καὶ μνήμη τοῦ ὁσίου Ἐράσμου καὶ τοῦ ἁγίου Πύρου, ἐπισκόπου. Ζήτει τὴν ἀκολουθίαν τοῦ Χρυσοστόμου μηνὶ Νοεμβρίῳ.

γ΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Λουκιλλιανοῦ, Παύλης καὶ τῶν σὺν αὐτοῖς δ΄ νηπίων Κλαυδίου, Ὑπατίου, Παύλου, Διονυσίου [π. 133] ἐπὶ Αὐρηλιανοῦ βασιλέως. Ἱερεὺς τῶν εἰδώλων, πολιὸς τὴν τρίχα, τὴν οἴκησιν ἔχων ἀπὸ μιλίων β΄ τῆς Νικομηδείων πόλεως ἐπὶ Σιλβανοῦ κόμητος, καὶ τοῦ ἁγίου Ἀχυλᾶ ἐπισκόπου Ἀλεξανδρείας.

δ΄. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μητροφάνους ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, υἱὸς ὑπάρχων Δομετίου. Οὗτος ὁ Δομέτιος ἀδελφὸς ἦν Πρόβου τοῦ βασιλέως, καὶ οὗτος εἶχε δύο υἱοὺς Πρόβον καὶ Μητροφάνην. Οὗτος ἐξ ἑλλήνων πιστεύσας καὶ βαπτισθείς, ἐλθὼν εἰς τὸ Βύζαντιον, εὗρεν Τίτον, ἐπίσκοπον τοῦ Βυζαντίου, ὃς ἐκράτησε τὴν ἐπισκοπὴν ἔτη λ΄ καὶ μῆνας ς΄. Τοῦτον χειροτονήσας τὸν Δομέτιον Τίτος καὶ εἰς κλῆρον ἐλθόντα μετὰ τὴν αὐτοῦ τελευτὴν ἐπίσκοπον τοῦ Βυζαντίου καθιστᾶ καὶ τούτου δὲ κ΄ καὶ δ΄ ἔτη πρὸς μησὶν, καὶ τελευτήσαντος Πρόβος [οϐ.) ὁ αὐτὸς Δομετίου υἱὸς διαδέχεται τὴν ἱερωσύνην ἕως πληρώσεως ἐτῶν ιβ΄, καὶ μετὰ τὴν τούτου μετάστασιν Μητροφάνης, ὁ ἀδελφὸς τοῦ αὐτοῦ Πρόβου καὶ Δομετίου υἱὸς, ἐπίσκοπος τοῦ Βυζαντίου καθίσταται ἔτη ιε΄ πρὸς μῆνας τῇ ἱερατείᾳ, ἐφ' οὕπερ Κωνσταντῖνος ἕνεκεν τῆς πρὸς Λικίνιον παρατάξεως καταλαβὼν τὸ Βυζάντιον καὶ ἀρεσθεὶς τῇ τοῦ ἀνδρὸς σεμνότητι καὶ τῇ τῶν τρόπων εὐκοσμίᾳ τε καὶ θέσει, κατανοήσας τε, ὡς ταῖς εὐχαῖς τοῦ μεγάλου Μητροφάνους ἐγκρατὴς τοῦ κατὰ Λικίνιον πολέμου ἐγένετο τοῦ πολέμου, εὐθὺς τὰ τῆς Ῥώμης βασίλεια εἰς τὸ Βυζάντιον μετατίθησιν. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μυροφόρων Μαρίας καὶ Μάρθας. Εἰς τὸν Ν΄ τροπάριον ἦχος δ΄· Πρωτοτόκου βασιλείας πατὴρ ὀρθοδόξου λατρείας ποιμὴν ἀνεδείχθης, [π. 134] ὅσιε, καὶ τῆς ἐκκλησίας τῆς πάντων μητρὸς ἐφάνης φωστὴρ, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος βαρὺς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Παῦλος καὶ Βαρνάβας. Ἀλληλούια ἦχος δ΄, Δί-

καιος, ὡς φοίνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. πθ'· Εἶπεν ὁ Κύριος ἐγὼ εἰμὶ ἡ θύρα. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

ε'. Ἄθλησις τῶν ἁγίων ι' μαρτύρων· Μαρκιανοῦ, Νικάνδρου, Ἀπόλλωνος, Λεωνίδους, Ἀρείου, Γοργίου, Ὑπερεχίου, Σεληνιάδος, Εἰρήνης καὶ Πάμβωνος. Οὗτοι ὑπῆρχον τῷ ἐν Αἰγύπτῳ ἄρχοντι διὰ τὸ μὴ ἀρνήσασθαι τὸν Χριστὸν λιμῷ καὶ δίψει καὶ καύσωνι παραδοθέντες, [об.) τὸν ἀγῶνα τοῦ μαρτυρίου τετέλεκαν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου. Οὗτος ἐπίσκοπος γεγονὼς Τύρου, ἀρχαῖος ἀνὴρ καὶ πνευματοφόρος ἐν τοῖς χρόνοις Λικινίου καὶ Κωνσταντίνου γεγονώς. Οὗτος ἐπὶ διωγμοῦ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, καταλιπὼν τὴν ἰδίαν παροικίαν ἀπείη ἐν τῇ Ὀδυσσουπόλει κἀκεῖ διεσώθη, καὶ μετὰ τὴν τελευτὴν τῶν τυράννων, κατέλαβε τὴν ἰδίαν πόλιν Τύρον καὶ ἦν ἡθύνων τὴν ἐκκλησίαν μέχρι Ἰουλιανοῦ τοῦ παραβάτου, καὶ πάλιν κατέλαβε τὴν Ὀδυσσούπολιν καὶ πολλοὺς κινδύνους ὑπομείνας ταῖς βασάνοις ἐναπέθανεν ἐν γήρει βαθυτάτῳ, ζήσας ρζ' ἔτη. Οὗτος καὶ συγγράμματα κατέλειπε, γέγονε δὲ καὶ πολλοῖς τὸ διὰ εὐφυείαν καὶ ἐπιμέλειαν [л. 135) ῥωμαϊκήν τε καὶ ἑλληνικὴν γλῶσσαν ἐπιστάμενος. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Ἐπιφανίου πατριάρχου καὶ τῶν ἁγίων μαρτύρων Κόνωνος καὶ Χριστοφόρου τοῦ Κυνοκεφάλου, καὶ ἡ ἔλευσις τῶν βαρβάρων[1]). καὶ λιτὴ ἐν τῷ κάμπῳ. Ἑσπέρας εἰς τὴν παραμονὴν ἀναφέρομεν τῷ πατριάρχῃ καὶ εἰς τὸν ὄρθρον ἀπὸ τοῦ πρώτου ἀντιφώνου εἰσερχόμεθα ἔσω, καὶ κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ψαλλομένου ἀντιφώνου γίνεται εὐχὴ τοῦ Τρισαγίου καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι τροπάριον ἦχος πλ. δ'· Ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι εἰσήκουσας τῆς τεκούσης σε Παρθένου μητρὸς καὶ διεφύλαξας πόλιν εἰς σὲ καταφεύγουσαν κατὰ τὸ μέγα σου ἔλεος. Καὶ εἰς τὸν φόρον δοξάζουσι, καὶ ὁ διάκονος [об.) τὸ μέγα Κύριε ἐλέησον, καὶ πάλιν ἄρχονται οἱ ψάλται τὸ αὐτὸ τροπάριον καὶ εἰς τὴν χρυσίαν πόρταν δοξάζουσι καὶ λοιπὸν προκείμενον[2]) ἦχος βαρὺς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ, στίχος· Ἐνέγκατε

[1]) Въ рукоп. апостолахъ патріаршей іерусал. библ. № 53 и № 285: Μνήμη ἐπιτελοῦμεν τοῦ κάμπου τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀνάγκης ἐν τῇ τῶν βαρβάρων ἐπιδρομῇ, δι' ἣν ἐλυτρώσατο ἡμᾶς ὁ Θεὸς ἡμῶν. Рукоп. Апостолъ синайск. библ. XI—XII в. № 286: Μνήμη τῆς ἐπιλεύσεως τῶν βαρβάρων ἡ λιτὴ ἐν τῷ κάμπῳ— [2]) Ἐν τῷ τριβουναλίῳ λέγεται προκείμενον ἦχος γ'· Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, στίχος· Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος.

τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὃν ἀγαπᾷ Κύριος παιδεύει. Ἀλληλούια [1]) ἦχος πλ. α΄, στίχος· Ὁ Θεὸς ἀπώσω ἡμᾶς. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ξθ΄· Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον. Δεῖ εἰδέναι ὅτι ὁ πατριάρχης ἀναγινώσκει καὶ γίνεται ἡ τάξις ὡς προγέγραπται καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου κηρύσσει ὁ διάκονος· Πρόσχωμεν. Γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι κατὰ τὴν προλαβοῦσαν συγήθειαν συντρέχοντες ἀπερχόμεθα ἐν τῷ προφητείῳ [л. 136] τοῦ Προδρόμου [2]) τῷ ὄντι πλησίον τοῦ ἑβδόμου, τὴν θείαν λειτουργίαν ἐκεῖσε ἐπιτελοῦντες, πάντες συνδράμωμεν. Ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον καὶ εὐχὴ συναπτή. Εἰς δὲ τὸν ἅγιον Ἰωάννην τὸν Βαπτιστὴν γίνονται ἀντίφωνα γ΄, καὶ εἰς τὸ γ΄ ἀντίφωνον λέγομεν τροπάριον ἦχον β΄· Μνήμη δικαίου. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους. Ἀδελφοὶ ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει. Ἀλληλούια ἦχος πλ. δ΄, στίχος· Κύριε μὴ τῷ θυμῷ σου. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρκγ΄· Τῷ καιρῷ ἐκείνῳ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· Κύριε, δίδαξον ἡμᾶς [об.] Κοινωνικόν· Αἰνεῖτε [3]) τὸν Κύριον.

ς΄. Ἄθλησις τῶν ἁγίων παρθένων Μαρίας, Μάρθας καὶ τῆς συνοδίας αὐτῶν καὶ Ζηναΐδος μάρτυρος.

ζ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδότου Ἀγκύρων ἐπὶ Θεοτέκνου ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ἀνθίμου πρεσβυτέρου καὶ Στεφάνου καὶ τῆς Σεβαστιανῆς.

η΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Νικάνδρου καὶ Μαρκιανοῦ. Οὗτοι στρατιωτικῆς τάξεως ὄντες ἐπὶ Μαξιμιανοῦ ἡγεμόνος ἐξετασθέντες καὶ φρουρᾷ βληθέντες τὰς κεφαλὰς ἀπετμήθησαν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου τοῦ Εὐχαϊτῶν ἐπὶ Λικινίου βασιλέως, γεννηθεὶς μὲν ἐν Εὐχαΐτοις, ἐν δὲ τῇ Ἡρακλείᾳ κατοικήσας, πάνυ εὔμορφος ὑπάρχων τῇ βλέψει καὶ πάνσοφος τῇ γνώσει, καὶ σχολαστικὸς [л. 137] καὶ συνήγορος βασιλεῦσι γεγονὼς, ὃν καὶ βρουορήτορα προσηγόρευσαν, νέος μὲν τῇ ἡλικίᾳ, παλαιὸς δὲ τὴν φιλόθεον αὐτοῦ

---

[1]) Ἀλληλούια ἦχος δ, Μνησθήτω τῆς συναγωγῆς σου, στίχος· Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν.—[2]) Ἀπὸ δὲ τοῦ τριβουναλίου ἕως τὸν ἅγιον Βαβύλον τροπάριον ἦχος πλ α΄ Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων. Въ рукоп. Синайск. библ. № 286: ἐν δὲ τῷ ναῷ τοῦ Θεολόγου προκείμενον· Σῶσον Κύριε, στίχος· Πρός σε, Κύριε—[3]) Ἀγαλλιᾶσθε.

πράξιν. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας Θεοτόκου ἐν τῷ Σωσθενίῳ τοῦ πηγαδίου. Ἡ ἀκολουθία τῷ α' σαββάτῳ τῶν νηστειῶν.

θ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀλεξάνδρου καὶ Ἀντωνίνης. Ἀντωνίνα ἦν ἀπὸ κώμης Β(κ)ροδάμμων ἐπὶ Φήστου ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ὁσίας Πελαγίας τῆς ἀπὸ ἑταιρίδων. Αὕτη ἦν ἀπὸ μιμάδων ἐκ πόλεως Ἀντιοχείας, πρώτη τῶν μιμάδων καὶ ὀρχηστρίδων καὶ τῆς πορνίας δεινὸν καταγώγιον, ἥτις ἀκούσασα τῆς διδασκαλίας τοῦ ἁγίου Νόνου τοῦ ἐπισκόπου, ῥίψασα ἑαυτὴν εἰς τοὺς πόδας αὐτοῦ, ἐξωμολογήσατο τὰς ἁμαρτίας αὐτῆς. Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Σωσθενίῳ, καὶ ἄθλησις Ἀλεξάνδρου, [οϐ.) ἐπισκόπου Βιθυνίας Προύσης. Τὴν ἀκολουθίαν τοῦ ἁγίου Βασιλείου Ἰανουαρίῳ α'.

ι'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Τιμοθέου τοῦ ἐν Προύσῃ. Οὗτος ἦν ἐπὶ Ἰουλιανοῦ τοῦ τυράννου διώκτου τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ, ἐν αἷς ἡμέραις ἐσκίρτα ὁ διάβολος ἐν τοῖς ὀργάνοις αὐτοῦ τοῖς ἀρχαίοις κινούμενος, ὅθεν καὶ διὰ δράκοντος μεγάλου τὴν ἐξαπολὴν ἐλυμαίνετο. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων Θεοφάνους καὶ Πανσέμνης ἐξ Ἀντιοχείων τῆς πόλεως ἐξ ἑλλήνων φὺς γονέων Ἡ δὲ Πανσέμνη πόρνη ὑπῆχε πρότερον.

ια'. Τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα. Οὗτος ὁ καὶ υἱὸς τῆς Παρακλήσεως ὑπῆρχεν ἐκ φυλῆς τοῦ Λευΐ, ὅθεν Μωσῆς καὶ Ἀαρὼν καὶ Σαμουὴλ, γεννᾶται δὲ ἐν Κύπρῳ, ἐκεῖσε τῶν γονέων αὐτοῦ τὴν οἴκησιν ἐχόντων. Οὗτος πρῶτος ἐν Ἱερουσαλὴμ [π. 138) καὶ ἐν τῇ Ῥώμῃ καὶ ἐν Ἀλεξανδρείᾳ ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ ἀπῆλθεν εἰς Κύπρον ὑπὸ Ἰουδαίων καὶ Ἑλλήνων λίθοις ἐκτάνθη καὶ πυρὶ παρεδόθη, ὃν Μάρκος συγκομίσας ἔθετο ἐν σπηλαίῳ, καὶ πλεύσας εἰς Ἔφεσον πρὸς Παῦλον ἀνήγγελε τὴν κοίμησιν Βαρνάβα, ὃν καὶ ἔκλαυσεν ὁ Παῦλος ἐπὶ πολύ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Ὀνουφρίου Αἰγύπτιον ὄνομα. Οὗτος ἦν ἐκ Κοινοβίου, λεγομένου Ἐρητήτου, διακειμένου ἐν ἐρήμῳ πόλεως τῆς τῶν Θηβαίων χώρας. Προκείμενον ἦχος πλ. δ'· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις διασπαρέντες οἱ ἀπόστολοι. Ἀλληλούια ἦχος α', Ἐξομολογήσονται οἱ οὐρανοί. [οϐ.) Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. Νς'· Τῷ καιρῷ ἐκείνῳ συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς ιβ' μαθητὰς αὐτοῦ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιβ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀντωνίνης ἐκ πόλεως Νικαίας τῆς Βιθυνῶν ἐπαρχίας ἐπὶ βασιλέως Διοκλητιανοῦ καὶ Μαξίμου καὶ

Πρισκιλλιανοῦ ἄρχοντος. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Τριφυλλίου καὶ Ζήνωνος ἐπισκόπου.

ιγ΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀκυλίνης ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ πόλεως Βίβλου τῆς Παλαιστίνης, θυγάτηρ Εὐτολμίου τινὸς ἀνδρὸς περιφανεστάτου, πενταετὴς βαπτισθεῖσα ὑπὸ Εὐθαλίου ἐπισκόπου, δεκαετὴς γενομένη διαβάλλεται Οὐαλισιανῷ τῷ ἀνθυπάτῳ παρὰ Νικοδήμου τινός. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Εὐλογίου, ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ Ἀντιπάτρου, ἐπισκόπου Βόστρων [σ. 139].

ιδ΄. Τοῦ ἁγίου Ἐλισαίου τοῦ προφήτου. Οὗτος ἦν ἐξ Ἀμελμούθ, ἐκ τῆς γῆς τοῦ Ῥουβίμ, καὶ ἐπὶ τούτῳ γέγονεν ὅτι ἡνίκα ἐτέχθη ἐν Γαλγάλοις ἡ δάμαλις ἡ χρυσῆ ἡ ἐν Σιλὼμ ὀξὺν ἐβόησεν, ὥστε ἀκουσθῆναι ἐν Ἱερουσαλὴμ καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν ὀηλῶν, ὅτι προφήτης ἐτέχθη ἐν Ἱερουσαλὴμ σήμερον, ὃς καθελεῖ τὰ γλυπτὰ καὶ συγκλάσει τὰ χωνευτά· πολλὰ δὲ τεράστια ἐποίησεν ὁ Θεὸς διὰ χειρῶν τοῦ Ἐλισαίου τοῦ προφήτου καὶ θανὼν ἐτάφη ἐν Σαμαρείᾳ ἐν Σεβαστοπόλει. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μεθοδίου, πατριάρχου Κωνσταντινουπόλεως τοῦ τὴν ὀρθοδοξίαν ἀνεγείραντος καὶ τὴν πλάνην ἀποδιώξαντος. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις [σ. 66.] τοῦ ἁγίου ἱερομάρτυρος Κυρίλλου, ἐπισκόπου Γορτύνης τῆς Κρητῶν νήσου, ἐπὶ Μαξιμιανοῦ βασιλέως καὶ Ἀδριανοῦ ἡγεμόνος. Προκείμενον ἦχος β΄· Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι, στίχος· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀγαπητοί, μακροθυμήσατε. Ἀλληλούια ἦχος δ΄, Εὐφράνθητε δίκαιοι ἐν Κυρίῳ. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ιθ΄. Τῷ καιρῷ ἐκείνῳ ἐθαύμαζον οἱ ὄχλοι. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ιε΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Δουλᾶ ἐκ τοῦ Ζεφυρίου πραιτωριάδος, ἐπαρχίας Κιλικίας ἐπὶ Μαξιμιανοῦ ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βονιφατίου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως μιζωτέρως (?) συγκλητικῆς τινος ὀνόματι Ἀγλαΐδος ἐν Ῥώμῃ, θυγατρός τινος ἀνθυπάτου, πολλῶν χρημάτων κυριεύουσα· Ἦν δὲ οὗτος ὁ Βονιφάτιος συγκοινωνῶν τὴν κυρίαν αὐτοῦ πρὸς σωματικὴν ἁμαρτίαν, τρία δὲ εἶχεν ἀγαθά· φιλόξενος, εὐμετάδοτος καὶ ἐλεήμων. Καὶ μνήμη τῆς ἁγίας Θεοτόκου πέραν ἐν τοῖς Μαρινακίου.

ις΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τύχωνος, ἐπισκόπου Ἀμαθούντων, πόλεως τῆς Κύπρου. Οὗτος γεγέννηται ἐκ φιλοχρίστων καὶ εὐσεβῶν γονέων.

ιζ΄. Τοῦ ἁγίου Ἀμὼς τοῦ προφήτου. Οὗτος ἐγεννήθη ἐν Θεκοῦεν τῇ Ζαβουλών, ἐστὶ δὲ πατὴρ Ἡσαΐου τοῦ προφήτου, Ἀμασίας δὲ ἱερέως

Βεθήλ. Τῇ αὐτῇ ἡμέρᾳ [οδ.) ἄθλησις τῶν ἁγίων μαρτύρων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαὴλ. Οὗτοι ὑπῆρχον ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἐκ Περσίδος, ἀδελφοὶ ἑνὸς πατρὸς, ὡραῖοι μὲν τῷ κάλλει, νέοι τῇ ἡλικίᾳ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἀνθρώπου τοῦ Θεοῦ Ἀλεξίου ἐπὶ Ἀρκαδίου καὶ Ὀνωρίου τῶν βασιλέων.

ιη΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Λεοντίου καὶ τῶν σὺν αὐτῷ Ὑπάτου καὶ Θεοδούλου, Ποπλίου, Δομετιανοῦ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Οὐεσπασιανοῦ.

ιθ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ζωσίμου. Οὗτος ἦν στρατιώτης ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Θαδαίου καὶ τοῦ Ἀρχιστρατήγου πλησίον τοῦ φόρου.

κ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀσυκρίτου καὶ τῆς συνοδίας αὐτοῦ, καὶ μνήμη Ἰωσὴφ τοῦ ἀναχωρητοῦ.

κα΄. Ἄθλησις τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ ἐν Αἰγύπτῳ [π. **141**) καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων ἁγίων.

κβ΄. Μνήμη τοῦ ἁγίου Εὐσεβίου, ἐπισκόπου Σαμοσάτων ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως. Οὗτος ἦν ἀνὴρ ἱεροπρεπὴς καὶ ζηλωτὴς τῆς ὀρθοδοξίας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ζήνωνος καὶ Ζήνας. Οὗτος ὁ Ζήνων ὑπῆρχε στρατιώτης τῆς Φιλαδελφίας τῆς Ἀραβίας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων, Πομπιανοῦ, Σατορνίνου, Γαλακτίονος καὶ Ἰουλιανῆς.

κγ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀριστοκλέους πρεσβυτέρου καὶ τῆς συνοδίας αὐτοῦ, Δημητριανοῦ διακόνου καὶ Ἀθανασίου ἀναγνώστου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐστοχίου καὶ τῶν σὺν αὐτῷ. Οὗτος Εὐστόχιος πρεσβύτερος καὶ Γαϊανὸς καὶ τὰ τρία [οδ.) νήπια Πρόβη, Λολλὸς καὶ Οὐρβάσιος ὑπῆρχον ἐκ πόλεως Οὐσάδων καὶ τῆς ἁγίας Ἀγριππίνης καὶ Βάσσης.

κδ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρεντίου καὶ τῶν ἀδελφῶν αὐτοῦ. Οὗτοι οἱ ἅγιοι ὑπῆρχον ζ΄ ἀδελφοί, οἵτινες καλοῦνται· Ἐρὼς, Ὀρέντιος, Φαρνάκιος, Φίρμος, Φιρμῖνος, Κυριακὸς καὶ Λογγῖνος ἐπὶ Διοκλητιανοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ Προδρόμου τὸ χαροποιὸν γενέθλιον. Εἰς τὸν Ν΄ τροπάριον ἦχος πλ. δ΄· Ὁ Ἰωάννης προῆλθεν ἐκ κοιλίας, καὶ ὁ γεννήτωρ ἐλύθη ἀφωνίας, ἐγράφετο ἐν δέλτῳ ὁ τῆς ἐρήμου κήρυξ, ἠγάλλετο τὸ γένος ἐπὶ τῇ ξένῃ κλήσει, ἡ στεῖρα τὰ μητέρων ἐκαυχάτω, βαστάζουσα τὸν παῖδα ἐν ἀγκάλαις, θαυματουργὲ Κύριε, δόξα σοι. Ἄλλο εἰς τὴν εἴσοδον τῆς λειτουργίας ἦχος δ΄· Ἱερεὺς καρποῦται δι' ἀγγέλου τὸ θαῦμα, [π. **142**) ἡ στεῖρα βλαστάνει τὸν Πρόδρο-

μον τοῦ λόγου, Ἰωάννην τὸν κήρυκα καὶ σωτήριον ὁδηγόν, ὅθεν καὶ ἡμεῖς ἑορτάζοντες αὐτοῦ τὴν γέννησιν τὸν Σωτῆρα δοξάζομεν. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῖν ἡ σωτηρία. Ἀλληλούια ἦχος δ΄, στίχος α΄· Εὐλογητὸς Κύριος ὁ Θεός, στίχος β΄· Καὶ σὺ παιδίον προφήτης ὑψίστου. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. α΄· Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν. [об.) Κοινωνικόν· Ἀγαλλιᾶσθε, ἕτερον· Εἰς μνημόσυνον.

κε΄. Ἄθλησις τῆς ἁγίας μάρτυρος Φευρωνίας. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ πόλεως λεγομένης Ἴβης. Καὶ τῶν Σαρακινῶν καὶ τῶν Ῥοῦν (?) ἡ ἔλευσις[1]) καὶ λιτὴ ἐν Βλαχέρναις. Μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ θυσιαστήριον καὶ γίνεται εὐχὴ τοῦ Τρισαγίου, καὶ ἀνέρχονται οἱ ψάλται τῆς λιτῆς ἐν τῷ ἄμβωνι. Τροπάριον ἦχος πλ. δ΄· Ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεὸς ἡμῶν (см. выше) καὶ εἰς τὸν φόρον δοξάζουσι, καὶ πάλιν ἄρχονται τῆς αὐτῆς λιτῆς, καὶ [л. 143) ἐν Βλαχέρναις ὁμοίως δοξάζουσιν. Ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ Τρισάγιον, προκείμενον ἦχος α΄· Κύριος κραταιὸς καὶ δυνατὸς, στίχος· Τοῦ Κυρίου ἡ γῆ. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει. Ἀλληλούια ἦχος α΄, στίχος· Μνήσθητι τῆς συναγωγῆς σου. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ξθ΄. Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κς΄. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου Γοτθίας. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου καὶ Λέοντος τοῦ Ἰσαυροῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάρκου καὶ Μαρκίας καὶ τοῦ ἁγίου ἀποστόλου Ῥούφου, καὶ τοῦ ἁγίου μάρτυρος Θεράποντος, καὶ [об.) τοῦ ὁσίου Δαβὶδ Θεσσαλονίκης. Καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου Θεοδώρου ἐν τῷ Ῥησίῳ.

κζ΄. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ τοῦ ὁσίου Σαμψὼν τοῦ ξενοδόχου. Ἐν τῷ μεγάλῳ αὐτοῦ ξενῶνι λειτουργεῖ ἐκεῖ ὁ πατριάρχης καὶ εἰς τὸ γ΄ ἀντίφωνον, τροπάριον ἦχος πλ. δ΄· Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος·

[1]) Рукоп. патріар. іерусал. библ. № 53 и № 285: Μνήμην ἐπιτελοῦμεν, δι' ἣν ἐλυτρώσατο ἡμᾶς ὁ Θεὸς, δια΄ τε γῆς καὶ θαλάσσης κυκλωσάντων ἡμῶν Σαρακινῶν.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους β΄· Ἀδελφοί, ὁ σπείρων φειδομένως. Ἀλληλούια ἦχος δ΄, Δίκαιος ὡς φοίνιξ. [π. 144) Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρνα΄· Εἶπεν ὁ Κύριος μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· Κοινωνικόν· Εἰς μνημόσυνον.

κη΄. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κάρπου ἐπισκόπου, Παπύλου διακόνου, Ἀγαθοδώρου καὶ Ἀγαθονίκης ἐπὶ τῆς βασιλείας Δεκίου. Τῇ αὐτῇ ἡμέρᾳ ἡ εὕρεσις τῶν ἁγίων λειψάνων Κύρου καὶ Ἰωάννου, καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παύλου τοῦ ἰατροῦ. Ψάλλομεν καὶ ἀναγινώσκομεν, καθὼς προγέγραπται εἰς τὴν λα΄ τοῦ Ἰανουαρίου μηνός.

κθ΄. Τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Ἐν τῷ ὀρφανοτροφείῳ τῇ παραμονῇ εἰς τὸ λυχνικὸν γίνονται ἀναγνώσματα γ΄, τὸ α΄ καθολικῆς ἐπιστολῆς Πέτρου· Ἀδελφοί, εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου, τὸ β΄ τοῦ αὐτοῦ· [οβ.) Ἀγαπητοὶ ἀναζωσάμενοι, τὸ γ΄ τοῦ αὐτοῦ· Ἀγαπητοί, παρακαλῶ ὑμᾶς, ὡς παροίκους. Εἰς τὸν Ν΄ τροπάριον ἦχος πλ. α΄· Ποία φυλακὴ οὐκ ἔσχε σε δέσμιον. Προκείμενον ἦχος πλ. δ΄· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἐν ᾧ δ' ἄν τις τολμᾷ. [π. 145) Ἀλληλούια ἦχος α΄, Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ξθ΄. Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

λ΄. Τῶν ἁγίων ἀποστόλων Πέτρου, Παύλου, Ἀνδρέου, Σίμωνος, Θωμᾶ, Ἰακώβου, Μάρκου, Λουκᾶ, Ματθαίου, Ἰωάννου, Βαρθολομαίου καὶ Φιλίππου, ὅτι εἰς Ἀντιόχειαν πρῶτον ἐθέσπισαν καλεῖσθαι χριστιανούς, ὅτι εἰς ἕνα τάφον ἐν Ῥώμῃ κεῖνται Πέτρος καὶ Παῦλος. Τροπάριον ἦχος δ΄· Οἱ τῶν ἀποστόλων πρωτόθρονοι. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. [οβ.) Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. Ἀλληλούια ἦχος α΄, Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. κθ΄. Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς παρὰ τὴν λίμνην. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μὴν Ἰούλιος ἡμέρας ἔχων λα΄, ἡ ἡμέρα ἔχει ὥρας ιδ΄, καὶ ἡ νὺξ ἔχει ὥρας ι΄.

α΄. Μνήμη τῶν ἁγίων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐν τῇ Ῥώμῃ τελειωθέντων. Οὗτοι ὑπῆρχον ἐπὶ Καρίνου βασιλέως, ἰατροὶ τὴν τέχνην, οἵτινες ἐθεράπευον οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τὰ ἄλογα κτήνη, μηδὲν παρά τινος κομιζόμενοι, διαβάλλονται τῷ βασιλεῖ, καὶ στρατιωτῶν [π. 146) ἀποσταλέντων, οἱ τῆς χώρας ἁρπάσαντες κα-

τέκρυψαν, συλλαμβάνουσιν ἑτέρους ἀντὶ αὐτῶν ἄνδρας τε καὶ γυναῖκας, καὶ γνόντες οἱ ἅγιοι παρέδωκαν ἑαυτούς. Ἀναγκάζει αὐτοὺς ὁ βασιλεὺς ἀρνήσασθαι τὸν Χριστόν, πρὸς ὃν οἱ ἅγιοι εἶπον τοῦ ἐπιστρέψαι αὐτὸν ἐκ τῆς πλάνης. Τοῦ δὲ βασιλέως ἀπαναινομένου, διεστράφη ὁ τράχηλος αὐτοῦ καὶ ἦλθε τὸ πρόσωπον αὐτοῦ ἐπὶ τῶν νώτων αὐτοῦ, καθεζομένου ἐπὶ τοῦ θρόνου καὶ ἀναβόησας εἶπε· μέγας ὁ Θεὸς τῶν χριστιανῶν, καὶ οὕτως ἐπίστευσε πᾶν τὸ περιεστὸς πλῆθος, καὶ ἐπιῤῥίψας τὴν πορφύραν ἐπάνω τῶν ἁγίων, ὁ βασιλεὺς ἐπίστευσε τῷ Χριστῷ πανοικὶ καὶ ἰαθεὶς ἀπέλυσεν αὐτοὺς εἰς τὰ ἴδια μετὰ τιμῆς. Μετὰ ταῦτα ὁ ἴδιος αὐτῶν ἐπιστάτης φθόνῳ εἰς αὐτοὺς [об.) βληθεὶς, ἀνήγαγεν αὐτοὺς ἐπὶ τὸ ὄρος, ὡς δῆθεν ἰατρικῶν βοτάνων συλλογήν, κἀκεῖ λίθοις τούτους κτήνει, ὧν τὰ σώματα κατέκρυψεν ἐν τῷ παρακειμένῳ τῷ ὄρει ἀγαγὼν καὶ οὕτως ἐτειλειώθησαν εἰς δόξαν τοῦ Θεοῦ ἡμῶν. Δεῖ δὲ εἰδέναι, ὅτι τρεῖς συζυγίαι εἰσὶ Κοσμᾶς καὶ Δαμιανὸς ὀνομαζόμενοι· οἱ ἐκ τῆς Ἀραβίας τὰς κεφαλὰς ἀπετμήθησαν ἐπὶ Διοκλητιανοῦ, καὶ οἱ ἐν τῇ Ῥώμῃ, λίθοις φονευθέντες ἐπὶ Καρίνου βασιλέως, καὶ οἱ τῆς Θεοδότης υἱοί, ὁσίως κοιμηθέντες. Ἡ ἀκολουθία προεγράφη μηνὶ Νοεμβρίῳ λ'.

β'. Περὶ τῆς ἐσθῆτος τῆς Παναγίας Θεοτόκου, τῆς ἀποκειμένης ἐν Βλαχέρναις. Ἐπὶ Λέοντος βασιλέως καὶ Βερίνης, πατρίκιοι β' Γάλβιος καὶ Κάνδιδος [л. 147) αὐτάδελφοι καὶ προσγενεῖς Ἀρδαβουρίου καὶ Ἄσπαρος, πόθῳ τῆς προσκυνήσεως τῶν ἐν Ἱεροσολύμοις τόπων, ἐξορμήσαντες τοῦ Βυζαντίου, κατέλαβον τὴν Παλαιστίνην. Γενόμενοι τε ἐν τοῖς Γαλιλαίας τόποις, εὗρον ἔν τινι οἴκῳ ἑβραίαν γυναῖκα γεγηρακυῖαν, πλήθη τε ἀσθενῶν ἐκεῖσε κατακειμένων, ἐν ἑτέρῳ δὲ δωματίῳ φώτων πολλῶν καὶ θυμιαμάτων προσαγωγήν, καὶ μαθόντες ὅτιπερ ἡ τιμία ἐσθὴς τῆς Θεοτόκου ἐκεῖ τεταμιεύεται, συγχωρηθέντες δὲ παρὰ τοῦ γυναίου, ἐν αὐτῇ τῇ θέσει παννύχιον στάσιν ποιῆσαι, ἔλαβον τὰ μέτρα τῆς Σοροῦ, ἐκ ξύλου δὲ ἦν, καὶ ᾤχοντο ἐπὶ τὰ Ἱεροσόλυμα. Κατασκευάσαντες δὲ ἕτερον Σορίον, καταλαμβάνουσιν εὐθὺς τὸ γύναιον, καὶ τὸ κειμήλιον ἁρπάσαντες, [об.) προέπεμψαν διὰ τῶν οἰκείων ἀνθρώπων. Ὡς δὲ κατέλαβον τὴν βασιλεύουσαν πόλιν, ἀπέθεντο τὸ ἱερὸν θησαύρισμα, ἐν ἰδίῳ προαστείῳ Βλαχέρνας ἐπονομαζομένῳ. Δειμάμενοι δὲ, πρὸς τὸ λαθεῖν, ἱερὸν ναὸν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Μάρκου, καὶ μὴ ἰσχύσαντες ἐπὶ πολὺ κρύπτειν, γνωρίζουσι τῷ βασιλεῖ τὸ μυστήριον. Ὁ δὲ βασιλεὺς χαρᾶς πλησθείς, ᾠκοδόμησε τὸν ναόν, ἔνθα ἀπόκειται ἡ τιμία Σορός, καὶ κατέθετο ἐν αὐτῇ τὸ τίμιον Παλίον, περιειλίσας αὐτὸ πορφυρίδι, καὶ ἐν ἠλεκτρίνῳ Σορίῳ, σφραγίσι βασιλικαῖς κατασφα-

λισάμενος, ὃ καὶ μέχρι καὶ νῦν ὑπάρχει, φυλακτήριον τῆς πόλεως καὶ θησαύρισμα ἰαμάτων. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Κοΐντου. Οὗτος γεγέννηται μὲν καὶ πεπαίδευται τὴν εὐσέβειαν ἐν Φρυγίᾳ, [π. 148) καταλαβὼν δὲ τὴν Αἰολίδα κώμην, ἔλαιον τοῖς δεομένοις καὶ ἴασιν τοῖς ἐκ πνευμάτων πονηρῶν χειμαζομένοις παρεῖχεν, ἐπὶ Αὐρηλιανοῦ βασιλέως καὶ Ῥούφου ἡγεμόνος. Καὶ τοῦ ἐν ἁγίοις Ἰουβεναλίου, ἀρχιεπισκόπου Ἱεροσολύμων. Οὗτος ἐγένετο ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ, ἀρχιερατεύσας μετὰ Κύριλλον τρίτος, φθάσας ἕως τῆς βασιλείας Μαρκιανοῦ καὶ Λέοντος, εὑρεθεὶς καὶ ἐν τῇ ἐν Ἐφέσῳ συνόδῳ, συγκάθεδρος γενόμενος τῶν χλ΄ πατέρων, ᾧ τινι καὶ ὁ βασιλεὺς Μαρκιανὸς ἐγεγήθη ἐπὶ τῇ ἀρετῇ καὶ τῇ ἱερωτάτῃ πολιᾷ καὶ καταστάσει. Μετὰ τὸν ὄρθρον παραγίνεται ὁ πατριάρχης ἐν τῷ ἁγίῳ Λαυρεντίῳ, καὶ γινομένης εὐχῆς συναπτῆς, ἄρχονται οἱ ψάλται τῆς λιτῆς τροπάριον ἦχος πλ. δ΄· [οϐ.) Θεοτόκε παρθένε, τῶν ἀνθρώπων ἡ σκέπη, ἐσθῆτα καὶ ζώνην. Καὶ ἀπέρχεται ἡ λιτὴ ἐν Βλαχέρναις καὶ εἰσέρχεται εἰς τὴν ἁγίαν Σορόν, καὶ δοξάζουσι καὶ εὐθέως τὸ Τρισάγιον. Προκείμενον ἦχος γ΄· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή. Ἀλληλούϊα ἦχος πλ. δ΄, στίχος· Ἀνάστηθι, Κύριε, εἰς τὴν κατάπαυσίν σου, [π. 149). Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. γ΄· Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ. Κοινωνικόν· Ποτήριον σωτηρίου.

γ΄. Ἄθλησις τῶν ἁγίων Μάρκου καὶ Μαρκιανοῦ, ἐπὶ Μαξίμου, ἐπάρχου, καὶ τοῦ ἐν ἁγίοις Ἀνατολίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ἐπὶ Θεοδοσίου τοῦ μικροῦ υἱοῦ Ἀρκαδίου. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Θεοδότου καὶ Θεοδότης, Ἀσκληπιάδος, Διομήδους καὶ Εὐλαμπίου καὶ Γολινδοῦχ.

δ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὑακίνθου. Οὗτος ἦν ἀπὸ Καισαρείας ἐκ πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας, Κουβικουλάριος δὲ ὤν, καὶ ὑπηρετῶν τῇ τραπέζῃ τοῦ βασιλέως Τραϊανοῦ ἐν Ῥώμῃ, εἴκοστόν τε ἄγων ἔτος, διαβάλλεται τῷ βασιλεῖ, ὡς τὸ τοῦ Χριστοῦ ὄνομα ἐπικαλούμενος. Καὶ τοῦ ἁγίου μάρτυρος Θεοδώρου ἐπισκόπου Κυρήνης τῆς κατὰ Λιβύην [οϐ.). Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ πόλεως Κυρήνης, ἐξ ἧς ἦν Σίμων ὁ Κυρηναῖος, ἦν δὲ ὁ μακάριος εὐῆλιξ, τετραγωναῖος, γηραιὸς καὶ ὡραῖος εἰς ὑπερβολήν, πάσῃ δὲ παιδείᾳ ἀσκηθεὶς γέγονε καλλιγράφος ἄκρος, πλοῦτον πολὺν κομισάμενος ἐκ ταύτης τῆς τέχνης, καὶ βίβλους πολλὰς ταῖς ἐκκλησίαις ἀποθησαυρίσας εἰς τὸν Ἀβραὰμ καὶ εἰς τὸν Γεδεών· εἰς τὰς λαμπάδας, καὶ διαφόρους Ψαλμούς, νομίμῳ

δὲ γάμῳ προσομιλήσας, ἔσχεν υἱὸν καὶ ἐκάλεσε Λέοντα. Οὗτος ὁ Λέων θηριώδης ὢν τοῖς τρόποις καὶ ἀποστάτης τοῦ Θεοῦ γενόμενος, συνδιαιτώμενος Διγνήνῳ τῷ ἡγεμόνι ὄντι εἰδωλολάτρει, διέβαλε τὸν ἴδιον πατέρα Θεόδωρον, ὡς βίβλους ἱερὰς ἔχοντα, καὶ πάντας δι' αὐτῶν ἐπιστρέφων Ἰουδαίους τε καὶ Ἕλληνας. [π. 150) Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοδότου Λιβύης καὶ Δονάτου ἐπισκόπου. Καὶ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Μάρκου καὶ Ἀνδρέου Ἱεροσολομίτου, καὶ Μαρίας τῆς μητρὸς τοῦ ὁσίου Συμεὼν τοῦ στυλίτου. Ἡ ἀκολουθία τοῦ ἁγίου Γρηγορίου Νύσσης μηνὶ Ἰανουαρίου ια'.

ε'. Μνήμη τῆς ἁγίας Μάρθας, μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ θαυμαστοῦ ὄρους. Αὕτη ἦν εὐλαβὴς καὶ φοβουμένη τὸν Θεὸν, ἀεννάως τῇ ἐκκλησίᾳ σχολάζουσα καὶ τὴν παναγίαν Θεοτόκον ὑπερτιμῶσα, καὶ πάντων τῶν ἁγίων μνημονεύουσα, ἐπισκεπτομένη ἀῤῥώστους, καὶ τεθνεῶτας ἐπιμελουμένη καὶ σάβανα παρέχουσα, ὡσαύτως καὶ τοῖς βαπτιζομένοις ἐχορήγει, καὶ τοῖς μὴ ἔχουσιν ἐδίδου, εἰρηνεύουσα τοὺς πάντας πρὸ ἐνιαυτοῦ δὲ τῆς κοιμήσεως [οϐ.) αὐτῆς, εἶδε πλῆθος στρατιᾶς ἀγγέλων λαμπάδας κατέχοντας καὶ λέγοντας αὐτῇ ἐν τῷ ἐνιαυτῷ τῷ ἐρχομένῳ ἐλευσόμεθα καὶ ληψόμεθά σε, εἰς τὴν ἡτοιμασμένην σοι αἰωνίαν ἀνάπαυσιν. Καὶ μνήμη τῆς ἁγίας μάρτυρος Ἁγνῆς. Αὕτη ὑπῆρχεν ἐκ πόλεως Ῥώμης γένους λαμπροῦ. Αὕτη πρόσφορον ἔχουσα τὸν βίον τῷ ὀνόματι πολλὰς γυναῖκας πρὸς αὐτὴν ἐπιοῦσας ἐδίδασκε τὸν λόγον τῆς εὐσεβείας, μετανοεῖν τε ἐφ οἷς ἔπραξαν, καὶ γινώσκειν Χριστὸν προετρέπετο. Ταῦτα ἀκούσας ὁ ἄρχων, ἐκέλευσε παραστῆναι αὐτὴν τῷ βήματι. Καὶ τῆς ἁγίας μάρτυρος Κωπρίλας, μαρτυρησάσης ἐν τῷ Πολυδώρῳ. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἐκ πόλεως Κυρήνης τῆς [π. 151) κατὰ Λιβύην· χριστιανῶν γονέων καὶ εὐγενῶν ὑπάρχουσα, ζευχθεῖσα ἀνδρὶ ἔτος ἄγουσα ιδ', καὶ τούτῳ συζήσασα ἔτη β' ἥμισυ, ἔμεινεν ἐν τῇ χηρείᾳ ἔτη κη', νόσῳ δὲ τῆς κεφαλῆς κινδυνεύουσα, ἀπήρχετο πρὸς Θεόδωρον ἐπίσκοπον Κυρήνης ἐν φυλακῇ ἐγκεκλεισμένον καὶ βασανιζόμενον καὶ ἀεὶ ταῖς τῆς νόσου καὶ ἦν μετὰ τῶν ἐκεῖσε παρθένων Λουκίας καὶ Ἀρόας, ἀκούουσα τῆς διδασκαλίας τοῦ ἐπισκόπου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Βασιλείου καὶ τῆς συνοδίας αὐτοῦ, μαρτύρων τῶν ἐν Σκυθοπόλει.

ς'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας τῆς παρθένου καὶ Ῥίξου Βικαρίου καὶ ἄλλων πλείστων παθόντων ἐν Καμπανῷ. Αὕτη ἡ Λουκία ἑτέρα παρὰ τὴν ἐν Σικελίᾳ τῆς Καμπανῶν χώρας [οϐ.) τῆς κατὰ Ῥώμην, καὶ τοῦ ἁγίου μάρτυρος Ἀσθίωνος, ἐπισκόπου Δυῤῥα-

χίου, ἐπὶ Τραϊανοῦ βασιλέως καὶ Ἀγρικολάου ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀρχίππου, Φιλήμονος, πέραν ἐν τῷ Πτωχίῳ, καὶ τῶν ἁγίων Ἀπολλωνίου, Ἀλεξάνδρου, καὶ Ἐπιμάχου καὶ τοῦ ἁγίου Ὀνησίμου.

ζ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Περιγρίνου καὶ τῶν σὺν αὐτῷ Λουκιανοῦ, Πομπίου, Ἡσυχίου, Παππίου, Σατορνίνου καὶ Γερμανοῦ. Οὗτοι ὑπῆρχον ἀπὸ Ἰταλίας ἐκ τοῦ λεγομένου Πανθέου, πλησίον τοῦ καλουμένου γενναίου ποταμοῦ, ἐπὶ τῆς βασιλείας Τραϊανοῦ καὶ Ἀγρικολάου ἡγεμόνος, καὶ τοῦ ἁγίου μάρτυρος Ἰσαύρου, καὶ τῶν σὺν αὐτῷ Βασιλείου, Ἰννοκεντίου, Φήλικος, Ἑρμίου καὶ Περιγρίνου. Οὗτος ὁ ἅγιος Ἴσαυρος καὶ διάκονος τῶν Χριστοῦ μυστηρίων, καὶ οἱ σὺν αὐτῷ γεγέννηνται ἐν Ἀθήναις, ἐπὶ τῆς βασιλείας Νουμεριανοῦ. Τῇ [л. 152) αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσταθίου, Πολυκάρπου, καὶ Εὐαγγέλου ἐν Σιβονίᾳ καὶ τῆς ἁγίας μάρτυρος Κυριακῆς.

η΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Προκοπίου. Οὗτος ἦν ὁ μάρτυς ἐπὶ Διοκλητιανοῦ βασιλέως, καὶ ὥρμητο δὲ ἐκ πόλεως ἤτοι Ἱερουσαλήμ, πατρὸς μὲν χριστιανοῦ ὑπάρχων υἱός ὀνόματι Χριστοφόρου, μητρὸς δὲ Θεοδοσίας ἑλληνίδος τῇ θρησκείᾳ, ἐπικέκλητο δὲ ὁ ἅγιος ὑπὸ τῶν γονέων Νεανίας, ὁ δὲ Κύριος ὠνόμασε Προκόπιον. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀβδᾶ καὶ Σάββα. Προκείμενον ἦχος δ΄· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος. Ἀλληλούϊα ἦχος δ΄, στίχος· Ἐκέκραξαν οἱ δίκαιοι. [об.) Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. με΄· Εἶπεν ὁ Κύριος· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

θ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου. Οὗτος ὁ ἅγιος ἦν ἐπὶ Διοκλητιανοῦ, ἐκ πόλεως Τυάνου τῆς Καππαδόκων ἐπαρχίας, ἐπὶ Μαξίμου ἡγεμόνος, ἰατρὸς ὢν τὴν τέχνην, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Κυρίλλου ἀρχιεπισκόπου Κρήτης μητροπολίτου Γορτύνης πρὸς ζ΄ ἰδῶν ἰούλιον ἐπὶ Μαξιμιανοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Πατερμουθίου, καὶ Κόπρι, καὶ Ἀλεξάνδρου, ἐν τοῖς χρόνοις Ἰουλιανοῦ ὑπῆρχον ἐν τῇ ἐρήμῳ τῇ κατ' Αἴγυπτον. Καὶ τοῦ ἁγίου ἱερομάρτυρος Παγκρατίου.

ι΄. Ἄθλησις τῶν ἁγίων με΄ μαρτύρων τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας μαρτυρησάντων, ἐπὶ Λικινίου τοῦ βασιλέως καὶ Λυσίας ἡγεμόνος, [л 153) ὧν οἱ πρῶτοι τῆς Νικοπόλεως πιστοὶ καθωμολόγησαν ὑπάρχοντες οὗτοι Λεόντιος καὶ Μαυρίκιος, Δανιὴλ καὶ Ἀντώνιος. Καὶ

τοῦ ἁγίου μάρτυρος Βιάνορος καὶ Σιλουανοῦ. Οὗτος ἦν τῆς Πισιδῶν ἐπαρχίας καὶ κατεσχέθη ὑπὸ Σεβηριανοῦ ἡγεμόνος τῆς Ἰσαύρων πόλεως τῆς Εὐφρασίας. Καὶ τοῦ ἁγίου μάρτυρος Ἀπολλωνίου ἐκ πόλεως Σάρδεις, καὶ ἀχθεὶς Περενίῳ τῷ ἄρχοντι, ὡμολόγησεν ἑαυτὸν εἶναι Χριστιανόν, καὶ ἀναγκαζόμενος ὀμῶσαι τὴν τύχην τοῦ βασιλέως ἔφη· οὐκ ἔστιν ὀμῶσαι, καὶ μάλιστα βασιλέα φθαρτὸν καὶ θνήσκοντα, καὶ μὴ γινώσκοντα ποιητὴν τοῦ κόσμου· ἡμεῖς ὀμνύομεν εἰς τὸν Προαιώνιον βασιλέα καὶ Θεόν, τὸν ποιήσαντα τοὺς βασιλεῖς ἐπὶ τῆς γῆς, καὶ λαβὼν τὴν ἀπόφασιν, ἐσταυρώθη ἐπὶ ξύλου σταυροῦ, καὶ οὕτως ἀπέδωκε τὸ πνεῦμα δοξάζων τὸν Θεόν. Καὶ τῶν μυρίων τῶν ὄντων [οβ.) εἰς τὰ σπήλαια, οὓς ἔκαυσεν Θεόφιλος ἀρχιεπίσκοπος Ἀλεξανδρείας διὰ Ἰσίδωρον. Ἡ ἀκολουθία τῶν ἁγίων μ΄ μαρτύρων Μαρτίου θ΄.

ια΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρκιανοῦ. Οὗτος νέος ὢν ἐμαρτύρησεν ἐν τῇ Εἰκονιαίων πόλει, ὅστις ἐπὶ Περενίου ἄρχοντος ἐξέσθη τὰ νεῦρα καὶ τὰς παρειὰς, μετὰ δὲ ταῦτα ἐτέθη ἐπὶ ἐσχάρας πεπυρακτωμένης, καὶ μαχαίρας τὴν γλῶσσαν αὐτοῦ κατακεντηθῆναι ἐκελευσεν, καὶ μετὰ τοῦτο λαβὼν τὴν ἀπόφασιν ἐτμήθη τὴν κεφαλὴν μηνὶ Ἰουλίῳ ια΄. Καὶ τοῦ ἁγίου μάρτυρος Κινδέου πρεσβυτέρου. Οὗτος ἦν ἀπὸ κώμης λεγομένης Ταλμενίας Σίδης τῆς Παμφυλίας, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, τῷ γένει οὐμαναδεύς, ἐπὶ Στρατονίκου ἡγεμόνος. Τῇ αὐτῇ ἡμέρᾳ σύναξις τῆς πανευφήμου Εὐφημίας τοῦ Ὄρου. Ἡ ἀκολουθία προεγράφη ς΄ τοῦ Σεπτεμβρίου μηνός [**π. 154**).

ιβ΄. Ἄθλησις τῶν ἁγίων Πρόκλου καὶ Ἱλαρίου. Οὗτοι ὑπῆρχον ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ Μαξίμου ἡγεμόνος ἐν τῇ χώρᾳ Καλλίππῳ πλησίον Ἀγκύρας, καὶ τῆς ἁγίας μάρτυρος Γολινδοῦχ τῆς καὶ Μαρίας. Αὕτη ἦν ἐκ Περσίδος συνοικήσασα ἀνδρὶ Ἀρχιμάγῳ, ἐπὶ βασιλέως Περσῶν μὲν Χοσρόου, Ῥωμαίων δὲ Μαυρικίου. Αὕτη ἐν ἐκστάσει γενομένη εἶδεν ὀπτασίαν καὶ βαπτίζεται Γολινδοῦχ, μετονομασθεῖσα Μαρία καὶ καταδικάζεται παρά τε τοῦ ἀνδρὸς καὶ τοῦ βασιλέως εἰς τὸ λήθης φρούριον ἐπὶ ἔτη ιη΄, μετὰ τοῦτο βάλλεται ἐν λάκκῳ, ἐν ᾧ ἦν δράκων μέγας, μηδὲν ὑπ᾽ αὐτοῦ βλαβεῖσα τὸ σύνολον ἀσίτου τε ἐπὶ τοσοῦτον χρόνον ἐν τῷ λάκκῳ μενούσης, ἄγγελος ἁψάμενος τοῦ στόματος αὐτῆς ἔφη· ἀπὸ τοῦ νῦν οὐ κυριεύσει σου πεῖνα, καὶ ἔκτοτε οὐδαμῶς [οβ.) ὠχλήθη ὑπὸ πείνης, ἔμαθε δὲ ἐν τῇ φρουρᾷ συριστὶ τὸ ψαλτήριον Ὀρμίσδας δὲ ὁ υἱὸς Χοσρόου, ταύτην ἐκβαλὼν ἐτύπτησεν, ὥστε μία μάστιξ, κατὰ τοῦ μαστοῦ αὐτῆς ἐνεχθεῖσα τοῦτον διέῤῥηξεν, καὶ πάλιν ἡ θεία χάρις τοῦτον σῶον κατέστησεν. Ἄλλοτε πάλιν πλήσαντες σάκκον

καμινιαίας αἰθάλης καὶ πυρὸς ἐκεῖ τὴν κεφαλὴν αὐτῆς ἐμβαλόντες, εἰς τόπον τινὰ προσέρριψαν· κατακλείσαντες δὲ αὐτὴν ἐν φρουρᾷ ἀπέστειλαν ἄνδρας ἀσώτους πρὸς τὸ ἐμπαῖξαι αὐτήν, καὶ οὐκ ἔβλεπον αὐτήν, βουλλωθεῖσα οὖν τὸν τράχηλον, καὶ ἀπερχομένη τμηθῆναι τὴν κεφαλήν, εἰς τόπον μεμακρυσμένον πρὸς τὴν βούλλαν πάλιν, κατὰ τὸ ἔθος τῶν Περσῶν ἀποκομισθῆναι τῷ βασιλεῖ εἰς πίστωσιν. Ἄγγελος γὰρ Κυρίου παραστὰς [л. 155) τῷ ἀπαγαγόντι αὐτὴν στρατιώτῃ, ἅπαξ καὶ δὶς παρακελεύσατο ἀπολῦσαι αὐτήν· τοῦ δὲ διὰ τὴν βούλλαν μὴ θέλοντας ὁ ἄγγελος ἀοράτως ἐκβαλὼν αὐτὴν τοῦ τραχήλου δέδωκε τῷ στρατιώτῃ, καὶ τότε ἀπέλυσεν αὐτήν. Ὡς δὲ ἐλυπεῖτο ὡς μὴ καταξιωθεῖσα τυχεῖν τὸ διὰ ξίφους μαρτύριον, ἐπιστὰς οὖν πάλιν ὁ ἄγγελος σπάθην κατέχων, καὶ τὸν πόθον αὐτῆς πληροῦν ἐπαγγειλάμενος, πλήττει αὐτὴν κατὰ τοῦ τραχήλου ὥστε καὶ τὴν τομὴν φαίνεσθαι, καὶ τῷ αἵματι τὰ ἑαυτῆς βαφῆναι ἱμάτια, ἅτινα καὶ ἰάσεις ἐπετέλουν. Ἐλθοῦσα δὲ ἐπὶ τὰ Ἱεροσόλυμα καὶ προσκυνήσασα τοὺς ἁγίους τόπους παρέβαλε μοναστηρίοις, ἅτινα ἐνόσουν τὴν αἵρεσιν τοῦ δυσσεβοῦς Σευήρου· ὡς δὲ εἶπεν ἑαυτὴν τῆς καθολικῆς [об.) ἐκκλησίας εἶναι οὐκ ἐδέχθη εἰς τὴν ἑαυτῶν κοινωνίαν, ἤτησε δὲ παρὰ τοῦ Θεοῦ ἀποκαλυφθῆναι αὐτῇ, ποῦ ὀφείλει κοινωνῆσαι, καὶ ὁρᾷ Ἄγγελον τοῦ Θεοῦ δύο κατέχοντα ποτήρια, ἓν μὲν γέμον φωτός, τὸ δεύτερον σκότους· καὶ ἐρωτησάσης καὶ μαθούσης, ὅτι τὸ γέμον φωτὸς τῆς καθολικῆς ἐστὶν ἐκκλησίας, καὶ τούτῳ πρόσελθε, τὸ δὲ ἕτερον ἔκκλινον ἀπ' αὐτοῦ. Ἀκούσασα δὲ, ὅτι ὁ ἀπολύσας αὐτὴν στρατιώτης κατεσχέθη δι' αὐτὴν ἐν φρουρᾷ ἐδυσφόρει καὶ τῷ ἁγίῳ Δομιτιανῷ τῷ μητροπολίτῃ Μελιτινῆς ἔφη, ὅτιπερ εἰ μὴ ἀπολυθῇ πάλιν ὑποστρέφω προθύμως καὶ ἑαυτὴν παραδίδω, ἵνα μὴ ἀντ' ἐμοῦ ἄλλος κρατῆται· ὁ δὲ μητροπολίτης, ἀναγαγὼν Χοσρόῃ τῷ βασιλεῖ Περσῶν, [л 156) πάραυτα ἐθέσπισεν ἀπολυθῆναι κἀκεῖνον καὶ πάντας τοὺς τοῦ γένους αὐτοῦ ἀνεκτοὺς εἶναι καὶ τοὺς χριστιανούς. Ὁ δὲ μητροπολίτης ἠνάγκαζεν αὐτὴν εἰσελθεῖν εἰς Κωνσταντινούπολιν καὶ εὔξασθαι αὐτὴν τοῖς βασιλεῦσιν· ἡ δὲ ἔφη ἐγγὺς εἶναι τὴν μετάστασιν αὐτῆς. Ἐλθοῦσα τοίνυν ἀναμέσον τοῦ Νιζτιβίου καὶ τοῦ Δαρὰς εἰς εὐκτήριον οἶκον τοῦ ἁγίου Σεργίου, εὐχαριστήσασα τῷ Θεῷ καὶ ὀλίγον νοσήσασα ἐκλείπειν, ηὔξατο οὕτω· ὁ Θεὸς ὁ αἰώνιος καὶ τὰ ἐξῆς τῆς εὐχῆς, καὶ μετὰ τὸ πληρῶσαι τὴν εὐχὴν ἐκοιμήθη. Συγγράφεται δὲ τὸ μαρτύριον καὶ τὴν μνήμην αὐτῆς Εὐστράτιος, πρεσβύτερος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, ὅστις καὶ τὸν βίον τοῦ ἐν ἁγίοις Εὐτυχίου συνεγράψατο.

Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνδρέου, [οϐ.) Πρόβου καὶ τῆς ἁγίας Βερονίκης τῆς αἱμόῤῥου.

ιγ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σεραπίωνος. Οὗτος ἦν ἐν τοῖς χρόνοις Σευήρου τοῦ βασιλέως, ἀνὴρ θεοσεβὴς καὶ ἀγαθός· οὗτος κατασχεθεὶς ὑπὸ Ἀκύλα τοῦ ἄρχοντος ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ καὶ παρεδόθη πυρὶ καὶ οὕτως ἐτελειώθη. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας Μυρώπης. Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Δεκίου, μητέρα κεκτημένη χριστιανήν, ἥτις εἶχε τὰς οἰκήσεις ἐν τῇ Ἐφεσίων πόλει, καὶ ἐπὶ τῇ Χίῳ τῇ νήσῳ· περιεῖδε τὰ ἐν Ἐφέσῳ κείμενα λείψανα τῶν ἁγίων ἀποστόλων καὶ μαρτύρων ἡ Μυρώπη καὶ τούτων τὰ μύρα ἀρυομένη, εἰκότως ἐξ αὐτῶν καὶ τὴν ἐπωνυμίαν ἐκτήσατο. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἡρακλείου, Φαύστου καὶ τῆς συνοδίας αὐτῶν.

ιδ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰούστου. [л. 157). Οὗτος ἦν στρατιώτης Νουμέρου λεγομένου Ταβαλέων ἐν Ῥώμῃ τῇ πόλει. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ὀνησίμου. Οὗτος ἕτερος παρὰ τὸν μαθητὴν Παύλου τοῦ ἀποστόλου, ἦν ἐπὶ Διοκλητιανοῦ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης, κώμης Καρυνῆς, κεκοίμηται δὲ ὁσίως ἐν Μαγνησίᾳ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀκύλα καὶ Ἱλαρίου.

ιε'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Κηρίκου καὶ Ἰουλίττης μητρὸς αὐτοῦ. Αὕτη ὥρμητο ἀπὸ τῆς Ἰκονίου ὑπῆρχε δὲ ἐπὶ Διοκλητιανοῦ βασιλέως διὰ δὲ τὸν ἐκεῖ διωγμὸν καταλαμβάνει Σελεύκειαν μετὰ τριετοῦς παιδός, καὶ ἐκεῖ ἐπικρατούσης τῆς ζάλης, ἔρχεται ἐν Ταρσῷ τῆς Κιλικίας, ἐν ᾗ ὑπῆρχεν Ἀλέξανδρος ἡγεμών, πικρός τις διώκτης, ὑφ' οὗ καὶ συνελήφθη. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Ἀβωδίμου νομέως (?) τοῦ Ἰουλιανοῦ. Οὗτος ἦν ἐν Τενέδῳ [οϐ.) τῇ νήσῳ, καὶ ἐπὶ Ἰουλιανοῦ κρατηθεὶς καὶ πολλὰ καταναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστόν, ὡμολόγησε παῤῥησία τὴν θεότητα αὐτοῦ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Ἰωσὴφ ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ ὁμολογητοῦ. Προκείμενον ἦχος δ'· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ ἀπόστολος πρὸς Κορινθίους α'· Ἀδελφοί, ὅτε ἤμην νήπιος. Ἀλληλούια ἦχος δ', στίχος· Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ροζ'. Τῷ καιρῷ ἐκείνῳ προσῆλθον τῷ Ἰησοῦ οἱ τὰ δίδραχμα λαμβάνοντες. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ις'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντιόχου. Οὗτος ἦν ἀπὸ Σεβαστείας ἰατρὸς τὴν [л. 158) τέχνην, περιάγων τὰς πόλεις πάσας καὶ ἰώμενος τοὺς ἐν ἀσθενείαις, κρατεῖται ὑπὸ Ἀδριανοῦ ἡγεμόνος. Τῇ αὐτῇ

ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παύλου καὶ Οὐαλεντίνας καὶ Θεῆς. Οὗτοι Αἰγύπτιοι μὲν τῷ γένει ὑπῆρχον, ἐπὶ δὲ τῆς πόλεως Διοκαισαρείας ἀχθέντες, παρέστησαν Φηρμιλιανῷ ἄρχοντι καυστῆρσι καὶ πυρὶ ἀφανίζονται, καὶ ἡ μὲν ἁγία Θεὴ ἐπὶ ξύλου τανυσθεῖσα ξέεται, ἡ δὲ ἁγία Οὐαλεντίνα ἡ ἀδελφὴ αὐτῆς τῷ δικαστῇ ἐπιθεμένη καταστρέφει τὸν βωμὸν τῷ ποδὶ καὶ αὐτὴ ξέεται ἀφειδῶς. Παῦλος δὲ ἀχθεὶς καὶ βασανισθεὶς ἐπευξάμενος πᾶσι μεγάλῃ τῇ φωνῇ ὑπὲρ χριστιανῶν, ὑπὲρ Ἰουδαίων καὶ Σαμαρειτῶν, καὶ ἑτέρων ἐθνῶν, καὶ τοῦ παυθῆναι τὸν διωγμόν, καὶ εἰς οἶκτον ἐκ τούτου καὶ δάκρυα ἅπαντας ἐκίνησε καὶ οὕτως ἐτμήθη [οβ.) τὴν κεφαλήν. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ οἰκουμενικῆς τῆς ἐν Χαλκηδόνι τετάρτης συνόδου τῶν χλ΄. ἁγίων πατέρων. Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν βασιλέων ἡμῶν Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ Αὐγούστων, συναχθεῖσα ἐν τῇ Χαλκηδονιέων μητροπόλει τῆς Βυθηνῶν ἐπαρχίας ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας, ὥρισε τὴν ὀρθόδοξον πίστιν. Ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ εἰς τὸ λυχνικὸν γίνονται ἀναγνώσματα γ΄ [1]), τὸ α΄ τῆς Ἐξόδου· Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· ποίησόν μοι κατὰ πάντα, τὸ β΄ Βασιλειῶν γ΄· Ὠκοδόμησεν ὁ βασιλεὺς Σολομών, τὸ γ΄ προφητείας Ἰεζεκιὴλ· [л. 159) Ἐγένετο πέμπτῳ καὶ κ΄ ἔτει τῆς αἰχμαλωσίας. Εἰς τὸν Ν΄ τροπάριον ἦχος πλ. δ΄· Τῆς καθολικῆς ἐκκλησίας τὰ δόγματα, πρὸς πνευματικὴν εὐφημίαν τὰ πέρατα, προτρέπονται σήμερον, μίαν τῶν πατέρων πίστιν διδάσκοντα, Θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν Χριστὸν κηρύττοντα, πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Θεοτόκου καὶ ἀειπαρθένου σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, τὸν αὐτὸν παθητὸν μὲν σαρκί, ἀπαθῆ δὲ θεότητι, οὕτω πιστεύοντες ψάλλομεν τὸ· ἀλληλούια. Καὶ μετὰ τὸ Τρισάγιον ἀναγινώσκεται ὁ ὅρος, καὶ εὐθὺς προκείμενον [2]) ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, [οβ.) στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ἡμῶν, Ἀλληλούια ἦχος δ΄, στίχος· Ὁ

---

[1]) Рукоп. патріарш. іерусал. библ. № 53 и № 285: τὸ α΄. Γενέσεως· Ἀκούσας Αβραὰμ ὅτι ἠχμαλωτεύθη, ἀνάγνωσμα β΄. Δευτερονομίου· Εἶπε Κύριος πρὸς τοὺς, ἀνάγνωσμα γ΄ Δευτερονομίου· Εἶπε Κύριος Μωσῆ πρὸς τοὺς. Τροπάριον ἦχος δ΄· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, στίχος α΄. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν, στίχος β΄. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν, στίχος γ΄. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου.— [2]) ἦχος πλ. δ΄· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων, στίχος· Ὅτι δίκαιος εἶ.

Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. λβ'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Τῇ μετ' αὐτὴν κυριακῇ μνήμη τῶν ἁγίων πατέρων τῶν κατὰ Σεβήρου τῆς ε'. συνόδου· Ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ εἰς τὸν Ν' καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος πλ. δ'· Φωστῆρας ἐν κόσμῳ φαίνοντας, καὶ λόγον ζωῆς ἐπέχοντας τοὺς πατέρας ἡμῶν ἀνέδειξας, δι' αὐτῶν τὴν ἐκκλησίαν ἐλάμπρυνας, καὶ τὸν εἰς ὕψος ἀδικίαν λαλήσαντα τῆς ἀληθείας ἐχθρόν, κατέβαλες ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, [л. 160) εἰρήνευσον τὴν ζωὴν ἡμῶν. Καὶ μετὰ τὸ Τρισάγιον ἀναγινώσκεται ὁ ὅρος. Προκείμενον [1]) ἦχος β'· Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι, στίχος· Μακάριοι ὧν ἀφέθησαν. Ὁ ἀπόστολος πρὸς Τίτον· Τέκνον Τίτε, πιστὸς ὁ λόγος. Ἀλληλούια [2]) ἦχος δ', στίχος· Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ργ'. Τῷ καιρῷ ἐκείνῳ ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἶπε· Πάτερ Ἅγιε, τήρησον αὐτούς. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

ιζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀθηνογένους. Οὗτος ἦν ἀπὸ Σεβάστειαν, ἐπὶ Διοκλητιανοῦ βασιλέως, ἐπίσκοπος γενόμενος Πηδαχθόης. Οὗτος κρατηθεὶς ὑπὸ Φιλομάρχου ἡγεμόνος μετὰ ι' μαθητῶν ὑπομείνντες [об.) τὸ τέλος ὑπὲρ τῆς Χριστοῦ μαρτυρίας διὰ ξίφους ἐδέξατο. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας μάρτυρος Μαρίνης. Αὕτη ἦν ἀπὸ Ἀντιοχείας τῆς Πισιδίας, ἐπ' Ὀλυβρίου ἐπάρχου, θυγάτηρ Αἰδεσίου ἱερέως τῶν εἰδώλων. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Σπεράτου καὶ Βερονίκης . . . .[3]) ἁγίας μάρτυρος Θεοδ . . . . υἱῶν αὐτῆς.

ιη'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ. Οὗτος ὑπῆρχεν ἐκ πόλεως Δωρωστόλου Μοισίας τῆς Θράκης δοῦλος ἑνὸς ἕλληνος ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Καπετωλίνου Βικαρίου, χριστιανός δε . . . καιρὸν ἐπιτήδειον . . . σφύραν εἰσῆλθεν εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ συνέτριψε πάντα τὰ ἀγάλματα καὶ τὰς θυσίας διεσκόρπισεν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὑακίνθου τοῦ ἐν Ἀμάστριδι, ἐπισκοπεύσαντος [л. 161) τοῦ Ἡρακλείδους ἐν Ἀμάστριδι γεγέννηται ὁ ἅγιος μάρτυς Ὑάκινθος, πατρὸς μὲν Θεοκλήτου, μητρὸς δὲ Θεονίλλας. Ἄγγελος δὲ

---

[1]) Προκείμενον· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ.—[2]) Ἀλληλούια ἦχος δ', Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν.

[3]) Опущенныя мѣста вытерты настолько, что нѣтъ никакой возможности прочесть ихъ.

Κυρίου ὀφθεὶς ἔφη· Ὑάκινθον τὸν παῖδα προσαγόρευσον, καὶ δὴ τριετὴς γενόμενος ἀνέστησε παῖδα τεθνεῶτα, καὶ φιλοσόφου τινὸς τὴν γαμετὴν δυσεντερίᾳ κατεχομένην ἰάσατο, καὶ πλοίου ὑπὸ δαίμονος κρατουμένου καὶ μὴ κινουμένου, εἰσελθόντος ἐν αὐτῷ καὶ σφραγίσας, ἐνέβαλεν εἰς τὴν θάλασσαν, καὶ παιδίον ἐν τῷ λουτρῷ πνιγὲν δι' εὐχῆς ἀνέστησεν. Τέλειος δὲ γενόμενος συνήντησε τῷ μάρτυρι Φωκᾷ καὶ μετὰ τούτου καταλαβὼν τὴν Ἄμαστριν, ἐκήρυττε τὸν λόγον τοῦ Θεοῦ. Καστρισίου δὲ τινὸς ἡγεμονεύοντος ἐν τῷ Πόντῳ, ἄγεται πρὸς αὐτόν, τύπτεται δεινῶς, καὶ ἐκριζοῦται σιδήρῳ τοὺς ὀδόντας, καὶ [οβ.) σύρεται σχοινίοις ἔξω τῆς πόλεως, καὶ τιτρώσκεται καλάμοις ὥστε γενέσθαι αὐτὸν ἡμιθανῆ. Τῇ οὖν νυκτὶ γίνεται αὐτῷ ἐπιστασία ἁγίων ἀγγέλων, ὑφ' ὧν θαρσοποιηθείς, εὐξάμενός τε ὑπὲρ τῆς πόλεως καὶ πάσης πόλεως, καὶ τῶν ἐν παντοίαις ἀνάγκαις, καὶ τῶν τελούντων τὴν μνήμην αὐτοῦ, οὕτως ἐν εἰρήνῃ ἐκοιμήθη γίνεται θαῦμα ἐτησίως ἐν Ἀμάστριδι. Ἐν τῷ δεξιῷ μέρει τοῦ ναοῦ αὐτοῦ μετὰ τὸ τελεσθῆναι τὴν θείαν λειτουργίαν, καὶ αὖθις τὴν ἑσπερινήν, ἀναδίδοται ὁ θεῖος χοῦς ἐκ τοῦ τόπου τῆς θέσεως τοῦ ἁγίου, ὃν ὁ ἐπίσκοπος λαμβάνων μεταδίδει τῷ λαῷ εἰς εὐλογίαν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μαρκέλλου καὶ Δασίου καὶ Μάρωνος. Καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου τῶν Καλλιστράτου. Ψάλλομεν καὶ ἀναγινώσκομεν καθὰ προεγράφη [π. **162**) εἰς τὰς θ'. τοῦ αὐτοῦ μηνός.

ιθ'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δίου. Οὗτος ὥρμητο ἐκ τῆς Ἀντιοχέων χώρας ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μεγάλου, μαθητευθεὶς ἐν Εὐφραθᾷ καὶ Ῥωμανῷ, ἐσθίων δὲ διὰ δύο ἡμερῶν τῆς ἑβδομάδος ἄρτον, καὶ ἅλατι καὶ ὕδατι πληρῶν τὴν χρείαν τοῦ σώματος. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ὁσίας Μακρίνας ἀδελφῆς τοῦ Μεγάλου Βασιλείου. Αὕτη γέγονεν ἐξ εὐγενῶν καὶ εὐπατρίδων πρωτότοκος τοῖς γονεῦσι γεννηθεῖσα. Μακρίναν δὲ αὐτὴν ἐπωνόμασαν κατὰ τὴν μάμην αὐτῆς, τοῦ γὰρ πατρὸς αὐτῆς Βασιλείου ἡ μήτηρ Μακρίνα ἐλέγετο. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Πανήδου [οβ.) τοῦ νέου ὁμολογητοῦ.

κ'. Ἡ πυρφόρος ἀνάβασις Ἠλιοῦ τοῦ προφήτου. Οὗτος ἦν ἐκ Θέσβης ἐκ γῆς Ἀράβων, ἐκ φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ, ὅτι ἡ Θέσβη δῶμα ἦν τοῖς ἱερεῦσι δεδομένη, καὶ ὅτι ἔτεκεν αὐτὸν ἡ μήτηρ αὐτοῦ· εἶδε Σοβὰκ ὁ πατὴρ αὐτοῦ ὀπτασίαν, ὅτι ἄνδρες λευκοφανεῖς αὐτὸ προσηγόρευον καὶ ὅτι ἐν πυρὶ αὐτὸν ἐσπαργάνουν, καὶ φλόγα πυρὸς ἐδί-

δουν αὐτῷ φαγεῖν, καὶ ἐλθὼν εἰς Ἱερουσαλήμ, ἀνήγγειλε τοῖς ἱερεῦσι, καὶ εἶπεν αὐτῷ ὁ χρηματισμὸς μὴ δειλιάσῃς, ἔσται γὰρ ἡ οἴκησις τοῦ παιδὸς φῶς, καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ ἐν πυρί, καὶ οὗτος ἐστιν Ἠλίας, [л. 163) ὁ τὸ πῦρ τρίτον καὶ τὸν ὑετὸν τῇ ἰδίᾳ γλώττῃ βαστάσας, καὶ νεκροὺς ἐγείρας ἐξ οὐρανοῦ κατενέγκας, καὶ εἰς οὐρανὸν ἐν ἅρματι πυρὸς ἀναληφθείς.

κα'. Κοίμησις τῶν ὁσίων πατέρων ἡμῶν Συμεὼν τοῦ σαλοῦ καὶ Ἰωάννου. Οὗτος ὁ διὰ Χριστὸν σαλὸς γεγονὼς καὶ Ἰωάννης ὁ συνέκδημος αὐτοῦ ὑπῆρχον ἐκ Συρίας πόλεως Ἐδέσης τῆς ὀρεινῆς ἐπαρχίας ἐπὶ τῆς βασιλείας Ἰουστίνου τοῦ νέου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἀποστόλου Ἰούστου καὶ Ματθία, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Τροφίμου καὶ Θεοφίλου καὶ τῆς συνοδίας αὐτῶν.

κβ'. Μνήμη τῆς ἁγίας μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς, ἔχουσα ζ'. δαιμόνια, ἀκολουθήσασα δὲ τῷ Χριστῷ, ἐκείνων μὲν ἠλευθερώθη, καὶ διηκόνησεν αὐτῷ μέχρι τοῦ πάθους, καὶ μυροφόρος γέγονε, καὶ πρώτη τὴν ἀνάστασιν ἅμα τῇ ἄλλῃ Μαρίᾳ, [об.) ἦγουν τῇ Θεοτόκῳ κατεῖδεν. Μετὰ οὖν τὴν θείαν ἀνάληψιν, γενομένη εἰς Ἔφεσον πρὸς τὸν Θεολόγον, ἐκεῖ ὁσίως κεκοίμηται, καὶ κατάκειται πρὸς εἴσοδον τοῦ σπηλαίου, ἐν ᾧ οἱ ἅγιοι ζ'. παῖδες κεκοίμηνται. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φωκᾶ. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως διαλάμπων ἐν ἀμέμπτῳ πολιτείᾳ, ἀναχθεὶς καὶ εἰς πᾶσαν ἀρετὴν, καὶ πᾶσι τὰ πάντα γενόμενος προσήχθη Ἀφρικανῷ τῷ ἐπάρχῳ.

κγ'. Ἄθλησις τῶν ἁγίων ἱερομαρτύρων Βιταλίου καὶ Ἀπολιναρίου ἐπισκόπων Ῥαβέννης, καὶ Εὐγενίου μάρτυρος καὶ Ἀπολλωνίου ἐπισκόπου Ῥώμης. Ἡ ἀκολουθία μηνὸς Νοεμβρίου κε'.

κδ'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Χρηστίνης. Αὕτη ἦν ἀπὸ τῆς Τυρίων πόλεως, Οὐρβανοῦ τινὸς στρατηλάτου θυγάτηρ [л. 164).

κε'. Κοίμησις τῆς ἁγίας Ἄννης μητρὸς τῆς Θεοτόκου. Αὕτη ἡ προμήτωρ τοῦ Κυρίου ἡμῶν κατὰ σάρκα γενομένη, ἦν ἐκ φυλῆς Λευΐ, θυγάτηρ Ματθᾶ τοῦ ἱερέως καὶ Μαρίας τῆς αὐτοῦ γυναικὸς ἀπὸ Βηθλεὲμ τῆς Ἰουδαίας· ὅστις Ματθὰν ὑπῆρχεν ἱερατεύων, ἐπὶ τῆς βασιλείας Κλεοπάτρας καὶ Σαπώρου βασιλέων Περσῶν καὶ Αἰγυπτίων, πρὸ τῆς βασιλείας Ἡρώδου υἱοῦ Ἀντιπάτρου. Οὗτος ὁ Ματθὰν ὁ ἱερεὺς τρεῖς ἔσχε θυγατέρας, ὄνομα τῇ πρώτῃ Μαρίᾳ, καὶ ὄνομα τῇ δευτέρᾳ Σοβῆ, καὶ ὄνομα τῇ γ'. Ἄννα. Ἔγημεν ἡ πρώτη ἐν Βηθλεὲμ καὶ ἔτεκε Σαλώμην τὴν μαῖαν· ἔγημε καὶ ἡ δευτέρα καὶ αὐτὴ ἐν Βηθλεὲμ καὶ ἔτεκε τὴν Ἐλισάβετ εἰς γῆν τῆς Γαλιλαίας· ἔγημε καὶ ἡ

τρίτη καὶ ἐγέννησε Μαρίαν τὴν Θεοτόκον· ὡς εἶναι τὴν Σαλώμην [οβ.) καὶ τὴν ἁγίαν Μαρίαν θυγατέρας ἀδελφῶν τριῶν θηλυῶν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας ἀοιδίμου Εὐπραξίας. Αὕτη θυγάτηρ μὲν ἦν Ἀντιγόνου τινὸς συγκλητικοῦ, μητρὸς δὲ Εὐπραξίας, ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, ᾧτινι καὶ προγονῆς ἐτύγχανον. Ἀντιγόνου δὲ τελευτήσαντος, ἡ μήτηρ Εὐπραξία τῷ βασιλεῖ Θεοδοσίῳ παρέθετο φροντίζειν αὐτῆς ὡς ὀρφανῆς. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας καὶ μακαρίας Ὀλυμπιάδος. Αὕτη ἡ μακαρία Ὀλυμπιὰς ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ Ἀρκαδίου καὶ Ὁνορίου, θυγάτηρ ὑπάρχουσα Σελεύκου ἀπὸ Κωμητῶν, ἔγγονος δὲ Ἀβλαβίου τοῦ ἐπάρχου, νύμφη δὲ πρὸς ὀλίγας ἡμέρας Νευριδίου τοῦ ἀπὸ ἐπάρχων, γυνὴ δὲ οὐδενός, ὡς ὅτι γὰρ ἦν νεάνις ἐχήρευσε (л. 165] παρθένος οὖσα, καὶ σύμβιος τοῦ λόγου τῆς ἀληθείας, ἥτις ἀνδρικῷ φρονήματι τὰς ἀρετὰς ἠσπάζετο διαπρέπουσα ἐν τῷ βίῳ καὶ πόνοις καὶ ἀγῶσι, καὶ τῇ τῶν περιστάσεων ὑπομονῇ, ἐν προσευχαῖς τὴν ζωὴν διανύουσα, πολλὴν δὲ αὐτὴ περιουσίαν χρημάτων τοῖς δεομένοις διένειμεν, καθὼς οἱ εὖ παθόντες διηγήσαντο. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν τῆς ε'. συνόδου.

κς'. Ἄθλησις τοῦ ἁγίου Ἑρμολάου καὶ τῶν σὺν αὐτῷ μαρτύρων. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ βασιλέως, ἐκ τοῦ κλήρου τῶν Νικομηδέων ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, πρεσβύτεροι ὑπάρχοντες, ὅτε ἅγιος Ἑρμόλαος καὶ οἱ σὺν αὐτῷ Ἑρμιππός τε καὶ Ἑρμοκράτης, περιλειφθέντες ἐκ τῶν καέντων ἁγίων ἐν τῇ ἐκκλησίᾳ [οβ.) ὑπὸ Μαξιμιανοῦ τοῦ Τυράννου. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν πρεσβυτέρου γενομένου καὶ ἀρχιμανδρίτου Συμεὼν τοῦ στυλίτου ἐπέκεινα τοῦ ἀνάπλου. Καὶ τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Γαβριήλ. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἱερουσαλὴμ καὶ Ἀππίωνος. Τῇ αὐτῇ ἡμέρᾳ ἐγένετο ὁ πόλεμος εἰς Βουλγαρίαν καὶ ὁ θάνατος Νικηφόρου τοῦ βασιλέως καὶ ἄλλων πολλῶν ἰνδικτιῶνος δ'. ἡμέρας ζ'.

κζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Παντελεήμονος. Οὗτος ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ Τυράννου ἐν τῇ Νικομηδέων πόλει πατρὸς μὲν Ἕλληνος, μητρὸς δὲ Εὐβούλας χριστιανῆς υἱὸς ὑπάρχων, παιδεύεται δὲ τὴν ἰατρικὴν ἐπιστήμην παρὰ Εὐφροσύνῳ ἀρχιατρῷ τοῦ βασιλέως. Ἑρμόλαος δὲ ὁ πρεσβύτερος τοῦτον κατήχησε τῷ λόγῳ τοῦ Θεοῦ καὶ βαπτίζει. Εἰς τὸν Ν'. (л. 166] τροπάριον ἦχος πλ. δ'· Πρὸς· Τὴν σοφίαν καὶ λόγον. Μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ καὶ τὴν πίστιν. Προκείμενον ἦχος

βαρύς· Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, στίχος· Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Τιμόθεον β΄. Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι. Ἀλληλούϊα ἦχος δ΄, στίχος· Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ. [οβ.) Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. πγ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κη΄. Ἄθλησις τοῦ ἁγίου Εὐσταθίου τοῦ ἐν Ἀγκύρᾳ. Οὗτος στρατιώτης ἦν καὶ ἀχθεὶς Κορνηλίῳ τῷ ἡγεμόνι Ἀγκύρας, καὶ τύψας καὶ ξέσας ἔτι δὲ καὶ τοὺς ἀστραγάλους τρυπήσας καὶ σχοινία περιθείς, ἔσυραν αὐτὸν οἱ ὑπηρέται ἀπὸ τῆς πύλης τῆς πόλεως Ἀγκύρων ἕως τοῦ Σαγερέως ποταμοῦ, ἀκολουθοῦντος καὶ τοῦ ἡγεμόνος, καὶ βάλλουσιν αὐτὸν ζῶντα ἐν γλωσσοκόμῳ, καὶ ῥίπτουσιν εἰς τὸν ποταμόν. Ἐξέρχεται ὁ ἅγιος ἐπὶ τὴν ξηράν, μανθάνει ὁ ἡγεμὼν ὅτι ζῇ, καὶ λαβὼν μάχαιραν ἀνεῖλεν αὐτόν, ὁ δὲ ἅγιος εὐξάμενος, καὶ εὐχαριστήσας τῷ Κυρίῳ, παρέδωκε τὸ πνεῦμα ἐν εἰρήνῃ καὶ ἀγάπῃ. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Ἀκακίου. Οὗτος ἦν νέος τῇ ἡλικίᾳ ἐπὶ [π. **167**) Λικινίου τοῦ βασιλέως. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῆς Θεοτόκου ἐν τοῖς Διακονίσσης. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Κυντιλιανοῦ, Δάδα, Μαξίμου εἰς τὰ Βιγλεντίας.

κθ΄. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλινίκου, τοῦ ἐν Γάγγρᾳ. Κίλιξ μὲν τὸ γένος, ἀνὴρ δὲ ἀγαθὸς καὶ φοβούμενος τὸν Θεόν, ὁδοιπορίαις χαίρων, καθάπερ ἔμπορος διὰ τὸν ἐπικείμενον διωγμὸν ὑπὸ τῶν εἰδωλομανῶν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἀλεξάνδρου καὶ τῆς ἁγίας μάρτυρος Θεοδότης ἐν τῷ κάμπῳ, καὶ τῆς ἁγίας Πελαγίας τῆς πόρνης.

λ΄. Ἄθλησις τοῦ ἁγίου Ἰωάννου τοῦ στρατιώτου. Οὗτος ἦν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου στρατευόμενος ἐν τῷ νουμέρῳ τῶν Ταϊφάλων, ὅστις ἀπεστάλη μετὰ καὶ ἑτέρων συστρατιωτῶν ἐπὶ τὴν Τραλλιανῶν πόλιν τῆς Ἀσίας, πρὸς τὸ διωγμὸν ποιῆσαι κατὰ τῶν χριστιανῶν, [οβ.) καὶ αὐτὸς μὲν ἐφαίνετο τοῖς ἀνθρώποις διώκτης καὶ Ἑλλήνων φίλος· εἶχε δὲ ἐν τῇ καρδίᾳ τὴν πίστιν τοῦ Χριστοῦ. Καὶ ὁτὲ μὲν προεμήνυε τοῖς χριστιανοῖς φυγεῖν τὴν ἀνάγκην τοῦ διωγμοῦ, ὁτὲ δὲ καὶ συσχεθέντας, κρύβδην ἀπέλυε καὶ τὰ εἰς δόξαν Θεοῦ εἰργάζετο, καὶ ποιῶν ἐλεημοσύνας εἰς τοὺς δεομένους καὶ τοὺς ἐν φυλακῇ ἐπισκεπτόμενος, ἐπήλειφέ τε πρὸς ὑπομονήν, καὶ παρεμυθεῖτο πάντας. Οὕτως οὖν ἐναρέτως βιώσας, καὶ ἐν Κυρίῳ κοιμηθείς, ἐτέθη ἐν τόπῳ καλουμένῳ Πανδέκτη, ἔνθα καὶ οἱ ξένοι ἐτίθεντο, ὁ δὲ Θεὸς παραδόξοις

σημείοις τοῦτον ἐφανέρωσεν, καὶ διὰ ἑτέρων θαυμάτων τοῦτον ἐδόξασε καὶ ἐτίμησεν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μάμαντος καὶ Βασιλίσκου ἐν τῷ Ξηροκέρκῳ πόρτης, καὶ τοῦ ἁγίου Βενιαμὴν καὶ Μηναίου [л. 168] πλησίον τοῦ παλατίου τοῦ Ἑβδόμου. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου γενομένου Κωνσταντινουπόλεως Ἰωάννου, καὶ τοῦ εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως Θεοδοσίου.

λα'. Τὴν ἀνάμνησιν ποιοῦμεν τῶν ἐγκαινίων τοῦ σεβασμίου οἴκου τῆς παναγίας Θεοτόκου ἐν Βλαχέρναις, ἔνθα ἀπόκειται ἡ παναγία Σορός. Τροπάριον ἦχος πλ. α'. Ἁγιωτέρα τῶν Χερουβίμ, ὑψηλοτέρα τῶν οὐρανῶν πανύμνητε. Προκείμενον ἦχος δ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, στίχος· ὁ Κύριος ἐβασίλευσεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἅγιοι κλήσεως ἐπουρανίου. Ἀλληλούϊα ἦχος β', Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρξγ'. (об.) Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐδοκίμου τοῦ ἐν Ἐξακιονίῳ. Κοινωνικόν· Ποτήριον σωτηρίου [1]).

Μὴν Αὔγουστος ἡμέρας ἔχων λα', ἡ ἡμέρα ὥρας ιγ', καὶ ἡ νὺξ ὥρας ια'.

α'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Μακκαβαίων, Ἐλεαζάρου καὶ τῶν ζ' παίδων καὶ Σολομονῆς τῆς τούτων μητρός. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων γ' παρθένων καὶ μαρτύρων Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης, καὶ τῆς τούτων μητρὸς Σοφίας. Αὕτη ἦν ἐκ γένους μεγίστου, καὶ πλουσία σφόδρα, ἐπιδημήσασα ἐν τῇ Ῥώμῃ ἅμα τρισὶ θυγατράσιν εὐπρεπεστάταις. Αὗται διαβάλλονται ὑπὸ ἐξάρχου τῆς πόλεως ὀνόματι Ἀντιόχου πρὸς Ἀδριανὸν τὸν βασιλέα. Καὶ [л. 169] παραστάσης τῷ βασιλεῖ, κελεύει τὴν Πίστιν θύσαι, καὶ μὴ πεισθεῖσαν ταύτην κελεύει ῥαβδίζεσθαι, καὶ σιδήρῳ τὰς σάρκας αὐτῆς τέμνεσθαι, καὶ μετὰ τοῦτο βληθῆναι εἰς ἐσχάραν, καὶ αὖθις εἰς τήγανον, λοιπὸν ἀποκαμὼν κελεύει διὰ ξίφους τὸ τέλος ἀπενέγκασθαι· ἡ δὲ Πίστις νουθετήσασα τὰ ἀδέλφια αὐτῆς, καὶ καταφιλήσασα καὶ τὴν μητέρα, κλίνασα προθύμως τὸν αὐχένα τῷ ξίφει ἐτελειώθη. Ἄγουσι μετὰ τοῦτο τὴν ἁγίαν Ἐλπίδα καὶ κελεύει ὁ βασιλεὺς ταύτην ἀποδυθῆναι, καὶ τύπτεσθαι νεύροις ὠμοῖς, καὶ εἰς πῦρ βληθῆναι καὶ αὖθις κρεμασθεῖσαν ξέεσθαι, τότε ὁ τύραννος ἐκέλευσεν ἐμβληθῆναι αὐτὴν εἰς λέβητα, καὶ ὁ λέβης ὡς κηρὸς διελύθη καὶ οὕτως καὶ ταύτην τῷ ξίφει τελειωθῆναι· ἡ δὲ ἁγία Ἐλπὶς [об.]

[1]) Рукоп. Синайск. библ. № 286 λα'. Ἡ πρόοδος τοῦ τιμίου σταυροῦ

ἔδραμε πρὸς τὴν μητέρα αὐτῆς; καὶ ἡσπάσατο λέγουσα· Εἰρήνη σοι, μῆτερ; εὔχου ὑπὲρ τοῦ τέκνου σου. Καὶ τῇ νηπίῳ ταύτης ἀδελφῇ περιπλακεῖσα ἔλεγε· σπεῦδε προθύμως. μὴ οὖν δειλιάσῃς. Καὶ ταῦτα εἰποῦσα ἐτελειώθη τῷ ξίφει. Ἡ δὲ τρίτη Ἀγάπη, πολλὰ νουθετηθεῖσα ὑπὸ τῆς μητρὸς, προσαχθεῖσά τῷ τυράννῳ εἶπεν· ἀγνοεῖς, ὅτι ὁ αὐτὸς πατὴρ καὶ ἡ αὐτὴ μήτηρ ἐγέννησέ με τῶν προτελειωθεισῶν μου ἀδελφῶν καὶ τοῖς αὐτοῖς ἐπαιδεύθην δόγμασιν· ἔσο εἰδὼς, ὅτι ἐπὶ τοῖς αὐτοῖς ἀνατραφέντες καὶ τοῖς αὐτοῖς τελειωθησόμεθα. Ταῦτα ἀκούσας ἐκέλευσεν αὐτὴν ἐπὶ κοντοῦ κρεμασθῆναι καὶ διὰ κακοτέχνων ὀργάνων ἐκτείνεσθαι· καὶ αὖθις κατασκευάζει κάμινον, καὶ βληθείσης αὐτῆς ἐξέρχεται ἀβλαβής· καὶ ἐξελθοῦσα κελεύει αὐτὴν τῷ ξίφει τελειωθῆναι. Καὶ [π. 170) καταφιλήσασα καὶ ταύτην ἡ μήτηρ, εἰποῦσά τε μνημονεύειν αὐτῆς, ἐτελειώθη ὑπὸ τοῦ ξίφους. Ἡ δὲ μήτηρ περιστείλασα τὰ τίμια αὐτῶν λείψανα καὶ ζεύξασα καροῦχαν ἐξώρμησεν ἀπὸ μιλίων ιη΄. καὶ οἰκοδομήσασα ναόν, κατέθετο τὰ λείψανα τῶν αὐτῶν ἁγίων ἐκεῖ, ἐν ᾧ καὶ αὐτὴ ὁσίως κεκοίμηται. Τῇ αὐτῇ ἡμέρᾳ ἡ βάπτισις τῶν τιμίων ξύλων. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Πολυεύκτου, Θεοδώρου, Κυρίλλου, Ἐλεαζάρου καὶ τῆς συνοδίας αὐτῶν ἐν Βιγλεντίαις. Καὶ μνήμη τῶν ἁγίων μαρτύρων Μηνᾶ καὶ Μηναίου ἐν τῷ Ἑβδόμῳ. Εἰς τὸν Ν΄. τροπάριον· Οἱ τοῦ νόμου φύλακες, καὶ πρὸ τῆς χάριτος μάρτυρες, διάβολον καὶ τύραννον τῇ ὑπομονῇ τῶν βασάνων κατετροπώσασθε, θεσμοὺς πατρικοὺς καὶ στοργὴν [οβ.) ἀδελφότητος τῇ πίστει ὑποθείξαντες· διὸ μὴ παύσησθε πρεσβεύειν Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, οἱ ἅγιοι πάντες διὰ πίστεως. Ἀλληλούϊα ἦχος α΄, στίχος· Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. πς΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

β΄. Μνήμη τῆς ἐπανόδου τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου ἐν τῷ Ζεύγματι πλησίον Κωνσταντινιάναις. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ. Οὗτος ἦν ἐπὶ Οὐαλεριανοῦ καὶ Γαληνοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἡ εὕρεσις τῶν λειψάνων οἱ ἀγγέλου τῶν ἁγίων μαρτύρων Μαξιμιανοῦ, Δάδα, καὶ Κυντιλλιανοῦ. [π. 171) Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ βασιλέως ἐν τῇ χώρᾳ τῆς Δευτερομυσίας ἐν πόλει Δοροστόλῳ παραστάντες δὲ Ταρκυνίῳ ὑπάτῳ ἠναγκάσθησαν

θύσαι, οἱ δὲ μὴ πεισθέντες βάλλονται ἐν φρουρᾷ καὶ αὖθις τύπτονται δεινῶς, καὶ λαβόντες τὴν διὰ ξίφους ἀπόφασιν, ἦλθον εἰς τὸν ἴδιον τόπον, Ὀζιβίαν καλούμενον, κἀκεῖ τὰς κεφαλὰς ἀπετμήθησαν, μηνὶ Ἀπριλίῳ (Ἰουλίῳ?) κη'. εὑρέθησαν δὲ τὰ λείψανα δι' ἀγγέλου, μηνὶ Αὐγούστῳ β'. ἅτινα νῦν κατάκεινται ἐν τῷ οἴκῳ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Βιγλεντίας, ἰάσεις πλείστας ἐπιτελούντων. Καὶ μνήμη τοῦ ἐν ἁγίοις βασιλέως ἡμῶν Ἰουστινιανοῦ. Καὶ ἡ κοίμησις τῶν ἁγίων ζ'. παίδων τῶν ἐν Ἐφέσῳ.

γ'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δαλμάτου. Οὗτος σχολάριος ὑπῆρχε στρατευόμενος ἐν τῇ β'. σχολῇ τῶν σχολαρίων ἐπὶ Θεοδοσίου τοῦ βασιλέως. Τῇ αὐτῇ [об.) ἡμέρᾳ τῆς ἁγίας καὶ οἰκουμενικῆς β'. συνόδου τῶν ἁγίων τν'. θεοφόρων πατέρων ἡμῶν. Καὶ τὰ ἐγκαίνια τῆς ἁγίας Θεοτόκου ἐν Γοργιαναῖς. Καὶ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Ἐφέσου, Ἰωαννου τοῦ μοναχοῦ καὶ Ἰωάννου τοῦ νέου. Ἡ ἀκολουθία πᾶσα προεγράφη μηνὶ Ὀκτωβρίῳ α'.

δ'. Μνήμη τῆς ἁγίας Μαρίας τῆς Μαγδαληνῆς. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς. Εὐαγγέλιον κατὰ Μάρκον κεφ. σκζ'. Τῷ καιρῷ ἐκείνῳ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰακώβου. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

ε'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐσιγνίου. Οὗτος ἦν μὲν τὸ γένος Ἀντιοχεὺς στρατιώτης γεγονὼς ἐπὶ Κωνσταντίου τοῦ Χλωροῦ, πατρὸς τοῦ ἁγίου Κωνσταντίνου τοῦ Μεγάλου, καὶ ἐπ' αὐτοῦ Κωνσταντίνου καὶ τῶν υἱῶν αὐτοῦ, ἕως Ἰουλιανοῦ τοῦ [л. 172) παραβάτου, διανύσας ἐν τῇ στρατείᾳ ἔτη ξ'. ζήσας τὰ πάντα ἔτη ρι'. σφόδρα γεγηρακώς. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἴας ἔξω τῆς χρυσῆς πόρτης καὶ ἐν τῷ ζ'. σκάλλῳ καὶ ἐπέκεινα τοῦ στενοῦ. Καὶ τῆς ἁγίας μάρτυρος Χρηστίνης, καὶ τοῦ ἁγίου Θουθαὴλ πλησίον τοῦ παλατίου.

ς'. Τὴν μεταμόρφωσιν ἑορτάζομεν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ταῖς κατὰ τόπον ἁγιωτάταις ἐκκλησίαις. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τοῦ ἁγίου μάρτυρος Βικεντίου ἐν τῷ κάμπῳ. Ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἐν τῇ παραμονῇ ἑσπέρας μετὰ τάγ'. ἀντίφωνα τοῦ λυχνικοῦ γίνονται ἀναγνώσματα γ'. τὸ α' τῆς Ἐξόδου· Εἶπε Κύριος πρὸς Μωϋσῆν· ἀνάβηθι πρός με. τὸ β' τῆς Ἐξόδου· Εἶπε Κύριος πρὸς Μωϋσῆν· ἐνώπιος ἐνωπίῳ. τὸ γ'

Βασιλειῶν γ'. Ἐν ταῖς ἡμέραις [**οδ.**) ἐκείναις ἔρχεται Ἡλιού, καὶ ἀπέρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι. Τροπάριον ἦχος βαρύς· Μετεμορφώθης ἐν τῷ ὄρει, Χριστέ [1]). Τὸ αὐτὸ δὲ λεγέται καὶ εἰς τὸν Ν'. καὶ εἰς τὸ γ' ἀντίφωνον τῆς λειτουργίας. Προκείμενον ἦχος δ'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, στίχος β'. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω. Ὁ ἀπόστολος καθολικῆς β'. ἐπιστολῆς Πέτρου· Ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν. Ἀλληλούια ἦχος πλ. δ'. στίχος [2])· Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ [**л. 173**). Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρβ'. Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον. Κοινωνικόν· Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε.

ζ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Δομετίου. Οὗτος ὑπῆρχεν ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου βασιλέως υἱοῦ Ἑλένης, Πέρσης τῷ γένει ὑπὸ Ἀβάρου τινὸς χριστιανοῦ ἐν Περσίδι κατέλιπε τὴν πατρώαν ἀσέβειαν, μαρτυρεῖ δὲ ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἐν εὐσεβείᾳ γενομένης ἡμῶν βασιλίσσης ἐν τοῖς ἁγίοις ἀποστόλοις Εἰρήνης. Καὶ λιτὴ ἀπέρχεται ἐν Βλαχέρναις κατὰ τῶν βαρβάρων. Τροπάριον ἦχος γ'. Ἔργοις λάμψαντες ὀρθοδοξίας. [**οδ.**) Προεγράφη μηνὶ Ἰανουαρίῳ ιδ'. Καὶ [3]) μνήμη τῆς ἐλεύσεως τῶν βαρβάρων [4]), ὅτε διὰ τῶν πρεσβειῶν τῆς παναγίας Θεοτόκου ἐβυθίσθησαν ἐν τῷ λάκκῳ.

---

[1]) Рукоп. патр. іерус. библ. № 53 и 285 στίχος α'. Εὐλόγει ἡ ψυχή μου, στίχος β'. Ἐκτείνων τὸν οὐρανόν, στίχος γ'. Ὁ τιθεὶς. Εἰς τὸν ὄρθρον εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. 4ή'. Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς. Τῇ ἐπαύριον εἰς τὴν λειτουργίαν ψάλλονται ἀντίφωνα καὶ εἰς τὸ· Δεῦτε ἀγαλλιασώμεθα ψάλλεται ἡ καταβασία, ὁμοίως καὶ εἰς τὴν εἴσοδον. Ἀντὶ δὲ τοῦ Τρισαγίου Ὅσοι εἰς Χριστόν.—[2]) Στιχος β'. Μακάριος ὁ λαός.—[3]) Тамъ же Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῆς παντελῶς βοηθείας δοθείσης ἡμῖν παρὰ Χριστοῦ τοῦ Θεοῦ κατὰ τῶν πανταχόθεν κυκλωσάντων ἡμᾶς ἀθέων ἐχθρῶν. Τροπάριον ἦχος πλ. δ'. Ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεός. Προκείμενον ἦχος α'. Ἄσωμεν τῷ Κυρίῳ, στίχος· Ἵππον καὶ ἀναβάτην. Ἕτερον προκείμενον· Κύριος κραταιὸς καὶ δυνατός, στίχος· Τοῦ Κυρίου ἡ γῆ, στίχος· Αὐτὸς ἐπὶ θαλασσῶν. Ὁ ἀπόστολος· Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει. Ἀλληλούια ἦχος α', Μνήσθητι τῆς συναγωγῆς σου, στίχος· Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν. Εὐαγγέλιον κατὰ Μάρκον. Εἶπεν ὁ Κύριος· ἔχετε πίστιν εἰς τὸν Θεόν. Κοινωνικόν· Ποτήριον σωτηρίου.—[4]) Рукоп. Синайск. библ. XI—XII в. № 286. Μνήμη τῆς ἐπελεύσεως τῶν ἀβάρων κατὰ τοὺς καιροὺς Ἡρακλείου τοῦ βασιλέως καὶ Σεργίου πατριάρχου. Τροπάριον ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς Κύριε.

ηʹ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μαρίνου τοῦ γέροντος ἐπὶ Διοκλητιανοῦ βασιλέως, ἡγεμονεύοντος Λυσίας τῆς Κιλικίας χώρας, ὑπῆρχε δὲ ἐκ τῆς Ἀναζαρβῶν πόλεως, κατάκειται δὲ τὸ τίμιον αὐτοῦ λείψανον. ἔξωθεν τῆς Ἀναζαρβῶν πόλεως εἰς κτῆμα τὸ ἐπίκλην Ῥανδαμῶν ἀπὸ μιλίων ς΄. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἐλευθερίου, Λεωνίδους καὶ τῶν νηπίων ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης, πέραν ἐν Ἰουστινιαναῖς, καὶ τοῦ ἁγίου ἀποστόλου εὐαγγελιστοῦ καὶ Θεολόγου Ἰωάννου ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς παναγίας Θεοτόκου ἐν τοῖς Μαρινακίου.

θʹ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μύρωνος ἐπισκόπου Κρήτης καὶ θαυματουργοῦ. Οὗτος ὁ [π. 174) ἅγιος γεννᾶται ἐν Κρήτῃ τῇ νήσῳ ἐν Αὐρακίᾳ τῇ πόλει, τῇ οὔσῃ πλησίον Κνωσοῦ, ἐπὶ Δεκίου τοῦ βασιλέως, ἐξ εὐγενῶν φὺς γονέων. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντωνίνου. Οὗτος ἦν Ἀλεξανδρεὺς τῷ γένει, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεόν, προσαχθεὶς τῷ ἄρχοντι ἐξέσθη κρεμασθεὶς ἐπὶ ξύλου, ὅθεν λαβὼν τὴν διὰ πυρὸς ἀπόφασιν. ἐνουθέτει τοὺς παρεστῶτας· Ἀδελφοί μου ἀγαπητοί, μὴ πάντοτε τὸ σῶμα δουλεύετε, ἀλλὰ μνημονεύετε ὡς ἐκ Θεοῦ ἡμῖν ἡ ψυχὴ δέδοται, καὶ ὡς συγγενὲς ἡμῖν ἔσται πρὸς τὸ θεῖον, ταύτην καθαρὰν τῷ Δεσπότῃ παραστήσατε. Τελειωθεὶς δὲ ὁ ἅγιος, ὡς καθεύδων εὑρέθη μέσον τοῦ πυρὸς μηδόλως φλεγθείς. Τῇ αὐτῇ ἡμέρᾳ τὰ ἐγκαίνια τῶν ἁγίων Ζωῆς καὶ Ἑσπέρου ἐν τῷ δευτέρῳ. Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου [οϐ.) γενομένου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, Κωνσταντίνου καὶ Εἰρήνης νέας ἐν τοῖς ἁγίοις Ἀποστόλοις. Εἰς τὸν Νʹ. τροπάριον ἦχος πλ. δʹ· Τὰς ἐκκλησίας ἐν ἐλαίῳ ἐλίπανας, καὶ τῷ ποιμνίῳ ἡτοίμασας τράπεζαν, τὸν πλοῦτον τοῦ Πνεύματος ἐν τοῖς ἀπόροις δαψιλευσάμενος καὶ πρακτικὸς ἐν ἀρχιερεῦσιν, ὅσιε, κόσμος τῷ βίῳ γέγονας, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ἀλληλούια ἦχος δʹ, στίχος· Δίκαιος ὡς φοίνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. πθʹ. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐγώ εἰμι ἡ θύρα. Κοινωνικόν· Ἀγαλλιᾶσθε. Τῇ αὐτῇ ἡμέρᾳ [π. 175) μνήμη τῶν ἁγίων μαρτύρων τῶν διὰ τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαρτυρησάντων.

ιʹ. Ἄθλησις τοῦ ἁγίου Δαυρεντίου, Ξύστου καὶ Ἱππολύτου. Οὗτοι γεγόνασιν ἐπὶ Δεκίου βασιλέως. Καὶ ὁ μὲν ἅγιος Ξύστος ἀθηναῖος

ὑπῆρχε, καὶ τὸν τῆς φιλοσοφίας λόγον ἐν Ἀθήναις ἠσκήθη, παρ' ἃς καὶ γεγέννηται. Οὗτος παραγενόμενος ἐν τῇ Ῥώμῃ, χειροτονεῖται ἐπίσκοπος τῆς αὐτῆς πόλεως Ῥώμης, μετὰ τὸ μαρτυρῆσαι τὸν ἁγιώτατον Στέφανον. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἀνδρέου τοῦ στρατηλάτου ἐν τῷ Τρικόγχῳ πλησίον τοῦ Καπιτωλίου.

ια'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὔπλου, ὃς ἦν ἐν Σικελίᾳ τῇ νήσῳ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ζήνωνας, Μακαρίου, Νεοφύτου, Γαΐου καὶ Γαϊανοῦ, Μαρκίου καὶ Μακαρίας ἐν τῷ ἐξαέρῳ οἴκῳ τῶν ἁγίων ἀναργύρων ἐν τοῖς Δαρείου.

ιβ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Φωτίου καὶ Ἀνικήτου, ἐπὶ Διοκλητιανοῦ βασιλέως [**οϐ.**].

ιγ'. Τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ. Οὗτος ὁ ὅσιος ἦν ἐπὶ βασιλέως Κωνσταντίνου ἐπιλεγομένου Πογωνάτου, ἐγγόνου Ἡρακλείου, ὅστις Κωνσταντῖνος ἐν Σικελίᾳ ἐν τῷ τῆς Δάφνης λεγομένῳ λουτρῷ, μαχαίρᾳ ἀνῃρέθη ὑπὸ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων. Ὁ οὖν μακάριος Μάξιμος ἔνδικος φιλόσοφος ἐχρημάτιζεν· καὶ ἐν γνώσει τε καὶ λόγῳ καὶ βίῳ περίδοξος ὑπάρχων. πρωτοασικρήτης γέγονεν ἀπὸ τῶν πρώην βασιλέων, σύμβολος ἀγαθὸς τοῖς πᾶσιν ὑπάρχων, ἑκάστοτε τὰ πρακτέα εἰσηγούμενος ὡς ἀγαθὸς καὶ θεῖος διδάσκαλος. Οὗτος τὴν τῶν Μονοθελητῶν κακίστην αἵρεσιν ἰδὼν πλατυνομένην καὶ κρατοῦσαν καὶ ἐγγράφως ἀνατεθεῖσαν ἐν νάρθηκι τῆς ἁγίας Σοφίας ἐν Κωνσταντινουπόλει· καταλιπὼν τὰ βασίλεια γένονε μοναχὸς ἐν τῷ μοναστηρίῳ Χρυσοπόλει, ἐνῷ καὶ ἡγούμενος γέγονε. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Παμφίλου [**μ. 176**), Καπίτωνος ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας ἐν τοῖς Ολυμβρίου. Καὶ μνήμη τῆς ἐν εὐσεβείᾳ γενομένης Εὐδοκίας βασιλίσσης ἐν τοῖς ἁγίοις Ἀποστόλοις, καὶ τῶν ὁσίων πατέρων ἡμῶν Σεργίου καὶ Στεφάνου.

ιδ'. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Μαρκέλλου ἐπισκόπου Ἀπαμείας. Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου βασιλέως ἐκ τῆς Κυπρίων ὁρμώμενος νήσου, ἐν ᾗ κοσμικῆς ἀρχῆς τοὺς οἴακας ἐμπιστευθείς, πάντας ἐξέπληξε τῇ θεωρίᾳ καὶ τῇ σοφίᾳ τῆς περὶ πάντα δικαιοτάτης διαγωγῆς. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου προφήτου Μιχαίου. Οὗτος ἦν ὁ προφήτης, γεννηθεὶς ἐν Μωραθῇ ἐκ φυλῆς Ἐφραίμ, πολλὰ ἐποίησε τῷ Ἰωασὰφ βασιλεῖ Ἰούδᾳ ὑπὸ δὲ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀναιρεῖται, κρεμασθεὶς καὶ θανὼν (**σϐ.**) ἐτάφη ἐν Μωραθῇ ἐν τῇ γῇ αὐτοῦ μονώτατος, σύνεγγυς τοῦ πολυανδρίου, καὶ ἐστιν ὁ τάφος αὐτοῦ γινωσκόμενος ἕως

τῆς σήμερον ἡμέρας. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Λουκίου. Εἰς τὸν Ν΄. τροπάριον ἦχος β΄. Τοῦ ἱεράρχου σου, Κύριε, τὴν μνήμην ἑορτάζοντες. Τὴν δὲ λοιπὴν ἀκολουθίαν ζήτει θ΄. τοῦ αὐτοῦ μηνός.

ιε΄. Ἡ κοίμησις τῆς ἁγίας Θεοτόκου. Δεῖ εἰδέναι, ὅτι τὰ γραφέντα θσύματα ἐν τῇ κοιμήσει τῆς παναγίας Θεοτόκου, αἱρετικοὶ νοθεύσαντες, ἐπὶ πλείστους χρόνους οἱ πατέρες παρεβλέψαντο, ὕστερον δὲ Ἰωάννης ὁ ἁγιώτατος ἐπίσκοπος Θεσσαλονίκης ταῦτα ἐπισκεψάμενος τὰ μὲν βλαβερὰ ἔξω ἔβαλε, τὰ δὲ ὀρθὰ καὶ ψυχωφελῆ ἁρυσάμενος, σινεγράψατο τὴν ἁγίαν κοίμησιν αὐτῆς ἀκριβέστατα. Ἔχει δὲ οὕτως ἡ ἱστορία· Μελλούσης ἐκδημεῖν αὐτῆς ἐκ τοῦ τῇ δε βίου καὶ τοῦ σαρκίου τῆς δεσποίνης ἡμῶν Θεοτόκου, ἔτι τριῶν ἡμερῶν προϊσταμένων, ἦλθε πρὸς αὐτὴν ὁ μέγας ἄγγελος καὶ δέδωκεν αὐτῇ τὸ βραβεῖον. Τοῦτο δὲ ἦν κλάδος βαΐων [л. 177) φοινίκων, ὅπως κρατήσωσι καὶ ὑμνήσωσιν οἱ ἀπόστολοι λέγοντες ἔμπροσθεν αὐτῆς, ὅτι πολλαὶ δυνάμεις γενήσονται δι αὐτοῦ. Καὶ ἐπορεύθη Μαριὰμ εἰς ὄρος, ἣν ἰδόντα τὰ φυτὰ ἔκλιναν τὰς κορυφὰς καὶ προσεκύνησαν αὐτήν. Καὶ ἐλθούσης ἐν τῷ οἴκῳ αὐτῆς, πάλιν ἐσείσθη ὁ τόπος, καὶ ηὔξατο τῷ Θεῷ λέγουσα· Κύριε, ὑπέσχου μοι σὺ αὐτὸς ἐλθεῖν ἐπὶ τὴν ψυχήν μου. Εἶτα καλεῖ τοὺς συγγενεῖς αὐτῆς, καὶ τοὺς γείτονας καὶ προστάττει ἀνάψαι τὰς λαμπάδας καὶ παραμεῖναι αὐτῇ ἕως τρίτης ἡμέρας, ἐν αἷς παρήνει καὶ ἐδίδασκεν αὐτούς. Μετὰ δὲ ταῦτα καταλαμβάνει ὁ Ἰωάννης, καὶ διαλέγεται αὐτῇ μετὰ θρήνου, καὶ εἰσελθοῦσα μετ' αὐτοῦ εἰς τὸ ταμεῖον αὐτῆς τῶν παρθένων ἔξω ψαλόντων, ἔδειξεν αὐτῷ τὴν κηδείαν αὐτῆς, καὶ διετάξατο δυσὶ χήραις δοθῆναι τοὺς δύο χειτῶνας αὐτῆς, καὶ δείξας αὐτῷ τὸ βραβεῖον [об.) οὐκ ἠθέλησε δίχα τῶν ἀποστόλων δέξασθαι αὐτὸ ὁ Θεολόγος. Βροντῆς οὖν γενομένης, ἐχαλάσθησαν διὰ νεφέλης πάντες οἱ ἀπόστολοι πρὸς τὴν θύραν καὶ ἀσπασάμενοι ἀλλήλους, ηὔξαντο καὶ ἀπεκαλύφθη αὐτοῖς περὶ τῆς κοιμήσεως τῆς Μητρὸς τοῦ Κυρίου, συναθροισθῆναι αὐτούς, καὶ εἰσελθόντες πρὸς αὐτὴν ηὐλόγησαν αὐτήν, κἀκείνη αὐτοὺς ἐδόξασε καὶ ὕμνησαν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον, καὶ ἔδειξεν αὐτοῖς τὴν κηδείαν αὐτῆς. Καὶ καθεστώτων προτραπεὶς Πέτρος, ἐδίδασκε τὰς παρθένους καὶ τοὺς παρόντας. Καὶ ἔωθεν τοῦ ἡλίου ἀνατείλαντος, ἐξῆλθε Μαρία ἔξω, καὶ ὑψώσασα τὰς χεῖρας ηὔξατο, καὶ εἰσελθοῦσα ἀνεπαύσατο ἐπὶ τοῦ σκίμποδος πληροῦσα τὴν οἰκονομίαν αὐτῆς. Καὶ ὁ μὲν Πέτρος ἐκαθέζετο πρὸς τῇ κεφαλῇ, ὁ δὲ Ἰωάννης πρὸς τοὺς πόδας, καὶ οἱ ἀπόστολοι κύκλῳ τοῦ κραββάτου. Καὶ περὶ τρίτην ὥραν [л. 178) βροντὴ γέγονε

καὶ ὀσμὴ εὐωδίας, ὥστε πάντας ὕπνῳ συσχεθῆναι, δίχα τῶν ἀποστόλων μόνων, καὶ ἰδοὺ ἐπέστη ὁ Κύριος μετὰ Μιχαὴλ τοῦ Ἀρχιστρατήγου, καὶ ἠσπάσατο τοὺς ἀποστόλους, καὶ ἰδοῦσα ἡ Παναγία ἐδόξασεν αὐτόν, ὅτι τὴν ἐπαγγελίαν ἐπλήρωσε, καὶ οὕτω παρέδωκε τὴν μακαρίαν αὐτῆς ψυχὴν μειδιῶντος καὶ ἀγαλλομένου τοῦ προσώπου αὐτῆς. Καὶ λαβὼν ὁ Κύριος τὴν ἁγίαν ψυχὴν αὐτῆς, παρέθετο εἰς χεῖρας Μιχαήλ, περιειλίσας αὐτὴν ὡς ἐν ὀθονίοις, ὧν οὐκ ἔξεστιν ἐξηγήσασθαι τὴν δόξαν. Ὡράθη δὲ ἡ τιμία ψυχὴ αὐτῆς λευκὴ ὡς φῶς, πεπληρωμένη ἐν πᾶσι μέλεσι τοῦ ἀνθρώπου, χωρὶς τοῦ ἄρρενος καὶ τῆς θηλείας καὶ κηδεύσαντες αὐτὴν οἱ ἀπόστολοι ἔστεψαν τῷ βραβείῳ τὸν κράββατον, καὶ ὕμνησαν ἔμπροσθεν αὐτῆς τὴν κλίνην βαστάζοντες. Εἷς δὲ τῶν ἱερέων ἐκτείνας τὰς χεῖρας τοῦ κατεάξαι τοῦ κραββάτου τὸ τίμιον αὐτῆς λείψανον, ἐξ ἀγκώνων ταύτας ἀφηρέθη [**οβ.**) καὶ ἐθέασεν ἐπὶ τοῦ κραββάτου, μετανοήσαντος δὲ καὶ εὐξαμένου τοῦ Πέτρου ἐπέθηκεν τοῖς ὤμοις ταῖς ἐκκοπεῖσι χερσί, καὶ κολληθεῖσαι ἰάθη. Καὶ δόντες αὐτῷ θαλὸν ἐκ τοῦ βραβείου ἀπέστειλαν εἰς Ἱεροσόλυμα ἐπιθεῖναι τοῖς ἀορασίᾳ τυφλωθεῖσιν ἱερεῦσιν, καὶ ὅσοι ἐπίστευσαν ἰάθησαν. Οἱ δὲ ἀπόστολοι ἀποθέμενοι τὸ σῶμα ἐφύλαττον τὸν τάφον ἐπὶ ἡμέρας τρεῖς, ἠκούετο δὲ φωνὴ τῶν ἀγγέλων ὑμνούντων ἕως τρίτης ἡμέρας. Εἷς δὲ τῶν ἀποστόλων ἀπολειφθεὶς τῆς κηδείας τοῦ ζωαρχικοῦ σώματος, ὕστερον ἐλθὼν ἀνοίξαντες τὸν τάφον οἱ ἀπόστολοι, ἵνα καὶ αὐτὸς θεασάμενος προσκυνήσῃ τὸ ἅγιον σῶμα, καὶ τοῦτο οὐχ εὗρον. Μετέθηκε γὰρ αὐτὸ Χριστὸς ὁ ἐξ αὐτῆς ἄνευ σπορᾶς κατὰ σάρκα γεννηθείς, ὡς αὐτὸς μόνος ἐπίσταται. Δεῖ εἰδέναι ὅτι ἀπὸ τὴν ιε΄. ψάλλομεν εἰς τὸν ὄρθρον ἀντίφωνα ι΄. εἰς δὲ τὸ λυχνικὸν [**π. 179**) ἀντίφωνα ιε΄. Συνθέμενοι συντρέχομεν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ οὕτω λιτανεύοντες ἀπερχόμεθα ἐν τῷ φόρῳ, ἐκεῖθεν τὰς συνήθεις ποιοῦμεν προσευχάς. Μετὰ τῆς αὐτῆς λιτῆς παραγινόμεθα ἐν τῇ εἰρημένῃ συνάξει, τὴν θείαν λειτουργίαν καὶ μυσταγωγίαν ἐκεῖ ἐπιτελοῦντες, ἀπερχομένων δὲ ἡμῶν ψάλλομεν τροπάριον ἦχος πλ. δ΄. Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί, **Θεοτόκε**. Ἐν δὲ τῇ παραμονῇ ἑσπέρας εἰς τὸ λυχνικὸν γίνονται ἀναγνώσματα γ΄. τὰ κείμενα εἰς τὴν Γέννησιν. Καὶ εὐθέως ἀνέρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι καὶ ἀπάρχονται τροπάριον ἦχος α΄. Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας. [**οβ.**) Καὶ μετὰ τοῦτο γίνεται εὐχὴ συναπτὴ καὶ τὸ μέγα Κύριε ἐλέησον, καὶ ἀπολύει ὁ ἀρχιδιάκονος καὶ λέγει· Σοφία, καὶ εὐθέως ἀνέρχεται προανάγνωσις, καὶ μετὰ τοῦτο γίνεται ἡ παννυχὶς κατὰ τάξιν. Εἰς τὸν ὄρθρον καὶ εἰς τὸν Ν΄. ὁμοίως λέγονται τὰ προγεγραμμένα τροπάρια

καὶ εἰς τὴν εἴσοδον τῆς λειτουργίας. Προκείμενον ἦχος γ΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος πρὸς Φιλιππησίους· Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν. Ἀλληλούια ἦχος δ΄, Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, στίχος β΄· Μνήσθητι τῆς συναγωγῆς σου. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν κεφ. ρκβ΄. [л. 180). Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην. Κοινωνικόν· Ποτήριον σωτηρίου.[1]).

ις΄.[2]) Ἄθλησις τοῦ ἁγίου Διομήδους. Οὗτος ἦν ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας, γένους ἐπισήμου τε καὶ ἀγαθοῦ, ἰατρὸς τὴν ἐπιστήμην, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Καταλείψας δὲ ὁ ἅγιος τὴν Ταρσὸν ἦλθεν εἰς Νίκαιαν, ψυχῶν καὶ σωμάτων τὰς νόσους διὰ τῆς τοῦ Χριστοῦ ἐπικλήσεως ἰώμενος καὶ τοὺς ἐν ταῖς φυλακαῖς ὄντας μάρτυρας ἐπιστηρίζων καὶ τούτων ἐπιμελούμενος. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου, Κορνάτου καὶ τῆς συνοδίας αὐτῶν, πλησίον Ἑλενιανῶν. Καὶ ἐν δὲ τῆς Παναγίας Θεοτόκου πλησίον τοῦ Ξηρολόφου. Καὶ μνήμη τοῦ ὁσίου Ἐγλόνος τοῦ ἀναχωρητοῦ. Καὶ μνήμη φόβου[3]) τοῦ ἐν τῇ νέᾳ Ἱερουσαλὴμ πλησίον τῆς χρυσῆς πόρτης καὶ [об.) λιτὴ ἀπέρχεται ἐν τοῖς ἐκεῖσε διὰ τὸν μετὰ φιλανθρωπίας Θεοῦ γενόμενον σεισμὸν καὶ διὰ τὴν κατάλυσιν τῶν ἀθέων ἀγαρηνῶν. Ἑωθεν μέντοι συντρέχομεν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ οὕτω λιτανεύοντες ἀπερχόμεθα ἐν τῷ φόρῳ, ἐκεῖσε τὰς συνήθεις ποιοῦμεν εὐχὰς μετὰ τῆς αὐτῆς λιτῆς παραγενόμεθα ἐν τῇ εἰρημένῃ συνάξει, τὴν θείαν λειτουργίαν καὶ μυσταγωγίαν ἐκεῖσε ἐπιτελοῦμεν. Ἀπερχομένων δὲ ἡμῶν ἐν τοῖς ἐκεῖσε ψάλλομεν τροπάριον ἦχος δ΄. Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι ἐθαυμάστωσας τὸ ἔλεός σου ἐν τῇ πόλει τῆς ἀχράντου σου Μητρός. Ταῖς γὰρ αὐτῆς

---

[1]) Рукоп. Апостолъ Пантелеимонов. аѳон. мон. библ. XI в. № 46: Καὶ γίνεται παράκλησις καὶ δίδοται εἰς τὴν τράπεζαν σταφυλάς. — [2]) Προφητολογій рукоп. XII в., Евсигменской аѳон. библ. № 46. Τῇ παραμονῇ τῆς Ἐδέσσης ἀνακομισθείσης ἀχειροποιήτου θείας εἰκόνος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἤτοι τοῦ μανδηλίου. Καὶ τὰ ἐγκαίνια τοῦ περιωνύμου ναοῦ τοῦ Σωτῆρος τῆς Χάλκης. Читаются четыре пареміи: двѣ изъ Второзаконія и двѣ изъ Премудрости Соломона.— [3]) Рукоп. патріарш. іерус. библ. № 285: Μνήμην ἐπιτελοῦμεν τοῦ σεισμοῦ καὶ τὴν ἐπιδρομὴν τῶν Σαρακινῶν. Кромѣ тропаря: „Εὐλογητὸς εἶ, ὁ Χριστέ ὁ Θεὸς“, имѣется другой: „Τὰ πρόθεσιν τοῦ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος“. Причастенъ: Ποτήριον σωτηρίου.

ἱκεσίαις ἐλυτρώσω ἐν τῷ βραχίονι σου τὸν λαόν σου τῆς προσδοκίας τῶν ἐθνῶν διδοὺς ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν ὡς φιλάνθρωπος. Καὶ πρότερον μὲν ἐξερχόμεθα ἔξωθεν [π. 181) τῆς χρυσῆς πόρτης, ψάλλοντες τὸ αὐτὸ τροπάριον, κἀκεῖσε δοξάζουσιν οἱ ψάλται, καὶ μετὰ τοῦτο γίνεται εὐχὴ συναπτὴ μετὰ τῶν αἰτήσεων καὶ τὸ μέγα Κύριε ἐλέησον, καὶ ἀπολύει ὁ ἀρχιδιάκονος καὶ λέγει· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ, ὁ λαός· Σοὶ Κύριε, καὶ ἐπεύχεται ὁ ἱερεύς, καὶ εἶθ' οὕτως ἀπάρχονται οἱ ψάλται τροπάριον ἦχος δ'. Τεῖχος ἀκαταμάχητον ἡμῶν τῶν χριστιανῶν, καὶ οὕτω ψαλλόντων τὸ αὐτὸ τροπάριον ἀπερχόμεθα ἐν τῷ σεπτῷ ναῷ τῆς παναγίας Θεοτόκου, τῷ ἐπιλεγομένῳ τὴν Νέαν Ἱερουσαλὴμ καὶ εἰσοδεύει ὁ πατριάρχης, καὶ εἰς τὸ δόξα, λέγομεν τὸ προειρημένον τροπάριον, ἤγουν τῆς λιτῆς. Προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν, στίχος α'. Καὶ εἶπα νῦν ἠρξάμην, στίχος β'. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν. [οδ.) Ἀλληλούια ἦχος α'. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ρλβ'. Εἶπεν ὁ Κύριος, ἐγώ εἰμὶ ἡ ἄμπελος ἡ ἀληθινή. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

ιζ'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Παύλου καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ, καὶ Στρατονίκου ἐν Πτολεμαΐδι. Οὗτοι ἀδελφοὶ ὑπῆρχον εὐγενῶν τε καὶ χριστιανῶν γονέων. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Στράτονος, Φιλίππου καὶ Εὐτυχιανοῦ. Οὗτοι ἐν Νικομηδείᾳ ὑπάρχοντες, καὶ ἐπὶ τῆς θέας ἀπιόντες ἐδίδασκον τὸν λόγον τοῦ Θεοῦ, οἵτινες ἀπέστησαν πολλοὺς τῆς πλάνης.

ιη'· Ἄθλησις τῶν ἁγίων μαρτύρων Φλώρου καὶ Λαύρου. Οὗτοι ὑπῆρχον ἀδελφοὶ δίδυμοι λιθοξόοι τὴν τέχνην, μαθηταὶ γεγονότες Πρόκλου καὶ Μαξίμου τῶν μαρτύρων. Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων μαρτύρων Ἑρμοῦ, Σεραπίωνος [π. 182) καὶ Πολυαίνου. Οὗτοι ἐν Ῥώμῃ διαβάλλονται ὑπὸ τῶν ἀπίστων ὡς χριστιανοί. Καὶ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Κωνσταντινουπόλεως Ἰωάννου καὶ Γεωργίου. Τροπάριον ἦχος δ'. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἄλλο ἰδιόμελον ἦχος δ'· Τὸ σῶμα ταπεινώσας. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος, στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους. Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν. Ἀλληλούια ἦχος β', Οἱ ἱερεῖς [οδ.) σου, Κύριε, ἐνδύσονται. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. λβ'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

ιθ'. Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Ἀνδρέου τοῦ Στρατηλάτου καὶ τῶν μετ' αὐτοῦ τελειωθέντων ,βφ4γ'. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Τιμοθέου ἐν Γάζῃ καὶ τῶν σὺν αὐτῷ, καὶ τοῦ ἁγίου ἀποστόλου Θαδδαίου ἐν τῇ μονῇ τῶν Προβῆς, καὶ τοῦ ἁγίου Διομήδους εἰς Λευκὸν ποταμόν. Εἰς τὸν Ν'. τροπάριον ἦχος δ'· Ἀπόστολε ἅγιε πρέσβευε. Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους. Ἀλληλούια ἦχος α'. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς ιβ'. μαθητάς. Κοινωνικόν· Ἀγαλλιᾶσθε. [л. 183).

κ'. Μνήμη τοῦ ἁγίου καὶ δικαίου Σαμουὴλ τοῦ προφήτου. Οὗτος ὑπῆρχεν ἐξ Ἀρμαθαὶμ ἐκ φυλῆς Λευΐ. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας Φωτεινῆς ἐξώπορτα. Καὶ μνήμη τῶν ἐν ἁγίοις Παύλου τοῦ νέου καὶ Γεωργίου ἐπισκόπων τῆς βασιλίδος πόλεως.

κα'. Ἄθλησις τῆς ἁγίας μάρτυρος Βάσσης καὶ τῶν γ'. υἱῶν αὐτῆς· Θεογνίου, Ἀγαπίου, καὶ Πιστοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Λουκίου ἀπὸ Λιβύης κατὰ Κυρήνην.

κβ'. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου καὶ τῆς συνοδίας αὐτοῦ· Ζωτικοῦ, Ζήνωνος, Θεοπρεποῦς, Ἀκινδύνου, καὶ Σεβηριανοῦ. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Εἰρηναίου. Οὗτος ἦν ἐπίσκος Σιρμίου καὶ τῶν ἁγίων γυναικῶν Ἀνθούσης καὶ Ἀριάδνης.

κγ'. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσταθίου ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης. Οὗτος ἦν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Μελετίου ἀρχιεπισκόπου τῆς αὐτῆς μεγαλουπόλεως [об.) Ἀντιοχείας. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἐν ἁγίοις Καλλινίκου πατριάρχου Κωνσταντινουπόλεως. Εἰς τὸν Ν' τροπάριον ἦχος γ'. Φιλοπτωχίαν πλουτήσας. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν. Ἀλληλούια ἦχος πλ. α', Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. πθ'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐγὼ εἰμὶ ἡ θύρα. Κοινωνικόν· Εἰς μνημόσυνον.

κδ. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Τατιανοῦ. Οὗτος ἦν ἐκ τοῦ Μαντινέου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Σεβήρου καὶ Μέμνονος τῶν ἐν τῇ Θράκῃ μαρτυρησάντων καὶ τῆς συνοδίας αὐτῶν τριάκοντα ἑνὸς ἁγίων μαρτύρων, ὧν τὰ ὀνόματα ἐστὶ ταῦτα· Ῥίων, Ἀνειτυλλιανός, Σαβῖνος, Εὐστάθιος, Στρατίων, Βοσβᾶς. Οὗτοι εἰσὶ Βυ-

ζάντιοι. Τιμόθεος δὲ καὶ Παλμάτιος, Μέστος, Νίκων, Δίφιλος, Λομέτιος, Μάξιμος, Νεόφυτος, Βίκτωρ, Ῥίνος, Σατορνῖνος, Επαφροδίτης, Κέρκας, Γάϊος, Ζώϊλος, Τύραννος, Ἀγαθός, Παρθένιος, Ἀχιλλεύς, Πανθήριος, Χρύσανθος, Ἀθηνόδωρος, Παντολέων, Θεόσεβρος, Γενέθλιος· οὗτοι θρᾷκες ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως καὶ τοῦ ὁσίου μάρτυρος Γεωργίου τοῦ Λημνιώτου. Οὗτος ὑπῆρχεν ἐκ παλσιῶν χρόνων τὴν ἀσκητικὴν παλαίστραν ἐν τοῖς Ὀλυμπίοις ὄρεσι πηξάμενος.

κε'. Τοῦ ἁγίου ἀποστόλου Τίτου, ἐπισκόπου γενομένου Κρήτης, πόλεως Γορτύνης, μαθητοῦ γεγονότος [об.) τοῦ ἀποστόλου Παύλου. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου ἡ κάθοδος. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Γενναδίου καὶ τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, Ἐπιφανίου, Μηνᾶ καὶ Ἰωάννου. Ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, εἰς τὸν Ν'. τροπάριον ἦχος δ'. Χρηστότητα ἐκδιδαχθείς, ἕτερον ἦχος δ'. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν. Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος πρὸς Τίτον ἀπαρχῆς ἕως τέλους. τὸ δὲ εὐαγγέλιον, ὡς ἐγράφη εἰς τὴν ιη'. τοῦ ἐνεστῶτος μηνός.

κς'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀδριανοῦ καὶ Ναταλίας καὶ τῆς συνοδίας αὐτῶν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου μάρτυρος Ἀδριανοῦ ἐπὶ Λικινίου βασιλέως, [л. 185) καὶ ἄθλησις τοῦ ἁγίου Μαξίμου τοῦ ὁμολογητοῦ.

κζ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λιβερίου ἀρχιεπισκόπου Ῥώμης. Οὗτος γέγονεν ἐπὶ Κωνσταντίνου βασιλέως ἀρχιεπίσκοπος Ῥώμης. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων κγ'. μαρτύρων τῶν ἐν Νικομηδείᾳ καὶ τῆς ἁγίας Ἀνθούσης. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου Θεοκλήτου. Οὗτος ἦν ἀπὸ Κωνσταντινουπόλεως ἀξίαν ἔχων μαγίστρου, καὶ καταλιπὼν τὸν κόσμον ἀνῆλθεν ἐν τῷ ὄρει τοῦ Ὀλύμπου, κἀκεῖσε ἀποταξάμενος καὶ ἀσκήσας ἔτεσι πλείστοις, ἐκοιμήθη.

κη'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ὁσίου ἐπισκόπου Κορδουβίου καὶ ὁμολογητοῦ. Οὗτος ἦν ἀνὴρ ἀσκητὴς γνώσει θείᾳ καὶ ἀρεταῖς ἐνθέοις καταλάμπων.

κθ'. Μνήμην ἐπιτελοῦμεν τῆς ἀποτομῆς τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἱερομάρτυρος Φιλονίδους, ἐπισκόπου τοῦ Κουρίου. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Μαξίμου

ἡγεμόνος, ἀποκεκλεισμένος [об.] ἐν τῇ φυλακῇ μετὰ τοῦ ἁγίου Ἀριστοκλέους καὶ Δημητριανοῦ καὶ Ἀθανασίου· κἀκείνων τελειωθέντων οὐ μετὰ πολλὰς ἡμέρας ἐξέθετο λόγον ὁ μιαρὸς Μάξιμος, ὥστε τοὺς χριστιανοὺς ὑπὸ ἀσώτων ἀνθρώπων μιαίνεσθαι τῇ φθορᾷ τοῦ σώματος αὐτῶν. Ὁ οὖν ἅγιος Φιλονίδης μὴ θέλων τῇ παρανομίᾳ μιάναι ἀνελθὼν ἐφ' ὑψηλοῦ τόπου, καὶ καταβήσας τὴν κεφαλὴν αὐτοῦ, καὶ τὸ πρόσωπον καλύψας τῷ αὐτῷ ἀναβολίῳ, καὶ ἐπὶ πολὺ προσευξάμενος ἔρριψεν ἑαυτὸν ὄρθιον κάτω, πρὶν ἢ δὲ τὸ σῶμα κατελθεῖν τὸ πνεῦμα παρέθετο τῷ Θεῷ. Εἰς τὸν Ν'. καὶ εἰς τὴν εἴσοδον τροπάριον ἦχος πλ. α'. Ἡ τοῦ Προδρόμου ἔνδοξος ἀποτομή. [л. 186] Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου; στίχος β'. Προσελεύσεται ἄνθρωπος. Ὁ ἀπόστολος πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον. Ἀλληλούια ἦχος πλ. α', στίχος· Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. νζ'. Τῷ καιρῷ ἐκείνῳ ἤκουσεν Ἡρῴδης ὁ βασιλεύς. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

λ'. Μνήμη τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Κωνσταντινουπόλεως, Ἀλεξάνδρου καὶ Ἰωάννου, καὶ τοῦ ἁγίου Παύλου τοῦ νέου πατριάρχου ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Ἀκακίου ἐν τῷ ἑπτασκάλῳ.

λα'. Μνήμην ἐπιτελοῦμεν τῶν καταθέσεων τῆς τιμίας ζώνης τῆς παναγίας Θεοτόκου ἐν τῇ Σορῷ τῶν Χαλκοπρατείων. Ἡ ἀκολουθία [1]) πᾶσα ἐγράφη εἰς τὰς β'. τοῦ Ἰουλίου μηνὸς καὶ οὕτως ἐπιτελεῖται.

[об.) Κανὼν τῆς ἁγίας τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἀναγνώσεων, Πράξεων ἀποστόλων, προφητικῶν, καὶ ἑκάστης ἀκολουθίας ἀπὸ τῆς κυριακῆς πρὸ τῆς ἀποκρέω μέχρι τῆς Ν' ἐπιδημίας τοῦ Ἁγίου Πνεύματος.

Τῇ κυριακῇ πρὸ τῆς ἀποκρέω. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, πάντα μοι ἔξεστιν. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφάλ.

[1]) Рукоп. патріарш. іерусалимской библ. № 285: Ἑτέρα ἀκολουθία γινομένη εἰς ἐγκαίνια ναῶν ἀποστόλων, προφητῶν καὶ ὁσίων. Προκείμενον ἦχος δ'· Τῷ οἴκῳ σου πρέπει, στίχος α'. Ὁ Κύριος ἐβασίλευσεν, στίχος β'. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἅγιοι κλήσεως ἐπουρανίου. Ἀλληλιβια ἦχος α'. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι, στίχος β'. Δεδοξασμένα ἐλαλήθη. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου. Κοινωνικόν· Ποτήριον σωτηρίου.

ρβ΄. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις εἶχε δύο υἱούς.

Τῷ σαββάτῳ τῆς ἀποκρέω. Προκείμενον ἦχος πλ. β΄. Δίκαιοι δὲ κληρονομήσουσι γῆν, στίχος· Ὅλην τὴν ἡμέραν ἐλεεῖ. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, πάντα μοι ἔξεστιν. Ἀλληλούια· ἦχος β΄, Μακάριοι οὓς ἐξελέξω. [π. **187**) Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. σμθ΄. Εἶπεν ὁ Κύριος, βλέπετε μὴ πλανηθῆτε. Κοινωνικόν· Μνήμη.

Τῇ κυριακῇ τῆς ἀποκρέω. Προκείμενον ἦχος γ΄· Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθός. Ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Ἀλληλούια· ἦχος α΄, στίχος· ὁ Θεὸς. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον σογ΄. Εἶπεν ὁ Κύριος ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Τῇ τετάρτῃ τῆς τυροφάγου. Ἀπὸ τοῦ ὄρθρου γίνεται προανάγνωσις ἐκ τῆς Παλαιᾶς μέχρι ὥρας ς΄, καὶ μετὰ τοῦτο γίνονται ἀντίφωνα γ΄. τὸ α΄. ψαλμὸς ἐν ᾧ ψάλλεται· Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. ψαλμός, ἐν ᾧ ψάλλεται ἀλληλούια τριπλοῦν, καὶ γίνεται ἡ εἴσοδος τοῦ πατριάρχου, καὶ δίδει ὁ ἀρχιδιάκονος τῷ ἀναγνώστῃ τῷ στιχολογοῦντι εὐλογίαν ἐκ τοῦ θυσιαστηρίου καὶ [οδ.) δοξάζει, καὶ γίνεται εὐχὴ συναπτὴ χωρὶς τῶν αἰτήσεων, καὶ ἀνέρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι καὶ λέγουσι τροπάριον ἦχος γ΄· Βασιλεῦ ἅγιε παντοδύναμε, ὃν πάντα φρίσσει καὶ τρέμει τὰ σύμπαντα, σῶσον ἡμᾶς· δύνασαι γὰρ συγχωρεῖν ἁμαρτίας, ὡς εὔσπλαγχνος. Καὶ λέγουσιν αὐτὸ γ΄. καὶ δοξάζουσι καὶ μίαν περισσὴν εἰς τὴν σωλέαν καὶ λοιπά. Προκείμενον ἦχος β΄· Σῶσον Κύριε τὸν λαόν σου, στίχος· Πρὸς σὲ Κύριε κεκράξομαι. Ἀνάγνωσμα προφητείας Ἰωήλ· Τάδε λέγει Κύριος, ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν. Προκείμενον ἦχος γ΄. Ψάλλατε τῷ Θεῷ ἡμῶν ψάλλατε, στίχος· Πάντα τὰ ἔθνη. Καὶ πάλιν ὁ διάκονος τὸ μέγα Κύριε ἐλέησον, καὶ τὴν συναπτὴν εὐχὴν μετὰ τῶν αἰτήσεων. Ἐν εἰρήνῃ προέλθωμεν. Ἑσπέρας εἰς τὸ λυχνικὸν μετὰ τὴν εἴσοδον ἀνέρχεται ὁ πατριάρχης εἰς τὸ σύνθρονον, καὶ λέγει ὁ ψάλτης προκείμενον ἦχος [π. **188**) πλ. α΄. Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, στίχος· Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου. Ἀνάγνωσμα Ἰωήλ· Τάδε λέγει Κύριος· ἐξεγειρέσθω καὶ ἀναβαινέτω πάντα τὰ ἔθνη. Καὶ ἀντὶ τοῦ· Κατευθυνθήτω, λέγεται προκείμενον ἦχος πλ. β΄. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, στίχος· Κύριε οὐχ ὑψώθη ἡ καρδία μου. Ὁ διάκονος τό· Εἴπω-

μεν πάντες, Κύριε ἐλέησον, καὶ τὴν τῶν κατηχουμένων εὐχήν, καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων, καὶ τό Πληρωθήτω.

Τῇ παρασκευῇ τῆς τυροφάγου γίνονται ἀντίφωνα γ'. καθὼς προεγράφη τῆς τριτοέκτης, καὶ μετὰ τὴν εἴσοδον ἀνέρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι καὶ λέγουσι τροπάριον ἦχος πλ. ά'. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως Κύριε, σῶσον ἡμᾶς, ὁ τεχθεὶς ἐκ Παρθένου, φιλάνθρωπε. Προκείμενον ἦχος βαρύς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, στίχος· Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Ἀνάγνωσμα προφητείας Ζαχαρίου· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου. [**οδ.**) Προκείμενον ἦχος πλ. δ'. Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν, στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς. Ἑσπέρας προκείμενον ἦχος βαρύς· Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ τὸ ἔλεός σου, στίχος· Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου. Καὶ ἀνάγνωσμα προφητείας Ζαχαρίου· Τάδε λέγει Κύριος Παντοκράτωρ, νηστεία ἡ τετάρτη. Προκείμενον ἦχος πλ. β'. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, στίχος· Κύριε οὐχ ὑψώθη ἡ καρδία μου. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων.

Τῷ σαββάτῳ τῆς τυροφάγου. Μνήμη τῶν ὁσίων καὶ ἀσκητῶν, ἀσκουσῶν, ἱεραρχῶν καὶ ἱερομαρτύρων. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, τὰ τῆς εἰρήνης διώκετε. Ἀλληλούια ἦχος δ', Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον μβ'. Εἶπεν ὁ Κύριος· προσέχετε τὴν ἐλεημοσύνην. Κοινωνικόν· Ἀγαλλιᾶσθε [**π. 189**).

Τῇ κυριακῇ τῆς τυροφάγου. Μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Φλαβιανοῦ Κωνσταντινουπόλεως καὶ Λέοντος Ῥώμης. Καὶ μνήμη τῶν ἐν εὐσεβείᾳ γενομένων ἡμῶν βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας. Τὸ τελευταῖον τοῦ ἀμώμου εἰσερχόμεθα ἔσω καὶ λέγομεν τό· Εὐλογητός, καὶ εἰς τὸν Ν'. λέγομεν τροπάριον ἀναστάσιμον, καὶ μετὰ γ'. στίχων, ἀλλάσσομεν καὶ λέγομεν τροπάριον ἦχος γ'. Θείας πίστεως ὁμολογίᾳ ἄλλον Παῦλόν σε ἡ ἐκκλησία, ζηλωτὴν ἐν ἱερεῦσιν ἀνέδειξε. συνεκβοᾷ σοι καὶ Ἄβελ πρὸς Κύριον, καὶ Ζαχαρίου τὸ αἷμα τὸ δίκαιον, πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος. Καὶ πάλιν μετὰ β'. στίχων, ἀλλάσσομεν καὶ λέγομεν τροπάριον ὅμοιον· Στόμα γέγονας τῆς παῤῥησίας, ἔργοις ἔδειξας ὀρθοδοξίας, ὅτι πέποιθεν ὡς Λέων ὁ δίκαιος, τῆς ἀληθείας κηρύττων τὰ δόγματα καὶ προνομεύεις [**οδ.**) τῆς πλάνης τὰ σπήλαια, πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος. Καὶ πάλιν μετὰ γ'. στίχων, ἀλλάσσομεν καὶ λέγομεν τροπάριον

ἦχος γ΄. ὅμοιον· Κράτος ἔννομον τῆς βασιλείας, θείῳ νεύματι παραλαβόντες, ζηλωταὶ ὀρθοδοξίας γεγόνατε, σὺν Εὐτυχεῖ καθελόντες Διόσκορον καὶ σὺν ἐκείνοις βαλόντες Νεστόριον. Ὅθεν ηὕρατε πατέρων χορὸν θεόπνευστον, αἰτούμενον ἡμῖν τὸ μέγα ἔλεος. Καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις, λέγονται δὲ εἰς τὴν λειτουργίαν ἀντίφωνα γ΄. τὸ α΄. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. Σῶσον ἡμᾶς, υἱὲ Θεοῦ, τὸ γ΄. τὸ προγεγραμμένον τροπάριον. Οἱ ψάλται τὸ Τρισάγιον. Προκείμενον ἦχος πλ. δ΄. Εὔξασθε καὶ ἀπόδοτε, στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία. [л. 190) Ἀλληλούϊα ἦχος πλ. δ΄. Ὁ ποιμαίνων [1]) τὸν Ἰσραήλ, στίχος Ἐξέγειρον τὴν δυναστείαν σου. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον μα΄. Εἶπεν ὁ Κύριος, ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Τῇ δευτέρᾳ τῆς α΄. ἑβδομάδος τῶν νηστειῶν, τὸ τελευταῖον τοῦ ὄρθρου, εἰσερχόμεθα ἔσω, καὶ τὸ Εὐλογητὸς οὐ λέγομεν, ἀλλ' εἰς τὴν σωλέαν ἀρχόμεθα τὸν Ν΄. καὶ λέγομεν τροπάριον ἦχος α΄. Νηστεία τὸν Μωσέα θεόπτην ἀνέδειξεν, ἐν ἅρματι πυρίνῳ Ἠλίαν ἀνέλαβε, τὸν Δανιὴλ ἐκ στομάτων λεόντων ἐρρύσατο, τὸν Βαπτιστὴν ὑπὲρ πάντας προφήτας ἐδόξασε· διὸ καὶ ἡμῖν δώρησαι, Χριστὲ ὁ Θεός, δι' ἐγκρατείας τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν [об.) καὶ τὸ μέγα ἔλεος. Καὶ μετὰ τὸν ὄρθρον γίνονται προαναγνώσματα μέχρι τῶν ἀντιφώνων τῆς τριτοέκτης, καὶ μετὰ τὰ ἀντίφωνα καὶ τὴν εἴσοδον οἱ ψάλται ἀντὶ τοῦ Τρισαγίου λέγουσι τροπάριον ἦχος α΄. Κύριε, Κύριε, ὃν πάντα φρίσσει. Καὶ μετὰ τοῦτο οἱ ψάλται προκείμενον ἦχος α΄. ψαλμὸς α΄. Γινώσκει Κύριος ὁδὸν δικαίων, στίχος· Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. Ἀνάγνωσμα α΄. Ἡσαΐου· Ὅρασις, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμμώς. Προκείμενον β΄. ψαλμὸς β΄. ἦχος βαρύς· Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, στίχος· Ἵνα τί ἐφρύαξαν ἔθνη. Ἑσπέρας προκείμενον ψαλμὸς δ΄. ἦχος πλ. β΄. Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου, στίχος· Κύριε, τί ἐπληθύνθησαν. Ἀνάγνωσμα α΄. Γενέσεως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν. Προκείμενον δ΄. ἦχος πλ. α΄. [л. 191) Κύριος εἰσακούσεταί μου, στίχος· Ἐν τῷ ἐπικαλεῖσθαί με. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Παροιμίαι Σολομῶντος υἱοῦ Δαβίδ. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων. Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε.

---

[1]) Эти два стиха зачеркнуты писцомъ и на поляхъ записанъ одинъ стихъ: Ἐπίβλεψον ἐπὶ.

Τῇ γ'. τῆς α'. ἑβδομάδος εἰς τὸν Ν'. τροπάριον ἦχος βαρύς· Ἐν ἑτοίμῃ καρδίᾳ καὶ παθῶν ἐγκρατείᾳ, ἀξίωσον ἡμᾶς, Κύριε, τῆς νηστείας τὸ δῶρον ἐκτελέσαι· ἵνα ἐν ἁγνείᾳ τηρήσαντες τὰς ψυχὰς ἡμῶν, ἀκατακρίτως προσκυνήσωμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν. Εἰς δὲ τὴν τριτοέκτην τροπάριον ἦχος α'. Ὅτι πάροικοί ἐσμεν ἐν τῇ γῇ. Προκείμενον ψαλμὸς ε'. ἦχος δ'. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, στίχος· Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος· ἐὰν θέλητε καὶ εἰσακούσητε μου. [οδ.) Προκείμενον ψαλμὸς ς'. ἦχος δ'. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, στίχος· Ἐλέησόν με, ὁ Θεός, ὅτι ἀσθενής εἰμι. Ἑσπέρας προκείμενον ψαλμὸς ζ'. ἦχος πλ. β'. Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, στίχος· Ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με. Ἀνάγνωσμα α'. Γενέσεως· Εἶπεν ὁ Θεὸς γενηθήτωσαν φωστῆρες. Προκείμενον β'. ψαλμὸς η'. ἦχος πλ. α'. Κύριε ὁ Κύριος ἡμῶν, στίχος· Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου. Ἀνάγνωσμα β'. Παροιμιῶν· Σοφία ἐν ἐξόδοις ὑμνεῖται.

Τῇ δ'. τῆς α'. ἑβδομάδος εἰς τὸν Ν'. τροπάριον τὸ προγεγραμμένον· Νηστεία τὸν Μωσέα θεόπτην. Εἰς δὲ τὴν τριτοέκτην τροπάριον ἦχος δ'. Οἶδας τὸ πλάσμα ἡμῶν, οἶδας τὴν ἀσθένειαν ἡμῶν. [л. 192) Προκείμενον α'. ψαλμὸς θ'. ἦχος δ'. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, στίχος· Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι. Ἀνάγνωσμα προφητείας Ἡσαΐου· Τάδε λέγει Κύριος· ἐκ Σιὼν ἐξελεύσεται νόμος. Προκείμενον β'. ψαλμὸς ι'. ἦχος πλ. β'. Δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, στίχος· Ἐπὶ τῷ Κυρίῳ. Ἑσπέρας ἦχος πλ. α'. Προκείμενον α'. ψαλμὸς ια'. Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, στίχος· Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος. Ἀνάγνωσμα α'. Γενέσεως· Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. Προκείμενον β'. ψαλμὸς ιβ'. ἦχος πλ. β'. Ἐπίβλεψον εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου, στίχος· Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος. Ἀνάγνωσμα β'. Παροιμιῶν· [οδ.) Υἱὲ, ἐὰν δεξάμενος ῥῆσιν ἐμὴν ἐντολῆς.

Τῇ ε'. τῆς α'. ἑβδομάδος εἰς τὸν ν'. τροπάριον ἦχος βαρύς· Ἐν ἑτοίμῃ καρδίᾳ καὶ παθῶν ἐγκρατείᾳ. Εἰς δὲ τὴν τριτοέκτην τροπάριον ἦχος γ'. Ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ῥῦσαι ἡμᾶς, Κύριε. Προκείμενον ψαλμὸς ιγ'. ἦχος δ'. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, στίχος· Εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ. Ἀνάγνωσμα Ἡσαΐου· Ὑψωθήσεται Κύριος ὁ Θεὸς μόνος ἐν τῇ ἡμέρᾳ. Προκείμενον β'. ψαλμὸς ιδ'. ἦχος δ'. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου, στίχος· Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος. Ἑσπέρας προκείμενον α'. ψαλ-

μὸς ιε΄. ἦχος πλ. β΄. Εὐλογήσω τὸν Κύριον, στίχος· Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοί. [л. 193) Ἀνάγνωσμα α΄. Γενέσεως· Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς. Προκείμενον β΄. ψαλμὸς ις΄. ἦχος δ΄. Φύλαξόν με, Κύριε, ὡς κόρην, στίχος· Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Υἱέ, ἐμῶν νόμων μὴ ἐπιλανθάνου.

Τῇ παρασκευῇ τῆς α΄. ἑβδομάδος τροπάριον εἰς τὴν τριτοέκτην ἦχος πλ. α΄. Τὸν πολυαμάρτητον ἡμῶν βίον καὶ τὸν ἀμετανόητον τρόπον. Προκείμενον α΄. ψαλμὸς ιζ΄. ἦχος βαρύς· Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου, στίχος· Ὁ Θεός μου, βοηθός μου. Ἀνάγνωσμα προφητείας Ἡσαΐου· Ἰδοὺ ὁ Δεσπότης Κύριος Σαβαὼθ. Προκείμενον β΄. ψαλμὸς ιη΄. Κύριε, βοηθέ μου, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ἑσπέρας [об.) προκείμενον α΄. ψαλμὸς ιθ΄. ἦχος πλ. β΄. Ἐπακοῦσαί σου, Κύριος, ἐν ἡμέρᾳ θλίψεως, στίχος· Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ. Ἀνάγνωσμα Γενέσεως· Ἐκάλεσεν Ἀδὰμ ὀνόματα. Προκείμενον β΄. ψαλμὸς κ΄. ἦχος δ΄. Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, στίχος· Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν.

Τῷ σαββάτῳ τῆς α΄. ἑβδομάδος τῶν νηστειῶν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πολυμερῶς καὶ πολυτρόπως. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον κδ΄. Τῷ καιρῷ ἐκείνῳ ἐπορεύετο ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων. Τῷ αὐτῷ σαββάτῳ κηρύσσεται οὕτω· Μνήμην ἐπιτελοῦμεν τῆς ἀθλήσεως τοῦ ἁγίου Θεοδώρου. Συναγόμεθα δὲ ἐν τοῖς Παρακίου καὶ εἰς τὸν Ν΄. τροπάριον ἦχος β΄. [л. 194) Μεγάλα τὰ τῆς πίστεως κατορθώματα. Προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεὸς, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν. Ὁ ἀπόστολος πρὸς Τιμόθεον β΄. Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι. Ἀλληλούια ἦχος δ΄. Δίκαιος ὡς φοίνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον κδ΄. τὸ προγεγραμμένον. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Τῇ κυριακῇ τῆς α΄. ἑβδομάδος τῶν νηστειῶν, κηρύσσεται οὕτω· Μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων προφητῶν Μωσέως καὶ Ἀαρών, καὶ Σαμουήλ [1]). Συναγόμεθα δὲ ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

---

[1]) Апостолъ XI в. рукоп. Пантелеим. мон. на Аѳонѣ № 86. Память этихъ пророковъ и царя Давида праздновалась въ великой константинопольской церкви, а литія въ память возстановленія иконопочитанія (недѣля православія) совершалась изъ Влахернскаго храма.

Δεῖ εἰδέναι, ὅτι εἰς τὸ γ΄. ἀντίφωνον τοῦ ἀμώμου πρὸ β΄. στίχων τοῦ εἰσοδεῦσαι λέγομεν τροπάριον ἦχος δ.΄ Ἡ σεπτὴ τῶν προφητῶν σου πανήγυρις, οὐρανὸν τὴν ἐκκλησίαν ἀνέδειξε, [**οδ.**) καὶ τοῖς ἀνθρώποις συγχορεύουσιν ἄγγελοι· ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, τὴν ζωὴν ἡμῶν ἐν εἰρήνῃ κυβέρνησον, ἵνα ψάλλωμέν σοι· Ἀλληλούια. Εἰς δὲ τὸν Ν΄. λέγομεν τροπάριον ἦχος β΄. Καὶ ἐν πυρὶ παραδειχθείς, καὶ ἐν σαρκὶ φανερωθείς, τὸ Μωσέως ἐδόξασας πρόσωπον, ταῖς ἐν νόμῳ ἱερατείαις, τὸν Ἀαρὼν τύπον τῆς καινῆς ἀνέδειξας χάριτος, ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεός, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος. Ἄλλο· Καὶ ὁ χορὸς τῶν προφητῶν μετὰ Μωσῆ καὶ Ἀαρὼν εὐφροσύνῃ εὐφραίνεται σήμερον, ὅτι πέρας ταῖς προφητείαις ἀγαγών, λάμπει ὁ σταυρός, ἐν ᾧ ἡμᾶς ἔσωσας· ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· [**π. 195**) Ἀδελφοί, πίστει Μωσῆς μέγας γενόμενος. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον ιη΄. Τῷ καιρῷ ἐκείνῳ, ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Τῇ β΄. τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν. Εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. α΄. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν. Προκείμενον ψαλμὸς κα΄. ἦχος β΄. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν, στίχος· Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος· ἐπιλάμψει ὁ Θεὸς τῇ ἡμέρᾳ ἐκείνῃ. Προκείμενον ψαλμὸς κβ΄. ἦχος πλ. β΄. Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, στίχος· Κύριος ποιμαίνει με. Ἑσπέρας προκείμενον ψαλμὸς κγ΄. ἦχος α΄. Κύριος κραταιὸς καὶ δυνατός, στίχος· Τοῦ Κυρίου ἡ γῆ. [**οδ.**) Ἀνάγνωσμα Γενέσεως· Ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ. Προκείμενον β΄. ψαλμὸς κδ΄. ἦχος δ΄. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, στίχος· Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Κύριος ὑπερηφάνοις ἀντιτάσσεται.

Τῇ γ΄. τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν. Εἰς τὴν τριτοέκτην τροπάριον ἦχος β΄. Ἄξιως ἀνυμνεῖν σε οὐκ ἔχομεν. Προκείμενον ἦχος δ΄. ψαλμὸς κε΄. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, στίχος· Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λεγει Κύριος· ὁ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος. Προκείμενον β΄. ψαλμὸς κς΄. ἦχος γ΄. Κύριος φωτισμός μου, στίχος· Κύριος ὑπερασπιστής. [**π. 196**) Ἑσπέρας προκείμενον α΄. ψαλμὸς κζ. ἦχος β΄. Σῶσον, Κύριε, τὸν λαόν σου, στίχος· Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μου. Ἀνάγνωσμα Γενέσεως· Εἶπεν Κάϊν πρὸς Ἄβελ. Προκείμενον β΄. ψαλμὸς κη΄. ἦχος β΄.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ, στίχος· Ἐνέγκατε τῷ Κυρίῳ. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Υἱέ, ἐμῇ σοφίᾳ πρόσεχε.

Τῇ δ΄. τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. α΄. Ὕψιστε ὁ ἐν οὐρανοῖς κατοικῶν. Προκείμενον α΄. ψαλμὸς κθ΄. ἦχος πλ. β΄. Πρὸς σὲ, Κύριε, κεκράξομαι, στίχος· Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με. Ἀνάγνωσμα Ἡσαΐου· Ὑψωθήσεται Κύριος Σαβαὼθ ἐν κρίματι. Προκείμενον β΄. ψαλμὸς λ΄. ἦχος πλ. β΄. Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, [οϐ.) στίχος· Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς λα΄. ἦχος β΄. Εὐφράνθητε ἐπὶ Κύριον, στίχος. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ἀνάγνωσμα α΄. Γενέσεως· Ἐξῆλθε Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ. Προκείμενον β΄. ψαλμὸς λβ΄. Γένοιτο, Κύριε, τὸ ἔλεός σου, στίχος· Ἀγαλλιᾶσθε δίκαιοι. Ἀνάγνωσμα Παροιμιῶν· Υἱέ, πῖνε ὕδατα.

Τῇ ε΄. τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος α΄. Πεπτωκότας ἀνάστησον ἡμᾶς. Προκείμενον α΄. ψαλμὸς λγ΄. ἦχος πλ. β΄. Ἐξεζήτησα τὸν Κύριον, στίχος· Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ. Ἀνάγνωσμα Ἡσαΐου· Ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. Προκείμενον β΄. ψαλμὸς λδ΄. ἦχος β΄. Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες [π. 197), στίχος· Ὁ Θεός μου καὶ ὁ Κύριός μου. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς λε΄. ἦχος α΄. Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, στίχος· Φησὶν ὁ παράνομος. Ἀνάγνωσμα Γενέσεως· Αὕτη ἡ βίβλος γενέσεως. Προκείμενον β΄. ψαλμὸς λς΄. ἦχος πλ. β΄. Ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον, στίχος· Μὴ παραζήλου ἐν πονηρευομένοις. Ἀνάγνωσμα Παροιμιῶν. Υἱέ, ποίει ἃ ἐγὼ σοὶ ἐντέλλομαι.

Τῇ παρασκευῇ τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος α΄. Ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ σοὶ προσπίτομεν, Κύριε. Προκείμενον α΄. ψαλμὸς λζ΄. ἦχος δ΄. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, στίχος· Ὅτι τὰ βέλη σου. Ἀνάγνωσμα Ἡσαΐου· Ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωάθαν. Προκείμενον β΄. ψαλμὸς λη΄. ἦχος πλ. β΄. Εἰσάκουσον τῆς προσευχῆς μου, [οϐ.) στίχος· Εἶπα, φυλάξω τὰς ὁδούς μου. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς λθ΄. ἦχος α΄. Τὸ ἔλεός σου, Κύριε, καὶ ἡ ἀλήθειά σου, στίχος· Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Ἀνάγνωσμα α΄. Γενέσεως· Νῶε ἦν ἐτῶν πεντακοσίων. Προκείμενον β΄. ψαλμὸς μ΄. ἦχος δ΄. Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με, στίχος· Μακάριος ὁ συνιών. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Υἱέ, φύλασσε νόμους πατρός σου.

Τῷ σαββάτῳ τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν προκείμενον ἦχος πλ. α΄. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, στίχος· Ἀγαλλιᾶσθε

δίκαιοι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, βλέπετε μήποτε ἔσται ἔν τινι ὑμῶν. Ἀλληλούια ἦχος δ΄. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ. Εὐαγγέλιον κατὰ Μάρκον κεφ. ιζ΄. Τῷ καιρῷ ἐκείνῳ ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. [л. **198**).

Τῇ κυριακῇ τῆς β΄. ἑβδομάδος τῶν νηστειῶν κηρύσσεται οὕτω· Μνήμην ἐπιτελοῦμεν τῆς ἀθλήσεως τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πολυκάρπου ἐπισκόπου γενομένου Σμύρνης. Συναγόμεθα δὲ ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ εἰς τὸν Ν΄. καὶ εἰς τὴν εἴσοδον λέγομεν τροπάριον ἦχος δ΄. Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας. Ἀλληλούια ἦχος δ΄. Δίκαιος ὡς φοίνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον κ΄. Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Δεῖ εἰδέναι, ὅτι ἀπὸ τοῦ εὐαγγελίου τούτου εὐθὺς [об.) ἀναγινώσκεται τὸ προσφωνητικὸν τῶν κατηχουμένων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Τῇ β΄. τῆς γ΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος βαρύς· Σωτηρία ἡμῶν ὑπάρχεις, Κύριε. Προκείμενον α΄. ψαλμὸς μα΄. ἦχος δ΄. Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου, στίχος· Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος. Ἀνάγνωσμα Ἡσαΐου· Κύριον τὸν Θεὸν αὐτὸν ἁγιάσατε. Προκείμενον β΄. ψαλμὸς μβ΄. ἦχος πλ. β΄. Σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου, στίχος· Κρῖνόν με, ὁ Θεός, καὶ δίκασον. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς μγ΄. ἦχος δ΄. Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν, στίχος· Ὁ Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν. Ἀνάγνωσμα α΄. Γενέσεως· Νῶε ἄνθρωπος δίκαιος τέλειος ὢν. Προκείμενον β΄. ψαλμὸς μδ΄. ἦχος πλ. δ΄. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἐξηρεύξατο ἡ καρδία μου. Ἀνάγνωσμα Παροιμιῶν· Υἱέ, σὺ τὴν σοφίαν κήρυξον.

[л. **199**) Τῇ γ΄. τῆς γ΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος α΄. Ἀσθενεῖς ἡμεῖς καὶ παρειμένοι ταῖς ἁμαρτίαις, ἴασαι τὰ συντρίμματα ἡμῶν. Προκείμενον α΄. ψαλμὸς με΄. ἦχος δ΄. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, στίχος· Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος· γνώσονται πᾶς ὁ λαός. Προκείμενον β΄. ψαλμὸς μς΄. ἦχος γ΄. Ψάλλατε τῷ Θεῷ ἡμῶν, στίχος· Πάντα τὰ ἔθνη. Ἑσπέρας προκείμενον ψαλμὸς μζ΄. ἦχος πλ. β΄. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, στίχος· Ἐν πόλει Κυρίου. Ἀνάγνωσμα α΄· Γενέσεως· Εἶπε Κύριος πρὸς Νῶε· εἴσελθε σὺ καὶ. Προκείμενον β΄.

ψαλμὸς μη΄. ἦχος α΄. Τὸ στόμα μου λαλήσει, στίχος· Ἀκούσατε ταῦτα πάντα. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Υἱέ, ἄκουέ μου καὶ μακάριοι.

Τῇ δ΄. τῆν γ΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. δ΄. [οϐ.) Ὑπόστασις ἔργων ἐν ἡμῖν οὐκ ἔστι, Κύριε. Προκείμενον α΄. ψαλμὸς μθ΄. ἦχος δ΄. Θῦσον τῷ Θεῷ θυσίαν, στίχος· Θεὸς θεῶν Κύριος ἐλάλησεν. Ἀνάγνωσμα Ἡσαΐου· Ἔσται ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν. Προκείμενον β΄. ψαλμὸς ν΄. ἦχος πλ. β΄. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, στίχος· Καὶ κατὰ τὸ πλῆθος. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς να΄. ἦχος δ΄. Ἦλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ, στίχος· Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός. Ἀνάγνωσμα Γενέσεως· Νῶε ἦν ἐτῶν ἑξακοσίων. Προκείμενον β΄. ψαλμὸς νβ΄. ἦχος α΄. Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν, στίχος· Εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ. Ἀνάγνωσμα Παροιμιῶν· Υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ.

Τῇ ε΄. τῆς γ΄. ἑβδομάδος τροπάριον ἦχος βαρύς· [π. 200) Ἐὰν ἀνομίας παρατηρήσῃς, φιλάνθρωπε, ποία σωτηρίας ἐλπὶς ἡμῖν. Προκείμενον α΄. ψαλμὸς νγ΄. ἦχος πλ. α΄. Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, στίχος· Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς. Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λέγει Κύριος· ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα. Προκείμενον β΄. ψαλμὸς νδ΄. ἦχος βαρύς· Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν, στίχος· Πρόσχες μοι καὶ εἰσάκουσον. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς νε΄. Ἐλέησόν με, ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος, στίχος· Ὅλην τὴν ἡμέραν. Ἀνάγνωσμα Γενέσεως· Ἐγένετο ἐν τῷ χιλιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε. Προκείμενον β΄. ψαλμὸς νς΄. ἦχος βαρύς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, στίχος· Ἐλέησόν με, ὁ Θεός, ἐλέησον. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Υἱὸς σοφὸς εὐφραίνει πατέρα.

Τῇ παρασκευῇ τῆς γ΄. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην [οϐ.) τροπάριον ἦχος πλ. δ΄. Λόγῳ τὰ πάντα σῇ κατηρτίσω δυνάμει ὁ Θεός. Προκείμενον α΄. ψαλμὸς νζ΄. ἦχος πλ. β΄. Εὐφρανθήσεται δίκαιος ὅταν, στίχος· Εἰ ἀληθῶς ἄρα διαιοσύνην. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος ἐπ᾽ ὄρους πεδινοῦ. Προκείμενον β΄. ψαλμὸς νη΄. ἦχος βαρύς· Ὁ Θεὸς ἀντιλήπτωρ, στίχος· Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς νθ΄. ἦχος δ΄. Δὸς ἡμῖν βοήθειαν, στίχος· Ὁ Θεὸς ἀπώσω ἡμᾶς. Ἀνάγνωσμα Γενέσεως· Ἐκάθησεν ἡ κιβωτὸς ἐν τῷ. Προκείμενον β΄. ψαλμὸς ξ΄. ἦχος πλ. β΄. Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου, στίχος· Ἀπὸ τῶν περάτων. Ἀνάγνωσμα Παροιμιῶν· Στόμα δικαίου ἀποστάζει σοφίαν.

Τῷ σαββάτῳ τῆς γ'. ἑβδομάδος· Ὁ ἀπόστολος πρὸς Ἑβραίους· [л. 201) Ἀδελφοί, ἀναμνήσκεσθε τὰς πρότερον ἡμέρας. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον κα'. Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς εἶδε Λευὶν τὸν τοῦ Ἀλφαίου.

Τῇ κυριακῇ τῆς γ'. ἑβδομάδος [1]). Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον πε'. Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν.

Τῇ β'. τῆς δ'. ἑβδομάδος τῶν νηστειῶν εἰς τὴν τριτοέκτην τροπάριον ἦχος βαρύς· Κύριε μὴ τῷ θυμῷ ἐλέγξῃς λαόν. Προκείμενον α'. ψαλμὸς ξα'. ἦχος α'. Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου, στίχος· Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος Σαβαώθ· ὃν τρόπον εἴρηκα. [об.) Προκείμενον β'. ψαλμὸς ξβ'. ἦχος δ'. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, στίχος· ὁ Θεός, ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω. Ἑσπέρας προκείμενον ψαλμὸς ξγ'. ἦχος πλ. β'. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου, στίχος· Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ Ἀνάγνωσμα Γενέσεως· Εἶπε Κύριος ὁ Θεὸς διανοηθείς. Προκείμενον β'. ψαλμὸς ξδ. ἦχος πλ. β'. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, στίχος· Σοὶ πρέπει ὕμνος ὁ Θεός. Ἀνάγνωσμα β'. Παροιμιῶν· Υἱὸς δίκαιος γεννᾶται εἰς ζωήν.

Τῇ γ'. τῆς μέσης ἑβδομάδος. Προκείμενον εἰς τὸν ὄρθρον ἀντὶ ὑπακοῆς λέγομεν πρῶτον· Σήμερον τὸ προφητικὸν πεπλήρωται, καὶ οὕτως τὴν ἐνορδίνου ὑπακοήν. Ὡμοίως καὶ τῇ δ'. καὶ τῇ ε'. καὶ τῇ παρασκευῇ τὰς δ'. ἡμέρας, καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις καὶ τὰ ἀντίφωνα κατὰ τάξιν. Τὸ τροπάριον τῆς τριτοέκτης ἦχος πλ. β'. Τὸν σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν. [л. 202) Τοῦτο λέγεται γ'. καὶ δοξάζουσι. Τὸ δὲ αὐτὸ εὑρίσκεται εἰς τὰς δ'. ἡμέρας τῆς προσκυνήσεως, καὶ εἰς τὸν ν'. καὶ εἰς τὰ γ'. ἀντίφωνα τῶν τριτοεκτῶν, καὶ εἰς τὰς τριτοέκτας τῶν αὐτῶν δ'.

---

[1]) Рукоп. Пантелеим. мон. на Аѳонѣ № 68. Τῇ κυριακῇ τῆς γ'. ἑβδομάδος τῶν νηστειῶν τὴν προσκύνησιν ποιούμεθα τῶν τιμίων ξύλων. Ὅτε δὲ ἀπάρξηται ἡ δοξολογία, ἀλλάσουσιν οἱ ἱερεῖς καὶ λαμβάνει (ὁ ἀρχιερεὺς) τὸν θυμιατὸν καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὸν τίμιον σταυρόν, εἶθ' οὕτως λαμβάνει αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ καὶ ἐξέρχεται, προπορευομένης αὐτοῦ λαμπάδος καὶ ἀρχόμεθα τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ προτίθεται ὁ τίμιος σταυρὸς πρὸ τῶν ἁγίων θυρῶν καὶ εὐθὺς λέγομεν· Τὸν σταυρόν σου προσκυνοῦμεν. Προσκυνοῦσι τε οἱ ἀδελφοὶ κατὰ τὴν τάξιν αὐτῶν, ψάλλομεν δὲ στιχηρὰ ἰδιόμελα ἄχρις οὗ πάντες προσκυνήσουσιν.

ἡμερῶν λοιπὸν περισσὴ ἦχος α΄. Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον. Προκείμενον α΄. ψαλμὸς ξε΄. ἦχος πλ. β΄. Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, στίχος· Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν. Ἀνάγνωσμα Ἡσαΐου· Κύριε ὁ Θεός μου, δοξάσω σε. Προκείμενον β΄. ψαλμὸς ξς΄. ἦχος πλ. β΄. Εὐλογήσαι ἡμᾶς, ὁ Θεὸς ἡμῶν, στίχος. Ὁ Θεός, οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς. Ἑσπέρας προκείμενον ψαλμὸς ξζ΄. ἦχος πλ. β΄. Ἄσατε τῷ Θεῷ ψάλλατε τῷ ὀνόματι αὐτοῦ, στίχος· Ὁδοποιήσατε τῷ. Ἀνάγνωσμα Γενέσεως· Εἶπεν ὁ Θεὸς τῷ Νῶε καὶ τοῖς υἱοῖς αὐτοῦ. Προκείμενον β΄. ψαλμὸς ξη΄. ἦχος πλ. β΄. Ἡ σωτηρία σου, ὁ Θεὸς, ἀντιλάβοιτό μου, στίχος· [об.) Ἰδέτωσαν πτωχοί. Ἀνάγνωσμα Παροιμιῶν· Στόμα συνετοῦ.

Τῇ δ΄. τῆς μέσης ἑβδομάδος τροπάριον τῆς τριτοέκτης ἦχος πλ. β΄. Τὸν σταυρόν σου προσκυνοῦμεν. δ΄. περισσή, ἦχος πλ. β΄. Τὸν ζωοποιὸν σταυρόν. Προκείμενον α΄. ψαλμὸς ξθ΄. ἦχος πλ. β΄. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν, στίχος· Ἀποστραφήτωσαν εἰς τὰ. Ἀνάγνωσμα Ἡσαΐου· Ἰδοὺ Κύριος ἀπὸ τοῦ ἁγίου τόπου. Προκείμενον β΄. ψαλμὸς ο΄. ἦχος πλ. β΄. Ἐπὶ σοὶ, Κύριε, ἤλπισα μὴ καταισχυνθείην, στίχος· Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με. Ἑσπέρας προκείμενον ψαλμὸς οα΄. ἦχος δ΄. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, στίχος· Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ. Ἀνάγνωσμα Γενέσεως· Ἦσαν οἱ υἱοὶ Νῶε. Προκείμενον β΄. ψαλμὸς οβ΄. ἦχος δ΄. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι, στίχος· Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ. Ἀνάγνωσμα Παροιμιῶν· Ἀνὴρ συνετός.

Τῇ ε΄. τῆς μέσης ἑβδομάδος εἰς τὴν τριτοέκτην τροπάριον· Τὸν σταυρόν σου προσκυνοῦμεν. Περισσή. Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς. Προκείμενον α΄. ψαλμὸς ογ΄. ἦχος δ΄. [л. 203). Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν, στίχος· Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος· ἀκούσατε λόγον Κυρίου. Προκείμενον β΄. ψαλμὸς οδ΄. ἦχος δ΄. Ἐγὼ δὲ ἀγαλλιάσσομαι εἰς τὸν αἰῶνα, στίχος· Ἐξομολογησόμεθά σοι, ὁ Θεός. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς οε΄. ἦχος πλ. δ΄· Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ, στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός. Ἀνάγνωσμα Γενέσεως· Αὗται αἱ φυλαὶ τῶν υἱῶν Νῶε. Προκείμενον β΄. ψαλμὸς οζ΄. ἦχος δ΄. Φωνή μου πρὸς Κύριον, στίχος· Ἐν ἡμέρᾳ θλίψεώς μου. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Ἐπιθυμίαι εὐσεβῶν.

(Τῇ παρασκευῇ τροπάριον·) [1]) Τὸν σταυρόν σου προσκυνοῦμεν. περισσή, ἦχος α΄. Ἀπὸ ὕψους ἀοράτως πολεμοῦντας ἡμᾶς, τῷ σταυρῷ

---

[1]) Этихъ словъ въ рукописи не имѣется.

σου δυνατέ, σῶσον ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, ὡς φιλάνθρωπος. Προκείμενον α΄. ψαλμὸς οζ΄. ἦχος πλ. β΄. Αὐτὸς δέ ἐστιν οἰκτίρμων, στίχος· [οδ.) Προσέχετε, λαός μου, τῷ νόμῳ. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος· ἐγγίζει μοι ὁ λαὸς οὗτος. Προκείμενον β΄. ψαλμὸς οη΄. Βοήθησον ἡμῖν, ὁ Θεός ὁ Σωτὴρ ἡμῶν, στίχος· Ὁ Θεός, ἦλθοσαν ἔθνη. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς οθ΄. ἦχος δ΄. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, πρόσχες, στίχος· Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ. Ἀνάγνωσμα Γενέσεως· Εἶπε Κύριος τῷ Ἀβραὰμ· ἔξελθε. Προκείμενον β΄. ψαλμὸς π΄. ἦχος δ΄. Ἀγαλλιᾶσθε τῷ Θεῷ, στίχος· Λάβετε ψαλμὸν καὶ δότε τύμπανον. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Ἄκακος ἀνὴρ πιστεύει παντί.

Τῷ σαββάτῳ τῆς μέσης ἑβδομάδος ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πεπείσμεθα περὶ ὑμῶν. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον οδ΄. Τῷ καιρῷ ἐκείνῳ ἐξελθὼν ὁ Ἰησοῦς ἐκ τῶν ὁρίων.

Τῇ κυριακῇ τῆς μέσης ἑβδομάδος, ὁ ἀπόστολος πρὸς Ῥωμαίους· [π. **204**) Ἀδελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον 4α΄. Τῷ καιρῷ ἐκείνῳ ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ γονυπετῶν. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Δομετίου πέραν ἐν Συκαῖς.

Τῇ β΄. τῆς ε΄. ἑβδομάδος εἰς τὴν τριτοέκτην, τροπάριον ἦχος γ΄. Ὅτι αἱ ἀνομίαι ἡμῶν ἐπανέστησαν ἡμῖν. Προκείμενον α΄. ψαλμὸς πγ΄. ἦχος δ΄. Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος τῶν δυνάμεων. Προκείμενον β΄. ψαλμὸς πδ΄. ἦχος δ΄. Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, [οδ.) στίχος· Κλῖνον, Κύριε, τὸ οὖς σου. Ἀνάγνωσμα Γενέσεως· Ἀβραὰμ παρῴκησεν ἐν γῇ Χαναάν. Προκείμενον β΄. ψαλμὸς πς΄. ἦχος δ΄. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, στίχος· Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς. Ἀνάγνωσμα Παροιμιῶν· Φόβος Κυρίου πηγὴ ζωῆς.

Τῇ τρίτῃ τῆς ε΄. ἑβδομάδος εἰς τὴν τριτοέκτην τροπάριον ἦχος γ΄. Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Προκείμενον α΄. ψαλμὸς πζ΄. ἦχος πλ. β΄. Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις, στίχος· Ὑψωθεὶς δὲ ἐταπεινώθην. Ἀνάγνωσμα Ἡσαΐου· Τίνι ὡμοιώσατε τὸν Κύριον. Προκείμενον β΄. ψαλμὸς πη΄. ἦχος πλ. β΄. Μακάριος ὁ λαὸς ὁ γινώσκων, στίχος· Ἐν τῷ φωτὶ τοῦ προσώπου σου. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς πθ΄. ἦχος δ΄. Κύριε, καταφυγή, στίχος· Πρὸ τοῦ ὄρη γεννηθῆναι. Ἀνάγνωσμα α΄. Γενέσεως· Ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἀβραὰμ. [π. **205**) Προκείμενον β΄. ψαλμὸς 4΄. ἦχος δ΄. Ὁ κατοικῶν ἐν βοηθείᾳ, στίχος·

Ἐρεῖ τῷ Κυρίῳ ἀντιλήπτωρ μου. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Χείλη σοφῶν.

Τῇ δ΄. τῆς ε΄. ἑβδομάδος εἰς τὴν τριτοέκτην τροπάριον ἦχος γ΄. Ἀνυπόστατος, Κύριε, ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλούς. Προκείμενον α΄. ψαλμὸς 4α΄. ἦχος δ΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, στίχος· Τοῦ ἀναγγέλλειν τὸ πρωΐ. Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λέγει Κύριος· ἐγὼ Θεὸς πρῶτος. Προκείμενον β΄. ψαλμὸς 4β΄. ἦχος πλ. β΄. Ὁ Κύριος ἐβασίλευσεν, στίχος· Ἐνεδύσατο Κύριος δύναμιν. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς 4γ΄. ἦχος δ΄. Θεὸς ἐκδικήσεων Κύριος, στίχος· Ὑψώθητι ὁ κρίνων τὴν γῆν. Ἀνάγνωσμα (Γενέσεως)· Ἐγένετο Ἀβραὰμ ἐτῶν 4θ΄. Προκείμενον β΄. ψαλμὸς 4δ΄. ἦχος πλ. β΄. [об.) Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, στίχος· Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ἀνάγνωσμα β΄. Παροιμιῶν. Υἱὸς σοφὸς εὐφραίνει πατέρα.

Τῇ ε΄. τῆς ε΄. ἑβδομάδος εἰς τὴν τριτοέκτην τὸ τροπάριον ἦχος πλ. β΄. Εὔσπλαγχνε, μακρόθυμε Παντοκράτωρ Κύριε, κατάπεμψον τὸ ἔλεός σου ἐπὶ τὸν λαόν σου. Προκείμενον α΄. ψαλμὸς 4ς΄. ἦχος πλ. β΄. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, στίχος· Εὐφρανθήτωσαν νῆσοι πολλαί. Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λέγει Κύριος ὁ ποιήσας τὸν οὐρανόν. Προκείμενον β΄. ψαλμὸς 4ζ΄. ἦχος πλ. β΄. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, στίχος· Ὅτι θαυμαστὰ ἐποίησεν. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς 4η΄. ἦχος βαρύς. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, στίχος· Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. Ἀνάγνωσμα α΄. Γενέσεως· Εἶπε Κύριος· κραυγὴ Σοδόμων. Προκείμενον β΄. ψαλμὸς 4θ΄. ἦχος πλ. β΄. Ἀλαλάξατε τῷ Θεῷ, στίχος· Δουλεύσατε τῷ Κυρίῳ. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Ὁ δεχόμενος παιδείαν.

Τῇ παρασκευῇ τῆς ε΄. ἑβδομάδος εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. δ΄. [л. 206) Δεῖ εἰδέναι, ὅτι ψάλλεται τὸ τροπάριον τοῦτο τῆς τριτοέκτης τοῦ Μαρτίου μηνὸς εἰς τὴν παραμονὴν τ ο ῦ σ ε ι σ μ ο ῦ. Ὑπερύμνητος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ σαλεύων τὴν γῆν, εἰς τὸ ἐπιστρέψαι καὶ σωθῆναι τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ πάλιν στερεῶν αὐτήν, διὰ ἰδίαν ἀγαθότητα καὶ ἄφατον εὐσπλαγχνίαν, πρεσβείαις τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Προκείμενον α΄. ψαλμὸς ρ΄. ἦχος πλ. β΄. Ἔλεος καὶ κρίσιν, στίχος (опущенъ). Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λεγει Κύριος, ὁ Θεὸς ὁ ἅγιος τοῦ Ἰσραήλ. Προκείμενον β΄. ψαλμὸς ρα΄. ἦχος δ΄. Κύριε, εἰσάκουσον τῆς προσευχῆς, στίχος· Μὴ ἀποστρέψῃς τὸ πρόσωπον. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς ρβ΄. ἦχος α΄. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν

Κύριον. Ἀνάγνωσμα α΄. Γενέσεως· Ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα. Προκείμενον β΄. ψαλμὸς ργ΄. ἦχος δ΄. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, στίχος· Εὐλόγει, ἡ ψυχή μου. Ἀνάγνωσμα β΄. Παροιμιῶν· [οδ.) Ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι.

Τῷ σαββάτῳ τῆς ε΄. ἑβδομάδος ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστός. Εὐαγγέλιον κατὰ Μάρκον κεφάλαιον κβ΄. Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν κώμην.

Καὶ οἵαν ἑβδομάδα τῶν νηστειῶν κελεύει ὁ πατριάρχης εἴτε τῇ μέσῃ, εἴτε τῇ μετὰ ταύτην ἑβδομάδι γίνεται ἡ παννυχὶς ἐν Βλαχέρναις οὕτως· Ἑσπέρας ἀπέρχονται οἱ δύο ἑβδομαδάριοι τῶν ἀναγνωστῶν ἐν Βλαχέρναις· καὶ ἡ μὲν μία ἑβδομὰς ποιεῖ ἐκεῖ τὰ ἑσπερινὰ καὶ τὸ κονδάκιον, τὸν δὲ τριαδικὸν καὶ τὰ μεσονυκτικὰ ποιοῦσιν οἱ ἐντόπιοι, τὸν δὲ ὄρθρον ποιεῖ ἡ ἄλλη ἑβδομὰς τῶν ἀναγνωστῶν. Ἀπέρχεται γὰρ ἐκεῖ ἀσκητήριον τῆς μεγάλης ἐκκλησίας, καὶ ψάλλομεν εἰς τὸν ὄρθρον ἀντίφωνα η΄. τὸ α΄. καὶ τὰς ζ΄. ᾠδάς. Καὶ μετὰ τὸ τελευταῖον λέγομεν τὸ εὐλογητὸς, καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον [π. **207**) ἦχος πλ. δ΄. Ἡ πόλις σου, Θεοτόκε, ἡ ἐν σοὶ βασιλεύουσα. Ἀλληλούια ἦχος πλ. β΄. Τῆς Θεοτόκου ἡ πόλις τῇ Θεοτόκῳ. Καὶ μετὰ τὸν ὄρθρον προαναγινώσκουσιν οἱ ἐντόπιοι ἀνάγνωσται. Τὰ ἀντίφωνα τῆς λειτουργίας· τὸ α΄. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. Ἀλληλούια τριπλοῦν, καὶ εἰς τὸ· δόξα. Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ, τὸ γ΄. μετὰ τροπαρίου ἦχος πλ. α΄. Ἁγιωτέρα τῶν Χερουβίμ, ὑψηλοτέρα τῶν οὐρανῶν, πανύμνητε, Θεοτόκον σε ἐν ἀληθείᾳ ὁμολογοῦντες, ἔχομεν ἁμαρτωλοὶ προστασίαν, εὑρίσκομεν ἐν καιρῷ σωτηρίαν, διὸ μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα κραταίωμα καὶ καταφυγὴ τῶν ψυχῶν ἡμῶν. Προκείμενον ἦχος γ΄. ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ἀλληλούια ἦχος πλ. δ΄. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. γ΄. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστάσα Μαριάμ. Κανωνικόν· Ποτήριον σωτηρίου.

[οδ.) Τῇ κυριακῇ τῆς ε΄. ἑβδομάδος ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, Χριστὸς παραγενόμενος. Εὐαγγέλιον κατὰ Μάρκον κεφ. ριβ΄. Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς τοὺς ιβ΄. μαθητάς. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ζηνοβίου ἐν Συκαῖς.

Τῇ β΄. τῶν βαΐων εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. δ΄. Δεῖ δὲ εἰδέναι, ὅτι ψάλλεται τὸ τροπάριον τοῦτο τῇ ις΄. τοῦ Μαρτίου μη-

νὸς εἰς τὴν παραμονὴν τοῦ σεισμοῦ. Αὕτη ἐστιν, ὁ Θεὸς, ἡ φοβερὰ ἡμέρα, ἧς φθάσαι τὴν ἑσπέραν οὐκ ἐλπίζομεν, καὶ ταύτην ἰδεῖν ἡμᾶς, φιλανθρώπως κατηξίωσας, τρισάγιε, δόξα σοι. Προκείμενον α΄. ψαλμὸς ρδ΄. ἦχος πλ. β΄. Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ. Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λέγει Κύριος ὁ ῥυσάμενός σε. Προκείμενον β΄. ψαλμὸς ρε΄. ἦχος πλ. β΄. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, στίχος· Ἐξομολογεῖσθε [л. 208) τῷ Κυρίῳ ὅτι χρηστός. Ἑσπέρας προκείμενον ψαλμὸς ρς΄. ἦχος δ΄. Ἐξομολογεῖσθε [л. 208) τῷ Κυρίῳ, ὅτι χρηστὸς, στίχος· Εἰπάτωσαν οἱ λελυτρωμένοι. Ἀνάγνωσμα Γενέσεως· Ἐγένετο μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαάκ. Προκείμενον β΄. ψαλμὸς ρζ΄. ἦχος βαρύς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, στίχος· Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός. Ἀνάγνωσμα Παροιμιῶν. Ὃς φυλάσσει ἐντολήν.

Τῇ γ΄. τῶν βαΐων εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. β. Δεῖ εἰδέναι, ὅτι ψάλλεται τὸ τροπάριον ἦχος πλ. β΄. εἰς τὴν ἡμέραν τοῦ εὐαγγελισμοῦ. Ἀκαταμάχητον τεῖχος ἔδωκας τῇ πόλει ἡμῶν τὴν τεκοῦσάν σε παρθένον δι' αὐτῆς, Σῶτερ, ἀπὸ τῶν κύκλῳ συνεπιτιθεμένων κακῶν ἐξελοῦ δεόμεθα τὰς ψυχὰς ἡμῶν. Προκείμενον α΄. ψαλμὸς ρη΄. ἦχος δ.΄ Βοήθησόν με, Κύριε ὁ Θεός μου, στίχος· Ὁ Θεὸς τὴν αἴνεσίν μου. Ἀνάγνωσμα Ἡσαΐου· Τάδε λέγει Κύριος· ἰδοὺ δέδωκά σε. Προκείμενον β΄. ψαλμὸς ρθ΄. ἦχος δ΄. [об.) Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς ρι΄. ἦχος α΄. Ἀρχὴ σοφίας φόβος Κυρίου, στίχος· Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. Ἀνάγνωσμα Γενέσεως· Εἶπε Κύριος πρὸς Ἰακὼβ. Προκείμενον β΄. ψαλμὸς ρια΄. ἦχος δ΄. Ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος, στίχος· Μακάριος ἀνὴρ ὁ φοβούμενος. Ἀνάγνωσμα Παροιμιῶν· Υἱὲ, ποιεῖν δίκαια καὶ ἀληθεύειν.

Τῇ δ΄. τῶν βαΐων εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. δ΄. Τὰ ἐλέη σου, Κύριε, ποίησον μεθ' ἡμῶν. Προκείμενον α΄. ψαλμὸς ριβ΄. ἦχος δ΄. Αἰνεῖτε, παῖδες, Κύριον, στίχος· Εἴη τὸ ὄνομα Κυρίου. Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λέγει Κύριος· ἀναβόησον ἐν ἰσχύι. Προκείμενον β΄. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, στίχος· [л. 209) Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς ριδ΄. ἦχος δ΄. Εὐαρεστήσω ἐνώπιον Κυρίου, στίχος· Ἠγάπησα ὅτι εἰσακούσεταί. Ἀνάγνωσμα α΄. Γενέσεως· Εἰσήνεγκαν τῷ Ἰωσήφ. Προκείμενον β΄. ψαλμὸς ριε΄. ἦχος δ΄. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, στίχος· Ἐπίστευσα διὸ ἐλάλησα. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ.

Τῇ ε΄. τῶν βαΐων εἰς τὴν τριτοέκτην τροπάριον ἦχος βαρύς· Τῆς φωνῆς τῶν οἰκετῶν σου, Κύριε, μὴ ἐπιλάθῃ. Προκείμενον α΄. ψαλμὸς ριζ΄. ἦχος δ΄. Αὕτη ἡ πύλη τοῦ Κυρίου, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ. Ἀνάγνωσμα Ἡσαΐου· Οὕτω λέγει Κύριος· ὃν τρόπον εὑρεθήσεται. Προκείμενον β΄. ψαλμὸς ριη΄. ἦχος δ΄. Ὁδὸν ἐντολῶν σου ἔδραμον, στίχος· Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν. Ἑσπέρας προκείμενον α΄. [οϐ.) ψαλμὸς ριθ΄. ἦχος πλ. β΄. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με, στίχος· Κύριε, ῥῦσαι τὴν ψυχήν μου. Ἀνάγνωσμα α΄. Γενέσεως· Ἀπάρας Ἰσραὴλ, αὐτός. Προκείμενον β΄. ψαλμὸς ρκ΄. Κύριος φυλάξοι σε ἀπὸ παντὸς κακοῦ, στίχος· Ἦρα τοὺς ὀφθαλμούς. Ἀνάγνωσμα β΄. Παροιμιῶν· Υἱὲ, ἐάν σοφὴ γένηται ἡ καρδία.

Τῇ παρασκευῇ τῶν βαΐων εἰς τὴν τριτοέκτην τροπάριον ἦχος γ΄. Ἀνυπόστατος, Κύριε, ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου. Προκείμενον α΄. ψαλμὸς ρκα΄. ἦχος δ΄. Ἕνεκα τοῦ οἴκου Κυρίου, στίχος· Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι. Ἀνάγνωσμα Ἡσαΐου· Εὐφράνθητι ἄμα Ἰσραὴλ καὶ ἔσονται εἰς ὅρασιν. Προκείμενον β΄. ψαλμὸς ρκβ΄. ἦχος πλ. δ΄. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον, στίχος· Πρὸς σὲ ἦρα τούς. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς ρκγ΄. ἦχος πλ. β΄. [π. 210) Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, στίχος· Εἰ μὴ ὅτι Κύριος. Ἀνάγνωσμα α΄. Γενέσεως· Κατέπαυσεν Ἰακώβ. Προκείμενον β΄. ψαλμὸς ρκδ΄. ἦχος δ΄. Οἱ πεποιθότες ἐπὶ Κύριον, στίχος· Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. Ἀνάγνωσμα β΄. Παροιμιῶν. Υἱὲ, ἄνοιγε τὸ στόμα λόγῳ Θεοῦ.

Τῷ σαββάτῳ τῆς βαϊοφόρου μνήμη τοῦ ὁσίου καὶ δικαίου Λαζάρου. Πρωῒ τὸ τελευταῖον εἰσερχόμεθα ἔσω καὶ λέγομεν τὸ εὐλογητὸς, καὶ εἰς τὸν ν΄. λέγομεν τροπάριον ἦχος α΄. Τὴν κοινὴν ἀνάστασιν. Καὶ μετὰ τὸν ὄρθρον προανάγνωσις Πράξεων, καὶ γίνονται λοιπὸν τὰ βαπτίσματα. Καὶ στέκει ὁ ψάλτης ἔμπροσθεν αὐτῶν ψάλλων ψαλμὸν λα΄. ἦχος βαρύς· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, στίχος· Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται Κύριος. Ὅτε δὲ ἔλθῃ εἰς τοὺς μέσους πυλῶνας, ὁ ψάλτης λέγει στίχον β΄. Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου. Καὶ ὅτε φθάσῃ πλησίον τοῦ ἄμβωνος ἀποδύεται τὴν φελονὴν αὐτοῦ, καὶ ἀνέρχεται [οϐ.) εἰς τὸν ἄμβωνα, ψάλλων ἐνορδίνως τὸν ψαλμὸν ἕως οὗ δώσει αὐτῷ ὁ διάκονος ἀπὸ τοῦ θυσιαστηρίου, καὶ λοιπὸν ἀνέρχεται πάλιν προανάγνωσις ἐκ τῶν Πράξεων· Ἄγγελος Κυρίου ἐλάλησε πρὸς Φίλιππον. Καὶ ἀναγινώσκει ἕως τῶν ἀντιφώνων τῆς λειτουργίας καὶ λοιπὸν. Ἀντίφωνον α΄. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. Ἀλληλούια, τὸ γ΄. τὸ προγεγραμμένον τροπάριον ἦχος α΄. Τὴν κοινὴν ἀνάστασιν

πρὸ τοῦ σοῦ πάθους. Καὶ οἱ ψάλται ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον ἦχος γ΄. Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, βασιλείαν ἀσάλευτον παραλαμβάνοντες. Ἀλληλούια ἦχος πλ. δ΄. Ὁ Κύριος ἐβασίλευσεν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον 4δ΄. Τῷ καιρῷ ἐκείνῳ ἦν τις ἀσθενῶν Λάζαρος. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Ἑσπέρας μετὰ τὰ ἀντίφωνα τὰ μικρὰ γίνεται εὐχὴ συναπτὴ μετὰ τῶν αἰτήσεων, καὶ λέγεται προκείμενον ἦχος πλ. α΄. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου, στίχος· [л. 211) Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου. Ἀνάγνωσμα Γενέσεως· Ἐκάλεσεν Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ. Προκείμενον ἦχος βαρύς· Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιᾶσθε λαοί, στίχος· Προσκυνήσατε αὐτὸν πάντες. Ἀνάγνωσμα β΄. Προφητείας Σοφωνίου· Τάδε λέγει Κύριος· χαῖρε σφόδρα θύγατερ Σιών. Προκείμενον ἦχος βαρύς· Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, στίχος· Ὅτι ἐνίσχυσε τοὺς μοχλούς σου. Ἀνάγνωσμα προφητείας Ζαχαρίου· Τάδε λέγει Κύριος· χαῖρε σφόδρα θύγατερ. Καὶ μετὰ τοῦτο λέγουσιν οἱ ψάλται τροπάριον ἦχος πλ. δ΄. Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος, Χριστὲ ὁ Θεός.

Τῇ κυριακῇ τῆς βαϊοφόρου ποιοῦμεν τὸν ὄρθρον ἐν τῷ ἄμβωνι, καὶ λέγομεν τὸ εὐλογητὸς καὶ εἰς τὸν ν΄. λέγομεν τὸ προγεγραμμένον τροπάριον, καὶ μετὰ τὸν ὄρθρον γίνεται προανάγνωσις [об.) ἐκ τῶν Πράξεων. Καὶ τῆς λιτῆς εἰσερχομένης εἰς τὴν ἐκκλησίαν ἀπὸ τῶν ἁγίων μ΄. ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς ψάλλεται τὸ Τρισάγιον καὶ τὸ προκείμενον ἦχος δ΄. Εὐλογημένος ὁ ἐρχόμενος, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Ὁ ἀπόστολος πρὸς Φιλιππησίους· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε. Ἀλληλούια ἦχος α΄, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, στίχος· Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον 4ζ΄. Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον. Ἕτερον κοινωνικόν· Ποτήριον σωτηρίου.

Τῇ ἁγίᾳ μεγάλῃ δευτέρᾳ πρωῒ τὸ τελευταῖον τοῦ ὄρθρου εἰσερχόμεθα ἔσω, καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος δ΄. Ὁ ἀπαθὴς τῇ θεότητι ὑπὲρ ἡμῶν δὲ τὰ πάντα σαρκὶ καταδεξάμενος, Κύριε, τὴν ἁγίαν ἑορτὴν τῆς σῆς ἀναστάσεως, ἐν εἰρήνῃ παράσχου ταῖς ψυχαῖς ἡμῶν. Εἰς δὲ τὴν τριτοέκτην τροπάριον ἦχος πλ. β΄. [л. 212) Ἐν ψυχῇ συντετριμμένῃ προσπίπτομέν σοι. Προκείμενον ψαλμὸς ρκε΄. ἦχος

δ΄. Ἐν τῷ ἐπιστρέψαι Κύριον, στίχος· Τότε ἐπλήσθη χαρὰς τὸ στόμα ἡμῶν. Ἀνάγνωσμα Ἰεζεκιήλ· Ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει. Προκείμενον ψαλμὸς ρκς΄. ἦχος πλ. β΄. Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, στίχος· Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν. Ἑσπέρας προκείμενον ψαλμὸς ρκζ΄. ἦχος πλ· β΄. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, στίχος· Εὐλογήσαι σε Κύριος ἐκ Σιών. Ἀνάγνωσμα τῆς Ἐξόδου· Ταῦτα τὰ ὀνόματα τῶν. Προκείμενον β΄. ψαλμὸς ρκη΄. ἦχος πλ. β΄. Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου, στίχος· Πλεονάκις ἐπολέμησάν με. Ἀνάγνωσμα β΄. Ἰώβ· Ἄνθρωπός τις ἦν ἐν τῇ χώρᾳ τῇ Αὐσίτιδι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον σμγ΄. Τῷ καιρῷ ἐκείνῳ καθημένου τοῦ Ἰησοῦ.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ γ΄. πρωὶ τελευταῖον εἰσερχόμεθα [об.) ἔσω καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος δ΄. Ὡς ὁ λῃστὴς ὁμολογῶν, ἀναβοῶ σοι τῷ ἀγαθῷ ἐν τῇ σῇ βασιλείᾳ, μνήσθητί μου, Κύριε, καὶ σὺν αὐτῷ συνανάστησον, ὁ ἑκουσίως δι' ἡμᾶς (παθεῖν) καταδεξάμενος. Εἰς τὴν τριτοέκτην λέγομεν τροπάριον ἦχος α΄. Τοῖς ἀμέτρως πτέουσι, πλουσίως συγχώρησον, Σωτήρ, ἀξίωσον. Σωτήρ, ἀκαταχρίτως προσκυνῆσαί σου τὴν ἁγίαν ἀνάστασιν, πρεσβείαις τῆς ἀχράντου σου Μητρός, μόνε πολυέλεε. Προκείμενον α΄. ψαλμὸς ρκθ΄. ἦχος δ΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, στίχος· Ἐκ βαθέων ἐκέκραξα. Ἀνάγνωσμα Ἰεζεκιήλ. Ἐν τῷ πορεύεσθαι τὰ ζῶα. Προκείμενον β΄. ψαλμὸς ρλ΄. ἦχος δ΄. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, στίχος· Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου. Ἑσπέρας προκείμενον α΄. ψαλμὸς ρλα΄. ἦχος πλ. β΄. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, στίχος· Μνήσθητι, Κύριε, τοῦ Δαβίδ. Ἀνάγνωσμα α΄. τῆς Ἐξόδου· Κατέβη ἡ θυγάτηρ Φαραώ. Προκείμενον. β΄. ψαλμὸς ρλβ΄. ἦχος δ΄. Ἰδοὺ δὴ τί καλόν, [л. 213) στίχος· Ὡς μύρον ἐπὶ κεφαλῆς. Ἀνάγνωσμα β΄. Ἰώβ· Ἐγένετο ὡς ἡ ἡμέρα αὕτη. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον σζ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ δ΄. εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος πλ. δ΄. Ἐν τῇ αὐλῇ Καϊάφᾳ συνέστη σήμερον τὸ κατὰ σοῦ, Ζωοδότα, βουλευτήριον καὶ ἠνέσχου πάντων, ὡς ὑπὲρ πάντων σταυρούμενος. Εἰς τὴν τριτοέκτην τροπάριον ἦχος πλ. β΄. Σήμερον τὸ πονηρὸν συνήχθη συνέδριον. Προκείμενον α΄. ψαλμὸς ρλγ΄. ἦχος δ΄. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, στίχος· Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Ἀνάγνωσμα Ἰεζεκιήλ· Εἶπε Κύριος πρός με· Υἱὲ ἀνθρώπου. Προκείμενον α΄. ψαλμὸς ρλδ΄. Οἱ φοβούμενοι τὸν Κύριον, στίχος· Ἀνεῖτε [об.) τὸ ὄνομα Κυρίου. Ἑσπέρας προκείμενον ψαλμὸς ρλε΄. ἦχος δ΄. Ἐξομολογεῖσθε τῷ Θεῷ

τοῦ οὐρανοῦ, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Ἀνάγνωσμα τῆς Ἐξόδου· Ἐν ταῖς ἡμέραις. Προκείμενον β΄. ψαλμὸς ρλς΄. ἦχος α΄. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, στίχος· Ἐξομολογήσομαί σοι. Κύριε. Ἀνάγνωσμα β΄. Ἰώβ· Ἐγένετο ὡς ἡ ἡμέρα αὕτη καὶ ἦλθον οἱ ἄγγελοι. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. σος΄. Τῷ καιρῷ ἐκείνῳ τοῦ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ.

Τῇ ἁγίᾳ μεγάλῃ ε΄. εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος πλ. δ΄. Σήμερον ὁ βασιλεὺς τῆς ζωῆς Ἰουδαίοις παραδίδοται σταυρωθῆναι, ἵνα τοῦ θανάτου καταργήσῃ τὸ κράτος, καὶ τῶν ἀνθρώπων τῷ γένει τὴν ἀνάστασιν δωρήσηται. Καὶ εἰς τὰ γ΄. ἀντίφωνα τῆς τριτοέκτης λέγομεν τροπάριον ἦχος πλ. β΄. Προσκυνοῦμεν τὴν λόγχην τὴν νύξασαν τὴν ζωοποιὸν πλευρὰν τῆς σῆς ἀγαθότητος, καὶ τὴν ἀνεξιχνίαστόν σου συγκατάβασιν δοξάζομεν. [л. **214**) Οἱ ψάλται ἀντὶ τοῦ Τρισαγίου λέγουσι τροπάριον ἦχος γ΄. Ὁ ῥαπισθεὶς ὑπὲρ γένους ἀνθρώπων καὶ μὴ ὀργισθείς. Προκείμενον α΄. ψαλμὸς πβ΄. ἦχος α΄. Καὶ γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι, στίχος· Ὁ Θεός, τίς ὁμοιωθήσεται. Ἀνάγνωσμα Ἱερεμίου· Κύριε, γνώρισόν με καὶ γνώσομαι. Προκείμενον β΄. ψαλμὸς οε΄. ἦχος πλ. δ΄. Εὔξασθε καὶ ἀπόδοτε, στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Χρὴ γινώσκειν, ὅτι μετὰ τὴν ἀπόλυσιν τῆς τριτοέκτης γίνεται κατάπλυσις[1]) τῆς ἁγίας τραπέζης. Ἑσπέρας μετὰ τὰ ἑσπερινὰ γίνεται ἡ ἀκολουθία τοῦ νιπτῆρος, καὶ λέγεται εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ριβ΄. Πρὸ τῆς ἑορτῆς τοῦ πάσχα. Καὶ λέγει ἕως· οὐχὶ πάντες καθαροί ἐστε. Καὶ εὐθέως ἐξέρχεται ὁ ἱερεὺς ἐκ τοῦ θυσιαστηρίου, καὶ τῶν διακόνων βαστάζοντων κηρούς, ἔρχονται πρὸς τὸν νιπτῆρα[2]). Καὶ νιπτο-

---

[1]) Апостолъ XII в. рук. русск. Пантелеимоновск. мон. № 252 и Апост. XI—XII в. Дохіарск. аѳон. м. № 27. Κατάπλυσις, εἶτα ἐξέρχονται ἐν τῷ νάρθηκι καὶ γίνονται τὰ ἑσπερινὰ καὶ ὁ νιπτήρ, καὶ εἶθ' οὕτως εἰσέρχεται ὁ θυμιατὸς καὶ καθεξῆς ἡ ἔναρξις τοῦ λυχνικοῦ καὶ ἡ θεία λειτουργία. — [2]) Въ рукописи Пантелеимоновск. монаст. на Аѳонѣ XI в. № 68 чинъ омовенія ногъ великой церкви описывается слѣдующимъ образомъ: Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς τριθέκτης γίνεται ἡ κατάπλυσις τῆς ἁγίας τραπέζης, καὶ μετὰ τὴν κατάπλυσιν ἐξέρχεται ὁ ἀρχιερεὺς ἐκ τοῦ θυσιαστηρίου καὶ ἔρχεται πρὸς τὸν νιπτῆρα ἔξω τῷ νάρθηκι, τῶν διακόνων προοδευόντων αὐτῷ μετὰ κηρῶν καὶ μανουαλίων. Καὶ μετὰ τὸ ἐξελθεῖν ἐν τῷ νάρθηκι ἄρχεται ψάλλειν τὸ λυχνικὸν τοῦ ἁγιοπολίτου, καὶ μετὰ τὸ ῥηθῆναι τὸ προκείμενον· Βοήθειά μου, καὶ ἀναγινώσκει ὁ πρῶτος πρεσβύτερος εὐαγγέλιον κατὰ Ἰωάννην· Πρὸ τῆς ἑορτῆς τοῦ πάσχα. Καὶ ὅταν εἴπῃ· Ἐγείρεται ἐκ τοῦ δείπνου καὶ

μένων τῶν ἀδελφῶν [об.) τοὺς πόδας ὑπὸ τοῦ ἱερέως, καὶ τῷ λεντίῳ ἀποσμήχοντος αὐτοὺς ἀπὸ ἐσχάτου ἕως τοῦ πρώτου, λέγοντος τροπάρια μετὰ τοῦ ἀμώμου τὰ ὑποτεταγμένα οὕτως· ἦχος β'. Μεγάλης εὐεργεσ ας ἀπολαύειν. Ἄλλο ἦχος. πλ. β'. Ὁ νίψας τοὺς πόδας τῶν μαθητῶν, καὶ ἡμᾶς καθάρισον ἐκ τῶν ἀνομιῶν ἡμῶν. Ἄλλο ἦχος πλ. δ'. Ὁ λεντίῳ ζωσάμενος καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν, Χριστὲ ὁ Θεός, ἀπόπλυνον ἡμῶν τῆς ψυχῆς τὸν μολυσμόν, καὶ περίζωσον ἡμᾶς σύνδεσμον πνευματικὸν τοῦ ποιεῖν τὰς ἐντολὰς τῆς σῆς ἀγαθότητος. [л. 215) Καὶ μετὰ τὸ νίψασθαι πάντας εἰσέρχεται εἰς τὸ θυσιαστήριον ὁ ἱερεὺς καὶ λέγει τὰ ἀκόλουθα τοῦ εὐαγγελίου· Ὅτε οὖν ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. Καὶ εἶθ' οὕτως γίνεται εὐχὴ τῆς εἰσόδου τῆς λειτουργίας, καὶ εἰσοδεύει ὁ πατριάρχης καὶ μετὰ τοῦ Εὐαγγελίου χωρὶς θυμιατοῦ καὶ μανουαλίων, καὶ ἀνέρχεται ἐν τῷ συνθρόνῳ. Τρισάγιον δὲ οὐ λέγεται, οὐδὲ προκείμενον ψάλλεται, ἀλλ' εὐθέως ἀνάγνωσμα α'. τῆς Ἐξόδου· Εἶπε Κύριος πρὸς Μωσῆν· καταβὰς διαμάρτυραι. Προκείμενον ἦχος δ'. Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, στίχος· Οἵτινες ἐλογίσαντο ἀδικίαν. Ἀνάγνωσμα Ἰώβ· Εἶπε Κύριος τῷ Ἰώβ διὰ λαίλαπος. Προκείμενον β'. ἦχος βαρύς· Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, στίχος· Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Ἀνάγνωσμα γ'. Ἡσαΐου· Κύριος δίδωσί μοι γλῶσσαν παιδείας. Προκείμενον ἦχος βαρύς· Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό, [об.) στίχος· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λοιπόν. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί,

---

τίθησι τὰ ἱμάτια, ἀποδύεται ὁ ἀρχιερεὺς τὴν ἱερατικὴν στολὴν καὶ πρὸς τὴν ὑπόθεσιν τῶν παρὰ τοῦ εὐαγγελίου λεγομένων ἕκαστα ποιεῖ οἷον βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα. Καὶ βάλλει αὐτὸ ὁ ἀρχιερεὺς καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος. Καὶ κατὰ λόγον ἀναγινώσκων, ποιῶν σιγήν, ἵσταται ἕως τελέσει τὸ ἀναγνωθὲν ὁ ἀρχιερεύς. Νίπτει δὲ ὑποδιακόνων, πρεσβυτέρων καὶ ἐπισκόπων τρεῖς ἐξ ἑκάστης τάξεως. Εἰ δὲ μὴ ὦσιν ἐπίσκοποι ἀναπληροῦται ὁ ἀριθμὸς δι' ἀναγνωστῶν, ὑποδιακόνων, πρεσβυτέρων καὶ διακόνων. Καὶ μετὰ τὸ νίψαι πάντας καὶ ἐκμάξαι τῷ λεντίῳ, νίπτεται καὶ αὐτὸς ὁ ἀρχιερεὺς παρὰ τῶν νιψαμένων, καὶ μετὰ τοῦτο περιβάλλεται τὰ ἱερατικὰ ἄμφια καὶ ἀναγινώσκει ὁ αὐτὸς ἀρχιερεὺς τὰ ἐπίλοιπα τοῦ εὐαγγελίου· Ὅτε οὖν ἔνιψεν ὁ Ἰησοῦς τοὺς πόδας τῶν μαθητῶν. Καὶ μετὰ τοῦτο τελεῖται τὸ λυχνικὸν τὸ ἐπίλοιπον, καὶ εἶθ' οὕτως ἄρχεται ἡ ἐκκλησία τὸ λυχνικὸν τοῦ ἐκκλησιαστοῦ, καὶ γινομένης εὐχῆς εἰσοδεύει ὁ ἀρχιερεὺς μετὰ τοῦ εὐαγγελίου χωρὶς θυμιατοῦ καὶ μανουαλίου καὶ ἀνερχεται ἐν τῷ συνθρόνῳ μετὰ τῶν σὺν αὐτῷ ἱερέων.

ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου. Ἀλληλούια ἦχος πλ. β΄. Μακάριος ὁ συνιὼν ἐπὶ πτωχόν, στίχος β΄. Ὁ ἐσθίων ἄρτους μου. Εὐαγγέλιον κατὰ Ματθαῖον· Οἴδατε ὅτι μετα δύο ἡμέρας. Οἱ ψάλται τὸ μυστικὸν ἀντὶ τοῦ· [л. 216) Οἱ τὰ Χερουβίμ, λέγουν· Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον. Τὸ αὐτὸ λέγεται καὶ κοινωνικόν.

Τῇ ἁγίᾳ μεγάλῃ παρασκευῇ πρωῒ τὸ τελευταῖον εἰσερχόμεθα ἔσω καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος πλ. δ΄. Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα. Καὶ εἰς τὸ γ΄. ἀντίφωνον τῆς τριτοέκτης λέγομεν τροπάριον ἦχος β΄. Προσκυνοῦμεν τὴν λόγχην τὴν νύξασαν τὴν ζωοποιὸν πλευράν. Προεγράφη τῇ ἁγίᾳ ε΄. Καὶ λέγομεν τροπάριον ἦχος α΄. Σταυρωθέντος σου, Χριστέ. Προκείμενον ἦχος δ΄. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, στίχος· Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν. Ἀνάγνωσμα α΄. Ζαχαρίου· Τάδε λέγει Κύριος· λήψομαι τὴν ῥάβδον μου. Προκείμενον β΄. [об.) ἦχος πλ. α΄. Σύ, Κύριε, φυλάξαις ἡμᾶς, στίχος· Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος. Ἑσπέρας ἡ προανάγνωσις, καὶ τὰ γ΄. ἀντίφωνα, καὶ εἰς τό· Κύριε ἐκέκραξα γίνεται εἴσοδος τοῦ πατριάρχου μετὰ τοῦ μεγαλείου χωρὶς θυμιατοῦ καὶ τῶν μανουαλίων, [καὶ ἀνέρχεται εὐθὺς ἀνάγνωσμα α΄. τῆς Ἐξόδου· Ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐνώπιος ἐνωπίῳ. Προκείμενον α΄. ἦχος δ΄. Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με. Ἡ δὲ εἴσοδος μετὰ θυμιατοῦ καὶ μανουαλίων σὺν κηρῶν (?) ιβ΄. Φῶς Χριστοῦ φαίνει πᾶσιν. Ἀνάγνωσμα β΄. Ἰώβ· Εὐλόγησε Κύριος τὰ ἔσχατα τοῦ Ἰὼβ μᾶλλον. Προκείμενον β΄. ἦχος δ΄. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, στίχος· Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι. Ἀνάγνωσμα γ΄. Ἡσαΐου· Τάδε λέγει Κύριος· ἰδοὺ συνήσει ὁ παῖς μου. Προκείμενον γ΄. ἦχος πλ. β΄. Ἔθεντό με ἐν λάκκῳ, στίχος· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ. [л. 217) Ἀλληλούια ἦχος πλ. α΄. στίχος· α΄. Σῶσόν με, ὁ Θεός, ὅτι εἰσῆλθοσαν ὕδατα, στίχος β΄. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, στίχος γ΄. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον τιζ΄. Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ γραμματεῖς. Τό· Κύριε ἐλέησον καὶ τὰ λοιπὰ τῶν προηγιασμένων. Οἱ ψάλται τό· Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν. Καὶ τὸ κοινωνικόν· Γεύσασθε καὶ ἴδετε [об).

Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ πρωῒ τὸ τελευταῖον εἰσερχόμεθα ἔσω καὶ λέγομεν τό· Εὐλογητός, καὶ εἰς τὸν Ν΄. λέγομεν τὸ τροπάριον ἦχος βαρύς· Τὸ μνῆμά σου ἐφύλαττον στρατιῶται, οἱ δὲ ἄγγελοι ἀνυμνοῦντές σε, Χριστὲ ὁ Θεός, ἔλεγον· δόξα σοι. Καὶ μετὰ τὸν

ὄρθρον εἰς τὸ Τρισάγιον τοῦ· Δόξα ἐν ὑψίστοις Θεῷ γίνεται εἴσοδος[1]) τοῦ πατριάρχου μετὰ τοῦ μεγαλείου καὶ τῶν ἱερέων. Καὶ μετὰ τὸ ἀνελθεῖν αὐτοὺς ἐν τῷ συνθρόνῳ, ἀνέρχεται προκείμενον α΄. ἦχος δ΄. Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, στίχος· Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν, στίχος· Ἔργον, ὃ ἠργάσω, στίχος γ΄. Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν. Ἀνάγνωσμα α΄. Ἰεζεκιήλ· Ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου. Προκείμενον ἦχος βαρύς· Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, στίχος· Ἐξομολογήσομαί σοι, Κύριε. Ἀνάγνωσμα α΄. πρὸς Κορινθίους α΄. Ἀδελφοί, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Ἀλληλούια ἦχος δ΄. στίχος α΄. Ἀναστήτω, ὁ Θεός, στίχος β΄. Ὡς ἐκλείπει καπνός, [л. 218) στίχος γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. τνα΄. Τῇ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν. Ὁ διάκονος τό· μέγα Κύριε ἐλέησον, καὶ γίνεται εὐχὴ συναπτή, καὶ τὰς αἰτήσεις, καὶ τό· Ἐν εἰρήνῃ προέλθωμεν καὶ ἀπολύει.

Περὶ ὥραν δὲ ἕκτην εἰσέρχεται ὁ βασιλεὺς καὶ ἀλλάσσει τὴν ἐνδυτὴν τῆς ἁγίας τραπέζης, καὶ μετὰ τοῦτο θυμιᾷ ὁ πατριάρχης, καὶ ἀνοίγεται ἡ ἐκκλησία, καὶ εὐθὺς ἑσπέρας προανάγνωσις οὐ γίνεται, ἀλλὰ τὰ γ΄. ἀντίφωνα[2]), τό· Κλῖνον, καὶ τὸ τελευταῖον, καὶ τό· Κύριε ἐλέησον. Καὶ εἰσοδεύει ὁ πατριάρχης μετὰ τῶν ἱερέων καὶ τοῦ μεγαλείου καὶ θυμιατοῦ καὶ μανουαλίων γ΄. καὶ ἀνέρχονται εἰς τὸν σύνθρονον, καὶ εὐθὺς λέγεται προκείμενον ἦχος πλ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, στίχος·

---

[1]) Προφιτολογίй XIII в. Синайск. библ. № 9. Μετὰ (τὸ)· Ἐν ὑψίστοις Θεῷ καὶ τὸ δόξα καὶ νῦν εἰσέρχονται ὁ ἀρχιεπίσκοπος σὺν τοῖς ἱερεῦσιν εἰς τὴν εἴσοδον μετὰ τοῦ εὐαγγελίου, καὶ εἶθ' οὕτως λέγει τροπάριον ἦχος β΄. Ὁ συνέχων πέρατα. Εἶτα πάλιν λέγει τὸ αὐτὸ τροπάριον παρὰ τοῦ λαοῦ, εἶθ' οὕτως δόξα καὶ νῦν καὶ τὸ τέλος τοῦ τροπαρίου· Καὶ ἀθανατίσας ζωώσης ἡμᾶς, ὡς Θεὸς ἀθάνατος. Καὶ πάλιν ὁ λαὸς τὴν ἀρχήν· Ὁ συνέχων τὰ πέρατα, εἶτα περισσήν μίαν οἱ ἀναγνῶσται καὶ πάλιν ὁ λαός· Ὁ συνέχων τὰ πέρατα. Ψαλλομένου δὲ τούτου, ἀνέρχεται ὁ ἀρχιεπίσκοπος ἐν τῷ συνθρόνῳ καὶ λέγει ἐν τῷ ἄμβωνι ἦχος δ΄. Ἀνάστα, Κύριε.—[2]) Рукоп. Аѳон. русск. Пант. м. № 252 и др. Τῷ ἁγίῳ σαββάτῳ ἑσπέρα. Λέγονται ἀντίφωνα β΄. τὸ α΄. καὶ τὸ τελευταῖον, εἶτα τό· Κύριε ἐκέκραξα μετὰ τοῦ τροπαρίου τούτου ἦχος πλ. β΄. Τὴν ζωηφόρον σου ἔγερσιν δοξάζομεν. Ἄλλο ἦχος γ΄. Τὴν σωτήριόν σου ἔγερσιν δοξάζομεν, φιλάνθρωπε. (Προфит. Синайск. библ. XI—XII в. № 14. Εἶθ' οὕτως τῆς Ὀκτωήχου εἰς ἦχον α΄. εἶτα δόξα καὶ νῦν ἦχος πλ. α΄. Σὲ τὸν ἀναβάλλομεν τὸ φῶς). Εἶτα εἰσοδεύει μετὰ τοῦ μεγαλείου καὶ μετὰ τὸ δοξάσαι ἀνέρχεται ὁ πατριάρχης ἐν τῷ συνθρόνῳ καὶ εἰρηνεύει καὶ εὐθέως λέγεται προκείμενον.

Ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα, στίχος β΄. Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου. Ἑσπέρας ἀνάγνωσμα α΄. Γενέσεως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός. Καὶ μετὰ πρῶτον ἀνάγνωσμα [1]) εὐθὺς ἀπέρχεται ὁ πατριάρχης εἰς τὸν βαπτιστήν καὶ βαπτίζει. Ἀνάγνωσις β΄. Ἡσαΐου· [об) Φωτίζου φωτίζου ἡ νέα Ἱερουσαλήμ. Ἀνάγνωσμα γ΄. τῆς Ἐξόδου· Εἶπε Κύριος πρὸς Μωσῆν· ὁ μὴν οὗτος. Προκείμενον α΄. Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ἀνάγνωσμα δ΄. Ἰωνᾶ· Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν. Ἀνάγνωσμα ε΄. Ἰησοῦ τοῦ Ναυῆ. Παρενέβαλον οἱ υἱοὶ Ἰσραὴλ ἐν Γαλγάλοις. Ἀνάγνωσμα ς΄. τῆς Ἐξόδου· Ἐξάραντες οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχώθ. Καὶ εὐθὺς ὁ ψάλτης ἀντὶ προκειμένου, ὅταν εἴπῃ ὁ διάκονος· Σοφία, ἐκεῖνος λεγει ᾠδὴ τῆς ἐξόδου, καὶ ἀνέρχεται εὐθύς· Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται· καὶ πληροῖ τὴν ᾠδὴν ὅλην ἐν τῷ ἄμβωνι, κατὰ στίχον δεχομένου τοῦ λαοῦ, ἀπὸ ἐνάρξεως τοῦ α΄. στίχου· Ἄσωμεν τῷ Κυρίῳ, καὶ δοξάζει καὶ μία περρισσή, καὶ εὐθὺς κατέρχεται καὶ ἀνέρχεται ἀνάγνωσμα ζ΄. Σοφονίου· Τάδε λέγει Κύριος· ὑπόμεινόν μοι εἰς ἡμέραν ἀναστάσεως. Καὶ ἐὰν συμβῇ παρατεῖναι τὸν πατριάρχην εἰς τὸ βαπτίζειν, ἀπὸ τοῦ ζ΄. ἀναγνώσματος, εὐθέως ἀναγινώσκεται ὁ Δανιήλ, καὶ μετὰ τοῦτο· Εὐλογεῖτε. Εἰ δὲ ὡς προείρηται παρατείνει ὁ πατριάρχης βαπτίζων, ἀναγινώσκεται οὕτως· ἀνάγνωσμα η΄. Βασιλειῶν Γ΄. [л. 219) Ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἠλιοῦ λέγων. Ἀνάγνωσμα θ΄. Ἡσαΐου· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. Ἀνάγνωσμα ι΄. Γενέσεως· Ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραὰμ καὶ εἶπε πρὸς αὐτόν. Προκείμενον ἦχος πλ. β΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, στίχος· Ἐνεδύσατο ὁ Κύριος δύναμιν. Ἀνάγνωσμα ια΄. Ἡσαΐου· Πνεῦμα Κυρίου ἐπὶ ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με. Ἀνάγνωσμα ιβ΄. Βασιλειῶν· Ἐγένετο ἡμέρα καὶ διέβη Ἐλισσαιὲ εἰς Σωμᾶν. Ἀνάγνωσμα ιγ΄. Ἡσαΐου· Τάδε λέγει Κύριος· ποῦ ἐστιν ὁ ἀνάγων ἐκ γῆς. Ἀνάγνωσμα ιδ΄. Ἱερεμίου· Τάδε λέγει Κύριος· ἰδοὺ ἡμέραι ἔρχονται. Ἀνάγνωσμα ιε΄. Δανιὴλ· Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεύς. Ὁ ψάλτης προκείμενον λέγων οὕτως· ὕμνος τῶν τριῶν παίδων· καὶ ἄρχεται· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Ὁ λαὸς ἀποκρίνεται· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Καὶ λοιπὸν στιχολογεῖ κατὰ [об.) στίχον ἕως τό· Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ

---

[1]) Тамъ же. Εἰς δὲ τὸ δεύτερον ἀνάγνωσμα τό· Φωτίζου φωτίζου, κατέρχεται τοῦ συνθρόνου ὁ πατριάρχης καὶ ἀπέρχεται εἰς τὸ μέγα βαπτιστήριον καὶ ποιεῖ ἐκεῖ

Ἅγιον Πνεῦμα καὶ μόνον ἕως οὗ εἰσέλθῃ ὁ πατριάρχης εἰς τὴν εἴσοδον μετὰ τῶν νεοφωτίστων. Τοῦτο δὲ ψάλλοντες κατέρχονται οἱ ἱερεῖς [1]) ἐκ τοῦ συνθρόνου, καὶ ἀλλάσσουσι στιχάρια ἄσπρα. Τοῦ δὲ πατριάρχου χρίοντος τῷ μύρῳ τοὺς νεοφωτίστους, ὁ πρῶτος πριμικήριος τῶν ψαλτῶν λέγει· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, ἀλληλούια, στίχος· Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν. Χριστὸν ἐνεδύσασθε, Ἀλληλούια. Καὶ κατὰ στίχον ἕως οὗ πληρωθῇ ὁ ψαλμὸς λέγει· Χριστὸν ἐνεδύσασθε, ἀλληλούια. Καὶ ὅταν κινήσῃ ὁ πατριάρχης μετὰ τῶν νεοφωτίστων τοῦ εἰσελθεῖν τὴν εἴσοδον, ὁ β΄. πριμικήριος τῶν ψαλτῶν, ἄρχεται ἔμπροσθεν αὐτῶν ψαλμὸς ἦχος βαρὺς καὶ λέγει· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, στίχος· Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται. Ὅτε δὲ ἔλθῃ εἰς τοὺς μέσους πυλῶνας, ὁ μὲν πατριάρχης γονυκλιτεῖ καὶ οὕτως εἰσέρχεται. Ὁ δὲ ψάλτης λέγει στίχον· Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ. Καὶ ὅτε φθάσωσι πλησίον τοῦ ἄμβωνος, κατέρχεται ὁ ἐν τῷ ἄμβωνι [л. 220) ψάλτης, καὶ ὁ ψάλλων τό· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, ἀποδύεται τὸ φελώνιον αὐτοῦ καὶ ἀνέρχεται εἰς τὸν ἄμβωνα αὐτοῦ ἐφεξῆς τὸν ψαλμόν, ἕως οὗ δώσῃ αὐτῷ ὁ διάκονος ἀπὸ τοῦ θυσιαστηρίου, καὶ μετὰ τὸ εἰσελθεῖν τὸν πατριάρχην εἰς τὸ ἱερατεῖον, δίδει εὐλογίαν τῷ ψάλτῃ, καὶ λέγει περισσὴν καὶ κατέρχεται. Εὐχὴ δὲ οὐ γίνεται, ἀντίφωνα οὐ λέγονται. Ἀντὶ δὲ τοῦ Τρισαγίου λέγουν· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Προκείμενον οὐ ψάλλεται, ἀλλ' εὐθὺς ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν. Καὶ ἀντὶ τοῦ· Ἀλληλούια ψάλλομεν πάλιν ἦχος βαρύς· Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν [2]), στίχος ά. Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, στίχος β΄. Ἕως πότε

τὰ βαπτίσματα. Ἐν δὲ τῷ συνθρόνῳ εἰς τὴν καθέδραν αὐτοῦ τίθεται τὸ ἅγιον εὐαγγέλιον ἕως οὗ μέλλει γίνεσθαι ἡ β΄. εἴσοδος.

[1]) Тамъ же. Ὁμοίως καὶ οἱ διάκονοι. Καὶ μετὰ τὸ τελέσαι ταῦτα ἔρχεται ἕτερος ψάλτης ἀπὸ τοῦ μεγάλου βαπτιστηρίου μετὰ τῶν νεοφωτίστων, προάγων καὶ ὀψικεύων τὰ νεοφώτιστα καὶ ψάλλων τὸ εἰς τὰ φωτίσματα προκείμενον ἦχος βαρύς· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, στίχος α΄. Μακάριος ἀνήρ ᾧ οὐ μὴ λογίσηται, στίχος β΄. λέγει εἰς τὰς ἀργυρὰς πόλας (Синайск. профит. XIII в. № 9 εἰς τὴν μέσην πυλῶνα) ἦχος γ΄. Εἶπα· ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου, στίχος γ΄. λέγει ἐν τῷ ἄμβωνι ἦχος γ΄. Καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου, φορῶν ἄσπρον καμίσιν, διώκων τὸν ψάλλοντα τό· Εὐλογεῖτε. Εἶτα ἔρχεται ὁ πατριάρχης μετὰ τῶν ἀρχιερέων καὶ ἱερέων μετὰ καὶ τῶν βαπτισάντων διακόνων λευχειμονούντων, καὶ γίνεται ἡ β΄. εἴσοδος ἡσυχῇ. Μετὰ δὲ τὴν εἴσοδον εὐθὺς ἀντὶ τοῦ Τρισαγίου Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Συναπτὴ δὲ οὐ λέγεται, οὔτε εὐχή, ἀλλ' εὐθέως ἡ ἄνω καθέδρα καὶ ὁ ἀπόστολος, προκείμενον δὲ οὐχί.—[2]) Профитол. Синайск. библ.

κρίνετε ἀδικίαν, στίχος γ'. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν. Καὶ τούτου ψαλλομένου οἱ ἱερεῖς κάθονται ἐν τῷ συνθρόνῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. τιβ'. Ὀψὲ σαββάτου τῇ ἐπιφωσκούσῃ. Οἱ ψάλται τὸν μυστικὸν ὕμνον· Οἱ τὰ Χερουβίμ. Κοινωνικὸν τὸ μὲν ἀρχαῖον· Αἰνεῖτε, τὸ δὲ νέον· Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς. Ἀλληλούια. Χρὴ γινώσκειν, ὅτι ἐὰν οὔκ εἰσι [об.) βαπτίσματα, μετὰ τό· Εὐλογητὸς λέγεται τό· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, καὶ προκείμενον· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, στίχος· Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται, καὶ οὕτως ὁ ἀπόστολος καὶ ἡ λοιπὴ ἀκολουθία.

Δεῖ εἰδέναι, ὅτι τὰ εὐαγγέλια ἀναγινώσκονται οὕτως· ἀπὸ τοῦ πάσχα ἕως τῆς Ν'. τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, ἀπὸ τῆς Ν'. ἕως τοῦ νέου ἔτους τὸ κατὰ Ματθαῖον, ἀπὸ τοῦ νέου ἔτους μέχρι τῶν νηστειῶν τὸ κατὰ Λουκᾶν, ἀπὸ τῶν νηστειῶν μέχρι τῶν βαΐων τὸ κατὰ Μάρκον.

Ἀρχοτελεῖαι τῶν Πράξεων καὶ τοῦ ἁγίου Εὐαγγελίου ἀπὸ τῆς ἁγίας ἀναστάσεως μέχρι τῆς πεντηκοστῆς.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα. Εἰς τὸν ὄρθρον ψάλλομεν ἀντίφωνα δ'. καὶ εἰς τὸ τελευταῖον τοῦ ἀμώμου λέγομεν κάτω νάρθηκος τροπάριον ἦχος γ'. Συγκλονουμένης τῆς κτίσεως, καὶ ῥηγνυμένου καταπετάσματος, τοὺς ἐν τῷ Ἅιδει μοχλοὺς καὶ τὰς πύλας συνέτριψας, καὶ δήσας τὸν ἰσχυρόν, ἠγέρθης ὡς κραταιός, τὰς ψυχὰς ἁφαρπάσας ἐκ θήρας ὡς πρόβατα. Ὁ ἐκ φθορᾶς ἀναγαγὼν τὴν ζωὴν ἡμῶν, Χριστὲ ὁ Θεὸς, δόξα σοι. Καὶ εἰσερχόμεθα ἔσω καὶ λέγομεν τό· Εὐλογητός, καὶ εἰς τὸν Ν'. λέγομεν τροπάριον ἦχος γ'. Σήμερον σωτηρία τῷ κόσμῳ [л. 221) ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου. Καὶ μετὰ τὸν ὄρθρον προανάγνωσις ἐκ τοῦ Ἀποστόλου. Χρὴ γινώσκειν, ὅτι ἕως τοῦ Ν'. ὁ Ἀπόστολος προαναγινώσκεται. Τὰ ἀντίφωνα τῆς λειτουργίας· ἀντίφωνον α'. ψαλμὸς ξε'. Ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Καὶ ἀλλάσσουσι· Πρεσβείαις τῶν ἁγίων. Ἀντίφωνον β'. ψαλμὸς ξς'. ἦχος β'. Ὁ Θεὸς οἰκτιρήσαι ἡμᾶς

XIII в. № 9. Ἀντὶ τοῦ· Ἀλληλούια ἦχος βαρύς· Ἀνάστα ὁ Θεός. Τούτου δὲ ψαλλομένου αἴρεται ἡ λευκὴ ὀθόνη, ἡ ἐφηπλωμένη ἐν τῇ ἁγίᾳ τραπέζῃ παρὰ τῶν διακόνων, ἥτις εἰς τύπον ἐπιτελεῖσθαι παρεδόθη παρὰ τῶν θείων πατέρων τοῦ ἀποκυλισθέντος λίθου ἐκ τῆς θύρας τοῦ ζωαρχικοῦ μνήματος τοῦ θεανθρώπου Λόγου καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

καὶ εὐλογήσαι ἡμᾶς. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Ἀντίφωνον γ΄. ψαλμὸς ξζ΄. ἦχος πλ. α΄. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας. Καὶ ὅταν εἰσοδεύῃ τὸν στίχον τοῦτον λέγει· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούια. Τὰ δὲ αὐτὰ ἀντίφωνα καὶ τό· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, καὶ τὸ κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε, μέχρι τοῦ σαββάτου τῆς διακαινησίμου οὕτω ψάλλονται ὡς τὴν ἡμέραν τῆς ἁγίας κυριακῆς. Προκείμενον ἦχος πλ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, στίχος β΄. Εἰπάτω δὴ οἶκος Ἰσραήλ. Ἀνάγνωσμα Πράξεων· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, [οβ.) Ἀλληλούια ἦχος δ΄. Σύ, Κύριε, ἀναστὰς οἰκτιρήσεις τὴν Σιών, στίχος β΄. Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν. Ὁ διάκονος τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην τὴν ἀρχήν· τὸ γὰρ ῥωμαϊκός(ν) ὁ διάκονος ἀναγινώσκει τὸ εὐαγγέλιον, καὶ τοῦ πατριάρχου εἰρηνεύοντος, ὁ ἀρχιδιάκονος λέγει· Σοφία καὶ ἐπιδίδοται τὸν (ῷ) πατριάρχῃ τὸ εὐαγγέλιον, καὶ λέγει ὁ πατριάρχης· Εἰρήνη πᾶσιν· Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα, καὶ ὁ ἀρχιδιάκονος λέγει· Ἐν σοφίᾳ πρόσχωμεν. Καὶ τοῦ πατριάρχου ἀρχομένου λέγειν, ὁ διάκονος ὁ γρικὸς (γρακὸς), ἐστὼς ἐν τῷ ἄμβωνι, ἐκφωνεῖ κράζων τὰ λεγόμενα ὑπο τοῦ πατριάρχου οὕτως· Ἐν ἀρχῇ ἦν ὁ λόγος. Τὸ μυστικόν· Οἱ τὰ χερουβιμ μυστικῶς. Δέον εἰδέναι, ὅτι γ΄. λέγεται τό· Οἱ τὰ χερουβὶμ τῇ ἡμέρᾳ ταύτῃ. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε. Τὸ αὐτὸ δὲ ὅλην τὴν διακαινήσιμον.

Ἑσπέρας ἐν τῷ λυχνικῷ εἴτε εἰς Μάρτιον μῆνα φθάσῃ ἡ ἁγία κυριακή, εἴτε εἰς Ἀπρίλιον, ψάλλονται ἀντίφωνα ιβ΄. ἀρχόμενα ἀπὸ τοῦ α΄. ψαλμοῦ. καὶ τῇ β΄. τῆς διακαινησίμου προστίθεμεν ἀντίφωνον α΄. καὶ γίνονται ιγ΄. ἐν δὲ τῷ ὄρθρῳ τῆς αὐτῆς β΄. ψάλλονται ἀντίφωνα ζ΄. καὶ λοιπὸν ἕως τῶν ἁγίων πατέρων τῆς Ε΄. συνόδου [**π. 222**) τῶν α΄. εὑρεθέντων κατὰ Σεβήρου τοῦ δυσσεβοῦς, τῆς γενομένης κγ΄. τοῦ. Ἰουλίου μηνός, ἤτοι τῶν δειλινῶν ἀλλακτῶν τὰ αὐτὰ ζ΄. ἀντίφωνα ψάλλονται εἰς τον ὄρθρον. Η΄. ψάλλονται δὲ ἐν τοῖς λυχνικοῖς μέχρι συμπληρώσεως τοῦ Ἀπριλίου μηνὸς τὰ ιγ΄. ἀντίφωνα.

Τῇ αὐτῇ μεγάλῃ κυριακῇ ἑσπέρας εἰς τὸ λυχνικὸν εἰς τό· Κύριε ἐκέκραξα λέγεται τροπάριον ἦχος β΄. Ἔνδοξε ἀειπάρθενε Θεοτόκε Μήτηρ Χριστοῦ, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν. Ἑσπέρας προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν. στιχος α΄. Καὶ εἶπα νῦν ἠρξάμην, στίχος β΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου, στίχος γ΄.

Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. Χρὴ γινώσκειν[1]), ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ λυχνικοῦ ἀνέρχεται ὁ πατριάρχης ἐν τοῖς εὐκτηρίοις τοῦ Πατριαρχείου, καὶ γίνεται ὑπὸ τοῦ διακόνου τὸ μέγα Κύριε ἐλέησον, καὶ ἀναγινώσκει ὁ πατριάρχης τὸ εὐαγγέλιον τὸ ἀναστάσιμον τῆς πλευρᾶς ἕως· ἄν τινων κρατῆτε κεκράτηνται.

Τῇ β′. τῆς διακαινησίμου. Μνήμη τῶν ἁγίων ἀποστόλων. Τὸ τελευταῖον εἰσερχόμεθα ἔσω καὶ λέγομεν τό· Εὐλογητὸς καὶ εἰς τὸν Ν′. λέγομεν τροπάριον ἦχος β′. Ἀναστὰς ἐκ τοῦ μνήματος καὶ τὰ δεσμά. Καὶ μετὰ τὸν ὄρθρον ἀνάγνωσις οὐ γίνεται, ἀλλ' εὐθὺς γίνεται εὐχὴ ἀντιφώνου, καὶ γίνονται ἀντίφωνα γ′. εἰς τὴν σολέαν· τὸ α′. ψαλμὸς ριε′. [об.) Ἐλέησον ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν. Τὸ ἀνταποκρινόμενον· βοήθησον ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ β′. ψαλμὸς ρκ′. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. τὸ γ′. ψαλμὸς ρκα′. Ἀλληλούια ἁπλοῦν δεϊλινὸν ἐνόρδινον, ἕως οὗ εἰσέλθῃ ὁ πατριάρχης ἐν τῷ θυσιαστηρίῳ διὰ τῆς πλαγίας, καὶ δίδει ὁ ἀρχιδιάκονος τὸ ἀνάγνωσμα εἰρήνην, καὶ ποιεῖ ὁ διάκονος εὐχὴν συναπτήν, καὶ ἀνέρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι, καὶ ἄρχονται τό· Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Καὶ ἐν τῷ φόρῳ δοξάζουσιν οἱ ψάλται, καὶ ὁ διάκονος λέγει τό· μέγα Κύριε ἐλέησον, ποιεῖ ὁ πατριάρχης εὐχήν, καὶ οὕτως εἰσερχόμεθα ἐν τοῖς ἁγίοις Ἀποστόλοις, καὶ μετὰ τὸ δοξάσαι τοὺς ψάλτας τὴν λιτὴν γίνεται εὐχή. Ἀντίφωνα γ′. τὰ προγεγραμμένα τῆς ἁγίας κυριακῆς καὶ τὰ λοιπά. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον ἦχος πλ. δ′. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, στίχος α′. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, στίχος β′. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ὑπέστρεψαν οἱ ἀπόστολοι εἰς Ἱερουσαλήμ. Ἀλληλούια ἦχος α′. Ἐξομολογήσονται οἱ οὐρανοί, στίχος β′. Ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων. [л. 223) Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. η′. Θεὸν οὐδεὶς ἑώρακεν. Κοινωνικόν· Σῶμα Χριστοῦ μετα-

[1]) Апостолъ XII в. русск. Пантелеим. мон. № 252. Χρὴ δὲ γινώσκειν, ὅτι τὸ ἀρχαῖον μετὰ τὴν συμπλήρωσιν τοῦ λυχνικοῦ ἀνέρχεται ὁ πατριάρχης ἐν τοῖς εὐκτηρίοις τοῦ πατριάρχου καὶ λέγεται ὑπὸ τοῦ διακόνου ἡ μέλλουσα ἐκτενής, καὶ ἀναγινώσκει ὁ πατριάρχης τὸ εὐαγγέλιον τῆς πλευρᾶς τό· Οὔσης ὀψίας ἕως· κεκράτηνται, νῦν δὲ παρόντος αὐτοῦ ἐν τῷ θυσιαστηρίῳ τῆς μεγάλης ἐκκλησίας ἀναγινώσκεται τὸ εὐαγγέλιον ὑπὸ τοῦ πρωτοπρεσβυτέρου ἢ τοῦ δευτερεύοντος ἐπὶ τοῦ ἄμβωνος.

λάβετε. Ὁμοίως δὲ καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἡ αὐτὴ λειτουργία γίνεται κατὰ τάξιν, χωρὶς τοῦ ἀναγνώσματος τῶν Πράξεων, ἀναγινώσκεται γὰρ ἐκεῖ οὕτως· Ἐν ταῖς ἡμέραις ἐκείναις, σταθεὶς ὁ Πέτρος σὺν τοῖς ια′. Ἑσπέρας εἰς τὸ λυχνικὸν προκείμενον ἦχος βαρύς· Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, στίχος· Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, στίχος β′. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, στίχος γ′. Τί σοι ἐστὶ θάλασσα.

Τῇ γ′. τῆς διακαινησίμου. Τῆς ἁγίας Θεοτόκου ἐν Χαλκοπρατείοις. Ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τὸ τελευταῖον εἰσερχόμεθα ἔσω, καὶ λέγομεν τό· Εὐλογητός, καὶ εἰς τὸν Ν′. λέγομεν τροπάριον ἦχος β′. Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε παρθένε. Καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις. Ὁμοίως δὲ καὶ ἐν τοῖς Χαλκοπρατείοις τὸ αὐτὸ τροπάριον λέγεται. Τῷ δὲ καιρῷ τῶν ἀντιφώνων, κατέρχεται ὁ πατριάρχης εἰς τὰ Χαλκοπρατεῖα, καὶ λειτουργεῖ ἐκεῖ. Προκείμενον ἦχος γ′. ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν [об.) ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις σταθεὶς Πέτρος σὺν τοῖς ἕνδεκα. Ἀλληλούια ἦχος πλ. δ′. στίχος· Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. τλθ′. Τῷ καιρῷ ἐκείνῳ ὁ Πέτρος ἀναστάς. Ἑσπέρας εἰς τὸ λυχνικὸν προκείμενον ἦχος πλ. δ′. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, στίχος α′. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεόν, στίχος β′. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, στίχος γ′. Ὁ Θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.

Τῇ δ′. τῆς διακαινησίμου. Τῆς ἁγίας Θεοτόκου ἐν Βλαχέρναις. Ἐν τῇ ἁγίᾳ μεγάλῃ ἐκκλησίᾳ τὸ τελευταῖον εἰσερχόμεθα ἔσω, καὶ λέγομεν τό· Εὐλογητός, καὶ εἰς τὸν Ν′. λέγομεν τροπάριον ἦχος β′. Ταῖς μυροφόροις γυναιξὶ παρά. Καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις ἐκ τοῦ Ἀποστόλου καὶ ἀπέρχεται ὁ πατριάρχης ἐν Βλαχέρναις καὶ γίνονται ἀντίφωνα γ′. τὰ προγεγραμμένα τῆς ἁγίας κυριακῆς. Προκείμενον ἦχος πλ. β′. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἐξηρεύξατο ἡ καρδία μου λόγον. Ἀνάγνωσμα Πράξεων. Ἐν ταῖς ἡμέραις ἐκείναις ὑπέστρεψαν οἱ ἀπόστολοι. Ἀλληλούια ἦχος β′. Μεγαλύνει ἡ ψυχή μου, [л. 224) στίχος· Ὅτι ἐπέβλεψεν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ιη′. Τῷ καιρῷ ἐκείνῳ γάμος ἐγένετο ἐν Κανᾷ. Ὁμοίως δὲ καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. Προκείμενον, οἷον θέλεις. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις εἶπε Πέτρος πρὸς τὸν λαόν. Ἀλληλούια, οἷον θέλεις. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ις′.

Τῷ καιρῷ ἐκείνῳ εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Στεφάνου ἐν τῷ ἁγίῳ Λαυρεντίῳ. Τὸ ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Στέφανος πλήρης. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου Ἀνδρέου ἐν τῷ τρίτῳ. Ἑσπέρας προκείμενον ἦχος βαρύς· Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, στίχος α΄. Πρόσχες μοι καὶ εἰσάκουσόν μου, στίχος β΄. Ὅτι ἐξέκλιναν ἐπ' ἐμέ, στίχος γ΄. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα.

Τῇ ε΄. τῆς διακαινησίμου εἰς τὸν Ν΄. καὶ εἰς τὴν εἴσοδον λέγομεν τροπάριον ἦχος γ΄. Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια. Καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις, ὁ ἀπόστολος. Τῇ ε΄. ταύτῃ καὶ τῇ ἑξῆς παρασκευῇ ἐν τῇ [об.) μεγάλῃ ἐκκλησίᾳ λειτουργεῖ ὁ πατριάρχης, καὶ λέγομεν προκείμενον ἦχος γ΄. Ψάλλατε τῷ Θεῷ ἡμῶν, στίχος· Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις εἶπε Πέτρος. Ἀλληλούια ἦχος πλ. δ΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. κα΄. Τῷ καιρῷ ἐκείνῳ ἄνθρωπός τις ἦν ἐκ τῶν φαρισαίων. Ἑσπέρας εἰς τὸ λυχνικὸν προκείμενον ἦχος βαρύς· Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, στίχος α΄. Ὁ Θεός μου, βοηθός μου, στίχος β΄. Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, στίχος γ΄. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ.

Τῇ παρασκευῇ τῆς διακαινησίμου εἰς τὸν Ν΄. τροπάριον ἦχος πλ. β΄. Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα. Προκείμενον ἦχος δ΄. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, στίχος. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερόν. Ἀλληλούια ἦχος α΄. στίχος· Ἔντεινε καὶ κατευοδοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ιθ΄. Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Ἑσπέρας [л. 225) εἰς τὸ λυχνικὸν προκείμενον ἦχος πλ. δ΄. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις, στίχος· Ἀπὸ τῶν περάτων τῆς γῆς, στίχος β΄. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ, στίχος γ΄. Οὕτω ψαλῶ τῷ ὀνόματί σου. Ἀπολυτίκιον ἦχος πλ. α΄. Θεασάμεναι τὸν τάφον αἱ τίμιαι γυναῖκες, καὶ ἀποθέμεναι τὸν θρῆνον, ἐν ἀγαλλιάσει ἐκήρυττον, ἠγέρθη ὁ Κύριος, ζωὴν τῷ κόσμῳ δωρησάμενος, ὡς ἔχων τὸ μέγα ἔλεος. Τὸ αὐτὸ ψάλλεται καὶ εἰς τὰς λοιπὰς ἑσπέρας.

Τῷ σαββάτῳ τῆς διακαινησίμου εἰς τὸν Ν΄. τροπάριον ἦχος πλ. δ΄. Ὁ ἄδυτος ἥλιος, ὁ γεννηθεὶς πρὸ Ἑωσφόρου καὶ ἐγερθεὶς ἀπὸ τοῦ τάφου, ἀνάτειλον, Κύριε, ταῖς καρδίαις ἡμῶν, τὸν ἁγιασ-

μὸν καὶ τὸ μέγα ἔλεος. Προκείμενον ἦχος γ΄. Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις κρατοῦντος τοῦ ἰαθέντος χωλοῦ. Ἀλληλούια ἦχος πλ. α΄. Ὁ Κύριος ἐβασίλευσεν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. κδ΄. Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ. Τῇ αὐτῇ ἡμέρᾳ [1]) τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Σπαρακίου. Ἀπέρχεται ἐκεῖ ὁ πατριάρχης καὶ γίνονται ἀντίφωνα γ΄. καὶ λέγει προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, στίχος· [об.) Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο ἐν τῷ τὸν Ἀπολλῶ. Ἀλληλούια ἦχος α΄. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ. Εὐαγγέλιον καὶ κοινωνικὸν τὰ προγεγραμμένα. Ἑσπέρας εἰς τὸ λυχνικὸν προκείμενον ἦχος πλ. β΄. Ὁ Κύριος ἐβασίλευσεν, στίχος α΄. Καὶ γὰρ ἐστερέωσε Κύριος τὴν οἰκουμένην, στίχος γ΄. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Τῇ κυριακῇ τοῦ Ἀντιπάσχα πρωῒ εἰς τὸ τελευταῖον τοῦ ἀμώμου λέγομεν τροπάριον ἦχος γ΄. Συγκλονουμένης τῆς κτίσεως. Καὶ εἰσερχόμεθα ἔσω καὶ λέγομεν τό· Εὐλογητὸς καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος βαρύς· Ἐσφραγισμένου τοῦ μνήματος. Καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις. Τὰ δὲ ἀντίφωνα τῆς λειτουργίας οὕτως· τὸ α΄. ψαλμὸς 4α΄. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. ψαλμὸς 4β΄. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, τὸ γ΄. ψαλμὸς 4δ΄. τὸ προγεγραμμένον τροπάριον. Οἱ ψάλται τὸ Τρισάγιον, τὸ προκείμενον ἦχος γ΄. Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθός. [л. 226) Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις διὰ τῶν χειρῶν τῶν ἀποστόλων. Ἀλληλούια ἦχος δ΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. σιγ΄. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Τὸ ἀρχαῖον κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον, τὸ δὲ νέον ἦχος πλ. δ΄. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἶνει τὸν Θεόν σου Σιών [2]) Ἑσπέρας προκείμενον· Τίς Θεὸς μέγας. ὡς ὁ Θεὸς ἡμῶν. Προεγράφη εἰς τὴν ἁγίαν κυριακὴν τοῦ πάσχα.

---

[1]) Въ этотъ день по рукоп. Пантелеим. м. № 252. Εἰς δὲ τοὺς ὁδηγοὺς ἤγουν εἰς τὰ Προτασίου ἀπερχομένης τῆς λιτῆς, λέγει· Μεγαλύνει ἡ ψυχή μου —[2]) Τὸ αὐτὸ κοινωνικὸν ψάλλεται μέχρι τῆς δ΄. τῆς μεσοπεντηκοστῆς. Κοινωνικόν· Ὁ τρώγων μου τὴν σάρκα ψάλλεται (отъ преполовенія) μέχρι τῆς ἀναληψίμου.

Τῇ δευτέρᾳ μετὰ τὴν διακαινήσιμον ἑβδομάδα πρωῒ τὸ τελευταῖον εἰσερχόμεθα ἔσω, καὶ λέγομεν τό· Εὐλογητὸς, καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον καθημερινόν. Καὶ μετὰ τὸν ὄρθρον ἀναγινώσκεται ὁ ἀπόστολος καὶ γίνονται ἀντίφωνα τῆς λειτουργίας οὕτω· τὸ α΄. ψαλμὸς 4α΄. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. ψαλμὸς 4β΄. Ἀλληλούια τριπλοῦν, τὸ γ΄. ψαλμὸς 4δ΄. Ὁ μονογενὴς Υἱὸς, καὶ τὸ τροπάριον. Προκείμενον, οἷον θέλεις. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις εἶπε Πέτρος πρὸς τὸν λαόν, μετανοήσατε. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ιη΄. Τῷ καιρῷ ἐκείνῳ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον. Χρὴ οὖν γινώσκειν, ὅτι ἕως τῆς Ν΄. ψάλλομεν καθημεραν τό· Εὐλογητὸς καὶ προαναγινώσκεται [об.) ὁ Ἀπόστολος καὶ γίνονται τὰ τὰς λειτουργίας ἀντίφωνα, καθὼς προεγράφη ψαλμὸς 4α΄. 4β΄. 4δ΄. κατὰ τάξιν, ἀλλά γε καὶ χωρὶς τῶν ἡμερῶν τῆς Ν΄. εἰς τὰ ἀντίφωνα τῆς λειτουργίας οἱ αὐτοὶ ψαλμοὶ λέγονται, χωρὶς τῶν ἐπισήμων ἑορτῶν· καὶ ἁπλῶς εἰπεῖν ἡ λειτουργία πᾶσα γίνεται, ὡς προτέτακται ἐν ταύτῃ τῇ β΄. ἡμέρᾳ χωρὶς τῶν ἀναγνωσμάτων Πράξεων καὶ τοῦ Εὐαγγελίου.

Τῇ αὐτῇ β΄. τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις ποιοῦμεν τὸν ὄρθρον καὶ τὴν παννυχίδα ἐκεῖ ἔμπροσθεν τοῦ ἄμβωνος εἰς τὴν σολέαν. Καὶ μετὰ τὸ τελευταῖον λέγομεν τό· Εὐλογητὸς, καὶ εἰς τὸν Ν΄. λέγομεν τροπάριον ἦχος δ΄. Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε. Καὶ μετὰ τὸν ὄρθρον ἡ προανάγνωσις καὶ κατέρχεται ὁ πατριάρχης καὶ λειτουργεῖ ἐκεῖ. Τὰ ἀντίφωνα, τὸ πρῶτον, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, τὸ β΄. Ἀλληλούια τριπλοῦν, καὶ εἰς τὸ δόξα, Ὁ μονογενὴς Υἱὸς, τὸ γ΄. τὸ εἰς τὸν Ν΄. τροπάριον. Τὸ Τρισάγιον, τὸ προκείμενον ἦχος πλ. β΄. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις συνειδὼν ὁ Πέτρος ἦλθεν εἰς τὴν οἰκίαν. Ἀλληλούια ἦχος β΄. Ὠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Εὐαγγέλιον [л. 227) κατὰ Ἰωάννην κεφ. ιη΄. Τῷ καιρῷ ἐκείνῳ γάμος ἐγένετο. Κοινωνικόν· Ποτήριον σωτηρίου λήψομαι.

Τῇ γ΄. τῆς β΄. ἑβδομάδος. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις λαλούντων τῶν μαθητῶν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. κδ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον.

Τῇ δ΄. Πράξεις ια΄. Ἐν ταῖς ἡμέραις ἐκείναις θεωροῦντες Ἰουδαῖοι τὴν τοῦ Πέτρου. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ιθ΄. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτόν.

Τῇ ε'. Πράξεις ιβ'. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀπολυθέντες οἱ ἀπόστολοι ἦλθον. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. μα'. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων.

Τῇ παρασκευῇ. Πράξεις ιγ'. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνήρ τις Ἀνανίας ὀνόματι. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. μβ'. Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους.

Τῷ σαββάτῳ Πράξεις ιδ'. Ἐν ταῖς ἡμέραις ἐκείναις εἰσῆλθον οἱ ἀπόστολοι εἰς τὸ ἱερὸν καὶ ἐδίδασκον. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. η'. Τῷ καιρῷ ἐκείνῳ ἰδόντες οἱ ἄνθρωποι, ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς. Τῷ αὐτῷ σαββάτῳ τοῦ ἁγίου ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου. Ἐν δὲ τοῖς Χαλκοπρατείοις τὸ τελευταῖον τοῦ ὄρθρου εἰσερχόμεθα ἐν τῷ αὐτῷ εὐκτηρίῳ καὶ λέγομεν τό· Εὐλογητός, καὶ εἰς τὸν Ν'. λέγομεν τροπάριον ἦχος β'. Ὡς τοῦ Κυρίου μαθητὴς ἀνεδέξω, δίκαιε. Εἰς δὲ τὴν λειτουργίαν προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξανέστησάν τινες ἀπὸ τῆς αἱρέσεως. Ἀλληλούια ἦχος α'. Σωτηρία τῶν δικαίων παρὰ Κυρίου. [π. 228) Εὐαγγέλιον κατὰ Ἰωάννην τὸ προγεγραμμένον. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

Κυριακῇ γ'. Μνήμη τῶν ἁγίων Ἰωσὴφ τοῦ ἀπὸ Ἀριμαθαίας καὶ Μαρίας τῆς Μαγδαληνῆς, καὶ τῶν λοιπῶν μαθητῶν καὶ μαθητριῶν τοῦ Κυρίου. Ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τὸ τελευταῖον τοῦ ὄρθρου, εἰσερχόμεθα ἔσω καὶ λέγομεν τό· Εὐλογητὸς καὶ εἰς τὸν Ν'. λέγομεν, τροπάριον ἦχος β'. Ὁ εὐσχήμων Ἰωσήφ. Καὶ μετατίθεται στίχος, ἀλλάσσομεν καὶ λέγομεν ἰσόμελον· Ταῖς μυροφόροις γυναιξί. Καὶ μετὰ β'. στίχους πάλιν ἀλλάσσομεν ἰσόμελον· Τῶν μαθητῶν σου ὁ χορὸς σὺν μυροφόροις γυναιξί. Εἰς τὴν λειτουργίαν προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἀνάγνωσμα Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν. Ἀλληλούια ἦχος α'. Μνήσθητι, Κύριε. Εὐαγγέλιον κατὰ Μάρκον κεφ. σκζ'. Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Τῇ β'. τῆς γ'. ἑβδομάδος. Πράξεις ις'. Ἐν ταῖς ἡμέραις ἐκείναις Στέφανος πλήρης χάριτος. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. λζ'. [οβ.) Τῷ καιρῷ ἐκείνῳ ἦν τις βασιλικὸς, οὗ ὁ υἱός.

Τῇ γ΄. Πράξεις ζ΄. Ἐν ταῖς ἡμέραις ἐκείναις Φίλιππος κατελθών. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. νβ΄. Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους ἐργάζεσθε μὴ τὴν βρῶσιν.

Τῇ δ΄. Πράξεις ιη΄. Ἐν ταῖς ἡμέραις ἐκείναις ἰδὼν ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. νε΄. Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος.

Τῇ ε΄. Πράξεις ιθ΄. Ἐν ταῖς ἡμέραις ἐκείναις ἄγγελος Κυρίου ἐλάλησεν. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. νη΄. Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους τοῦτό ἐστι τὸ θέλημα.

Τῇ παρασκευῇ. Πράξεις κ΄. Ἐν ταῖς ἡμέραις ἐκείναις ὁ Φίλιππος εὑρέθη εἰς Ἄζωτον. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. ξγ΄. Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.

καὶ νῦν, Ἀλληλούια γ'. Κύριε ἐλέησον γ'. Δόξα Ἀπεστρέφετο ποτὲ ὁ Ἰορδάνης, καὶ νῦν, Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, καὶ εὐθὺς τὰ ἰδιόμελα ἐκ δευτέρου, ἦχος, πλ. δ'. Ἡ τοῦ Προδρόμου, στίχος· Διὰ τοῦ(το) μνησθήσομαι.. ἦχος δ'. Ἡ Τριὰς ὁ Θεὸς ἡμῶν... στίχος· Εἴδοσάν σε ὕδατα ὁ Θεός, Δόξα ἦχος πλ. α'. Ἐρχόμενος μετὰ σαρκός... Καὶ νῦν, τὸ αὐτό, καὶ εὐθύς· Κύριος ὁ Θεὸς εὐλογητός, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, τὸ κοντάκιον· Ἐν τοῖς ῥείθροις σήμερον, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ... Δέσποτα Θεὲ παντοκράτωρ, Κύριε Υἱέ, καὶ εὐθὺς συνάπτομεν καὶ τὴν ς'. ὥραν. Δεῦτε προσκυνήσωμεν γ'. καὶ λέγομεν· Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος.. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα... Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου. Δόξα, καὶ νῦν. Ἀλληλούια γ'. Κύριε ἐλέησον γ' Δόξα, Ἀπεστρέφετο ποτὲ ὁ Ἰορδάνης, νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, εἶτα τὰ τροπάρια, ἦχος πλ. δ'. Τάδε λέγει Κυριος πρὸς Ἰωάννην... δὶς, στίχος, ἦχος πλ. β'. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς. Σήμερον ἡ ψαλμικὴ προφητεία... στίχος· Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσαν. Δόξα, ἦχος, πλ. α'. Τί ἀναχαιτίζῃ σου τὰ ὕδατα, ὦ Ἰορδάνη, καὶ νῦν τὸ αὐτό, καὶ εὐθύς. Ταχὺ προκαταλαβέτωσαν, Τρισάγιον καὶ τὰ λοιπὰ κατὰ τάξιν. Ὥρα, θ'. Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ'. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν. Ἐν ἐξόδῳ Ἰσραήλ... Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι... Δόξα καὶ νῦν, Ἀλληλούια γ'. Κύριε ἐλέησον γ'. Δόξα, Ἀπεστρέφετο ποτὲ ὁ Ἰορδάνης ποταμός, Καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ εὐθὺς τὰ τροπάρια ἐκ δευτέρου, ἦχος βαρύς· Θάμβος ἦν κατιδεῖν, ἦχος δ'. στίχος· Διά τοῦτο μνησθήσομαί σου, Ὅτε πρὸς αὐτὸν ἐρχόμενον ὁ Πρόδρομος... στίχος· Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσαν, Δόξα, ἦχος. πλ. α'. Τὴν χεῖρά σου τὴν ἁψαμένην, τὴν ἀκήρατον κορυφὴν τοῦ Δεσπότου γ'. Καὶ νῦν τὸ αὐτό, εἶτα γίνεται ἡ εὐφήμη κατὰ τὴν συνήθειαν, μεθ' ἣν· Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος καὶ τὰ λοιπὰ συνήθως, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, τὸ κοντάκιον· Ἐν τοῖς ῥείθροις σήμερον, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ, Τὴν τιμιωτέραν, ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας. Οἱ μακαρισμοὶ χῦμα, τὸ· Πιστεύω, Ἄνες, ἄφες, Πάτερ ἡμῶν, τὸ κοντάκιον, Κύριε ἐλέησον μ'. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, Εὐλογήσω τὸν Κύριον, Τὴν τιμιωτέραν καὶ γίνεται ἀπόλυσις.

Ἰστέον, ὅτι ἐν ταῖς δυσὶ ταύταις καὶ μόναις δεσποτικαῖς ἑορταῖς, γίνεται ἡ εὐφήμη, οὐ μὴν δὲ καὶ ἐν τῇ ἀναστασίμῳ, ψάλλονται γὰρ τότε ὕστερον τῆς θ'. ὥρας τὰ ἰδιόμελα, τῶν μὲν Χριστοῦ Γέννων τὸ· Σήμερον γεννᾶται ἐκ Παρθένου, τῶν δὲ Φώτων· Τὴν χεῖρά σου τὴν ἁψαμένην, Δόξα, παρὰ τοῦ ἐναρξαμένου χοροῦ. Καὶ τούτου πληρωθέντος, εἰσέρχεται εἰς τὸ μέσον ὁ κανονάρχης καὶ ἀναγινώσκει ταῦτα μεγαλοφώνως καὶ λέγει καὶ τὴν εὐφημίαν, εἶτα ψάλλουσι καὶ νῦν, τὸ αὐτὸ πάλιν, οἱ δύο χοροὶ ὁμοῦ, ἕτεροι δὲ ψάλλουσι ταῦτα καὶ δίχορα.

В) Τάξις[1]) γινομένη ἐπί τε τῷ ἑσπερινῷ, τῷ ὄρθρῳ, (καὶ) τῇ θείᾳ καὶ ἱερᾷ λειτουργίᾳ[2]).

(По каноническому рукописному сборнику XV вѣка библіотеки русскаго Андреевскаго скита на Аѳонѣ).

Τῷ σαββάτῳ ἑσπέρᾳ, μετὰ τὸ συναχθῆναι τὸν κλῆρον, ἀπέρχονται εἰς τὸ κελλίον τοῦ μητροπολίτου καὶ λαμβάνει τὸ μονοβάμβουλον ὁ ὀστιάριος εἰ ἔνι, εἰ δὲ μή, ἕτερός τις τῶν ἐκκλησιαστικῶν, καὶ ἅπτει τὴν λαμπάδαν, καὶ προπορευομένου τοῦ κλήρου καὶ τοῦ λαοῦ ἔμπροσθεν τοῦ ἀρχιερέως, εἰσέρχεται ὁ ἀρχιερεὺς εἰς τὴν ἐκκλησίαν καὶ προσκυνεῖ μέσον τῆς ἐκκλησίας ἱστάμενος, ἔπειτα ἀσπάζεται τὴν εἰς τὸ μέσον τοῦ ναοῦ ἱσταμένην ἁγίαν εἰκόνα καὶ ἀνέρχεται εἰς τὸ στασίδειον αὐτοῦ, καὶ ψάλλουσιν ἐκ τρίτου οἱ κληρικοὶ μετὰ τὸ ἀνελθεῖν αὐτὸν ἐκεῖσε τό· Τὸν δεσπότην καὶ ἀρχιερέα ἡμῶν Κύριε, φύλαττε, μετὰ μέλους. Μετὰ δὲ τὸ συμπληρωθῆναι τοῦτο παρ' αὐτῶν, ἐπευλογεῖ αὐτοὺς ἐκ τρίτου ὁ ἀρχιερεύς, ἐπιφωνούντων αὐτῷ τό· Εἰς πολλὰ ἔτη δέσποτα. Εἶτα γίνεται ἔναρξις τῆς ἀκολουθίας, τοῦ μὲν διακόνου ἐκφωνοῦντος τό· Εὐλόγησον δέσποτα, τοῦ δὲ ἱερέως ἢ Εὐλογητὸς ὁ Θεὸς, ἢ Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν, καὶ ἐξῆς ἐκτελεῖται συνήθως ἡ ἀκολουθία. Εἰς δὲ τὸ δόξα, ἐνδύονται οἱ ἱερεῖς ἐντὸς τοῦ βήματος τὰ φαινόλια αὐτῶν καὶ οἱ διάκονοι καὶ ἐξέρχονται ἀπὸ τοῦ μέρους τῆς προθέσεως, καὶ ἀπέρχονται πλησίον τῶν ὡραίων πυλῶν τοῦ ναοῦ, καὶ στιχηδὸν στάντων τῶν ἱερέων καὶ τῶν διακόνων ἐκεῖσε κατὰ τάξιν, πορεύεται ὑποδιάκονος, κρατῶν θυμιατήριον καὶ μανουάλια δύο, ἐνδεδυμένος καμμύσιον· καὶ τὰ μὲν μανουάλια τίθησιν ἔμπροσθεν αὐτῶν περὶ τὰ μέσα, τὸ δὲ θυμιατήριον δίδωσι τῷ δευτερεύοντι τῶν διακόνων, αὐτὸς

---

[1]) Въ оглавленіи настоящей рукописи этотъ чинъ обозначается такъ: Τάξις, γινομένη ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπί τε τῷ ἑσπερινῷ. τῷ ὄρθρῳ, τῇ θείᾳ καὶ ἱερᾷ λειτουργίᾳ καὶ ἐπὶ τῇ χειροτονίᾳ τοῦ ἐπισκόπου. Упоминаніе о чинѣ епископской хиротоніи имѣется и въ самомъ надписаніи даннаго памятника, такъ какъ въ немъ, послѣ чиновъ суточнаго богослуженія, изложенъ и порядокъ чина архіерейской хиротоніи, но мы опустили эти послѣднія слова, имѣя въ виду издать данный чинъ въ другомъ мѣстѣ. [2]) Переводъ этого чина напечатанъ нами въ книгѣ: «Современное богослуженіе на православномъ востокѣ» вып. I. Кіев. 1891. г. стр. 44—54.

δὲ ἀπέρχεται καὶ ἵσταται ὄπισθεν μεταξὺ τοῦ τε πρώτου τῶν ἱερέων καὶ τοῦ δευτερεύοντος τῶν διακόνων. Καὶ ἡνίκα πληρωθῇ τὸ στιχηρόν, ἐκφωνεῖ ὁ δευτερεύων τῶν διακόνων, μικρὸν προβὰς τό· Σοφία ὀρθοί, σφραγίζων σταυροειδῶς μετὰ τοῦ θυμιατηρίου, (**π. 323.**] καὶ ἀπέρχονται οἱ ἔσχατοι διάκονοι καὶ λαμβάνουσι τὰ μανουάλια καὶ προπορεύονται τῆς εἰσόδου, καὶ γίνεται ἡ εἴσοδος μέχρι καὶ ἐντὸς τοῦ ἁγίου βήματος. Ὁ δὲ ὑποδιάκονος ὑποστρέφει ἀπὸ τοῦ μέρους, ὅθεν ἐξῆλθεν ἡ εἴσοδος, καὶ εἰσέρχεται καὶ αὐτὸς ἐκεῖθεν εἰς τὸ ἅγιον βῆμα. Ἐν ὅσῳ δὲ ἔρχεται ἡ εἴσοδος, προπορεύεται μετὰ τοῦ θυμιατηρίου ὁ δευτερεύων τῶν διακόνων καὶ ἵσταται ἔμπροσθεν τοῦ στασιδείου τοῦ ἀρχιερέως καὶ θυμιᾷ αὐτόν, εἶτα ἀπέρχεται καὶ ἐνοῦται τοῖς ἱερεῦσι, καὶ πρῶτος οὗτος εἰσέρχεται αὐτὸς τὴν σολαίαν καὶ οὕτω τελεῖται τὰ τῆς εἰσόδου. Ψαλλομένου δὲ μετὰ ταῦτα τοῦ προκειμένου παρὰ τοῦ δομεστίκου ἢ τοῦ λαοσυνάκτου ἐν τῷ ἄμβωνι, συνόντων αὐτῷ καὶ συμψαλλόντων καὶ τῶν ψαλτῶν, κάθηται ὁ ἀρχιερεὺς καὶ οἱ εὑρεθέντες ἐκεῖσε ἐπίσκοποι, κάθηνται δὲ ὁμοίως καὶ οἱ ἐξωκατάκυλοι. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἀκολουθίας, ψάλλουσιν ἅπαντες ὁμοῦ τό· Στερέωσον ὁ Θεός, τοὺς βασιλεῖς ἡμῶν, ναὶ Κύριε, εἰς πολλὰ ἔτη, διαφύλαττε τὴν ἁγίαν βασιλείαν αὐτῶν, ἔτι δὲ καὶ τό· Τὸν δεσπότην καὶ ἀρχιερέα ἡμῶν Κύριε, φύλαττε. Καὶ συμπληρωθέντος τούτου δοξάζει ὁ ἀρχιερεύς, καὶ γίνεται ἀπόλυσις ἀπὸ τοῦ ἱερέως, εἶτα ψάλλουσι συνήθως πάλιν οἱ κληρικοὶ μεγαλοφώνως τό· Πολυχρόνιον ποιήσαι ὁ Θεός, τὴν ἁγίαν βασιλείαν αὐτῶν εἰς πολλὰ ἔτη, καὶ τό· Τὸν δεσπότην καὶ ἀρχιερέα ἡμῶν, Κύριε, φύλαττε. Καὶ μετὰ τοῦτο εὐλογεῖ αὐτοὺς ἐκ τρίτου ὁ ἀρχιερεύς, ἐπιφωνούντων κάτωθεν πάντων τό· Εἰς πολλὰ ἔτη δέσποτα, καὶ κατέρχεται ἀπὸ τοῦ στασιδείου αὐτοῦ, καὶ προπορευομένων τῶν κληρικῶν μετὰ τοῦ μονοβαμβούλου, ὡς καὶ τὴν ἀρχήν. ἀπέρχεται μέχρι καὶ τοῦ κελλίου αὐτοῦ, κἀκεῖσε συνήθως τοῦ κλήρου καὶ τοῦ λαοῦ εἰπόντος τό· Εἰς πολλὰ ἔτη δέσποτα, ὁ ἀρχιερεὺς εὐλογεῖ αὐτοὺς ἅπαξ καὶ ἀπολύει. Τοῦτο δὲ ποιεῖ ὁμοίως καὶ ὅτε ἐξέρχεται τοῦ κελλίου αὐτοῦ πρὸς τὸ εἰς ἐκκλησίαν ἐλθεῖν, ἤτοι τῷ σαββάτῳ ἑσπέρᾳ, τῇ κυριακῇ πρωὶ καὶ κατὰ τὰς ἐπισήμους τῶν ἑορτῶν.

Εἰς δὲ τὸν ὄρθρον λαμβάνουσι τὸ μονοβάμβουλον οἱ ἄνθρωποι τοῦ ἀρχιερέως, ἅπτοντες τὴν ἐν αὐτῷ λαμπάδαν καὶ κατέρχονται μετὰ τοῦ ἀρχιερέως εἰς τὸν ναὸν καί, ὅτε εἰσέρχεται, οἱ παρευρεθέντες ἐκεῖσε κληρικοὶ καὶ ὁ λοιπὸς λαὸς ἀπέρχονται εἰς συνάντησιν αὐτοῦ καὶ λέγουσι τό· Εἰς πολλὰ [**οβ.**) ἔτη δέσποτα, καὶ εὐλογεῖ ἅπαξ αὐτοὺς καὶ

ἀνέρχεται εἰς τὸ στασίδειον αὐτοῦ, καὶ γίνεται ἡ ἀκολουθία κατὰ τὴν συνήθειαν. Εἰς δὲ τὴν μεγάλην δοξολογίαν γίνεται ἡ εἴσοδος πάλιν, ὥσπερ εἴρηται ἐν τῷ ἑσπερινῷ. Ψαλλόντων τῶν ἱερέων τό· Ὑπερευλογημένη ὑπάρχεις, μέχρι τέλους [1]), πλὴν εἰς τὴν τοιαύτην εἴσοδον ἔμπροσθεν τῶν μανουαλίων προπορεύεται ἀναγνώστης μετὰ φαινολίου μεταξωτοῦ, κρατνῶ ἐν ταῖς χερσὶν αὐτοῦ σταυρὸν μέγαν, καὶ ὁ μὲν ἀναγνώστης μετὰ τοῦ σταυροῦ ἵσταται μέσον τῶν μανουαλίων. Ὅταν δὲ ὑποστρέφωσιν εἰς τὸ βῆμα, αὐτὸς προπορεύεται καὶ ἔρχεται μέχρι καὶ ἐκτὸς τῆς σολαίας καὶ ἵσταται ἐκεῖσε. Εἰσελθόντων δὲ τῶν ἱερέων ἐντὸς τοῦ βήματος, ἀνέρχεται ἀναγνώστης μέχρι δύο βαθμίδων τοῦ ἄμβωνος καὶ λέγει μετὰ μέλους τό· Δόξα ἐν ὑψίστοις Θεῷ. Πληρωθείσης δὲ τῆς μεγάλης δοξολογίας ἐντὸς τοῦ βήματος παρά τε τῶν ἱερέων καὶ τῶν διακόνων, ἀνέρχεται πάλιν ὁ αὐτὸς ἀναγνώστης καὶ ψάλλει μετὰ μέλους τό· ψαλμὸς τοῦ Δαβίδ, εἶτα τό· Ἀνάστηθι Κύριε, καὶ τοὺς λοιποὺς στίχους. Καὶ κατέρχεται ὁ τοιοῦτος ἀναγνώστης, καὶ ἀνέρχεται ὁ δομέστικος ἢ ὁ λαοσυνάκτης μέχρι καὶ τριῶν βαθμίδων τοῦ ἄμβωνος καὶ ψάλλει μετὰ τῶν λοιπῶν ἀναγνωστῶν τὸ προκείμενον, ἀλλὰ δὴ καὶ ψάλλει ὁ δομέστικος ἐπὶ τὰ τέλη ἤχισμα. Ἐν ὅσῳ δὲ ψάλλει τὸ τοιοῦτον προκείμενον ὁ δομέστικος, ἐξέρχονται δύο ἀναγνῶσται μετὰ μανουαλίων καὶ δύο διάκο-

---

[1]) Въ потной рукописи Παπαδικὴ τέχνη XIV в. библ. Ватопедскаго аѳонскаго монастыря № 297 (931) данный моментъ описывается нѣсколько подробнѣе и съ особенностями, нелишенными литургическаго интереса. Предъ великимъ славословіемъ поется *потное* «Нынѣ и присно» и «Преблагословенна еси Богородице Дѣво» до словъ: «Воплощемубося изъ Тебе», а далѣе читаемъ: Εἰσοδεύοντες, λέγει ὁ δομέστικος ὑψηλοτέρᾳ φωνῇ· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν ὁ οὕτως εὐδωκήσας, καὶ ἀνέρχεται ὁ ἀναγνώστης μετὰ τοῦ σταυροῦ εἰς τὸν ἄμβωνα καὶ λέγει· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἄρχεται ὁ δομέστικος ἀσματικὸν ὕμνον· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, καὶ λέγουσιν οἱ ἱερεῖς τὸ ἐπίλοιπον. Ὁ δομέστικος· Ἀναστὰς ἐκ τοῦ μνήματος καὶ τὰ δεσμὰ διαρρήξας, καὶ λέγουσιν οἱ ἱερεῖς τὸ ἐπίλοιπον. Εἶτα ὁ δομέστικος τό· Δόξα Πατρὶ καὶ Υἱῷ, καὶ πάλιν οἱ ἱερεῖς τό· Ἀναστὰς ἐκ τοῦ μνήματος, ὁ δομέστικος γεγονωτέρᾳ· Ἀναστάς. Ψαλμὸς τῷ Δαβὶδ καὶ εὐθὺς λέγει ἀναγνώστης. Ἀνάσθητι Κύριε, (στιχ.) Ἐξομολογήσομαί σοι Κύριε, (στιχ.)· Εὐφρανθήσομαι καί, θεσσαλονικαῖον· Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, ἡ μεγαλὴ δοχή· Ἀνάσθητι Κύριε (ὁ Θεός μου, ὑψωθήτω) ἡ χείρ σου, μὴ ἐπιλάθου τῶν πενήτων σου εἰς τέλος.

νοι, ὄπισθεν δὲ τούτων, ἔρχεται ὁ ἱερεύς, κατέχων ἐν ταῖς χερσὶν αὐτοῦ τὸ ἅγιον εὐαγγέλιον, ἐνδεδυμένος τὴν ἱερατικὴν ἅπασαν στολήν, καὶ ἀνέρχεται ἐπὶ ἄμβωνος ἀπὸ τοῦ ὄπισθεν μέρους καὶ κάθηται μετὰ τῶν διακόνων μέχρις ἂν πληρώσωσιν οἱ ἀναγνῶσται μετὰ τοῦ δορμεστίκου τὸ προκείμενον καὶ τό· Πολυχρόνιον ποιήσαι τὴν ἁγίαν βασιλείαν αὐτῶν, καὶ τό· Τὸν δεσπότην καὶ ἀρχιερέα. Ἡνίκα δὲ λέγουσι τό· Πολυχρόνιον ποιήσαι καὶ τὰ ἑξῆς, ἀνίσταται ὁ ἱερεὺς καὶ οἱ διάκονοι· καὶ οἱ μὲν διάκονοι κατέρχονται μέχρι βαθμίδων τριῶν, οἱ δὲ ἀναγνῶσται μετὰ τῶν μανουαλίων ἵστανται εἰς τὴν δευτέραν βαθμίδα, καὶ ἐπάνω τούτων τίθησι τὸ ἅγιον εὐαγγέλιον ὁ ἱερεύς. Καὶ λέγει ἀπὸ τοῦ ἁγίου βήματος ὁ δευτερεύων τῶν διακόνων τό· Σοφία ὀρθοὶ ἀκούσωμεν [π. **324**] τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ ἱερεὺς τὸ τοῦ ἁγίου εὐαγγελίου ὄνομα καὶ ἑξῆς τὸ ἅγιον εὐαγγέλιον. Καὶ μετὰ τὴν συμπλήρωσιν τούτου, ἐπαίρει ὁ εἷς τῶν διακόνων τὸ ἅγιον εὐαγγέλιον καὶ ἀπέρχεται εἰς τὸν ἀρχιερέα, καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον, καὶ εὐλογεῖ αὐτόν, ὁ δὲ ἱερεὺς ἵσταται εἰς τὴν ἐσχάτην βαθμίδα τοῦ ἄμβωνος καὶ προσμένει μέχρις ἂν ἔλθῃ ὁ διάκονος. Καὶ ἀφ' οὗ ἔλθῃ οὗτος, εἰσέρχεται πρῶτον ὁ ἀναγνώστης μετὰ τοῦ σταυροῦ ἐντὸς τοῦ ἁγίου βήματος, εἶθ' οὕτως οἱ ἀναγνῶσται, ὁ κατέχων τὸ ἅγιον εὐαγγέλιον διάκονος καὶ ὁ ἱερεύς. Καὶ τοῦ ἑτέρου διακόνου τὰς ἐωθινὰς αἰτήσεις λέγοντος, οἱ ὄντες ἱερεῖς καὶ οἱ διάκονοι ἐντὸς τοῦ βήματος ἐκδιδύσκονται τὰς ἀλλαγὰς αὐτῶν καὶ ἐξέρχονται, μόνος δὲ ὁ ἱερεύς, ὃς εἶπε τὸ ἅγιον εὐαγγέλιον, ἐναπομένει καὶ ποιεῖ τὴν ἀπόλυσιν. Καὶ μετὰ τὴν ἀπόλυσιν γίνεται πάλιν ἡ πολυχρόνησις τῶν ἁγίων βασιλέων, καθὰ καὶ ὡς εἴρηται ἐν τῷ ἑσπερινῷ, καὶ ἐπευλογεῖ ὁ ἀρχιερεὺς καὶ τότε ἐκ τρίτου, ἀλλὰ δὴ καὶ ἡ λοιπὴ ἀκολουθία τελεῖται, καθὼς προεγράφη ἐν τῇ ἀπολύσει τοῦ μικροῦ ἑσπερινοῦ.

Εἰς τὴν λειτουργίαν δὲ κατέρχεται ὁ ἀρχιερεὺς μεθ' ὧν τύχει καὶ ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ, καὶ γίνεται ἡ ἀκολουθία κατὰ τὴν συνήθην. Καὶ μετὰ τὴν ὕψωσιν τῶν ἁγίων δώρων κατέρχεται ὁ ἀρχιερεὺς ἀπὸ τοῦ στασιδείου αὐτοῦ καὶ ἵσταται ἔμπροσθεν αὐτοῦ καὶ διανέμει τὸ ἀντίδωρον πρὸς τὸν λαόν. Ἐπὶ δὲ τὸ τέλος τῆς λειτουργίας γίνεται ἡ πολυχρόνησις τῶν ἁγίων βασιλέων κατὰ τὴν συνήθην καὶ ἡ παρὰ τοῦ ἀρχιερέως εὐλόγησις εἰς τὸν λαόν.

Ὅτε δὲ μέλλῃ λειτουργῆσαι ὁ ἀρχιερεύς, συνάγονται οἵ τε ἐξωκατάκυλοι καὶ οἱ λοιποὶ ἄρχοντες τῶν διακόνων, καὶ ὅσοιπερ βούλονται, ἵνα λειτουργήσωσιν, ἐντὸς τοῦ στασιδείου αὐτοῦ, καὶ ἐνδιδύσκονται τὰ στιχάρια αὐτῶν, ὡσαύτως καὶ ὁ κανστρίσιος καὶ ὁ ἱερομνήμων, καὶ ἀλάσσει

ὁ ἀρχιερεὺς τὴν ἀλλαγὴν αὐτοῦ παρά τε τῶν εἰρημένων δύο ἀρχόντων, τοῦ κανστρισίου λέγω καὶ τοῦ ἱερομνήμονος, καὶ ἐγχειρίζει ὁ ἀρχιερεὺς τῷ κανστρισίῳ τὸ κανστρίσιον καὶ ἀσπάζεται τὴν χεῖρα αὐτοῦ, ὡσαύτως καὶ τῷ ἱερομνήμονι τὸ κοντάκιον καὶ ἀσπάζεται καὶ αὐτὸς παραπλησίως. Εἶτα ἐξέρχεται ἀπ' ἐκεῖσε καὶ ἀπέρχεται εἰς τὸ δεξιὸν μέρος τῶν ὡραίων πυλῶν, κατεχόμενος ἀπό τε τῶν δύο μέρων παρὰ τῶν [об.] προτευόντων δύο ἐξωκατακύλων εἴπερ εἰσίν, εἰ δὲ μή, παρά τε τοῦ κανστρισίου καὶ τοῦ ἱερομνήμονος. Ἐξερχομένου δὲ τοῦ ἀρχιερέως ἀπὸ τοῦ στασιδείου αὐτοῦ, λέγουσιν οἱ ψάλται μεγαλοφώνως τό· Εἰς πολλὰ ἔτη δέσποτα, καὶ εὐλογεῖ αὐτοὺς ἅπαξ. Πρὸ τοῦ δὲ τὸν ἀρχιερέα καταντῆσαι εἰς τὸν τεταγμένον τόπον, καθὼς εἴρηται, ἀπέρχεται ὁ ἐπὶ τῆς ποδαίας ἔμπροσθεν, καὶ ὑφαπλῶν τὴν τεταγμένην ποδαίαν τῆς ἀλλαγῆς, ἀλλὰ δὴ τίθησι καὶ τὸ τεταγμένον σελλίον, καὶ κάθηται ὁ ἀρχιερεύς, παρίστανται δὲ τούτῳ παρ' ἑκάτερα τὰ μέρη οἱ μέλλοντες ἱερουργῆσαι διάκονοι κἀκεῖσε (ποιεῖ,) εἴπερ βούλεται ποιεῖν ἀναγνώστας, ὑποδιακόνους καὶ ὀφφικιαλίους, εἶτα γίνεται ἡ ἔναρξις τῆς θείας λειτουργίας. Καὶ γινομένης τῆς ἀκολουθίας [1]) ἔρχονται μόνοι οἱ ἱερεῖς ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου ἄνευ τοῦ ἱερέως τοῦ ποιήσαντος τὴν ἔναρξιν καὶ ἵστανται κατὰ τὴν συνήθη τῶν λοιπῶν εἰσόδων πλησίον τῶν ὡραίων πυλῶν. Καὶ πρὸ τῆς εἰσόδου ἀπέρχεται ὁ χαρτοφύλαξ ἢ ἕτερος τῶν ἐξωκατακύλων μετὰ τοῦ κανστρισίου καὶ τοῦ ἱερομνήμονος, εἰ δὲ μή, ἕτερος ὁ φέρων τὰ πρωτεῖα τῶν εὑρισκομένων ἐκεῖσε διακόνων μεθ' ἑτέρων δύο διακόνων, καὶ καλεῖ τοὺς ἐπισκόπους καὶ φέρων αὐτοὺς ἵστησιν ἐν τῷ τόπῳ ἄνωθεν, ἔνθα οἱ ἱερεῖς ἵστανται, ἐν ταὐτῷ δὲ ἀπέρχεται ὁ ἀρχιερεὺς ἐν τῷ

---

[1]) Въ той же Ватопедской рукописи № 297 (931) и въ рукописи XV в. Аѳинскаго Университета № 899 излагается подробно и порядокъ изобразительныхъ въ чинѣ литургіи великой церкви. Въ Ватопедской рукописи читаемъ: Ἄρχεται πρῶτον τὰ τυπικὰ καὶ καθεξῆς ἡ θεία λειτουργία· Εὐλόγει ἡ ψυχή μου... τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, ὕστερον (Аѳин. ркп. πάλιν) λέγεται τοῦτο (Аѳ. ркп. τὸ αὐτὸ γεγονωτέρᾳ φωνῇ)· Εὐλόγει ἡ ψυχή μου... εὐλογητὸς εἶ Κύριε. (Аѳ. ркп. Καὶ μεθ' οὗ πληρωθῇ τοῦτο γίνεται μικρὰ συναπτὴ καὶ μετὰ τὴν ἐκφώνησιν ἄρχεται τὸ δεύτερον ἀντίφωνον δεύτερος χορός.) Εἶτα γίνεται πάλιν συναπτὴ καὶ εὐθὺς οἱ μακαρισμοὶ κατ' ἦχον (изложенъ первый стихъ на всѣ восемь гласовъ). Εἰς τὴν εἴσοδον· Δεῦτε προσκυνήσωμεν... Τοῦ λίθου σφραγισθέντος... εἶτα γίνεται εὐφημὴ τῶν βασιλέων ἐντὸς τοῦ βήματος.

τεταγμένῳ τόπῳ τῆς εἰσόδου καὶ συνίσταται τοῖς ἐπισκόποις, ἱερεῦσι τε καὶ διακόνοις. Ἱσταμένων δὲ τούτων ἐκεῖσε, ἔρχεται ὁ ἱερεὺς ὁ τὴν ἔναρξιν ποιήσας μετὰ διακόνου. Καὶ ὁ μὲν διάκονος φέρει ἔμπροσθεν τοῦ στήθους τὸ ἅγιον εὐαγγέλιον, ὁ δὲ ἱερεὺς ἕπεται τούτῳ οὕτως· προπορεύονται δὲ τούτων ἔμπροσθεν ἀναγνῶσται μετὰ μανουαλίων· καὶ οἱ μὲν ἀναγνῶσται ἱστᾶσι τὰ μανουάλια εἰς τὸν τεταγμένον τόπον καὶ ἀπέρχονται, ὁ δὲ διάκονος δίδωσι τὸ ἅγιον εὐαγγέλιον τῷ δευτερεύοντι τῶν διακόνων, καὶ ἀσπάζεται αὐτὸ ὁ ἀρχιερεὺς εἰς τὰς χεῖρας αὐτοῦ, καὶ μετὰ τὸ ἀσπάσασθαι αὐτὸ εὐλογεῖ τὸν ἱερέα τὸν ποιήσαντα τὴν ἔναρξιν, εἶτα λέγει τὴν εὐχὴν τῆς εἰσόδου ὁ ἀρχιερεύς. Μετὰ δὲ τὴν εὐχὴν λέγει ὁ δευτερεύων τῶν διακόνων πρὸς τὸν ἀρχιερέα· Εὐλόγησον δέσποτα, τὴν ἁγίαν εἴσοδον. Καὶ εὐλογεῖ μέσον, λέγων τό· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τότε μικρὸν προβὰς τῆς [π. 325) στάσεως τῆς εἰσόδου ὁ δευτερεύων τῶν διακόνων, ἢ μὴ ὄντος τοῦ τοιούτου, ἕτερος τῶν διακόνων λέγει μεγαλοφώνως, ἐγχαράττων καὶ σταυρὸν μετὰ τοῦ ἁγίου εὐαγγελίου τό· Σοφία ὀρθοί. Τότε ἀπέρχονται οἱ ἔσχατοι διάκονοι, ἐπαίροντες τὰ μανουάλια καὶ γίνεται ἡ εἴσοδος, πορευόμενοι δύο δύο. Ὅτε δὲ κινήσῃ ὁ ἀρχιερεὺς, ὄντων τῶν ἀναγνωστῶν παρ' ἑκάτερα τὰ μέρη τούτου, λέγουσι τό· Εἰς πολλὰ ἔτη δέσποτα, πλὴν ψθέγγονται τοῦτο ἐκ τρίτου μέχρις ἂν ἔλθῃ εἰς τὴν σολαίαν. Ὅτε δὲ μέλλῃ εἰσελθεῖν εἰς τὸ ἅγιον θυσιαστήριον, κλείουσι τὰς ἁγίας πύλας αὐτοῦ, καὶ ἀσπάζεται ὁ ἀρχιερεὺς τὰς ἁγίας εἰκόνας, ὁποῖαι τῶν ἁγίων εὑρίσκονται. Καὶ τότε λέγουσι μεγαλοφώνως οἱ ψάλται συνεχῶς τό· Εἰς πολλὰ ἔτη δέσποτα. Καὶ ἀνοίγουσι καὶ εἰσέρχεται ὁ ἀρχιερεύς, καὶ ψαλλόντων τὸ ἀπολυτίκιον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, θυμιᾷ ὁ ἀρχιερεὺς γύρωθεν τὴν ἁγίαν τράπεζαν. Εἶτα λαμβάνει ἀπὸ τοῦ ὑποδιακόνου δικήριον καὶ ποιεῖ σταυρὸν μετ' αὐτοῦ ἔμπροσθεν αὐτοῦ καὶ προσκυνεῖ. καὶ γίνεται τοῦτο τρίτον, εἶτα δίδωσι τοῦτο τῷ ὑποδιακόνῳ. Μετὰ ταῦτα γίνεται ἡ εὐφήμη τῶν ἁγίων βασιλέων καὶ τοῦ ὄντος τότε ἀρχιερέως. Τότε λέγει ὁ δομέστικος εἷ ἕνι ἀπὸ τῶν τεταγμένων βαϑμίδων τοῦ ἄμβωνος τό· Κύριε, τοὺς βασιλέας, εἶτα ὁ λαοσυνάκτης τό· Καὶ ἐπάκουσον ἡμῶν. Καὶ ἕτερος τῶν ἀναγνωστῶν τό· δόξα, εἶτα λέγουσι τὸ κοντάκιον. Καὶ ὁ δευτερεύων τῶν διακόνων λέγει πρὸς τὸν ἀρχιερέα τό· Εὐλόγησον δέσποτα, τὸν τρισάγιον ὕμνον, προφέρων διὰ τῆς δεξιᾶς αὐτοῦ χειρὸς τὸ ἄκρον τοῦ ὡραρίου. Καὶ ὁ ἀρχιερεὺς λέγει· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Καὶ δείκνυσιν ὁ δευτερεύων τῶν διακόνων πρὸς τοὺς ἔξω-

θεν ἱσταμένους τὸ ὡράριον αὐτοῦ. Καὶ ψάλλουσιν ἔξωθεν οἱ ψάλται τὸν τρισάγιον ὕμνον ἐκ τρίτου, καὶ λέγει ὁ ἀρχιερεὺς τὴν εὐχὴν τοῦ τρισαγίου, ψάλλεται δὲ καὶ ἐντὸς ὑπὸ τῶν λειτουργούντων ἅπαξ. Καὶ ὁ ψάλτης ἐκτὸς τό· Εὐλογήσατε, κηρύττω δόξαν, καὶ οἱ ψάλται ψάλλουσι τό· δόξα μετὰ μέλους καὶ ἀργίας, καὶ τότε λαμβάνει ὁ ἀρχιερεὺς τὸ τρικήριον ἀπὸ τοῦ ὑποδιακόνου καὶ ποιεῖ ἔμπροσθεν τῆς ἁγίας τραπέζης, προκειμένου τοῦ ἁγίου εὐαγγελίου, σταυροὺς τρεῖς, καὶ προσκυνεῖ λέγων καθ' ἓν ἕκαστον προσκύνημα τό· Κύριε, Κύριε, ἐπίσκεψαι [об.) τὴν ἄμπελον ταύτην καὶ κατάρτισον αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Καὶ πάλιν ψάλλεται ὁ τρισάγιος ὕμνος ἐντὸς τοῦ θυσιαστηρίου κύκλωθεν ἱσταμένων τῆς ἁγίας τραπέζης παρὰ τῶν ἱερουργούντων, καὶ οἱ ψάλται ἐκτὸς ψάλλουσι τό· δύναμις καὶ λέγουσι τὸν τρισάγιον ὕμνον μετὰ μέλους καὶ ἀργίας. Καὶ ἵνα φθάσῃ ὁ ἀρχιερεὺς καὶ στῇ εἰς τὸ σύνθρονον, τότε πάλιν ψάλλουσιν οἱ ἐντὸς τοῦ βήματος ἱερουργοῦντες ὁμοῦ τὸν τρισάγιον ὕμνον μετ' ἀργίας. Καὶ ὅτε λέγῃ τό· Ἅγιος ὁ Θεός. εὐλογεῖ ὁ ἀρχιερεύς, καὶ πάλιν εἰς τό· Ἅγιος ἰσχυρός, ὁμοίως, ὡσαύτως καὶ εἰς τό· Ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. Καὶ τελειωθέντος τούτου κάθηται ὁ ἀρχιερεὺς εἰς τὸ σύνθρονον, οἱ δὲ ἐπίσκοποι καὶ ἱερεῖς μερίζονται ἔνθεν κἀκεῖθεν παρισταμένων τῶν ἐπισκόπων. Καὶ λέγεται ὁ ἀπόστολος ἐπὶ ἄμβωνος. Καὶ εὐλογεῖ ὁ ἀρχιερεὺς τὸν πρῶτον ἐπίσκοπον ἢ ἱερέα, καὶ πληρωμένου τοῦ ἀπόστολου, λέγει ὁ εὐλογηθεὶς ἐπίσκοπος ἢ ἱερεὺς πρὸς τὸν εἴποντα τὸν ἀπόστολον· Εἰρήνη σοι. Καὶ ψάλλουσιν οἱ ψάλται τό· Ἀλληλούια. Ἐν ὅσῳ δὲ ψάλλουσι τὸ τοιοῦτο, θυμιᾷ ὁ δευτερεύων τῶν διακόνων τὴν ἁγίαν τράπεζαν γύρωθεν, τὸν ἀρχιερέα καὶ πάντας τοὺς ἱερουργοῦντας, τότε καὶ ὁ μέλλων εἰπεῖν τὸ εὐαγγέλιον, ὁ χαρτοφύλαξ, ἢ ἄλλος, ὁ ἔχων τὰ προτεῖα ἀπὸ τοῦ ὀφφικίου, κατέρχεται ἀπὸ τοῦ ἀρχιερέως μετὰ δύο διακόνων καὶ ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ προσκυνεῖ τρίτον, καὶ λαμβάνει τὸ ἅγιον εὐαγγέλιον, καὶ ἀφ' οὗ λάβῃ αὐτό, λέγει τῷ ἀρχιερεῖ· Εὐλόγησον δέσποτα, τὸν εὐαγγελιστὴν Ματθαῖον ἢ Μάρκον, ἢ Λουκᾶν, ἢ Ἰωάννην. Καὶ λέγει ὁ ἀρχιερεύς· Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου καὶ εὐαγγελιστοῦ Ματθαίου, ἢ Μάρκου, ἢ Λουκᾶ, ἢ Ἰωάννου δῴη σοι ῥῆμα τῶν εὐαγγελιζομένων εἰρήν(ς) πολλὴν ὁ βασιλεὺς τῶν δυνάμεων. Καὶ ἐξερχομένου τοῦ τοιούτου, προπορεύονται ἀναγνῶσται δύο μετὰ μανουαλίων, μετὰ τούτους οἱ διάκονοι, εἶτα ὁ εὐαγγελιστής, ὁποῖος ἐστί, καὶ ἐξέρχονται ἀπὸ τοῦ δεξιοῦ μέρους τῆς σολαίας, καὶ ἀνέρχονται ἀπὸ τοῦ ὄπισθεν μέρους εἰς τὸν ἄμβωνα, καὶ ἵστανται εἰς τὸν τεταγμένον τόπον αὐτῶν. Ψαλλόντων δὲ τῶν ἀναγνωστῶν τὸ

τελευταῖον Ἀλληλούια τοῦ ἀποστόλου μετὰ μέλους καὶ ἀργίας, ἀνίσταται ὁ ἀρχιερεὺς ἀπὸ τοῦ συνθρόνου καὶ ἐκδιδύσκουσι τὸ ὠμοφόριον αὐτοῦ, καὶ στρέφεται [л. 326) κατὰ ἀνατολὰς ἐκεῖσε ἱστάμενος καὶ λέγει τὸν ψαλμὸν, Κλῖνον, Κύριε, τὸ οὖς σου, μέχρι τέλους. Καὶ ὅτε εἴπῃ ὁ δευτερεύων τῶν διακόνων τό· Σοφία ὀρθοί ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου, τότε στρέφεται πρὸς τὸ εὐαγγέλιον ὁ ἀρχιερεύς. Καὶ τελειωθέντος τοῦ ἁγίου εὐαγγελίου, λέγει ὁ ἀρχιερεὺς πρὸς τὸν εἰπόντα τὸ ἅγιον εὐαγγέλιον τό· Εἰρήνη σοι. Εἶτα κατέρχεται ὁ ἀρχιερεὺς καὶ οἱ λοιποί, καὶ ὁ μὲν ἀρχιερεὺς ἀπέρχεται καὶ ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, οἱ δ' ἕτεροι εἰς τὸν τεταγμένον τόπον αὐτῶν, ὁ δὲ εὐαγγελιστὴς φέρει τὸ ἅγιον εὐαγγέλιον καὶ ἀσπάζεται αὐτὸ ὁ ἀρχιερεὺς καὶ εὐλογεῖ αὐτόν. Εἶτα γίνεται ἡ ἀκολουθία κατὰ τὴν συνήθη, τοῦ ἱερομνήμονος κατέχοντος τὸ κοντάκιον τοῦ ἀρχιερέως καὶ ὑπερετοῦντος δι' ὅλου αὐτῷ μετὰ πάσης ἀκριβείας καὶ συντηρήσεως εἰς τὴν τῶν ἱερῶν καὶ θείων εὐχῶν ἀποπλήρωσιν. Εἰς δὲ τὴν εἴσοδον τῶν ἁγίων δώρων ἀπέρχεται ὁ ὑποδιάκονος καὶ δίδωσι τῷ ἀρχιερεῖ καὶ νίπτει τὰς χεῖρας αὐτοῦ, καὶ ἀπέρχονται ἅπαντες, ἄνευ μόνον τοῦ ἀρχιερέως καὶ τῶν ἐπισκόπων, εἰς τὴν πρόθεσιν, καὶ λαμβάνει εἷς ἕκαστος ἱερὸν σκεῦος τῶν ἁγίων, ὁ δὲ εἰπὼν τὸ ἅγιον εὐαγγέλιον κρατεῖ τὸν ἅγιον δίσκον, τὸν φέροντα τὸ Σῶμα τὸ Δεσποτικόν. Καὶ ἐξερχομένης τῆς ἁγίας εἰσόδου ἀπεκεῖσε, προπορεύεται ὁ δευτερεύων τῶν διακόνων, ὃς καὶ προφέρει εἰς μὲν τὴν δεξιὰν χεῖρα αὐτοῦ τὸ ἅγιον θυμιατήριον, εἰς δὲ τὴν ἀριστερὰν μέσον τοῦ ἀγκῶνος αὐτοῦ τὸ ὠμοφόριον τοῦ ἀρχιερέως, ὄπισθεν δὲ πάντων τῶν ἁγίων ἱερέων ἐπιφέρει ὁ διάκονος ἐπὶ τῶν ὤμων αὐτοῦ τὸν ἀέρα, κατόπιν δὲ τούτου καὶ ὑποδιάκονος φέρων ἐν ταῖς χερσὶ χερνιβόξεστον καὶ μανδύλιον ἐπὶ τοῦ ὤμου αὐτοῦ. Καὶ γενομένης τῆς συνήθους ἀκολουθίας, εἰς τὰς μυστικὰς εὐχὰς ἐξέρχεται ὁ ὑποδιάκονος, οὐδὲν φέρων ἐν ταῖς χερσίν, ἀπὸ τοῦ ἀριστεροῦ μέρους τοῦ ἁγίου θυσιαστηρίου, καὶ ἵσταται ὄπισθεν τοῦ ἄμβωνος. Καὶ ὅτε ἐκφωνεῖ ὁ ἀρχιερεὺς τὸν ἐπινίκιον ὕμνον, ψάλλει ὁ τοιοῦτος ὑποδιάκονος μετὰ μέλους τό· Ὅσοι πιστοί, ἐκ τρίτου. Καὶ πάλιν, ὅτε ἐκφωνεῖ ὁ ἀρχιερεὺς τό· Λάβετε, φάγετε, ὁ ὑποδιάκονος ψάλλει μετὰ μέλους πάλιν τό· Ὅσοι πιστοί· ἐκ τρίτου, καὶ πάλιν· ὅτε ἐκφωνεῖ ὁ ἀρχιερεὺς τό· Ἐξεραίτως τῆς Παναγίας ἀχράντου, [об.) λέγει ὁ αὐτὸς ὑποδιάκονος ἐκ τρίτου τό· Ὅσοι πιστοί, εἶτα εἰσέρχεται πάλιν διὰ τοῦ ἀριστεροῦ μέρους εἰς τὸ ἅγιον βῆμα, καὶ ἔκτοτε γίνεται ἡ συνήθης ἀκολουθία τῆς θείας λειτουργίας. Μετὰ δὲ τὴν μετάληψιν τῶν ἁγίων δώρων δίδωσιν ὁ ὑποδιάκο-

νος τῷ ἀρχιερεῖ καὶ νίπτει τὰς χεῖρας[1]) ... τὸ τοιοῦτον δὲ ἀπόνιμμα ὁ αὐτὸς ὑποδιάκονος φέρων ἀπέρχεται καὶ ἐκχέει εἰς τὸν ἀποτεταγμένον τόπον, ἔνθα οἱ ἱερεῖς ἀπονίπτουσι. Τὴν ὀπισθάμβωνον δὲ εὐχήν, τό Ὁ εὐλογῶν τοὺς εὐλογοῦντας, λέγει ὁ τὴν προσκομιδὴν καὶ τὴν ἔναρξιν τῆς θείας λειτουργίας ποιήσας. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς εὐχῆς ταύτης, ἐπιτίθησι τοῖς αὐτοῖς ὁ ἀρχιερεὺς τὸ ὡράριον καὶ δίδωσι τῷ λαῷ τὸ ἀντίδωρον, καὶ γίνεται ἡ συνήθης ἀπόλυσις τῆς λειτουργίας παρὰ τοῦ ἱερέως τοῦ εἰπόντος τὴν ὀπισθάμβωνον εὐχήν. Καὶ μετὰ τὴν ἀπόλυσιν γίνεται ἡ πολυχρόνησις τῶν βασιλέων τῶν ἁγίων καὶ ἡ λοιπὴ τάξις, ὡς εἴρηται ἐν τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ. Εἶτα εἰσέρχεται εἰς τὸ διακονικὸν καὶ ἐκδιδύσκεται τὴν ἀλλαγὴν παρὰ τῶν δύο ἀρχόντων τοῦ τε κανστρισίου καὶ τοῦ ἱερομνήμονος καὶ ἐνδύεται τὸ σύνηθες αὐτοῦ μανδύον, καὶ γίνεται ἐκεῖσε ἐν τῷ διακονικῷ τοῖς ἱερουργήσασι μικρά τις παράκλησις, καὶ ἀπέρχεται εἰς τὸ κελλίον αὐτοῦ.

C) Κανονάριον σὺν Θεῷ ἀρχόμενον ἀπὸ τὸ ἅγιον Πάσχα μέχρι τοῦ ἁγίου σαββάτου καὶ ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

Настоящій Канонарь X—XI в. (V. Gardthausen. Catalog. Codicum graecorum Sinaiticorum. Oxon. 1886 an. pag. 28) находится при рукописномъ Евангеліи синайской библіотеки № 150, писанномъ четкимъ краснымъ скорописнымъ почеркомъ. Состоитъ этотъ Канонарь изъ 29 листовъ въ четверку, изъ коихъ 12 листовъ занимаетъ Канонарь тріодный, а остальные 17—синаксарный. Данный списокъ Канонаря сокращенный и несомнѣнно передѣланный съ подлинника болѣе древняго происхожденія, каковымъ можетъ быть признанъ даже Канонарь IX—X в. той же библіотеки, помѣщаемый нами въ варіантахъ къ первому. Въ основу нашего изданія мы положили первый единственно потому, что онъ сохранился цѣликомъ, тогда какъ въ Канонарѣ IX—X в. не достаетъ многихъ листовъ. Этотъ послѣдній также въ 16 долю листа и также состоитъ изъ двухъ тетрадокъ: въ первой 18 листовъ, а во второй 32 листа, по писанъ полууставомъ, переходящимъ иногда въ скоропись Въ первый разъ открылъ эти Капо-

---

[1]) Это мѣсто въ рукописи вытерто.

нари и напечаталъ ихъ въ вольномъ изложеніи на русскомъ языкѣ извѣстный ученый архимандритъ Антонинъ (Труды кіев. духовн Акад. 1874 кн. II, стр. 189—216; 458—495), заявивъ почему то, однако, что это изложеніе его есть „точный переводъ на русскій языкъ". (Стр. 193, 489).

Τάξις γινομένη εἰς τὸν ὄρθρον τοῦ Πάσχα.

Ἀλλάσσει ὁ ἱερεὺς καὶ θυμιᾷ τὸν λαὸν καὶ κατέρχεται εἰς τοὺς βασιλικοὺς πυλῶνας μετὰ τοῦ λαοῦ, καὶ ἄρχεται ὁ ἱερεὺς καὶ λέγει· Εὐλογημένη ὑπάρχει ἡ βασιλεία... Καὶ τοῦ λαοῦ λέγοντος· Ἀμήν, ἄρχεται λέγων μετὰ πάντων· Πάτερ ἡμῶν, καὶ τοῦ ἱερέως λέγοντος· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... καὶ ὁ λαός· Ἀμήν. Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος... Καὶ ὁ ἱερεὺς λέγει καθ' ἑαυτὸν τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν νεκρῶν. Ὁ διάκονος· Ἀντιλαβοῦ... Τῆς Παναγίας ἀχράντου. Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι πρέπει, καὶ ὁ λαὸς τό· Ἀμήν. Ἄρχεται ὁ ἱερεὺς μόνος ψάλλων τό· Χριστὸς ἀνέστη ἕως τέλους, καὶ ὁ λαὸς ὁμοίως. Καὶ μετὰ τοῦτο εἰσέρχεται ὁ ἱερεύς, ψάλλων μόνος· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἕως τοῦ θυσιαστηρίου, καὶ ὁ λαὸς ὁμοίως. Καὶ ὁ ἱερεὺς ὁμοίως τὸν στίχον· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, καὶ εἰς τὸ τέλος τοῦ στίχου λέγει· Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωήν. Στίχος β'. Συστήσασθε ἑορτὴν ἕως· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ μετὰ τὸ πληρῶσαι τὸν λαὸν τὸ αὐτὸ τροπάριον, ἄρχεται πάλιν ὁ ἱερεὺς τό· Χριστὸς ἀνέστη, καὶ ὁ λαός· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Ὁ ἱερεύς· Κύριε, εὐλόγησον. Καὶ τοῖς ἐν τοῖς μνήμασι καὶ πλήρη λέγει μετὰ τοῦ λαοῦ τρίτον καὶ λέγει τό· Κύριε, ἐλέησον. δόξα. Καὶ ἄρχονται οἱ ψάλται τὸν κανόνα. Μετὰ δὲ τό· Δόξα ἐν ὑψίστοις Θεῷ. Καὶ μετὰ τό· Ἅγιος ὁ Θεός, λέγεται εἰσοδικὸν τροπάριον ἦχος γ'. Σήμερον σωτηρία τῷ κόσμῳ. Προκείμενον· Ἀνάστηθι Κύριε ὁ Θεός μου. Στίχος· Ἐξομολογήσομαί σοι Κύριε.—Τὸ εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον, κεφάλαιον σλ'. Διαγενομένου τοῦ σαββάτου.. Καὶ μετὰ ταῦτα ἵσταται ὁ ἱερεύς, βαστάζων τὸ εὐαγγέλιον, καὶ ἄρχεται ἀσπάζεσθαι τὸν λαὸν λέγων· Χριστὸς ἀνέστη ἐκ νεκρῶν καὶ τροπάριον· Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ... Καὶ μετὰ τὸ πληρωθῆναι τὸ τροπάριον· Αἱ μυροφόραι γυναῖκες ἀπῆλθον ἐπὶ τὸ μνῆμα τὸ ζωοποιὸν καὶ εὑροῦσαι τοὺς ἀγγέλους ἐν λευκοῖς καθεζομένους, οἳ καὶ εἶπον πρὸς αὐτάς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ἐν τῇ φθορᾷ; ἀπέλθετε, ἀπαγγείλατε, κηρύξατε τοῖς ἔθνεσιν· Χρι-

στὸς ἀνέστη ἐκ νεκρῶν. Καὶ μετὰ τὸ ἀσπάσασθαι πὰς ὁ λαὸς(;) ἀλλήλους, ὁ ἱερεὺς τὴν ἐκτενὴν (καὶ) ἀπολύει.

Τὸ πρωὶ εἰς τὴν λειτουργίαν ἀντίφωνον ψαλμὸς ξε΄. ἦχος β΄. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.. Ταὶς πρεσβείαις τῆς Θεοτόκου. Εἴπατε τῷ Θεῷ ὡς φοβερὰ τὰ ἔργα σου. Ταῖς πρεσβείαις. Ἀντίφωνον β΄. ψαλμὸς ξβ΄. ἦχος β΄. Ὁ Θεὸς οἰκτειρήσαι ἡμὰς... Σῶσον ἡμὰς... Ὁ Θεὸς οἰκτειρήσαι ἡμὰς καὶ εὐλογήσαι ἡμὰς.. Σῶσον ἡμὰς... Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. Σῶσον ἡμὰς. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός. Σῶσον ἡμὰς. Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ. Ἀντίφωνον γ΄. ψαλμὸς ξζ΄. ἦχος πλάγιος α΄. στίχος· Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν... ἀπὸ τοῦ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. Χριστὸς ἀνέστη. Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ. Χριστὸς ἀνέστη. Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν. Χριστὸς ἀνέστη. Καὶ ἀντὶ τοῦ· Δεῦτε προσκυνήσωμεν, Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, καὶ εἰς τὸ δόξα, εἴσοδος, ἦχος γ΄. Σήμερον σωτηρία τῷ κόσμῳ. Καὶ ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλάγιος δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς. Ἄρχεται ὁ ἀπόστολος· Πράξεων τῶν ἀποστόλων· Τὸν μὲν πρῶτον λόγον.. Τέλος· ἕως ἐσχάτου τῆς γῆς. Στίχος τοῦ Ἀλληλούϊα, ἦχος πλάγιος δ΄. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών. Τὸ εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον α΄. Ἐν ἀρχῇ ἦν ὁ λόγος... τέλος· ἡ χάρις καὶ ἡ ἀλήθεια, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Κοινωνικόν, ἦχος πλ. α΄. Σῶμα Χριστοῦ μεταλάβετε. Μέγα τὸ μυστήριον τῆς σῆς, Χριστέ, ἀναστάσεως. Σῶμα Χριστοῦ μεταλάβετε. Δείπνῳ παραγέγονας ἑκὼν πάθος ὁ ἀθάνατος. Σῶμα Χριστοῦ μεταλάβετε. Τότε καὶ ὁ Ἅδης συναντήσας ἐπικράνθη, λογοθετούμενος ψυχὰς ἀπαιτούμενος. Σῶμα Χριστοῦ. Τότε καὶ Μαρία ἡ μυρίσασα εὐφράνθη, προσκυνήσασα Θεὸν πρὸ τοῦ μνήματος. Σῶμα Χριστοῦ. Εἴπατε τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις, ὅτι ἀνέστη ἐκ νεκρῶν ὁ ἀθάνατος. Σῶμα Χριστοῦ.

Εἰς τὸ λυχνικὸν προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, στίχος· Ἐγνώρισας ἐν τοῖς λαοῖς. Τὸ αὐτὸ ἕως τῆς Ν΄. ἡμέρας.

Τῇ β΄. τῆς διακαινησίμου μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων ἀποστόλων. Εἰς τὸν ὄρθρον ἐξηγερὶ (;) ἦχος β΄. Ὅτε κατῆλθες πρὸς τὸν θάνατον. Τὸ πρωὶ εἰς τὴν λειτουργίαν τὰ προγεγραμμένα ἀντίφωνα,

εἴσοδος, ἦχος β΄. Ἀναστὰς ἐκ τοῦ μνήματος.. Καὶ ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Τὸ προκείμενον, ἦχος πλάγιος δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ὑπέστρεψαν οἱ ἀπόστολοι ἀπὸ Ἱερουσαλήμ, ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, τέλος· καὶ συνεψηφίσθη μετὰ τῶν ἀποστόλων. Στίχος τοῦ Ἀλληλούια, ἦχος α΄. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον η΄. Θεὸν οὐδεὶς ἑώρακε πώποτε, τέλος· ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης. (Κοινωνικόν)· Σῶμα Χριστοῦ. Δεῖ εἰδέναι, ὅτι τὰ ἀντίφωνα καὶ τό· Ὅσοι εἰς Χριστὸν, καὶ τό· Σῶμα Χριστοῦ ψάλλονται μέχρι τοῦ σαββάτου τῆς αὐτῆς ἑβδομάδος, τὸ δὲ Ὅσοι εἰς Χριστὸν ἕως τῆς πεντηκοστῆς.

Τῇ τρίτῃ τῆς διακαινησίμου μνήμην ἐπιτελοῦμεν τῆς Θεοτόκου. Εἰς τὸν ὄρθρον Θεὸς Κύριος ἦχος γ΄. Εὐφραινέσθω τὰ οὐράνια ἀγαλλιάσθω... Τὸ πρωὶ εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα καὶ εἰς τὴν εἴσοδον ἦχος β΄. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε παρθένε... Τὸ προκείμενον ἦχος γ΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος τῶν Πράξεων· Ἄγγελος Κυρίου ὤφθη τῷ Μωσεῖ ἐν φλογί, τέλος· Ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. Τῇ αὐτῇ ἡμέρᾳ ἕτερος ἀπόστολος τῶν Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις σταθεὶς Πέτρος σὺν τοῖς ἕνδεκα, τέλος· Καὶ ἔσται πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου. Στίχος τοῦ Ἀλληλούια, ἦχος πλ. δ΄. Ἀνάστηθι Κύριε. εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτός, στίχος β΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Τὸ εὐαγγέλιον κατὰ Λουκᾶν κεφάλαιον τλ0΄. Ὁ Πέτρος ἀναστὰς ἔδραμε. τέλος· Καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῇ τετάρτῃ τῆς διακαινησίμου μνήμην ἐπιτελοῦμεν τῆς Δεσποίνης. Εἰς τὸν ὄρθρον ἦχος δ΄. Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα. Τὸ πρωῒ εἰς τὴν λειτουργίαν λέγονται τὰ ἀντίφωνα. καὶ εἰς τὴν εἴσοδον ἦχος β΄. Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστὰς.. Ἄλλο· Εὐφραινέσθω τὰ οὐράνια. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, στίχος· Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος τῶν Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις εἶπεν ὁ Πέτρος πρὸς τὸν λαόν. τέλος· τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε. Στίχος τοῦ Ἀλληλούια, ἦχος πλαγ. δ΄. Ἀνάστηθι Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.

Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον ις. Τῷ καιρῷ ἐκείνῳ ἐστήκει.. τέλος· τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε.

Τῇ ε΄. τῆς διακαινησίμου μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων ἀποστόλων Ἰωάννου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Ἰακώβου. Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον, ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι. Τὸ πρωῒ εἰς τὴν λειτουργίαν γίνονται τὰ ἀντίφωνα γ΄. κατὰ τὴν εἴσοδον ἦχος δ΄. Ταῖς πρὸς τὸ μνῆμα λαθραίως ὁραμούσαις γυναιξίν.. Προκείμενον, ἦχος δ΄. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ὁ ἀπόστολος τῶν Πράξεων· Εἶπεν Πέτρος πρὸς τὸν λαόν· μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν, τέλος· Πολλὰ τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγένοντο. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλαιον κδ΄. Τῷ καιρῷ ἐκείνῳ ἄνθρωπός τις ἐκ τῶν φαρισαίων Νικόδημος ὄνομα αὐτοῦ. Τέλος· Πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλειται, ἀλλ' ἔχει ζωὴν αἰώνιον. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε.

Τῇ ἕκτῃ τῆς διακαινησίμου μνήμην ἐπιτελοῦμεν τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου. Εἰς τό· Θεὸς Κύριος, τροπάριον, ἦχος πλ. β΄. Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου... Τὸ πρωῒ εἰς τὴν λειτουργίαν γίνονται γ΄. ἀντίφωνα καὶ τὸ εἰσοδικὸν ἦχος β΄. Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών... Προκείμενον, ἦχος α΄. Τὸ στόμα μου λαλήσει σοφίαν, στίχος· Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος ἐκ τῶν Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερόν. Τέλος· Περὶ πάντων καὶ ἀλλόμενος καὶ αἰνῶν τὸν Θεόν. Στίχος τοῦ Ἀλληλούϊα, ἦχος πλ. δ΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ιθ΄. Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Τέλος Καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ, ᾧ εἶπεν ὁ Ἰησοῦς. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῷ σαββάτῳ τῆς διακαινησίμου μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Εἰς τό· Θεὸς Κύριος. τροπάριον, ἦχος βαρύς· Κατέλυσας τῷ σταυρῷ σου τὸν θάνατον... Τὸ πρωῒ εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα προγεγραμμένα, εἴσοδος ἦχος πλ. δ΄. Ὁ ἄδυτος ἥλιος ὁ γεννηθεὶς πρὸ ἑωσφόρου ἀνάτειλον, Κύριε, ταῖς καρδίαις ἡμῶν τὸν ἁγιασμὸν καὶ τὸ μέγα ἔλεος. Προκείμενον, ἦχος γ΄. Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς

ζωῆς μου. Ὁ ἀπόστολος Πράξεων τῶν ἀποστόλων τὸ ἀνάγνωσμα· Ἐν ταῖς ἡμέραις ἐκείναις, κρατοῦντος τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην. Τέλος· Τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ἡμῶν. Στίχος τοῦ Ἀλληλούϊα, ἦχος β΄. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν. Τέλος· ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε.

Τῇ νέᾳ κυριακῇ τοῦ ἀντιπάσχα. Εἰς τὸν ὄρθρον, εἰς τὸ Θεὸς Κύριος τροπάριον, ἦχος βαρύς· Ἐσφραγισμένου τοῦ μνήματος. Τὸ αὐτὸ καὶ ἀπολυτίκιον ἕως τοῦ σαββάτου. Τὸ πρωῒ εἰς τὴν λειτουργίαν τὸ προγεγραμμένον τροπάριον· Ἐσφραγισμένου τοῦ μνήματος. Προκείμενον, ἦχος γ΄. Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις διὰ τῶν χειρῶν τῶν ἀποστόλων. τέλος· Πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. Στίχος τοῦ Ἀλληλούια, ἦχος δ΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον σια΄. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων. τέλος· καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ. Κοινωνικόν. ἦχος πλ. α΄. Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἶνει τὸν Θεόν σου Σιών. Ἀλληλούια.

Τῇ β΄. μετὰ τὴν νέαν κυριακὴν μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου προφήτου Ἡλιοῦ καὶ ὑπάγωμεν μετὰ τὴν λιτὴν εἰς τὸν ναὸν αὐτοῦ καὶ γίνεται λειτουργία. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ιθ΄. Τῷ καιρῷ ἐκείνῳ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας. τέλος· Καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ [1]).

Τῷ σαββάτῳ τῆς β΄. ἑβδομάδος. Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἀκούσαντες οἱ ἀπόστολοι εἰσῆλθον εἰς τὸ ἱερόν. Τέλος· Καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσι. Στίχος τοῦ Ἀλληλούια· Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον Ν΄. Τῷ καιρῷ ἐκείνῳ ἰδόντες οἱ ἄνθρωποι, ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς. Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν, ὁ Θεός. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

---

[1]) Позднѣйшею рукою: Τὰς λοιπὰς ἡμέρας τῆς ἑβδομάδος λέγομεν τὰ ὅμοια τῆς ἑορτῆς...

Τῇ κυριακῇ τῆς β΄. ἑβδομάδος μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων Ἰωσὴφ τοῦ ἀπὸ Ἀριμαθαίας, καὶ Νικοδήμου καὶ τῶν ἁγίων μυροφόρων γυναικῶν καὶ μαθητῶν τριῶν τοῦ Κυρίου. Εἰς τὸ Θεὸς Κύριος τροπάριον, ἦχος β΄. Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελών... Τὸ αὐτὸ ἀπολυτίκιον ὅλην τὴν ἑβδομάδα. Ἄλλο· Τῶν ἀποστόλων ὁ χορὸς σὺν μυροφόροις γυναιξίν, ἀγάλλονται συμφώνως. Τὸ αὐτὸ τροπάριον καὶ εἰσοδικόν. Προκείμενον εἰς τὴν λειτουργίαν. ἦχος πλ. δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν. Τέλος· Πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει. Στίχος τοῦ Ἀλληλούια, ἦχος β΄. Δεξιὰ Κυρίου ἐποίησε δύναμιν. Εὐαγγέλιον κατὰ Μάρκον, κεφάλαιον σκζ΄. Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής. τέλος· Καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε.

Τῷ σαββάτῳ τῆς γ΄. ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο ὁ Παῦλος μετὰ τῶν ἑνδεκα μαθητῶν. τέλος· Καὶ τῇ παρακλήσει τοῦ Ἁγίου Πνεύματος ἐπληθύνοντο. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ρλη΄. Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. τέλος· Ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν.

Τῇ κυριακῇ τῆς γ΄. ἑβδομάδος τῆς Μεσοπεντηκοστῆς. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο Πέτρον διερχόμενον. Τέλος· Γνωστὸς δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον λη΄. Τῷ καιρῷ ἐκείνῳ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις. Τέλος· Ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. Τὸ δὲ εἰσοδικὸν καὶ ἀπολυτίκιον τῆς ἑβδομάδος· Εὐφραινέσθω τὰ οὐράνια.

Τῇ δ΄. τῆς Μεσοπεντηκοστῆς εἰς τὸ Θεὸς Κύριος τροπάριον, ἦχος πλάγ. δ΄. Μεσούσης τῆς ἑορτῆς. Προκείμενον εἰς τὸ ἑσπέρας ἦχος γ΄. Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός. Προκείμενον εἰς τὴν λειτουργίαν· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, κατέφυγον οἱ ἀπόστολοι εἰς τὰς πόλεις. Τέλος· Μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. Στίχος τοῦ Ἀλληλούια, ἦχος α΄. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτίσω ἀπ' ἀρχῆς· ἐλυτρώσω ῥάβδον. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον οε΄. Τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ

Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκεν. τέλος· Καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν χεῖρα, ὅτι οὔπω ἐληλύθη ἡ ὥρα αὐτοῦ. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

Τῷ σαββάτῳ τῆς Μεσοπεντηκοστῆς. Ὁ ἀπόστολος Πράξεων τῶν ἀποστόλων· Κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεύς. τέλος· Καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον πθ'. Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς. τέλος· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον.

Τῇ κυριακῇ τῆς Μεσοπεντηκοστῆς. Ὁ ἀπόστολος Πράξεων τῶν ἀποστόλων· Ἐν ταῖς ἡμέραις ἐκείναις, διασπαρέντες οἱ ἀπόστολοι... Τέλος· Διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον λγ'. Τῷ καιρῷ ἐκείνῳ, ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχάρ. Τέλος· Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστός. Εἰσοδικὸν καὶ ἀπολυτίκιον τῆς ἑβδομάδος ὅλης, ἦχος δ'. Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα...

Τῷ σαββάτῳ μετὰ τὴν Μεσοπεντηκοστήν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, Παῦλος καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ. Τέλος· Ἐπιστηρίζων τὰς ἐκκλησίας. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον β'. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει. τέλος· Ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ, κἀγὼ ἐν αὐτῷ.

Τῇ κυριακῇ μετὰ τὴν Μεσοπεντηκοστήν. Εἰς τὸ Θεὸς Κύριος τροπάριον, ἦχος πλάγ. α'. Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι. Τὸ αὐτὸ καὶ εἰσοδικὸν εἰς τὴν λειτουργίαν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο πορευομένων τῶν ἀποστόλων. Τέλος· Καὶ ἠγαλλιάσατο πανοικεὶ πεπιστευκὼς τῷ Θεῷ. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον. πθ'. Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλόν. Τέλος· Πιστεύω Κύριε, καὶ προσεκύνησεν αὐτόν.— Ἄλλο κατὰ Ἰωάννην, κεφάλαιον ρκζ'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ ταράσσεσθε. Τέλος· Ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ.

Τῇ πέμπτῃ. ἤγουν τιμήμου(;) τῆς Ἀναλήψεως. Ἑσπέρας εἰς τὸ λυχνικὸν τῇ παραμονῇ. Προκείμενον ἦχος βαρύς· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος, στίχος· Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Καὶ γίνονται τὰ ἀναγνώσματα. Τὸ α'. Ἡσαΐου· Τάδε λέγει Κύριος· ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις ἐμφανὲς τὸ ὄρος. γ'. Ζαχαρίου· Τάδε λέγει Κύριος· πορεύεσθε, περιέλθετε τὴν ὁδόν... Τὸ β'. τοῦ αὐτοῦ Ζαχαρίου· Τάδε λέγει Κύριος· ἰδοὺ ἡμέραι ἔρχονται Κυρίου, καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ

ἡμέρᾳ ἐκείνῃ, ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν. Ἀπολυτίκιον ἕως τῆς Πεντηκοστῆς καὶ εἰς τὸ Θεὸς Κύριος, ἦχος δ'. Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεός, καὶ τὸ πρωὶ εἰς τὴν ἀπόλυσιν τοῦ ὄρθρου. Προκείμενον προεγράφη εἰς τὸ λυχνικόν. Εὐαγγέλιον ἑωθινὸν κατὰ Μάρκον κεφ. σλδ'. Ἀναστὰς ὁ Ἰησοῦς πρωὶ πρώτῃ σαββάτου. Τέλος· Διὰ τῶν ἑπακολουθούντων σημείων. Εἰς τὴν λειτουργίαν λέγονται ἀντίφωνα γ'. Ἀντίφωνον α'. ψαλμὸς μδ'. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου· ὡραῖος.. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, διὰ τοῦτο ηὐλόγησέ σε ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Δόξα καὶ νῦν. Ταῖς πρεσβείαις. Ἀντίφωνον β'. ψαλμὸς με'. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς (εἰς τοὺς οὐρανούς), ψάλλοντάς σοι· Ἀλληλούια. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. βοηθὸς ἐν θλίψεσι. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράττεσθαι τὴν γῆν.. Σῶσον ἡμᾶς.. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. Σῶσον ἡμᾶς... Δόξα καὶ νῦν. Ὁ μονογενής. Ἀντίφωνον γ'. ψαλμὸς μς'. Πάντα[1]) τὰ ἔθνη κροτήσατε χεῖρας.. Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν. Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. Ἀνελήφθης ἐν δόξῃ.. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ... Ἀνελήφθης ἐν δόξῃ... Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλλατε συνετῶς. Ἀνελήφθης.. Τὸ προκείμενον ἦχος βαρύς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, στίχος· Ἑτοίμη ἡ καρδία μου. Ὁ ἀπόστολος Πράξεων· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων. Τέλος· Ὃ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, σαββάτου ἔχον ὁδόν. Στίχος τοῦ Ἀλληλούια· Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, στίχος δεύτερος· Ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον τμ'. Τῷ καιρῷ ἐκείνῳ ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ καὶ λέγει. Τέλος· Αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν. Κοινωνικόν· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Τῷ σαββάτῳ τῆς ἑβδομάδος τῆς ἀναλήψεως. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις συνηγμένων τῶν ἀποστόλων, κλάσει

---

[1]) Отсюда начинается Канонарь по другой рукописи IX—X в.

ἄρτου. Τέλος· Καὶ παρεκλήθησαν οὐ μετρίως. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ρκζ΄. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν. τέλος· Καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

Τῇ κυριακῇ πρὸ τῆς Πεντηκοστῆς, τῆς ἑβδομάδος τῆς ἀναλήψεως, μνήμην ἐπιτελοῦμεν τῶν τιη΄. ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. Εἰς τὰ ἑσπερινὰ τῆς παραμονῆς, μετὰ τὸ προκείμενον τῆς ἡμέρας γίνονται ἀναγνώσματα γ΄. Τὸ α΄. Γενέσεως· Ἀκούσας Ἄβραμ, ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς... β΄. Δευτερονομίου τὸ ἀνάγνωσμα· Εἶπε Μωϋσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· ἴδετε παρεδέδωκα. γ΄. Τοῦ αὐτοῦ· Εἶπε Μωϋσῆς πρὸς τὸν λαόν· ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου, ὁ οὐρανός, καὶ ὁ οὐρανός... Εἰς τὴν ἀπόλυσιν τροπάριον, ἦχος πλάγ. δ΄. Ὑπερδεδοξασμένος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς. Τὸ αὐτὸ εἰς τὴν εἴσοδον [1]). Εἰς τὴν λειτουργίαν προκείμενον ἦχος δ΄.[2]) Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, στίχος· Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἔκρινεν ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον. τέλος· σὺν πᾶσιν αὐτοῖς προσηύξατο. Στίχος τοῦ Ἀλληλούια, ἦχος γ΄. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν... Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ρνγ΄. Τῷ καιρῷ ἐκείνῳ ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, εἶπεν. τέλος· Πεπληρωμένην ἐν ἑαυτοῖς. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Τῷ σαββάτῳ τῆς Πεντηκοστῆς. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις διασωθέντες οἱ περὶ τόν. τέλος· Καὶ διδάσκοντα περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀκολύτως. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον σκς΄. Τῷ καιρῷ ἐκείνῳ ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθείς... τέλος· Τὰ γραφόμενα βιβλία. Ἀμήν.

Τῇ κυριακῇ τῆς Πεντηκοστῆς τὸ ἑσπέρας εἰς τὴν παραμονήν. Προκείμενον, ἦχος βαρύς· Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν, Κύριε, ὁδηγήσει ἡμᾶς ἐν γῇ εὐθείᾳ, στίχος· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. Καὶ γίνονται γ΄. ἀναγνώσματα· τὸ πρῶτον Ἀριθμῶν· Εἶπε Κύριος πρὸς Μωυσῆν· συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας. Τὸ β΄. Ἰωήλ· Τάδε λέγει Κύριος·[3]) λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν καὶ ἀθροίσω ὑμᾶς. Τὸ γ΄. Ἰεζεκιήλ· Τάδε λέγει Κύριος· τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε.. Εἰς τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ τροπάριον, ἦχος πλάγ. δ΄. Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς

---

[1]) Ркп. IX—X в. εἰσοδικόν. [2]) ᾠδὴ τῶν τριῶν παίδων. [3]) Въ ркп. IX—X в. порядокъ паремій иный.

ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς. Εἰς τὸν ὄρθρον· εἰς τὸ Θεὸς Κύριος τροπάριον ἦχος βαρύς· Τοὺς ἀποστόλους ἐδόξασας σήμερον, ἐξαποστείλας αὐτοῖς τὸν Παράκλητον, ἐν τῷ ὑπερώῳ τρανούντων, τὰ τῶν σῶν θαυμάτων μεγαλεῖα καὶ γλῶσσαι, ὡσεὶ πυρὸς ἐν ἑαυτοῖς ἐδείκνυντο, δι' ὃ καὶ τὰ ἔθνη ἐφώτισαν, δοξάζειν τὸ κράτος σου, ὑπεράγαθε Κύριε, δόξα σοι. Τὸ πρωὶ εἰς τὴν λειτουργίαν γίνονται γ'. ἀντίφωνα· τὸ α'. ψαλμὸς ιη'. ἦχος β'. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ. Ταῖς πρεσβείαις. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα... Ταῖς πρεσβείαις. Εἰς πᾶσαν τὴν οἰκουμένην ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Τὸ β'. ἀντίφωνον, ψαλμὸς ιθ'. Ἐπακούσαι σου Κύριος, ἐν ἡμέρᾳ θλίψεως. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ. Ἐπακούσαι σου Κύριος, ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. Σῶσον ἡμᾶς. Ἐξαποστείλαι σοι βοήθειαν. Σῶσον ἡμᾶς. Μνησθείη πάσης θυσίας σου. Σῶσον ἡμᾶς. Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ. Ἀντίφωνον γ'. ψαλμὸς κ'. ἦχος πλαγ. δ'. Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς... Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους .. Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς... Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ.. Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.. Ὅτι προέφθασαν αὐτὸν ἐν εὐλογίαις χρηστότητος.. Εὐλογητὸς εἶ, Χριστὲ, ὁ Θεὸς ἡμῶν.ʌ Καὶ ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.. Προκείμενον ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ὁ ἀπόστολος Πράξεων· Ἐν τῷ συμπληροῦσθαι. Τέλος· Ταῖς ἡμετέραις γλώσσαις. τὰ μεγαλεῖα τοῦ Θεοῦ. Στίχος τοῦ Ἀλληλούια, ἦχος δ'. Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι.. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον πα'. Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε λέγων. Τέλος. Ἀλλ' ἐξεῖ τὸ φῶς τῆς ζωῆς. Τὸ κοινωνικὸν ἦχος δ'.[1]). Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με Κύριε.

Τῇ αὐτῇ ἡμέρᾳ ἑσπέρας ἀκολουθία εἰς τὴν γονυκλισίαν. Μετὰ τὸ Φῶς ἱλαρόν, προκείμενον ἦχος βαρύς· Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ, στήριξόν με, στίχος· Μὴ ἀποῤῥίψῃς με[2]) ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον.

[1]) ἦχος πλ. δ'. [2]) Вместо этого стиха стоитъ: Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός.

Καὶ γίνονται γ'. ἀναγνώσματα· τὸ α'. Ἡσαΐου· Ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ Κύριε. Τὸ β'. Ἰερεμίου· Τάδε λέγει Κύριος· θαρσεῖτε τέκνα. Τὸ γ'. Δανιήλ· Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου. Τέλος· Ἐπὶ τὴν πόλιν σου καὶ ἐπὶ τὸν λαόν σου. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἔκρινεν ὁ Παῦλος. Τέλος· Προέπεμπον αὐτὸν εἰς τὸ πλοῖον. Στίχος τοῦ Ἀλληλούια, ἦχος πλ. δ'. Ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ρκη'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου.. Τέλος· Δόξῃ λατρείαν (προσ)φέρειν τῷ Θεῷ. Καὶ μετὰ τὸ εὐαγγέλιον οἱ ψάλται [1]) τροπάριον ἦχος γ'. Νῦν εἰς σημεῖον τοῖς πᾶσι. Καὶ μετὰ τὸν στίχον λέγει ὁ διάκονος· [2]) Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα... Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς γονυκλισίας α'. Ἄχραντε ἀμίαντε [3]). Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον Ὁ ἱερεὺς ἐκφώνως· Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν. Καὶ ἄρχονται οἱ ψάλται τροπάριον ἦχος γ'. Νῦν τὸ παράκλητον Πνεῦμα. Καὶ μετὰ τὸ τροπάριον ὁ διάκονος· Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα. Ὁ ἱερεὺς τὴν β'. εὐχήν· Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν [4])... Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον. Τῆς Παναγίας ἀχράντου. Ὁ ἱερεὺς ἐκφώνως· Εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ [5]). Καὶ οἱ ψάλται τροπάριον ἦχος γ'. Νῦν περιβάλλονται κράτος οἱ Χριστοῦ ἀφ' ὕψους ἀπόστολοι [6])... Ὁ διάκονος· Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα. Ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ Θεὸς ὁ μόνος ἀγαθὸς καὶ ἰσχυρός. Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἀνάστησον. Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν. Καὶ μετὰ τὴν εὐχήν [7]). τό· Καταξίωσον Κύριε, καὶ ἡ λοιπὴ ἀκολουθία τοῦ ἑσπερινοῦ.

Τῇ ἐπαύριον τῆς Πεντηκοστῆς ὁ ἀπόστολος πρὸς Ἐφεσίους ἐπιστολῆς· Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε. Τέλος· Ἐν τῇ καρδίᾳ ἡμῶν τῷ Κυρίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ρπα'. Εἶπεν ὁ Κύριος· ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. Τέλος· Ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.

Τῷ σαββάτῳ μετὰ τὴν Πεντηκοστήν. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, χάρις ὑμῖν καὶ εἰρήνη.Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον λ0'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· τῷ αἰτοῦντί σε δίδου· καὶ τὸν θέλοντα ἀπὸ σοῦ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

---

[1]) ἄρχονται. [2]) Опущенъ этотъ возгласъ діакона. [3]) Καὶ μετὰ τὴν εὐχήν. [4]) Тоже. [5]) Тоже. [6]) Καὶ μετὰ τροπάριον ὁ διάκονος. [7]) Καὶ μετὰ τὰς γ'. εὐχάς.

Τῷ αὐτῷ σαββάτῳ [1]) τὸ ἑσπέρας εἰς τὴν παραμονὴν τῶν ἁγίων πάντων. Προκείμενον ἦχος δ΄. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ, στίχος· Προωρώμην τὸν Κύριον. Καὶ γίνονται ἀναγνώσματα γ΄. τὸ α΄. Ἡσαΐου· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα., τὸ β΄. Σοφίας Σολομῶντος· Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ τὸ γ΄. τοῦ αὐτοῦ· Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. Εἰς τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ τροπάριον ἦχος δ΄. Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου. Τὸ αὐτὸ καὶ εἰσοδικὸν εἰς τὴν λειτουργίαν.

κε΄. Τῶν Χριστοῦ γεννῶν. Εἰς τὸ Θεὸς Κύριος τροπάριον ἦχος δ΄. Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν. Τὸ αὐτὸ εἰς τὴν ἀπόλυσιν τοῦ ὄρθρου καὶ εἰσοδικὸν εἰς τὴν λειτουργίαν. Προκείμενον εἰς τὸν ὄρθρον ζήτει εἰς τὸν ἑσπερινόν[4]). Εὐαγγέλιον εἰς τὸν ὄρθρον κατὰ Ματθαῖον, κεφάλ. γ΄. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις. Τέλος· Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Τὸ πρωῒ εἰς τὴν λειτουργίαν[5]) ἀντίφωνον α΄. ψαλμὸς ρια΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. Ταῖς πρεσβείαις. Ἀντίφωνον β΄. ψαλμὸς ρι΄. Ἐξομολογήσομαί σοι Κύριε. Σῶ-

---

Εὐψυχίου. Τῷ σαββάτῳ πρὸ τῆς Χριστοῦ γέννης. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, προϊδοῦσα ἡ γραφή, ὅτι ἐκ πίστεως. Τέλος· καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ρξζ΄. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Τέλος· καὶ ἀνακληθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

[1]) Въ ркп. IX—X в. указаны и самыя пареміи. [2]) τὸ ὄγδοον ἀνάγνωσμα Ἡσαίου· Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ.. [3]) μὴ ἔχων [4]) Κύριος εἶπε πρός με. [5]) εἰσοδικὸν εἰς τὴν λειτουργίαν· Ἡ γέννησίς σου Χριστέ.. ἦχος πλ. δ΄. Χριστὸς ἐτέχθη ἐπὶ γῆς ἐν φάτνῃ, σπάργανα φορέσας. Προκείμενον и т. д. Объ антифонахъ не упоминается.

σον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου. Ἀντίφωνον γ'. ψαλμὸς ρθ'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεός. Ἀντὶ δὲ τοῦ Τρισαγίου, (ἦχος) πλ. δ'. Χριστὸς ἐτέχθη ἐπὶ γῆς ἐν φάτνῃ, σπάργανα φορέσας, τὰ δεσμὰ διαῤῥύξας τῶν ἀνομιῶν ἡμῶν. Προκείμενον· Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, στίχος· Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα. Τέλος· Καὶ κληρονόμοι Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ. Στίχος τοῦ Ἀλληλούια· Ὤρμωσε Κύριος τῷ Δαυΐδ. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον δ'. Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεέμ. Τέλος· Δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. Κοινωνικόν, ἦχος βαρύς· Λύτρωσιν ἀπέστειλε Κύριος. Προκείμενον εἰς τὰς η'. ἡμέρας ἦχου βαρέως· ψάλλομεν· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, στίχος· Ἐγνώρισας ἐν τοῖς λαοῖς.

κς'. Τῆς συνάξεως τῆς ἁγίας Θεοτόκου καὶ Δαυΐδ τοῦ προφήτου, καὶ Ἰωσὴφ τοῦ μνήστορος καὶ Ἰακώβου τοῦ ἀδελφοθέου.

κζ'. Τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου. Εἰσοδικὸν ἦχος γ'. Πρωτομάρτυς ἅγιε, πρέσβευε τῷ ἐλεήμονι. Προκείμενον, ἦχος δ'. Ἔθηκας ἐπὶ τὴν κεφαλήν, στίχος· Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, Στέφανος πλήρης χάριτος. Τέλος· Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη ἐν εἰρήνῃ. Στίχος τοῦ Ἀλληλούια ἦχος β'. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλ. σιθ'. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὃς ἐφύτευσεν. Τέλος· Καὶ ἐστὶ θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κθ'.[1]) Τῶν ἁγίων νηπίων καὶ Μαρκέλλου ἀρχιμανδρίτου, καὶ ἡ κοίμησις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου[2]). Εἰσοδικὸν ἦχος α'. Τὰς ἀλγηδόνας τῶν ἁγίων. Προκείμενον ἦχος δ'. Αἰνεῖτε[3]) παῖδες Κύριον, στίχος· Εἴη τὸ ὄνομα Κυρίου. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Τέλος· Δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Στίχος τοῦ Ἀλληλούια ἦχος α'. Ἐκέκραξαν[4]) οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ς'· Ἀναχωρησάντων τῶν μάγων. Τέλος· Ὅτι Ναζωραῖος κληθήσεται. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

---

[1]) κη'. Τοῦ ἁγίου Ἀνθίμου ἀρχιεπισκόπου καὶ τῶν ἁγίων δυσμυρίων καὶ τοῦ ἁγίου Στεφάνου θαυματουργοῦ [2]) Объ успеніи св. Богослова не упоминается. [3]) Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, στίχος· Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με Ὁ ἀπόστολος πρὸς Ἑβραίους. [4]) ἦχος δ'. Αἰνεῖτε παῖδες Κύριον, στίχος· Εἴη τὸ ὄνομα Κυρίου.

Σαββάτῳ μετὰ τὴν Χριστοῦ γέννησιν. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην. Κατὰ Ματθαῖον, κεφάλαιον ριζ'. Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί. Τέλος· ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.

Τῇ κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ εὐαγγέλιον. Τέλος· Εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ς'. Ἀναχωρησάντων τῶν μάγων [1]). Τὸ αὐτὸ κεφάλαιον τῇ ἐπαύριον τῆς Χριστοῦ γεννήσεως καὶ τῶν ἁγίων νηπίων.

Σάββατον πρὸ τῶν Φώτων [2]). Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον ζ'.

Τῇ κυριακῇ πρὸ τῶν Φώτων. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν. Τέλος· Ἀκρογωνιαίου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Εὐαγγέλιον κατὰ Μάρκον, κεφάλαιον α'. Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ. Τέλος· Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.

Μὴν Ἰανουάριος.

α'. Ἡ περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας. Εἰς τὸ Θεὸς Κύριος τροπάριον [3]). Προκείμενον ἦχος βαρύς· Τὸ στόμα μου λαλήσει, στίχος· Ἀκούσατε. Ὁ ἀπόστολος πρὸς Κολασσαεῖς· Ἀδελφοί, βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν. Τέλος· Τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν. Ἄλλος ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς. Τέλος· ἔπηξε Κύριος καὶ οὐκ ἄνθρωπος. Στίχος τοῦ Ἀλληλούια ἦχος α'. Δίκαιος, ὡς φοίνιξ ἀνθίσει. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον γ'. Τῷ καιρῷ ἐκείνῳ ὑπέστρεψαν. Τέλος· Ἐν σοφίᾳ καὶ ἡλικίᾳ. Ἄλλο εὐαγγέλιον κατὰ Ἰωάννην, καφάλαιον πθ'. Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα, δι' ἐμοῦ. τέλος· Καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

[1]) Τέλος· Ὅτι Ναζωραῖος κληθήσεται. Κοινωνικόν· Ποτήριον σωτηρίου. [2]) ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες. Εὐαγγέλιον· ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται ὁ Ἰωάννης. Τέλος· ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. [3]) Προσόμοιον· Ἡλιοῦ ἐμιμήσω. Οὐρανοὺς διὰ πλήθους φιλανθρωπίας Ἰησοῦ ὑποκλίνας ἐκ τῆς Παρθένου. Ὅμοιον· Ἰωσὴφ ἐμιμήσω τὴν σωφροσύνην, τοῦ Δαβὶδ δὲ τὸ πραΰ.

ε'.[1]) Τοῦ δικαίου Ἰωσήφ, καὶ ἡ παραμονὴ τῶν Φώτων. Προκείμενον εἰς τὸν ἑσπερινὸν ἦχος βαρύς· Ἴδωσάν σε ὕδατα, ὁ Θεός, στίχος· Φωνὴν ἔδωκαν αἱ νεφέλαι, καὶ γίνονται ἀναγνώσματα ιβ'.[2]) καὶ εὐθὺς[3]) ἄρχεται τῆς θείας λειτουργίας. Προκείμενον εἰς τὴν λειτουργίαν τῆς παραμονῆς· Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἐλεύθερος ὢν ἐκ πάντων. Τέλος· Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ζ'. Τῷ καιρῷ ἐκείνῳ παραγίνεται Ἰωάννης ὁ βαπτιστής. Τέλος· Ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἄλλο κατὰ Λουκᾶν, κεφάλαιον ς'. Ἐν ἔτει πέντε καὶ δακάτῳ. Τέλος· Εὐηγγελίζετο τὸν λαόν.

Εἰς τὸ ἁγίασμα εἰς τὰ ἅγια Θεοφάνεια. Εἰς τὸν ὄρθρον, εἰς τὸ Θεὸς Κύριος ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου. Τὸ αὐτὸ καὶ εἰσοδικὸν εἰς τὴν λειτουργίαν, καὶ εἰς τὴν ἀπόλυσιν τοῦ ὄρθρου. Προκείμενον ἦχος βαρύς· Ἴδωσάν σε ὕδατα, στίχος· Φωνὴν ἔδωκαν αἱ νεφέλαι. Εὐαγγέλιον κατὰ Μάρκον, κεφάλαιον ε'. Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ. Τέλος· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα. Τῷ πρωὶ εἰς τὴν λειτουργίαν γίνονται ἀντίφωνα· ἀντίφωνον α'. ψαλμὸς ριγ'. ἦχος β'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. Ταῖς πρεσβείαις. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ. Ταῖς πρεσβείαις. Ἐγενήθη Ἰουδαία ἁγίασμα. Ταῖς πρεσβείαις. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν ὁ Ἰορδάνης. Ταῖς πρεσβείαις. Δόξα καὶ νῦν. Ταῖς πρεσβείαις. Ἀντίφωνον β'. ψαλμὸς ριδ'. ἦχος β'. Ἠγάπησα, ὅτι εἰσακούσεται. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ καὶ ἐν ταῖς ἡμέραις. Σῶσον ἡμᾶς. Ἐλεήμων καὶ δίκαιος καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Σῶσον ἡμᾶς. Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱός. Ἀντίφωνον γ'. ψαλμὸς

---

[1]) β'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Συλβέστρου πάπα Ῥώμης. γ'. Τοῦ ἁγίου μάρτυρος Γορδίου. δ'. Τοῦ ἁγίου ἀποστόλου Κλεόπα καὶ Θεωνᾶ μάρτυρος. [2]) Указываются и самыя пареміи. Послѣ седьмой пареміи замѣчено: «если есть время (ἐὰν ἐστὶν ὥρα), то читаются и прочія» т. е. чтенія. Δεῖ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ἡ ἑορτὴ ἐν σαββάτῳ, ἢ ἐν κυριακῇ, ἢ ἐν δευτέρᾳ, ἐν παρασκευῇ γίνεται ἡ νηστεία. [3]) εἰς τὴν παραμονὴν προκείμενον εἰς τὴν λειτουργίαν.

ριζ'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Εἰπάτω δὴ οἶκος Ἰσραήλ, ὅτι. Ἐν Ἰορδάνῃ. Εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός. Ἐν Ἰορδάνῃ. Δόξα καὶ νῦν. Τὸ αὐτὸ τροπάριον. Ἀντὶ δὲ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον ἦχος δ'. Εὐλογημένος ὁ ἐρχόμενος, στίχος· Ἐξομολογεῖσθε. Ὁ ἀπόστολος πρὸς Τίτον· Ἀδελφοί(;), ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Τέλος· Κληρονόμοι γενώμεθα, ἀκούετε λαοί, διὰ ζωῆς αἰωνίου. Στίχος τοῦ Ἀλληλούια πλ. δ'.[1]) Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ιγ'. Τῷ καιρῷ ἐκείνῳ παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας. Τέλος· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Κοινωνικὸν ἦχος βαρύς· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις.

Προκείμενον τῶν ἑσπερινῶν εἰς τὴν η'. ἡμέραν ἦχος βαρύς· Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, στίχος· Ἐν ἐξόδῳ Ἰσραήλ.

Τῇ ἐπαύριον τῶν Φώτων. Ὁ ἀπόστολος[2]), εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ιγ'. Τῷ καιρῷ ἐκείνῳ βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον. Τέλος· οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

Σάββατον μετὰ τὰ Θεοφάνεια. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ. Τέλος· Καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. Εὐαγγέλιον, κεφάλαιον ιε'. Τῷ καιρῷ ἐκείνῳ ἀνήχθη ὁ Ἰησοῦς εἰς τὴν ἔρημον. Τέλος· Καὶ διηκόνουν αὐτῷ.

Τῇ κυριακῇ μετὰ τὰ Θεοφάνεια. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, ἀναμιμνήσκω σε. Τέλος· Διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ιη'. Τῷ καιρῷ ἐκείνῳ ἀκούσας ὁ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη. Τέλος· Ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

ζ'. Σύναξις Ἰωάννου τοῦ βαπτιστοῦ καὶ τῶν ἁγίων Ἰουλιανοῦ καὶ Βασιλίσσης. Εἰσοδικὸν ἦχος β'. Μνήμη δικαίου μετ' ἐγκωμίων. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο Παῦλον διελθεῖν τὰ ἀνώτερα. Τέλος· Γλώσσαις καιναῖς καὶ ἐπροφήτευον. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Δίκαιος ὡς φοίνιξ ἀνθίσει. Εὐαγγέλιον κατὰ Ἰωάννην. κεφάλαιον ιγ'. Τῇ ἐπαύριον βλέπει

---

[1]) Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.. [2]) Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι.

τὸν Χριστὸν ἐρχόμενον πρὸς αὐτὸν ὁ Ἰωάννης. Τέλος· Ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

η'. Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης καὶ Δομετιανοῦ Μελιτινῆς [1]), καὶ τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας γάμου. Προκείμενον ἦχος πλ. δ'. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, στίχος· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἑνὶ δε ἑκάστῳ ἡμῶν. Τέλος· Εἰς μέτρον ἡλικίας τοῦ πληρώματος. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον κγ'. Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί. Τέλος· Ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

ις'. [2]) Μνήμη τῆς ἀλύσεως τοῦ Πέτρου τοῦ ἀποστόλου, Ἀντωνίου καὶ Πευσίππου, Ἐλασίππου καὶ Γαλακτίωνος μάρτυρος, καὶ τοῦ ἁγίου Εὐρετοῦ καὶ Λέοντος βασιλέως.

ιζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου καὶ Ἀντωνίνης [3]) καὶ Νεονίλης μάμης αὐτῶν. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, (στίχος)· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πείθεσθε τοῖς. Τέλος· ὯΙ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Σωτηρία δὲ τῶν δικαίων. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον με'. Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς εἰς τόπον πεδινόν. Τέλος· Πολὺς ἐν τοῖς οὐρανοῖς.

ιη'. Τῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Ἀλεξανδρείας Ἀθανασίου καὶ Κυρίλλου [4]), καὶ τοῦ ὁσίου Ἐφραιμίου ἐπισκόπου Μηλασσῶν, καὶ τῆς ὁσίας Εὐσεβείας, καὶ Κυριακοῦ μάρτυρος. Προκείμενον ἦχος β'. Οἱ ἱερεῖς σου ἐνδύσονται, στίχος· Μνήσθητι, Κύριε, τοῦ Δαυίδ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων. Τέ-

[1]) Этихъ двухъ первыхъ именъ нѣтъ здѣсь, но зато имѣются два другія имени: τῶν ἁγίων Ἑλλαδίου καὶ Θεοφίλου. Опущенные подъ 8 числомъ святые показаны подъ 10, гдѣ имъ изложена и служба. [2]) θ'. Τοῦ ἁγίου Πολιεύκτου. ι'. (см. предыдущее прим.) ια'. Μνήμη τοῦ ὁσίου Θεοδοσίου ἀρχιμανδρίτου τῆς ἁγίας πόλεως. ιβ'. Τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. ιγ'. Τοῦ ἁγίου Θεοδώτου ἐπισκόπου Ἀγκύρων καὶ Εὐγενίας μάρτυρος. ιδ'. Τῶν ἁγίων ἀββάδων τῶν ἐν τῷ Σινᾷ ὄρει ἀναιρεθέντων. ιε'. Τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα καὶ τῶν ἁγίων Νγ'. παίδων, καὶ τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου. Подъ 16 числомъ не указаны памяти святыхъ. [3]) Этого и слѣдующаго имени нѣтъ. [4]) Только эти два имени указаны, а остальныя опущены.

λος· Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. Στίχος τοῦ Ἀλληλούια πλ. δ'. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Τέλος· Ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν [1]).

κ'. [2]) Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου καὶ Γερασίμου [3]), καὶ Μαξίμου ὁμολογητοῦ, καὶ τοῦ ἁγίου Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ μαρτύρων. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ εἰπὼν ἐκ σκότους. Τέλος· Ἐν τῷ σώματι ὑμῶν φανερωθῇ. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον ρια'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός. Τέλος· Καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

κβ'. [4]) Τοῦ ἁγίου ἀποστόλου Τιμοθέου ἐπισκόπου [5]) Ἐφέσου καὶ μάρτυρος, καὶ τοῦ ἁγίου Ἀναστασίου τοῦ Πέρσου καὶ Βικεντίου [6]) διακόνου. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, χάριν ἔχω τῷ Θεῷ. Τέλος· Κατὰ δύναμιν τοῦ Θεοῦ τοῦ σώσαντος ἡμᾶς. Στίχος τοῦ Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον 4γ'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὅστις ὁμολογήσει ἔνεκεν ἐμοῦ. Τέλος· Οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Κοινωνικόν· Ἀγαλλιᾶσθε [7]).

κε' [8]) Τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου, ἐπισκόπου Ναζιανζοῦ. Μακεδ(;). Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἑνὶ ἑκάστῳ δίδοται ἡ φανέρωσις. Τέλος· Διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. Στίχος τοῦ Ἀλληλούια ἦχος β'. Προσέχετε λαός μου, τὸν νόμον μου. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφάλαιον κγ'.

---

[1]) Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι. [2]) Τῶν ἁγίων Λουκιανοῦ καὶ Παύλης καὶ τῶν σὺν αὐτῷ νηπίων, καὶ τοῦ ἁγίου Ἰανουαρίου. [3]) Имена св. Герасима и Максима опущены. [4]) κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωσίμου, ἀρχιεπισκόπου Συρακούσης, καὶ τῶν ἁγίων μαρτύρων Νεοφύτου καὶ Ἄννης καὶ Μαξίμου τοῦ ὁμολογητοῦ. [5]) Нѣтъ словъ: ἐπισκόπου καὶ μάρτυρος Ἐφέσου. [6]) Нѣтъ этого имени. [7]) Εἰς μνήμην. [8]) κγ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας καὶ Ἀγαθαγγέλου. κδ'. Τῶν ὁσίων πατέρων ἡμῶν Ἀρσενίου καὶ Ποιμένος καὶ Φιλήμονος ἐπισκόπου.

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί. Τέλος· Ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Κοινωνικόν· Εἰς μνημόσυνον.

κζ'.[1]) Ἡ ἐπάνοδος τοῦ λειψάνου τοῦ Χρυσοστόμου. Προκείμενον ἦχος α'. Τὸ στόμα μου λαλήσει σοφίαν, στίχος· Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν. Τέλος· Κατὰ τὴν τάξιν Μελχισεδέκ. Στίχος τοῦ Ἀλληλούια πλ. α'. Στόμα δικαίου μελετᾷ. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον πθ'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐγώ εἰμι ἡ θύρα. Τέλος· Καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

λα'.[2]) Τῶν ἁγίων Κύρου καὶ Ἰωάννου. Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός.[3]) Ἀδελφοί, ἑκάστῳ δίδοται. Τέλος· Διαιροῦν ἰδία ἑκάστῳ καθὼς βούλεται. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Στόμα δικαίου μελετήσει. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον πθ'.[4]) Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐγώ εἰμι ἡ θύρα. Τέλος· Καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν. Εἰς ἄλλο εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλ. οζ'. Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς ιβ'. μαθητάς. Τέλος· Δωρεὰν ἐλάβατε, δωρεὰν δότε[5]).

Μὴν Φεβρουάριος.

β'.[6]) Ἡ ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Προκείμενον εἰς τὰ ἑσπερινὰ ἦχος βαρύς· Νῦν ἀπολύεις, στίχος· Ὅτι εἶδον οἱ ὀφθαλμοί μου, καὶ γίνονται ἀναγνώσματα γ'.[7]) Εἰς τὸν ἑσπερινὸν τροπάριον ἦχος α'. Χαῖρε κεχαριτωμένη. Τὸ αὐτὸ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰσοδικὸν εἰς τὴν λειτουργίαν. Προκείμενον ἦχος γ'. Μεγαλύνει[8]) ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, χωρὶς πάσης ἀντιλογίας. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Νῦν[9])

---

[1]) κς'. Τοῦ ὁσίου Ξενοφῶντος καὶ δύο αὐτοῦ τέκνων. [2]) κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου. κθ'. Ἡ μετακομιδὴ τοῦ λειψάνου Ἰγνατίου τοῦ θεοφόρου. λ'. Τῶν ἁγίων παρθένων Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης καὶ τῆς μητρὸς αὐτῶν Σοφίας. [3]) ὁ ἀπόστολος πρὸς Κορινθίους. [4]) Одно только это евангеліе. [5]) Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι. [6]) α'. Τοῦ ἁγίου μάρτυρος Τρύφωνος καὶ Σιβέρου ἐν Κατάνῃ. [7]) Указаны самыя παρεμίαι. [8]) Ἴδωσαν πάντα τὰ πέρατα τῆς, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. [9]) Σαλπίσατε ἐν νεομηνίαις.

ἀπολύεις τὸν δοῦλόν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον γ'. Τῷ καιρῷ ἐκείνῳ ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον. Τέλος· Καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. Κοινωνικόν· Ποτήριον σωτηρίου.

γ'. Ἡ κοίμησις τοῦ πρεσβυτέρου Συμεών. Προκείμενον ἦχος βαρύς· Νῦν ἀπολύεις, στίχος· Ὅτι εἶδον οἱ ὀφθαλμοί μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, Χριστὸς παραγενόμενος ἀρχιερεύς. Τέλος· Εἰς τὸ λατρεύειν Θεῷ ζῶντι. Στίχος τοῦ Ἀλληλούια ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον γ'. Τῷ καιρῷ ἐκείνῳ ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών. Τέλος· Καὶ δόξαν λαοῦ σου Ἰσραήλ.[1])

ε'.[2]) Τῆς ἁγίας μάρτυρος Ἀγάθης τῆς παρθένου ἐν Κατάνῃ καὶ Θεοδούλης, καὶ Βασιλίσσης[3]) μάρτυρος. Προκείμενον ἦχος δ'. Ἀπενεχθήσονται τῷ βασιλεῖ, στίχος· Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω. Τέλος· Παρθένον ἁγνὴν παραστήσετε τῷ Χριστῷ. Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Ἄκουσον θύγατερ, καὶ ἴδε. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον σξη'. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις. Τέλος· Ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

κδ'.[4]) Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου καὶ τοῦ ἁγίου Σοφονίου πρεσβυτέρου. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ρε'. Τῷ καιρῷ ἐκείνῳ ἀκούσας ὁ Ἰησοῦς. Τέλος· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.[5])

---

[1]) Καὶ χάρις Θεοῦ ἡμῶν ἐπ' αὐτνό. [2]) δ'. Τοῦ ἁγίου Κλαυδίου ὁμολογητοῦ καὶ Θαλαλαίου μάρτυρος. [3]) Ηβτъ. [4]) ς'. Τῆς ἁγίας Φαύστης καὶ Μάρθας καὶ Μαρίας. ζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου. η'. Τοῦ ἁγίου Πολυκάρπου καὶ Φιλαδέλφου. θ'. Τοῦ ἁγίου μάρτυρος Νικηφόρου. ι'. Τοῦ ἁγίου Σωτηρίχου. ια'. Τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου. ιβ'. Τοῦ ἁγίου Οὐβανοῦ(;) μάρτυρος Πατάρων. ιγ'. Τοῦ ἁγίου Οὐστινιανοῦ καὶ Μαρτινιανοῦ. ιδ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Αὐξεντίου καὶ τοῦ ἁγίου Φιλήμονος καὶ Βαλεντίου. ιε'. Τοῦ ἁγίου Ὀνησίμου ἀποστόλου καὶ Παφνουτίου καὶ Προχόρου ἀποστόλου. ις'. Τοῦ ἁγίου Νίκωνος ἐπισκόπου καὶ τῶν ἁγίων τῶν ἐν Μαρτυροπόλει, καὶ Ἰουλιανῆς μάρτυρος. ιζ'. Τοῦ ἁγίου Λέοντος πάπα Ῥώμης. ιη'. Τοῦ ἁγίου μάρτυρος Χριστοῦ Νικηφόρου. ιθ'. Τοῦ δικαίου Γαμαλιήλ. κ'. Λέοντος ἐπισκόπου Κατάνης καὶ τῶν ρκ'. ἁγίων μαρτύρων. κα'. Τῶν ἁγίων στρατιωτῶν Ῥώμης. κβ'. Τίτου ἐπισκόπου Βόστρων. κγ'. Πολυκάρπου ἐπισκόπου. [5]) κε'. Τοῦ ἁγίου Εὐγενίου.

Μὴν Μάρτιος.

θ'.[1]) Τῶν ἁγίων μ'. μαρτύρων τῶν ἐν Σεβαστείᾳ τῆς Καππαδοκίας. Τροπάριον εἰς τὸν ἑσπερινὸν καὶ εἰς τὸ Θεὸς Κύριος· Ὡς καλοὶ στρατιῶται. Προκείμενον εἰς τὴν λειτουργίαν ἦχος δ'. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, στίχος· Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, τίς ἡμᾶς χορήσει ἀπὸ τῆς ἀγάπης. Τέλος· Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Στίχος τοῦ Ἀλληλούια· Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον σ'. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ. Τέλος· Ὀλίγοι δὲ ἐκλεκτοί. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

κδ'.[2]) Ἡ παραμονὴ τοῦ εὐαγγελισμοῦ γίνονται ἀναγνώσματα γ'. Ζήτει εἰς τὸ γενέθλιον τῆς Δεσποίνης. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον γ'. Τῷ καιρῷ ἐκείνῳ ἀναστᾶσα Μαριάμ. Τέλος· Καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. Εὑρίσκεις[3]) αὐτὸ δὲ καὶ εἰς τὴν παραμονὴν τῆς Κοιμήσεως· καὶ τῆς λειτουργίας εἰς τὴν ἀνάγνωσιν τῶν Γενέσεων καὶ Παροιμιῶν.

κε'. Ὁ εὐαγγελισμός. Εἰς τὸ εἰσοδικὸν τῆς λειτουργίας καὶ εἰς τὸ Θεὸς Κύριος ἦχος δ'. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Προκείμενον· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Τέλος· Δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Στί-

---

κς'. Πορφυρίου ἐπισκόπου Γάζης καὶ Ταρασίου ἐπισκόπου. κζ'. Προσκύνησις τοῦ χαλινοῦ, οὗ ἐποίησεν ἡ ἁγία Ἑλένη καὶ τῶν ἁγίων κδ'. τλκεφ. (;) κη'. Τοῦ ἁγίου Μαρκέλλου ἐπισκόπου Συρίας.

[1]) α'. Τοῦ δικαίου Ἐλισβαὰμ καὶ Σωφρονίου ἐπισκόπου. γ'. Τῶν ἁγίων Κλεονίκου καὶ Εὐτροπίου. δ'. Τοῦ ἁγίου Βασιλίσκου. ε'. Τοῦ Ἀμμᾶ (;) Μάλχου ἀσκητοῦ. ς'. Τοῦ ἁγίου Κόνωνος ἀσκητοῦ καὶ Ἀνθίμου. ζ'. Ἀρκαδίου ἀρχιεπισκόπου. η'. Τῶν ἁγίων μαρτύρων Πολυκάρπου, Φιλαδέλφου ἐπισκόπου Κατάνης. [2]) ι'. Τοῦ ἁγίου Σωφρονίου ἐπισκόπου. ια'. Τοῦ ἁγίου μάρτυρος Κοδράτου. ιγ'. Τοῦ ἁγίου Σαβίνου. ιδ'. Τῆς ἁγίας Φροντίνας. ιε'. Τῆς ἁγίας Ματρώνας. ις'. Τοῦ ἁγίου μάρτυρος Μοντανοῦ. ιζ'. Τοῦ ἁγίου Ὀνησίμου καὶ Βαρσανουφίου ιη'. Τοῦ ἁγίου Κυρίλλου ἐπισκόπου Ἱεροσολύμων. ιθ'. Τῶν ἁγίων μαρτύρων Χρισάνθου καὶ Δαρίας. κ'. Τοῦ ἁγίου Μαξίμου. κα'. Τοῦ ἁγίου Βενεδίκτου ἀρχιμανδρίτου καὶ Φιλήμονος. κβ'. Τοῦ ἁγίου Θεοδώρου τοῦ Σικεώτου (sic). κγ'. Τοῦ ἁγίου Θωμᾶ τοῦ νέου. [3]) Замѣчаніе—не вполнѣ понятное.

χος τοῦ Ἀλληλούια ἦχος α'. Καταβήσεται, ὡς ὑετὸς ἐπὶ πόκον. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον β'. Τῷ καιρῷ ἐκείνῳ συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου. Τέλος· Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος. Κοινωνικόν· Ποτήριον σωτηρίου. Δεῖ εἰδέναι ταῦτα· ἡ ἀκολουθία γίνεται, ὅταν εἰς ἡμέραν νηστειῶν γίνεται ὁ εὐαγγελισμός, οἷον εἰς β'. ἢ εἰς γ'. ἢ εἰς δ'. ἢ εἰς ε'. ἡ εἰς παρασκευήν, εἰ δὲ ἐν σαββάτῳ, ἢ ἐν κυριακῇ οὐ λέγεται οὐδὲ ἡ Ἔξοδος, οὐδὲ ἡ Παροιμία, ἀλλ' εὐθέως μετὰ τὴν εἴσοδον δοξάσουσιν καὶ λέγεται τὸ Τρισάγιον, τὸ προκείμενον, τοῦ Ἀλληλούια, τὸ εὐαγγέλιον προεγράφη [1]).

Μὴν Ἀπρίλιος [2]).

κγ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου καὶ Θεοδώρου [3]) ἐπισκόπου Συκαιώτου. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφάλαιον ρλη'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν. Τέλος· Δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ [4]).

κε'. [5]) Τοῦ ἁγίου Μάρκου τοῦ ἀποστόλου καὶ [6]) τῶν μαθητριῶν τοῦ Κυρίου, καὶ τοῦ ὁσίου πατρὸς Μακεδωνίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως [7]).

---

[1]) κς'. Τῶν ἁγίων μαρτύρων Κοδράτου καὶ Θεωνᾶ. κζ'. Τοῦ ἁγίου Μακαρίου, Ἰσαὰκ πρεσβυτέρου. κη'. Τοῦ ἁγίου Θεοδωρήτου μάρτυρος. κθ'. Ἰωάννου πατριάρχου Ἱεροσολύμων. λ'. Ἰωάννου τῆς Κλίμακος. λα'. Τοῦ ἁγίου ἀρχιεπισκόπου Ἱεροσολύμων. [2]) Μὴν Ἀπρίλιος ἔχει ἡμέρας λ'. α'. Γλυκερίου πρεσβυτέρου. β'. Τοῦ ἁγίου Ἐπφιανοῦ καὶ Ἐδεσσίου, ἀδελφοῦ αὐτοῦ. γ'. Τῆς ἁγίας Ακυλήνης καὶ Θεοδοσίου μάρτυρος. δ'. Τοῦ ἁγίου Θεοδούλου. ε'. Τοῦ ἁγίου Βιταλίου. ς'. Τῆς ἁγίας Χιώνης καὶ Ἀγάπης, Εἰρήνης. ζ'. Τῶν ἁγίων ρκ'. μαρτύρων. η'. Τοῦ ἐν ἁγίοις Κελεστίνου πάπα Ῥώμης. θ'. Του ἁγίου Πατερμουθίου καὶ Κόπρης ὁσιομάρτυρος. ι'. Τοῦ ἁγίου μάρτυρος Αὐξεντίου καὶ Ἰεζεκιὴλ προφήτου. ια'. Τοῦ ἁγίου Ἀντίππα μάρτυρος. ιβ'. Μνήμη Γεροντίου τοῦ πατρὸς τοῦ ἁγίου Γεωργίου. ιγ'. Τοῦ ἁγίου Μαρτυρίου. ιδ'. Τοῦ ὁσίου Ζωσιμᾶ καὶ Μαρίας τῆς Αἰγυπτίας. ιε'. Τοῦ ἁγίου Κυριακοῦ, ὁποῦ τὸν σταυρόν(;) ις'. Λεωνίδους καὶ τῆς συνοδίας αὐτοῦ. ιζ' Τοῦ ἁγίου Ἀγαπίου πάπα Ῥώμης καὶ Μαρίνου μάρτυρος. ιη'. Τῶν ἁγίων ζ'. παίδων. ιθ'. Τοῦ ἁγίου Χριστοφόρου. κ'. Χρυσίππου, πρεσβυτέρου Ἱεροσολύμων. κα'. Τῆς ἁγίας Ἀλεξανδρείας βασιλίσσης καὶ μάρτυρος. κβ'. Τοῦ ὁσίου Ἀλεξάνδρου. [3]) Имени Θеодора Сикеота нѣтъ. [4]) Τὸ αὐτὸ καὶ εἰς τὸν ἅγιον Παντελεήμονα. [5]) κδ'. Τοῦ ἁγίου Ἰννοκεντίου καὶ τῶν σὺν αὐτῷ. [6]) Καὶ εὐαγγελιστοῦ. Другихъ памятей нѣтъ. [7]) κς'. Τοῦ ἁγίου Θεοφίλου. κζ'. Τοῦ ἁγίου Ζήνωνος. κη'. Τοῦ ἁγίου Εὐσεβίου. κθ'. Τοῦ ἁγίου Ἀκυνιάτου. λ'. Τοῦ ἁγίου Ἰακώβου ἀποστόλου.

Μὴν Μάϊος[1]).

η'.[2]) Τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ὁ ροδισμός, ὅτε τὸ μάννα(;) καὶ τοῦ ἁγίου Βαρβάρου μάρτυρος ἐν Μεθώνι, καὶ τῶν ἁγίων ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριήλ. Ὁ ἀπόστολος ἐκ τῆς καθολικῆς τοῦ Ἰωάννου τὸ ἀνάγνωσμα· Ἀδελφοί, ὃ ἦν ἀπ' ἀρχῆς. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφ. σβ'. Τῷ καιρῷ ἐκείνῳ, εἱστήκησαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ. τέλος· Καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία.

ιβ'.[3]) Τοῦ ἁγίου Ἐπιφανίου, ἀρχιεπισκόπου Κύπρου καὶ Φιλίππου τοῦ ἀργυρίου, καὶ Γερμανοῦ πατριάρχου, καὶ τοῦ ἁγίου Παγκρατίου Λαοδικίου, καὶ Γλυκερίου. Εὐαγγέλιον[4]) κατὰ Ἰωάννην, κεφάλ. πη'. Ζήτει εἰς τὴν λειτουργίαν τοῦ(λ) ὀκτωβρίου[5]).

Μὴν Ἰούνιος[6]).

ε'. Τοῦ δικαίου Νικοδήμου[7]), τοῦ ἐλθόντος νυκτὸς πρὸς τὸν Κύριον. Εὐαγγέλιον κατὰ Λουκᾶν(;) κεφάλαιον πθ'.

---

[1]) Μὴν Μάϊος ἔχει ἡμέρας λα'. Ἱερεμίου τοῦ προφήτου. β'. Ζωῆς καὶ τῆς συνοδίας αὐτῆς. γ'. Ἡ εὕρησις τοῦ τιμίου σταυροῦ καὶ τοῦ ἁγίου Θευθαήλ. δ'. Τῆς ἁγίας Εἰρήνης. ε'. Τῶν ἁγίων μαρτύρων Γαϊανοῦ καὶ Μελετίου. ς'. Τοῦ ἁγίου Παχωμίου, Ἀνδρονίκου καὶ Ἀθανασίας, καὶ ἡ πανήγυρις τοῦ ἀποστόλου Ἀνανίου. ζ'. Τοῦ δικαίου Ἰὼβ καὶ Σαμουὴλ προφήτου, Δομετίου μάρτυρος. [2]) Τὸ γενέσιον τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ τῶν ἁγίων ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ καὶ τοῦ ἁγίου Βαρβάρου. [3]) θ'. Ἡσαΐου τοῦ προφήτου καὶ τοῦ ἁγίου Χριστοφόρου καὶ Ἀκακίου. ι'. Τῶν ἁγίων γ'. παίδων Ἀλφίου, Φιλαδέλφου καὶ Κυρίνου. ια'. Τῶν ἁγίων Μουκίου καὶ Παχωμίου. [4]) Εὐαγγέλιον τοῦ ἁγίου Ἐπιφανίου κατὰ Ἰωάννην κεφ. πε'. προεγράφη εἰς τὰς λ'. τοῦ Ὀκτωβρίου. [5]) Τοῦ ἁγίου Ἰσιδώρου. ιε'. Τοῦ ἁγίου Ἀφροδησίου. ις'. Τοῦ προφήτου Ζαχαρίου. ιζ'. Τῆς ἁγίας Σοφίας. ιη'. Ἐπαφροδίτου καὶ Μαρτινιανοῦ. ιθ'. Τῶν ἁγίων μαρτύρων Πατρικίου καὶ Ῥούφου. κ'. Τοῦ ἁγίου Ἁλλελαίου. κα'. Μνήμη Κωνσταντίνου καὶ Ἑλένης, μεγάλων βασιλέων. κβ'. Βασιλίσκου μάρτυρος. κγ'. Τοῦ ὁσίου Συμεὼν τοῦ εἰς τὸ θαυμαστὸν ὄρος. κδ'. Μελεσίου μάρτυρος. κε'. Ὁ ροδισμὸς τοῦ ἁγίου Θεοδώρου. κς'. Ἰούδα ἀποστόλου. κζ'. Τοῦ ἁγίου Διδύμου. κη'. Τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τιη'. κθ'. Τῆς ἁγίας Θεοδοσίας λ'. Τοῦ ἁγίου (;) λα'. Τῆς ἁγίας Πετρονιλίας, θυγατρὸς τοῦ ἁγίου Πέτρου. [6]) Μὴν Ἰούνιος ἔχει ἡμέρας λ'. α'. Στρατονίκου καὶ Ἑρμύλου. β'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἐράσμου. γ'. Τοῦ ἁγίου μάρτυρος Δουκιανοῦ. δ'. Τοῦ ὁσίου Μητροφάνους ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ζήτει τὸ εὐαγγέλιον εἰς τὰς λ'. τοῦ Ὀκτωβρίου. [7]) Имя праведнаго Никодима безъ всякихъ опредѣленій. Нѣтъ указанія и евангельскаго чтенія.

κδ'.[1]) Τὸ γενέθλιον τοῦ Προδρόμου. Εἰσοδικόν· Ἱερεὺς καρποῦται δι' ἀγγέλου... (См. выше Типикъ великой церкви). Προκείμενον ἦχος πλ. β'. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, στίχος· Καὶ γὰρ ὁ Κύριος δώσει. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ἡ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστί. Τέλος· Χριστὸς ἡμᾶς ἐξηγόρασεν[2]). Στίχος τοῦ Ἀλληλούια· Καὶ σὺ παιδίον προφήτης ὑψίστου. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφαλ. α'. Ἐπειδήπερ πολλοί. Τέλος· Μέχρις ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ[3]).

κθ'.[4]) Τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου. Εἰσοδικόν ἦχος β'.[5]) Ὁ σοφίσας. Ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον ζήτει εἰς ἀπόστολον.

λ'.[6]) Φιλονίδου ἐπισκόπου Κυρίου τῆς Κύπρου καὶ Περπετούας μάρτυρος, καὶ τῶν ἁγίων τῶν σὺν αὐτῷ καὶ τοῦ ἁγίου Παύλου. Ζήτει τὸ εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ρξς'.

Μὴν Ἰούλιος.

α'. Τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, καὶ Ἰουβεναλίου[7]) ἀρχιεπισκόπου Ἱεροσολύμων[8]).

---

[1]) ς'. Τοῦ ἁγίου Δωροθέου. ζ'. Τοῦ ὁσίου Ἀνθίμου καὶ Θεοδότου μάρτυρος. η'. Τοῦ ἁγίου Νικάνδρου θ'. Νικασίου μάρτυρος. ι'. Τῆς ἁγίας Πελαγίας. ια'. Τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα. ιβ'. Τιμοθέου ἐπισκόπου ιγ'. Τῆς ἁγίας Ἀγκυλίας. ιδ'. Τοῦ προφήτου Ἐλισαίου καὶ Ἰούστου μάρτυρος. ιε'. Τοῦ ἁγίου μάρτυρος Δουλᾶ καὶ Βίτου, καὶ Μουδέστου μάρτυρος. ιζ'. Τῶν ἁγίων μαρτύρων Μανουὴλ καὶ Σάβελ καὶ Ἰσμαήλ. ιη'. Τοῦ προφήτου Ἀμώς. ιθ'. Τοῦ ἁγίου μάρτυρος Ζωσίμου. κ'. Τοῦ ἁγίου μάρτυρος Ἀσυγκρίτου καὶ Κρίσκεντος. κα'. Ῥούφου μάρτυρος καὶ Μάρκου. κβ'. Ἰουλιανῆς καὶ Σατουρνίνου. κε'. Ἀριστοκλέους μάρτυρος. [2]) Ἐλευθέρωσεν. [3]) Κοινωνικόν· Μνήμη δικαίου. [4]) κε'. Τῆς ἁγίας Φευρωνίας μάρτυρος κς'. Τῶν ἁγίων μαρτύρων Ἰωάννου καὶ Παύλου τῶν Ῥωμαίων καὶ Γαλλικάνου. κζ'. Τοῦ ἁγίου Μαρκελλίνου. κη'. Τῆς ἁγίας Σεΐας, ἐν Ταυρομενίᾳ. [5]) ἦχος δ'. Οἱ τῶν ἀποστόλων. Προκείμενον ἦχος πλ. δ'. Εἰς πᾶσαν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὃ λαλῶ οὐ κατὰ Χριστὸν λαλῶ... Τέλος· ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις. Στίχος τοῦ ἀλληλούια, ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. ρξς'. Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Κοινωνικόν· Ἀγαλλιᾶσθε... [6]) Τοῦ ἁγίου Παύλου. Другихъ памятей нѣтъ. [7]) τοῦ Ἰουβελιανοῦ. [8]) Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. οὐ'. προεγράφη εἰς τὴν α'. τοῦ Νοεμβρίου.

η'. [1]) Τοῦ ἁγίου Προκοπίου μάρτυρος πόλεως [2]) Παλαιστίνης καὶ τῶν σὺν αὐτῷ. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον ρις'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει.

θ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Παγκρατίου μάρτυρος Ταυρομενίας.

ια'. [3]) Τῆς ἁγίας Εὐφημίας [4]) τῆς ἀρτοπωλητρίας. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον οδ'.

ις'. [5]) Τῶν ἁγίων χλ'. πατέρων [6]) τῆς δ'. συνόδου καὶ τῶν ἁγίων [7]) Ἀντιόχου, Ἄννης, καὶ τοῦ ἁγίου Κυριακοῦ, ὅπου εὗρεν τὸν σταυρόν. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλ. λβ'.

κε'. [8]) Τῶν δικαίων ἡ μνήμη [9]) Ἰωακεὶμ καὶ Ἄννης, καὶ Συμεὼν [10]) τοῦ στυλίτου, καὶ τῆς ὁσίας Εὐπραξίας καὶ Ὀλυμπιάδος [11]) καὶ Ἱερουσαλὴμ μεγαλομάρτυρος. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχε μὲν καὶ ἡ πρώτη σκηνή. Τέλος· Μέχρι καιροῦ διορθώσεως ἐπικείμενα [12]). Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον οθ'. Εἶπεν ὁ Κύριος· οὐδεὶς λύχνον ἅψας. Τέλος· Οἱ ἀκούοντες καὶ ποιοῦντες αὐτόν.

κζ'. [13]) Τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος καὶ τοῦ ὁσίου Θεράποντος [14]). Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, ἐνδυναμοῦ

---

[1]) β'. Τὰ καταθέσια τοῦ μαφορίου τῆς ἁγίας Θεοτόκου ἐν Βλαχέρναις. γ'. Βαβύλου ἐπισκόπου μάρτυρος. δ'. Τοῦ ἁγίου ἐπισκόπου Δονάτου καὶ μάρτυρος. ε'. Κόνωνος καὶ τοῦ υἱοῦ αὐτοῦ Κόνωνος. ς'. Φιλήμονος μάρτυρος καὶ Φωκᾶ. ζ'. Τῆς ἁγίας Κυριακῆς καὶ Βάσσας καὶ τῶν σὺν αὐτοῖς. [2]) Этого слова нѣтъ. [3]) ι'. Τῶν ἁγίων με'. μαρτύρων τῶν ἐν Νικομηδείᾳ. [4]) Только одно имя. [5]) ιβ'. Τῆς ἁγίας μάρτυρος Γολινδούχας. ιγ'. Ἡρακλείου μάρτυρος. ιδ'. Θεοδώρου μάρτυρος Πενταπόλεως. ιε'. Τοῦ ἁγίου Κηρίκου καὶ τῆς μητρὸς αὐτοῦ Ἰουλίτης. Εὐαγγέλιον κατὰ Λουκᾶν κεφ. ριζ'. Ἰδοὺ δίδωμι... [6]) τῶν ἐν Χαλκηδόνι. [7]) μαρτύρων Σινάτορος, Βιάτορος, Κασσιοδώρου καὶ τῆς μητρὸς αὐτῶν Δομινάτας. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς .. [8]) ιζ'. Τοῦ ἁγίου Περάτου καὶ τῆς ἁγίας μάρτυρος Μαρίνης, Ἀθηνογένους καὶ τῶν ι'. μαθητῶν αὐτοῦ. ιη'. Τῶν ἁγίων βλίων (;) φ$^{\iota}$ζ'. ιθ'. Τῆς ἁγίας Μακρίνης ἀδελφῆς τοῦ ἁγίου Βασιλείου, κ'. Ἡ ἀνάληψις τοῦ προφήτου Ἐλισαίου καὶ Ἠλιοῦ κα'. Τῶν ὁσίων πατέρων Συμεὼν σαλοῦ καὶ Ἰωάννου. κβ'. Τῶν ἁγίων μυροφόρων γυναικῶν καὶ Μαρίας τῆς Μαγδαληνῆς καὶ Φωκᾶ μάρτυρος. κγ'. Τοῦ ἁγίου μάρτυρος Ἀπολλιναρίου καὶ πάπα Βιταλίου. κδ'. Τῆς ἁγίας μάρτυρος Χρηστίνης καὶ Φαντίνου. [9]) Ἡ κοίμησις. [10]) Нѣтъ. [11]) Прибавлено: Τῆς διακόνου τοῦ Χρυσοστόμου. Προκείμενον ἦχος πλ. δ'. Θαυμαστὸς ὁ Θεὸς... [12]) Στίχος τοῦ Ἀλληλούια ἦχος πλ. δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Ἄλλος· Σωτηρία τῶν δικαίων. [13]) κς'. Ἰλὴμ (;) μάρτυρος καὶ τῆς ἁγίας Παρασκευῆς. [14]) Нѣтъ.

ἐν τῇ χάριτι. Τέλος· Μετὰ δόξης αἰωνίου. Εὐαγγέλιον κατὰ Ἰωάννην κεφάλ. ρλη'. Ταῦτα ἐντέλλομαι ὑμῖν. τέλος· Δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ[1]).

Μὴν Αὔγουστος.

α'.[2]) Τῶν ἁγίων Μακκαβαίων καὶ Ἐλεάζαρ τοῦ πατρὸς αὐτῶν καὶ Σολομονῆς τῆς μητρὸς αὐτῶν. Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλ. πβ'.

ς'[3]) Ἡ μεταμόρφωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰσοδικὸν ἦχος βαρύς· Μετεμορφώθης ἐν τῷ ὄρει. Προκείμενον ἦχος βαρύς· Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου, στίχος· Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν. Προκείμενον εἰς τὴν λειτουργίαν ἦχος δ'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ὁ ἀπόστολος ἐκ τῆς καθολικῆς ἐπιστολῆς Πέτρου· Ἀδελφοί, σπουδάσατε διὰ τῶν καλῶν. Τέλος· Ἀνατελεῖ ἐν ταῖς καρδίαις ἡμῶν[4]). Εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλαιον ροβ'. Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει. Τέλος· Ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. Κοινωνικὸν ἦχος δ'. Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Κύριε, πορευσώμεθα. Ἀλληλούια[5]).

ια'. Τῶν ἁγίων μεγαλομαρτύρων Ζήνωνος καὶ Μακαρίας, καὶ Μαρτίνου, καὶ τὰ καταθέσια τοῦ ἁγίου Ἰωάννου, καὶ ἡ σύναξις τῆς ἁγίας Εὐφημίας τοῦ ὄρους. Εὐαγγέλιον κατὰ Λουκᾶν, κεφάλαιον οδ'. Τῷ καιρῷ ἐκείνῳ ἠρώτα τις τῶν φαρισαίων τὸν Ἰησοῦν. Τέλος· Πορεύου εἰς εἰρήνην.

ιδ'. Μιχαίου προφήτου, καὶ ἡ ἀνάδειξις τῶν ἁγίων (;). Ὁ μαθητὴς τοῦ Κυρίου (;) καὶ τοῦ ἁγίου Μαρκέλλου ἐπισκόπου, καὶ ἡ παραμονὴ τῆς κοιμήσεως. Προκείμενον, ἦχος δ'. τῇ ἑσπέρᾳ· Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, στίχος· Δεδοξασμένα ἐλαλήθη, καὶ γίνονται ἀναγνώσματα τὰ προγεγραμμένα εἰς τὴν ὑπαπαντήν.

ιε'. Ἡ ζωηφόρος κοίμησις τῆς Δεσποίνης ἡμῶν Θεοτόκου. Προεγράφη ἡ ἀκολουθία εἰς τὰς η'. Σεπτεμβρίου.

---

[1]) κη'. Εὐφημίου μάρτυρος καὶ Ἀντωνίνης. κθ'. Τοῦ ἁγίου μάρτυρος Καλλινίκου. λ'. Ἰωάννου τοῦ στρατηλάτου. λα'. Προσκύνησις τιμίων ξύλων. [2]) α'. Τῶν ἁγίων Μακκαβαίων. Εὐαγγέλιον κατὰ Ματθαῖον κεφ. πβ'. [3]) β'. Δαλματίου καὶ Ταρασίου. γ'. Τοῦ ἁγίου Μαξίμου. δ'. Τῶν ἁγίων πατέρων σ'. τῶν ἐν Ἐφέσῳ. ε'. Μωσέως. [4]) Στίχος τοῦ Ἀλληλούια· Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σοί ἐστιν ἡ γῆ. [5]) На этомъ Канонарь IX--X в. обрывается.

κθ΄. Ἡ ἀποτομὴ τοῦ Προδρόμου. Εἰσοδικόν· Μνήμη δικαίου μετ' ἐγκωμίων. Προκείμενον ἦχος πλ. δ΄. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον. Τέλος· Οἵτινές εἰσιν μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Στίχος τοῦ Ἀλληλούια. πλ. δ΄. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Μάρκον, κεφάλαιον νζ΄. Τῷ καιρῷ ἐκείνῳ ἤκουσεν Ἡρῴδης ὁ βασιλεὺς τὴν ἀκοὴν Ἰησοῦ. Τέλος· Καὶ ἀπήγγειλαν αὐτῷ πάντα, ὅσα ἐποίησε καὶ ὅσα ἐδίδαξεν. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

λα΄. Τὰ καταθέσια τῆς τιμίας ζώνης τῆς Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.

ОТДѢЛЪ ВТОРОЙ.

Ктиторскіе типиконы

(ΤΥΠΙΚΑ ΚΤΗΤΟΡΙΚΑ).

А) Восточные.

А) Τύπος καὶ παράδοσις καὶ νόμος τῆς σεβασμίας λαύρας τοῦ ἁγίου Σάββα.

(По рукописи Синайской библіотеки XII—XIII в. № 1096).

Δεῖ φυλάττειν τὰ παρὰ τοῦ ὁσίου καὶ μακαρίου[1]) πατρὸς ἡμῶν Σάββα θεσπισθέντα·

Καὶ μηδαμῶς ἢ εὐνοῦχον ἢ ἀγένειον ἐν τῇ λαύρᾳ δέχεσθαι· γυναιξὶ δὲ μὴ ἐξεῖναι εἰσέρχεσθαι χάριν[2] εὐχῆς ἐν τῇ λαύρᾳ, ἀλλ' οὐδὲ ἐν τοῖς μετοχείοις καὶ μᾶλλον ἐν τῇ δευτέρᾳ πύλῃ τοῦ μεγάλου μετοχείου. Ὅστις δὲ τῶν μοναχῶν τῆς λαύρας εὑρεθῇ ἐν γυναικείῳ μοναστηρίῳ εἰσερχόμενος, ἐσθίων τε καὶ πίνων, καὶ μένων ἐν αὐτῷ, ἢ ἐναποτιθέμενός τι προφάσει φυλακῆς, ἢ κουρεύων, ἢ λογισμοὺς δεχόμενος, ἢ γράφων γυναιξὶ καὶ ἀντιγραφόμενος, ἢ ὅλως γνῶσιν ἔχων μετὰ γυναικῶν, ἢ συντεκνίας ποιῶν, ἐκκοπτέσθω τῆς ἀδελφότητος, ὡς σκανδάλου αἴτιος οὐ μόνον χριστιανοῖς, ἀλλὰ καὶ ἐθνικοῖς.

Μὴ ἔχειν δὲ ἐξουσίαν μήτε τοὺς Ἴβηρας, μήτε τοὺς Σύρους, ἢ τοὺς Φράγγους[2]) λειτουργίαν τελείαν ποιεῖν ἐν ταῖς ἐκκλησίαις αὐτῶν,

---

[1]) Ркп. XV в. Синайск. библ. № 531: θεοφόρου [2]) ἢ τοὺς Φράγγους — нѣтъ.

ἀλλὰ συναθροιζομένους ἐν αὐταῖς ψάλλειν τὰς ὥρας καὶ τὰ τυπικά, ἀναγινώσκειν δὲ τὸν Ἀπόστολον καὶ τὸ Εὐαγγέλιον τῇ ἰδίᾳ διαλέκτῳ, καὶ μετὰ ταῦτα εἰσέρχεσθαι εἰς τὴν μεγάλην ἐκκλησίαν καὶ μεταλαμβάνειν μετὰ πάσης τῆς ἀδελφότητος τῶν θείων καὶ ἀχράντων καὶ ζωοποιῶν μυστηρίων.

Ἐν δὲ τῇ θήκῃ τοῦ ἁγίου προλειτουργίαν ποιεῖν τὸν εἰς τοῦτο[1]) τεταγμένον πρεσβύτερον.

Μὴ ἔχειν δὲ ἐξουσίαν παντάπασί τινα ἐξελθεῖν τῆς λαύρας ἐν σαββάτῳ διὰ τὴν προσδοκωμένην ἀγρυπνίαν, ἄνευ ἀνάγκης καὶ διακονίας τοῦ κοινοῦ, μετὰ δὲ τὴν ἀγρυπνίαν ἀπιέτω εἰς τὴν αὐτοῦ χρείαν μετὰ βουλῆς τοῦ προεστῶτος, ἢ τοῦ ἐκκλησιάρχου. Μὴ εὑρισκομένου δὲ αὐτοῦ ἐν τῇ ἐπιούσῃ ἀγρυπνίᾳ μηδὲν λαμβανέτω, ἀρκετὸν γὰρ αὐτῷ ἡ προλαβοῦσα ἑβδομὰς ὅλη τοῦ διοικῆσαι τὰς δουλείας αὐτοῦ, καὶ τοῦτο, εἰ δυνατόν, ἅπαξ τοῦ μηνός.

Οἱ δὲ ἐν τῇ ἐρήμῳ ἐξερχόμενοι καὶ οἱ ἐν αὐταῖς καθεζόμενοι, εἰ μὲν μετὰ βουλῆς καὶ εὐχῆς τοῦ προεστῶτος τοῦτο ποιῶσι, λαμβανέτωσαν τὰς χρείας αὐτῶν, εἰ δὲ ἀβουλήτως ἐξ ἰδιορρυθμίας ἐξῆλθον, ὑποστρέφοντες μὴ δεχέσθωσαν.

Ὅστις δὲ προνοίᾳ Θεοῦ καὶ κρίσει πατριάρχου προβληθῇ ἢ μητροπολίτης, ἢ ἐπίσκοπος, ἢ ἡγούμενος εἰς ἕτερον μοναστήριον, εἴτε ἐν οἱῳδήποτε βαθμῷ τῆς μεγάλης ἐκκλησίας, μὴ ἔχειν ἐξουσίαν τῶν ἐν τῇ λαύρᾳ καὶ τῷ μετοχείῳ κελλίων αὐτοῦ, ἔτι ἢ ὅλως πωλεῖν αὐτά, ἢ χαρίζειν, ἀλλ' εἶναι ὑπὸ τὴν ἐξουσίαν τῆς ἁγίας μονῆς, καὶ ἄλλοις ἀξίοις καὶ χρήζουσιν ἀδελφοῖς παρὰ τοῦ ἡγουμένου παρέσχεσθαι. Τοῦτο καὶ ἐπὶ τῶν τελευτώντων ὀφείλει τηρεῖσθαι, καὶ ἄνευ γνώμης καὶ θελήσεως τοῦ ἡγουμένου μὴ ἔχειν τινὰ ἐξουσίαν καταλιπεῖν τῷ αὐτοῦ μαθητῇ τὸ ἴδιον κελλίον.

Παροξυσμὸς δὲ ἂν γένηται μεταξύ τινων ἀδελφῶν καὶ τοσοῦτον κατισχύσειεν ἡ κακία, ὥστε ἀλλήλους τύψαι καὶ χεῖρας ἐπιβαλεῖν, τούτους ἂν οὐκ εἰρηνεύωσι καὶ ὥσιν ἐν ἀγάπῃ τῆς μονῆς, ὡς ταραχοποιοὺς καὶ τῆς ἐντολῆς τοῦ Χριστοῦ ἀλλοτρίους, διώκεσθαι, ὁ ο ῦ λ ο ν γ ά ρ Κ υ ρ ί ο υ ο ὐ δ ε ῖ μ ά χ ε σ θ α ι, ὡς φησιν ὁ θεῖος ἀπόστολος.

Ὅστις δὲ εὑρεθῇ ἐκ τῶν ἀδελφῶν μεθύων καὶ ὑβρίζων τινά, ἢ προπηλακίζων, ἢ ἑταιρείας καὶ συστροφὰς ποιῶν, ἢ διορθούσθω, ἢ διωκέσθω. Καὶ τῆς διακονίας ὡσαύτως· ὁ εὑρισκόμενος κλέπτων, παυέσθω[2])

[1]) Ἐν τούτῳ τεταγμένοις. [2]) Παυσάσθω

τῆς διακονίας, ἐπιτιμίαν λσμβάνων εἰς διόρθωσιν καὶ μετάνοιαν, καὶ τοῦ ἰδίου κελλίου μὴ ἐξιέτω, εἰ μὴ ἐν ταῖς ὡρισμέναις ὥραις τῶν συνάξεων καὶ προσευχῶν.

Τοὺς δὲ ἡσυχάσαι θέλοντας καὶ μήτε ἐν τῇ ἐκκλησίᾳ προσέρχεσθαι, μήτε πάλιν τελείως ἐγκλεισθῆναι καταδεχομένους βουλόμεθα ἐν ταῖς ἀγρυπνίαις καὶ μόνον τοῖς λοιποῖς συνεισέρχεσθαι. Ἐν δὲ ταῖς πόλεσι καὶ κώμαις καὶ μνήμαις ἁγίων καὶ λοιπαῖς προόδοις παντάπασιν εἴργεσθαι, ἡσυχία γὰρ ἔργῳ μᾶλλον καὶ οὐ λόγῳ ὠφελῆσαι δύναται.

Τοὺς δὲ ἔξωθεν ἐρχομένους ξένους εἰ μὲν ἀρχὴν βούλονταί τινες (ἐν) λαύρᾳ βαλεῖν, ἐν ἑπτὰ ἡμέραις αὐτοὺς ὑποδεξάμενοι ἀναπαύσωμεν, εἰ δὲ τῶν ἐν τῇ πόλει καθεζομένων ὑπάρχοιεν, ἢ τῶν εἰς προσκύνησιν περιβαλλόντων, ἀρκεῖ αὐτοῖς καὶ τῶν τριῶν ἡμερῶν ἡ ἀνάψυξις διὰ τὸ πλῆθος τῶν καθεκάστην ἐρχομένων πτωχῶν.

Ἐπεὶ δὲ φθοροποιοὶ δαίμονες ἐν ταῖς προχειρήσεσι τῶν ἡγουμένων εἰώθασι δειχωνίας καὶ στάσεις ἀναρύπτειν[1]) τῶν δύο γλωσσῶν, μεταξὺ Ῥωμαίων τε φημὶ καὶ Σύρων, ἐκ μέσου τὸ σκάνδαλον ἐξελαύνοντες, διοριζόμεθα· μηδένα τῶν Σύρων ἀπό γε τοῦ νῦν τῆς τοῦ ἡγουμένου ἐπιβαίνειν ἀρχῆς, οἰκονόμους δὲ καὶ δοχειαρίους καὶ εἰς τὰς λοιπὰς διακονίας προτιμᾶσθαι τοὺς Σύρους καὶ διαταττόμεθα καὶ ἀποδεχόμεθα, ὡς ἀνυστικωτέρους ὄντας καὶ δραστικοὺς ἐν ταῖς πατρά(ι)σιν αὐτῶν.....

Β) Ὑποτύπωσις[2]) σὺν Θεῷ καταστάσεως τῆς εὐαγεστάτης μονῆς τῶν Στουδίου.

(По рукописи Ватопедской аѳонской библіотеки XIII—XIV в. № 322 (956).)

Πολλῶν ὄντων καὶ διαφόρων τῶν ἐν τοῖς ἱεροῖς μοναστηρίοις κεκρατηκυιῶν ἄνωθεν παραδόσεων, καὶ ἄλλων ἄλλαις διοικουμένων τε καὶ διϊθυνομένων πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν ὑποτυπώσεσιν, μία τίς ἐστι τῶν πασῶν καὶ ἡ καθ' ἡμᾶς κρατοῦσα παράδοσις, ἣν παρειλήφαμεν πρὸς τοῦ μεγάλου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ τοῦ Θεοδώρου·

---

[1]) Ἀνάπτειν. [2]) Варіанты заимствуемъ изъ Migne. Patrol. Curs. Complet. (Ser. graeca) t. XCIX col. 1704—1720. Ὑποτύπωσις καταστάσεως τῆς μονῆς τῶν Στουδίου.

καὶ οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ πλείους τῶν ἐγκρίτων μοναστῶν ταύτην αἱροῦνται, ὡς ἀρίστην τε καὶ βασιλικωτάτην, καὶ τὰς ὑπερβολὰς καὶ ἐλλείψεις ἐκκλίνουσαν. Ἀμέλει καὶ ἡμεῖς σήμερον πατρικαῖς προσαχθέντες ἐντολαῖς, ταύτην ἐν χάρταις εἰς ἄληστον μνήμην ταῖς μετέπειτα γενεαῖς καταλιπεῖν, ὅση δύναμις, πρὸς τὴν ὑπακοὴν ἑαυτοὺς καθήκαμεν, Θεοῦ δηλαδὴ παρέχοντος ἡμῖν ταῖς τοῦ ποιμένος ὑπὲρ ἡμῶν προσευχαῖς τὴν κατάλληλον ἁρμογὴν τῆς τοῦ λόγου συνθέσεως εἰς τὸ ἐκθέσθαι ὑγιῶς τὰ ὀνησιφόρα τε καὶ σωτήρια τοῦ θεοφόρου πατρὸς ἡμῶν ἐντάλματα, (л. **132**] εἰς δόξαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, καὶ φυλακήν τε καὶ σωτηρίαν τῶν ταῦτα μετὰ πίστεως προαιρουμένων φυλάττειν. Ἔστω τοίνυν ἡ ἀρχὴ τῆς συντάξεως [1]), ἔνθα καὶ ἡ ἀπαρχὴ τῆς τῶν ἀνθρώπων ἐγένετο σωτηρίας.

Περὶ τοῦ ἁγίου Πάσχα [2]) Ἰστέον, ὅτι μετὰ τὸ παρελθεῖν δευτέραν φυλακὴν [3]) ἢ καὶ τρίτην, ἤτοι τὴν ἐννάτην ὥραν πίπτει τοῦ ὑδρολογίου τὸ σύσσημον, καὶ τῇ τούτου σημασίᾳ ἐγείρεται ὁ ἀφυπνιστὴς ἅμα [4]) τοῦ κανονάρχου καὶ λαμβάνουσιν ἄμφω εὐχὴν εἰς τὸν καθηγούμενον, καὶ ὁ μὲν ἀφυπνιστὴς μετὰ φανοῦ περιέρχεται τοὺς κοιτῶνας, προτρεπόμενος τοὺς ἀδελφοὺς εἰς ἐξανάστασιν τῆς ἑωθινῆς δοξολογίας· ὁ δὲ κανονάρχης ἀπέρχεται τῆς τοῦ ξύλου κρούσεως ἐν τοῖς ὡρισμένοις τόποις [5]). Καὶ τῶν ἀδελφῶν πάντων ἀθροιζομένων ἐν τῷ νάρθηκι τοῦ κυριακοῦ καὶ προσευχομένων ἡσυχῇ [6]) οἱ ἱερομένοι μόνοι, οἵ τε διάκονοι καὶ πρεσβύτεροι ἅμα τοῦ καθηγουμένου ἔνδοθεν εἰσερχόμενοι τοῦ ναοῦ, ὅν τινα ὁρίσει ὁ καθηγούμενος τοῦ θυμιᾶσαι, λαβὼν τὴν εὐχὴν αὐτοῦ καὶ τὰς χεῖρας ἀπονιψάμενος, θυμιᾷ πρῶτον τὸ ἱερὸν θυσιαστήριον· κἀκεῖθεν διὰ τῆς ἔμπροσθεν κιγκλίδος, ἐξελθών, δεέρχεται τὸ βόρειον κλίτος [7]) τοῦ ναοῦ, ἐκκλησιάρχου μετὰ φαιδρᾶς τῆς λαμπάδος προπορευομένου ἔμπροσθεν αὐτοῦ, καὶ φθάσας τὴν βασιλικὴν λεγομένην πύλην καὶ τὸν τοῦ σταυροῦ

[1]) аѵ̈тη σὺν Θεῷ, а дальнѣйшихъ словъ нѣтъ. [2]) Вмѣсто этого заглавія стоитъ: Ὅπως διοικούμεθα ἐν ταῖς συνάξεσι τῆς ἁγίας καὶ ἐνδόξου τριημέρου ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν. Περὶ τοῦ ξύλου. [3]) τῆς νυκτὸς, ἤτοι τὴν ε'. ὥραν, ἀρχομένης τῆς ζ'. πίπτει τοῦ... [4]) Опущены слова: ἅμα τοῦ κανονάρχου до словъ: μετὰ φανοῦ περιέρχεται. [5]) σημαίνουσι δὲ παραυτίκα καὶ τὰ ξύλα ἄνω τε καὶ κάτω вмѣсто неопредѣленной фразы текста. [6]) ἡσυχῇ. ὁ ἱερεὺς τὸ πύριον μετὰ χεῖρας ἐπιλαβόμενος, θυμιᾷ πρῶτον τὸ ἱερὸν βῆμα· κἀκεῖθεν διὰ τῆς ἔμπροσθεν κιγκλίδος κ. τ. λ. [7]) κλιὸν(;) τὸ τοῦ ναοῦ, καὶ φθάσας τὴν βασιλικὴν πύλην, θυμιᾷ τοὺς ἀδελφούς, καὶ εὐθέως ἀνατρέχει διὰ τοῦ νοτίου μέρους,

τύπον μέσον τῆς φλιᾶς ποιησάμενος, ἀπάρχεται θυμιᾶν τοὺς ἀδελφοὺς καὶ μετὰ τὸ πάντας θυμιᾶσαι, ἑνὸς τῶν λευιτῶν μεγαλοφώνως (об.] τό· Εὐλόγησον πάτερ, εἰρηκότος, ἐκφωνεῖ ὁ πρεσβύτερος· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι πάντοτε νῦν. Καὶ εὐθέως ἀπάρχεται τροπάριον ἦχος πλ. α΄. Χριστὸς ἀνέστη. Καὶ οὕτως ὁμοφώνως τῶν ἀδελφῶν πάντων ψαλλόντων, εἰσέρχονται εἰς τὸν ναόν. Ὁ δὲ ἱερεύς, ἀνατρέχων διὰ τοῦ νοτίου μέρους (καὶ) θυμιῶν, εἰσέρχεται εἰς τὸ θυσιαστήριον. Καὶ τὸ πυρεῖον ἀποθέμενος, τῶν ἀδελφῶν ἐκ τρίτου τό· Χριστὸς ἀνέστη. λοιπὸν εἰρηκότων, ἵσταται ὁ ἱερεὺς κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, λέγων στίχον· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, συστῆσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως· καὶ δοξάζει, τῶν ἀδελφῶν καθ' ἕκαστα τό· Χριστὸς ἀνέστη ψαλλόντων. Καὶ μετὰ τὴν συμπλήρωσιν τούτου, ἄρχεται· Τῷ Κυρίῳ ᾄσωμεν καὶ εὐθύς· Ἀναστάσεως ἡμέρα, καθότι ἐξάψαλμον τῇ ἑβδομάδι ταύτῃ οὐ ψάλλομεν. Γίνεται δὲ ἀνάγνωσις μία ἀπὸ τοῦ Θεολόγου· Ἀναστάσεως ἡμέρα καὶ ἡ ἀρχὴ δεξιά, καὶ εἰς τὴν ς΄. ᾠδὴν τὸ κοντάκιον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν΄. καὶ ἀπολύει τοῦ ὄρθρου ἡ ἀκολουθία.

Δεῖ εἰδέναι [1]), ὅτι ἡ προλεχθεῖσα τῶν ἀδελφῶν συνάθροισις ἐν τῷ νάρθηκι καὶ ἡ τοῦ κανονάρχου καὶ ἀφυπνιστοῦ συνήθειά τε καὶ διακονία τῷ παντὶ παρεκτείνεται χρόνῳ· ὡσαύτως καὶ ἡ τοῦ ἱερέως ἀκολουθία καθ' ἑκάστην ὀρθρινὴν σύναξιν ἀνυπερθέτως ἐπιτελεῖται, παρεκτὸς τοῦ δοξάζειν ἐν τῷ νάρθηκι, εἰ μὴ ἐν τῷ θυσιαστηρίῳ. Μόνη δὲ ἡ λαμπροφόρος ἑβδομὰς αὕτη διὰ τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἁγίαν ἀνάστασιν προεκρίθη ὑπὸ τῶν πατέρων διαλλάττειν τὴν συνήθειαν.

ὅθεν ἐξῆλθεν· οἵ τε ἀδελφοὶ κατόπιν αὐτοῦ εἰσέρχονται εἰς τὸν ναόν. Αὐτὸς δὲ τὸ πύριον ἀποθέμενος εἰς τὸ ἅγιον βῆμα, ἐξελθὼν ἵσταται κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, καὶ ἄρχεται τροπάριον ὁ ἦχος πλ. α΄. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Ὅπερ μετὰ τὸ ψαλθῆναι τρίτον παρὰ τ' ἐκείνου καὶ τῶν ἀδελφῶν, λέγει ὁ πρεσβύτερος στίχον· Αὕτη ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· οἱ ἀδελφοὶ δὲ τὸ τροπάριον στιχ. β΄. Συστήσασθε ἑορτὴν ἕως τέλος· καὶ πάλιν ὁ λαὸς τὸ τροπάριον δοξάζει. Καὶ μετὰ τὴν συμπλήρωσιν τούτου, ἄρχεται εὐθὺς ὁ κανών, καθότι ἐξάψαλμον πᾶσαν τὴν ἑβδομάδα ταύτην οὐ ψάλλομεν. Γίνονται δὲ δύο ἀναγνώσεις, καὶ ὁ ν΄. ἀπὸ τῆς β΄. ἀναγνώσεως· καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου, γίνεται ὁ ἀσπασμὸς καὶ ἡ ἀπόλυσις.

[1]) Этого всего замѣчанія нѣтъ.

(**л. 133**] Δεῖ εἰδέναι [1]), ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου τῆς λαμπροφόρου κυριακῆς γίνεται ὁ ἀσπασμὸς οὕτως· εἷς τῶν λευιτῶν, τὴν ἱερατικὴν αὐτοῦ ὑπαλλάσσων στολὴν καὶ τὸ ἅγιον εὐαγγέλιον λαμβάνων, ἵσταται εἰς τὰ πρόθυρα τοῦ ἁγίου θυσιαστηρίου. Εἰσερχόμενος οὖν ὁ καθηγούμενος, καὶ τὸ ἅγιον ἀσπαζόμενος εὐαγγέλιον, εἶτα καὶ τὸν διάκονον, ἵσταται πλησίον αὐτοῦ. Εἶθ' οὕτως οἱ ἱερεῖς καὶ οἱ ἀδελφοὶ πάντες κατὰ τὴν ἰδίαν ἕκαστος τάξιν μετὰ λαμπάδων ἀλλήλους ἀσπάζονται καὶ τὸ Χριστὸς ἀνέστη προσφθεγγόμενοι ἀντιφθέγγονται πάλιν οἱ ἀσπαζόμενοι τό· Καὶ γὰρ ἀνέστη. Τῶν ταξιαρχῶν τὴν εὐταξίαν ταύτην ποιουμένων καὶ στοιχηδὸν πάντων ἱσταμένων. Ὅτε φθάσωσι μέχρι τῶν βασιλικῶν πυλῶν, ἀνατρέχουσιν ἕως τῶν αὐτῶν βασιλικῶν πυλῶν, καὶ οὕτως λοιπὸν καὶ τὸ τοῦ ναοῦ ἕτερον μέρος ἀναπληροῦσι, καὶ τό· Χριστὸς ἀνέστη μεγαλοφώνως πάντων λεγόντων, ἐπισυνάπτουσι καὶ τό· Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. Εἶθ' οὕτως ἀνέρχεται ὁ κανονάρχης, εἰ τύχῃ, ἢ ἕτερος τῶν ἀδελφῶν ἐν τῷ ἄμβωνι καὶ ἀναγινώσκει τὸν τοῦ ἁγίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου λόγον, οὗ ἡ ἀρχή· Εἴτις εὐσεβὴς καὶ φιλόθεος. Καὶ μετὰ τὴν συμπλήρωσιν τῆς ἀναγνώσεως ἀγεληδὸν πάντων συναθροισθέντων καὶ τῷ Κυρίῳ εὐχαριστησάντων, καὶ τὰς τρεῖς προσκυνήσεις ποιησάντων, γίνεται εὐχὴ ὑπὸ τοῦ καθηγουμένου καὶ ἡ τοῦ ὄρθρου τελεία ἀπόλυσις.

Δεῖ εἰδέναι [2]), ὅτι εἰς τὴν θείαν λειτουργίαν τὰ κατὰ συνήθειαν ψαλλόμενα ἀντίφωνα τό· Εὐλόγει (**об.**] ἡ ψυχή μου τὸν Κύριον καὶ τὰ ἑξῆς· οὐ λέγομεν, ἀλλὰ μᾶλλον τὰ τῆς μεγάλης ἐκκλησίας παραδεδομένα. Ὁμοίως καὶ εἰς πᾶσαν ἑτέραν δεσποτικὴν ἑορτὴν οὕτως ποιοῦμεν. Τὸ προκείμενον δὲ καὶ τὸν ἀπόστολον καὶ τὸ ἀλληλουάριον ἔσωθεν τοῦ βήματος ὁ διάκονος λέγει, ὁμοίως καὶ ὁ πρωτοπρέτορος (πρωτοπρεσβύτερος) τὸ ἅγιον εὐαγγέλιον.

Δεῖ εἰδέναι, ὅτι εἰς τὰ λυχνικὰ [3]) τῆς ὅλης ἑβδομάδος ταύτης τὸ κατὰ συνήθειαν Προοίμιον οὐ λέγεται, ἀλλ' ἢ μόνον τό· Χριστὸς ἀνέστη καὶ εὐθέως τό· Κύριε ἐκέκραξα, ὁμοίως καὶ ἐν τῷ ἀπολυτικίῳ. Ἐν δὲ

---

[1]) О цѣлованіи упоминается, но подробнаго описанія самаго обряда нѣтъ. [2]) Этого замѣчанія нѣтъ. [3]) Εἰς δὲ τὰ λυχνικὰ ταύτης τῆς ἑβδομάδος λέγομεν τό· Χριστὸς ἀνέστη· καὶ εὐθέως τὸ, Κύριε ἐκέκραξα, καὶ ἀπολυτικὸν τό· Χριστὸς ἀνέστη. Ὁμοίως ἐν τοῖς ἀποδείπνοις τὸν τρισάγιον ὕμνον, καὶ τὸ Κύριε ἐλέησον, ιβ'.

τῷ λυχνικῷ τῆς λαμπροφόρου κυριακῆς, γινομένης εἰσόδου, μετὰ τὸ προκείμενον, εὐαγγέλιον κατὰ Ἰωάννην· Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Ἐν δὲ τοῖς ἀποδείπνοις τὸν Τρισάγιον ὕμνον καὶ δώδεκα τὸ Κύριε ἐλέησον μόνον λέγομεν.

Τῇ δὲ ἐπαύριον [1]), ὥρᾳ δευτέρᾳ τῆς ἡμέρας κρούων τὰ τρία ὁ κανονάρχης, συναγόμεθα ἐν τῷ ναῷ τοῦ μεγάλου Προδρόμου, καὶ τὰς ἱερὰς διπλοΐδας οἱ ἱερεῖς περιβαλλόμενοι, αἴροντες τοὺς τιμίους σταυροὺς καὶ τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας πάντες οἱ ἀδελφοί, κυκλεύομεν τὸν ἔναγχον τῆς μονῆς ὄντα ἀμπελῶνα, τό· Χριστὸς ἀνέστη, πάντες μεγαλοφώνως λέγοντες. Εἶθ' οὕτως ἀπερχόμεθα εἰς τὸν αἰγιαλὸν τῆς θαλάσσης, καὶ γινομένης ἐκτενοῦς, ἀπερχόμεθα εἰς τὸν ναὸν τῆς Ὑπεραγίας Θεοτόκου, κἀκεῖ ἐκτενὴν ποιοῦντες, ἀνθυποστρέφομεν εἰς τὸν ναὸν τοῦ ἁγίου Προδρόμου. Πρὸ δὲ τῆς εἰσόδου τῆς λιτῆς σημαίνει ὁ κανονάρχης, καὶ γίνεται ἡ ἔναρξις, καὶ εἰσοδευόντων τῶν ἱερέων, τελεῖται ἡ θεία λειτουργία. Ὡσαύτως καὶ τῇ Βαϊοφόρῳ καὶ τοῦ Εὐαγγελισμοῦ λιτανεύομεν, ἐὰν τὸ κατάστημα τοῦ ἀέρος καθαρὸν ᾖ.

Δεῖ εἰδέναι [2]), ὅτι τῇ τρίτῃ τῆς διακαινησίμου δίδομεν (εἰς) τοὺς ὁριζομένους λαβεῖν τὸ ἅγιον καὶ μέγα σχῆμα ἀδελφούς.

Δεῖ εἰδέναι, ὅτι τῷ σαββάτῳ [3]) τῆς διακαινησίμου εἰς τὸ λυχνικὸν ἀπαρχόμεθα ψάλλειν (л. **134**] τὸ κατὰ συνήθειαν πάλιν Προοίμιον· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ εὐθέως τό· Κύριε ἐκέκραξα. Εἰς δὲ τὰ ἀπόδειπνα· Μεθ' ἡμῶν ὁ Θεός. Ὁμοίως δὲ καὶ ἐν τοῖς λοιποῖς σάββασιν οὕτως ἀεὶ ψάλλομεν.

Τῇ δὲ νέᾳ κυριακῇ [4]) ἀπαρχόμεθα τὸν ἑξάψαλμον, τὸ δὲ Θεὸς Κύριος λέγομεν εἰς ἦχον βαρὺν καὶ τροπάριον· Ἐσφραγισμένου τοῦ μνήματος, καὶ εὐθὺς ὁ κανών. Τῇ δὲ κυριακῇ ἑσπέρας ἀρχόμεθα τό· Μα-

[1]) Нѣтъ описанія крестнаго хода. [2]) Нѣтъ этого замѣчанія. [3]) τῷ δὲ σαββάτῳ τῆς διακαινησίμου, καὶ τῇ κυριακῇ ὀψὲ τῆς λαμπροφόρου, εἰς τα ἀποδείπνια ἀπὸ τοῦ· Μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ἐπένεινα. [4]) Τῇ δὲ κυριακῇ τῆς λαμπροφόρου ἄρχεται καὶ τὸ ἑξάψαλμον, καὶ λέγομεν τὸ Θεὸς Κύριος εἰς πλ. δ'. καὶ εὐθὺς τοὺς ἀναβαθμοὺς εἰς τὸν αὐτὸν ἦχον· τό τε προκείμενον· καὶ τὸ Πᾶσα πνοή, εἶτα τὸ εὐαγγέλιον, καὶ τὸ· Ἐν ταῖς νυξί. Καὶ μετὰ τὸν ν'. ἄρχεται ὁ κανὼν, γίνονται δὲ ἀναγνώσεις β'.

κάριος ἀνὴρ [1]) καὶ τοῦ πρώτου ἤχου ἀναστασίμου. Χρὴ δὲ εἰδέναι [2]), ὅτ ἀεὶ Μακάριος ἀνὴρ ἐν τοῖς λυχνικοῖς [3]) ἄρχεται εἰς ἦχον πλ. δ'. εἶτα ἡ δευτέρα ἔναρξις καὶ ἡ τρίτη εἰς τὸν ἦχον τῆς ἡμέρας, τὸ δὲ [4]) Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῶν στιχηρῶν [5]) τῆς ἑορτῆς.

Τῇ δὲ ἐπαύριον [6]) εἰς τὸν ὄρθρον μετὰ τὸν ἑξάψαλμον, ψάλλομεν τό· Θεὸς Κύριος εἰς ἦχον πρῶτον καὶ τροπάριον· Τοῦ λίθου σφραγισθέντος καὶ ἐν κάθισμα ψαλμοὺς καὶ τρισάκις ἀναγινώσκομεν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἀναγνώσεως, εὐθὺς ἀναβαθμοὶ εἰς ἦχον πρῶτον, προκείμενον ἀναστάσιμον· Πᾶσα πνοὴ καὶ εὐαγγέλιον, εἶτα τό· Ἐν ταῖς νυξὶν καὶ τό· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ πεντηκοστός, καὶ εὐθὺς ὁ κανών.

Δεῖ εἰδέναι, ὅτι ἄχρι [7]) τῆς ἁγίας ἀναλήψεως προηγεῖται τριῴδια ἀναστάσιμα τὸν τῆς ἡμέρας κανόνα, ὡσαύτως καὶ στιχηρὰ ἀναστάσιμα προηγεῖται τῶν λοιπῶν στιχηρῶν, παρεκτὸς τῶν σταυροσίμων, καὶ τό· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἄχρι τότε καθ' ἑκάστην λέγομεν, προηγεῖται τοῦ πεντηκοστοῦ.

Ἰστέον, ὅτι ἕως τῆς ἁγίας Πεντηκοστῆς ὥρας οὐ ψάλλομεν, οὐδὲ γόνυ κλίνομεν [8]), πλὴν αἱ προσκυνήσεις παρὰ τῶν σπουδαίων, ἀντὶ τῶν

---

[1]) Καὶ τῇ κυριακῇ ἑσπέρᾳ ἄρχεται τό· Μακάριος ἀνήρ. Καὶ τῇ β'. εἰς τὸν ὄρθρον ψάλλομεν πάλιν τὸ Θεὸς Κύριος, εἰς πρῶτον ἦχον, καὶ ἓν κάθισμα ψαλμοῦ, εἶτα τὸν κανόνα Ἀναστάσεως (ἡμέρα)· γίνονται δὲ ἀναγνώσεις γ'. Ἐκ τότε τὰ ἀποδείπνια ὁλόκληρα ποιοῦμεν, πλὴν σαββάτου ἑσπέρας, καὶ ἑορτῆς δεσποτικῆς καὶ μνήμης ἁγίου, ἀργίαν ἡμῶν τῶν ἔργων ἢ καὶ τῶν ὡρῶν καὶ τῶν μετανοιῶν, ὅτε γίνονται προξενούσης· Ἐν ταύταις γὰρ ἀπὸ τοῦ· Μεθ' ἡμῶν ὁ Θεὸς, καὶ ἐπέκεινα. Κάμνουσι δὲ καὶ αἱ διακονίαι ἀπὸ πρωΐ, τῇ γ'. τῆς β'. ἑβδομάδος ἀρχομένης· Ἕως δὲ τῆς ν'. ἐν τῷ λυχνικῷ προκείμενα ψάλλομεν ἑκάστης ἡμέρας. [2]) γινώσκειν [3]) Πᾶσι τῶν δεσποτικῶν ἑορτῶν [4]) Εἶτα [5]) τῶν στίχων. [6]) Все это изложено выше подъ воскресеніемъ. (См. прим. 1) [7]) ὅτι ἄχρι τῆς Ἀναληψίμου ἑορτῆς προηγοῦνται τὰ ἀναστάσιμα στιχηρὰ καθισμάτων τῶν τε κατανυκτικῶν καὶ ἀποστολικῶν. Χρὴ γινώσκειν, ὅτι ἀπὸ τοῦ Πάσχα ἕως τῆς Ἀναληψίμου, τό· Ἀνάστασιν Χριστοῦ λέγομεν, εἶθ' οὕτως τὸν Ν'. καὶ μαρτυρικὰ ἐν τῇ ψαλμῳδίᾳ· ἐξ ἐκείνου δὲ οὐκέτι. [8]) Далѣе слѣдуютъ слова: ἀλλ' οὖν κανόνας νεκρωσίμους ἐν τοῖς σάββασι ψάλλομεν· καὶ ἐν ἄλλῃ δὲ ἡμέρᾳ, εἰ τύχοι μνημόσυνον ἀδελφοῦ, ψάλλομεν. Δεῖ εἰδέναι, ὡς τῷ σαββάτῳ τῆς ν'. εἰς τὸ ἐξαποστειλάριον ψάλλομεν· Ἡ μνήμη τῶν κεκοιμημένων, Κύριε· καὶ τοῦτο ψάλλοντες κατερχόμεθα εἰς τοὺς τάφους τῶν ἀδελφῶν, κἀκεῖ ἱστάμενοι ψάλλομεν τὰ

γονυκλισιῶν ἐπιτελοῦνται, ὡσαύτως καὶ τὰ τῶν ὡρῶν προοίμια μετὰ Τρισάγιον ἑκάστης ὥρας ψάλλονται.

Δεῖ εἰδέναι, ὅτι κἂν πάσας (οϐ.] τὰς ἡμέρας ἀναστασίμους ἡγούμεθα, ἀλλ' οὖν κανόνας νεκρωσίμους ἐν τοῖς σάββασι ψάλλομεν καὶ ἐν ἄλλῃ δὲ ἡμέρᾳ, εἰ τύχοι μνημόσυνον ἀδελφοῦ.

Ἰστέον, ὅτι τῇ ἁγίᾳ Πεντηκοστῇ εὐαγγέλιον ἑωθινὸν οὐκ ἀναγινώσκεται, οὔτε τι τῆς Ὀκτωήχου ψάλλεται, εἰ μὴ μόνον τῆς ἑορτῆς[1]).

Εἶτα εἰσέρχεται ἡ τεσσαρακοστὴ τῶν ἁγίων ἀποστόλων καὶ ἀρχόμεθα ψάλλειν καὶ τὰς ὥρας μετὰ καθισμάτων[2]) πάντοτε. Μετὰ γοῦν τὸ τέλος τῆς ψαλμῳδίας, λέγομεν τό· Κύριε ἐλέησον εἰκοσάκις[3]), καὶ βάλλομεν ἐν πρώτοις γ'. γονυκλισίας[4]) ἰσοταχῶς, ἅπαντες τῷ προεστῶτι ἑπόμενοι, ἐν αἷς καὶ μικρὸν τὰς χεῖρας ἐκτείνομεν πρὸς τὸν Θεόν. Εἶθ' οὕτως ἄλλας εἴκοσιν, ὡς ἔχει τάχους ἕκαστος. Οὕτως οὖν καθ' ἑκάστην σύναξιν. Εἰς δὲ τὸ ἀπόδειπνον γονυκλισίαι Ν'. καὶ εἰς τὸν ὄρθρον μ'.

Γνωστέον[5]), ὅτι ἡνίκα ψάλλομεν κανόνα, οἷον οὖν τὴν πρώτην ὥραν, ὁ καθεὶς ψάλλει λιτὴν, ὁπότε δὲ τὰ τρία καθίσματα ψάλλομεν, τὸ Ψαλτήριον καὶ τὸ Τριῴδιον, τὴν πρώτην ὁμοῦ πάντες συναγόμενοι μετὰ καθίσμα(τος), ἀποδίδομεν τὴν θ'. ὥραν. Ἐν δὲ τῇ μεγάλῃ τεσσαρακοστῇ καὶ κανὼν ἂν ψαλθῇ τὴν πρώτην ὁμοῦ πάντες.

Χρὴ γινώσκειν, ὅτι εἰς ἕκαστον ὄρθρον μετὰ τὸ τέλος τῆς ἀναγνώσεως ἐγειρόμενοι δωδεκάκις λέγομεν τό· Κύριε ἐλέησον καὶ οὕτως πάλιν ἄρχεται ἡ ψαλμῳδία.

Δεῖ εἰδέναι, ὡς καθ' ἕκαστον σάββατον καὶ κυριακὴν, ὅτε οὐκ ἔστιν ἐν αὐταῖς, ἤτοι ἑορτὴ δεσποτικὴ, ἢ μνήμη ἁγίου, τὸν ἀπόστολον ἀναγινώσκομεν. Ἐν δὲ τοῖς σάββασιν εἰς τὸν ὄρθρον ψάλλομεν πρὸ τοῦ Ἀμώμου κάθισμα, εἶτα τὸν Ἄμωμον, εἶτα τὸν πεντηκοστόν, εἶτα τὸν

τῆς ἡμέρας στιχηρά, καὶ ἀπολύει ὁ ὄρθρος. Τοῦτο δὲ ποιοῦμεν καὶ τῷ σαββάτῳ τῆς Ἀποκρέου.

[1]) Этого замѣчанія нѣтъ, но имѣется служба вечерни Пятидесятницы. Χρὴ γινώσκειν, ὅτι ὀψὲ τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς εἰς τὸ λυχνικὸν, ἐν ᾧ καὶ τὰς γ'. γονυκλισίας ποιοῦμεν, μετὰ τὸ προοίμιον εὐθέως τό· Κύριε ἐκέκραξα· καὶ τῇ ἑωθεν εἰς τὸν ὄρθρον μετὰ τὸ ἐξάψαλμον τὸ Θεὸς Κύριος λέγομεν· καὶ εὐθὺς τὸν κανόνα, καὶ ἀναγνώσεις β'. ἄγομεν δὲ καὶ τὴν ἑβδομάδα ταύτην μὴ ψάλλοντες ὥρας. [2]) καθίσματος [3]) λέγομεν τό· Κύριε, ἐλέησον, Χριστέ, ἐλέησον. Καὶ βάλλομεν... [4]) μετανοίας, [5]) Этого замѣчанія нѣтъ.

κανόνα. Γίνονται δὲ ἀναγνώσεις γ'. Εἰς γὰρ τὸν Ἄμωμον οὐκ ἀναγινώσκομεν. Ἀντὶ δὲ τοῦ ἐξαποστειλαρίου λέγομεν τό· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Αὕτη ἡ ποσότης τε καὶ ποιότης τῆς ψαλμῳδίας διατείνει μέχρι τῆς ὑψώσεως τοῦ ζωοποιοῦ ξύλου.

(л. 135] Ἰστέον, ὅτι εἰς τὴν μεταμόρφωσιν [1]) καὶ εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου, ἤγουν ὀψὲ [2]) εἰς τὸ λυχνικὸν τὸ μεθέορτον, μετὰ τὸ Προοίμιον εὐθὺς τό· Κύριε ἐκέκραξα. Καὶ τὴν ἑωθεν εἰς τὸν ὄρθρον μετὰ (τοὺς) ἑξαψάλμους, πάλιν εἰς τό· Θεὸς Κύριος καὶ εὐθὺς ὁ κανών, ἀναγνώσεις δὲ δύο. Ὁμοίως εἰς τὴν ὕψωσιν [3]) καὶ εἰς τὸ γενέθλιον τῆς [4]) Θεοτόκου, ὁμοίως εἰς τὴν Χριστοῦ γέννησιν [5]), ὡσαύτως καὶ εἰς τὰ Φῶτα, ὡσαύτως εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου. Ἐν ἄλλαις δὲ ἑορταῖς πλὴν τῶν προγεγραμμένων, διπλῶς ἑορτάζειν οὐκέτι. Ἀπὸ δὲ τῆς ὑψώσεως ἕως τῆς πασχαλίας [6]) προστίθεται καὶ ἕτερον κάθισμα ἐν τοῖς ὄρθροις, καὶ τὰ τροπάρια δὲ τοῦ καθίσματος διπλοῦνται, λεγομένου μεσοστίχου. Γίνονται δὲ ἀναγνώσεις δ'. Ἐν δὲ τοῖς σάββασι τούτοις ψάλλομεν τὰ πρὸ τοῦ Ἀμώμου δύο καθίσματα, εἶτα τὸν Ἄμωμον, εἶθ' οὕτως τὸν κανόνα, γινομένων δὲ τεσσάρων ἀναγνώσεων, καθ' ὅτι εἰς τὸν Ἄμωμον οὐκ ἀναγινώσκομεν [7]).

---

[1]) τὴν μεταμόρφωσιν—нѣтъ. [2]) ὀψὲ—нѣтъ. [3]) τὴν ὕψωσιν—нѣтъ. [4]) τῆς αὐτῆς [5]) γένναν. [6]) ἕως τῆς μεγάλης μ'. [7]) Далѣе у Минѣ статья: περὶ τῆς ἁγίας τεσσαρακοστῆς, изъ которой главы съ 14 по 17 включительно нашъ списокъ Ὑποτύπωσι'а опускаетъ совершенно. Опущенныя главы слѣдующія: ιδ'. Χρὴ γινώσκειν, ὅτι τῇ ἁγίᾳ καὶ μεγάλῃ μ'. ψάλλομεν καθίσματα δ'. καὶ τὸ τριῴδιον. Γίνονται καὶ ἀναγνώσεις δ'. Καὶ τῶν ἀδελφῶν μικρὸν ἀναπνεύσαμένων, περὶ τὸ διάφυσμα σημαίνει ὁ ἐκκλησιάρχης· καὶ πάντων συναθροισθέντων ἐν τῷ κυριακῷ, ψάλλομεν τὴν α'. μετὰ καθίσματος· οὐ μὴν καὶ ἀναγινώσκομεν ἐν αὐτῇ. Ἐν δὲ τῇ γ'. καὶ ς'. καὶ θ'. ἀναγινώσκομεν. Καθ' ἕκαστον ἀντίφωνον, ἤγουν δόξαν, εὐχὴ γίνεται παρά τε τοῦ πρεσβυτέρου καὶ διακόνου. Ποιοῦμεν δὲ μετανοίας εἰς μὲν τὰς ὥρας καὶ τὸ λυχνικὸν ἀνὰ λ'. Εἰς δὲ τὸ ἀποδείπνιον ρ'. καὶ εἰς τὸν ὄρθρον π'. ιε'. Δεῖ εἰδέναι, ὅτι τῇ μεγάλῃ ἑβδομάδι ὅλῃ ψάλλομεν τὰς ὥρας ὁμοίως ταῖς πρὸ αὐτῶν, πλὴν τοῦ ἁγίου σαββάτου· καὶ μετανοίας δὲ ποιοῦμεν ἕως ὅτου ἄρξηται τὸ ἑωθινὸν τρισάγιον, ὅπερ λέγεται μετὰ τὸ στιχηρὸν τοῦ στίχου· μεθ' οὗ προκείμενον καὶ ἀπόστολον, καὶ προφητείαν, καὶ εὐαγγέλιον. ις'. Χρὴ γινώσκειν ὅτι δ'. καὶ παρασκευῇ καὶ κυριακῇ, τῶν ἀδελφῶν ἱσταμένων μετὰ πάσης εὐλαβείας, μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου ἀναγινώσκεται ἡ κατήχησις τοῦ θεοφόρου πατρὸς ἡμῶν Θεοδώρου. Εἶτα λέγει τὰ παρ' ἑαυτοῦ ὁ

Ἰστέον [1]), ὅτι καὶ ἐπιστημονάρχαι εἰσίν, εἰς οὓς τὰ σφάλματα τῶν μικροτέρων ἀδελφῶν ἀναφερόμενα, τὴν διόρθωσιν δέχονται· καὶ ταξιάρχαι δύο κατὰ χορὸν, εἷς [2]) ὑφ' ὧν οἱ ἀδελφοὶ κοσμίως ἱστασθαι ἐν τοῖς χοροῖς ὑπομιμνήσκονται. Καὶ ἀφυπνιστὴς ἕτερος, ὁ ἐν ταῖς ἀναγνώσεσι τοῦ ὄρθρου, ἡρέμα περιερχόμενος τοὺς ἀδελφοὺς, καὶ τοὺς κοιμωμένους ἐξυπνίζων, ἀλλὰ καὶ ἐπιτηρηταὶ καθ' ἑσπέραν δύο τάσσονται ἀμοιβαδόν. οἵτινες μετὰ τὴν φωνὴν τοῦ ξύλου προτρέπονται τοὺς νοθεῖς συνδραμεῖν [3]) εἰς τὴν τοῦ ἀποδείπνου σύναξιν, καὶ πάλιν μετὰ τὴν ἀπόλυσιν [4]) περινοστοῦσι τοὺς κρυπτοὺς τοῦ μοναστηρίου τόπους, καὶ τοὺς συνδυάζοντας εἰς ἀκαίρους συντυχίας (об.] διαλύουσι μετὰ τῆς προσηκούσης στυφότητος.

Χρὴ γινώσκειν, (ὅτι) κοινῶς [5]) καθ' ἕκαστον ἀπόδειπνον ὁ διὰ χειρῶν σταυροειδὴς ἀσπασμὸς γίνεται, σημεῖον τυγχάνων ἀποκαταλλαγῆς ἑκάστου πρὸς ἕκαστον, διὰ τὰς μεθημερινὰς συμβαινούσας προσκρούσεις.

Δεῖ εἰδέναι, ὡς τῇ παραμονῇ τῶν Χριστοῦ γεννῶν, καὶ τῶν Φώτων, καὶ τῇ ἁγίᾳ πέμπτῃ ὀψέ, καὶ τῷ ἁγίῳ σαββάτῳ ὀψὲ ἀπόδειπνον οὐ ψάλλομεν, ἀλλ' ἢ τὸ Τρισάγιον καθ' ἑαυτούς [6]).

Ἰστέον, ὡς ἐν τοῖς ἀποδείπνοις τῆς ἁγίας τεσσαρακοστῆς, πᾶσι σχεδὸν, πῇ μὲν παρὰ τοῦ προεστῶτος, πῇ δὲ παρὰ τῶν προβεβηκότων καὶ λόγου μεμειραμένων [7]) κατήχησις ἐν τοῖς ἀδελφοῖς γίνεται.

Δεῖ εἰδέναι, ὅτι καθ' ἕκαστον ὄρθρον ἐξέρχεται τοῦ χοροῦ ὁ ἡγούμενος ἐν τῷ ἄρξασθαι [8]) τὴν τετάρτην ᾠδήν, καὶ καθεζόμενος εἰς τὴν ἐξαγγελίαν, δέχεται τοὺς ἀδελφοὺς προσιόντας, καὶ θεραπεύει ἕνα ἕκαστον πρὸς τὸ συμφέρον.

Χρὴ γινώσκειν, ὡς τῇ ἁγίᾳ τεσσαρακοστῇ τάσσεται ἀδελφὸς γηραιὸς, καὶ ἀπὸ τῆς τρίτης [9]) ἀπέρχεται εἰς ἑκάστην διακονίαν, καὶ βα-

---

ἡγούμενος νουθετῶν τοὺς ἀδελφούς. Καὶ μετὰ τὴν συμπλήρωσιν τῆς κατηχήσεως, δοξάζουσιν, καὶ λέγεται τὸ Πάτερ ἡμῶν, καὶ εὐλογεῖτε, ἅγιοι, εὐλόγησον, πάτερ, καὶ ἀπολύει. Οὕτως καθόλου τοῦ ἐνιαυτοῦ. ιζ'. Χρὴ γινώσκειν, ὅτι τῷ σαββάτῳ εἰς τὸ Κύριε ἐκέκραξα, τὰ ἀναστάσιμα στιχηρὰ τρισσεύονται, εἰς δὲ τοὺς αἴνους δυσσεύονται. Ὁμοίως καὶ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς.

[1]) У Миня эта глава (ιη'.) и слѣдующая помѣщены въ статьѣ: περὶ τῆς ἁγίας τεσσαρακοστῆς ιη'.—κζ'. [2]) Εἷς—нѣтъ [3]) νοθεῖς συνδραμεῖν εἰς τὰ ἑσπερινὰ καὶ εἰς τὰ ἀποδείπνια. [4]) μετὰ τὴν ἀπόλυσιν τοῦ ἀποδειπνίου. [5]) ὡς [6]) ἢ τὸ Τρισάγιον εἰς τὸ τραπεζάριον. [7]) πεπειραμένων. [8]) Τοῦ ἄρξασθαι [9]) ἀπὸ τῆς γ'. ὥρας.

λῶν μετάνοιαν λέγει· Ἀδελφοὶ καὶ πατέρες, ἀδελφοὶ καὶ πατέρες, προσέχωμεν ἑαυτοῖς, ὅτι ἀποθνήσκομεν, ἀποθνήσκομεν, ἀποθνήσκομεν[1]).

Ἰστέον, ὡς ὅτε δεχόμεθα ἀδελφούς, εἴτε ἀπὸ ἄλλου μοναστηρίου. εἴτε καὶ λαϊκοὺς πρὸς τὸ μονάσαι, ποιοῦμεν αὐτοὺς καθεσθῆναι εἰς τὸ ξενοδοχεῖον ἑβδομάδας δύο, ἢ καὶ τρεῖς πρὸς θεωρίαν καὶ πεῖραν τοῦ μοναστηρίου· καὶ εἰ ἐπιμένει τῇ κρίσει τοῦ λογισμοῦ αὐτοῦ, μετὰ τὸ διαμαρτύρασθαι αὐτῷ τὸν ἡγούμενον τὰ συμβησόμενα, τηνικαῦτα ἐπὶ κατηχήσεως εἰσάγει αὐτὸν καὶ συναριθμεῖ (π. **163**] τῇ ἑαυτοῦ ποίμνῃ. βάλλοντος τοῦ προσερχομένου μετάνοιας τοῖς ἀδελφοῖς κατ' ἐπιτροπὴν τοῦ ἡγουμένου, κἀκείνων ἐπευχομένων αὐτῷ.

Χρὴ γινώσκειν, ὡς καὶ ἀφορίστριαί εἰσι παρ' ἡμῖν, ἐν αἷς οἱ ἀπειθεῖς καὶ δυσήνιοι κατακλείονται, ξηροφαγοῦντες καὶ παιδευόμενοι τὴν ἀρετήν· ἡ γὰρ διὰ μαστίγων παίδευσις, ὡς τοῖς κοσμικοῖς ἁρμόζουσα, τοῖς πατράσιν ἡμῶν ἀπόβλητος εἰκότως ἐκρίθη.

Δεῖ εἰδέναι, ὅτι ἐν αἷς ἡμέραις ἀργίαν ἄγομεν τῶν σωματικῶν ἔργων, κρούει ὁ βιβλιοφύλαξ τὸ ξύλον ἅπαξ, καὶ συνάγονται οἱ ἀδελφοὶ εἰς τὸν τόπον τῶν βιβλίων, καὶ λαμβάνει ἕκαστος βιβλίον, καὶ ἀναγινώσκει ἕως ὀψέ. Πρὸ δὲ τοῦ σημάντρου[2]) τοῦ λυχνικοῦ, κρούει πάλιν ἅπαξ ὁ ἐπὶ τῶν βιβλίων, καὶ ἐρχόμενοι πάντες κατὰ τὴν ἀναγραφὴν ἀποστρέφουσιν αὐτά. Εἰ δέ τις ὑστερίσει εἰς τὴν ἀπόδοσιν τῆς βίβλου, ἐπιτιμίῳ ὑποβάλλεται.

Χρὴ εἰδέναι, ὡς ἡνίκα ἐννάτῃ[3]) ποιοῦμεν ἀπὸ τῆς ἕκτης λειτουργεῖ ὁ πρεσβύτερος· εἰ δὲ ἕκτην[4]) μέλλομεν ἐσθίειν ἀπὸ τῆς τρίτης. Ἐὰν δὲ ἀργίαν ἄγομεν τῶν ὡρῶν καὶ κάμνομεν, ἡ μὲν θεία λειτουργία ὥραν τρίτην σημαίνει. Μετὰ δὲ τὴν συμπλήρωσιν αὐτῆς, κρούει τὸ ξύλον τρίς, καὶ συνάγονται πάντες ἀδελφοὶ ἐπὶ τὸ αὐτό, καὶ μετὰ τὸ ψάλλαι τὰ τυπικὰ καὶ λαβεῖν εὐλογίαν, κατέρχονται[5]) εἰς τὴν τράπεζαν.

Περὶ τῆς ἐν βρωμασι καὶ πόμασι ποσότητος καὶ ποιότητος, καὶ τῆς ἐν ταῖς τραπέζαις εὐταξίας.

Κατερχομένων[6]) τῶν ἀδελφῶν εἰς τὸ ἀριστῆσαι, ὁ στίχος ἐπὶ στόματος αὐτῶν[7]) φέρεται. (**οβ.**] Κάθηνται δὲ κατὰ ἀκούβητον[8]) θ'. οἱ

---

[1]) ἀδελφοὶ καὶ πατέρες, προσέχωμεν ἑαυτοῖς, ὅτι ἀποθνήσκομεν, ἀποθνήσκομεν, ἀποθνήσκομεν· μνημονεύσωμεν καὶ τῆς ἐπουρανίου βασιλείας. [2]) πρὸ δὲ τῶν σημαντήρων. [3]) Ἐννάτην. [4]) ἕκτην — нѣтъ [5]) ἀπερχόμεθα. [6]) ὑπερχομένων. [7]) ὁ στίχος αὐτῶν ἐπὶ στόματος. [8]) κάθηνται δὲ κατὰ τράπεζαν ἀκόβητον θ'.

ταξιάρχαι δὲ τὰς ἀναπληρώσεις τῶν τραπεζῶν ποιοῦνται εὐτάκτως [1]), ἐκτὸς θορύβου. Γίνεται δὲ καὶ ἀνάγνωσις, τῶν ἀδελφῶν τὰ κουκούλια χειμῶνος [2]) ἐπὶ κεφαλῆς ἐχόντων. Σημεῖον δὲ τοῦ τέλους τῆς ἀναγνώσεως ταύτης ἐστὶν ὁ ἦχος τῶν χλιερίων [3]) ἐν τῇ ὑστάτῃ μαγειρίᾳ, πάντων ὁμοῦ ἐπὶ τῶν παροψίδων ἐπιῤῥιπτομένων [4]). Ὁμοίως δὲ καὶ τὸ κεράσαι καὶ τὸ παραθῆσαι διὰ κρούσματος γίνεται.

Ἰστέον, ὅτι ἀπὸ τῆς πασχαλίας μέχρι τῶν ἁγίων πάντων τὰς δύο μαγειρίας, τό τε λάχανον καὶ τὸ ὄσπριον μετὰ ἐλαίου ἐσθίομεν. Χρώμεθα δὲ καὶ ἰχθύων, καὶ τυροῦ, καὶ ᾠοῦ· πίνομεν δὲ τὰ ἄριστα γ'. ὀψὲ δὲ τρία [5]). Κρούοντος τοῦ ξύλου, κατέρχονται [6]) οἱ ἀδελφοὶ καὶ ἐσθίουσιν ἄρτον, καὶ ἐὰν ἐπερίσσευσε μαγειρία πρωΐ, ἐπίτηδες [7]) γὰρ ἔδεσμα ὀψὲ οὐ γίνεται, κιρνὰ δὲ δύο.

Εἰς δὲ τὴν τεσσαρακοστὴν τῶν ἁγίων ἀποστόλων ἰχθύας καὶ τυρὸν καὶ ᾠὰ οὐκ ἐσθίομεν, πλὴν τῶν ἡμερῶν, ἐν αἷς [8]) οὐ ψάλλομεν, τρώγοντες [9]) δὲ τὰς δύο μαγειρίας, τὸ μὲν λάχανον μετ' ἐλαίου, τὸ δὲ ὄσπριον ἄνευ ἐλαίου ἐσθίομεν· κιρνὰ δὲ δύο τὴν ἐννάτην [10]) καὶ δύο ὀψέ. Ἐν δὲ ταῖς ἀργησίμοις, ἐν αἷς ἠνίξάμεθα τυρὸν ἐσθίειν καὶ τὰ λοιπὰ τὴν ἕκτην τρώγοντες, τρία πίνομεν καὶ δύο ὀψέ. Οὗτος ὁ τύπος τηρεῖται [11]) καὶ τὴν τεσσαρακοστὴν τοῦ ἁγίου ἀποστόλου Φιλίππου [12]).

Ἀπὸ δὲ τῶν ἁγίων [13]) ἀποστόλων τὴν μνήμην ἕως τοῦ ἁγίου Φιλίππου, τετράδα καὶ παρασκευὴν ἐννάτας ποιοῦμεν, ἐν αἷς [14]) πάλιν ὁ τύπος τηρεῖται εἴς τε τὰ βρώματα καὶ (л. **137**] πόματα τῶν ἀμφοτέρων τεσσαρακοστῶν. Ἐὰν δὲ ἐμπέσῃ [15]) ἐν αὐταῖς μνήμη ἁγίου, σχολὴν ἡμῖν ἐμποιοῦσα τῶν τε ὡρῶν καὶ μετανοιῶν·[16]), ἰχθύν, εἴπερ χορηγοίηται [17]) ἐσθίομεν, κιρνὰ δὲ τρία τὸ ἄριστον καὶ ὀψὲ δύο.

Περὶ τῆς ἁγίας [18]) τεσσαρακοστῆς.

Ἐν δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ μονοσιτοῦμεν, πλὴν σαββάτου καὶ κυριακῆς· ἐσθίομεν τῇ πρώτῃ καὶ τῇ μεγάλῃ [19]) ἑβδο-

---

[1]) Ποιοῦνται, καὶ εὐτάκτως, ἐκτὸς θορύβου. [2]) Χειμῶνος — нѣтъ. [3]) τῶν κλιερίων. [4]) παραδίψων ἐῤῥιπτομένων. [5]) ὀψὲ δὲ τρία — нѣтъ. [6]) ἀπέρχονται. [7]) (ἐπίτηδες γὰρ ἔδεσμα τὸ ὀψὲ τῷ κοινῷ οὐ γίνεται) [8]) Ἐν αἷς ὥραν οὐ ψάλλομεν. [9]) τρώγομεν δὲ θ'. μαγειρίας β'. [10]) τῇ ἐννάτῃ. [11]) τηρεῖται — нѣтъ. [12]) Прибавлено: διὰ δὲ τὴν σμικρότητα τῶν ἡμερῶν τῆς μ'. τοῦ ἁγίου Φιλίππου μονοσιτοῦμεν, πίνομεν δὲ γ'. Ἀπὸ δὲ τῶν ἀποστόλων... [13]) нѣтъ. [14]) Ἐν αἷς πάλιν и т. д. до словъ: τῶν ἀμφοτέρων τεσσαρακοστῶν — нѣтъ. [15]) Ἔπεσεν. [16]) καὶ τυρὸν καὶ ᾠὸν καὶ ἰχθύν [17]) χορηγοίη ἡμῖν ὁ Θεὸς, ἐσθίομεν. [18]) прибавлено: μεγάλης. [19]) τῇ μέσῃ.

μάδι μονοτρόπως, ἤγουν φάβον [1]) ἑκζεστὸν καὶ ἐρεβίνθιον [2]), καὶ ἁλμαίαν χωρὶς ἐλαίου, καὶ ἰσχάδας ἀνὰ ε'. καὶ εἰ τύχοι, κάστανα καὶ ἄππια ἐφθὰ [3]) καὶ δαμάσκηνα. Τῇ δὲ δευτέρᾳ ἑβδομάδι καὶ τῇ τρίτῃ, πέμπτῃ τε καὶ ἕκτῃ ἄνευ τετραδοπαρασκευῆς [4]) ἐσθίομεν οὕτως· κόκκους ἑκζεστοὺς καὶ ἐλαίας [5]) εἰς τὰ σκουτέλλια, καὶ μαγειρίαν ὄσπριον μετὰ λαχάνου [6]) καὶ καρίου τριπτοῦ, ὁπώρας δὲ ἡ ἰσχάδας ἐν ταύταις οὐ τρώγομεν. Τὰς μέντοι τετραδοπαρασκευὰς ὁμοίως τῇ πρώτῃ ἑβδομάδι ἐσθίομεν [7]). Πάσαν δὲ τὴν ἁγίαν τεσσαρακοστὴν εὔκρατον πίνομεν, χωρὶς τῶν ἀσθενούντων ἢ καὶ γερόντων, τὸ δ' εὔκρατον συνίσταται ἔκ τε πιπέρεως καὶ κυμίνου καὶ ἀνίσου καὶ θερμοῦ [8]).

Ἰστέον, ὅτι [9]) τῷ πρώτῳ σαββάτῳ ἀπὸ ὀψὲ τῆς ἕκτης μετανοίας οὐ ποιοῦμεν, ἐσθίομεν δὲ τῇ αὐτῇ παρασκευῇ φάβα ἑκζεστὸν μετὰ ἐλαιῶν ἄσπρων καὶ μαύρων, καὶ ἁλμαίαν καὶ κόλυβα, πίνομεν δὲ πάντες καὶ πρὸς ἓν κρασοβόλιον. Τῷ σαββάτῳ εἰς τὸ ἄριστον ἐσθίομεν δύο μαγειρίας μετὰ ἐλαίου καὶ πίνομεν ἀνὰ δύο κρασοβολίων, καὶ τῇ ἑσπέρᾳ ἀνὰ δύο ὁμοίως. (об.] Καὶ εἰς τὴν πρώτην κυριακήν, καθ' ἣν ἥ τε τῶν ἁγίων προφητῶν καὶ ἡ τῆς ὀρθοδοξίας μνήμη ἑορτάζεται, ὡσαύτως καὶ τῇ κυριακῇ τῆς μεγάλης ἑβδομάδος, καθ' ἣν ψάλλομεν τὸν κανόνα τοῦ προσκυνητοῦ σταυροῦ, οὕτω καὶ τῷ σαββάτῳ τοῦ Λαζάρου, οὕτω καὶ εἰς τὴν μνήμην τῶν ἁγίων τεσσαράκοντα, πλὴν τότε ὥρας ψάλλομεν καὶ τὰς τρεῖς μετανοίας μόνας ποιοῦμεν καθ' ἑκάστην σύναξιν.

Εἰς δὲ τὴν εὕρεσιν τῆς τιμίας κάρας τοῦ δεσπότου ἡμῶν τοῦ Προδρόμου τρώγομεν δύο μαγειρίας λάχανον καὶ ὄσπριον, τὰς δύο μετ' ἐλαιῶν καὶ πρόφαια κοκκοέλαια, πίνομεν δὲ ἀνὰ γ'. Τῷ αὐτῷ δὲ καὶ τῇ κυριακῇ τῆς βαϊοφόρου τύπῳ διοικοῦμεν, καὶ ὅτε ὁ μέγας κανὼν ψάλλεται. Τῇ δὲ ἁγίᾳ πέμπτῃ ἐσθίομεν μίαν μαγειρίαν ὄσπριον μετὰ καρίου τριπτοῦ καὶ ξεστὰ [10]) κουκκία [11]), πίνομεν δὲ καὶ πρὸς ἓν κρασίον [12]) Τῷ δὲ ἁγίῳ σαββάτῳ ὥρας ια'. ἄρχεται τὸ λυχνικὸν, καὶ ὅπου σώσει ἡ ἀπόλυσις, ἐσθίομεν [13]) δὲ ἄρτον καὶ ὁπώρας, πίνομεν καὶ οἶνον ἀνὰ ποτήρια δύο.

---

[1]) φάβα. [2]) ἐρεβίνθιον—нѣтъ [3]) ἀπίεφθα. [4]) ἄνευ τετραδοπαρασκευῆς—нѣтъ. [5]) ἁλμαίαν. [6]) λαχάνου—нѣтъ. [7]) τὰς μέντοι.. ἐσθίομεν—нѣтъ. [8]) καὶ ἀνίσου θερμοῦ. [9]) Этого и слѣдующаго замѣчаній до словъ: Τῇ δὲ ἁγίᾳ πέμπτῃ ἐσθίομεν—нѣтъ. Вмѣсто нихъ находимъ: τῇ δὲ ἁγίᾳ β'. καὶ τρίτῃ, καὶ δ'. καὶ ε'. καὶ ς'. τὰ βρώματα ταύτης πρώτης ἑβδομάδος πίπτουσιν. [10]) ζεστὰ [11]) κουκία [12]) πρὸς ἔνκρασιν. [13]) ἐσθίομεν δὲ τυρὸν καὶ ἰχθῦς καὶ ὰ (:) καὶ πίνομεν ἀνὰ γ'.

Περὶ τοῦ εὐαγγελισμοῦ.

Ἰστέον, ὡς ὥρᾳ ἕκτῃ, τοῦ ξύλου κρούοντος, συναγόμεθα εἰς τὸν οἶκον τῆς παναχράντου Θεοτόκου καὶ πρὸ τοῦ λυχνικοῦ [1]), ἐπαίρομεν λιτὴν καὶ περικυκλεύσαντες τὸ μοναστήριον, ἐρχόμεθα [2]) καὶ ψάλλομεν τὸ λυχνικὸν, εἶτα γίνεται εἴσοδος καὶ λειτουργία τελεία. Ἐσθίομεν δὲ τότε ἰχθύας καὶ ἔλαιον καὶ πίνομεν ἀνὰ τριῶν.

Χρὴ γινώσκειν, ὅτι τῇ μεγάλῃ [3]) ἑβδομάδι τῆς ἁγίας τεσσαρακοστῆς καθ' ἑκάστην μετὰ τὸ ψαλθῆναι τὴν ἐννάτην, προτίθεται τὸ ζωοποιὸν ξύλον καὶ προσκυνοῦμεν πάντες.

Περὶ τῆς ἐν ταῖς διακονίαις συμμετρίας.

Χρὴ γινώσκειν, ὅτι τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ μετὰ τὸ ψάλλαι ἡμᾶς τὴν πρώτην ὥραν, (л. **138**] ἡλίου ἤδη ἀνίσχοντος, ἀπέρχεται ἕκαστος εἰς τὴν ἑαυτοῦ διακονίαν. Στιχολογία δὲ γίνεται τοῦ ψαλτηρίου [4]) ὅλου ἐν αὐταῖς, πλὴν τῶν καλλιγράφων, κάμνουσί τε ἕως τῆς ἐννάτης [5]). καὶ ἔκτοτε ἰδιάζει ἕκαστος, ὡς βούλεται· θέλει μελετῶν, θέλει κοιμώμενος ἄχρι κρούσει τὰ τρία. Μετὰ γὰρ τὸ κροῦσμα συναγόμεθα εἰς τὸν ναόν, καὶ ποιήσαντες τὸ λυχνικόν, κατερχόμεθα εἰς τὴν τράπεζαν, καὶ πάλιν μετὰ βρῶσιν κάματος οὐκ ἔστιν, ἀλλ' ἡ μελέτη. Ἐν δὲ ταῖς λοιπαῖς ἡμέραις τοῦ ἐνιαυτοῦ, ὅτε μὲν ψάλλομεν [6]) ὥρας, κρούει τὰ τρία πρωΐ, καὶ ἀπέρχεται ἕκαστος εἰς τὴν ἑαυτοῦ διακονίαν καὶ ἐνεργεῖ μέχρι ἀρίστου. Μετὰ δὲ βρῶσιν [7]) ἰδιάζει τῷ τρόπῳ, ᾧ εἰρήκαμεν, ἕως ὥρας ζ'. Τῇ δὲ ἑβδόμῃ κρούει τὰ τρία καὶ πάλιν ἀπέρχεται ἕκαστος εἰς τὴν ἑαυτοῦ διακονίαν ἕως τοῦ λυχνικοῦ. Ὅτε δὲ ψάλλομεν ὥρας, τελέσαντες τὴν πρώτην ὥραν πρωΐ, ἀπέρχονται οἱ ἀδελφοὶ εἰς τὰς ἑαυτῶν διακονίας ἕως ὥρας ἕκτης κἂν τε ἔστιν ἐννάτη κἂν τε μὴ κάμνοντες. Καὶ μετὰ τὴν ἕκτην ἡσυχάζει ἕκαστος, ὡς εἴρηται, ἕως τῆς ἐννάτης καὶ τὰ ἑξῆς [8]).

---

1) Καὶ ἀρξαμένου τοῦ λυχνικοῦ, ἵστανται ἐκεῖ ὀλίγοι ἀδελφοὶ ἐκτελοῦντες αὐτό· οἱ δὲ λοιποὶ ἐπαίρουσι λιτὴν κ. τ. λ. 2) ἔρχονται, εἰ εἴσοδος. 3) τῇ μέσῃ ἑβδομάδι τῶν ἁγίων νηστειῶν 4) ψαλτῆρος. 5) Далѣе у Миня: Μετὰ δὲ τὸ λυχνικὸν ψάλλαι ἡμᾶς, καὶ δειπνίσαι, ἰδιάζει ἕκαστος ὡς βούλεται. Ἐν δὲ ταῖς λοιπαῖς ἡμέραις и слѣд. 6) οὐ ψάλλομεν. 7) ἰδιάζει ἕκαστος, ὡς βούλεται, εἴτε μελετῶν, εἴτε κοιμώμενος ἕως ὥρας η'. Τῇ δὲ η'. κρούει τὸ ξύλον γ'. καὶ πάλιν ἀπέρχεται εἰς τὴν ἑαυτοῦ διακονίαν ἕκαστος ἕως τοῦ λυχνικοῦ и т. д. 8) ἕως τῆς η'. но καὶ τὰ ἑξῆς—нѣтъ.

Χρὴ γινώσκειν, ὅτι κατὰ καιρὸν τῆ παραμονῆ [1]) τῆς βαϊοφόρου εἰς τὸ Κύριε ἐκέκραξα ἀλλάσσονται οἱ χοροί, καὶ οἱ μὲν δεξιοὶ ἀπέρχονται εἰς τὰ ἀριστερά, οἱ δὲ ἀριστεροὶ εἰς τὰ δεξιά.

Δεῖ γινώσκειν, ὅτι ἡνίκα κλάσῃ ἀδελφὸς σκεῦος εἴτε ὀστράκινον, εἴτε σιδήρεον, τῷ καιρῷ τοῦ ἀρίστου, ἐσθιόντων τῶν ἀδελφῶν, παρίσταται πλησίον τῆς τραπέζης τοῦ ἡγουμένου, τήν τε κεφαλὴν τῷ ἑαυτοῦ περικαλύπτοντος κουκουλίῳ, (об.] καὶ τὸ ὑπ' αὐτοῦ συντριβὲν σκεῦος μετὰ χεῖρας φέρων εἰς ἐπίδειξιν τοῦ οἰκείου σφάλματος [2]).

Ἰστέον, ὡς ὅτε ψάλλομεν κανόνα εἰς τὸν ὄρθρον τὴν αὐγὴν κρούει τὰ τρία ὁ ἐπὶ τοῦ κανόνος καὶ ἀναστάντες οἱ ἀδελφοί, ποιεῖ ἕκαστος τὴν πρώτην λιτὴν καὶ ἀπέρχεται εἰς τὴν ἑαυτοῦ διακονίαν. Τρία δὲ κρούει καὶ ὅτε μέλλει ψαλθῆναι ὁ κανὼν καὶ εἰς τὴν τρίτην δόξαν τοῦ καθίσματος, ἵν' ἐπισυναχθῶσιν οἱ τὸ ψαλτήριον ἔτι μανθάνοντες. Ἀπὸ γὰρ ἑξαψάλμου ἐξέρχονται καὶ μελετῶσιν ἕως τότε· τρία δὲ κρούει πάλιν καὶ εἰς τοὺς αἴνους, ὅτε μέλλει κατήχησις ἀναγινώσκεσθαι τοῦ μεγάλου πατρὸς καὶ καθηγουμένου [3]) τοῦ Θεοδώρου.

Περὶ [4]) ποσότητος ἐνδυμάτων [5]) τε καὶ ὑποδυμάτων καὶ καταστάσεως στρωμνῆς [6]).

Χρὴ γινώσκειν, ὅτι ἕκαστος τῶν ἀδελφῶν ὀφείλει ἔχειν ὑποκάμισα δύο, μαλωτὰ ἱμάτια δύο [7]), ἐπανωφόριον ἓν ἄμαλι, κουκούλια β'. ἐπώμιον μικρὸν εἰς τὸ διακονεῖν καὶ ἕτερον τὸ τῆς ἐκκλησίας βαθύτερον, ὅπερ νόμος ἐστὶ κεχρῆσθαι σαββάτῳ ὀψὲ εἰς τὸ λυχνικὸν καὶ τῇ κυριακῇ εἰς τὸν ὄρθρον, καὶ πάλιν ὀψὲ εἰς τὸ λυχνικὸν ἕως [8]) τό· Καταξίωσον Κύριε, καὶ πρὸ τούτου γε εἰς τὴν θείαν λειτουργίαν, ὡσαύτως καὶ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς. Καὶ ἕτερον ἐπώμιον μαλωτὸν μέγα, καὶ ὑποδήματα δὲ κονδοτζάγγια, καὶ ἕτερα μακροτζάγγια καὶ κάλτσες, [9]) εἰς δὲ τὴν κλίνην ἐχέτω ψιάθιον [10]) κιλίκην καὶ δύο μαλωτάρια.

[1]) Τῆς παραμονῆς. [2]) Далѣе по списку Миня слѣдуетъ: Χρὴ γινώσκειν, ὅτι μετὰ τὸ στιχολογῆσαι ἡμᾶς τὸ ψαλτήριον, εἰς τὴν γ'. δόξαν τοῦ καθίσματος κρούει τὰ γ'. ὁ ἐπὶ τοῦ κανόνος, ἵν' ἐπισυναχθῶσιν οἱ τὸ ψαλτήριον ἔτι μανθάνοντες, τοῦ ψάλλαι ἡμᾶς ὁμοῦ τὸν κανόνα, ἀπὸ γὰρ τοῦ ἑξαψάλμου... κ. τ. λ. [3]) καθηγητοῦ. [4]) Эта глава помѣщена въ концѣ Ὑποτύπωσις'а, здѣсь же находимъ замѣчаніе о навечеріи Богоявленія. См. стр. 238 въ примѣчаніяхъ 1—3. [5]) ἐνδύματος. [6]) στρωμνῆς καὶ τῶν τοιούτων. [7]) Ἐπανωφόρια β'. μαλλωτὸν ἕν, κουκούλλια β'. [8]) ἕως τό· Καταξίωσον Κύριε—нѣтъ [9]) καὶ καλίνην. [10]) ψιάθον.

Χρὴ γινώσκειν, ὅτι ἐν τῇ παραμονῇ τῶν Φώτων μετὰ τὸ ἀπολῦσαι τὴν θείαν λειτουργίαν, λαμβάνομεν τὴν εὐλογίαν, εἶτα διακλυόμεθα οἱ κοινωνήσαντες, τὴν δὲ εὐλογίαν οὐκ ἐσθίομεν. Συστείλας δὲ ὁ ἱερεὺς τὰ σκεύη, ἔρχεται εἰς τὰ ἅγια θυρία καὶ ποιήσας εὐχὴν, ἐξέρχεται μετὰ τῶν ἀδελφῶν εἰς τὸν λουτῆρα, (л. **139**] ψαλλόντων [1]). τροπάριον, ἦχος δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. Καὶ τούτου λεγομένου ἐκ τρίτου, καὶ τῶν κατὰ συνήθειαν ἀναγνώσεων τελεσθέντων, γίνεται πρὸς τοῦ διακόνου εὐχὴ συναπτή, ἧς τελεσθείσης, ἄρχεται ὁ ἱερεὺς τῆς εὐχῆς τοῦ ἁγιασμοῦ. Μετὰ δὲ τὸ ἁγιασθῆναι τὰ ὕδατα καὶ τοὺς ἀδελφοὺς ῥαντισθῆναι. ψάλλεται τροπάριον [2]) ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου. Κύριε. Μετὰ δὲ τὸ ψαλθῆναι τρίτον καὶ τοῦτο τὸ τροπάριον. εἰσερχόμεθα ἐν τῇ ἐκκλησίᾳ, ψάλλοντες τροπάριον· Σήμερον Τριὰς ἐν μονάδι θεότητος. Τούτου οὖν τρισσευομένου, γίνεται εὐχὴ παρὰ τοῦ ἱερέως, καὶ καταπαύει ἡ θεία δοξολογία. Εἶθ' οὕτως κατέρχεται [3]) ὁ στίχος εἰς τὸ τραπεζάριον. Ὡσαύτως δὲ καὶ τῇ ἁγίᾳ πέμπτῃ μετὰ τὸ κοινωνῆσαι καὶ διακλύσασθαι, γίνεται ὁ νιπτὴρ, καὶ μετὰ τὸ ἀπονίψασθαι πάντας, κατέρχεται [4]) ὁ στίχος.

C) Ἡ διατύπωσις τοῦ ὁσίου καὶ μακαρίου πατρὸς ἡμῶν Ἀθανασίου (τοῦ ἐν τῷ Ἄθῳ).

(По рукописи XVI в. библіотеки Иверскаго аѳонскаго монастыря № 754 (228)).

Πατέρες καὶ ἀδελφοὶ ἠγαπημένοι καὶ τίμιοι, καὶ τέκνα πνευματικὰ καὶ ἐπιπόθητα, ἐπειδὴ ἐγὼ ὁ ταπεινὸς μοναχὸς Ἀθανάσιος, ὁ πάσης ἁμαρτίας ἀνάπλεως, ὁ παραχωρήσει Θεοῦ καθηγητὴς τῆς καθ' ἡμᾶς λαύρας, τῆς ἐν τῷ ὄρει καθιδρυμένης, ἥτις τὰ Μελανὰ προσαγορεύεται· τὸ τοῦ θανάτου ἄδηλον τέλος δεδοικὼς καθ' ἑκάστην ἡμέραν καὶ ὥραν, καὶ ἐν παντὶ μὲν ὑφορώμενος τόπῳ, ἐξαιρέτως δὲ ἐν τῇ τῆς

[1]) ψάλλων τό· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε· καὶ τούτου λεγομένου γίνεται πρὸς τοῦ διακόνου εὐχὴ συναπτή. [2]) ὁ ἦχος πλ. δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ λέγουσα· στιχ. α'. Ἡ θάλασσα ἶδε καὶ ἔφυγεν· στιχ. β'. Τί σοί ἐστιν θάλασσα, ὅτι ἔφυγες; καὶ μετὰ τὸ ψαλθῆναι γ' τοῦτο τὸ τροπάριον, ἐξερχόμενοι εἰς τὴν ἐκκλησίαν, ψάλλομεν τροπάριον, ἦχος δ'. Ὁ τὸ φῶς ἀναβαλλόμενος θεϊκῶς· τούτου οὖν τρισσευομένου и т. д. [3]) ἀπέρχεται ὁ στίχος εἰς τὸ τραπεζάριον. [4]) ἀπέρχεται ὁ στίχος εἰς τὸ τραπεζάριον.

θαλάσσης ὁδοιπορείᾳ διὰ τὰ ναυάγια τὰ πολλάκις γινόμενα, κατὰ τὰ ἀνέφικτα κρίματα τοῦ Θεοῦ, δίκαιον ἡγησάμην τὴν παροῦσαν ἔγγραφον ὑπόμνησιν διαθήκης ἐπέχουσαν[1]) τύπον, μᾶλλον δὲ μυστικὴν οὖσαν διατύπωσιν ἔγγραφόν τε καὶ ἐνυπόγραφον καταλιπεῖν ἐν τῇ λαύρᾳ τοῦ διαφυλάττεσθαι αὐτὴν παρὰ τοῦ μοναχοῦ Μιχαὴλ καὶ ἐκκλησιάρχου ἐν τοῖς τῆς ἐκκλησίας κατηχουμένοις, καὶ μετὰ τὴν ἐμὴν τελευτὴν ἀποκαλύπτεσθαι πᾶσι τὰ ἐν αὐτῇ γεγραμμένα.

Βούλομαι[2]) καθάπερ διὰ ζώσης φωνῆς, οὕτω καὶ διὰ τῆς παρούσης γραφῆς, πᾶσιν ἀποκαλύψαι τὰ τῆς ἐμῆς διανοίας καὶ τὴν φροντίδα, ἣν διὰ μερίμνης ἔχων ἀεὶ μετὰ λύπης ὑπερβαλλούσης διήνυσα πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· τὸ γὰρ πάντῃ ἀνίκανον τῆς ἀσθενοῦς μου ψυχῆς εἰς τὸ προΐστασθαι ἑτέρων ἀκριβῶς ἐπιγνούς, ὥστε μηδὲ τῆς οἰκείας προσηκόντως δυνηθῆναί ποτε φροντίσαι ψυχῆς, εὐχόμην[3]) τῷ Θεῷ ἀδιαλείπτως φανερῶσαί μοι ἄνθρωπον, τὸν δυνάμενον κατὰ τὸ θεῖον θέλημα αὐτοῦ, ἀξίως προΐστασθαι καὶ καλῶς διεξάγειν καὶ ποιμένειν τὰ λογικὰ πρόβατα τῆς ποίμνης αὐτοῦ, ἔτι ζῶντος ἐμοῦ, ὡς ἂν αὐτὸς ἰδίως ὑποχωρήσαιμι καὶ μεριμνήσω καὶ φροντίσω τῶν πολλῶν μου ἁμαρτιῶν. Οὐκ ἐπέτυχον δὲ τοῦ προκειμένου σκοποῦ, εἴτε ἐξ ἀνοίας καὶ τῆς περιεχούσης με ἀνοίας, ὡς ἀπὸ τῆς ἐμῆς εὐτελείας κρίνων καὶ ἑτέρους, εἴτε τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος, μᾶλλον δὲ παραχωρήσαντος, διὰ τὸ πλῆθος τῶν πολλῶν μου κακῶν.

Διὰ ταῦτα τοίνυν βούλομαι[4]) μετὰ τὴν ἐμὴν τελευτὴν καταλιμπάνειν ἡγούμενον ἐκ τῶν εὑρισκομένων εἰς τὴν καθ' ἡμᾶς ἐν Χριστῷ συνοδίαν καὶ ἀδελφότητα τὸν λόγῳ καὶ βίῳ καὶ πράξει τῶν ἄλλων διαφέροντα, καθὼς καὶ τὸ χρυσοβούλλιον διαγορεύει τοῦ μακαριωτάτου καὶ ἀοιδίμου βασιλέως τοῦ κυροῦ Νικηφόρου· „μὴ ἀλλαχόθεν ἡγούμενον προχειρίζεσθαι ἐν τῇ λαύρᾳ, ἀλλ' ἐκ τῶν ἐν αὐτῇ προσεδρευόντων ἀδελφῶν καὶ φρονήσει καὶ ἀρετῇ διαφερόντων".

Ἐπὶ τούτοις ἐπισκήπτω πᾶσι τοῖς πατράσι καὶ ἀδελφοῖς καὶ πνευματικοῖς μου τέκνοις, καὶ παρακαλῶ πάντας διὰ τὴν ἐν Χριστῷ ἀγάπην καὶ ὅρκοις καθυποβάλλω ἀπὸ Θεοῦ καὶ τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου, ὑπείκειν καὶ ὑποτάσσεσθαι τῷ ἐμῷ διαδόχῳ καὶ καθηγουμένῳ, καθὰ[5]) καὶ τῇ ἐμῇ ταπεινώσει[6]), καὶ μετὰ ἀγάπης καὶ ὁμονοίας ἀλλή-

---

[1]) Варіанты беремъ изъ рукописи XVII в. библіотеки русскаго Пантелеимоновскаго монастыря на Аѳонѣ: ἔχουσαν [2]) прибавлено: γὰρ [3]) εὔχομαι [4]) θέλω καὶ βούλομαι. [5]) καθὼς [6]) прибавлено: ὑπείκοντο.

λοις συνοικεῖν καὶ βαστάζειν τὰ βάρη τῶν ἀφελεστέρων [1]) οἱ δυνατώτεροι· πάσῃ δυνάμει καὶ προθέσει ἀγωνιζόμενοι ἕκαστος τῶν ἐκ Θεοῦ χάριν εἰληφότων, εἴτε λόγῳ, εἴτε ἔργῳ, διακυβερνῆσαι ψυχάς, νουθεσίαις καὶ παρακλήσεσι καὶ διδασκαλίαις στηρίζειν τοὺς ἀδελφούς· διαφυλαχθῆναι δὲ τοὺς τύπους, τούς τε ἐγγράφως ἐκτεθέντας καὶ ἀγράφως παραδοθέντας, ἔν τε τῇ ἁγίᾳ [2]) τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ ἐν τῷ ἀριστερίῳ καὶ ἐν πάσαις ταῖς ἄλλαις διακονίαις, οὓς ἔθεντο μὲν οἱ ἅγιοι καὶ θεοφόροι πατέρες, ἡμεῖς δὲ οἱ ἀνάξιοι ἐκ τῆς ἐκείνων γραφῆς καὶ παραδόσεως μερικῶς ἐξελήφαμεν καὶ παραδεδώκαμεν, εἰς κανόνα καὶ τύπον τῆς καθ' ἡμᾶς λαύρας.

Περὶ ἐπιτρόπων [3]).

Ἐπὶ [4]) τούτοις δὲ ἀφίημι ἐπίτροπον τὸν κύριον Ἰωάννην, ὃς πολὺν χρόνον κοπιάσας διηκόνησε μετὰ πάσης ἐπιεικείας καὶ ταπεινώσεως, καὶ θέλω μετὰ τὴν ἐμὴν ἀποβίωσιν, αὐτὸν μὲν ὡς ἅτε πνευματικὸν καὶ τῷ ὄντι φρόνιμον, καὶ ἀγάπην ὑπερβάλλουσαν καὶ πίστιν ἔχοντα εἰς ἐμὲ τὸν ἀνάξιον, καὶ εἰς πᾶσαν τὴν ἀδελφότητα. καὶ ἐν τῷ ὄρει κατοικοῦντα, καὶ σὺν ἡμῖν τὸν βίον τῆς ζωῆς αὐτοῦ διανύσαντα καὶ συγγηράσαντα, εἰσιέναι ἐν τῇ λαύρᾳ, καὶ, εἰ δυνατόν, τελείως κατοικῆσαι σὺν τοῖς ἀδελφοῖς, καὶ ἐμβιβάζειν καὶ ἐπαλείφειν πρὸς ὑπόμνησιν καὶ ὑποταγὴν τοῦ καθηγουμένου αὐτῶν· εἰ δὲ μή, κἂν γοῦν συνεχέστερον παραβάλλειν τῇ ἀδελφότητι καὶ διευθετεῖν αὐτούς· καὶ μέλλων τελευτᾶν καταλιμπάνειν [5]) ἀντ' αὐτοῦ ἐπίτροπον τὸν κύριον Εὐθύμιον, τὸ πνευματικόν μου τέκνον καὶ ἐκείνου κατὰ σάρκα καὶ κατὰ πνεῦμα υἱόν· καὶ αὐτὸς πάλιν μέλλων τελευτᾶν, καταλιμπανέτω, εἴτε ἐκ τῆς αὐτοῦ λαύρας, εἴτε ἐκ τοῦ ὄρους, ἐὰν εὑρεθῇ λόγιος καὶ πνευματικός, κατὰ διαδοχὴν ἐπίτροπον ὁμοίως καὶ οἱ καθεξῆς.

Ἔτι [6]) δὲ ἐβουλόμην τὸν βασιλέα τὸν ἅγιον καταλιπεῖν καὶ αὐτὸν ἐπίτροπον τῆς εὐαγοῦς λαύρας τῆς καθ' ἡμᾶς, ἀλλὰ τοῦτο μὲν τολμηρὸν ἡγησάμην τῷ δέει συσχεθείς, ἐπειδὴ αὐτὸς καὶ βασιλεύς, καὶ δεσπότης καὶ κύριος. καὶ πατήρ, καὶ τροφεὺς οὐχ ἡμῶν μόνον. τῶν ἐλαχίστων καὶ τῶν

[1]) ἀσθενεστέρων [2]) τῇ ἁγίᾳ—нѣтъ. [3]) Заглавіе отсутствуетъ [4]) На поляхъ въ Иверской рукописи замѣчено: Οἶμαι τὰ μετα ταῦτα δηλοῦν. [5]) καταλιμπανέτω ἀντὶ ἑαυτοῦ. [6]) Замѣтка на поляхъ въ Иверской рукописи: Περὶ Βασιλείου Βουλγαροκτόνου, φησίν, υἱοῦ τοῦ Ῥωμανοῦ.

καθ' ἡμᾶς πατέρων καὶ ἀδελφῶν, ἀλλὰ καὶ πάντων χριστιανῶν τυγχάνει, ἐξαιρέτως δὲ ὑπὲρ πάντας, κοσμικούς τε καὶ μοναχοὺς πλεῖον εἰς ἡμᾶς τοὺς ἀναξίους καὶ ταπεινοὺς καὶ εἰς τὴν καθ' ἡμᾶς λαύραν τὴν παρ' αὐτοῦ εὔνοιαν ἐπεδείξατο καὶ πολυάνθρωπον ταύτην ἀπειργάσατο, πλατύνας καὶ αὐξήσας αὐτὴν δι' εὐσεβῶν χρυσοβουλλίων αὐτοῦ, δι' ὧν καὶ τῶν ἄλλων βασιλέων, τοῦ τε κυροῦ Νικηφόρου καὶ τοῦ κυροῦ Ἰωάννου, ἐπεκύρωσε χρυσόβουλλα, καὶ, ἔξωθεν ἐκείνων, ἕτερα καὶ αὐτὸς ποιήσας ἡμῖν. Διὸ, ὡς εἴρηται, αὐτὸν μὲν οὐκ ἐτόλμησα τὸν ἀγαθὸν βασιλέα εἰς ἐπιτρόπου τάξιν καταλιπεῖν· τὸν δὲ εὐσεβέστατον κύριόν μου καὶ τῷ ὄντι φιλόχριστον καὶ φιλομόναχον Νικηφόρον, τὸν ἐνδοξότατον πατρίκιον καὶ ἐπὶ τοῦ κανικλείου, ἀφίημι ἐπίτροπον καὶ προστάτην, καὶ ἀντιλήπτορα τῆς ἐν Χριστῷ συνοδίας ἡμῶν καὶ τῆς καθ' ἡμᾶς λαύρας, ἵνα διὰ τὸν τοῦ Θεοῦ μισθὸν καὶ τὴν ἡγιασμένην αὐτοῦ ψυχὴν προσλαμβάνηται καὶ συγκροτῇ καὶ συνεργῇ τὸν κύριον Ἰωάννην, τὸν πνευματικὸν ἡμῶν ἀδελφὸν καὶ πατέρα, τὸν Ἴβηρα καὶ ὅλην τὴν ἐν Χριστῷ ἡμῶν ἀδελφότητα ἐν πᾶσι τοῖς προσπίπτουσιν αὐτοῖς κατὰ τὸν βίον ἀνιαροῖς· καὶ αὐτὸς μὲν ἀγωνίσηται περὶ τῶν προσκαίρων καὶ φθαρτῶν τοῦ βίου τούτου βοηθῆσαι αὐτοῖς. Αὐτὸς δὲ, ὅ τε κύριος Ἰωάννης ὁ Ἴβηρ καὶ πάντες οἱ ἀδελφοί, περὶ τῶν ἀφθάρτων καὶ αἰωνίων ἐν τῷ μέλλοντι αἰῶνι ἀγαθῶν μετὰ πάσης προθυμίας καὶ σπουδῆς καὶ ἀγάπης ἀγωνίσωνται, εὐχόμενοι ἀδιαλείπτως ὑπὲρ αὐτοῦ. Καὶ αὐτὸς πάλιν μέλλων μεταλλάξαι τὸν βίον, ἵνα καταλείπῃ ἐπίτροπον ἀντ' αὐτοῦ εἰς τὴν εἰρημένην εὐαγῆ λαύραν, καὶ ἐφ' ἑξῆς ἕκαστος ἀποιχόμενος [1]) οὕτω ποιήτω· ἵνα αὐτοί μεν, ἔν τε τῇ θεοφυλάκτῳ πόλει καὶ ἐν πάσαις ταῖς ἐκεῖσε προσπιπτούσαις ὑποθέσεσι καὶ διακονίαις τῆς λαύρας, γένωνται προστάται καὶ ἀντιλήπτορες διὰ τὸν τοῦ Θεοῦ μισθὸν καὶ τὰς τιμίας αὐτῶν ψυχάς· οὗτοι δὲ, οἱ ἐν τῷ τάγματι τῶν μοναχῶν [2]), ὡς ἅτε ἐν τῷ ὄρει τυγχάνοντες καὶ γειτνιάζοντες, μᾶλλον δὲ συνοικοῦντες τοῖς κατ' ἐμὲ πατράσι καὶ ἀδελφοῖς, σπουδάσωσι πάσῃ δυνάμει, διὰ τὴν προσοῦσαν αὐτοῖς εὐλάβειαν καὶ ἀρετὴν, φροντίσαι, ὡς οἰκείων μελῶν διαφόρων ὄντων ἐν ἑνὶ σώματι τῆς ἡμετέρας ἐν Χριστῷ ἀδελφότητος ἐν παντὶ πράγματι, πνευματικῷ τε καὶ σωματικῷ, καὶ ἀπολαμβάνουσι τὸν μισθὸν παρὰ τοῦ μεγαλοδώρου Θεοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὡς φυλάξαντες πίστιν καὶ ἀγάπην εἰς τὸν ταπεινὸν ἐμὲ καὶ πάσης ἁμαρτίας ὑπόχρεων, οὐ μόνον ζῶντος, ἀλλὰ καὶ μετὰ θάνατόν μου. Καὶ ταῦτα μὲν περὶ τῶν ἐπιτρόπων.

[1]) ἀποιχούμενος [2]) μοναχικῶν.

Ὑμεῖς δὲ, πατέρες καὶ ἀδελφοὶ καὶ τέκνα πνευματικά. ἐὰν μετὰ πάσης προθυμίας καὶ γνώμης ἀγαθῆς σπουδάσητε τὴν πρὸς ἀλλήλους εἰρήνην καὶ ὁμόνοιαν ἀδιάστατον [1]) τηρεῖν, καὶ μὴ ᾖ σχίσματα ἐν ἡμῖν. μήτε διχοστασίαι καὶ ἔριδες καὶ μερικαὶ φιλίαι καὶ ἑταιρίαι. ἀλλὰ πίστις καὶ ἀγάπη καὶ στοργῆς διάθεσις πρὸς ἀλλήλους καὶ τὸν καθηγούμενον. καὶ ἀκριβὴς φυλακὴ τῶν ἐλαχίστων ἐντολῶν καὶ τύπων καὶ κανόνων, τῶν παραδοθέντων ὑμῖν, πιστεύω τῷ Θεῷ, ὅτι οὐ μόνον τῶν ἐπιτρόπων τὰ σπλάγχνα διανοίξει ἡ αὐτοῦ ἀγαθότης, ἀλλὰ καὶ παντὸς ἑτέρου ὑπερέχοντος προσώπου εἰς τὸ συμπαθῆσαι καὶ συγκροτῆσαι. καὶ [2]) συνεργῆσαι ὑμῖν πρὸς τὸ συμφέρον τῶν ὑμετέρων ψυχῶν.

Καὶ προσέχετε ἀκριβῶς, ἀδελφοί, ἵνα, ἐάν τις εὑρεθῇ ἐν ὑμῖν (ὅπερ οὐκ ἐπεύχομαι) πειρώμενος διασχίσαι τὸ σῶμα τῆς ἀδελφότητος διά τε πιθανολογίας καὶ δολιότητος καὶ πονηρίας, τῷ τοιούτῳ μὴ συναναμίγνυσθαί τινα ἐξ ὑμῶν, ὡς λυμεῶνα καὶ παλαιὰν ζύμην, ἵνα μᾶλλον αὐτὸς διασχισθῇ τῆς μερίδος τῶν σωζομένων. Εὔκαιρον γὰρ κατεύχεσθαι τῷ τοιούτῳ [3]) τοιαῦτα πειρωμένῳ, ἵνα ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτοῦ καὶ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφείη· ἀλλὰ καὶ ἐὰν εὑρεθῇ τις, ἀντιλαμβανόμενος αὐτοῦ, τῆς ἐκείνου ἔστω μερίδος καὶ κληρονομίας· οὓς ἐπισκήπτω τῷ τε κυρῷ Ἰωάννῃ, τῷ ἐμῷ ἐπιτρόπῳ καὶ πάσῃ τῇ ἀδελφότητι, παρ' αὐτὰ ἐκδιωχθῆναι τῆς λαύρας.

Πρὸς δὲ τὴν λαύραν τοῦ κυροῦ Ἰωάννου καὶ πρὸς τοὺς ἀδελφοὺς τοὺς περὶ αὐτὸν τὴν αὐτὴν διάθεσιν καὶ πνευματικὴν ἀγάπην ἐντέλλομαι διαφυλαχθῆναι παρ' ὑμῶν, ἣν ἐβλέπετε τὸν ταπεινὸν ἐμὲ καὶ ἁμαρτωλὸν ἔχοντα καὶ διατηροῦντα, καὶ ὑμᾶς πολλάκις διδάξαντα καὶ κοινῶς ἐν ταῖς κατηχήσεσι, καὶ ἰδίως ἕκαστον· οὐ μόνον δὲ περὶ τοῦ κυροῦ Ἰωάννου καὶ τῶν κατ' αὐτὸν, ἀλλὰ καὶ περὶ παντὸς ἄλλου οὐκ ἀγαπῶντος μόνον καὶ τιμῶντος ὑμᾶς, ἀλλ' ἐνίοτε καὶ ἐχθραινομένου καὶ θλίβοντος καὶ προξενοῦντος ὑμῖν πειρασμοὺς καὶ κακώσεις· μᾶλλον μὲν οὖν

[1]) ἀδιάσειστον διαπιτηρεῖν. [2]) На поляхъ въ Иверской рукописи: Οὐαὶ, λοιπὸν, λαύρα τῶν Μελανῶν εἰς πολλὰ διασχισθεῖσα, οὐαὶ δὲ καὶ τοῖς σὲ διασχίσασι καὶ διασχίζουσι καὶ ἀποβουκολίζουσι διὰ κακῶν προφάσεων καὶ θελημάτων, ὡς ἅπαξ ἀφορισθεῖσιν αὐθεραίτως τοῦ κλήρου τῶν δικαίων διὰ τὴν τῆς ἐντολῆς παράβασιν· εἶθε ἀπεδίωξας ἀπὸ σοῦ τοὺς κακοὺς προστάτας καὶ λυμεῶνας παρ' ὃ συναπολεσθῆναι ὅλη αὐτοῖς. [3]) τὰ.

καὶ ἀγαπᾶν χρὴ καὶ ἐλεεῖν, κατὰ τὴν τοῦ Θεοῦ πρόσταξιν, τοὺς ἐπιτιθεμένους ὑμῖν καὶ κακῶσαι ἐπιχειροῦντας, ὡς ἐκείνων μᾶλλον ἑαυτοὺς ἀδικούντων, ὑμᾶς δὲ τὰ μέγιστα ὠφελούντων. Καὶ οἶδα, ὅτι ἐξ αὐτῶν τῶν πραγμάτων διὰ πείρας ἐμάθετε καὶ ἐβεβαιώθητε, ἐκ πολλῶν τῶν συμβεβηκότων ἡμῖν [1]), ὅπως οἱ ἐπιχειρήσαντες κακῶσαι τὰ μέγιστα ἡμᾶς ὠφέλησαν καὶ ψυχῇ καὶ σώματι. Ἀλλὰ καὶ πρὸς τὸν πρῶτον καὶ τοὺς ἡγουμένους καὶ ἀδελφοὺς τοῦ καθ' ἡμᾶς ἁγίου ὄρους οὕτω διατηρήσατε καὶ τὴν ἀγάπην, καὶ τὴν εἰρήνην, καὶ τὴν ταπείνωσιν, καὶ τὴν προσήκουσαν τιμήν, καθὼς καὶ τὴν ἐμὴν ἐθεωρεῖτε ταπεινότητα διαφυλάττουσαν.

Καὶ οἱ καλῶς διακονοῦντες καὶ εὐσεβῶς καὶ πνευματικῶς πρὸς ὠφέλειαν τῶν οἰκείων ψυχῶν, εἴτε ἐν τῇ λαύρᾳ, εἴτε ἐν τοῖς ἔξω καὶ ἔσω μετοχείοις, καὶ ἐν ταῖς νήσοις, ἔστωσαν ἀδιάδοχοι μέχρι βαθυτάτου γήρους· καὶ μάλλιστα οἱ μετὰ ζήλου τοῦ κατὰ Θεὸν σπουδάζοντες ἀδιάκριτον τὴν ὑποταγὴν διαφυλάττειν εἰς τὸν καθηγούμενον καὶ διάδοχον τῆς ἐμῆς ταπεινώσεως, καὶ ἔφεσιν ἔχοντες καὶ ἐπιθυμίαν μετὰ πόθου εἰσοδιάζειν τὰς προσηκούσας ἐν τῇ λαύρᾳ χρείας τοῖς πνευματικοῖς αὐτῶν ἀδελφοῖς, ὡς ἐργασίαν ἔχοντες τὴν τοιαύτην ὑπηρεσίαν τῆς ψυχικῆς αὐτῶν σωτηρίας, διακονείτωσαν ἐν βίῳ παντὶ μετὰ τῆς τοῦ καθηγουμένου καὶ ἐπιτρόπου γνώμης, οὐ μὴν δὲ κατ' ἐξουσίαν.

Τῷ δὲ ἐπιτρόπῳ μου, τῷ μοναχῷ Ἰωάννῃ τῷ Ἴβηρι, ἐντέλλομαι καὶ ἐπισκήπτω ἀπὸ Κυρίου Θεοῦ καὶ τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου. ἵνα μετὰ τὴν ἐμὴν τελευτὴν οὕτω διατεθῇ πρός τε τὴν συνοδίαν καὶ τὴν λαύραν καὶ εἰς πάντα τὰ περὶ αὐτήν, τά τε ἐντὸς τοῦ ὄρους, καὶ τὰ ἐκτὸς, καθὼς ἀπαιτεῖ αὐτὸν ἡ ἐντολὴ τοῦ Θεοῦ καὶ τῶν θείων πατέρων ἡ διδασκαλία [2]). Καὶ σὺν τοῖς ἀδελφοῖς προσκαρτερείτω ἐν τῇ λαύρᾳ ἡμέρας οὐκ ὀλίγας καὶ προσομιλῶν αὐτοῖς καὶ πᾶσιν ὁμοῦ καὶ ἰδίως ἑκάστῳ· καὶ εὐχὰς ἐπιτελείτωσαν καὶ ἐκτενεῖς, καὶ ἀπροσωπολήπτως καὶ ἀπαθῶς, καὶ μετὰ πάσης ἐλευθερίας, ὡς τοῦ Θεοῦ ἐφορῶντος καὶ γινώσκοντος τὰ κρύφια τῆς καρδίας ἑκάστου, οὕτω καὶ μετὰ τῶν προκρίτων ἀδελφῶν καὶ λογιωτέρων καὶ πνευματικωτέρων, συμβουλευόμενος καὶ γυμνάζων ἐπὶ πολὺ καὶ βασανίζων τάς τε γνώμας καὶ τὰς κρίσεις αὐτῶν τε καὶ τῶν λοιπῶν, προχειριζέτω καθηγούμενον, ὃν ἂν ὁ Θεὸς εὐδοκῇ, καὶ αὐτὸς πληροφορηθῇ μετὰ καὶ τῶν προκρίτων ἀδελφῶν.

---

[1]) Ὑμῖν [2]) αἱ διδασκαλίαι.

Περὶ καταστάσεως ἡγουμένου[1]).

Μὴ ἔστωσαν δὲ οἱ ἀδελφοί, οὓς πρὸς συμβουλίαν μέλλει δέξασθα ὁ ἐπίτροπος, πλείους τῶν πεντεκαίδεκα, διὰ τὴν προβολὴν τοῦ καθηγουμένου, ἀλλὰ μᾶλλον καὶ ἔλαττον· οὐ δὲ γὰρ τοὺς ἄλλους, ὡς μὴ ὄντας πνευματικοὺς καὶ λογίους κωλύομεν τῆς συμβουλῆς. πάντες γὰρ Θεοῦ χάριτι, καὶ πνευματικοί, καὶ χρήσιμοι, καὶ φρόνιμοι ὑπάρχουσιν, ἀλλὰ διὰ τὸ ἐν πολλῷ πλήθει διαφόρων ὄντων τῶν ἰδιωμάτων καὶ τῆς γνώμης ἑκάστου, καὶ τῶν μὲν τοῦτον προκρινόντων, τῶν δὲ ἐκεῖνον, εὔλογον ἡγησάμην καὶ δίκαιον, μὴ πολλοὺς, ἀλλ' εὐαριθμήτους, καθὼς ἀνωτέρω εἴρηται, ὑπάρχειν τοὺς ψηφιζομένους μετὰ τῆς βουλῆς τοῦ ἐπιτρόπου τὸν καθηγούμενον.

Ἡ δὲ προβολὴ αὐτοῦ οὕτω γενέσθω· ἵνα ἐπετελῆται πανυχὶς τῇ ἑσπέρᾳ ἐν τῷ κυριακῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου, καὶ μετὰ τὸν ὄρθρον, τῆς θείας λειτουργίας τελεσθείσης, μετὰ τὴν μετάδοσιν τῶν θείων ἁγιασμάτων καὶ τὴν εὐχὴν τοῦ ὀπισθάμβωνος, γινομένης ἐκτενοῦς, τὸ Κύριε ἐλέησον ν'. λεγέσθω, καὶ οὕτως ἔμπροσθεν τοῦ θυσιαστηρίου βαλλέτω μετάνοιαν ὁ προχειριζόμενος εἰς προεστῶτα καὶ ἐπιστραφείτω πρὸς τὸ ἄθροισμα τῶν μοναχῶν, καὶ βαλλέτω μετάνοιαν πρῶτον μὲν ὁ ἐπίτροπος, ἔπειτα δὲ καὶ οἱ λοιποὶ πάντες. Καί, ὡς ἀνωτέρω εἴρηται, ὁ μὲν ἐπίτροπος συγκροτείτω αὐτῷ καὶ συνεργείτω πάσῃ δυνάμει, οἱ δὲ ἀδελφοὶ τὴν ὑποταγὴν ἐπιδεικνύτωσαν καθαρὰν καὶ ἀνόθευτον. Καὶ τοῦ χρόνου προβαίνοντος, ἐπισκεπτόμενος καὶ βλέπων ὁ κύριος Ἰωάννης ὁ Ἴβηρ τοῦ καθηγουμένου καὶ τῶν ἀδελφῶν τὴν τάξιν καὶ τὴν διαγωγήν, πάντως ἐπιγνώσεται, τοῦ μὲν τὴν σπουδὴν καὶ ἐπιμέλειαν, καὶ στοργήν, καὶ ἀγάπην, καὶ διάθεσιν, καὶ φιλίαν ψυχῆς, τὴν πρὸς τοὺς ἀδελφούς, τῶν δὲ τὴν ὑπακοὴν καὶ πίστιν, καὶ ἀγάπην, ἣν τὸν καθηγούμενον ἔχειν ἐκ ψυχῆς ἀγωνίζονται, ἢ καὶ τὰ ἐναντία τῶν εἰρημένων, ὡς ἂν τὰ μὲν προσήκοντα τῇ πνευματικῇ καταστάσει ἐπισφραγίσῃ, τὰ δὲ μὴ τοιαῦτα, διορθώσηται καὶ πρὸς τὸ εὐθὲς ὁδηγήσῃ, ἵνα τὸν ὑπὲρ τούτων μισθὸν ἀπολάβῃ παρὰ τοῦ φιλανθρώπου Θεοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Μετὰ δὲ τὴν τοῦ καθηγουμένου προβολὴν καὶ ἀποκατάστασιν θέλω καὶ βούλομαι ἔχειν αὐτὸν πᾶσαν ἐξουσίαν καὶ δεσποτείαν καὶ κυριότητα κατὰ πᾶσαν ὑπόθεσιν καὶ εἰς τὰ πνευματικὰ καὶ εἰς τὰ σωματικά, παρὰ μηδενὸς τῶν ἁπάντων περικοπτόμενον ἢ ἐμποδιζόμενον καὶ μάλλιστα κα

[1]) Этого заглавія нѣтъ

λῶς καὶ θεοφίλως καὶ Πνεύματι Θεοῦ διεξάγοντα καὶ ποιμαίνοντα τὴν ἐν Χριστῷ συνοδίαν. Ἐὰν δὲ διὰ τὰς ἐμὰς ἁμαρτίας φανερώσῃ αὐτὸν ὁ χρόνος ἐπὶ λύμῃ καὶ διαστροφῇ καὶ ἀπολείᾳ τῶν ψυχῶν τῆς ἀδελφότητος πολιτευόμενον, (ὅπερ ἀπεύχομαι[1]) μηδὲ ἐν ὀνείρῳ εὑρεθῆναι τὸν καθηγούμενον), καὶ τοιοῦτος φωραθεὶς ἀδιόρθωτος μένῃ, τότε ὁ ἐπίτροπος μετὰ τῶν ἐγκρίτων ἀδελφῶν συμβουλευόμενος καὶ τῆς οἰκείας διακρίσεως καὶ φρονίσεως, ποιείτω τὴν πρόνοιαν τῆς ἀδελφότητος, προχειριζόμενος τὸν δυνάμενον πρὸς σύστασιν εἶναι τῆς λαύρας καὶ πάντων τῶν ἀδελφῶν· καὶ οὕτω διαρκεῖν μέχρι τέλους ζωῆς αὐτοῦ.

Θέλω δὲ καὶ ἐντέλλομαι τῷ καθηγουμένῳ καὶ τῷ ἐπιτρόπῳ καὶ πᾶσι τοῖς πνευματικοῖς μου ἀδελφοῖς, ἵνα τὸν κύριον Ἀντώνιον τὸν ἐμὸν, διαναπαύσωσι μέχρι τέλους ζωῆς αὐτοῦ, καὶ τὴν προσήκουσαν τιμὴν εἰς αὐτὸν ἀπονέμωσι, καὶ ὡς πνευματικὸν πατέρα ἔξωσι, καὶ τοὺς ἀδελφοὺς ὡσαύτως τοὺς σὺν αὐτῷ, ὡς ἴδια μέλη περιέπωσιν. Ὁμοίως καὶ τὸν μοναχὸν Ἰωάννην τὸν καλλιγράφον, κατὰ τὸν τύπον καὶ τὴν τάξιν καὶ τὴν συνήθειαν, ἣν ἐπὶ τῆς ἐμῆς ταπεινώσεως ἐφύλαττον οἱ διακονοῦντες αὐτῷ, τὴν τοιαύτην καὶ μετὰ θάνατόν μου διατηρήσωσιν, ὅτε καθηγούμενος καὶ οἱ διακονηταί, καὶ πάντες οἱ ἀδελφοί, μᾶλλον δὲ καὶ πλέον καὶ τὴν προσήκουσαν τιμὴν καὶ ἀγάπην ἐκ τῶν πραγμάτων ἐπιδεικνύτωσαν[2]) εἰς αὐτόν. Ὁμοίως καὶ τὸν μοναχὸν Γεώργιον τὸν Ἴβηρα, καὶ εἰς τὸν μοναχὸν Γρηγόριον τὸν μαΐστορα, καὶ εἰς τὸν μοναχὸν Δωρόθεον, καὶ εἰς μοναχὸν Ἀντώνιον τὸν Κυμινιάτην, καὶ εἰς τὸν ἀββᾶν Σέργιον. Τὸν δὲ κύριον Θεοφάνην, τὸν πρεσβύτερον, πλέον καὶ τιμῆς καὶ θεραπείας καὶ ἀναπαύσεως ἀξιώσατε καὶ διακονήσατε, παρ' ὃ ἠξιώθη παρὰ[3]) τῆς ἐμῆς ταπεινώσεως, ἐπειδὴ καὶ πρὸς γῆρας καὶ πρὸς ἀδυναμίαν καταλήγει τὸ σῶμα αὐτοῦ· καὶ τοὺς λοιποὺς γέροντας, τόν τε κύριον Σωφρόνιον καὶ πάντας ὁμοῦ σπουδάσατε ἀφθόνως ἐπιχορηγεῖν αὐτοῖς τὰς συνήθεις χρείας ἀγογγύστως καὶ προθύμως μετὰ πνευματικῆς διαθέσεως, ὅπως τὸν ὑπὲρ αὐτῆς[4]) μισθὸν ἀπολάβητε πλουσίως ἐκ τοῦ Θεοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Τῆς δὲ φιλοξενίας ὑμῶν πλειόνως ἐπιμελεῖσθε καὶ μὴ καταλύσητε τὸν τύπον, ὃν παραδέδωκα ὑμῖν, διὰ τοὺς ἐπιξενομένους καὶ παραβάλλοντας ὑμῖν διά τε γῆς καὶ θαλάσσης. Πάντες δὲ ὁμοῦ καὶ νέοι καὶ γέροντες, καὶ πρῶτοι καὶ ἔσχατοι τὴν εἰς τὸν καθηγούμενον ὑποταγὴν ἀνόθευτον διατηρῆσαι σπουδάσατε, ὑπείκοντες τῷ λόγῳ αὐτοῦ κατὰ πᾶσαν

[1]) εὔχομαι. [2]) δεικνύτωσαν [3]) ἐπὶ [4]) ὑπὲρ αὐτῶν.

ὑπόθεσιν, ὡς ὅγε ἀντιτασσόμενος τῇ πρστάξει αὐτοῦ, τῇ τοῦ Θεοῦ ἀνθίσταται διαταγῇ καὶ ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ. Ἐν πάσαις ὑμῶν ταῖς προσευχαῖς μνημονεύετε, ὅπως εὕροιμι ἔλεος καὶ ἄφεσιν τῶν πολλῶν μου ἁμαρτημάτων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως[1])

Ὅπως διοικούμεθα ἐν ταῖς συνάξεσι τῆς ἁγίας καὶ ἐνδόξου τριημέρου ἀναστάσεως[2]).

Ἰστέον, ὅτι μετὰ τὸ παρελθεῖν τρίτην φυλακὴν τῆς νυκτός, ἤτοι τὴν θ΄. ὥραν, ἀρχομένης τῆς δεκάτης, πίπτει τοῦ ὑδρολογίου τὸ σύσσημον, καὶ τῇ τούτου σημασίᾳ ἐγείρονται παραυτίκα καὶ σημαίνουσι τὰ ξύλα. Καὶ τῶν ἀδελφῶν ἀθροιζομένων ἐν τῷ νάρθηκι τοῦ κυριακοῦ καὶ προσευχομένων ἡσυχῇ, ὁ ἱερεὺς θυμιᾷ. Θυμιατήριον μετὰ χεῖρας λαβόμενος, θυμιᾷ πρῶτον τὸ ἱερὸν βῆμα, κἀκεῖθεν, λαμπάδος ἔμπροσθεν αὐτοῦ προπορευομένης, διὰ τῆς ἔμπροσθεν κιγκλίδος ἐξελθών, δεέρχεται τὸ βόρειον κλίτος τοῦ ναοῦ διὰ τῶν ἁγίων μ΄. καὶ φθάσας τὴν βασιλικὴν πύλην, θυμιᾷ τοὺς ἀδελφοὺς καὶ εὐθέως ἀνατρέχει διὰ τοῦ νοτίου μέρους. Οἵ τε ἀδελφοὶ κατόπιν αὐτοῦ εἰσέρχονται εἰς τὸν ναὸν λαμπάδας κατέχοντες. Αὐτὸς δὲ εἰσέρχεται διὰ τοῦ δεξιοῦ εὐκτηρίου, καὶ τὸ θυμιατήριον εἰς τὸ ἅγιον ἀποθέμενος βῆμα, ἐξελθὼν ἵσταται κατὰ πρόσωπον τοῦ ἱλαστηρίου καὶ ἄρχεται τροπάριον ἦχος πλ. α΄. Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὅπερ μετὰ τὸ ψαλθῆναι τρίτον παρά τ' ἐκείνου καὶ τῶν ἀδελφῶν, λέγει ὁ πρεσβύτερος στίχον· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. Οἱ ἀδελφοὶ δὲ τὸ τροπάριον. Πάλιν ὁ πρεσβύτερος β΄. στίχον· Συστήσασθε ἑορτὴν, ἕως τέλους. Καὶ πάλιν ὁ λαὸς τὸ τροπάριον. Δοξάξει, καὶ πάλιν ὁ λαὸς τὸ τροπάριον. Καὶ μετὰ τὴν συμπλήρωσιν τούτου, ἄρχεται εὐθὺς ὁ κανὼν, καθότι ἐξάψαλμον πᾶσαν τὴν ἑβδομάδα ταύτην οὐ ψάλλομεν. Γίνεται δὲ ἀνάγνωσις μία ἀπὸ τῆς τρίτης. Ἀπὸ γὰρ τῆς ς΄. τὸ κοντάκιον ψάλλομεν, ὁ δὲ πεντηκοστὸς μετὰ τὸ κοντάκιον. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ὄρθρου γίνεται ὁ ἀσπασμός, τῶν ἀδελφῶν τό· Χριστὸς ἀνέστη, ψαλλόντων. Εἶτα ἀναγινώσκεται ἡμέρας[3]) καὶ εὐθὺς συναπτὴ καὶ ἀπόλυσις. Εἰς δὲ τὰ λυχνικὰ ταύτης τῆς ἑβδομάδος λέγομεν τό· Χριστὸς ἀνέστη ἐκ νεκρῶν καὶ εὐθὺς τό· Κύριε ἐκέκραξα καὶ ἀπολυτικὸν τό· Χριστὸς ἀνέστη. Ὁμοίως καὶ ἐν τοῖς ἀποδειπνίοις· Χριστὸς ἀνέστη, τὸν Τρισάγιον ὕμνον, τὸ Κύριε ἐλεησον κ΄.

---

[1]) Прибавлено: Ἀμήν. [2]) Въ рукописи Пантелеимоновской библіотеки эта и слѣдующая статьи отсутствуютъ. [3]) Такъ въ рукописи.

Τῷ δὲ σαββάτῳ τῆς διακαινησίμου εἰς τὸν ἑσπερινὸν ἄρχονται τὸν συνήθη ψαλμὸν καὶ εὐθὺς τό· Κύριε ἐκέκραξα· εἰς δὲ τὸ ἀπόδειπνον ἀπὸ τοῦ· Μεθ' ἡμῶν ὁ Θεὸς καὶ ἐπέκεινα.

Τῇ δὲ κυριακῇ τῆς λαμπροφόρου ἄρχεται τὸν ἑξάψαλμον καὶ λέγομεν τό· Θεὸς Κύριος (εἰς ἦχον) βαρὺν καὶ εὐθὺς τὸν κανόνα μόνον τῆς ἡμέρας· γίνεται δὲ καὶ ἀνάγνωσις μία, τὸ δὲ ἅγιον εὐαγγέλιον μετὰ τὸ τέλος τοῦ ὄρθρου. Καὶ τῇ ἑσπέρᾳ ἄρχεται τό· Μακάριος ἀνὴρ καὶ ἡ λοιπὴ ἀκολουθία καὶ τὰ ἀναστάσιμα τοῦ πρώτου ἤχου κατὰ τάξιν κυριακῆς· τὸ δὲ ἀπόδειπνον· Ὁ κατοικῶν καὶ τό· Μεθ' ἡμῶν ὁ Θεὸς καὶ τὰ ἑξῆς.

Τῇ δὲ δευτέρᾳ εἰς τὸν ὄρθρον ψάλλομεν πάλιν τὸ Θεὸς Κύριος εἰς ἦχον πρῶτον καὶ ἓν κάθισμα ψάλλομεν, εἶτα τοὺς ἀναβαθμοὺς εἰς τὸν αὐτὸν ἦχον, τότε προκείμενον καὶ τό· Πᾶσα πνοὴ καὶ εὐαγγέλιον ἑωθινὸν πρῶτον, εἶτα τὸν πεντηκοστόν, εἶτα τὸν κανόνα τὸν ἀναστάσιμον, καθότι τὴν δευτέραν ταύτην ἀπαραλλάκτως ἀντὶ κυριακῆς ἑορτάζομεν· γίνονται δὲ ἀναγνώσεις β'. Ἔκτοτε καὶ τὰ ἀπόδειπνα ὁλόκληρα ποιοῦμεν, πλὴν σαββάτου ἑσπέρας καὶ ἑορτῆς δεσποτικῆς καὶ μνήμης ἁγίου, ἀργίαν ἡμῖν τῶν ἔργων καὶ τῶν ὡρῶν καὶ τῶν μετανοιῶν, ὅτε γίνηται, προξενούσης. Ἐν ταύταις γὰρ ἀπὸ τοῦ· Ὁ κατοικῶν καὶ ἐπέκεινα·

Χρὴ δὲ γινώσκειν, ὅτι μετὰ τὴν ἑορτὴν τοῦ ἀντιπάσχα, εὐθὺς ἀπὸ τὰ ἀπόδειπνα ἀρχόμεθα τῆς παννυχίδος καὶ μέχρι μὲν τῶν Ἁγίων Πάντων κανόνα μόνον ποιοῦμεν, καὶ μετ' ἐκεῖνον τὸν Ἄμωμον. Ἔκτοτε δὲ καὶ μέχρι τῆς ὑψώσεως ἓξ ψαλμοὺς προστίθεμεν, ἐν οἷς καὶ μετανοίας καὶ στάσεις γ'. Μετὰ δὲ τὴν ὕψωσιν ψαλμοὺς ιβ'. καὶ τὰς λοιπὰς ποιοῦμεν ἀκολουθίας μεχρὶ τῆς μεγάλης τεσσαρακοστῆς, τότε γὰρ καθ' ἓν ἕκαστον Τρισάγιον μετανοίας ποιοῦμεν μετὰ τῶν στάσεων.

Τῇ δὲ παραμονῇ τῶν Χριστοῦ γεννῶν καὶ τῶν Φώτων, καὶ τῇ ἁγίᾳ πέμπτῃ ὀψὲ, καὶ τῷ ἁγίῳ σαββάτῳ οὐδὲ ἀπόδειπνον ψάλλομεν, ἀλλ' ἢ μόνον (τὸ) Τρισάγιον.

Κάμνουσι δὲ καὶ αἱ διακονίαι ἀπὸ πρωῒ τῆς γ'. ἑβδομάδος β'. ἀρχόμεναι. Ἕως δὲ τῶν Ἁγίων Πάντων ἐν τοῖς λυχνικοῖς προκείμενον ψάλλομεν ἑκάστης ἡμέρας. Ἄχρι δὲ τῆς Ἀναληψίμου ἑορτῆς προηγοῦνται τὰ ἀναστάσιμα στιχηροκαθίσματα τῶν τε κατανυκτικῶν καὶ ἀποστολικῶν καὶ μαρτυρικῶν ἐν τῇ ψαλμῳδίᾳ, οὐ μέντοι τῶν σταυρωσίμων.

Χρὴ γινώσκειν, ὅτι ἐν τοῖς λυχνικοῖς πᾶσι τῶν δεσποτικῶν ἑορτῶν τοῦ τε Προδρόμου καὶ τῶν ἁγίων ἀποστόλων, καὶ τῶν λοιπῶν ἐπισημοτέρων ἁγίων, ἐν οἷς σχολὴν ἄγομεν ἐκ τῶν ἔργων, τό· Μακάριος

ἀνὴρ ἄρχεται εἰς ἦχον πλ. δ΄. εἶτα τό· Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῶν στιχηρῶν τῆς ἑορτῆς, τὰς δὲ λοιπὰς ἁπάσας ἡμέρας τά· Πρὸς Κύριον εἰς τὸν ψαλλόμενον ἦχον.

Ἰστέον, ὅτι ἕως τῆς Πεντηκοστῆς οὔτε ὥρας ψάλλομεν, οὐ δὲ γόνυ κλίνομεν, οὐ δὲ ἐν τοῖς σάββασι ψάλλομεν νεκρωσίμους κανόνας.

Δεῖ δὲ εἰδέναι, ὅτι τῷ σαββάτῳ τῆς Πεντηκοστῆς εἰς τὸ ἐξαποστειλάριον· Ἡ μνήμη τῶν κεκοιμημένων, ψάλλομεν· καὶ τοῦτο ψάλλοντες ἀπερχόμεθα εἰς τοὺς τάφους τῶν ἀδελφῶν, κἀκεῖ ἱστάμενοι ψάλλομεν τὰ τῆς ἡμέρας στιχηρὰ καὶ ἕτερα ὡσαύτως νεκρώσιμα, καὶ ἀπολύει ὁ ὄρθρος. Τοῦτο δὲ ποιοῦμεν καὶ τῷ σαββάτῳ τῆς Ἀποκρέω.

Χρὴ γινώσκειν, ὀψὲ τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς εἰς τὸ λυχνικόν, ἐν ᾧ καὶ τὰς τρεῖς γονυκλισίας ποιοῦμεν, μετὰ τὸ Προοίμιον εὐθέως τό· Κύριε ἐκέκραξα· καὶ τῇ ἑωθεν εἰς τὸν ὄρθρον μετὰ τὸν ἑξάψαλμον καὶ τὸ· Θεὸς Κύριος, τὸν κανόνα εὐθὺς λέγομεν καὶ ἀναγνώσεις β΄. Ἄγομεν δὲ καὶ τὴν ἑβδομάδα ταύτην. μὴ ψάλλοντες ὥρας.

Εἶτα εἰσέρχεται ἡ τεσσαρακοστὴ τῶν ἁγίων ἀποστόλων, καὶ ἀρχόμεθα ἔκτοτε ψάλλειν καὶ τὰς ὥρας μετὰ τῶν καθισμάτων πάντων, ἄνευ μέντοι τῆς πρώτης καὶ τῆς ἐννάτης (ὥρας), ταύτας γὰρ τῇ μεγάλῃ μόνον στιχολογοῦμεν τεσσαρακοστῇ, τὴν μέντοι ἐννάτην καὶ τοῦ ἁγίου Φιλίππου. Μετὰ γοῦν τὸ τέλος λέγομεν τό· Κύριε ἐλέησον λ΄. καὶ βάλλομεν ἐν πρώτοις τρεῖς μετανοίας ἰσοταχῶς, ἅπαντες τῷ προεστῶτι ἑπόμενοι, ἐν αἷς καὶ μικρὸν ἐν τῇ γονυκλισίᾳ προσκαρτεροῦμεν, καὶ πάλιν ἀνιστάμενοι, τὰς χεῖρας ἐκτείνομεν πρὸς τὸν Θεόν· εἶθ' οὕτως ἄλλας β΄. ἐπίσης καὶ αὖθις τῷ προεστῶτι ἑπόμενοι. Ἔπειτα μείζονα στάσιν μετὰ εὐχῆς καὶ αὖθις ἀπόλυσις. Οὕτως οὖν καθ' ἑκάστην σύναξιν τοῦ ἐνιαυτοῦ, ἐν ᾗ οὐκ ἄγομεν ἑορτὴν, τὴν μέντοι μεγάλην τεσσαρακοστὴν δώδεκα μετανοίας ἑτέρας καὶ ἑτέραν στάσιν προστίθεμεν.

Χρὴ γινώσκειν, ὡς, ἡνίκα ἀργῶς ἄγωμεν τῶν ὡρῶν κἂν τάχα κάμνωμεν, ἡ μὲν θεία λειτουργία, ἀρχομένης τῆς τετάρτης ὥρας, εὐλογεῖται, μετὰ δὲ τὴν συμπλήρωσιν αὐτῆς, κρούει τὸ ξύλον γ΄. καὶ συνάγονται πάντες οἱ ἀδελφοὶ ἐπὶ τὸ αὐτό. Καὶ μετὰ τὸ ψάλλειν τὰ τυπικὰ καὶ λαβεῖν εὐλογίαν, ἀπέρχονται εἰς τὴν τράπεζαν. Ὅταν δὲ τὰς ὥρας ποιῶμεν, ἡ μὲν θεία λειτουργία μετὰ τὸ τὴν τρίτην ὥραν ψαλθῆναι τελεῖται, ὁ δὲ στίχος πέμπτην ὥραν εἰσέρχεται, τῆς ἕκτης καὶ τῆς ἐννάτης ἐπὶ τὸ αὐτό, μετὰ τὴν λειτουργίαν, τῆς μὲν μετὰ καθίσματα. τῆς δὲ λιτῶς ψαλλομένων, τῇ μέντοι τοῦ ἁγίου Φιλίππου τεσσαρακοστῇ

ἡνίκα θ'. ποιῶμεν, ἡ μὲν θεία λειτουργία ἀπὸ ς'. ὥρας τελεῖται· τὸ δὲ ἑσπερινὸν τὴν θ'. συνάπτοντες τὴν στιχολογίαν καταλιμπάνομεν.

Δεῖ δὲ εἰδέναι, ὅτι διακοσίας μετανοίας καθ' ἑκάστην ἡμέραν ποιοῦμεν ἐν ταῖς τοῦ νυχθημέρου ἁπάσαις συνάξεσι, τεσσαράκοντα μὲν εἰς τὸν ὄρθρον, ἀνὰ εἴκοσι δὲ ἐν ταῖς ὥραις, ἐν δὲ τῷ ἑσπερινῷ λ'. καὶ ν'. εἰς τὰ ἀπόδειπνα. Τῇ δὲ μεγάλῃ τεσσαρακοστῇ καὶ ταύτας ἐπαύξομεν, τὰς μὲν γὰρ τῶν ἀποδειπνίων καὶ τοῦ ὄρθρου διπλασιάζομεν, ἀνὰ δέκα δὲ ἐν ταῖς λοιπαῖς συνάξεσι προστίθεμεν.

Δεῖ δὲ γινώσκειν, ὅτι καθ' ἕκαστον ἑσπερινὸν εἰς τό· Κύριε ἐκέκραξα ἓξ στίχους ἱστῶντες, τὰ στιχηρὰ τῶν ἁγίων διισσεύομεν, τὰ δ' ἄλλα οὐχί, τὰ δὲ τῶν ἑορτῶν καὶ τρισσεύομεν.

Ἱστέον, ὅτι καθ' ἕκαστον ὄρθρον μετὰ τὸ τὴν ἑβδόμην ὥραν πληρωθῆναι τὸ τοῦ ὑδρολογίου σύσσημον πίπτει, τὰς μέντοι κυριακὰς μετὰ τὴν ἕκτην, τὰς δὲ δεσποτικὰς ἑορτὰς πέμπτης ἀρχομένης.

Χρὴ γινώσκειν, ὅτι εἰς ἕκαστον ὄρθρον ὀκτὼ μὲν στίχους ἐν ταῖς καθημεριναῖς, δέκα δὲ ἐν ταῖς κυριακαῖς καὶ ταῖς ἑορτασίμοις ἡμέραις ἱστῶμεν. Μετὰ δὲ τὸ τέλος τῆς ἀναγνώσεως, ἐγειρόμενοι δωδεκάκις λέγομεν τό· Κύριε ἐλέησον καὶ οὕτως ἄρχεται πάλιν ἡ ψαλμῳδία. Αὕτη ἡ ποσότης καὶ ποιότης τῆς ψαλμῳδίας διατείνει μέχρι τῆς ὑψώσεως τοῦ ζωοποιοῦ σταυροῦ.

Ἱστέον, ὅτι εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου, ἤγουν ὀψὲ εἰς τὸ λυχνικὸν τὸ μεθέορτον, μετὰ τὸ Προοίμιον εὐθέως τό· Κύριε ἐκέκραξα. Καὶ τῇ ἑωθεν εἰς τὸν ὄρθρον μετὰ τὸν ἑξάψαλμον πάλιν τό· Θεὸς Κύριος καὶ εὐθὺς ὁ κανών, ἀναγνώσεις δὲ δύο. Ὁμοίως εἰς τὸ γενέθλιον αὐτῆς καὶ εἰς τὰ εἰσόδια, ὁμοίως καὶ εἰς τὴν Χριστοῦ γέννησιν, ὡσαύτως εἰς τὰ Φῶτα, ὡσαύτως εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου καὶ εἰς τὴν ὕψωσιν· ἐν ἄλλαις δὲ ἑορταῖς, πλὴν τῶν γεγραμμένων, διπλῶς ἑορτάζειν οὐκέτι. Ἀπὸ δὲ τῆς ὑψώσεως ἕως τῆς πασχαλίας προστίθεμεν καὶ ἕτερον κάθισμα ἐν τοῖς ὄρθροις, προστίθεμεν δὲ καὶ ἀνάγνωσιν· ἱστῶμεν δὲ καὶ στίχους ἐν τοῖς κανόσι δέκα ἢ καὶ πλείους, ὡς ἂν ἥ τε ἡμέρα καὶ ὁ κανὼν ἀπαιτεῖ.

Περὶ τῆς ἁγίας τεσσαρακοστῆς.

Ἱστέον, ὅτι τῇ δευτέρᾳ τῆς πρώτης ἑβδομάδος, διὰ τὸ ἀπὸ παρακλήσεως εἶναι τοὺς ἀδελφούς, δύο μόνον ἀντίφωνα ψαλμοὺς, καὶ β'. ἀναγνώσεις ποιοῦμεν, καὶ τὰ τριῴδια· ἔκτοτε δὲ τρία καὶ ἀναγνώσεις

τρεῖς. Ἐγειρόμεθα δὲ πληρουμένης τῆς πέμπτης (ὥρας). Εἶτα μικρὸν ἀπὸ τοῦ ὄρθρου ἀναπαυόμενοι, διαφαυσκούσης ἡμέρας, τῆς πρώτης ἀρχόμεθα. Εἰ μέντοι τύχοι τῇ δευτέρᾳ κανὼν ἐνιαύσιος, ἐν κάθισμα ψαλμοὺς μετὰ τὸν ἑξάψαλμον, εἶτα τὸν πεντηκοστόν, εἶτα τὸν κανόνα καὶ τὰ τριῴδια. Γίνονται δὲ καὶ ἀναγνώσεις β΄. Χρὴ δὲ γινώσκειν, ὡς ἐν ταύτῃ τῇ ἡμέρᾳ καὶ κανόνα ἐὰν ψάλλωμεν, τὴν πρώτην ὁμοθυμαδὸν ποιοῦμεν μετὰ καθίσματος, οὐ μὴν ἀναγινώσκομεν ἐν αὐτῇ, ἐν δὲ τῇ τρίτῃ καὶ ἕκτῃ καὶ ἐννάτῃ ἀναγινώσκομεν.

Δεῖ εἰδέναι, ὅτι τῇ μεγάλῃ ἑβδομάδι μέχρι τῆς ἁγίας πέμπτης τὰς ὥρας ψάλλομεν καὶ τὰς μετανοίας ποιοῦμεν, ὁμοίως ταῖς πρὸ αὐτῆς· τῇ μέντοι μεγάλῃ πέμπτῃ, ὁμοίως καὶ τῇ μεγάλῃ παρασκευῇ λιτῶς αὐτὰς ψάλλομεν, τὰ δὲ τροπόρια τῶν ἁγίων παθῶν μετὰ τῆς λοιπῆς αὐτῶν ἁπάσης ἀκολουθίας ταῖς ὥραις συνάπτοντες λιτῶς αὐτὰς ψάλλομεν.

Χρὴ γινώσκειν, ὡς τῇ ἁγίᾳ ταύτῃ τεσσαρακοστῇ τάσσεται ἀδελφὸς συνετὸς καὶ ἀπὸ τῆς τρίτης ἀπέρχεται εἰς ἑκάστην διακονίαν, καὶ βαλὼν μετάνοιαν λέγει· Ἀδελφοί καὶ πατέρες, προσέχωμεν ἑαυτοῖς, ὅτι ἀποθνήσκομεν, ἀποθνήσκομεν, ἀποθνήσκομεν· μνημονεύσωμεν τῆς αἰωνίας κολάσεως. Οἱ δὲ εὐθέως τὰ ἐπὶ χεῖρας ἀφέντες, ἐγείρονται καὶ ποιοῦντες Τρισάγιον, πάλιν καθέζονται.

Ἰστέον, ὅτι καὶ ἐπιστημονάρχαι εἰσὶ δύο, κατὰ χορὸν εἷς, ὑφ' ὧν οἱ ἀδελφοὶ κοσμίως ἵστασθαι ἐν τοῖς χοροῖς ὑπομιμνήσκονται. Οἱ αὐτοὶ δὲ μετὰ τὴν τοῦ ξύλου φωνὴν προτρέπονται τοὺς νοθεῖς συνδραμεῖν εἰς τὴν σύναξιν, ἀπαιτοῦσί τε τοὺς ἀπολειφθέντας λόγον τῆς ἀπολείψεως· καὶ τοὺς μὴ κατ' ἐπιταγὴν ἢ χρείαν ἀναγκαίαν καθιστερήσαντας διὰ μετριωτέρων ἐπιτιμίων πρὸς ἀνάνηψιν διαγείρουσιν. Ἔστι δὲ καὶ ἀφυπνιστὴς ἕτερος, ὃς ἐν ταῖς ἀναγνώσεσι τοῦ ὄρθρου, ἠρέμα τοὺς ἀδελφοὺς περιερχόμενος, ἐξυπνίζει τοὺς κοιμωμένους. Ἀλλὰ καὶ ἐπιτηρητής, ὃς τά τε κελλία καὶ τὰς διακονίας καὶ τοὺς λοιποὺς τόπους νύκτα καὶ ἡμέραν περινοστῶν τοὺς εἰς ἀκαίρους περιπάτους καὶ συντυχίαν συνδιάζοντας διαλύει μετὰ τῆς προσηκούσης στυφότητος καὶ τῆς δεούσης ἐπιτιμίας. Ἔστι δὲ καὶ θυρωρός, ὃς καὶ τὴν τῆς ἐκκλησίας κρατῶν εἴσοδον· τοὺς μὲν ὑστεροῦντας ἐν τῇ ἀρχῇ λόγον τῆς ὑστερήσεως ἀπαιτεῖ, τοὺς δὲ ἀκαίρως ἐξιέναι βουλομένους μετὰ μίαν ἔξοδον καὶ δευτέραν κωλύει.

Χρὴ γινώσκειν, ὅτι δεχόμεθα ἀδελφοὺς ἀγνωρίστους εἴτε ἀπὸ ἄλλου μοναστηρίου, εἴτε καὶ λαϊκοὺς πρὸς τὸ μονάσαι, ποιοῦμεν αὐτοὺς καθεσθῆναι εἰς τὸ ξενοδοχεῖον ἑβδομάδας β΄. ἢ καὶ γ΄. πρὸς θεωρίαν καὶ πεῖραν τοῦ μοναστηρίου· καὶ εἰ ἐπιμένοι ἐν τῇ κρίσει τοῦ λογισμοῦ

αὐτῶν, μετὰ τὸ διαμαρτύρασθαι αὐτοῖς καὶ ἅπαξ καὶ δὶς τὸν ἡγούμενον τὰ συμβησόμενα, τηνικαῦτα ἐπὶ κατηχήσεως εἰσάγει αὐτοὺς καὶ συναριθμεῖ τῇ ἑαυτοῦ ποίμνῃ, βάλλοντος τοῦ προσερχομένου μετάνοιαν τοῖς ἀδελφοῖς κατ' ἐπιτροπὴν τοῦ ἡγουμένου, κἀκείνων ἐπευχομένων αὐτῷ.

Εἰδέναι δεῖ, ὡς ἀφορίστριαί εἰσι παρ' ἡμῖν, κατὰ τὴν τοῦ Μεγάλου Βασιλείου διαταγήν, ἐν αἷς οἱ ἀπειθεῖς καὶ δυσήνιοι μετὰ πολλὰς νουθεσίας καὶ παραινέσεις κατακλείονται, ξηροφαγοῦντες καὶ τὴν ἀρετὴν παιδευόμενοι. Οἱ δὲ μηδὲν τοιούτοις σωφρονιζόμενοι, ἀλλὰ τοῖς αὐτοῖς καὶ μετὰ τὴν μικρὰν παιδείαν ἐπιμένοντες, ὡς νενοσηκότα μέλη τοῦ λοιποῦ σώματος τῆς ἀδελφότητος ἀποτέμνονται, ἵνα μὴ τῆς οἰκείας λώβης μεταδοῖεν ἐν τοῖς πλησιάζουσιν.

Καὶ τοῦτο δὲ γνωστέον, ὡς μετὰ βακτηρίας ἵστασθαι, ἢ ὅλως εἰσιέναι ἐν τῇ ἐκκλησίᾳ, ὡσαύτως καὶ τὸ τὰς γονυκλισίας ἐν σκαμνίοις ποιεῖσθαι καὶ μάλιστα εἰς τοὺς χορούς, πάντα παρ' ἡμῖν, ὡς ῥᾳθυμίας καὶ καταφρονήσεως Θεοῦ δεῖγμα καὶ αἴτιον, ἀποτέτραπται.

Περὶ τῆς ἐν βρώμασι καὶ πόμασι ποσότητος καὶ ποιότητος. καὶ τῆς ἐν ταῖς τραπέζαις εὐταξίας.

Δέον γινώσκειν, ὡς[1]) ἐν τῷ συσσήμῳ τοῦ κώδονος, ἀπερχομένων τῶν ἀδελφῶν εἰς τὸ ἀριστῆσαι, ὁ στίχος ἐπὶ στόματος αὐτῶν φέρεται, ὡσαύτως δὲ καὶ μετὰ τὸ ἐγερθῆναι, μέχρις ἂν ἐν τῷ νάρθηκι ἀπελθόντες, ὑπὲρ ὧν μετέλαβον τὴν εὐχαριστίαν τελέσωσι. Κάθηνται δὲ κατὰ τὴν τάξιν, ἣν παρειλήφασιν. Ἐπιτηρητὴς δὲ παριστάμενος τὰς ἀναπληρώσεις τῶν τραπεζῶν, ἐκτὸς θορύβου, ποιεῖται εὐτάκτως. Γίνεται δὲ καὶ ἀνάγνωσις, τοῦ ἐκκλησιάρχου δηλονότι ὁρίζοντος τὴν ἀνάγνωσιν, καὶ τῶν μὴ ἐν τῇ ἐκκλησίᾳ συμφθαζομένων ἀναγνωσθῆναι, μηδὲ καταλειφθῆναι προσέχοντος. Σημεῖον δὲ τοῦ τέλους ταύτης τῆς ἀναγνώσεως ὁ ἦχος τῶν κοχλιαρίων[2]), ἐν τῇ ὑστάτῃ μαγειρίᾳ, πάντων ὁμοῦ ἐπὶ τῶν παροψίδων ἐπιῤῥιπτομένων· ὁμοίως δὲ καὶ τὸ κεράσαι διὰ κρούσματος γίνεται καὶ τὸ παραθεῖναι διὰ συστήματος.

Ἰστέον, ὅτι ἀπὸ τῆς πασχαλίας μέχρι τῶν ἁγίων πάντων τὰς δύο μαγειρίας, τό τε λάχανον καὶ τὸ ὄσπριον μετὰ ἐλαίου ἑσθίοντες, τρεῖς λίτρας ἐν ἀμφοτέροις ἀρτύομεν· τὰς μέντοι δεσποτικὰς ἑορτάς, εἰ μὴ τύχοι προσφάγιον, καὶ ἑτέραν μίαν προστίθεμεν, ὡς προστιθεμένου δη-

[1]) ὡς нѣтъ. [2]) κολλιαρίων.

λονότι καὶ ἑτέρου ἐψήματος. Χρώμεθα δὲ ἐν ταύταις ταῖς ἡμέραις καὶ ἰχθύων, εἰ τύχοι, καὶ τυροῦ, καὶ ὠοῦ· πίνομεν δὲ τὸ ἄριστον τρία. Ὀψὲ δὲ, τῷ συσσήμῳ τοῦ κρούσματος, ἀπέρχονται οἱ βουλόμενοι ἀδελφοὶ καὶ ἐσθίουσιν ἄρτον, καὶ ἐάν τι ἄλλο ἀπὸ πρωΐ ἐπερίσσευσεν, ἐπίτηδες γὰρ ἔδεσμα ὀψὲ τῷ κοινῷ οὐ γίνεται, κιρνὰ δὲ δύο.

Εἰς [1]) δὲ τὴν μ'. τῶν ἁγίων ἀποστόλων β'. μὲν καὶ δ'. καὶ ς'. οὔτε ἔλαιον ἐσθίομεν, οὔτε οἶνον πίνομεν, τὰς δὲ λοιπὰς ἡμέρας τούτων ὁμοίως ταῖς ἄλλαις μεταλαμβάνοντες· ἰχθύων ἐγκρατευόμεθα, ἄνευ μέντοι κυριακῆς καὶ ἑορτῆς, ἀργίαν ἡμῖν τοῦ καμάτου καὶ τῶν ὡρῶν ἐμποιούσης. Δεῖ δὲ εἰδέναι, ὡς [2]), εἰ καὶ τάχα ἐν ταῖς προειρημέναις τρισὶν ἡμέραις τῆς ἑβδομάδος, ἔλαιον οὐκ ἐσθίομεν, ἀλλ' οὖν αἱ κατὰ τὴν συνήθειαν μαγειρίαι, τὸ λάχανον, ψημί. καὶ τὸ ὄσπριον πάντοτε γίνεται.

Οὗτος ὁ τύπος καὶ τῇ τεσσαρακοστῇ τοῦ ἁγίου Φιλίππου, πλὴν μέντοιγε τότε, ὁμοίως τῇ μεγάλῃ μονοσιτοῦμεν.

Ἀπὸ δὲ τῆς μνήμης [3]) τῶν ἁγίων ἀποστόλων ἕως τοῦ ἁγίου Φιλίππου [4]), τετράδα καὶ ς'. οὔτε ἐλαίου, οὔτε οἴνου μετάληψις γίνεται. Εἰ δὲ ἐν ταύταις ταῖς ἡμέραις προσπέσοι ἑορτὴ δεσποτικὴ καὶ [5]) μνήμη ἁγίου, σχολὴν ἡμῖν ἐμποιοῦσα, καὶ τυρὸν καὶ ὠὸν καὶ ἰχθύας, εἴπερ χορηγοίηται ἐσθίομεν, καὶ κιρνὰ δὲ ὁμοίως ταῖς ἄλλαις τρία τὸ ἄριστον καὶ ὀψὲ δύο.

Ἀπὸ δὲ τῆς Χριστοῦ γεννήσεως μέχρι συμπληρώσεως τοῦ δωδεκαημέρου ὁμοίως διαιτώμεθα ταὶς ἡμέραις τῆς Πεντηκοστῆς. Ἔκτοτε δὲ ὁ τύπος πάλιν τηρεῖται τῶν ὄπισθεν ἡμερῶν μέχρι τῆς ἑβδομάδος τῆς τυρινῆς· ἡ γὰρ τῆς ἀποτυρώσεως ἑβδομὰς ὅλη ἀπόλυτος ἔσται.

Περὶ τῆς μεγάλης τεσσαρακοστῆς [6]).

Ἐν δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ μονοσιτοῦμεν, πλὴν σαββάτου καὶ κυριακῆς· ἐσθίομεν δὲ τῇ πρώτῃ καὶ τῇ μέσῃ ἑβδομάδι μονοτρόπως, ἤγουν φάβαν, ἢ ἐρεβίνθι ἐκζεστόν ἔστιν ὅτε καὶ ἁλμαίαν χωρὶς ἐλαίου, ἢ κάστανα, ἢ ἑτέρας τινὰς ὀπώρας ἐκζεστάς, τῇ δὲ β'. ἑβδομάδι, καὶ τρίτῃ ε'. εἴτε καὶ ς'. ἐσθίομεν οὕτως· κόκκους ἐκζεστοὺς καὶ μαγειρίαν μετὰ καρύου τριπτοῦ. χωρὶς τετράδος καὶ παρασκευῆς· ἐν ταύταις

[1]) На полѣ въ Иверской рукописи замѣчено: Σημείωσαι, ὅτι κατάχρησις μ'. τὴν νηστείαν ἐνταῦθα πάλιν. [2]) ὡς—нѣтъ. [3]) τὴν μνήμην. [4]) Σημείωσαι, ὅτι οὐδέν φησι περὶ τῆς νηστείας τῆς Κοιμήσεως. Замѣтка на поляхъ въ Иверской рукописи. [5]) Прибавлено: ἢ καί. [6]) Заглавія нѣтъ.

γὰρ τὰ τῆς α΄. ἑβδομάδος ἐσθίομεν βρώματα. Πᾶσαν δὲ τὴν ἁγίαν τεσσαρακοστὴν οἶνον οὐ πίνομεν, ἄνευ σαββάτου καὶ κυριακῆς, χωρὶς τῶν ἀσθενούντων ἢ καὶ γερόντων.

Ἰστέον, ὅτι τῷ πρώτῳ σαββάτῳ ἀπὸ ὀψὲ τῆς ς΄. μετανοίας[1]) οὐ ποιοῦμεν· χρώμεθα δὲ τῷ τε σαββάτῳ καὶ τῇ κυριακῇ ἔλαιον καὶ οἶνον καὶ ἀνὰ δύο κράσεων εἰς τὸ ἄριστον καὶ πρὸς μίαν ὀψέ· ὡσαύτως καὶ ἐν τοῖς λοιποῖς σάββασί τε καὶ κυριακαῖς καὶ τῶν ἁγίων μ΄. καὶ ὅτε τὸν ἀκάθιστον ψάλλωμεν καὶ τὸν μέγα κανόνα. Τῇ δὲ μεγάλῃ β΄. γ΄. τε καὶ δ΄. καὶ ς΄. τὰ τῆς πρώτης ἑβδομάδος παρατεθήσονται[2]) βρώματα· τῇ μέντοι ἁγίᾳ ε΄. καὶ ἔλαιον καὶ οἶνον ἐσθίομεν. Τῷ δὲ ἁγίῳ σαββάτῳ, μεσαζούσης τῆς ιβ΄. ἀρχόμεθα τοῦ ἑσπερινοῦ, καὶ ὅπου σώσει ἡ ἀπόλυσις. ἡ δὲ τράπεζα οὐκ ἀνοίγει, διὰ γὰρ τὸ βραδέως[3]) τὴν λειτουργίαν συμφάζειν[4]), καὶ τὸ μὴ κόρῳ τὴν γαστέρα καταβαρῦναι καὶ τὴν διάνοιαν. τῇ εὐλογίᾳ μόνῃ ἀρκούμεθα. ἀνὰ δύο κράσεων μεταλαμβάνοντες ἐν τῷ νάρθηκι.

Περὶ δὲ τοῦ εὐαγγελισμοῦ.

Ἰστέον, ὅτι πληρουμένης ὥρας δ΄. τὸ ξύλον κρούοντες, συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ ἐπαίροντες λιτήν, ἀπερχόμεθα εἰς τὸν ἅγιον Νικόλαον, εἰ δὲ πάρεστιν εὐδία, καὶ εἰς τὸν Πρόδρομον, κἀκεῖθεν ὑποστρέφοντες ἀρχόμεθα τοῦ ἑσπερινοῦ στιχολογίας χωρίς, εἶτα εἴσοδος καὶ λειτουργία τελεία. Χρώμεθα δὲ τότε ἰχθύας καὶ ἔλαιον καὶ οἶνον.

Χρὴ γινώσκειν, ὅτι τῇ μέσῃ ἑβδομάδι τῆς ἁγίας μ΄. προτίθεται τὸ ζωοποιὸν ξύλον τῇ ἁγίᾳ κυριακῇ μετὰ τὸν ὄρθρον, καὶ προσκυνοῦμεν πάντες, ὁμοίως καὶ τῇ δ΄.[5]).

Καὶ ἡ μὲν τοῦ κοινοῦ τῆς ἀδελφότητος τάξις ἐρρέθη ἤδη, ὁ δὲ καθεὶς ἄδειαν ἔχει κατὰ τὴν ἐνοῦσαν αὐτῷ ἰσχὺν καὶ προθυμίαν ἀγωνίζεσθαι, τῷ λόγῳ καὶ τῇ συμβουλῇ δηλονότι τοῦ πνευματικοῦ πατρὸς καὶ ἡγουμένου.

Περὶ τῆς ἐν ταῖς διακονίαις συμμετρίας.

Χρὴ γινώσκειν, ὅτι τὴν πρώτην ἑβδομάδα τῆς ἁγίας μ΄. καὶ τὴν μεγάλην ἀργοῦσιν οἱ ἀδελφοὶ ἀπὸ τῶν ἔξω διακονιῶν. σχολάζοντες τῇ ἀκο-

---

[1]) Прибавлено: κοινῶς [2]) παρατεθήσεται [3]) βραδὺ [4]) συμφθάζειν [5]) Прибавлено: καὶ παρασκευῇ.

λουθίᾳ τῆς ἐκκλησίας καὶ τῇ καθ' ἑαυτοὺς προσοχῇ καὶ ἀναγνώσει, μὴ ἐξερχόμενοι εἰς τὰς ἔξω δουλείας, εἰ μὴ ἐξ ἀναγκαίου τι συμβαίνει καὶ προστάξει ὁ ἡγούμενός τινας τῶν ἀδελφῶν ἀπελθεῖν. Ὡσαύτως καὶ τὴν ἑβδομάδα τῆς διακαινησίμου ἀργοῦσιν, ἐξαιρέτως μέχρι τῆς δ'. τὰς δὲ λοιπὰς ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς, μετὰ τὸ σημᾶναι τὴν πρώτην ὥραν, ἀπέρχονται οἱ τεταγμένοι εἰς τὰς ἔξω δουλείας, ἕκαστος εἰς τὴν ἰδίαν διακονίαν· καὶ οἱ μὲν πλησίον τῆς μονῆς κάμνοντες, ἐν τῇ δοξολογίᾳ τοῦ λυχνικοῦ ἀθροίζονται ἐν τῇ ἐκκλησίᾳ καὶ εἰσέρχονται εἰς τὴν τράπεζαν, οἱ δὲ μακρότερον ἀπερχόμενοι, ἔρχονται εἰς τὰ ἀπόδειπνα.

Τοῖς μὲν οὖν χαλκεῦσι καὶ βορδοναρίοις καὶ ναυπηγοῖς καὶ ξυλουργοῖς, ἐὰν κάμνωσι, δίδοται ἀπὸ τρίτης ὥρας ἄρτος καὶ οἶνος ἀνὰ δύο κρασοβολίων, πλὴν β'. καὶ δ'. ς'. ἐν ταύταις γὰρ οὐ βουλόμεθά τινα πίνειν οἶνον, πλὴν τῶν ἀσθενούντων. Οἱ δὲ εἰς τὰς λοιπὰς διακονίας ἐξερχόμενοι καὶ μὴ δυνάμενοι ἅπαξ τῆς ἡμέρας ἐσθίειν, λαμβάνουσιν ἄρτον, ἐσθίοντες αὐτὸν μετὰ ὕδατος, οὐ μέντοι καὶ οἶνον. Τῇ δὲ ἑσπέρᾳ τίθεται αὐτοῖς καὶ οἶνος, εἴτι καὶ εἰς τὴν τράπεζαν τύχοι παρατεθῆναι. Μετὰ δὲ τὸ παρελθεῖν τὴν ἁγίαν τεσσαρακοστὴν τοῖς μὲν βορδοναρίοις καὶ χαλκεῦσι δίδοται πρὸ τοῦ ἀρίστου καθ' ἑκάστην ἄρτος καὶ πρὸς ἓν κρασοβόλιον οἴνου, ὡς βαρεῖαν δουλείαν ἐγχειρισμένοις· ὡσαύτως καὶ τοῖς ξυλουργοῖς καὶ τοῖς ναυπηγοῖς, ὅτε ἔχουσι κόπον. Ὁμοίως δίδοται καὶ τοῖς ἀμπελουργοῖς πρὸς ἓν κρασοβόλιον κατὰ τὰς ἡμέρας τοῦ κλάδου καὶ τοῦ βλασταλογητοῦ μόνον· ὡσαύτως καὶ τοῖς ἐν τῷ μαργιπείῳ δουλεύουσιν, ὅτε ἔχουσι ζύμην· οἱ δὲ λοιποὶ πάντες εἰς τὴν δίαιταν τοῦ κοινοῦ ἀρκείσθωσαν. Περὶ δὲ οἰκονομίας τινῶν μικροψύχων καὶ ἀσθενῶν εἰς τὴν κρίσιν τοῦ προεστῶτος τὸ πᾶν κεῖται. Ἐν δὲ τῇ μ'. τῶν Χριστοῦ γεννῶν τετράδα μὲν καὶ ς'. μὴ διδόσθω οἶνος, πλὴν τῶν ἀσθενούντων ἢ καὶ εἴ τινας ὁ προεστὼς διακρίνοι τοῦ λαμβάνειν οἶνον· τὰς δὲ λοιπὰς ἡμέρας τῆς ἁγίας[1]) μ'. ἤγουν β'. καὶ γ'. καὶ ε'. ὅτε[2]) μὲν μονοσιτοῦσιν οἱ ἀδελφοί, τότε τοῖς χαλκεῦσι καὶ βορδοναρίοις, ξυλουργοῖς τε καὶ ναυπηγοῖς δίδοται πρὸ τοῦ γεύματος ἀνὰ κρασοβολίων δύο. Ὅταν δὲ φθάσῃ μνήμη ἁγίου, ἀργίαν τῶν ὡρῶν ποιοῦσα[3]), καὶ παρατίθηται δὶς ἡ τράπεζα, τηνικαῦτα οἱ προειρημένοι τεχνῖται, πρὸς ἓν κρασοβόλιον λαμβάνουσι κατὰ περίσσειαν, ἐὰν κάμνωσιν· εἰ δὲ τύχωσι μὴ ἔχοντες ἔργον, ἀρκείσθωσαν

[1]) τῆς αὐτῆς ἁγίας [2]) ὅταν [3]) ἐμποιοῦσα.

κἀκεῖνοι εἰς τὴν δίαιταν τῆς ἀδελφότητος. Περὶ δὲ τῶν ἀῤῥωστούντων ἀδελφῶν τύπος ὡρισμένος οὐκ ἔστιν, ἀλλὰ κατὰ ἀναλογίαν τῆς ἑκάστου ἀῤῥωστίας, ὀφείλομεν αὐτοὺς θεραπεύειν καὶ παραμυθεῖσθαι.

Χρὴ γινώσκειν, ὅτι ἐν αἷς ἡμέραις ἀργίαν ἄγομεν [1]) τῶν σωματικῶν ἔργων, οὐκ εἰς ἀργολογίας καὶ γελοιασμοὺς δεῖ ταύτας ἀναλίσκειν [2]), ἀλλὰ μᾶλλον εἰς εὐχὰς καὶ ἀναγνώσεις, ἵνα φωτισμὸν ψυχῆς καὶ χάριν πνευματικὴν ἐν ταῖς τοιαύταις ἑορταῖς καὶ μὴ κρίμα ληψώμεθα.

Δεῖ εἰδέναι, ὡς ἀρχαία παράδοσις καὶ νομοθεσία ἐστὶ τῶν πατέρων, ἵνα τοὺς λογισμοὺς αὐτῶν καὶ τὰς κρυπτὰς πράξεις οἱ ἀδελφοὶ τῷ προεστῶτι ὀφείλωσιν [3]) ἀνατίθεσθαι, καὶ παρ' αὐτοῦ κανονίζεσθαι, ἢ ᾧτινι ὁ προεστὼς διακρίνοι.

Ἰδιόκτητα [4]) δὲ πράγματα καὶ πεκούλια ἢ νομίσματα, ἢ νουμία, ἄνευ τῆς τοῦ καθηγουμένου βουλῆς καὶ γνώμης κεκτῆσθαί τινι τῶν ἀδελφῶν οὐκ ἔξεστι· τοῦτο γὰρ παντελῶς ἀπηγόρευται παρὰ τοῖς θείοις ἡμῶν πατράσι καὶ τῷ μεγάλῳ Βασιλείῳ.

Ὡσαύτως δὲ καὶ τὸ λάθρα ὑποχωρεῖν τῆς μονῆς πάντῃ ἀλλότριον τοῦ μοναχικοῦ ἐπαγγέλματος ἔκριναν οἱ ἅγιοι πατέρες· οὐκ ἔξεστιν οὖν τινι λάθρα ὑποχωρεῖν, ἀλλ' εἰ οὐκ ἀναπαύεται ψυχικῶς ἐν τῇ καθ' ἡμᾶς λαύρᾳ, ἀναγγειλάτω τῷ προεστῶτι [5]) τὴν αἰτίαν, καὶ ἐὰν εὐλόγως ζητῇ τὴν μετάβασιν, ἢ παραδώσει αὐτὸν εἰς ἕτερον πνευματικὸν ἡγούμενον, ἢ ἄλλως πῶς οἰκονομήσει τὰ κατ' αὐτὸν, ἵνα ἔσται καὶ ἡ ἀναχώρησις αὐτοῦ ἐκ τοῦ μοναστηρίου μετ' εὐχῆς καὶ εὐλογίας, καὶ μὴ ἀπηγορευμένη, κατηραμένη καὶ ἀφωρισμένη παρὰ τῶν ἁγίων πατέρων.

Χρὴ γινώσκειν, ὅτι ὀφείλει ἕκαστος ἀδελφὸς ἔχειν ὑποκάμισα δύο. ἐπανωφορία δύο, μαλλωτὸν ἕν, κουκούλιον, μανδύας δύο, ἓν μικρὸν, τὸ τῆς διακονίας καὶ ἕτερον, ὅπερ νόμος ἐστὶ κεχρῆσθαι ἐν τῇ ἐκκλησίᾳ, βαρυμάνδυ. ὑποδήματα, καλύγια καὶ τὸ ἔγκοιτον αὐτοῦ.

Ἐν τῇ πύλῃ τοῦ μοναστηρίου στεκέτω γέρων συνετὸς, ἢ εἰ καὶ μὴ γέρων, ἀλλ' ἐν συνέσει ἀγαθῇ, ἐπιστάμενος δέξασθαι ἀπόκρισιν [6]) καὶ ἀποδοῦναι· ὅστις πυλωρὸς κελλίον ὀφείλει ἔχειν κατεγγὺς τῆς πύλης. ἵνα τὸν ἐρχόμενον πάντοτε παρευθὺς εὑρίσκειν παρά τινι ἀποκριθήσεται, καὶ ἵνα

---

[1]) ἔχομεν [2]) καταναλίσκειν [3]) ὀφείλουσιν. [4]) На полѣ въ Иверской рукописи замѣчено: Εἴρηται περὶ τούτων ἀρκούντων ἐν τῷ πρώτῳ λόγῳ καὶ τίσι προσήκει τὸν καθηγούμενον ἐγχειρίζεσθαι τὸ ἀργύριον. [5]) τοῖς προεστῶσι. [6]) ἀπόκρισιν — нѣтъ.

μή τις κλοπὴ ἐκ τῶν ἔργων τῶν τεχνιτῶν γένηται καὶ παροδεύηται· οἱ γὰρ τὴν οἰανοῦν κλοπὴν ἐκ πράγματος τῶν ἔργων καὶ διακονιῶν τῆς μονῆς ποιοῦντες, τὸν θάνατον Ἀνανίου καὶ Σαπφείρας ὑποδέχονται· ἀλλ' ἐκεῖνοι μὲν σωματικῶς, οὗτοι δὲ ψυχικῶς σὺν τῇ ἀρᾷ τὸν θάνατον κληρονομίσουσι.

Ταῦτα οὖν πάντα τὰ παρ' ἡμῶν κανονισθέντα βουλόμεθα πάντη ἐν τῇ συνοδίᾳ [1]) ἀναγινώσκεσθαι, τοῦ μηδένα ἐκ τῶν ἀδελφῶν ἄγνοιαν προφασίζεσθαι. Δώῃ δὲ ἡμῖν ὁ Κύριος, μετὰ πάσης πληροφορίας ἀναδεξαμένους τὰ εἰρημένα, καρποὺς ἀξίους τοῦ Πνεύματος ἐπιδείξασθαι, Θεοῦ εὐδοκίᾳ καὶ συνεργείᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

D) ΣΥΝΑΞΑΡΙΟΝ σὺν Θεῷ. ἤτοι Τυπικὸν ἐκκλησιαστικῆς ἀκολουθίας τῆς εὐαγοῦς μονῆς τῆς ὑπεραγίας Θεοτόκου ΤΗΣ ΕΥΕΡΓΕΤΙΔΟΣ, ἀρχόμενον ἀπὸ μηνὸς Σεπτεμβρίου, περιέχον πᾶσαν ἀκολουθίαν μέχρι συμπληρώσεως Αὐγούστου· ὡσαύτως καὶ τῆς ἁγίας τεσσαρακοστῆς ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου μέχρι τῶν Ἁγίων Πάντων.

Рукопись библіотеки Аѳинскаго національнаго Университета № 788 въ полулистъ, или вѣрнѣе въ малый (промѣръ І. Саккеліона 0,29 длина и ширина 0,21) листъ, писана вязью, но весьма красивымъ почеркомъ конца XI или первой половины XII столѣтія, на тонкомъ изящномъ пергаминѣ, съ художественными виньетками и заглавными буквами предъ началомъ почти каждой новой статьи, входящей въ составъ Синаксаря или Типикона.

Μηνὶ [2]) Σεπτεμβρίῳ α'. Ἀρχὴ τῆς ἰνδίκτου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου, καὶ τῶν ἁγίων μ'. γυναικῶν. Ἑσπέρας οὐ στιχολογοῦμεν. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν σ'. καὶ ψάλλομεν στι-

[1]) πάντοτε ἐν τῷ συνοδικῷ. [2]) Въ рукописи, по полямъ ея, противъ каждаго отдѣла, начинающагося съ красной строки, киноварью написаны слѣдующія замѣчанія или какъ бы заглавія: ἑσπέρας, παννυχίς, ὄρθρος, λειτουργία, εἰ τύχοι κυριακή, εἰ ἐστὶ κυριακή, σημείωσαι и т. п.

χηρὰ γ΄. τῆς ἰνδίκτου εἰς ἦχον α΄. πρὸς τό· Τῶν οὐρανίων ταγμάτων, καὶ γ΄. τοῦ ὁσίου ἦχος πλ. α΄. ἰδιόμελον· Ὅσιε πάτερ, καλὴν ἐφεῦρες κλίμακα, καὶ τὰ τούτου προσόμοια πρὸς μίαν, δόξα καὶ νῦν, θεοτοκίον· Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, εἴσοδος, εἰς τό· Φῶς ἱλαρόν, προκείμενον τῆς ἡμέρας, εἶτα τὰ ἀναγνώσματα· τὸ α΄. Ἡσαΐου, οὗ ἡ ἀρχή· Πνεῦμα Κυρίου ἐπ' ἐμέ. τὸ β΄. Λευϊτικοῦ· Ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραήλ· τὸ γ΄. Παροιμιῶν· Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι. Ζήτει ταῦτα εἰς τὸν βιβλίον, ἐν ᾧ ἔχει τὰς προφητείας τῶν ἑορτῶν καὶ τὸ Ψαλτήριον. Εἰς τὸ στίχον, τῆς Ὀκτωήχου οὐδέν, εἰ μὴ ἔσται κυριακή, ἀλλὰ τῆς ἰνδίκτου εἰς ἦχον β΄. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ, στιχηρὰ δύο· Σοὶ τῷ βασιλεῖ. Μέγας εἶ ἀγαθέ, καὶ ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον τοῦ ὁσίου· Ἐκ ῥίζης ἀγαθῆς· Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἰνδίκτου ἦχος α΄. Χριστὲ ὁ Θεὸς ἡμῶν. Ἀπολυτίκιον μόνον αὐτὸ τὸ ἑσπέρας ἦχος β΄. Ὁ πάσης Δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον (οβ.] τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. Κύριε, φυλάττων ἐν εἰρήνῃ τὸν λαὸν καὶ τὴν πόλιν σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου, μόνε φιλάνθρωπε. Ἕτερον τοῦ ὁσίου ἦχος α΄. εἰς τὸ Θεὸς Κύριος, δόξα καὶ νῦν· Ὑπομονῆς στύλος γέγονας, ζηλώσας τοὺς προπάτορας ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν παννυχίδα, τὸν κανόνα τῶν ἁγίων γυναικῶν ἦχος δ΄. Θεοφάνους, πρὸς τό· Ἀνοίξω τὸ στόμα μου· Ἀπὸ γ΄. ᾠδῆς οὐδέν, ἀπὸ ς΄. τὸ κάθισμα τῶν αὐτῶν ἁγίων, ἦχος α΄. πρὸς τό· Τὸν τάφον σου Σωτήρ, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰ δὲ τύχῃ παρασκευῇ, ἑσπέρας καταλιμπάνεται οὗτος ὁ κανὼν καὶ ψάλλεται νεκρώσιμος εἰς τοὺς τάφους τοῦ ἑνεστῶτος ἤχου, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον· Θεὸς Κύριος ἦχος β΄. καὶ τροπάρια τῆς ἰνδίκτου β΄. Δόξα καὶ νῦν, τοῦ ὁσίου ἦχος α΄. Στιχολογοῦμεν κάθισμα ἓν, κάθισμα τῆς ἰνδίκτου ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον· Ὁ καιροὺς καρποφόρους· ὁ ψάλτης καὶ ὁ λαός, δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Συμεῶνα τὸν πάνυ. Κανόνες δύο· τῆς ἰνδίκτου ἦχος α΄. Ἰωάννου μοναχοῦ εἰς ς΄. καὶ τοῦ ὁσίου ἦχος πλ. δ΄. Ἰωάννου μοναχοῦ εἰς ς΄. Ἄσωμεν τῷ Κυρίῳ πάντες. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις ἐκ τοῦ βίου αὐτοῦ. Ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ ἦχος β΄. Τὰ ἄνω ζητῶν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν τοῦ ἤχου, οἷα ἂν τύχῃ ἡμέρα. Εἰς τοὺς αἴνους,

οὐδέν. Εἰς δὲ τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἦχος πλ. δ'. πρὸς τὸ· Ὦ τοῦ παραδόξου θαύματος, τῆς ἰνδίκτου ἓν καὶ δύο τοῦ ὁσίου, δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον τῆς ἰνδίκτου πρὸς τό· Ὁ ἐν Ἐδὲμ παράδεισος, Ὀκτώηχον γὰρ οὐδ' ὅλως ψάλλομεν.

Εἰ δὲ ἐν κυριακῇ τύχῃ, ἑσπέρας στιχολογοῦμεν· Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ γ'. τοῦ ἤχου καὶ τῆς ἰνδίκτου γ'. καὶ δύο τοῦ ὁσίου, δόξα καὶ νῦν τὸ αὐτὸ θεοτοκίον· Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, εἴσοδος, προκείμενον καὶ τὰ ἀναγνώσματα. Εἰς δὲ τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ β'. ἤχου [σπ. 2] καὶ ἓν ἰδιόμελον τοῦ ὁσίου ἦχος β'. Ἐκ ῥίζης ἀγαθῆς, δόξα καὶ νῦν τὸ τῆς ἰνδίκτου ἰδιόμελον ἦχος α'. Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ δὲ ἀπολυτίκιον τῆς ἰνδίκτου.

Εἰς δὲ τὸ ἀπόδειπνον, τὸ ἀναστάσιμον καὶ τῆς ἰνδίκτου καὶ τοῦ ὁσίου. Ἐν τῷ ὄρθρῳ, τὸ ἀναστάσιμον β'. Δόξα, τῆς ἰνδίκτου, καὶ νῦν τοῦ ὁσίου. Ἑσπέρας, ὁ κανὼν τῶν ἁγίων γυναικῶν. Ἀπὸ γ'. ᾠδῆς τὸ κάθισμα αὐτῶν, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου, εἰς τὸ τέλος τῶν στιχολογιῶν ἡ ὑπακοὴ τοῦ ἤχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου. Οἱ ἀναβαθμοί, τὸ Πᾶσα πνοή, καὶ τὸ εὐαγγέλιον τῆς κυριακῆς. Κανόνες· ὁ ἀναστάσιμος ὁ α'. τοῦ ἤχου εἰς ς'. τῆς ἰνδίκτου ἦχος α'. Ἰωάννου μοναχοῦ εἰς δ'. ὁμοίως καὶ τοῦ ὁσίου ἦχος πλ. δ'. εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τῆς ἰνδίκτου, ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἁγίου, ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν δ'. ἀναστάσιμα καὶ δ'. ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος, ἓν τῆς ἰνδικτιῶνος καὶ γ'. τοῦ ὁσίου, Δόξα, ἦχος β'. ἰδιόμελον τῆς ἰνδίκτου· Ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργήσας, καὶ νῦν, Ὑπερευλογημένη.

Χρὴ γινώσκειν, ὅτι, ὅταν ἐπιστῇ ἑορτή, ἔχουσα ἀναγνώσματα, εἰς τὸ λυχνικὸν οὐ στιχολογοῦμεν, γίνεται δὲ εἴσοδος εἰς τὸ· Φῶς ἱλαρόν, καὶ ἡ θεία λειτουργία τελεῖται ἐν τῷ ναῷ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ὁσίου ἦχος πλ. δ'. ἡ ς'. Χιτῶνά μοι παράσχου. Μετὰ τὴν εἴσοδον τὸ τροπάριον τῆς ἰνδίκτου, δόξα καὶ νῦν, τὸ κοντάκιον τοῦ ὁσίου, προκείμενον ἦχος γ'. Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός, ψαλμός. Ὁ ἀπόστολος πρὸς Κολασσαεῖς· Ἀδελφοί, ἐνδύσασθε. Ζήτει κυριακῇ λ'. Ἀλληλούια ἦχος δ'. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, στίχος β'. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς Ναζαρέτ. Κοινωνικὸν ἦχος

α'. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τοῦ ὁσίου· Εἰς μνημόσυνον.

Εἰ δ' ἔστιν κυριακή, μακαρισμοὶ ἀναστάσιμοι, τροπάριον τῆς ἐνδίκτου. Μετὰ τὴν εἴσοδον, δόξα καὶ νῦν τὸ κοντάκιον, προκείμενον καὶ Ἀλληλούια τὰ προειρημένα τῆς ἡμέρας, ἀπόστολός τε καὶ εὐαγγέλιον, ἀμφότερα· προηγοῦνται δὲ τῆς κυριακῆς, (οδ.] ἔπειτα τῆς ἡμέρας. Κοινωνικὰ τῆς ἡμέρας τὰ προειρημένα.

Μηνὶ τῷ αὐτῷ β'. τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος, καὶ τοῦ ὁσίου Ἰωάννου τοῦ Νηστευτοῦ. Ἑσπέρας, ἡ στιχολογία, ὡς σύνηθες. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ μάρτυρος γ'. πρὸς τὸ· Ὦ τοῦ παραδόξου θαύματος, ἦχος πλ. δ'. καὶ ἕτερα γ'. τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον ὅμοια τῶν αὐτῶν, δόξα καὶ νῦν· θεοτοκίον. Ἀντὶ προκειμένου Ἀλληλούια μετὰ τοῦ στίχου τῆς ἡμέρας, ἀπὸ τοῦ προκειμένου στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά, εἶτα τὸν κανόνα τῆς ἡμέρας τῆς παννυχίδος.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ Τριαδικὰ τοῦ ἤχου. Μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς Ὀκτωήχου. Ἀνάγνωσις, ἐκ τοῦ βίου τοῦ ὁσίου Συμεὼν, καὶ ἀπὸ γ'. ᾠδῆς, τοῦ μάρτυρος, οὗ ἡ ἀρχή· Μάμας ὁ περιβόητος. Κανόνας γ'. ἕνα τῆς Ὀκτωήχου καὶ ἕτερον τοῦ μάρτυρος ἦχος πλ. δ'. Θεοφάνους· Ἁρματηλάτην Φαραώ, καὶ ἕτερον τοῦ ὁσίου ἦχος ὁ αὐτὸς Γερμανοῦ· Τῷ ἐκτινάξαντι· ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ μάρτυρος ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα τοῦ ὁσίου ἦχος γ'. ἐξαποστειλάριον τῆς ἡμέρας. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ γ'. τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου, καὶ τοῦ ὁσίου Θεοκτίστου, μαθητοῦ τοῦ ἁγίου Εὐθυμίου τοῦ μεγάλου. Ἑσπέρας, ἡ στιχολογία. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἱερομάρτυρος γ'. ἦχος δ'. πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ ἕτερα γ'. τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Ὁ ἐξ ὑψίστου κληθείς, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀντὶ προκειμένου Ἀλληλούια μετὰ τοῦ στίχου τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν παννυχίδα, κανὼν τοῦ ἤχου τῆς ἡμέρας.

Εἰς τὸν ὄρθρον· μετὰ τὴν στιχολογίαν καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Τίς οὐκ οἶδε τὴν Νι-

κομήδειαν. Κανόνες γ'. εἷς τῆς Ὀκτωήχου, καὶ τοῦ ἱερομάρτυρος ἦχος πλ. δ'. Ἰωάννου μοναχοῦ· Ἄσωμεν τῷ Κυρίῳ, καὶ τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον Θεοφάνους· Ἡ κεκομμένη, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ μάρτυρος ἦχος πλ. δ'. ἀπὸ ς'. τοῦ ὁσίου καὶ θεοτοκίον, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ δ'. τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα, ἐπισκόπου Ἀντιοχείας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου (π. 3) ἀνὰ δ'. ἦχος πλ. δ'. πρὸς τὸ· Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δ', καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ'. Βήματι τυράννου παρέστης, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Καὶ τρόπων μέτοχος.

Εἰς τὸν ὄρθρον· Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον δ'. Δόξα καὶ νῦν, θεοτοκίον. Μετὰ τὴν στιχολογίαν καθίσματα τῆς Ὀκτωήχου. Ἀναγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Νουμεριανοῦ τὰ Ῥωμαίων σκῆπτρα. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ ἁγίου ἦχος γ'. Θείας πίστεως. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Κανόνες γ'. οἱ δύο τῆς Ὀκτωήχου εἰς ς'. καὶ τοῦ ἁγίου ὁμοίως εἰς ς'. ἦχος πλ. δ'. Ἰωάννου μοναχοῦ· Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δ'. καὶ ἄλλο τοῦ ἁγίου ἦχος πλ. α'. Χαίροις, Δόξα καὶ νῦν· θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας. Προκείμενον τοῦ ἁγίου, ὁμοίως καὶ τὸ τροπάριον αὐτοῦ ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ἀλληλούια ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἰδοὺ δίδωμι ὑμῖν. Ζήτει σαββάτῳ ι'. τοῦ Λουκᾶ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ ε'. τοῦ ἁγίου προφήτου Ζαχαρίου, καὶ τοῦ ἁγίου Κυρίλλου, ἐπισκόπου Γορτύνης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ προφήτου δ'. ἦχος πλ. δ'. πρὸς τὸ· Ὦ τοῦ παραδόξου θαύματος, καὶ ἕτερα δ'. τοῦ ἁγίου Κυρίλλου εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ· Οἱ μάρτυρές σου, Κύριε, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον· τῆς Ὀκτωήχου στιχηρὰ δ'. καὶ ἰδιόμελον τοῦ προφήτου ἦχος πλ. δ'. Ἱερωσύνης

νομικῆς, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Πρὸς τὸ Κατεπλάγη Ἰωσήφ· Ἱερωσύνης στολισμόν, περιβαλλόμενος σοφέ, κατὰ τὸν νόμον τοῦ Θεοῦ, ὁλοκαυτώματα δεκτά, ἱεροπρεπῶς προσενήνοχας Ζαχαρία· καὶ γέγονας φωστὴρ, καὶ θεατὴς μυστικῶν, τὰ σύμβολα ἐν σοὶ τὰ τῆς χάριτος φέρων ἐκδήλως πάνσοφε· καὶ ξίφει ἀναιρεθεὶς ἐν τῷ (οϐ.] ναῷ τοῦ Θεοῦ, Χριστοῦ προφῆτα σὺν τῷ Προδρόμῳ, πρέσϐευε τοῦ σωθῆναι ἡμᾶς.

Εἰς τὸν ὄρθρον· Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον β΄. Δόξα καὶ νῦν, θεοτοκίον. Μετὰ τὴν στιχολογίαν καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ἐγκώμιον τοῦ ἁγίου Κοσμὰ Βεστήτορος, οὗ ἡ ἀρχή· Μύστα τῶν ἀῤῥήτων. Κανόνες γ΄. ἱστῶμεν στίχους ιϐ΄. εἰς τῆς Ὀκτωήχου· εἰς δ΄. καὶ τοῦ ἁγίου Κυρίλλου εἰς δ΄. ἦχος πλ. δ΄. Ἰωσήφ, καὶ τοῦ προφήτου εἰς τὸν αὐτὸν ἦχον εἰς δ΄. Θεοφάνους· Ὑγρὰν διοδεύσας. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα τοῦ προφήτου ἦχος πλ. δ΄. ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον· στιχηρὰ τῆς Ὀκτωηχου β΄. καὶ ἓν ἐκ τῶν προσομοίων τοῦ προφήτου ἦχος δ΄. Ἔδωκας σημείωσιν. Παιδίον ἐώρακας. Δόξα καὶ νῦν, θεοτοκίον.

Εἰς τὴν λειτουργίαν· προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος. στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, οὐχ ἑαυτῷ τις λαμβάνει. Ζήτει Ἰουνίου ιϐ΄. Ἀλληλούια ἦχος πλ. α΄. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι. Ζήτει τῇ δ΄. τῆς ια΄. ἑβδομάδος. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ς΄. Ἡ μνήμη τοῦ ἀρχαγγέλου Μιχαὴλ εἰς τὸ θαῦμα τὸ ἐν ταῖς Χώναις. Ἑσπέρας, οὐ στιχολογοῦμεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀσωμάτου ἦχος δ΄. πρὸς τὸ· Ὡς γενναῖον γ΄. ἐκ δευτέρου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἀσωμάτου ἦχος πλ. β΄. Συγχάρητε ἡμῖν, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Τῶν οὐρανίων στρατιῶν.

Εἰς τὸν ὄρθρον, τὸ αὐτὸ τροπάριον β΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ τῆς στιχολογίας κάθισμα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ θαῦμα τοῦ ἀσωμάτου, οὗ ἡ ἀρχή· Καὶ τὰ περὶ τῶν ἄλλων ἁγίων διεξιέναι. Κανόνες β΄. εἰς τῆς Ὀκτωήχου εἰς δ΄. καὶ τοῦ ἀρχιστρατήγου ἦχος δ΄. Ἰωσήφ· Τῷ ὁδηγήσαντι πάλαι εἰς η΄. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα τοῦ αὐτοῦ ἦχος β΄. Οἱ τῷ ναῷ σου τῷ ἑπτῷ, ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ ἦχος δ΄.

Ἀρχιστράτηγε Θεοῦ. ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. (π. 4] Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον· στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἰδιόμελον τοῦ ἀσωμάτου ἦχος πλ. α΄. Ὅπου ἐπισκιάσει, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀναγινώσκεται δὲ καὶ τὸ μαρτύριον τοῦ ἁγίου μάρτυρος Εὐδοξίου καὶ τῶν λοιπῶν ἐν τῷ αὐτῷ ὄρθρῳ, οὗ ἡ ἀρχή· Τραϊανοῦ τοῦ δυσσεβοῦς.

Εἰς τὴν λειτουργίαν, ἐν τοῖς τυπικοῖς ᾠδὴ τοῦ κανόνος τοῦ ἀσωμάτου ἡ ς΄. Εἰς τὴν εἴσοδον τὸ τροπάριον, δόξα καὶ νῦν, τὸ κοντάκιον αὐτοῦ. Προκείμενον ἦχος δ΄. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, στίχος· Εὐλόγει ἡ ψυχή μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἰ ὁ δι' ἀγγέλων λαληθείς. Ζήτει Νοεμβρίου εἰς τὴν η΄. Ἀλληλούια ἦχος β΄. Αἰνεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, στίχος β΄. Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Κοινωνικόν· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα.

Δεῖ γινώσκειν, ὅτι ἐὰν τύχῃ ἐν ἡμέρᾳ σαββάτου τοῦ ἀσωμάτου, οὐδὲν τῶν νεκρωσίμων ψάλλομεν. Εἰς δὲ τοὺς αἴνους, λέγομεν στιχηρὰ μαρτυρικὰ τοῦ ἤχου, καὶ εἰς τὸ δόξα, τὸ ἰδιόμελον· Ὅπου ἐπισκιάσει ἡ χάρις, καὶ θεοτοκίον. Εἰς δὲ τὸν στίχον, τὰ νεκρώσιμα, τοῦ ἤχου. Εἰς δὲ τὸν ὄρθρον, ψάλλομεν κανόνα, εἰ λάχοι, κατανυκτικόν, εἴτε σταυρώσιμον, εἰ δὲ ἑτέρα ἡμέρα, τῆς Θεοτόκου εἰς δ΄. καὶ τοῦ ἀρχαγγέλου εἰς η΄.

Μηνὶ τῷ αὐτῷ η΄. Προεόρτια τῆς γεννήσεως τῆς Θεοτόκου καὶ τοῦ ἁγίου μάρτυρος Σώζοντος. Ἑσπέρας· μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Θεοτόκου προεόρτια β΄. ἦχος α΄. πρὸς τὸ· Τῶν οὐρανίων ταγμάτων, δευτεροῦντες τὸ ἓν, καὶ γ΄. τοῦ ἁγίου ἦχος δ΄. πρὸς τὸ· Ἑδώκας σημείωσιν, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον στιχηρὰ τῆς ἑορτῆς. Ζήτει ταῦτα εἰς τὸ τέλος τοῦ βιβλίου. Δόξα καὶ νῦν ἦχος δ΄. τῆς Θεοτόκου· Τὴν πάνσεπτόν σου γέννησιν. Ἀπολυτίκιον ἦχος α΄. πρὸς τὸ· Τοῦ λίθου σφραγισθέντος. Τεχθεῖσα παραδόξως στειρωτικῶν ἐξ ὠδίνων, παρθενικῶν ἐκ λαγόνων ἐκύησας ὑπὲρ φύσιν, ὡραῖος φανεῖσα γὰρ βλαστός, ἐξήνθησας τῷ (οβ.] κόσμῳ τὴν ζωήν, διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν βοῶσί σοι, Θεοτόκε· δόξα τῇ προόδῳ σου ἁγνή, δόξα τῇ κυήσει σου, δόξα τῇ παρθενίᾳ σου, Μῆτερ ἀνύμφευτε.

Εἰς τὴν παννυχίδα, κανὼν προεόρτιος. Ἀπὸ γ΄. ᾠδῆς οὐδέν, ἀπὸ ς΄. κοντάκιον τῆς Θεοτόκου ἐκ τῶν συνήθων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος α΄. καὶ τὸ αὐτὸ τροπάριον ἐκ γ΄. Μετὰ τὴν στιχολογίαν καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου Σώζοντος, οὗ ἡ ἀρχή· Μαξιμιανοῦ τῆς Κιλικίας. Κανόνες δύο· τῆς ἑορτῆς ὁ προεόρτιος εἰς η΄. ἦχος δ΄. ποίημα Γεωργίου· Ἀνοίξω τὸ στόμα μου, καὶ τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα τοῦ ἁγίου ἦχος δ΄. ἀπὸ ς΄. κάθισμα τῆς Θεοτόκου ἦχος πλ. δ΄. πρὸς τὸ· Τὸ προσταχθέν μυστικῶς. Ἀνανεώθητε Ἀδάμ, Δόξα καὶ νῦν τὸ αὐτό, ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς. Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου. ἦχος β΄. Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς ἦχος β΄. Δεῦτε, φιλοπάρθενοι πάντες.

Εἰς τὴν λειτουγίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου. Μετὰ τὴν εἴσοδον δόξα καὶ νῦν ἦχος α΄. τὸ τροπάριον τῆς Θεοτόκου, προκείμενον ἦχος πλ. β΄. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ. Ἀλληλούια ἦχος πλ. δ΄. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον.

Μηνὶ τῷ αὐτῷ η΄. Τὸ γενέθλιον τῆς Θεοτόκου. Ἑσπέρας, οὐ στιχολογοῦμεν. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἦχος πλ. β΄. Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις, [λέγομεν β΄. Εἰ καὶ θείῳ βουλήματι, λέγομεν γ΄. Αὕτη ἡμέρα Κυρίου, λέγεται γ΄. Δόξα καὶ νῦν τὸ πρῶτον)[1] εἶτα εἴσοδος, προκείμενον τῆς ἡμέρας, ἀναγνώσματα, τὰ εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου· τὸ α΄. Γενέσεως· Ἐξῆλθεν Ἰακώβ, τὸ β΄. Ἰεζεκιήλ· Ἔσται ἀπὸ τῆς ἡμέρας, τὸ γ΄. Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν. Εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελον ἦχος δ΄. Ἡ παγκόσμιος χαρά, στίχος· Μνήσθητι, Κύριε, τοῦ Δαβίδ, ἕως τοῦ· ὤμοσε τῷ Θεῷ Ἰακώβ. ἕτερος· Δι' ἀγγέλου προρρήσεως, στίχος· Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, ἕως τοῦ· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου, ἄλλο· Τὴν πάνσεπτόν σου γέννησιν, δόξα καὶ νῦν ἦχος πλ. β΄. Σήμερον στειρωτικαὶ πύλαι. Ἀπολυτίκιον ἦχος α΄. Ἡ γέννησίς σου, Θεοτόκε.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας κανόνες δύο· (л. 5] ὁ εἷς ποίημα Λέοντος Δεσπότου ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου εἰς ς΄. σὺν τοῖς εἱρμοῖς, καὶ ὁ ἕτερος Ἰωσὴφ εἰς τὸν αὐτὸν ἦχον· Γηθόμενος σήμερον εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα τῆς ἑορτῆς, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου·

[1]) Заключенное въ скобки написано на полѣ руко

Προστασία τῶν χριστιανῶν, καὶ τὸν οἶκον. Μετὰ τὴν ἀπόλυσιν ἡ ἀνάγνωσις εἰς τὸ πανηγυρικὸν βιβλίον τῆς Θεοτόκου, λόγος α'. Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὗ ἡ ἀρχή· Δεῦτε πάντα τὰ ἔθνη, εἶτα, μετὰ τὴν ἀνάγνωσιν, σημαίνει καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον· Θεὸς Κύριος ἦχος α'. τὸ τροπάριον ἐκ γ'. εἶτα ἡ στιχολογία. Κάθισμα τῆς ἡμέρας τὸ ἐνόρδινον, κάθισμα τῆς ἑορτῆς ἦχος δ'. πρὸς τὸ· Κατεπλάγη Ἰωσήφ. Ἐκ τῆς ῥίζης Ἰεσσαί, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις, λόγος τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὗ ἡ ἀρχή· Εἰ μετρεῖται γῇ σπιθαμῇ. Εἶτα λέγομεν κάθισμα ς'. τὸ· Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τὸ κάθισμα τῆς ἑορτῆς πρὸς τό· Κατεπλάγη Ἰωσήφ. Ἡ παρθένος Μαριάμ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις λόγου τοῦ αὐτοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὗ ἡ ἀρχή· Ἄλλοι μὲν ἄλλας ἑορτῶν ὑποθέσεις. Ἔπειτα στιχολογοῦμεν τὸν πολυέλεον, κάθισμα ὁμοίως· Ἀναβόησον Δαβίδ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Ἀνδρέου, ἐπισκόπου Κρήτης, οὗ ἡ ἀρχή· Ἀρχὴ μὲν ἑορτῶν ἡ παροῦσα πανήγυρις. Μετὰ τὴν ἀνάγνωσιν. οἱ ἀναβαθμοὶ ἦχος δ'. ἀντίφωνον ἓν, προκείμενον ἦχος δ'. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ, στίχος· Ἄκουσον, θύγατερ, καὶ ἴδε, τὸ· Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν, τῆς Θεοτόκου· Ἀναστᾶσα Μαριάμ. Εἶτα ὁ Ν'. κανόνες β'. τῆς ἑορτῆς ἦχος β'. Ἰωάννου μοναχοῦ· Δεῦτε λαοί. Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν, λέγομεν δὲ τοὺς εἱρμοὺς ἀνὰ β'. τὰ δὲ τροπάρια ἀνὰ δ'. καὶ ἕτερος κανὼν τοῦ κυροῦ Ἀνδρέου εἰς ς'. ἦχος πλ. δ'. Τῷ συντρίψαντι πολέμους, ἔσχατον δὲ ἀμφότεροι οἱ χοροὶ ψάλλουσι τὴν καταβασίαν τοῦ Σταυροῦ· Σταυρὸν χαράξας Μωσῆς. Ἀπὸ γ'. ᾠδῆς κάθισμα ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς. Ἀγαλλιάσθω οὐρανός, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος εἰς τὴν μετάφρασιν τοῦ ἁγίου Ἰακώβου ἱστορικός, οὗ ἡ ἀρχή· Ἐν ταῖς ἱστορίαις τῶν ιδ'. φυλῶν. Ἀπὸ ς'. τὸ κοντάκιον ἦχος δ'. Ἰωακεὶμ καὶ Ἄννα, καὶ τὸν οἶκον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, εἰ δ' οὖν ἕτερος πρὸς τὸ· Γυναῖκες ἀκουτίσθητε. Ἀγάλλονται τὰ πέρατα. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. καὶ ψάλλομεν (**οδ.**] στιχηρὰ β'. Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, Δόξα καὶ νῦν ἦχος πλ. β'. ἰδιόμελον· Σήμερον ἡ στεῖρα Ἄννα, Δοξολογία μεγάλη, ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, ἑσπέρας, ἡ στιχολογία· Μακάριος! ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ γ'. ἀναστάσιμα καὶ τὰ γ'. τῆς ἑορτῆς τὰ προγραφέντα· ἦχος πλ. β'. Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις, Αὕτη ἡ ἡμέρα Κυρίου, Εἰ καὶ θείῳ βουλήματι· ἀνὰ β'.

μετὰ τοῦ Δόξα καὶ νῦν. Εἴσοδος, προκείμενον, καὶ τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον καὶ τῆς ἑορτῆς τὰ προγραφέντα ἦχος δ'. Ἡ παγκόσμιος χαρά, ἕτερον· Δι' ἀγγέλου προρρήσεως, πρὸς μίαν· τοὺς δὲ στίχους τῆς ἑορτῆς, Δόξα καὶ νῦν, Τὴν πάνσεπτόν σου γέννησιν, ἀπολυτίκιον τῆς Θεοτόκου.

Εἰς δὲ τὴν παννυχίδα, κανόνας τοὺς προειρημένους τῆς Θεοτόκου.

Εἰς δὲ τὸν ὄρθρον· τὸ ἀναστάσιμον τροπάριον εἰς τὸ Θεὸς Κύριος β'. δόξα καὶ νῦν, τῆς ἑορτῆς. Στιχολογοῦμεν τὰ β'. καθίσματα τῆς κυριακῆς· Ἐξομολογήσομαι καὶ ἀγαπήσω σε, Κύριε. Καθίσματα δὲ καὶ ἀναγνωσματα τῆς ἑορτῆς, ὡς εἴρηται. Μετὰ τὸν πολυέλεον, ἡ ὑπακοὴ τοῦ ἤχου, ἀλλ' εἰ ἔχει ἡ ὥρα λέγομεν καὶ τὸν πολυέλεον, εἰ δὲ μή, μετὰ τὴν ἀνάγνωσιν. οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὰ γ'. ἀντίφωνα, προκείμενον δὲ, καὶ Πᾶσα πνοή. καὶ εὐαγγέλιον ἑωθινὸν τῆς Θεοτόκου μόνα. Οὕτω γὰρ διετάξατο ὁ Στουδίτης ποιεῖν καὶ εἰς ταύτην τὴν ἑορτὴν τῆς Θεοτόκου, καὶ εἰς τὴν Ὑπαπαντήν, καὶ τὴν Κοίμησιν, καὶ εἰς τὸν Εὐαγγελισμόν. Καὶ τοῦτο, εἰ μὴ τύχῃ ἡ κυριακὴ τῶν Βαΐων, ἐν ταύτῃ γὰρ προτιμᾶται τὸ εὐαγγέλιον τῶν Βαΐων, εἰς δὲ τὰ Ἅγια τῶν Ἁγίων, τὸ ἀναστάσιμον προτιμᾶται, εἰ τύχῃ εἰς κυριακήν. Εἰς δὲ τὴν λειτουργίαν, ἀμφότερα εἰς πάσας τὰς ἑορτάς. Εὐαγγέλιον τοίνυν καὶ προκείμενον τῆς Θεοτόκου, ὡς εἴρηται, εἶτα· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ τὸν Ν'. Κανόνας δὲ ψάλλομεν γ'. τὸν ἀναστάσιμον εἰς δ'. καὶ τῆς ἑορτῆς τὸν β'. ἦχον εἰς ς'. ὁμοίως δὲ καὶ τὸν πλ. δ'. εἰς ς'. λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν, καὶ ἱστῶμεν, ις'. Ἡ δεξιά σου, Κύριε, δεδόξασται, ἔσχατον δὲ τὴν καταβασίαν τοῦ Σταυροῦ οἱ δύο χοροὶ ὁμοῦ. Ἀπὸ γ'. ᾠδῆς τὸ τῆς ἑορτῆς κάθισμα, ὡς εἴρηται, ὁμοίως δὲ καὶ ἡ ἀνάγνωσις, ἀπὸ ς'. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα (π. 6] καὶ τῆς ἑορτῆς τὰ γ'. δευτεροῦντες τὸ ἐν Ὧ τοῦ παραδόξου θαύματος, ἦχος α'. Δόξα καὶ νῦν, [Ὑ]περευλογημένη. ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Εἰς τὴν θείαν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἑορτῆς· ἦχος πλ. δ'. Μνήσθητι ἡμῶν, τροπάριον καὶ τριαδικὸν καὶ θεοτοκίον. Προκείμενον ἦχος γ'. ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν. Ἀλληλούια ἦχος πλ. δ'. Ἄκουσον, θύγατερ, καὶ ἴδε, στίχος β'. Τὸ πρόσωπόν σου λιτανεύσουσιν. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον καὶ ἀλληλούια τὰ εἰρημένα τῆς ἑορτῆς, ἀπόστολος δὲ καὶ εὐαγγέλιον ἀμφότερα, προηγοῦνται δὲ τῆς κυριακῆς. Κοινωνικὸν τῆς ἑορτῆς· Ποτήριον.

Μηνὶ τῷ αὐτῷ θ'. Τῶν ἁγίων Ἰωακεὶμ καὶ Ἄννης. Ἑσπέρας, οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος α'. Ὦ τοῦ παραδόξου θαύματος, καὶ τὰ τούτου προσόμοια, πρὸς μίαν, εἶτα τῶν δικαίων ἦχος δ'. πρὸς τὸ· Ἔδωκας σημείωσιν γ'. Δόξα καὶ νῦν ἦχος δ'. Τὴν πάνσεπτόν σου γέννησιν. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ ἦχος β'. πρὸς τὸ· Οἶκος τοῦ Ἐφραθᾶ. Δεῦτε τὴν ἐκ Δαβίδ, Σήμερον εὐκλεῶς, Ῥίζης τοῦ Ἰεσσαί, Δόξα καὶ νῦν, ἦχος δ'. ἰδιόμελον· Στεῖρα ἄγονος ἡ Ἄννα σήμερον. Ἀπολυτίκιον τῆς ἑορτῆς· Ἡ γέννησίς σου, Θεοτόκε.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς ἦχος δ'. Ἰωάννου· Ἄσομαί σοι. Κύριε, ὁ Θεός μου. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου, ἦχος β'. Πρεσβεία θερμή.

Εἰς τὸν ὄρθρον, εἰ μὴ τύχῃ κυριακῇ, ἐγειρόμεθα ὥρᾳ θ'. διὰ τὸν κόπον. Εἰς τὸ Θεὸς Κύριος, τὸ τροπάριον τῆς ἑορτῆς, ἐκ γ'. Οὐ στιχολογοῦμεν· ἀλλ' εὐθέως τὸν Ν'. καὶ κανόνας β'. τῆς ἑορτῆς τὸν β'. ἦχον· τὸ Δεῦτε λαοί, ὁμοίως καὶ τῶν ἁγίων εἰς τὸν αὐτὸν ἦχον, ἀνὰ ς'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν δικαίων, ἦχος πλ. α'. Ἀνάγνωσις· λόγος ὁ περισσεύσας τῆς ἑορτῆς Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ, Λόγος Δ'. οὗ ἡ ἀρχή· Πάλιν ἑορτὴ καὶ πάλιν πανήγυρις. Ἀπὸ ς'. τὸ κοντάκιον, ἐξαποστειλάριον· Ἅγιος Κύριος, ἢ τῆς ἑορτῆς· Ἀγάλλονται τὰ πέρατα. Εἰς τοὺς αἴνους, οὐδέν, (οβ.] εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος α'. πρὸς τὸ· Τῶν οὐρανίων ταγμάτων. Ἰωακεὶμ καὶ ἡ Ἄννα. Δόξα, καὶ νῦν ἦχος πλ. β'. ἰδιόμελον· Σήμερον τῆς παγκοσμίου χαρᾶς. ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῶν δικαίων, ἡ ς'. Τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον ἦχος πλ. β'. Εὐφράνθητε ἐπὶ Κύριον· στίχος· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή. Ἀλληλούια ἦχος α'. Σωτηρία τῶν δικαίων παρὰ Κυρίου. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος· Οὐδεὶς λύχνον ἅψας. Ζήτει σαββάτῳ ς'. τοῦ Λουκᾶ. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, ἑσπέρας, μετὰ τὴν στιχολογίαν τό· Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ

τὰ γ'.ἀναστάσιμα δευτεροῦντες τὸ α'. καὶ τῶν ἁγίων ἦχος δ'. εἰς δ'. Δόξα καὶ νῦν, Τὴν πάνσεπτόν σου, εἴσοδος, προκείμενον. Εἰς τὸν στίχον· τὸ ἀναστάσιμον τοῦ στίχου, καὶ ἕτερα δύο πρὸς τὸ· Οἶκος τοῦ Ἐφραθὰ, Δόξα καὶ νῦν τὸ ἰδιόμελον ἦχος δ'. Στεῖρα ἄγονος ἡ Ἄννα σήμερον. Ἀπολυτίκιον· Ἡ γέννησίς σου, Θεοτόκε. Εἰς τὴν παννυχίδα, τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς'. καὶ τὸν προγραφέντα τῆς ἑορτῆς εἰς δ'. ἦχος δ'. Ἄσομαί σοι, Κύριε. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικόν, ἀπὸ ς'. τὸ κοντάκιον· Προστασία τῶν χριστιανῶν.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι καὶ τὰ καθίσματα, καὶ αἱ ἀναγνώσεις, ἅπαντα τῆς κυριακῆς, ὡς σύνηθες· ὁμοίως καὶ οἱ ἀναβαθμοί, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, τὸ ἑωθινὸν εὐαγγέλιον, ἅπαντα τῆς κυριακῆς. Κανόνας δὲ ψάλλομεν γ'. τὸν ἀναστάσιμον εἰς ς'. καὶ τῆς ἑορτῆς τὸν β'. ἦχον εἰς δ'. ὁμοίως καὶ τῶν ἁγίων εἰς τὸν αὐτὸν ἦχον, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η'. καὶ λέγομεν τὰ δ'. ἀναστάσιμα καὶ τὰ δ'. τῆς ἑορτῆς τὰ εἰρημένα, ἦχος α'. πρὸς τό· Τῶν οὐρανίων ταγμάτων, Δόξα καὶ νῦν, Ὑπερευλογημένη, ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ οἱ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον τροπάριον, τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον καὶ ἀλληλούια τῶν δικαίων τὰ εἰρημένα· ἀπόστολος δὲ καὶ εὐαγγέλιον καὶ κοινωνικὸν ἀμφοτέρων, προηγοῦνται δὲ τῆς κυριακῆς ἅπαντα. (**π. 7**].

Μηνὶ τῷ αὐτῷ ι'. τῶν ἁγίων μαρτύρων Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς ἦχος δ'. πρὸς τό· Ἔδωκας σημείωσιν, β'. καὶ τῶν ἁγίων εἰς τὸν αὐτὸν ἦχον β'. ψάλλομεν ἑσπέρας καὶ τὸν ἅγιον Σευηριανόν, στιχηρὰ β'. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος δ'. Ἡ παγκόσμιος χαρά. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος β'. Ἡ προορισθεῖσα παντάνασσα, ἀπολυτίκιον· Ἡ γέννησίς σου.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς ἦχος δ'. ποίημα Γεωργίου· Τριστάτας κραταιούς.

Εἰς τὸν ὄρθρον, ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα δὲ, εἰ τύχῃ ἡ ἡμέρα σταυρώσιμος ἢ ἀναστάσιμος, τοῦ ἤχου, εἰ δὲ μή γε, τῆς ἑορτῆς πρὸς τὸν ἦχον, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν

ἁγίων, οὗ ἡ ἀρχή· Οὐδὲ γυναιξίν, οὐδὲ κόραις. Ψάλλομεν δὲ κανόνας β΄. τῆς ἑορτῆς τὸν πλ. δ΄. εἰς δ΄. καὶ τῶν ἁγίων εἰς δ΄. Ἰωσήφ, ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου, καὶ δ΄. τοῦ μάρτυρος. Ἀπό γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος δ΄. ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς, ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους στιχηρὰ τῆς Ὀκτωήχου γ΄. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. στιχηρὸν προσόμοιον, πρὸς τό· Δεῦτε ἅπαντες πιστοὶ πνευματικῶς εὐφρανθῶμεν, ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, μακαρισμοὶ ἦχος πλ. δ΄. Οἱ καταλειφθέντες τῆς ἑορτῆς, τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον ἦχος πλ. β΄. Μνησθήσαμαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ, καὶ ἴδε. Ἀπόστολος τῆς ἡμέρας, ἀλληλούια ἦχος πλ. δ΄. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Μηνὶ τῷ αὐτῷ ια΄. τῆς ὁσίας μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β΄. ἦχος πλ. δ΄. πρὸς τό· Τὴν ἔνδοξον καὶ ἄχραντον, εἶτα ἕτερα στιχηρὰ β΄. τοῦ ἁγίου Αὐτονόμου, εἰς τὸν αὐτὸν ἦχον, πρὸς τό· Ὦ τοῦ παραδόξου. Ζήτει ταῦτα εἰς τὰς ιβ΄. τοῦ μηνός. Ἀφ' ἑσπέρας γὰρ ψάλλομεν καὶ τὸν ἅγιον Αὐτόνομον διὰ τὸ ἀποδίδειν εἰς τὰς ιβ΄. τὴν ἑορτήν. Καὶ ἕτερα β΄. τῆς ὁσίας, ἦχος δ΄. πρὸς τό· Ὡς γεννατόν. Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον τῆς ἑορτῆς ἰδιόμελον· Δι' ἀγγέλου προρρήσεως. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς, ἦχος α΄. Ἡ ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας, ἀπολυτίκιον· Ἡ γέννησίς σου. (οβ.]

Εἰς τὴν παννυχίδα, κανὼν ἦχος δ΄. πρὸς τό· Ἀνοίξω τὸ στόμα μου, ποίημα Λέοντος Δεσπότου· Γηράσαντα πάναγνε.

Εἰς τὸν ὄρθρον· ἀπὸ τῆς στιχολογίας κάθισμα τῆς ὁσίας ἦχος πλ. δ΄. καὶ ἀναγινώσκομεν τὸν βίον αὐτῆς, οὗ ἡ ἀρχή· Ζήνων(α) μὲν οὖν ἤδη, τὸν αὐτοκράτορα Ῥωμαίων. Καὶ ψάλλομεν κανόνας γ΄. τῆς ἑορτῆς ἦχος β΄. τῆς ὁσίας ἦχος δ΄. Θεοφάνους· Ἀνοίξω τὸ στόμα μου, καὶ τοῦ ἁγίου Αὐτονόμου ἦχος πλ. δ΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ΄. ἀπὸ ς΄. κοντάκιον τῆς ἑορτῆς, ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, δόξα καὶ νῦν, ἦχος β΄. τῆς ἑορτῆς ἰδιόμελον· Δεῦτε φιλοπάρθενοι πάντες, ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς ἑορτῆς τοῦ πλ. δ΄, ἡ γ΄. ᾠδή, τροπάριον καὶ τὸ καντάκιον τῆς ἑορτῆς, προκείμενον καὶ ἀλληλούια τῆς ἑορτῆς· ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας.

ἁγίων, οὗ ἡ ἀρχή· Οὐδὲ γυναιξίν, οὐδὲ κόραις. Ψάλλομεν δὲ κανόνας β΄. τῆς ἑορτῆς τὸν πλ. δ΄. εἰς δ΄. καὶ τῶν ἁγίων εἰς δ΄. Ἰωσήφ, ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου, καὶ δ΄. τοῦ μάρτυρος. Ἀπό γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος δ΄. ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς, ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους στιχηρὰ τῆς Ὀκτωήχου γ΄. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. στιχηρὸν προσόμοιον, πρὸς τό· Δεῦτε ἅπαντες πιστοὶ πνευματικῶς εὐφρανθῶμεν, ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, μακαρισμοὶ ἦχος πλ. δ΄. Οἱ καταλειφθέντες τῆς ἑορτῆς, τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον ἦχος πλ. β΄. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ, καὶ ἴδε. Ἀπόστολος τῆς ἡμέρας, ἀλληλούια ἦχος πλ. δ΄. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Μηνὶ τῷ αὐτῷ ια΄. τῆς ὁσίας μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β΄. ἦχος πλ. δ΄. πρὸς τό· Τὴν ἔνδοξον καὶ ἄχραντον, εἶτα ἕτερα στιχηρὰ β΄. τοῦ ἁγίου Αὐτονόμου, εἰς τὸν αὐτὸν ἦχον, πρὸς τό· Ὦ τοῦ παραδόξου. Ζήτει ταῦτα εἰς τὰς ιϐ΄. τοῦ μηνός. Ἀφ' ἑσπέρας γὰρ ψάλλομεν καὶ τὸν ἅγιον Αὐτόνομον διὰ τὸ ἀπολίδειν εἰς τὰς ιϐ΄. τὴν ἑορτήν. Καὶ ἕτερα β΄. τῆς ὁσίας, ἦχος δ΄. πρὸς τό· Ὡς γενναῖον. Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον τῆς ἑορτῆς ἰδιόμελον· Δι' ἀγγέλου προρρήσεως. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς, ἦχος α΄. Ἡ ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας, ἀπολυτίκιον· Ἡ γέννησίς σου. (οϐ.]

Εἰς τὴν παννυχίδα, κανὼν ἦχος δ΄. πρὸς τό· Ἀνοίξω τὸ στόμα μου, ποίημα Λέοντος Δεσπότου· Γηράσαντα πάναγνε.

Εἰς τὸν ὄρθρον· ἀπὸ τῆς στιχολογίας κάθισμα τῆς ὁσίας ἦχος πλ. δ΄. καὶ ἀναγινώσκομεν τὸν βίον αὐτῆς, οὗ ἡ ἀρχή· Ζήνων(α) μὲν οὖν ἤδη, τὸν αὐτοκράτορα Ῥωμαίων. Καὶ ψάλλομεν κανόνας γ΄. τῆς ἑορτῆς ἦχος β΄. τῆς ὁσίας ἦχος δ΄. Θεοφάνους· Ἀνοίξω τὸ στόμα μου, καὶ τοῦ ἁγίου Αὐτονόμου ἦχος πλ. δ΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ΄. ἀπὸ ς΄. κοντάκιον τῆς ἑορτῆς, ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, δόξα καὶ νῦν, ἦχος β΄. τῆς ἑορτῆς ἰδιόμελον· Δεῦτε φιλοπάρθενοι πάντες, ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς ἑορτῆς τοῦ πλ. δ΄, ἡ γ΄. ᾠδή, τροπάριον καὶ τὸ καντάκιον τῆς ἑορτῆς, προκείμενον καὶ ἀλληλούια τῆς ἑορτῆς· ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Κοινωνικόν· Ποτήριον σωτηρίου. Εἰ δὲ τύχῃ ἡ σαββάτῳ ἢ κυριακῇ, καὶ προκείμενον καὶ ἀλληλούια τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιϐ΄. τοῦ ἁγίου μάρτυρος Αὐτονόμου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ ἑορτή, καὶ διὰ τοῦτο, ὡς εἴρηται, προψάλλομεν τὸν ἅγιον εἰς τὰς ιά΄. Τῇ αὐτῇ ἑσπέρᾳ οὐ στιχολογοῦμεν διὰ τὸ ἀποδίδοσθαι τὴν ἑορτήν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν σ΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα ἦχος πλ. ϐ΄. τὰ ἐν τῇ ἑορτῇ· Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις, Αὕτη ἡ ἡμέρα Κυρίου, Εἰ καὶ θείῳ βουλήματι, τὰ γ΄. ἐκ ϐ΄. Δόξα καὶ νῦν τὸ α΄. Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἦχος δ΄. Ἡ παγκόσμιος χαρά. καὶ τὰ ἕτερα δύο, (ὡς) καὶ ἐν τῇ ἑορτῇ μετὰ τῶν στίχων αὐτῶν, δόξα καὶ νῦν, ἦχος πλ΄. ϐ΄. Σήμερον στειρωτικαὶ πύλαι, ἀπολυτίκιον· Ἡ γέννησίς σου, Θεοτόκε.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς ἦχος δ΄. Γηθόμενοι σήμερον.

Εἰς τὸν ὄρθρον, ἀπὸ τῆς στιχολογίας κάθισμα ἦχος δ΄. Ἀναβόησον Δαβίδ. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις, τὸ μαρτύριον τοῦ ἁγίου Αὐτονόμου, οὗ ἡ ἀρχή· Τῆς ἴσης ἀτοπίας εἶναι νομίζω. Κανόνες δύο, τῆς ἑορτῆς, ἀνὰ σ΄. τὸν ϐ΄. ἦχον, καὶ τὸν πλ. δ΄. Ἀπὸ γ΄. κάθισμα ἦχος πλ. δ΄. Ἀγαλλιάσθω οὐρανός, Δόξα καὶ νῦν τὸ αὐτό, ἀπὸ σ΄. τὸ κοντάκιον, ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος α΄. πρὸς τό· Ὦ τοῦ παραδόξου, (π. 8.] πρὸς μίαν. Δόξα καὶ νῦν ἦχος δ΄. Στεῖρα ἄγονος ἡ Ἄννα.

Εἰ δὲ τύχῃ κυριακῇ, προηγοῦνται τὰ ἀναστάσιμα πάντα, ψάλλονται δὲ μετ' αὐτῶν καὶ τῆς ἑορτῆς, ὡς ἐκεῖσε εἴρηται.

Εἰς τὴν λειτουργίαν. πάντα τῆς ἑορτῆς, ὡς εἰς αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ ιγ΄. προεόρτια τοῦ τιμίου Σταυροῦ καὶ τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν σ΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς τοῦ Σταυροῦ, ἦχος πλ. α΄. πρὸς τό· Χαίροις γ΄. Ζήτει εἰς τὴν ἑορτήν· καὶ γ΄. τοῦ ἁγίου ἦχος δ΄. Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. πρὸς τὸ Δεῦτε ἅπαντες πιστοί. Δεῦτε ἅπαντες πιστοὶ τὸ ζωοδώρητον ξύλον. Ζήτει αὐτὸ εἰς τὴν ἑορτήν. Ἀπολυτίκιον ἦχος ϐ΄. Τὸν ζωοποιὸν Σταυρὸν

τῆς σῆς ἀγαθότητος. Ζήτει εἰς τὴν Ὀκτώηχον σταυρώσιμον, τὸ αὐτὸ καὶ εἰς τὸν ὄρθρον καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὴν παννυχίδα, κανόνα τὸν προεόρτιον τοῦ Σταυροῦ ἦχος δ΄. Τριστάτας κραταιούς. Ἀπὸ γ΄. ᾠδῆς, οὐδέν, ἀπὸ ς΄, κάθισμα σταυρώσιμον ἦχος β΄. Σωτηρίαν εἰργάσω, Δόξα καὶ νῦν θεοτοκίον.

Εἰς τὸν ὄρθρον, εἰς τὸ Θεὸς Κύριος τροπάριον ἦχος β΄. Τὸν ζωοποιὸν Σταυρόν, ἐκ γ΄. Ἡ στιχολογία, κάθισμα ἓν. Μετὰ τὴν στιχολογίαν, πρὸς τὸν ἦχον κάθισμα σταυρώσιμον τῆς Ὀκτωήχου, οἷα ἂν ἡμέρα ᾖ, Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις, τὸ μαρτύριον τοῦ ἁγίου Κορνηλίου, οὗ ἡ ἀρχή· Μετὰ τὴν σωτήριον ἐπὶ γῆς τοῦ Λόγου. Κανόνες β΄. τὸν προεόρτιον, ἦχος δ΄. κατὰ ἀλφάβητον· Ἀγάλλου οὐρανέ, εἰς η΄. καὶ τοῦ ἁγίου ἦχος πλ. α΄. Ἰωσήφ, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος δ΄. ἀπὸ ς΄. κάθισμα ἦχος πλ. δ΄. πρὸς τό· Τὸ προσταχθὲν μυστικῶς. Ἐπὶ σταυροῦ σε κατιδὼν ἀνυψωθέντα. Ζήτει εἰς τὴν Ὀκτώηχον. Δόξα καὶ νῦν θεοτοκίον. Τὸν ἀμνὸν καὶ ποιμένα. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος πλ. β΄. Σήμερον προέρχεται ὁ Σταυρός, ἀπολυτίκιον τὸ εἰρημένον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ γ΄. ᾠδὴ τοῦ προεορτίου κανόνος. Μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν τροπάριον τὸ αὐτό. Προκείμενον ἦχος α΄. Γένοιτο, Κύριε, τὸ ἔλεός σου, στίχος· Ἀγαλλιᾶσθε δίκαιοι. Ὁ ἀπόστολος τοῦ ἁγίου· Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνήρ τις ἦν ἐν Καισαρείᾳ. Ζήτει τῇ β΄. τῆς δ΄. ἑβδομάδος τοῦ Πάσχα. Ἀλληλούια ἦχος α΄. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί. (οβ.] Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ. Ζήτει τῇ γ΄. τῆς ς΄. ἑβδομάδος τοῦ Πάσχα, ἀπὸ τοῦ μέσου. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Σαββάτῳ πρὸ τῆς Ὑψώσεως, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας, ἤγουν προκείμενον καὶ ἀλληλούια καὶ τυπικά· ἀπόστολος δὲ πρὸς Κορινθίους· Ἀδελφοί, σοφίαν λαλοῦμεν. Ζήτει σάββατον ιγ΄. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· ὁ φιλῶν πατέρα ἢ μητέρα. Ζήτει σάββατον ζ΄.

Κυριακῇ πρὸ τῆς Ὑψώσεως, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας. Προκείμενον τῆς λειτουργίας ἦχος γ΄. Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ἴδετε πηλίκοις. Ζήτει κυριακῇ κδ΄. Ἀλληλούια τῆς ἡμέρας τοῦ ἤχου. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Μηνὶ τῷ αὐτῷ· ιδ'. ἡ Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. Τῇ ἑσπέρᾳ μετὰ τὸ κροῦσαι τὴν θ'. ἀνέρχεται ὁ ἐγκάθετος ἱερεὺς μετὰ τοῦ ἐκκλησιάρχου καὶ διακόνου ἐν τῷ σκευοφυλακίῳ ἡλλαγμένοι καὶ καταβιβάζουσι τὸν τίμιον σταυρόν, ψάλλοντες ἡσύχως τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ ἀποτίθενται αὐτὸν ἔσωθεν ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, εἶθ' οὕτως σημαίνει τὸ ἑσπερινόν. Ἑσπέρας δὲ οὐ στιχολογοῦμεν. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἦχος πλ. β'. πρὸς τὸ· Ὅλην ἀποθέμενοι. Σταυρὸς ἀνυψούμενος, Μωσῆς προετύπου σε. Σταυρὲ πανσεβάσμιε, τὰ γ'. ἐκ β'. εἶτα ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον. Σήμερον ξύλον ἐφανερώθη, καὶ τοῦτο ἐκ β'. Δόξα καὶ νῦν ἦχος πλ. β'. Ὁ τετραπέρατος κόσμος, ἔπειτα εἴσοδος, προκείμενον τῆς ἡμέρας, τὰ ἀναγνώσματα· τὸ α'. τῆς Ἐξόδου· Ἐξῆρε Μωϋσῆς, τὸ β'. Παροιμιῶν· Υἱέ, μὴ ὀλιγώρει, τὸ γ'. Ἡσαΐου· Τάδε λέγει Κύριος· Ἀνοιχθήσονται πύλαι. Εἰς τὸν στίχον, στιχηρὰ ἦχος πλ. δ'. Ὅνπερ πάλαι Μωϋσῆς, στίχος· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ πάλιν τὸ αὐτὸ στιχηρόν, στίχος β'. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεός, ἄλλο· Τῶν προφητῶν αἱ φωναί, Δόξα καὶ νῦν ἰδιόμελον ἦχος γ'. Χριστέ, ὁ Θεὸς ἡμῶν, ἀπολυτίκιον, ἦχος α'. Σῶσον, Κύριε, τὸν λαόν σου (**π. 9.**]

Χρὴ γινώσκειν, ὅτι ἐὰν τύχῃ ἐν κυριακῇ ἡ ἑορτὴ αὕτη, οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν, οὔτε στιχηρά, οὔτε κανόνας, οὔτε τι ἕτερον τῆς κυριακῆς, ἀλλὰ πάντα τῆς ἑορτῆς ἐν τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ· μόνον δὲ ἐν τῷ ἑσπερινῷ στιχολογοῦμεν τὸ· Μακάριος ἀνήρ.

Εἰς τὴν παννυχίδα, τὸν κατανυκτικὸν κανόνα τοῦ ἤχου τῆς ἡμέρας τῆς παννυχίδος εἰς ς'. καὶ τοῦ Σταυροῦ ἦχος δ'. Γερμανοῦ· Ἄσομαί σοι, Κύριε, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ Σταυροῦ, ἦχος α'. τῆς Ὀκτωήχου· Τὸ ὅπλον τοῦ Σταυροῦ, Δόξα καὶ νῦν, Οἱ τὴν σὴν προστασίαν, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος α'. τροπάριον· Σῶσον, Κύριε, λέγομεν β'. Δόξα καὶ νῦν, Οἱ τὴν σὴν προστασίαν. Ἡ στιχολογία, τὸ κάθισμα τῆς ἡμέρας, κάθισμα εἰς τὸν ἦχον σταυρώσιμον τοῦ ἤχου, οἷα ἂν ἡμέρα λάχῃ. Ἀνάγνωσις, ἀπὸ μὲν τῆς παννυχίδος, εἰς τὸ χῦμα τοῦ Πραξαποστόλου κατὰ τὴν ἀκολουθίαν τῶν κυριακῶν. Ἀπὸ δὲ τῆς στιχολογίας τοῦ α'. καθίσματος ἀνάγνωσις· Λόγος εἰς τὸ Πανηγυρικὸν Σωφρονίου Ἱεροσολύμων, οὗ ἡ ἀρχή· Σταυροῦ πανήγυρις, καὶ τίς οὐ σκιρτήσειε,

καὶ ἕτερος λόγος Παντολέοντος διακόνου· Πάλιν ὑψοῦτε σταυρός, τὰ β΄. συνημμένως εἰς μίαν ἀνάγνωσιν, καὶ ἕτερος λόγος εἰς τὸ μικρὸν πανηγυρικὸν Ἀλεξάνδρου μοναχοῦ. Εἶτα στιχολογοῦμεν τὸ β΄. κάθισμα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, τὰ γ΄. ἀντίφωνα εἰς τὸν ἐνεστῶτα ἦχον, κάθισμα δὲ εἰς τὸν αὐτὸν ἦχον, προσόμοιον τοῦ αὐτοῦ ἤχου, ἢ τῆς τετράδος, ἢ τῆς παρασκευῆς, Δόξα καὶ νῦν τὸ αὐτὸ θεοτοκίον. Ἀνάγνωσις εἰς τὸ αὐτὸ βιβλίον λόγος τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Τί εἶπω. ἢ τί λαλήσω; Ἔπειτα ὁ Πολυέλεος εἰς ἦχον πλ. β΄. κάθισμα εἰς τὸν αὐτὸν ἦχον· Μόνον ἐπάγη, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, λόγος εἰς τὴν Μετάφρασιν τοῦ κυροῦ Ἀνδρέου, οὗ ἡ ἀρχή· Σταυροῦ πανήγυριν ἄγομεν, εἰς δόσεις β΄. Μετὰ τὴν ἀνάγνωσιν οἱ ἀναβαθμοὶ ἦχος δ΄. ἀντίφωνον ἓν. Εἰ δὲ τύχῃ κυριακῇ, τοῦ ἤχου τὰ γ΄. ἀντίφωνα, προκείμενον ἦχος δ΄. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Πᾶσα πνοὴ εἰς τὸν αὐτὸν ἦχον. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· Πάτερ δόξασόν σου τὸν Υἱόν, τό· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, οἷα ἂν ἡμέρα ᾖ, καὶ τὸν Ν΄. Εἶτα ὁ κανὼν ἦχος πλ. δ΄. τοῦ κυροῦ Κοσμᾶ. Λέγουσι τοὺς εἱρμοὺς πρὸς μίαν οἱ χοροί, τὰ δὲ τροπάρια ἀνὰ δ΄. ἐν αἷς (οδ.] ᾠδαῖς εἰσὶ τρία, Δόξα καὶ νῦν, καὶ πάλιν τὰ β΄. πρὸς μίαν, ἔσχατον δὲ ἀμφότεροι οἱ χοροί, τοὺς εἱρμοὺς ἅπαξ, ὡς εἴρηται, ἐν αἷς δὲ εἰσὶ δύο τροπάρια ἀνὰ ς΄. καὶ νῦν πάλιν τὰ αὐτὰ πρὸς μίαν.

Χρὴ δὲ γινώσκειν, ὅτι προηυτρεπισμένου ὄντος τοῦ τετραποδίου μετὰ καὶ ἐνδυτῆς προτιθέασιν αὐτὸ οἱ παρεκκλησιάρχαι ἐν τῷ δεξιῷ μέρει τοῦ βήματος ἔξωθεν, ἐν τῷ ψάλλεσθαι τὸν Ν΄. ἅμα δὲ τοῦ ἄρξασθαι τὸν κανόνα· Σταυρὸν χαράξας Μωσῆς· τοῦ ἱερέως ἠλλαγμένου ὄντος μετὰ φελωνίου καὶ ἐπιτραχηλίου, ὁμοίως δὲ καὶ διακόνου, λαβὼν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τὸ τίμιον ξύλον ὁ ἱερεὺς μετὰ τῆς θήκης αὐτοῦ, ἄνωθεν μικροῦ ποτηροκαλύμματος κειμένου τοῦ σταυροῦ, προπορευομένου αὐτῷ καὶ τοῦ διακόνου μετὰ τοῦ πυρείου καὶ τῶν μανουαλίων τῆς εἰσόδου, ἐξέρχονται ἀπὸ τοῦ ἀριστεροῦ κλίματος καὶ ἔρχονται μέχρι τοῦ βήματος εἰσοδεύοντες, καὶ τιθέασιν αὐτὸν ἐπὶ τοῦ τετραποδίου ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου πλαγίως, ὡς εἴρηται, ἱστῶντες καὶ τοὺς δύο κηροὺς τῆς εἰσόδου, ἔμπροσθεν αὐτοῦ ἡμμένους, καὶ εὐθὺς εἰσέρχεται διὰ τῶν ἁγίων θυρῶν ἔνδοθεν τοῦ βήματος. Ἔπειτα θυμιᾷ ὁ διάκονος τὸν λαὸν καὶ τὸν ναὸν ἅπαντα. Ἀπὸ δὲ γ΄. ᾠδῆς, κάθισμα ἦχος πλ. β΄. Σήμερον τὸ προφητικόν, δόξα καὶ νῦν τὸ αὐτό, ἀνάγνωσις· λόγος, τὸ καταλειφθὲν ἐκ τοῦ λόγου τοῦ κυροῦ Ἀνδρέου. Ἀπὸ ς΄. τὸ κοντάκιον

ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ, καὶ, εἰ ἔχει ἡ ὥρα, ψάλλομεν καὶ κἂν τρεῖς οἴκους. Καὶ ἀνάγνωσις, λόγος τῆς εὑρέσεως τοῦ τιμίου Σταυροῦ, οὗ ἡ ἀρχή· Τοῦ διακοσιοστοῦ τρίτου. Τῆς δὲ θ΄. ᾠδῆς τὰ τροπάρια ὅλα, καὶ τῶν δύο εἱρμῶν, ἀνὰ δ΄. τοὺς δὲ εἱρμοὺς ἀνὰ β΄. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, ἡ τοῦ Σταυροῦ· Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης. Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια ἦχος πλ. δ΄. πρὸς τὸ· Ὦ τοῦ παραδόξου θαύματος, τὰ γ΄. ἐκ β΄. Δόξα καὶ νῦν ἦχος πλ. β΄. Σήμερον τὸ φυτὸν τῆς ζωῆς, εἶτα Δοξολογία μεγάλη. Ταύτης δὲ ψαλλομένης, ἀπέρχεται ὁ μέλλων ὑψῶσαι ἱερεὺς μετὰ καὶ διακόνων δύο, καὶ βαλόντες μετάνοιαν τῷ προεστῶτι, ἀπέρχονται καὶ ἀλλάσσουσι τοῦ ἱερέως (л. 10] φοροῦντος τὴν στολὴν αὐτοῦ πᾶσαν μετὰ καὶ ἐπιμανίκων. Μετὰ δὲ τὸ τέλος τοῦ Τρισαγίου, ἀρχομένου τοῦ λαοῦ τοῦ τροπαρίου· Σῶσον, Κύριε, τὸν λαόν σου, εὐθὺς ἐξέρχονται οἱ διάκονοι διὰ τῶν ἁγίων θυρῶν μετὰ θυμιατοῦ καὶ τοῦ ἱερέως· ἱσταμένου δὲ τοῦ ἱερέως ἐν τῷ τόπῳ τῶν ψαλτῶν, αἴρει ὁ διάκονος τὴν θήκην ἐπὶ χεῖρας, καὶ ἀναλαμβάνεται ὁ ἱερεὺς τὸν τίμιον σταυρὸν ἐξ αὐτῆς, ἐξ εὐθείας κειμένου τοῦ τιμίου ξύλου· εἶτα πάλιν τίθησιν ὁ διάκονος τὴν θήκην ἐν τῷ τετραποδίῳ καὶ ὑποστρέφει. Ἵστανται οὖν οἱ δύο διάκονοι, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων τοῦ ἱερέως, τοῦ ἑνὸς αὐτῶν τὸ πυρεῖον κατέχοντος· τοῦ δὲ λαοῦ πληροῦντος τὸ τροπάριον, ὁ ἱερεὺς σφραγίζειν ἀπάρχεται, τοῦ ἐκκλησιάρχου μετὰ τῶν συνισταμένων αὐτῷ εὐθὺς ἐκβοῶντος τό· Κύριε ἐλέησον, ἐκ γ΄. μετὰ κραυγῆς ἰσχυρᾶς· καὶ καθ' ἕκαστον Κύριε ἐλέησον, σφραγίζει ὁ ἱερεὺς μετὰ τοῦ τιμίου σταυροῦ ἐκ γ΄. κατὰ ἀνατολάς, ἤγουν εἰς γ΄. μόνα Κύριε ἐλέησον. Εἶτα ἵσταται κατὰ μικρὸν, ὑψῶν τὸν σταυρὸν ἀμφοτέραις χερσίν, ἀνατείνων αὐτὰς εἰς ὕψος, ἕως τῆς κεφαλῆς αὐτοῦ, ἱσταμένων καὶ τῶν διακόνων, ὡς εἴρηται, ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων· ὁ δὲ ἐκκλησιάρχης μετὰ τὸ τέλος τῆς γ΄. κραυγῆς καὶ σφραγίσεως ἅμα παντὶ τῷ λαῷ ἄρχεται τὸ Κύριε ἐλέησον ὁμαλώτερον μέν, τραχύτερον δὲ ὅμως, ὥς τε τὰς προλεχθείσας τρεῖς πρώτας φωνὰς ἀπαρχῆς ἐκτὸς εἶναι τοῦ ἀριθμοῦ τῆς ἑκατοστῆς· ἀφ' οὗ δὲ πᾶς ὁ λαὸς τὰς φωνὰς κοινωσάμενος βοᾶν ἄρχονται, ἐξ αὐτῆς ἀριθμὸν δέχεται ἡ ἑκατοντάς. Ἡνίκα δὲ φθάσῃ εἰς ιζ΄. Κύριε ἐλέησον, ὑψοῖ πάλιν τὴν φωνὴν ὁ ἐκκλησιάρχης, ὡς, αἰσθόμενον τὸν ἱερέα τέλος λαμβάνειν τὴν ἑκατοστήν, ἐν ᾧ μέρει ἵσταται σφραγίζειν πάλιν ἐκ γ΄. Αὐτοῦ δὲ ἐν ταὐτῷ σφραγίζοντος, καὶ τοῦ λαοῦ τρισσῶς ἐκβοῶντος τό· Κύριε ἐλέησον, τελειοῦται ἡ ἑκατοντάς. Εὐθὺς δὲ ὁ ἱερεὺς, πρὸς τὸ νότιον μέρος σταθείς, σφραγίζει πάλιν ἐκ γ΄. καθ' ἓν Κύριε ἐλέησον,

καὶ ἵσταται ἐκ τοῦ κατὰ μικρὸν ὑψῶν τὸν σταυρόν, συνεσομένων αὐτῷ καὶ τῶν διακόνων, εἰς οἷον ἄν μέρος ἑαυτὸν ὑποκλίνῃ ὑποκλινομένων καὶ αὐτῶν, πρὸς τὸ ἵστασθαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων ἀεί. (**οδ.**] Οὕτως ἐν τῇ ἀρχῇ τῆς ἑκατοστῆς, ἔν τε τῷ τέλει, καὶ ἐν ᾧ μέρει ἵσταται σφραγίζων ἐκ γ΄. τοῦ ἐκκλησιάρχου μετροῦντος καὶ ὑψοῦντος, ὡς εἴρηται, τὴν φωνήν. Εἶτα πρὸς δυσμὰς ὑποκλίνει, κἀκεῖσε ὡσαύτως σφραγίσας ἐκ γ΄. ὑψοῖ κατὰ μικρὸν τὸν σταυρόν. Εἶτα τοῖς πρὸς τὸ βόρειον μέρος ἑαυτὸν ἐμφανίζει, κἀκεῖ ὁμοίως ποιήσας, πάλιν ὑψοῖ πρὸς ἀνατολάς, τοῦ λαοῦ ὡσαύτως βοῶντος καθ' ἓν ἕκαστον κλίτος τὸ· Κύριε ἐλέησον ἀνὰ ρ΄. συγκεφαλαιούμενα εἰς φ΄. Πληρώσαντες οὖν, ὡς εἴρηται, τὴν πεντάκις ὕψωσιν, εὐθὺς ἀρχόμεθα ψάλλειν τὸ κοντάκιον· Ὁ ὑψωθείς. Ὁ δὲ διάκονος, λαβὼν τὸ τετραπόδιον μετὰ τῆς θήκης, τίθει αὐτὸ ἔμπροσθεν τοῦ ἱερέως, καὶ ὁ ἱερεὺς εὐθὺς τίθησιν ἐν τῇ θήκῃ αὐτοῦ τὸν τίμιον σταυρὸν ἄνευ ποτηροκαλύμματος, καὶ, ἀσπασάμενος, εἰσέρχεται μετὰ καὶ ἑνὸς διακόνου τοῦ ἁγίου θυσιαστηρίου ἔσωθεν. Μετὰ δὲ τὸ κοντάκιον εὐθὺς ἄρχεται ψάλλειν ὁ λαός· Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, ἐκ γ΄. ἔπειτα τροπάριον ἦχος πλ. β΄. Σήμερον τὸ προφητικόν, καὶ πάλιν· Τὸν σταυρόν σου προσκυνοῦμεν, ἐκ γ΄. εἶτα τροπάριον· Μόνον ἐπάγη τὸ ξύλον, καὶ πάλιν, Τὸν Σταυρόν σου προσκυνοῦμεν. Τούτων δὲ, ὡς εἴρηται, ψαλλομένων, ἀπέρχεται πρῶτος ὁ καθηγούμενος μόνος καὶ προσκυνεῖ, εἶτα καθεξῆς πάντες δύο δύο, ποιοῦντες ἴσως καὶ εὐτάκτως ἔμπροσθεν τοῦ τιμίου ξύλου ἀνὰ γ΄. μετανοίας. Συνάγονται δὲ τῶν μοναχῶν οἱ ψάλλοντες εἰς τὸ δεξιὸν κλίτος, πλησίον τοῦ σταυροῦ, καὶ ἄρχονται ψάλλειν, προσκυνούντων τῶν ἀδελφῶν, στιχηρὸν ἰδιόμελον ἦχος β΄. Δεῦτε πιστοὶ τὸ ζωοποιὸν ξύλον, Δόξα καὶ νῦν ἦχος πλ. β΄. Σταυρὲ τοῦ Χριστοῦ, καὶ εὐθύς· Τὸν Σταυρόν σου ἐκ γ΄. εἶτα ἐκτενὴς καὶ ἀπολύει. Προκειμένου ἐκεῖσε τοῦ τιμίου σταυροῦ μετὰ κηρῶν δύο μέχρι τῆς λειτουργίας. Ψάλλομεν δὲ καὶ τὴν πρώτην ὥραν, οὐκ ἀναγινώσκομεν δέ.

Εἰς τὴν λειτουργίαν, Ἀντίφωνον τὸ α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Τὸ β΄. Ὁ Κύριος ἐβασίλευσε. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σταυρωθείς, ψάλλοντας. Τὸ γ΄. Δεῦτε ἀγαλλιασώμεθα (**λ. 11**] ἦχος α΄. τὸ τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου. Εἰς δὲ τὴν εἴσοδον, οὐ λέγομεν τό· Δεῦτε προσκυνήσωμεν, ἀλλὰ τὸν στίχον τοῦτον· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. Σῶσον, Κύριε, τὸν λαόν σου. Μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν ἦχος δ΄. τὸ κοντάκιον· Ὁ ὑψωθείς. Ἀντὶ δὲ Τρισαγίου, Τὸν Σταυρόν σου προσκυνοῦμεν, χωρὶς συναπτῆς. Προκείμενον ἦχος βαρύς· Ὑψοῦτε Κύριον, στίχος·

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. Ὁ ἀπόστολος πρὸς Κορινθίους α΄. Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ. Τέλος· Καὶ Θεοῦ σοφία. Ζήτει τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ, ἀπ' ἀρχῆς μέχρι τοῦ μέσου. Ἀλληλούια ἦχος α΄. Μνήσθητι τῆς συναγωγῆς σου, στίχος β΄. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἐποίησαν. Κοινωνικὸν ἦχος δ΄. Ἐσημειώθη.

Σαββάτῳ μετὰ τὴν Ὕψωσιν. Ὁ ἀπόστολος πρὸς Κορινθίους α΄. Ἀδελφοί, βλέπετε τὴν κλῆσιν ὑμῶν. Ζήτει σαββάτῳ ιβ΄. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ἐγὼ ὑπάγω καὶ ζητήσετέ με. Ζήτει τῇ παρασκευῇ τῆς δ΄. ἑβδομάδος τοῦ Πάσχα.

Κυριακῇ μετὰ τὴν Ὕψωσιν. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, εἰδότες, ὅτι οὐ δικαιοῦται. Ζήτει κυριακῇ κα΄. Εὐαγγέλιον κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος· ὅς τις θέλει. Ζήτει κυριακῇ γ΄. τῶν νηστειῶν. Προκείμενον καὶ ἀλληλούια τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιε΄. μεθεορτὴ τοῦ Σταυροῦ, ἐν ᾗ καὶ ἀποδίδοται ἡ ἑορτή, καὶ τοῦ ἁγίου μάρτυρος Νικήτα. Ἑσπέρας, οὐ στιχολογοῦμεν, οὐδὲ εἰς τὸν ὄρθρον διὰ τὸν κόπον, εἰ μὴ ἐστὶ σάββατον ὀψέ, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν γ΄. τοῦ Σταυροῦ, ἦχος. πλ. δ΄. Ὦ τοῦ παραδόξου θαύματος, καὶ τὰ τούτου προσόμοια πρὸς μίαν. καὶ γ΄. τοῦ ἁγίου μάρτυρος Νικήτα εἰς ἦχον δ΄. πρὸς τὸ· Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τοὺς στίχους, τοῦ Σταυροῦ πρὸς τὸ· Οἶκος τοῦ Ἐφραθᾶ γ΄. Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον ἰδιόμελον· Σύ μου σκέπη κραταιά. Ἀπολυτίκιον· Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον.

Εἰ δὲ σαββάτῳ ὀψέ, ἡ στιχολογία· Μακάριος ἀνήρ, καὶ ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ΄. καὶ γ΄. τοῦ Σταυροῦ, καὶ β΄. τοῦ ἁγίου, Δόξα καὶ νῦν τὸ θεοτοκίον τοῦ ἤχου. Εἴσοδος καὶ προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ ἤχου εἰς ἅπαξ καὶ ἕτερα δύο τοῦ Σταυροῦ πρὸς τό· Οἶκος τοῦ. Δόξα καὶ νῦν, Σύ μου σκέπη κραταιά. Ἀπολυτίκιον· Σῶσον, Κύριε, τὸν λαόν σου. (οβ.) Στίχους δὲ εἰς τὸν στίχον τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου τοῦ Σταυροῦ λέγομεν, κἂν τε κυριακὴ ἐστιν, κἂν τε ἑτέρα ἡμέρα τό· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ, Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεός. Εἰς τὴν παννυχίδα, οὐδὲν· καταλιμπάνεται γὰρ ἀφ' ἑσπέρας ἡ παννυχίς, εἰ μὴ ἐστὶ σάββατον ὀψέ.

Εἰς τὸν ὄρθρον ἐγειρόμεθα ὥρα θ΄. εἰ μὴ ἐστὶ κυριακή· ψαλλομένης δὲ τῆς ἀκολουθίας ἐν τοῖς κελλίοις, σημαίνει ὥρα ί. Καὶ μετὰ τὸν

ἐξάψαλμον, Θεὸς Κύριος ἦχος α΄. Σῶσον, Κύριε, τὸν λαόν, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰ δὲ κυριακή, τὸ ἀναστάσιμον ἅπαξ, καὶ ἅπαξ τοῦ Σταυροῦ, Δόξα καὶ νῦν θεοτοκίον· Οἱ τὴν σὴν προστασίαν· τοῦ γὰρ μάρτυρος καταλιμπάνομεν. Ψάλλομεν δὲ κανόνας β΄. οὐδὲ γὰρ στιχολογοῦμεν εἰ μὴ ἐστὶ κυριακὴ τοῦ Σταυροῦ· Σταυρὸν χαράξας εἰς η΄. καὶ τοῦ μάρτυρος εἰς δ΄. Θεοφάνους ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος. Λέγομεν δὲ καὶ· Τῷ Κυρίῳ ᾄσωμεν, ἱστῶμεν γὰρ ιβ΄. μετὰ τοῦ Δόξα καὶ νῦν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος α΄. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτοῦ, οὗ ἡ ἀρχή· Νικητικοὺς ἀγῶνας. Ἀπὸ ς΄. τὸ κοντάκιον τοῦ Σταυροῦ, καὶ οἴκους, εἰ ἔχει ἡ ὥρα, κἂν γ΄. ἐξαποστειλάριον· Ἅγιος Κύριος, εἴτε τοῦ Σταυροῦ. Εἰς τοὺς αἴνους, οὐδέν, εἰς δὲ τὸν στίχον, λέγομεν στιχηρὰ τοῦ σταυροῦ γ΄. ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις· πρὸς μίαν, ἃ καὶ προεόρτια ἐψάλλομεν, στίχους δὲ τοῦ Σταυροῦ τοὺς εἰρημένους, Δόξα καὶ νῦν ἦχος πλ. β΄. Ἰδιόμελον· Τῶν προφητῶν αἱ φωναί. Ἀπολυτίκιον· Σῶσον, Κύριε, τὸν λαόν σου.

Εἰ δὲ τύχῃ κυριακῇ, ἐν τῇ παννυχίδι, τὸν κατανυκτικὸν τοῦ ἤχου τὸν α΄. εἰς ς΄. καὶ τοῦ Σταυροῦ τὸν δ΄. εἰς δ΄. Ἄσομαί σοι, Κύριε, ὁ Θεός μου, τὰ δὲ λοιπά, ὡς σύνηθες κατὰ τὴν ἀκολουθίαν τῆς ἀγρυπνίας τῆς κυριακῆς.

Εἰς τὸν ὄρθρον, ἐν τῷ τέλει τῶν στιχολογιῶν ἡ ὑπακοὴ τοῦ ἤχου, οἱ ἀναβαθμοί, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν εὐαγγέλιον τῆς κυριακῆς. Κανόνες γ΄. τὸν ἀναστάσιμον εἰς ς΄. καὶ τοῦ Σταυροῦ εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς δ΄. ἱστῶμεν γὰρ ις΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος· καὶ ἡ ἀνάγνωσις· τὸ μαρτύριον αὐτοῦ, ἀπὸ ς΄. τὸ κοντάκιον τοῦ Σταυροῦ, ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, στιχηρὰ ἀναστάσιμα δ΄. καὶ τοῦ Σταυροῦ τὰ εἰρημένα ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις, πρὸς μίαν, καὶ τὸ ἰδιόμελον ἦχος πλ. β΄. Τῶν προφητῶν αἱ φωναί, Δόξα καὶ νῦν, Ὑπερευλογημένη, (σ. 12) ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ οἱ ἀναστάσιμοι μακαρισμοί. Εἰ δὲ οὐκ ἔστι κυριακή, οἱ μακαρισμοὶ τοῦ Σταυροῦ ἦχος δ΄. Διὰ ξύλου ὁ Ἀδάμ. Εἰς τὴν εἴσοδον, τὸ τροπάριον τοῦ Σταυροῦ, Δόξα καὶ νῦν, τὸ κοντάκιον· Ὁ ὑψωθείς. Τὸ τρισάγιον, προκείμενον ἦχος πλ. β΄. Σῶσον, Κύριε, τὸν λαόν σου· στίχος· Πρὸς σέ, Κύριε, κεκράξομαι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων. Ζήτει Ἰουλίου ις΄. Ἀλληλούια ἦχος α΄. τοῦ Σταυροῦ· Μνήσθητι τῆς συναγω[γῆς σου]. Εὐαγγέλιον τῆς κυριακῆς. Κοινωνικόν· Ἐσημειώθη.

Εἰ δὲ ἐστὶ κυριακή, οἱ ἀναστάσιμοι μακαρισμοί, ὡς εἴρηται, καὶ, μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν τὸ κοντάκιον τοῦ Σταυροῦ, προκείμενον τὸ εἰρημένον τοῦ Σταυροῦ. Ἀπόστολος· κυριακὴ μετὰ τὴν Ὕψωσιν, ἀλληλούια τὸ αὐτὸ καὶ τῆς κυριακῆς, εὐαγγέλιον δὲ, κυριακὴ μετὰ τὴν Ὕψωσιν· Εἶπεν ὁ Κύριος· ὅς τις θέλει, ὅπερ λέγεται καὶ ἐν ἄλλῃ ἡμέρᾳ, οἷα ἂν ᾖ, τῇ ἐπαύριον τῆς Ὑψώσεως. Κοινωνικόν· Αἰνεῖτε, καὶ Ἐσημειώθη.

Μηνὶ τῷ αὐτῷ ις'. τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας τῆς πανευφήμου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἁγίας ἦχος δ'. Ὡς γενναῖον γ'. καὶ ἕτερα εἰς ἦχον πλ. α'. γ'. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν ὅμοιον θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τῆς ἁγίας ἰδιόμελον ἦχος πλ. β'. Ἐκ δεξιῶν τοῦ Σωτῆρος, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα· τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα· ταῖς ἀρεταῖς διέλαμψας, πανεύφημε, ὅθεν εἰς ἐλήλυθας σὺν αὐτῷ εἰς τὸν γάμον, τὸ στέφος τῆς ἀθλήσεως παρ' αὐτοῦ δεξαμένη· ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ἐν πίστει τὴν μνήμην σου. Τὸ αὐτὸ καὶ εἰς τὸν ὄρθρον.

Εἰς τὴν παννυχίδα, ὁ συνήθης κανὼν τῆς Ὀκτωήχου εἰς ς'. ὁμοίως δὲ καὶ τὸ κάθισμα καὶ τὸ κοντάκιον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ'. τὸ τροπάριον τῆς ἁγίας. Δόξα καὶ νῦν, θεοτοκίον. Ἡ στιχολογία, καὶ σήμερον κάθισμα ἓν. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις, τὸ μαρτύριον τῆς ἁγίας, οὗ ἡ ἀρχή· Διοκλητιανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος (οϐ.] Ὁ Ν'. κανόνες τρεῖς· τῆς Ὀκτωήχου τοὺς β'. εἰς ς'. ἦγουν τοῦ πρώτου κανόνος τὸν εἱρμὸν καὶ τροπάρια γ'. εἰ τύχῃ κατανυκτικὸς ἢ σταυρώσιμος· τὰ γὰρ μαρτυρικὰ τροπάρια καταλιμπάνομεν τῶν αὐτῶν κανόνων, τοῦ δὲ δευτέρου κανόνος τροπάρια β'. εἰ τύχῃ τῶν ἀσωμάτων ἢ τοῦ Προδρόμου ἢ τῶν ἁγίων Ἀποστόλων, ἢ τῆς Θεοτόκου, καὶ τῆς ἁγίας εἰς ς'. ἦχος πλ. δ'. Ἰωάννου μοναχοῦ· Ἄσωμεν τῷ Κυρίῳ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἁγίας ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον ἦχος δ'. πρὸς τὸ· Ὁ ὑψωθείς. Ἐν τῇ ἀθλήσει σου καλῶς. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν ἰδιόμελον τῆς ἁγίας ἦχος γ'. Ἀληθείας κρατῆρα, Δόξα καὶ νῦν, θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον τῆς ἁγίας καὶ θεοτοκίον. Προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι πνεύματι Θεοῦ ἄγονται. Ζήτει σαββάτῳ ε΄. Ἀλληλούια ἦχος α΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Εὐαγγέλιον κατα Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἠρώτησέ τις τῶν φαρισαίων. Ζήτει τῇ β΄. τῆς δ΄. ἑβδομάδος τοῦ Λουκᾶ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ ιζ΄. τῆς ἁγίας μάρτυρος Σοφίας καὶ τῶν τέκνων αὐτῆς, Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης· ἔστι δὲ καὶ ἡ μνήμη τοῦ ἁγίου Φιλοθέου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γυναικῶν γ΄. ἦχος α΄. πρὸς τὸ Πανεύφημοι μάρτυρες, καὶ ἕτερα γ΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλοθέου, ἦχος πλ. β΄. πρὸς τὸ Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀντὶ προκειμένου, ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, μετὰ τὸν ἑξάψαλμον ἀλληλούια τοῦ ἤχου καὶ τὰ τριαδικά.

Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς σήμερον ἡμέρας καὶ (;) στιχολογοῦμεν καθ' ἑκάστην ἡμέραν καθίσματα δύο, καὶ ποιοῦμεν ἀναγνώσεις γ΄. ἐγειρόμενοι ὥρα η΄. Ἀπὸ τῆς α΄. στιχολογίας, κάθισμα ἓν τῆς ἡμέρας, Δόξα καὶ νῦν, θεοτοκίον, ἀπὸ β΄. στιχολογίας, ἕτερον κάθισμα τῆς Ὀκτωήχου, οἷον τύχῃ, εἶτα στίχου λέγοντος, λέγομεν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀναγινώσκει δὲ κατὰ τὸ ἔθος μετὰ τὴν στιχολογίαν, καὶ ἀπὸ γ΄. ὁμοίως· καὶ, εἰ μὲν ἔχει ὁ ἅγιος, τῆς ἡμέρας, εἰ δὲ μή γε, τὸ κατὰ Ματθαῖον, ἡ ἑρμηνεία τοῦ Χρυσοστόμου, βιβλίον τὸ β΄. Τὸ αὐτὸ γὰρ ἀναγινώσκομεν μέχρι τῆς κυριακῆς τῶν ἁγίων πατέρων πρὸ τῆς Χριστοῦ Γεννήσεως. Εἰ δὲ τοῦτο (л. 13] τελειωθῇ, πάλιν προτίθεται ἕτερον, τὰ Ἠθικὰ τοῦ Χρυσοστόμου. Καὶ κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ ἕτερος τῶν ἁγίων γυναικῶν, ἦχος α΄. Θεοφάνους· Σοῦ ἡ τροπαιοῦχος, καὶ ἕτερος τοῦ ἁγίου Φιλοθέου ἦχος πλ. β΄. πρὸς τό· Κύματι θαλάσσης, τοὺς γ΄. ἀνὰ δ΄. τροπαρίων μετὰ τοῦ εἱρμοῦ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων γυναικῶν ἦχος α΄. Ἀναγινώσκομεν δὲ καὶ τὸ μαρτύριον αὐτῶν εἰς δόσεις δύο. Ἀπὸ ς΄. κάθισμα τοῦ ἁγίου Φιλοθέου. Ζήτει τὴν πᾶσαν ἀκολουθίαν τοῦ ἁγίου Φιλοθέου ἐν τῷ τέλει τοῦ Μηναίου· ἀναγινώσκεται δὲ καὶ ὁ βίος αὐτοῦ, εἰ ἐστίν. Ἐξαποστειλάριον, τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ Ὀκτωήχου γ΄. καὶ θεοτο-

κίον. Εἰς τὴν α΄. ὥραν, μετανοίας ιε΄. τὰς μὲν α΄. τρεῖς ἀργὰς, τὰς δὲ ἑτέρας ιϐ΄. συντομωτέρας. Οὕτως γὰρ ὀφείλομεν ποιεῖν καὶ εἰς πάσας τὰς ὥρας, ὅτε ψάλλεται ἀλληλούια· ἐν γὰρ τῷ τέλει τοῦ ἑσπερινοῦ, ὁμοίως δὲ καὶ ἐν τῷ τέλει τῆς παννυχίδος καὶ ἐν τῷ τέλει τοῦ ὄρθρου, οὕτως ὀφείλομεν ποιεῖν, ὅτε ψάλλεται ἀλληλούια, ὡς εἴρηται, τὰς μὲν πρώτας γ΄. ἀργὰς, ὡς τε λέγειν, ἐν τῷ ἐκτείνειν τὰς χεῖρας ἱστάμενον, τό· Ὁ Θεός, ἱλάσθητί μοι τ�ῳ ἁμαρτωλῷ, ἐκ γ΄. ἐν μὲν τῷ κλίνειν τὰ γόνατα χαμαί, τό· Ἥμαρτόν σοι, Κύριε, συγχώρησόν μοι, ἐκ γ΄. εἰς δὲ τὰς ἑτέρας ιβ΄. λέγειν ἅπαξ ἱστάμενον μέν, τὸ· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἐν δὲ τῷ πίπτειν χαμαί, ἅπαξ ὁμοίως τό· Ἥμαρτόν σοι, Κύριε, συγχώρησόν μοι. Καὶ οὕτως μὲν ποιεῖν, ὅτε ἔχομεν ἀλληλούια, ὅτε δὲ ἔχομεν Θεὸς Κύριος, ποιοῦμεν γ΄. μόνα προσκυνήματα καὶ αὐτά, καὶ τὰ αὐτὰ λέγομεν· μετανοίας γαρ οὐδόλως ποιοῦμεν ἐν τῷ κοινῷ, ἀλλὰ μόνας ταύτας, ὡς εἴρηται, τὰς γ΄. προσκυνήσεις.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, ὁμοίως δὲ καὶ τὸ προκείμενον καὶ τὸ εὐαγγέλιον τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιή. τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν, τοῦ συγγενοῦς τοῦ Κυρίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος δ΄. Ὡς γενναῖον· τὰ γ΄. πρὸς μίαν, καὶ ἕτερον πρὸς τὸν αὐτὸν ἦχον πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου, αἱ στιχολογίαι, καθίσματα ϐ΄. Ἀπὸ α΄. στιχολογίας κάθισμα τῆς ἡμέρας, Δόξα καὶ νῦν, θεοτοκίον, ἀπὸ ϐ΄. στιχολογίας ἕτερον κάθισμα, καὶ μαρτυρικὸν, καὶ θεοτοκίον. Αἱ ἀναγνώσεις· ἐκ τοῦ κατὰ Ματθαῖον. Κανόνες γ΄. τῆς Ὀκτωήχου ϐ΄. καὶ τοῦ ἁγίου ἦχος δ΄. Θεοφάνους· Ἄσομαί σοι, Κύριε ὁ Θεός μου, ἀνὰ δ΄. (οϐ.] Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον, ἀπὸ ς΄. τὸ προσόμοιον τῆς ἡμέρας, Δόξα καὶ νῦν, τὸ θεοτοκίον αὐτοῦ, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιϑ΄. τῶν ἁγίων μαρτύρων Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος, καὶ τῆς ἁγίας ὁσιομάρτυρος Σωσάννης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῶν μαρτύρων γ΄. ἦχος πλ. δ΄. πρὸς τό· Οἱ μάρτυρές σου, Κύριε, καὶ

ἕτερα τῆς ἁγίας, ἦχος πλ. β΄. πρὸς τὸ· Ὅλην ἀποθέμενοι, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καὶ τὰ καθίσματα τῆς Ὀκτωήχου, ὡς σύνηθες. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Πρόβου τοῦ δυσσεβοῦς, εἰς δόσεις δύο. Ὁ Ν. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ τῶν ἁγίων μαρτύρων ἦχος πλ. δ΄. Ἰωσὴφ, καὶ τῆς ἁγίας ἦχος πλ. β΄. Ἰωσὴφ, ἀνὰ δ΄. Πρὸς τὸν ἦχον δὲ προηγεῖται ἕκαστος αὐτῶν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆς ἁγίας ἦχος δ΄. Ἀνάγνωσις· ὁ βίος αὐτῆς· ἀπὸ ς΄. κάθισμα τῶν ἁγίων ἦχος α΄. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κ΄. τοῦ μεγαλομάρτυρος Εὐσταθίου καὶ τῶν τέκνων αὐτοῦ. Ἑσπέρας, οὐ στιχολογοῦμεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων ς΄. ἦχος δ΄. πρὸς τὸ· Ἔδωκας σημείωσιν, τὰ ἓξ πρὸς μίαν, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β΄. Ἀδαμάντινε τῇ ψυχῇ, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Οἱ μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καθίσματα δύο, καθίσματα τῆς Ὀκτωήχου, ὡς σύνηθες. Ἡ ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Τὰ Ῥωμαίων σκῆπτρα. Κανόνες γ΄. οἱ δύο τῆς Ὀκτωήχου εἰς ς΄. ὡς εἴρηται, καὶ τοῦ ἁγίου ὁμοίως εἰς ς΄. ἦχος δ΄. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων, ἦχος πλ. δ΄. Ἀνάγνωσις ἐκ τοῦ μαρτυρίου αὐτοῦ, ἀπὸ ς΄. τὸ αὐτοῦ κοντάκιον ἦχος β΄. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων πρὸς τό· Ὡς γενναῖον γ΄. δευτεροῦντες τὸ ἓν, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, τῆς Ὀκτωήχου στιχηρὰ β΄. καὶ τῶν μαρτύρων ἰδιόμελον ἦχος πλ. δ΄. Τὴν στρατοπεδαρχίαν· καὶ θεοτοκίον. Ἀπολυτίκιον· Οἱ μάρτυρές σου, Κύριε.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, (**π. 14**] τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον, προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐνδυναμοῦσθε. Ζήτει κυριακῇ κζ΄. Ἀλληλούια ἦχος δ΄. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγ-

γέλιον κατὰ Λουκᾶν· Εἶπεν, ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν. Ζήτει τῇ γ΄. τῆς ιδ΄. ἑβδομάδος τοῦ Λουκᾶ. Κοινωνικόν· Ἀγαλλιᾶσθε, ἢ Εἰς μνημόσυνον.

Δεῖ γινώσκειν, ὅτι καὶ τοῖς σάββασι δύο καθίσματα λέγομεν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, καὶ τὸν Ἄμωμον. Καὶ, εἰ μὲν τύχῃ ἑορταζόμενος ἅγιος, ψάλλομεν καὶ τὸν Ἄμωμον μετὰ τῶν ἀλληλουαρίων τοῦ ἤχου, εἰ δὲ οὐκ ἔστιν ἑορταζόμενος, χωρὶς τῶν ἀλληλουαρίων, ψάλλονται καὶ τὰ τροπάρια αὐτοῦ.

Μηνὶ τῷ αὐτῷ κα΄. τοῦ ἁγίου προφήτου Ἰωνᾶ, καὶ τοῦ ὁσίου Ἰωνᾶ τοῦ πρεσβυτέρου, πατρὸς τοῦ κυροῦ Θεοφάνους τοῦ ποιητοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ προφήτου γ΄. ἦχος δ΄. πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ ἕτερα γ΄. ἦχος β΄. πρὸς τὸ· Ἄγγελος μὲν τὸ Χαῖρε, τὸ α΄. ἅπαξ, τό· Κήρυκα μετανοίας, τὸ ἔσχατον δὲ, τὸ εἰς τὸν ὅσιον· Ὡς ἄγγελος ἐν κόσμῳ, δεύτερον. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Ἀπὸ α΄. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου, ὁμοίως δὲ καὶ ἀπὸ τῆς β΄. σὺν τῷ μαρτυρικῷ καὶ θεοτοκίῳ. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου τοῦ Χρυσοστόμου. Κανόνες γ΄. τῆς Ὀκτωήχου τοὺς δύο εἰς ς΄. ὡς σύνηθες, καὶ τῶν δύο ἁγίων εἰς ς΄. δευτεροῦντες τὸ α΄. τροπάριον ἦχος δ΄. Θεοφάνους· Ἐν βυθῷ κατέστρωσε. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ προφήτου ἦχος δ΄. ἀπὸ ς΄. τὸ προσόμοιον τῆς Ὀκτωήχου, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κβ΄. τοῦ ἁγίου ἀποστόλου Κοδράτου, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ΄. ἦχος δ΄. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ γ΄. τοῦ ἱερομάρτυρος εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Ὡς γενναῖον, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ τοῦ ἀποστόλου προσόμοιον ἕν, ἦχος α΄. πρὸς τό· Τῶν οὐρανίων ταγμάτων, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα δύο· τὰ καθίσματα (σο.) τῆς Ὀκτωήχου, ὡς εἴρη-

ται. Ἀνάγνωσις· τοῦ ἱερομάρτυρος τὸ μαρτύριον, οὗ ἡ ἀρχή· Ἱερὸς μὲν καὶ θεσπέσιος· Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἀποστόλου ἦχος β΄. Ἰωσήφ, καὶ τοῦ ἱερομάρτυρος ἦχος δ΄. Ἰωσήφ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος γ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τοῦ ἱερομάρτυρος ἦχος πλ. δ΄. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον· Ἀπόστολε ἅγιε. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. Ἀλληλούια ἦχος α΄. Ἐξομολογήσονται. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Δεῖ γινώσκειν, ὅτι ἄρχεται ὁ Λουκᾶς ὁ εὐαγγελιστὴς ἀναγινώσκεσθαι ἀπὸ τῆς κυριακῆς μετὰ τὴν Ὕψωσιν· τότε γὰρ καὶ ἡ ἰσημερία γίνεται, ὃ καλεῖται νέον ἔτος· ἢ ὅτι ἀπὸ τῆς κγ΄. τοῦ Σεπτεμβρίου μηνὸς ἀναγινώσκεται, σαββάτῳ δὲ καὶ κυριακῇ, τοῦ Ματθαίου, οἷα τύχωσιν. Εἶτα σαββάτῳ καὶ κυριακῇ, ιγ΄. ἢ ιδ΄. ἢ ιε΄. καὶ οὐκ ἄρχεται εἰς τὰς ἀρχὰς τοῦ χρόνου, σαββάτῳ α΄. τοῦ νέου ἔτους ἢ κυριακῇ, ἀλλὰ ἀναγινώσκεται ὁ Ματθαῖος ἐνορδίνως, ὡς εἴρηται, ἐκ τοῦ περιττεύοντος αὐτοῦ, εἶτα λέγεται σαββάτῳ καὶ κυριακῇ πρὸ τῆς Ὑψώσεως, καὶ πάλιν σαββάτῳ καὶ κυριακῇ μετὰ τὴν Ὕψωσιν· ἐπεὶ ἄρχεται ὁ Λουκᾶς σαββάτῳ α΄. καὶ κυριακῇ α΄. τοῦ νέου ἔτους, προαρχόμενος ἀπὸ τῆς παρελθούσης β΄. τοῦ χύματος.

Μηνὶ τῷ αὐτῷ κγ΄. Ἡ σύλληψις τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. ἦχος δ΄. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ ἕτερα γ΄. ἦχος πλ. β΄. πρὸς τό· Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἰδιόμελον τοῦ Προδρόμου ἦχος πλ. β΄. Ἐκ στειρευούσης σήμερον, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον πρὸς τό· Ταχὺ προκατάλαβε. Ἡ πρώην οὐ τίκτουσα στεῖρα εὐφράνθητι.

Εἰς τὴν παννυχίδα, κανὼν τοῦ Προδρόμου εἰς τὴν Ὀκτώηχον ἦχος δ΄. Τριστάτας κραταιούς. Ἀπὸ γ΄. ᾠδῆς, οὐδέν, ἀπὸ ς΄. κάθισμα τοῦ Προδρόμου καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι, ἀπὸ α΄. στιχολογίας, κάθισμα [π. 15] τῆς Ὀκτωήχου μαρτυρικὸν, καὶ θεοτοκίον, ἀπὸ β΄. στιχολογίας, κάθισμα τοῦ Προδρόμου ἦχος δ΄. πρὸς τό· Κατεπλάγη· Θυμιῶντι ἐν ναῷ. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνά-

γνωσις· λόγος εἰς τὴν Σύλληψιν. Ζήτει εἰς τὸ πανηγυρικὸν τὸ μικρὸν, τὸ δεύτερον. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, εἰς δ΄. οἷος ἂν λάχῃ, εἴτε κατανυκτικὸς, ἢ σταυρώσιμος, ἢ τῆς Θεοτόκου, καὶ τοῦ Προδρόμου εἰς η΄. ἦχος πλ. β΄. Θεοφάνους· Ὡς ἐν ἠπείρῳ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ αὐτοῦ ἦχος πλ. β΄. πρὸς τό· Ἀγγελικαὶ δυνάμεις, Δόξα καὶ νῦν, θεοτόκιον, ἀπὸ ς΄. τὸ κοντάκιον ἦχος α΄. πρὸς τό· Χορὸς ἀγγελικός. Εὐφραίνεται λαμπρῶς. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. καὶ λέγομεν στιχηρὰ τοῦ Προδρόμου ἦχος πλ. β΄. πρὸς τὸ· Τριήμερος· γ΄. δευτεροῦντες τὸ ἓν, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ τοῦ κανόνος τοῦ Προδρόμου ἡ γ΄. ᾠδὴ, τροπάριον τοῦ αὐτοῦ, καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεός. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, Ὁ Θεὸς ὁ εἰπών. Ζήτει κυριακῇ ιε΄. Ἀλληλούια ἦχος πλ. α΄. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ἐγένετό τις ἱερεὺς ὀνόματι Ζαχαρίας. τέλος· Τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ζήτει Ἰουνίῳ κδ΄. Κοινωνικόν· Εἰς μνημόσυνον.

Ἰστέον, ὅτι, ἐὰν τύχῃ ἡ ἡμέρα αὕτη τοῦ Προδρόμου ἐν σαββάτῳ, στιχολογοῦμεν τὸν Ἄμωμον μετὰ τῶν ἀλληλουαρίων τοῦ ἤχου, ψάλλομεν δὲ καὶ τὸν κανόνα τὸν νεκρώσιμον.

Μηνὶ τῷ αὐτῷ κδ΄. τῆς ἁγίας πρωτομάρτυρος Θέκλας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἁγίας ἦχος δ΄. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, γ΄. καὶ ἕτερα γ΄. ἦχος πλ. δ΄. πρὸς τὸ· Κύριε, εἰ καὶ κριτηρίῳ, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Ἡ ἀμνάς σου Ἰησοῦ. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὴν παννυχίδα, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καθίσματα δ΄. Τὰ καθίσματα τῆς Ὀκτωήχου, ὡς σύνηθες. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῆς, οὗ ἡ ἀρχή· Ἄρτι τοῦ μεγάλου τῆς ἀληθείας Παύλου. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο, εἰς ς΄. καὶ τῆς ἁγίας ὁμοίως εἰς ς΄. ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ, Ἰωάννου μοναχοῦ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆς ἁγίας ἦχος πλ. δ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ αὐτῆς κοντάκιον, ἦχος πλ. δ΄. ἰδιόμελον, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἰδιόμελον τῆς ἁγίας ἦχος πλ. δ΄. Λεόντων ὁρμάς, καὶ θεοτοκίον. (οϐ.]

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τῆς ἁγίας καὶ θεοτοκίον. Ὁ ἀπόστολος καὶ τὸ ἀλληλούια τῆς ἁγίας, προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Τιμόθεον β'. Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου. Ἀλληλούια ἦχος α'. Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ κε'. τῶν ἁγίων μαρτύρων Παύλου καὶ Τάττης, καὶ τῆς ὁσίας Εὐφροσύνης τῆς ἐν Ἀλεξανδρείᾳ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν μαρτύρων γ'. ἦχος πλ. δ'. πρὸς τό· Οἱ μάρτυρές σου, Κύριε, καὶ ἕτερα γ'. τῆς ὁσίας Εὐφροσύνης, ἦχος πλ. α'. πρὸς τό· Ὅσιε πάτερ, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τῆς ὁσίας, οὗ ἡ ἀρχή· Ἄρτι τὰ Ῥωμαίων σκῆπτρα. Κανόνες γ'. εἷς τῆς Ὀκτωήχου, καὶ τῶν μαρτύρων ἕτερος ἦχος πλ. δ'. Θεοφάνους, καὶ τῆς ὁσίας ἦχος πλ. α'. Ἰωσήφ, ᾠδὰ δ'. Ἀπὸ γ'. κάθισμα τῆς ὁσίας ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον, ἀπὸ ς'. κάθισμα τῶν ἁγίων ἦχος δ'. πρὸς τό· Ὁ ὑψωθείς. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κς'. ἡ Μετάστασις τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου ἦχος α'. πρὸς τὸ· Τῶν οὐρανίων ταγμάτων· τὰ γ'. ἀνὰ β'. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ'. Εὐαγγελιστὰ Ἰωάννη, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος β'. Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὴν παννυχίδα, κανὼν τοῦ Θεολόγου. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον· Τὰ μεγαλεῖά σου.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καθίσματα δύο, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ ὑπόμνημα τοῦ Θεολόγου, οὗ ἡ ἀρχή· Ὅτι

μὴ πολὺ τῶν ἀγγέλων. Κανόνες δ΄. εἷς τῆς Ὀκτωήχου εἰς δ΄. καὶ τοῦ ἀποστόλου εἰς η΄. ἀνὰ β΄. χωρὶς τῶν θεοτοκίων· τὰ γὰρ θεοτοκία πρὸς μίαν λέγομεν ἀεί, ἦχος β΄. Ἐν ὕδατι κατέστρωσε, (π. 16] Θεοφάνους. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος πλ. δ΄. Ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ ἰδιόμελον. ἦχος β΄. Τὰ μεγαλεῖά σου, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. ἦχος πλ. δ΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ΄. πρὸς τὸ· Ὦ τοῦ παραδόξου, δευτεροῦντες τὸ ἓν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ τοῦ ἀποστόλου ἰδιόμελον, ἦχος α΄. Ποταμοὶ θεολογίας. Ἀπολυτίκιον τοῦ ἀποστόλου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ ς΄. τροπάριον τοῦ αὐτοῦ, Δόξα καὶ νῦν, τὸ κοντάκιον, προκείμενον ἦχος πλ. δ΄. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Καθολικῆς ἐπιστολῆς Ἰωάννου· Θεὸν οὐδεὶς ἑώρακεν. Ἀλληλούια ἦχος α΄. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ κζ΄. τοῦ ἁγίου μάρτυρος Καλλιστράτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ μάρτυρος γ΄. εἰς ἦχον α΄. πρὸς τό· Τῶν οὐρανίων ταγμάτων, καὶ ἕτερον ἓν εἰς ἦχον πλ. δ΄. Ὦ τοῦ παραδόξου, καὶ θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου, αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Τὴν τοῦ Χριστοῦ ποίμνην ὅσαι ἡμέραι. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο, καὶ ἕτερος τοῦ ἁγίου ἀνὰ δ΄. ἦχος πλ. δ΄. Ἰωσὴφ· Ἅσμα. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ΄. ἀπὸ ς΄. τὸ προσόμοιον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κη΄. τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Χαρίτωνος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου ἦχος δ΄. πρὸς τό· Ἔδωκας σημείωσιν, γ΄. ἀνὰ δύο, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος δ΄. Θεοφόρε Χαρίτων, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ΄. Ἐν σοί, πάτερ, ἀκριβῶς

διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες τὸ ὑπερορᾶν σαρκὸς· παρέρχεται γὰρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου. Διὸ (οϐ.] καὶ μετὰ ἀγγέλων συναγάλλεται τὸ πνεῦμά σου. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Πολλὰ τῆς διδασκαλίας. Κανόνες γ'. τῆς Ὀκτωήχου τοὺς δύο εἰς ς'. καὶ τοῦ ὁσίου ὁμοίως εἰς ς'. ἦχος δ'. Ἰωάννου μοναχοῦ· Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος. Ἀπὸ γ'. ᾠδῆς, τὸ κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἕτερον προσόμοιον τοῦ ἁγίου ἦχος πλ. α'. Χαίροις· καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον, ἦχος βαρύς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὁ καρπὸς τοῦ πνεύματος. Ζήτει σαββάτῳ κζ'. Ἀλληλούια ἦχος πλ. β'. Μακάριος ἀνὴρ ὁ φοβούμενος. Εὐαγγέλιον, ζήτει εἰς ὅσιον, εἰς τὸ Μηνολόγιον τοῦ εὐαγγελίου. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ κθ'. τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος πλ. δ'. πρὸς τὸ· Τί ὑμᾶς καλέσωμεν, ἅγιοι· καὶ θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου, αἱ στιχολογίαι, καθίσματα δύο, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Τοὺς εὐλογοῦντάς σε, φησὶ πρὸς τὸν Ἀβραάμ. Κανόνες γ'. τῆς Ὀκτωήχου δύο, καὶ τοῦ ὁσίου εἷς, ἀνὰ δ'. ἦχος πλ. δ'. ποίημα Στεφάνου· Ἅλσμα. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ'. ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ γ'. τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ λ'. τοῦ ἁγίου ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἀνὰ δύο ἦχος πλ β'. πρὸς τό· Ὅλην ἀποθέμενοι, καὶ θεοτοκίον. Προκείμενον τῆς ἡμέρας.

Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ΄. Εἰς τὸν ἄδυτον γνόφον, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ΄. Καὶ τρόπων μέτοχος.

Εἰς τὴν παννυχίδα, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον, αἱ στιχολογίαι, καθίσματα δύο, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Τῆς Περσῶν ἀρχῆς. Κανόνες γ΄. τῆς Ὀκτωήχου (π. 17] οἱ δύο εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς ς΄. ἦχος δ΄. Ἰωσήφ· Τριστάτας κραταιούς. Ἔχοντα(;) εἰς τὰ θεοτοκία τῶν ἁγίων γυναικῶν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος πλ. δ΄. ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἄλλο τοῦ ἁγίου ἦχος βαρύς, πρὸς τὸ· Σήμερον γρηγορεῖ ὁ Ἰούδας Σήμερον ὁ Χριστοῦ ἱεράρχης, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τὸ τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον, προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσω. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς. Ἀδελφοί, ἐνδύσασθε, ὡς ἐκλεκτοί. Ζήτει κυριακῇ λ΄. Ἀλληλούια ἦχος δ΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· γρηγορεῖτε, ὅτι οὐκ οἴδατε. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μὴν Ὀκτώβριος.

Μηνὶ Ὀκτωβρίῳ α΄. τοῦ ἁγίου ἀποστόλου Ἀνανίου, καὶ τοῦ ἁγίου Ῥωμανοῦ τοῦ μελῳδοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ΄. ἦχος δ΄. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, δευτεροῦντες τὸ α΄. καὶ ἕτερα δύο τοῦ ὁσίου ἦχος πλ. β΄. πρὸς τό· Τριήμερος, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἰδιόμελον ἦχος α΄. Τὸ σκεῦος τῆς ἐκλογῆς, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος γ΄. Ἀπόστολε ἅγιε, πρέσβευε.

Εἰς τὸν ὄρθρον, ἀπὸ ά. στιχολογίας, καθίσματα τῆς Ὀκτωήχου τῆς ἡμέρας, καὶ μαρτυρικόν, καὶ θεοτοκίον. Ἀνάγνωσις ἐκ τοῦ μαρτυρίου τοῦ ἀποστόλου, οὗ ἡ ἀρχή· Λουκιανοῦ τοῦ δυσσεβοῦς. Εἰ δὲ καταλειφθῇ ἐκ τοῦ ἁγίου Γρηγορίου, ἀναγινώσκεται ἐξ αὐτοῦ. Ἀπὸ β΄. στιχολογίας, κάθισμα τοῦ ὁσίου Ῥωμανοῦ, ἦχος πλ. α΄. καὶ θεοτοκίον. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ὁσίου ἕτερος ἦχος πλ. β΄. πρὸς τό· Ὡς ἐν

ἠπείρῳ πεζεύσας, καὶ ἄλλος τοῦ ἀποστόλου ἦχος πλ. δ΄. Θεοφάνους, πρὸς τό· Ὑγρὰν διοδεύσας, ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος πλ. δ΄. ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἕτερον τοῦ ἀποστόλου, ἦχος πλ. β΄. πρὸς τό· Ὅλην ἀποθέμενοι. Σήμερον ἐφέστηκε· καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τὸ τροπάριον τοῦ ἀποστόλου καὶ θεοτοκίον. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν (**οβ.**)· στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἦν τις μαθητής. Ζήτει τῇ παρασκευῇ τῆς γ΄. ἑβδομάδος τοῦ Πάσχα, ἀπὸ τὸ μέσον. Ἀλληλούια ἦχος α΄. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου· ἐκ τοῦ κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ β΄. τοῦ ἁγίου ἱερομάρτυρος Κυπριανοῦ καὶ Ἰουστίνης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου δ΄. πρὸς τό· Ὡς γενναῖον, ἀνὰ β΄. καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος β΄. Τὸν φωστῆρα τὸν θεολαμπῆ, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Καὶ τρόπων μέτοχος.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον. Αἱ στιχολογίαι, καθίσματα δύο, τὰ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις πρώτη τοῦ Θεολόγου, οὗ ἡ ἀρχή· Μικροῦ Κυπριανός. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς΄. καὶ τοῦ ἱερομάρτυρος ὁμοίως εἰς ς΄. ἦχος δ΄. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ΄. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Πολλὰ μὲν καὶ μεγάλα. Ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἓν τοῦ ἁγίου πρὸς τό· Νεφέλην σε φωτός. Ὁ μύστης τοῦ Θεοῦ, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον, προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσω· Ὁ ἀπόστολος πρὸς Τιμόθεον α΄. Χάριν ἔχω τῷ ἐνδυναμώσαντι. Ἀλληλούια ἦχος β΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων· Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ γ'. τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου (π. 18.] εἰς ἦχον α'. πρὸς τὸ· Πανεύφημοι μάρτυρες, Δόξα καὶ ἕτερα δύο εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ· Τῶν οὐρανίων ταγμάτων, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ'. Ἐν ἱερεῦσι καὶ μάρτυσι, καὶ νῦν θεοτοκίον. Ἀπολυτικιον ἦχος δ'. Χρηστότητα ἐκδιδαχθείς.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, ὡς σύνηθες, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Πάλαι μὲν ἐν τύποις. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος πλ. δ'. Θεοφάνους· Ἰγρὰν διοδεύσας. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἓν τοῦ ἁγίου, ἦχος πλ. α'. πρὸς τὸ· Χαίροις ἀσκητηκῶν. Χαίροις θεολόγος πηγή, Δόξα καὶ νῦν, θεοτοκίον προσόμοιον αὐτοῦ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον δὲ τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεός. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἐν ταῖς Ἀθήναις ἐκδεχομένου. Ἀλληλούια ἦχος δ'. Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν [ἀνθρώπῳ] ἐμπόρῳ. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ Εὐαγγελίου. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ δ'. τοῦ ἁγίου ἱερομάρτυρος Ἱεροθέου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστὼμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος α'. πρὸς τὸ· Πανεύφημοι, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον· Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Ἀνάγνωσις, ἐκ τοῦ προκειμένου βιβλίου, ὁ Ν'. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο, καὶ τοῦ ἁγίου ἦχος πλ. δ'. Θεοφάνους· Ἰγρὰν διοδεύσας, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος α'. ἀπὸ ς'. κάθισμα προσόμοιον τοῦ ἤχου τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ε'. τῆς ἁγίας μάρτυρος Χαριτίνης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ

τῆς ἁγίας ἦχος α΄. πρὸς τό· Τῶν οὐρανίων, δευτεροῦντες τὸ ἓν. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀντὶ προκειμένου, Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε. (οϐ.]

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ΄. δύο τῆς Ὀκτωήχου καὶ εἷς τοῦ ἁγίου, Ἰωσήφ· ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ΄. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτοῦ, οὗ ἡ ἀρχή· Ἐκράτει ποτὲ τὰ τῆς ἀσεβείας. Ἀπὸ ς΄. ᾠδῆς, τὸ προσόμοιον τῆς ἡμέρας, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸ στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ συνήθης ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ς΄. τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. Ἑσπέρας. οὐ στιχολογοῦμεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος δ΄. πρὸς τό· Ὡς γενναῖον, γ΄. ἐκ β΄. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος πλ. β΄. Τῷ ἅρματι τῶν ἀρετῶν, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος γ΄. Ἀπόστολε ἅγιε. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς δὲ τὴν παννυχίδα, κανὼν τοῦ ἀποστόλου, Θεοφάνους, ἦχος δ΄. Τριστάτας κραταιούς. Ἀπὸ γ΄. οὐδέν, ἀπὸ ς΄. τὸ κοντάκιον· Ὁ σοφίᾳ χάριν.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι. Ἀπὸ α΄. στιχολογίας, καθίσματα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον· ἀπὸ β΄. στιχολογίας, κάθισμα τοῦ ἁγίου ἦχος πλ. α΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· ὑπόμνημα εἰς αὐτόν, οὗ ἡ ἀρχή· Πάλαι μὲν τὰς κατὰ γῆν. Κανόνας δύο· ἕνα τῆς Ὀκτωήχου εἰς δ΄. καὶ ἕτερον τοῦ ἀποστόλου εἰς η΄. Ἰωάννου μοναχοῦ ἦχος δ΄. πρὸς τό· Ἅρματα Φαραώ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ΄. ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ, ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου ἦχος πλ. β΄. πρὸς τό· Ὅλην ἀποθέμενοι, δευτεροῦντες τὸ ἓν. Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἓν τοῦ ἁγίου ἦχος δ΄. πρὸς τό· Ἔδωκας σημείωσιν. Ὥσπερ μαργαρίτην σε, Δόξα καὶ νῦν, θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ ς΄. Μετὰ τὴν εἴσοδον, τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ κον-

τάκιον. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. Ζήτει κυριακῇ ι΄. Ἀλληλούια ἦχος α΄. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ἰωάννην· Οὔσης ὀψίας. Ζήτει κυριακῇ τοῦ ἀντίπασχα. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Κυριακῇ μετὰ τὴν μνήμην αὐτοῦ ἀναγινώσκονται, ἐν τῇ ἀγρυπνίᾳ, αἱ τούτου περίοδοι.

Μηνὶ τῷ αὐτῷ ζ΄. τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ΄. ἐκ β΄. (π. 19| ἦχος δ΄. πρὸς τὸ· Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἰδιόμελον τῶν ἁγίων ἦχος γ΄. Εἴ τι καλόν, εἴ τι τερπνόν, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Οἱ μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καὶ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Μαξιμιανοῦ βασιλεύοντος, τοῦ τυράννου. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς΄. καὶ τῶν ἁγίων ὁμοίως εἰς ς΄. Θεοφάνους ἦχος α΄. πρὸς τὸ· Σοὶ ἡ τροπαιοῦχος δεξιά. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. α΄. τὸ μὲν ἓν ὁ ψάλτης, τὸ δὲ ἕτερον ὁ λαός. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ ς΄. τὸ κοντάκιον τῶν ἁγίων, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ τῶν ἁγίων ἦχος πλ. α΄. πρὸς τὸ· Χαίροις ἀσκητικῶν, Δόξα καὶ νῦν, θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον ἦχος δ΄. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, στίχος· Προωρώμην τὸν. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, οἱ ἅγιοι πάντες. Ζήτει κυριακῇ α΄. Ἀλληλούια ἦχος β΄. Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ η΄. τῆς ὁσίας Πελαγίας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ὁσίας γ΄. ἦχος πλ. δ΄. δευτεροῦντες τὸ ἓν καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι καὶ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τῆς ὁσίας, οὗ ἡ ἀρχή· Γυναικείαν ἀρετήν. Κανόνες γ'. δύο τῆς Ὀκτωήχου καὶ τῆς ὁσίας ἦχος δ'. Θαλάσσης, ἀνὰ δ'. Γεωργίου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ὁσίας ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ θ'. τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἀνὰ β'. ἦχος δ'. πρὸς τό· Ὡς γεννατὸν, καὶ θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος δ'. Τὴν τοῦ Θείου Πνεύματος σαφῶς, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καὶ καθίσματα τῆς Ὀκτωήχου. Ἀναγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. (οϐ.] Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τοῦ ἁγίου ὁμοίως εἰς ς'. ἦχος πλ. β'. Θεοφάνους· Ὡς ἐν ἠπείρῳ πεζεύσας. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ τούτου κοντάκιον. ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρα τῆς Ὀκτωήχου δύο καὶ ἓν τοῦ ἁγίου ἦχος πλ. α'. πρὸς τὸ· Χαίροις ἀσκητικῶν, καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. Ζήτει κυριακῇ ι'. Ἀλληλούια, Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον ζήτει ἐν τῷ Μηνολογίῳ τοῦ Εὐαγγελίου.

Μηνὶ τῷ αὐτῷ ι'. τῶν ἁγίων μαρτύρων Εὐλαμπίου καὶ Εὐλαμπίας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων ἦχος α'. προς τό· Τῶν οὐρανίων, δευτεροῦντες τὸ ἓν. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καὶ τὰ καθίσματα τοῦ ἤχου. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Ἄρτι τῆς θεογνωσίας. Κανόνες γ'. οἱ δύο τῆς Ὀκτωήχου, καὶ τῶν ἁγίων ἦχος πλ. δ'. Ἰωσήφ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ προσόμοιον τοῦ ἤχου. Ἐξα-

ποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων. στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ια'. τοῦ ἁγίου ἀποστόλου Φιλίππου ἑνὸς τῶν ζ'. διακόνων, καὶ τοῦ ἁγίου Θεοφάνους τοῦ ποιητοῦ καὶ ὁμολογητοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. ἦχος δ'. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ γ'. τοῦ ὁσίου ἦχος πλ. β'. πρὸς τό· Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος β'. Τὸν τοῦ Στεφάνου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἀποστόλου ἦχος πλ. β'. Ἰωσήφ, καὶ τοῦ ὁσίου ὁμοίως ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος πλ. δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τοῦ ὁσίου ἦχος δ'. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. (π. 20) Εἰς [τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν ἐκ τῶν προσομοίων τοῦ ἀποστόλου τὸ α'. ἦχος δ'. Ὁ διακόνοις ἑπτά, καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις ἄγγελος Κυρίου. Ζήτει τῇ ε'. τῆς γ'. ἑβδομάδος τοῦ Πάσχα. Ἀλληλούια, Ἐξομολογήσονται. Εὐαγγέλιον τῆς ἡμέρας εἰς τὸ χῦμα. Κοινωνικόν· Εἰς πᾶσαν.

Μηνὶ τῷ αὐτῷ ιβ'. τῶν ἁγίων μεγαλομαρτύρων Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἐκ β'. ἦχος δ'. πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου η'. καὶ ἰδιόμελον τῶν ἁγίων ἦχος δ'. Στρατευθέντες τῷ Χριστῷ, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Οἱ μάρτυρές σου. Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Διοκλητιανοῦ τὴν αὐτοκρατορίαν. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο· ὁ εἷς ς'. καὶ τῶν ἁγίων εἷς ς'. ἦχος πλ. δ'. Ἰωσήφ· Μαρτυρικῶς ἠγλαϊσμένοι. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. δ'. ὁ ψάλτης, καὶ τὸ ἕτερον ὅμοιον τούτου ὁ λαός. Δόξα καὶ νῦν,

θεοτοκίον. Ἀπὸ ς΄. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ τῶν ἁγίων ἓν, ἦχος πλ. δ΄. πρὸς τό· Ὦ τοῦ παραδόξου. Τρίπλοκον ἀγχόνην, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον ἦχος δ΄. Τοῖς ἁγίοις τοῖς, στίχος· Προωρώμην τὸν Κύριον· Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, οἱ ἅγιοι πάντες. Ζήτει κυριακῇ α΄. Ἀλληλούια ἦχος δ΄. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον εἰς τὸ Μηνολόγιον τοῦ Εὐαγγελίου.

Μηνὶ τῷ αὐτῷ ιγ΄. τῶν ἁγίων μαρτύρων Κάρπου καὶ Παπύλου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, στιχηρὰ εἰς τὸ Κύριε ἐκέκραξα τῶν ἁγίων ἦχος α΄. πρὸς τό· Πανεύφημοι μάρτυρες β΄. καὶ ἕτερα β΄. εἰς ἦχον δ΄. πρὸς τό· Ὡς γενναῖον· ἱστῶμεν γὰρ δ΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Μεμνῆσθαι τῶν ὑπὲρ Χριστοῦ. Κανόνες γ΄. τῆς Ὀκτωήχου β΄. καὶ τῶν ἁγίων ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος, Ἰωσήφ· ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος γ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ προσόμοιον τῆς ἡμέρας, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας (οβ.]

Μηνὶ τῷ αὐτῷ ιδ΄. τῶν ἁγίων μαρτύρων Ναζαρίου, Προτασίου, Γερβασίου καὶ Κελσίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων πρὸς τό· Ὡς γενναῖον, δευτεροῦντες τὸ ἕν, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπά.

Ἀρχὴ δὲ ὥρας ς΄. κρουομένου πάλιν τοῦ αὐτοῦ μικροῦ σημαντῆρος, ὡς δεδήλωται, συναγόμενοι, ψάλλομεν τὴν ς΄. ὥραν τρίψαλμον, καὶ ἡ στιχολογία εὐθύς. Ἀρχομένου τοῦ ἑτέρου χοροῦ, τὰ ἀλληλουάρια τοῦ β΄. ἤχου, τὰ πρῶτα, καὶ μετὰ τὸ τέλος, τὸ προκείμενον (οβ.] ἦχος β΄. Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ, Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, καὶ εὐθὺς εἰσέρχεται ὁ μέλλων ἱερουργῆσαι ἱερεύς, εἴπερ καὶ θέλει γενέσθαι λειτουργίαν, ὁμοίως δὲ σὺν αὐτῷ καὶ οἱ παρεκκλησιάρχαι τὰ κατὰ τὴν θείαν ἱερουργίαν ἑτοιμαζόμενοι, ἔξωθεν ψαλλόντων τῶν ἀδελφῶν τὰ πρόλοιπα τῆς ς΄. ὥρας, ἤγουν τό· Τρισάγιον, τὸ Κύριε ἐλέησον με΄. τὴν εὐχήν, τὰς μετανοίας, καὶ τὴν ἑτέραν εὐχὴν τῆς αὐτῆς ὥρας καὶ ἀπολύει. Εὐθὺς δὲ σημαίνει τὸν μέγα σημαντῆρα, καὶ θυμιᾷ ὁ ἱερεύς, εἴτε ὁ διάκονος, εἰ ἐστί, καὶ ἄρχεται τῆς θείας λειτουργίας. Καὶ ψάλλεται πᾶσα ἡ ἀκολουθία τοῦ κατὰ τὴν ἡμέραν ἁγίου ἑορταζομένου, οὗτινος καὶ τὸ λείψανον πρόκειται, εἰ καὶ Θεὸς Κύριος αὐτὸν οὐκ ἐψάλλομεν διὰ τὴν νηστείαν. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς θείας λειτουργίας, διακλυομένων τῶν ἀδελφῶν τῶν μεταλαβόντων τῆς θείας μεταλήψεως, εὐθύς, εἰ ἔχει ἡ ὥρα, ἤγουν εἰ ἐνειστήκει ἡ ἀρχὴ τῆς η΄. ὥρας, κρουομένου τῆς θ΄. τοῦ μικροῦ σημαντῆρος, ὡς σύνηθες, ἀρχόμεθα ταύτης, καὶ ψάλλομεν, ὡς καὶ τὰς λοιπὰς τρίψαλμον, καὶ στιχολογοῦμεν. Ἀρχομένου πάλιν τοῦ ἑτέρου χοροῦ, ἤγουν τοῦ καὶ τὴν ἔναρξιν ἔχοντος, εἰς ἦχον πλ. δ΄. τὰ πρῶτα ἀλληλουάρια, εἰς γὰρ πάσας τὰς ὥρας ταύτας, τὰ πρῶτα ἀλληλουάρια λέγομεν. Μετὰ δὲ τὴν στιχολογίαν, τὸ προκείμενον ἦχος πλ. δ΄. Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ, Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθείς,

τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον μ΄. καὶ [ἡ] εὐχή· Ὁ ἐν παντὶ καιρῷ, αἱ μετάνοιαι, ὡς σύνηθες, καὶ ἡ εὐχὴ ὁμοίως· Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ ἀπολύομεν. Καὶ εὐθέως εἰσερχόμεθα εἰς τὸν ναόν, καὶ σημαίνοντος τοῦ μεγάλου σημαντῆρος, θυμιᾷ ὁ ἱερεὺς καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ.

Εἰ δὲ οὐ θέλει γενέσθαι λειτουργία, μετὰ τὸ τέλος τῆς θ΄. ἐπισυνάπτομεν καὶ τὰ τυπικὰ λιτῶς καὶ οὐ μετὰ ἤχου, ἔπειτα ἀρχόμεθα τοῦ ἑσπερινοῦ.

Εἰ δὲ γένηται ἡ θεία λειτουργία ταχύ. μὴ ἑνισταμένης τῆς η΄. ὥρας, ὡς προλέλεκται, ἀπερχόμεθα μικρὸν ἐν ταῖς κέλλαις ἡμῶν, ψάλλοντες καθ' ἑαυτοὺς τὰ τῆς ς΄. καὶ θ΄. μεσώρια· καί τι ἐργαζόμενοι μικρόν, εἴτε διακονίαν τινὰ οἱ κεκτημένοι, εἴτε ἐργόχειρον ἕως οὗ κρουσθῇ ὁ μικρὸς σημαντὴρ τῆς θ΄. ὥρας. Ἀρχομένου δὲ τοῦ ἑσπερινοῦ, οὔσης νηστείας, οὐ στιχολογοῦμεν, ἤγουν ἐν αἷς ἡμέραις ψάλλομεν τὰς ὥρας κοινῶς, ἐν αἷς δὲ ψάλλεται Θεὸς Κύριος καὶ ἔχομεν ἀργίαν τῶν ὡρῶν. στιχολογοῦμεν ἐν τῷ ἑσπερινῷ. Εἰ (л. 31] μή τί γε καταλειφθῇ διὰ μνήμην ἑορτῆς τινός, ἤγουν μεγάλου ἁγίου ἐκ τῶν ἑορταζομένων, ἅτινα σεσημειωμένα εὑρήσεις μίαν ἑκάστην ἡμέραν ἐν τῇ τάξει αὐτῆς.

Μηνὶ τῷ αὐτῷ ις΄. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ς΄. πρὸς μίαν, ἦχος δ΄. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ θεοτοκίον προσόμοιον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β΄. Ἐκ πυθμένος κακίας, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος γ΄. Ἀπόστολε ἅγιε. Τὸ αὐτὸ καὶ εἰς τὸ· Θεὸς Κύριος. Δεῖ γινώσκειν, ὅτι εἰ ἐστὶ σήμερον καὶ ἡ μνήμη τοῦ ἁγίου μάρτυρος Βαρλαάμ, ψάλλομεν δὲ αὐτὸν εἰς τὰς ιθ΄. τοῦ αὐτοῦ μηνός.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ ἀποστόλου, Δόξα καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, ὡς σύνηθες, καὶ τὰ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ ὑπόμνημα τοῦ ἀποστόλου, οὗ ἡ ἀρχή· Ἤδη μὲν τὴν παρὰ τοῦ πλάσαντος ἡμᾶς. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς΄. καὶ τοῦ ἀποστόλου ὁμοίως εἰς ς΄. ἦχος δ΄. Ἀνοίξω τὸ στόμα. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος πλ. δ΄. ἓν ὁ ψάλτης καὶ ἕτερον ὁ λαὸς προσόμοιον αὐτοῦ, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, εἰ ἔχει ἡ ὥρα, ἐκ τοῦ βίου τοῦ ἁγίου μεγάλου Γρηγορίου τοῦ θαυματουργοῦ, οὗ ἡ ἀρχή· Ὁ μὲν σκοπὸς εἷς ἐστιν. Ἀπὸ ς΄. τὸ κοντάκιον

τοῦ ἀποστόλου, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον, καὶ τοῦ ἁγίου ἐν ἤχος πλ. α'. πρὸς τό· Χαίροις ἀσκητικῶν, καὶ θεοτοκίον προσόμοιον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου, ἡ ς'. τὸ τροπάριον αὐτοῦ καὶ θεοτοκίον. Προκείμενον· ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. Ζήτει κυριακῇ ι'. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς. Ζήτει σαββάτῳ ε'. τοῦ αὐτοῦ. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ ιζ'. τοῦ ἁγίου καὶ μεγάλου Γρηγορίου τοῦ θαυματουργοῦ. Ἑσπέρας, οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος πλ. δ'. ἀνὰ β'. πρὸς τό· Τί ὑμᾶς καλέσωμεν, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β'. Εἰς βάθος θεωρίας, καὶ θεοτοκίον, ἦχος πλ. δ'. Ἐν προσευχαῖς γρηγορῶν. (οδ.]

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος αὐτοῦ συγγραφεὶς παρὰ Γρηγορίου Νύσσης. Κανόνες γ'. τοὺς β'. τῆς Ὀκτωήχου εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. Θεοφάνους ἦχος πλ. δ'. Ἁρματηλάτην. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἓν ὁ ψάλτης καὶ ἕτερον ὁ λαὸς καὶ θεοτοκίον. Ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τοῦ ἁγίου ἦχος πλ. α'. πρὸς τό· Χαίροις· τὸ γ'. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον, ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ὁ ἀπόστολος πρὸς Κορινθίους α'. Ἀδελφοί, ἑκάστῳ δίδοται ἡ φανέρωσις. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς. Ζήτει τῶν ἁγίων Ἀναργύρων. Κοινωνικόν· Εἰς μνημόσυνον.

Χρὴ γινώσκειν, ὅτι ἐν τῇ ἐννάτῃ κυριακῇ τοῦ Λουκᾶ ἀναγινώσκεται ἐν τῷ ὄρθρῳ λόγος τοῦ μεγάλου Βασιλείου ἐν τοῖς Ἠθικοῖς, εἰς τὸ ῥητὸν τῆς ἑρμηνείας τοῦ· Καθελῶ μου τὰς ἀποθήκας· λόγος ιθ'.

Μηνὶ τῷ αὐτῷ ιη'. τοῦ ἁγίου μάρτυρος Πλάτωνος, καὶ τοῦ ἁγίου μάρτυρος Ῥωμανοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Πλάτωνος, γ'. ἦχος πλ. δ'. καὶ τοῦ ἁγίου Ῥωμανοῦ, ἕτερα γ'. ἦχος δ'. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου Πλάτωνος. οὗ ἡ ἀρχή· Οὐ ξένα Γαλατῶν τὰ παρόντα· καὶ ἐγκώμιον τοῦ Χρυσοστόμου εἰς τὸν ἅγιον Ῥωμανόν. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ ἕτερος τοῦ ἁγίου Ῥωμανοῦ ἦχος δ'. καὶ ἄλλος τοῦ ἁγίου Πλάτωνος ἦχος πλ. δ'. πλὴν πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου πρωτεύει ὁ εἷς τοῦ ἑτέρου, ποίημα ἀμφοτέρων Θεοφάνων. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Ῥωμανοῦ ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τοῦ ἁγίου Πλάτωνος ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Μηνὶ τῷ αὐτῷ ιθ'. τοῦ ἁγίου προφήτου Ἀβδιοῦ καὶ τοῦ ἁγίου μάρτυρος Βαρλαάμ. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ προφήτου γ'. ἦχος α'. (π. **32**] καὶ τοῦ μάρτυρος ἑτερα γ'. ἦχος δ'. πρὸς τό· Ὡς γενναῖον, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά, εἶτα μετανοίας γ'. ἀργῶς, ὡς σύνηθες, καὶ ἡ εὐχὴ τοῦ ἑσπερινοῦ καὶ ἀπολύομεν. Καὶ κρουομένου τοῦ ξύλου τῆς τραπέζης, ἀρχόμεθα τοῦ συνήθους ψαλμοῦ, καὶ μετὰ τὸ γεύσασθαι, πάλιν ἡ συνήθης εὐχαριστία, καὶ ἀπερχόμεθα μικρὸν ἐν ταῖς κέλλαις ἡμῶν ἐργαζόμενοι τὰ ἐργόχειρα ἡμῶν. Πρὸς ὥραν δὲ ια'. πάλιν κρουομένου τοῦ μικροῦ σημαντῆρος, συναγόμεθα ψάλλοντες τὰ ἀπόδειπνα, μετὰ τοῦ κανόνος τῆς παννυχίδος, ὥσπερ καὶ ταῖς ἑτέραις δυσὶν ἁγίαις τεσσαρακοσταῖς, μή τε αὔξοντες, μή τε μὴν τὸ οἰονοῦν ἐλαττοῦντες παρὰ τὸν εἰρημένον ἐκεῖ κανόνα. Εἰ δέ γε ὥραι οὐκ εἰσὶν, ἐν τῷ κοινῷ, ἀλλὰ Θεὸς Κύριος, συνημμένως τῷ ἑσπερινῷ ψάλλομεν καὶ τὴν παννυχίδα διὰ τὸ δὶς τῆς ἡμέρας τίθεσθαι τὴν τράπεζαν, τὰς γὰρ ἄλλας ἡμέρας, ἐν αἷς ψάλλομεν ἀλληλούια, ἅπαξ τῆς ἡμέρας ἐσθίομεν. Οὗτος ὁ κανὼν φυλαττέσθω πάσῃ τῇ ἁγίᾳ τεσσαρακοστῇ ταύτῃ.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. καὶ τὰ τῆς Ὀκτωήχου καθίσματα. Αἱ ἀναγνώσεις·

ἐγκώμιον τοῦ μεγάλου Βασιλείου ἐν τοῖς Ἠθικοῖς εἰς τὸν μάρτυρα Βαρλαάμ· λόγος ΛΔ΄. καὶ ἕτερον ἐγκώμιον τοῦ Χρυσοστόμου εἰς τὸν αὐτὸν μάρτυρα. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, ἄλλος τοῦ προφήτου ἦχος πλ. α΄. Τῷ Σωτῆρι Θεῷ, Θεοφάνους· καὶ ἕτερος τοῦ μάρτυρος ποίημα ὁμοίως τοῦ αὐτοῦ ἀνὰ δ΄. πρωτεύει δὲ ὁ εἷς τοῦ ἑτέρου πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ προφήτου ἦχος α΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. κάθισμα τοῦ μάρτυρος ἦχος δ΄. καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἡ α΄. ὥρα, ὡς σύνηθες, καὶ αἱ λοιπαὶ ὁμοίως κατὰ τὸν προειρημένον τύπον τῆς ἁγίας τεσσαρακοστῆς μετὰ στιχολογιῶν, ὁμοίως δὲ καὶ ἡ λοιπὴ πᾶσα ἀκολουθία, ὡς προλέλεκται.

Μηνὶ τῷ αὐτῷ κ΄. προεόρτια τῶν Εἰσοδίων τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου, καὶ τοῦ ἁγίου Πρόκλου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, μαθητοῦ τοῦ Χρυσοστόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν θ΄. τῆς νηστείας, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν προεόρτια τῆς Θεοτόκου εἰς ἦχον α΄. δύο πρὸς τό· Τῶν οὐρανίων, (οδ.] καὶ ἕτερα δύο τοῦ ἁγίου Γρηγορίου εἰς τὸν αὐτὸν ἦχον, καὶ ἕτερα στιχηρὰ δύο τοῦ ἁγίου Πρόκλου, εἰς ἦχον δ΄. Δόξα καὶ νῦν, θεοτοκίον τῆς ἑορτῆς εἰς ἦχον δ΄. Δεῦτε πάντες οἱ λαοί. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ προεόρτια ἦχος α΄. πρὸς τό· Πανεύφημοι μάρτυρες. Σκηνὴν τὴν εὐρύχωρον, καὶ ἕτερα β΄. ὅμοια τοῦ αὐτοῦ, ἄτινα καὶ ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου, Δόξα καὶ νῦν, Παρθένε πανύμνητε. Ἀπολυτίκιον ἦχος α΄. πρὸς τό· Τὸν τάφον σου. Δικαίων ὁ καρπὸς Ἰωακεὶμ καὶ τῆς Ἄννης προσφέρεται τῷ Θεῷ ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν, ἣν εὐλόγησεν ὁ ἱερὸς Ζαχαρίας· ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου μητέρα, πιστῶς μακαρίσωμεν. Τὰ ἀπόδειπνα συνημμένως καὶ τὴν παννυχίδα, κανὼν προεόρτιος ἦχος α΄. εἰς δ΄.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος α΄. καὶ. τὸ προγραφὲν τροπάριον ἐκ γ΄. Αἱ στιχολογίαι, καθίσματα β΄. Ἀπὸ α΄. στιχολογίας, κάθισμα προεόρτιον, Δόξα καὶ νῦν, τὸ αὐτό· εἰ δὲ οὐκ ἔχεις, εἰπὲ τῆς ἑορτῆς. Ἀπὸ β΄. στιχολογίας, κάθισμα τοῦ ὁσίου Γρηγορίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος αὐτοῦ, εἰ ἐστίν, εἰ δ' οὖν ἐκ τοῦ προκειμένου βιβλίου τοῦ Χρυσοστόμου ἑρμηνεία τοῦ κατὰ Ματθαῖον, ἢ ἑτέρου τινός. Κανόνες γ΄. ὁ προεόρτιος ἦχος α΄. Γεωργίου· Σοῦ ἡ τροπαιοῦχος, καὶ τοῦ ἁγίου Πρόκλου εἰς τὸν αὐτὸν ἦχον, καὶ τοῦ ὁσίου Γρηγορίου

ἦχος πλ. δ΄. Ἰωσήφ, τοὺς γ΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Πρόκλου, ἦχος γ΄. καὶ Θεοτοκίον· ἀπὸ ς΄. κάθισμα τῆς ἑορτῆς, ἀντὶ κοντακίου, ἦχος δ΄. πρὸς τό· Ἐπεφάνης σήμερον. Εὐφροσύνης σήμερον. Λέγομεν δὲ καὶ ἕνα οἶκον ἐκ τῶν τῆς ἑορτῆς, τὸν δ΄. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια γ΄. ἦχος δ΄. πρὸς τό· Εὐφραίνεσθε δίκαιοι. Ἀγάλλεσθε δίκαιοι, καὶ ἕτερα δύο ὅμοια τοῦ αὐτοῦ, ἃ καὶ ζήτει εἰς τὸ τέλος τοῦ μηνός, Δόξα καὶ νῦν, ἦχος β΄. Σήμερον τῷ ναῷ προσάγεται. Ἡ α΄. ὥρα, ὡς σύνηθες, καὶ ἡ ἀνάγνωσις, καὶ ἀπολύομεν· ἄγομεν γὰρ ἀργίαν τῶν ὡρῶν ἐν τῷ κοινῷ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ προεορτίου κανόνος ἡ γ΄. Δόξα καὶ νῦν, τὸ τροπάριον. Προκείμενον ἦχος πλ. β΄. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ, καὶ ἴδε. Ἀλληλούια ἦχος πλ. δ΄. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Εἰ δὲ εἴη κυριακή, πάντα τὰ τῆς κυριακῆς· οἵτε μακαρισμοὶ τοῦ ἤχου, ὁμοίως καὶ προκείμενον καὶ ἀλληλούια καὶ τὰ λοιπά. (**π. 33**]

Μηνὶ τῷ αὐτῷ κα΄. τὰ Εἰσόδια τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ ναῷ. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ΄. εἰς ἦχον α΄. πρὸς τό· Ὦ τοῦ παροδόξου θαύματος. Σήμερον πιστοὶ χορεύσωμεν· λέγεται β΄. τὰ δὲ ἕτερα δύο ἀνὰ γ΄. Δόξα καὶ νῦν, πάλιν τὸ α΄. Εἴσοδος, προκείμενον τῆς ἡμέρας, καὶ εὐθὺς τὰ ἀναγνώσματα τῆς Θεοτόκου. Ζήτει ταῦτα εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου· τὸ α΄. Ἐξῆλθεν Ἰακώβ, τὸ β΄. Ἔσται ἀπὸ τῆς ἡμέρας, τὸ γ΄. Ἡ σοφία ᾠκοδόμησεν. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, ἦχος δ. Σήμερον ὁ θεοχώρητος ναός, στίχος· Ἀπενεχθήσονται τῷ βασιλεῖ, καὶ πάλιν τὸ αὐτὸ στιχηρόν· Σήμερον ὁ θεοχώρητος, στίχος β΄. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει ἀχθήσονται εἰς ναὸν βασιλέως, ἕτερα στιχηρά· Δεῦτε πάντες οἱ λαοί, Δόξα καὶ νῦν, ἦχος πλ. δ΄. Μετὰ τὸ τεχθῆναί σε. Ἀπολυτίκιον ἦχος δ΄. πρὸς τό· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον. Τὸ αὐτὸ τροπάριον εἰς τὸ ἀπόδειπνον, εἰς τὸ Δόξα καὶ νῦν, τὸ κοντάκιον.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, τὸν κανόνα τοῦ ἤχου τῆς ἡμέρας, εἰς ς΄. καὶ τῆς ἑορτῆς ὁμοίως εἰς ς΄. ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου. [Τῶν] Ἁγίων εἰς ἅγια· Ἰωσήφ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆ

ἤχου, κατανυκτικόν, ἀπὸ ς΄. τὸ κοντάκιον· Προστασία τῶν χριστιανῶν καὶ τὸν οἶκον.

Εἰ δὲ ἐστὶ κυριακή, ἑσπέρας, τὸν κανόνα τῆς Θεοτόκου τοῦ ἤχου εἰς δ΄. καὶ τῆς ἑορτῆς εἰς ς΄. τὰ δὲ λοιπά, ὡς εἴρηται, ἡ ἀνάγνωσις ἐν τῷ Πραξαποστόλῳ μετὰ τὸ τέλος τῆς παννυχίδος, κατὰ τὴν ἀκολουθίαν τῶν κυριακῶν.

Εἰς τὸν ὄρθρον, τὸ Θεὸς Κύριος ἦχος δ΄. καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ΄. Αἱ στιχολογίαι, καθίσματα β΄. τῆς ἡμέρας, καὶ καθίσματα τῆς ἑορτῆς, ἓν ὁ ψάλτης καὶ ἕτερον ὁ λαός. Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Εἶτα στιχολογοῦμεν τό· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, ὅλον τὸ κάθισμα, ἔπειτα ὁ πολυέλεος, καὶ λέγομεν κάθισμα ἦχος πλ. δ΄. Ἀγαλλιάσθω ὁ Δαβίδ. Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Γεωργίου εἰς δύσεις δύο, οὗ ἡ ἀρχή· Καλὰς ἡμῖν ὑποθέσεις. Ζήτει εἰς τὸ Πανηγυρικὸν (οβ.] τὸ μικρὸν τὸ πρῶτον. Ἔπειτα οἱ ἀναβαθμοὶ ἦχος δ΄. ἀντίφωνον ἓν, προκείμενον ἦχος δ΄. Ἀπενεχθήσονται τῷ βασιλεῖ, στίχος· Ἄκουσον, θύγατερ, καὶ ἴδε, τό· Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἀναστᾶσα Μαριάμ, ὁ Ν΄. καὶ εὐθὺς οἱ κανόνες· οὐ γὰρ λέγομεν Τῷ Κυρίῳ ᾄσωμεν· ὁ εἷς αὐτῶν ἦχος α΄. εἰς η΄. μετὰ τοῦ εἱρμοῦ· Ὡδὴν ἐπινίκιον· καταλιμπάνονται δὲ τὰ τριαδικὰ τροπάρια, ποίημα Βασιλείου, ὁ δὲ ἕτερος Γεωργίου ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου. Σοφίας, πανάχραντε, σὲ θησαυρὸν ἐπιστάμεθα· καὶ αὐτὸν εἰς η΄. ἐσχάτως δὲ οἱ χοροὶ ὁμοῦ τοὺς εἱρμούς· Ἀνοίξω τὸ στόμα. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ. Ἡ ἀμίαντος ἀμνάς, Δόξα καὶ νῦν, Τῇ ἀνατραφείσῃ. Ἀνάγνωσις, τὸ καταλειφθὲν ἐκ τοῦ λόγου τοῦ Γεωργίου. Ἀπὸ ς΄. τὸ κοντάκιον ἦχος δ΄. Ὁ καθαρώτατος ναός, καὶ κἂν γ΄. οἴκους, εἰ ἔχει ἡ ὥρα. Ἀνάγνωσις εἰς τὸ Πανηγυρικὸν λόγους δύο μικροὺς συνημμένως Πρόκλου καὶ Γερμανοῦ. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, εἰ δὲ ἔχει ἡ ἑορτὴ, λέγομεν αὐτό. Εἰς τοὺς αἴνους ἱστῶμεν ς΄. εἰς ἦχον δ΄. καὶ λέγομεν στιχηρὰ τῆς ἑορτῆς γ΄. ἀνὰ β΄. πρὸς τό· Ὡς γενναῖον. Τῶν ἁγίων εἰς ἅγια, Δόξα καὶ νῦν ἦχος πλ. β΄. Σήμερον τὰ στίφη. Δοξολογία μεγάλη. Τὸ τροπάριον τῆς ἑορτῆς, καὶ α΄. ὥρα.

Εἰ δὲ τύχῃ γενέσθαι ἐν κυριακῇ αὕτη ἡ ἑορτή, τὸ σάββατον ἑσπέρας στιχολογοῦμεν τό· Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ γ΄. ἀναστάσιμα στιχηρὰ τοῦ ἤχου εἰς δ΄. δευτεροῦντες τὸ πρῶτον, καὶ τῆς ἑορτῆς τὰ εἰρημένα εἰς δ΄. δευτεροῦν-

τες τὸ γ΄. Δόξα καὶ νῦν, τὸ α΄. τῶν αὐτῶν στιχηρῶν τῆς ἑορτῆς. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Αἱ προφητεῖαι. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ στίχου, ἅπαξ, καὶ τῆς ἑορτῆς τὰ εἰρημένα δύο ἰδιόμελα πρὸς μίαν, μετὰ καὶ τῶν ἐπ' αὐτοῖς στίχων, Δόξα καὶ νῦν. ἦχος πλ. δ΄. Μετὰ τὸ τεχθῆναί σε. Ἀπολυτίκιον τῆς Θεοτόκου· Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον. Εἰς τὴν παννυχίδα, ὡς εἴρηται.

Εἰς τὸν ὄρθρον, τὸ Θεὸς Κύριος καὶ τὸ ἀναστάσιμον τροπάριον β΄. Δόξα καὶ νῦν τῆς ἑορτῆς. Αἱ στιχολογίαι, ὡς εἴρηται, ὁμοίως δὲ καὶ αἱ ἀναγνώσεις μετὰ τὸ τέλος τῶν στιχολογιῶν, ἡ ὑπακοὴ τοῦ ἤχου. ὁμοίως καὶ οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὰ γ΄. ἀντίφωνα, καὶ τὸ ἀναστάσιμον προκείμενον τοῦ ἤχου, καὶ τό· Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν ἀναστάσιμον εὐαγγέλιον, τό· Ἀνάστασιν Χριστοῦ θεσάμενοι, ὁ Ν΄. καὶ οἱ κανόνες· ὁ ἀναστάσιμος εἰς ς΄. καὶ τῆς Θεοτόκου ὁ δ΄. ἦχος εἰς η΄. καὶ ἔσχατον τοὺς αὐτοὺς εἱρμοὺς οἱ χοροί· λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν, ὁ δὲ ἕτερος κανὼν ὁ εἰς ἦχον α΄. τῆς ἑορτῆς, (π. 34] λέγεται ἐπὶ τῇ αὔριον. Εἰς τοὺς αἴνους, ἱστῶμεν η΄. καὶ λέγομεν τὰ δ΄. ἀναστάσιμα καὶ τῆς ἑορτῆς τὰ εἰρημένα εἰς δ΄. Δόξα ἦχος πλ. β΄. Σήμερον τὰ στίφη, καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον τὸ ἀναστάσιμον, ἡ α΄. ὥρα, ὡς σύνηθες, μετὰ τῆς ἀναγνώσεως.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς Θεοτόκου, ἡ γ΄. τοῦ δ΄. ἤχου· λέγομεν δὲ καὶ τὸν εἱρμὸν ἀντὶ τοῦ· Διὰ ξύλου· εἰς δὲ τὴν εἴσοδον, εἰ μὲν ἐστὶ κυριακὴ, λέγομεν τό· Δεῦτε προσκυνήσωμεν, εἰ δὲ ἄλλη ἡμέρα λέγομεν στίχον· Ἀπενεχθήσονται τῷ βασιλεῖ, καὶ εὐθὺς τὸ τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Ὁ Τρισάγιος, εἶτα ᾠδὴ τῆς Θεοτόκου, προκείμενον ἦχος γ΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή. Ἀλληλούια ἦχος πλ. δ΄. Ἄκουσον, θύγατερ, καὶ ἴδε, στίχος β΄. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά. Κοινωνικόν· Ἀπενεχθήσονται.

Εἰ δὲ τύχῃ κυριακή, τυπικὰ καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου τροπάρια γ΄. καὶ ἕτερα γ΄. τῆς Θεοτόκου τὰ προειρημένα μετὰ τοῦ Δόξα καὶ νῦν. Εἰς τὴν εἴσοδον· Δεῦτε προσκυνήσωμεν, καὶ εὐθὺς τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον καὶ ἀλληλούια τῆς ἑορτῆς· ἀπόστολος δὲ καὶ εὐαγγέλιον, ἀμφότερα· προηγοῦνται δὲ τὰ τῆς κυριακῆς. Κοινωνικόν· Αἰνεῖτε, καὶ τῆς ἑορτῆς· Ἀπενεχθήσονται τῷ βασιλεῖ.

Μηνὶ τῷ αὐτῷ κβ'. μεθέορτα καὶ τῆς ἁγίας μάρτυρος Κικιλίας. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὸν κόπον τῆς ἀγρυπνίας, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶντες ἓξ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. πρὸς τό· Ὡς γενναῖον. Τῶν ἁγίων εἰς ἅγια· καὶ ἕτερα γ'. τῆς ἁγίας εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, ἦχος δ'. Δεῦτε πάντες οἱ λαοί. Προκείμενον τῆς ἡμέρας. Εἰς δὲ τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἦχος β'. πρὸς τό· Οἶκος τοῦ Εὐφραθᾶ γ'. Δόξα καὶ νῦν, ἐξ αὐτῶν τὸ δ'. λέγομεν δὲ καὶ τοὺς στίχους τῆς ἑορτῆς· Ἀπενεχθήσονται τῷ βασιλεῖ, καὶ ἕτερον· Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Τὴν παννυχίδα δὲ ἀφ' ἑσπέρας καταλιμπάνομεν διὰ τὸν κόπον τῆς ἀγρυπνίας, ἀλλὰ μόνα τὰ ἀπόδειπνα, εἰ μή που τύχῃ κυριακή.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ'. καὶ τό· τροπάριον τῆς ἑορτῆς ἐκ β'. Δόξα καὶ νῦν, Τῇ ἀνατραφείσῃ. Ἐγειρόμεθα δὲ βραδύτερον καὶ στιχολογοῦμεν κάθισμα ἕν, ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς ἑορτῆς ἦχος δ'. Ἡ ἀμίαντος ἀμνάς, Δόξα καὶ νῦν, Κατεπλάγη Ἰωσήφ. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ἁγίου Γρηγορίου τοῦ Ἀκραγαντίνου. οὗ ἡ ἀρχή· Κάλλιστόν τι χρῆμα. (οδ.] Κανόνες δύο· τῆς ἑορτῆς ὁ πρῶτος ἦχος Ὠδὴν ἐπινίκιον εἰς η'. καὶ τῆς ἁγίας εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Χριστὸς γεννᾶται εἰς δ'. λέγεται δὲ καὶ Τῷ Κυρίῳ ἄσωμεν, ἱστῶμεν γὰρ ιβ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἁγίας, ἦχος α'. καὶ θεοτοκίον, ἀπό ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, καὶ οἴκους κἂν γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς, εἰ δὲ οὐκ ἔχεις, λέγε Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, οὐδέν, εἰς δὲ τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος δ'. πρὸς τό· Εὐφραίνεσθε δίκαιοι, τὰ γ'. πρὸς μίαν, Δόξα καὶ νῦν ἦχος πλ. δ'. Ὁ Δαβὶδ προανεφώνει σοι ἄχραντε· στίχους δὲ λέγομεν τῆς ἑορτῆς τοὺς προγεγραμμένους. Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ἡ α'. ὥρα, αἱ δὲ λοιπαὶ ὧραι ἐν ταῖς κέλλαις ἡμῶν.

Εἰς δὲ τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς ἑορτῆς τοῦ α'. ἤχου ἡ γ'. τροπάριον ἦχος δ'. λέγομεν δὲ καὶ τό· Διὰ βρώσεως ἐξήγαγε, τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον ἦχος πλ. β'. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Εἰ δὲ ἐστὶ κυριακή, πάντα τὰ τῆς κυριακῆς μόνα, τὸ δὲ κοντάκιον τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ κγ'. μεθέορτα καὶ τοῦ ἁγίου ἀποστόλου Φιλήμονος, καὶ τοῦ ἁγίου Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου. Ἑσπέρας, ψάλλομεν

στιχηρὰ τοῦ ἀποστόλου γ΄. ἦχος β΄. καὶ τοῦ ἁγίου Ἀμφιλοχίου ἕτερα γ΄. ἦχος δ΄. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος δ΄. Σήμερον ὁ θεοχώρητος ναός. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος πλ. α΄. πρὸς τό· Χαίροις, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτός· Ἐπέλαμψεν ἡμέρα. Ἀπολυτίκιον τῆς ἑορτῆς. Καὶ ἀποδίδοται ἑσπέρας ἡ ἑορτή. διὸ οὐ στιχολογοῦμεν τὸ ἑσπέρας. Εἰς τὴν παννυχίδα, τὸν κανόνα τῆς ἑορτῆς τοῦ κυροῦ Ἰωσὴφ ἦχος δ΄. [Τῶν] ἁγίων εἰς ἅγια εἰς δ΄. τὴν δὲ η΄. ᾠδὴν καὶ θ΄. εἰς ς΄. Ἀπὸ γ΄. ᾠδῆς, οὐδέν, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ΄. τὸ τροπάριον τῆς ἑορτῆς β΄. Δόξα καὶ νῦν, Τῇ ἀνατραφείσῃ. Αἱ στιχολογίαι, καθίσματα δύο. Ἀπὸ τοῦ πρώτου καθίσματος, κάθισμα τῆς ἑορτῆς. Δόξα καὶ νῦν, τὸ αὐτό, ἀπὸ β΄. καθίσματος, τοῦ ἁγίου Φιλήμονος ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος τοῦ ἁγίου Ἀμφιλοχίου, εἰς δόσιν μίαν, οὗ ἡ ἀρχή· Τί τῶν καλῶν ἔσται τις. Κανόνες γ΄. τῆς ἑορτῆς ἦχος δ΄. Γεωργίου· Ἀνοίξω τὸ στόμα μου. Σοφίας παναχράντε· καὶ τοῦ ἁγίου Ἀμφιλοχίου εἰς τὸν αὐτὸν ἦχον Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον, καὶ τοῦ ἁγίου ἀποστόλου Φιλήμονος ἦχος β΄. Ἰωσήφ. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Ἀμφιλοχίου ἦχος δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ἁγίου Γρηγορίου. Ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους γ΄. Εἰς τὴν η΄. καὶ θ΄. ᾠδὴν (л. 35] ἱστῶμεν ιδ΄. καὶ ψάλλομεν τὸν κανόνα τῆν ἑορτῆς εἰς ς΄. καὶ τῶν ἁγίων ἀνὰ δ΄. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, ἢ τῆς ἑορτῆς, εἴπερ ἔχει. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος δ΄. Τῶν ἁγίων εἰς ἅγια γ΄. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. ἰδιόμελον· Μετὰ τὸ τεχθῆναί σε. Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἄγομεν δὲ ἀργίαν τῶν ὡρῶν ἐν τῷ κοινῷ.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἑορτῆς, ὡς εἰς αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς· τά τε τυπικά, τὸ προκείμενον, ὁ ἀπόστολος, τό· Ἀλληλούια, καὶ τὸ εὐαγγέλιον, καὶ τὸ κοινωνικὸν ὁμοίως.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, προηγοῦνται πάντα τὰ ἀναστάσιμα· τά τε στιχηρά, οἱ κανόνες. ὁ ἀπόστολος, τὸ εὐαγγέλιον, καὶ ἁπλῶς καθὼς δεδήλωται ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ κδ΄. τοῦ ἁγίου Γρηγορίου, ἐπισκόπου Ἀκραγαντίνων, καὶ τῆς ἁγίας μάρτυρος Αἰκατερίνης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἁγίας γ΄. ἦχος δ΄. πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ τοῦ ἁγίου Γρηγορίου ἕτερα γ΄. ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στι-

χηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τῆς ἁγίας ἦχος β΄. Βίον ἄϋλον ἐξησκημένη, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Ἡ ἀμνάς σου Ἰησοῦ.

Εἰς τὸν ὄρθρον, τὸ αὐτὸ τροπάριον τῆς ἁγίας, Δόξα καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα δύο. Ἀπὸ α΄. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον. Ἀπὸ τῆς β΄. κάθισμα τῆς ἁγίας, ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῆς, εἰς δόσεις δύο, οὗ ἡ ἀρχή· Βασιλεύοντος τοῦ ἀσεβεστάτου Μαξεντίου. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἁγίου ἦχος πλ. δ΄. Ἰωσήφ· Τῷ συντρίψαντι πολέμῳ, καὶ τῆς ἁγίας εἰς τὸν αὐτὸν ἦχον Θεοφάνους· Ἁρματηλάτην Φαραώ. Ζήτει δὲ αὐτὸν εἰς τὰς κε΄. τοῦ αὐτοῦ μηνός, ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Γρηγορίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ λοιπὸν τοῦ βίου αὐτοῦ. Ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἁγίας. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ τοῦ ἁγίου Γρηγορίου ἓν ἦχος πλ. α΄. πρὸς τό· Ὅσιε πάτερ, καὶ θεοτοκίον. Ἄγομεν δὲ ἀργίαν τῶν ὡρῶν ἐν τῷ μέσῳ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τὸ τροπάριον τῆς μάρτυρος καὶ θεοτοκίον, προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις· ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Ἀλληλούια ἦχος α΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ κε΄. τῶν ἁγίων πατέρων ἡμῶν Κλήμεντος Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Κλήμεντος γ΄. ἦχος β΄. πρὸς τό· Ὅτε ἐκ τοῦ ξύλου σε· καὶ τοῦ ἁγίου Πέτρου, ἕτερα γ΄. (οδ.) ἦχος πλ. α΄. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου Πέτρου ἦχος δ΄. Χειρὶ Θεοῦ, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ΄. ἀλλ' ὡς εἴρηται, ᾧδε· λέγομεν δὲ καὶ τοῦτο καὶ εἰς τὸν ὄρθρον· Καὶ τρόπων μέτοχοι καὶ θρόνων διάδοχοι. Ἡ παννυχὶς μετὰ τοῦ ἑσπερινοῦ συνημμένως.

Εἰς τὸν ὄρθρον, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β΄. ἀπὸ πρώτης στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου σὺν τῷ μαρτυρικῷ καὶ θεοτοκίῳ, ἀπὸ β΄. κάθισμα τοῦ ἁγίου Πέτρου ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου Πέτρου, εἰς δόσεις δύο, οὗ ἡ ἀρχή· Εἶχε μὲν ἡ ἐπιφανὴς Νικομήδεια. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Κλήμεντος ἦχος πλ. δ΄. Ὡς πολύφορον, καὶ

θεοτοκίον. Ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἕτερον τοῦ ἁγίου Πέτρου ἦχος α΄. πρὸς τό· Τῶν οὐρανίων ταγμάτων. Ποιμαντικῶς διαπρέψας, καὶ θεοτοκίον. Κανόνας δὲ λέγομεν γ΄. ἕνα τῆς Ὀκτωήχου, καὶ ἄλλον τοῦ ἁγίου Πέτρου ἦχος πλ. δ΄. Θεοφάνους, καὶ ἕτερον τοῦ ἁγίου Κλήμεντος ἦχος δ΄. Ἰωσήφ, ἀνὰ δ΄. προηγεῖται δὲ ὁ εἷς τοῦ ἑτέρου πρὸς τὸν τῆς Ὀκτωήχου ἦχον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τὸ τροπάριον τῶν ἁγίων, καὶ θεοτοκίον, προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ὁ ἀπόστολος πρὸς Φιλιππησίους· Ἀδελφοί, ἡμῶν τὸ πολίτευμα. Ἀλληλούια ἦχος β΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν. Ζήτει σάβ. γ΄. τοῦ Πάσχα. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

Δεῖ γινώσκειν, ὅτι εἰ τύχῃ ἡ ἡμέρα αὕτη τῶν ἁγίων ἐν μέσῃ ἑβδομάδι, τῇ μετὰ τὴν μνήμην αὐτῶν κυριακῇ ἐν τῇ ἀγρυπνίᾳ, ἀναγινώσκονται τὰ Κλήμεντος, ὧν ἡ ἀρχή· Κλήμης Ἰακώβῳ, τῷ Κυρίου, εἰ δὲ δευτέραν ἢ τετράδα, προαναγινώσκονται τῇ πρὸ τῆς μνήμης (π. 36) αὐτῶν κυριακῇ, διὰ τὸ τῇ ἑτέρᾳ κυριακῇ ἀναγινώσκεσθαι τὸν βίον τοῦ ἁγίου Στεφάνου τοῦ νέου.

Μηνὶ τῷ αὐτῷ κς΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλύπου καὶ τοῦ ἁγίου μάρτυρος Μερκουρίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ΄. ἦχος α΄. καὶ τοῦ μάρτυρος ἕτερα γ΄. ἦχος δ΄. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β΄. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου Ἀλύπου, οὗ ἡ ἀρχή· Καλοὶ μὲν καὶ οἱ τῶν μαρτύρων ἆθλοι, εἰς δόσεις δύο. Κανόνες γ΄. εἷς τῆς Ὀκτωήχου καὶ ἄλλος τοῦ ὁσίου ἦχος πλ. α΄. Ἰωσήφ, καὶ ἕτερος τοῦ μάρτυρος ἦχος πλ. δ΄. Ἰωσήφ, ἀνὰ δ΄. πρωτεύει δὲ πρὸς τὸν ἦχον ὁ εἷς τοῦ ἑτέρου. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Δέκιος ἡνίκα καὶ Βαλλεριανός. Ἀπὸ ς΄. τὸ κάθισμα τοῦ αὐτοῦ μάρτυρος ἦχος δ΄. καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι ἐν τῷ κοινῷ καὶ ἡ θ΄.

Μηνὶ τῷ αὐτῷ κζ'. τοῦ ἁγίου μάρτυρος Ἰακώβου τοῦ Πέρσου Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν θ'. τῆς τεσσαρακοστῆς, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος β'. δευτεροῦντες τὸ α'. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε. Ὁ κανὼν τῆς παννυχίδος μετὰ τῶν ἀποδείπνων.

Εἰς τὸν ὄρθρον. Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, εἰς δόσεις δύο, οὗ ἡ ἀρχή· Ἀρκαδίου τὰ Ῥωμαίων διέποντος. Κανόνες γ'. οἱ δύο τῆς Ὀκτωήχου, καὶ τοῦ ἁγίου ἦχος β'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. θεοτοκίον· ἀναγινώσκεται δὲ ἐκ τοῦ βίου τοῦ ἁγίου Στεφάνου ἡ α'. ἀνάγνωσις, οὗ ἡ ἀρχή· Θεῖόν τι χρῆμα ἡ ἀρετή. Ἀπὸ ς'. τὸ προσόμοιον κάθισμα τῆς Ὀκτωήχου. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι ἐν τῷ κοινῷ μετὰ στιχολογιῶν, διὰ δὲ τὸ ὑπάρχειν τὸ τοῦ ἁγίου λείψανον καὶ προκεῖσθαι μετὰ τὴν ς'. ὥραν, εἰ προστάξει ὁ προεστώς, ποιοῦμεν καὶ λειτουργίαν διὰ τὸν ἅγιον· ψάλλομεν δὲ καὶ προκείμενον καὶ ἀλληλούια τοῦ ἁγίου, Εὐφρανθήσεται δίκαιος, καὶ Δίκαιος, ὡς φοῖνιξ. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε. Καὶ μετὰ τὴν ἀπόλυσιν, ἡ θ'. ὥρα καὶ τὸ ἑσπερινὸν καὶ ἡ ἄπαξ βρῶσις. (οϐ].

Μηνὶ τῷ αὐτῷ κη'. τοῦ ἁγίου ὁσιομάρτυρος Στεφάνου τοῦ νέου, καὶ τοῦ ἁγίου μάρτυρος Εἰρηνάρχου. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν θ'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Στεφάνου δ'. ἦχος πλ. β'. πρὸς τό· Ὅλην ἀποθέμενοι, καὶ ἕτερα β'. τοῦ ἁγίου Εἰρηνάρχου ἦχος πλ. δ'. τοῦ γὰρ ἁγίου Στεφάνου δευτεροῦμεν, τὸ α'. Δόξα καὶ νῦν. θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου Στεφάνου ἦχος πλ. β'. Ἐκ βρέφους τῷ Θεῷ, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Τὸ αὐτὸ καὶ εἰς τὸν ὄρθρον· Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος καὶ τὸ τροπάριον, καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον, ἀπὸ β'. στιχολογίας, κάθισμα τοῦ ἁγίου Στεφάνου ἦχος α'. καὶ θεοτοκίον. Ἀνάγνωσις ἐκ τοῦ βίου αὐτοῦ. Κανόνες, γ'. τῆς Ὀκτωήχου εἷς καὶ τοῦ ἁγίου Εἰρηνάρχου ἄλλος, Θεοφάνους, ἦχος πλ. β'. καὶ τοῦ ἁγίου Στεφάνου ἕτερος εἰς τὸν αὐτὸν ἦχον,

Ἰωσήφ· Ὡς ἐν ἠπείρῳ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, τὸ τοῦ ἁγίου Εἰρηνάρχου κάθισμα ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἁγίου Στεφάνου. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον, τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἕτερα τοῦ ἁγίου Στεφάνου ἐκ τῶν προσομοίων, ἦχος πλ. α'. πρὸς τό· Χαίροις. Ἄγομεν δὲ καὶ ἀργίαν τῶν ὡρῶν ἐν τῷ κοινῷ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τὸ τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον, προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἀλληλούια ἦχος πλ. β'. Μακάριος ἀνὴρ ὁ φοβούμενος. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ κθ'. τοῦ ἁγίου μάρτυρος Παραμόνου, καὶ τοῦ ὁσίου Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ μάρτυρος ἦχος δ'. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ ἕτερα γ'. τοῦ ἁγίου Ἀκακίου εἰς τὸν αὐτὸν ἦχον, πρὸς τό· Ὡς γενναῖον, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς (л. 37] Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε. Ἡ παννυχὶς συνημμένως τῷ ἑσπερινῷ.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα δύο, ὁμοίως καὶ τὰ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ἁγίου Στεφάνου, ἢ ἐκ τῶν καταλειφθέντων ἑτέρων ἁγίων. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ ἕτερος τοῦ ἁγίου Παραμόνου εἰς ἦχον δ'. Θαλάσσης τὸ ἐρυθραῖον, Ἰωσήφ· καὶ ἄλλος τοῦ ὁσίου ἦχος ὁ αὐτὸς Θεοφάνους, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Παραμόνου ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι κοινῶς μετὰ στιχολογίας.

Μηνὶ τῷ αὐτῷ λ'. τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου ἦχος γ'. ἐκ β'. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος γ'. Τὸν συναίμονα Πέτρου, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Ὡς τῶν ἀποστόλων πρωτόκλητος.

Εἰς τὴν παννυχίδα, κανόνα τοῦ ἁγίου, εἴ ἐστι περισσός. εἰ δ' οὔ, τῆς ἡμέρας.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. Ἀπὸ τῆς α'. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον, ἀπὸ β'. στιχολογίας, κάθισμα τοῦ ἁγίου ἦχος πλ. α'. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ ὑπόμνημα τοῦ ἀποστόλου, οὗ ἡ ἀρχή· Ἄρτι τοῦ παιδὸς Ζαχαρίου. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τοῦ ἁγίου ὁμοίως εἰς ς'. ἦχος α'. Ἰωάννου μοναχοῦ. Σοῦ ἡ τροπαιοῦχος. Ἀπὸ γ'. ᾠδῆς. κάθισμα τοῦ ἀποστόλου ἦχος πλ. δ'. Ὡς πρωτόκλητον πάντων· ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ ἦχος β'. Τὸν τῆς ἀνδρείας. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. εἰς ἦχον α'. δευτεροῦντες τὸ ἓν πρὸς τό· Νεφέλην σε φωτός, Δόξα καὶ νῦν, τὸ αὐτὸ θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος α'. Ὁ πρωτόκλητος μαθητής, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ ς'. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον αὐτοῦ, Δόξα καὶ νῦν, ἦχος β'. καὶ τὸ κοντάκιον. Προκείμενον ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. (οβ.] Ζήτει κυριακῇ ι'. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, εἰστήκει ὁ Ἰησοῦς καὶ ἐκ τῶν μαθητῶν. Ζήτει δ'. τῆς διακαινησίμου. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν. Καὶ ἄγομεν ἀργίαν τῶν ὡρῶν ἐν τῷ μέσῳ σήμερον.

Μὴν Δεκέμβριος.

Μηνὶ Δεκεμβρίῳ α'. τοῦ ἁγίου προφήτου Ναούμ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες δ'. ψάλλομεν στιχηρα τοῦ προφήτου γ'. ἦχος γ'. καὶ ἓν ἦχος δ'. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. Ἀνάγνωσις ἀπὸ τοῦ ὁσίου Σάββα, οὗ ἡ ἀρχή· Οὐδὲν οὕτω κινῆσαι ψυχὴν εἰς ἀρετῆς. Κανόνες γ'. τῆς Ὀκτωήχου β'. καὶ ἕτερος τοῦ προφήτου, Θεοφάνους, ἦχος πλ. α'. Ἵππον καὶ ἀναβάτην, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. α'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου. Αἱ ὧραι κοινῶς.

Μηνὶ τῷ αὐτῷ β'. τοῦ ἁγίου προφήτου Ἀββακούμ, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν θ'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ προφήτου γ'. ἦχος δ'. πρὸς τό· Ὡς γενναῖον· καὶ ἕτερα γ'. τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον. Ζήτει εἰς τὴν δ'. τοῦ μηνός. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τοῦ ὁσίου ἓν ἦχος β'. πρὸς τό· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν. Μύστης. Ἀπολυτίκιον ἦχος πλ. δ'. Ὀρθοδοξίας ὁδηγέ. Ἡ παννυχὶς μετὰ τῶν ἀποδείπνων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος. τὸ τροπάριον τοῦ ὁσίου καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ βίου τοῦ ὁσίου Σάββα· ἀναγινώσκομεν δὲ καὶ τὸν βίον τοῦ ὁσίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. Κανόνες γ'. εἷς τῆς Ὀκτωήχου, καὶ ἕτερος τοῦ προφήτου ἦχος δ'. Ἄσομαί σοι, Κύριε ὁ Θεός μου, καὶ ἕτερος τοῦ ὁσίου ἦχος β'. τοῦ αὐτοῦ· τροπάρια β'. καὶ θεοτοκίον, οἱ γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ προφήτου ἦχος δ'. θεοτοκίον, ἀπὸ ς'. κάθισμα τοῦ ὁσίου ἦχος πλ. α'. καὶ θεοτοκίον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου.

Εἰς τὴν λειτουργίαν, τυπικά. Προκείμενον· Καυχήσονται. Ἀλληλούια. Μακάριος ἀνήρ. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ γ'. τοῦ ἁγίου προφήτου Σοφονίου καὶ τῶν ἁγίων μαρτύρων Ἰνδῆ, (π. **38**] Δόμνας καὶ σὺν αὐτῇ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ προφήτου ἦχος δ'. καὶ ἕτερα γ'. τῶν ἁγίων μαρτύρων ἦχος ὁ αὐτός· τοῦ προφήτου πρὸς τό· Ὁ ἐξ Ὑψίστου· τῶν μαρτύρων πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου Σάββα. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ προφήτου ἕτερος, ἦχος πλ. β' Ὡς ἐν ἠπείρῳ· Θεοφάνους, καὶ ἄλλος τῶν μαρτύρων ἦχος πλ. δ'. Ἰωσήφ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ προφήτου ἦχος γ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τῶν μαρτύρων ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι κοινῶς μετὰ καὶ στιχολογιῶν.

Μηνὶ τῷ αὐτῷ δ'. τῆς ἁγίας μάρτυρος Βαρβάρας. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν θ'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. κα

ψάλλομεν στιχηρὰ τῆς ἁγίας γ'. ἦχος β'. πρὸς τό· Ὅτε ἐκ τοῦ ξύλου σε, ἐκ β'. καὶ θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. ἰδιόμελον τῆς ἁγίας ἦχος β'. Ἡ θεόκλητος μάρτυς Βαρβάρα, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Ἡ ἀμνάς σου. Ἡ παννυχὶς μετὰ τῶν ἀποδείπνων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἁγίας καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ βίου τοῦ ὁσίου Σάββα. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τῆς μάρτυρος εἰς ζ'. Στεφάνου, ἦχος β'. Ἐν βυθῷ κατέστρωσε. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς μάρτυρος ἦχος γ'. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῆς, οὗ ἡ ἀρχή· Μαξιμιανῷ τῷ δυσσεβεῖ. εἰς δόσιν μίαν. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἁγίας. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῆς μάρτυρος ἦχος πλ. β'. Πατρίδα γένος ὑπαρξιν, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον τῆς ἁγίας καὶ θεοτοκίον. Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. Ζήτει τῇ (κυριακῇ) ιε'. τῆς ἑβδομάδος. Ἀλληλούια ἦχος α'. Ὑπομένων ὑπέμεινα. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ ε'. τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ'. ἦχος πλ. α'. πρὸς τό· Χαίροις, (**οδ.**] ἐκ β'. καὶ θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος β'. Τῶν ὑπὲρ νοῦν. καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος πλ. δ'. Ταῖς τῶν δακρύων σου ῥοαῖς τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον, καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ βίου αὐτοῦ, οὗ ἡ ἀρχή· Οὐδὲν οὕτω κινῆσαι ψυχὴν εἰς ἀρετῆς. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ζ'. ἦχος πλ. δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος ὁ αὐτὸς καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τοῦ ὁσίου ἦχος πλ. α'. πρὸς τό· Ὅσιε πάτερ τὸ α'. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὁ καρπὸς τοῦ πνεύματος. Ζήτει σάββατον κζ΄. Ἀλληλούια ἦχος πλ. β΄. Μακάριος ἀνήρ. Εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ὁσίου. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ς΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος β΄. γ΄. ἐκ β΄. πρὸς τό· Ὅτε ἐκ τοῦ ξύλου σε. καὶ Θεοτοκίον ὅμοιον· Πάντων προστατεύεις. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου ἓν, καὶ ἰδιόμελα τοῦ ἁγίου β΄. ἦχος πλ. β΄. Ἄνθρωπε τοῦ Θεοῦ καὶ κληρονόμε Θεοῦ, καὶ Θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ΄. Κανόνα πίστεως.

Εἰς τὴν παννυχίδα, κανὼν τοῦ ἁγίου ἦχος β΄. Στεφηφόρος βήματι Χριστοῦ. εἰς δ΄. Ἀπὸ γ΄. οὐδέν, ἀπὸ ς΄. τὸ κοντάκιον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τοῦ ἁγίου β΄. καὶ Θεοτοκίον. Αἱ στιχολογίαι. Ἀπὸ α΄. στιχολογίας, τὸ τῆς Ὀκτωήχου κάθισμα καὶ μαρτυρικὸν καὶ Θεοτοκίον, ἀπὸ β΄. στιχολογίας, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ΄. Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν, καὶ Θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος αὐτοῦ, οὐ ἡ ἀρχή· Σοφόν τι χρῆμα. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς καὶ τοῦ ἁγίου ἦχος β΄. Θεοφάνους· Ἐν βυθῷ κατέστρωσε, καὶ ἕτερος ἦχος α΄. Ἰωσηφ· Διὰ στήλης πυρός, ἀνὰ δ΄. Ἐξαποστειλάριον· Ὁ οὐρανόν· Εἰς τοὺς αἴνους ἱστῶμεν δ΄. καὶ ψάλλομεν [σ. 39] στιχηρὰ τοῦ ἁγίου ἦχος πλ. α΄. πρὸς τό· Χαίροις, δευτεροῦντες τὸ α΄. καὶ Θεοτοκίον. Εἰς δὲ τὸν στίχον, λέγομεν στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. α΄. Σαλπίσωμεν, καὶ Θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ΄. εἰς τὸν δεύτερον ἦχον, δευτεροῦντες τὸ ἓν τροπάριον. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ κοντάκιον αὐτοῦ. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις. Ἀλληλούια ἦχος β΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. Ζήτει τῇ παρασκευῇ τῆς β΄. ἑβδομάδος. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ζ΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀμβροσίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ΄. καὶ ψάλλο-

μεν στιχηρὰ τοῦ ἁγίου γ΄. ἦχος πλ. α΄. πρὸς τό· Ὅσιε πάτερ, καὶ ἕτερον ἓν πρὸς τό· Χαίροις, καὶ θεοτοκίον· Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β΄. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ἁγίου Ἀμβροσίου, οὗ ἡ ἀρχή· Οὐαλεντινιανὸς μετὰ τὴν τελευτήν. Κανόνες γ΄. δύο τῆς Ὀκτωήχου, καὶ τοῦ ἁγίου ἦχος πλ. δ΄. Θεοφάνους, ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Οὐ λειτουργοῦμεν, ψάλλομεν δὲ τὰς ὥρας κοινῶς, καὶ ἐσθίομεν ἅπαξ τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ η΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Παταπίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου εἰς ἦχον α΄. πρὸς τὸ· Πανεύφημοι μάρτυρες, δευτεροῦντες τὸ α΄. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε. Ἡ παννυχὶς μετὰ τῶν ἀποδείπνων.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, ὡς σύνηθες, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Οὐ πολλοὺς Αἴγυπτος. Ἀργόμεθα δὲ ἀπὸ τῆς σήμερον καὶ τοῦ βίου τοῦ ὁσίου Δανιήλ, οὗ ἡ ἀρχή· Ὥσπερ ἐπὶ τῶν ἀριστέων. Κανόνες γ΄. τῆς Ὀκτωήχου β΄. καὶ τοῦ ὁσίου ἦχος β΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι κοινῶς μετὰ καὶ στιχολογιῶν.

Μηνὶ τῷ αὐτῷ θ΄. ἡ σύλληψις τῆς ἁγίας Ἄννης, τῆς μητρὸς τῆς Θεοτόκου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς ἦχος δ΄. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, ἐκ β΄. τὰ γ΄. καὶ θεοτοκίον. Προκείμενον. (**οβ.**] Καὶ εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἦχος β΄. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ, γ΄. Ζήτει ταῦτα εἰς τὸ τέλος τοῦ βιβλίου. Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος β΄. Τὸ ἀπόῤῥητον τοῖς ἀγγέλοις. Σήμερον ἡ ἀπαρχὴ τῆς σωτηρίας ἡμῶν φύεται, καὶ καρποφορεῖται ἐν τῇ μήτρᾳ τῆς ἀκάρπου

γαστρός, καὶ ἀγάλλεται λοιπὸν ἡ Ἄννα σὺν τῷ Ἰωακείμ, καὶ ὁ Ἀδὰμ συγχαίρει ἐλευθερούμενος· διὸ καὶ ἡμεῖς τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. Εἰς τὴν παννυχίδα, τὸν συνήθη κανόνα τῆς Ὀκτωήχου.

Δεῖ γινώσκειν, ὅτι εἰ τύχῃ ἡ ἑορτὴ αὕτη ἐν σαββάτῳ, οὐδὲν τῶν νεκρωσίμων ψάλλομεν, οὔτε στιχηρά, οὔτε κανόνας· τὴν δὲ παννυχίδα ψάλλομεν μετὰ τῶν ἀποδείπνων· ἐν τοῖς τάφοις τὸν νεκρώσιμον κανόνα τοῦ ἤχου· στιχηρὰ δὲ λέγομεν τὰ μαρτυρικὰ εἰς τοὺς αἴνους, τὰ δ΄. καὶ θεοτοκίον. Εἰς δὲ τὸν στίχον τῶν αἴνων, τὰ τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἑκ γ΄. Αἱ στιχολογίαι, καθίσματα β΄. ἀπὸ α΄. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον· ἀπὸ β΄. στιχολογίας, κάθισμα τῆς ἑορτῆς ἦχος α΄. Χορὸς προφητικός, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου Μηνᾶ, οὗ ἡ ἀρχή· Μετὰ τὴν ἐπὶ γῆς τοῦ Σωτῆρος Χριστοῦ. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ δύο τῆς ἑορτῆς· ὁ εἷς αὐτῶν ἦχος α΄. ᾠδὴν ἐπινίκιον, καὶ ὁ ἕτερος εἰς τὸν αὐτὸν ἦχον κατὰ ἀλφάβητον, ἀνὰ δ΄.

Εἰ δὲ τύχῃ ἐν σαββάτῳ, ψάλλομεν τοὺς δύο μόνους τῆς ἑορτῆς· τὸν ἕνα εἰς η΄. καὶ τὸν ἕτερον εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος δ΄. Ἰωακείμ ὁ ἱερός, καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος Γεωργίου εἰς τὴν αὐτὴν ἑορτήν, ἀπὸ ς΄. κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Εἰς τοὺς αἴνους, εἰ μὲν ἐστὶ σάββατον, ἱστῶμεν δ΄. καὶ ψάλλομεν τὰ δ΄. μαρτυρικὰ τοῦ ἤχου, εἰ δὲ ἄλλη ἡμέρα, εἰς τοὺς αἴνους, οὐδέν, εἰς δὲ τὸν στίχον, λέγομεν στιχηρὰ τῆς ἑορτῆς γ΄. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ. Ζήτει εἰς τὸ τέλος τοῦ βιβλίου. Δόξα καὶ νῦν ἦχος πλ. α΄. πρὸς τό· Χαίροις.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, ψάλλονται πάντα κοινά, εἰς γὰρ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ γ΄. ἀναστάσιμα, δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν, Δογματικὸν τοῦ ἤχου. Ἀπὸ τοῦ προκειμένου, τὸ ἀναστάσιμον τοῦ στίχου ἅπαξ καὶ δύο τῆς ἑορτῆς, ἦχος β΄. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτός· Τὸ ἀπόῤῥητον τοῖς ἀγγέλοις. Ἀπολυτίκιον τὸ τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, τοὺς συνήθεις κανόνας τοῦ ἤχου (σ. 40) τῆς ἀγρυπνίας, καὶ τὴν λοιπὴν πᾶσαν ἀκολουθίαν ὁμοίως.

Εἰς τὸν ὄρθρον, εἰς τὸ Θεὸς Κύριος, τὸ ἀναστάσιμον β΄. Δόξα καὶ νῦν τὸ τῆς ἑορτῆς. Αἱ στιχολογίαι, τὰ καθίσματα, αἱ ἀναγνώσεις κοινά. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου τὰ γ΄. ἀντίφωνα, τὸ Πᾶσα πνοή, ὁμοίως καὶ

τὸ ἑωθινὸν εὐαγγέλιον. Οἱ κανόνες· ὁ ἀναστάσιμος εἰς ς'. καὶ οἱ δυο τῆς ἑορτῆς εἰς η'. Εἰς δὲ τοὺς αἴνους τὰ δ'. ἀναστάσιμα πρὸς μίαν, καὶ ἕτερα δ'. τῆς ἑορτῆς πρὸς τὸ· Οἶκος τοῦ Ἐφραθᾶ, Δόξα ἦχος πλ. α'. πρὸς τό· Χαίροις, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε παρθένε.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος ἡ γ'. ἤγουν τῆς ἑορτῆς· Καρπὸν κοιλίας εἰ παράσχῃς μοι. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον μετὰ τοῦ Δόξα καὶ νῦν. Προκείμενον ἦχος πλ. β'. Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή. Ἀλληλούια ἦχος α'. Σωτηρία τῶν δικαίων παρὰ Κυρίου. Εὐαγγέλον δὲ ζήτει σαββάτῳ ς'. τοῦ Λουκᾶ. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, ψάλλονται ἅπαντα κοινά, καὶ ἀναγινώσκονται, πλὴν Ἀλληλούια τῆς ἑορτῆς, προκείμενον δὲ ἄμνημον. Πρόηγοῦνται δὲ τὰ ἀναστάσιμα· οἵ τε μακαρισμοί, ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον, ὁμοίως δὲ καὶ τὸ τροπάριον, κοινωνικὸν δέ· Αἰνεῖτε τὸν Κύριον, καὶ Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ ι'. τῶν ἁγίων μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν μαρτύρων γ'. εἰς ἦχον δ'. ἀνὰ β', πρὸς τό· Ὡς γενναῖον, καὶ θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων ἦχος πλ. β'. Ὄντως ἡ γλῶσσά σου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Οἱ μάρτυρές σου, Κύριε. Εἰς τὴν παννυχίδα, ὁ συνήθης κανὼν μετὰ τοῦ ἑσπερινοῦ συνημμένως.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον, ἀπὸ β'. στιχολογίας, κάθισμα τῶν μαρτύρων ἦχος α'. καὶ θεοτοκίον. Ἀνάγνωσις ἐκ τοῦ μαρτυρίου αὐτῶν. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τῶν ἁγίων εἰς ς'. ἦχος α'. Ἰωσήφ· Χριστὸς γεννᾶται δοξάσατε. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τῶν ἁγίων ἕν, ἦχος πλ. α'. πρὸς τό· Χαίροις, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τὸ τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. (οϐ.] Προκείμενον ἦχος δ'. Θαυμα-

στὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ἀλληλούια ἦχος δ΄. Ἐκέκραξαν οἱ δίκαιοι. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε. Ἄγομεν γὰρ ἀργίαν τῶν ὡρῶν.

Μηνὶ τῷ αὐτῷ ια΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ Στυλίτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. τοῦ ὁσίου εἰς ἦχον πλ. δ΄. πρὸς τό· Τί ὑμᾶς καλέσωμεν, ἀνὰ β΄. καὶ θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ὁσίου ἦχος πλ. α΄. Τὸ ἐμπιστευθέν σοι τάλαντον. Ἀπολυτίκιον. ἦχος α΄. Ὑπομονῆς στύλος γέγονας ζηλώσας.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος ἦχος α΄. καὶ τὸ τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ βίου αὐτοῦ. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς ς΄. ἦχος πλ. δ΄. Ἰωσήφ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον. ἀπὸ ς΄. τὸ κοντάκιον τοῦ ἁγίου. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἕτερον ἓν τοῦ ὁσίου, ἦχος πλ. α΄. πρὸς τό· Ὅσιε πάτερ.

Εἰς τὴν λειτουργίαν. τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου, τὸ τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀλληλούια ἦχος πλ. α΄. Μακάριος ἀνήρ. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ιβ΄. τοῦ ὁσίου πατρὸς ἡμῶν Σπυρίδωνος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου δύο ἦχος α΄. πρὸς τό· Νεφέλην σε φωτός, καὶ ἕτερα β΄. ἦχος πλ. α΄. πρὸς τό· Χαίροις, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια, καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Μέγιστον εἰς ψυχῆς ὠφέλειαν. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο, καὶ τοῦ ἁγίου ἦχος β΄. Θεοφάνους. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς. κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι κοινῶς.

Μηνὶ τῷ αὐτῷ ιγ΄. τῶν ἁγίων μαρτύρων Εὐστρατίου, Λυξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τό·

Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἐκ β'. ἦχος δ'. πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων ἦχος γ'. Ῥητορικοῖς ἔπεσιν. (π. **41**] Ἀπολυτίκιον ἦχος δ'. Οἱ μάρτυρές σου, Κύριε. ἐν τῇ ἀθλήσει αὐτῶν.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ μαρτυρικὸν καὶ θεοτοκίον, ἀπὸ τῆς β'. στιχολογίας. κάθισμα τῶν μαρτύρων ἦχος δ'. πρὸς τό· Ταχὺ προκατάλαβε, καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῶν εἰς δόσεις γ'. οὗ ἡ ἀρχή· Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τῶν ἁγίων ὁμοίως εἰς ς'. ἦχος δ'. Ἰωάννου μοναχοῦ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν ἦχος β'. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. πρὸς τό· Ὡς γενναῖον, καὶ ἓν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ὑπὲρ τὴν τῶν Ἑλλήνων παίδων, καὶ θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἓν τῶν ἁγίων ἦχος πλ. α'. πρὸς τό· Χαίροις· καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τῶν ἁγίων ἡ γ'. τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ. Ζήτει κυριακῇ κζ'. Ἀλληλούια ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον τῆς ἡμέρας καὶ τῶν ἁγίων. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ Εὐαγγελίου· λέγομεν δὲ καὶ τὸν ἀπόστολον τῆς ἡμέρας, μετὰ τῶν ἁγίων. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ιδ'. τῶν ἁγίων μαρτύρων Θύρσου καὶ τῆς συνοδίας αὐτοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων εἰς ἦχον δ'. πρὸς τό· Ὡς γενναῖον, δευτεροῦντες τὸ α'. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κοινωνία. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο, καὶ τῶν ἁγίων ἦχος πλ. β'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. δ' καὶ θεοτοκίον·

ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Στιχηρα τῆς Ὀκτωήχου. Αἱ ὧραι κοινῶς μετὰ στιχολογιῶν.

Εἰ δὲ διὰ τὸ λείψανον τοῦ ἁγίου θέλει γενέσθαι λειτουργία, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας. Προκείμενον καὶ ἀλληλούια τῶν ἁγίων· Εὐαγγέλιον δὲ καὶ Ἀπόστολος κοινὰ τῆς ἡμέρας καὶ τῶν ἁγίων. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι.

Μηνὶ τῷ αὐτῷ ιε'. τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν 0'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ὁ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. (οδ.] εἰς ἦχον δ'. πρὸς τό· Ἔδωκας σημείωσιν, δευτεροῦντες τὸ α'. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, τὰ καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Αἰλίου Ἀδριανοῦ Ῥωμαίων. Κανόνες γ'. δύο τῆς Ὀκτωήχου καὶ τοῦ ἁγίου ἦχος α'. Ἰωσήφ· Ὠδὴν ἐπινίκιον, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου. Αἱ ὧραι κοινῶς.

Μηνὶ τῷ αὐτῷ ιζ'. τοῦ ἁγίου προφήτου Ἀγγαίου, καὶ τοῦ ἁγίου μάρτυρος Μαρίνου. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν 0'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ προφήτου γ'. εἰς ἦχον πλ. δ'. πρὸς τό· Οἱ μάρτυρές σου, Κύριε· καὶ ἕτερα τοῦ μάρτυρος γ'. εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ· Ὦ τοῦ παραδόξου, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια, καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ ὑπομνήματος τῶν ἁγίων τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου, οὗ ἡ ἀρχή· Ἄρτι Ναβουχοδονόσορ. Κανόνες γ'. Ὀκτωήχου εἷς καὶ ἕτερος τοῦ προφήτου ἦχος β'. Θεοφάνους, καὶ ἄλλος τοῦ μάρτυρος, Ἰωσήφ, ἀνὰ δ'. πρωτεύει δὲ ὁ εἷς τοῦ ἑτέρου πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ προφήτου ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τοῦ μάρτυρος ἦχος γ'. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι κοινῶς.

Κυριακῇ πρὸ τῶν ἁγίων Πατέρων, ἤγουν τῶν Προπατόρων. Ἑσπέρας. μετὰ τὴν στιχολογίαν τοῦ· Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα

ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Ὀκτωήχου γ΄. δευτεροῦντες τὸ α΄. καὶ τῶν ἁγίων Προπατόρων ἕτερα γ΄. ἦχος πλ. δ΄. πρὸς τό· Ὁ ἐν Ἐδὲμ παράδεισος, δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν, τὸ α΄. δογματικὸν τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ, τὸ ἀναστάσιμον τοῦ στίχου ἅπαξ καὶ ἕτερον ἐκ τῶν κδ΄. καὶ τὸ ἰδιόμελον τῶν ἁγίων Προπατόρων ἦχος πλ. β΄. Τοὺς πρὸ τοῦ νόμου Πατέρας, Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον ἰδιόμελον· Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν.

Εἰ δὲ ἐστὶν ἑορταζόμενος ἅγιος, λέγομεν τὰ γ΄. ἀναστάσιμα ἅπαξ. καὶ τὰ γ΄. ὁμοίως τῶν Προπατόρων, καὶ δύο τοῦ ἁγίου· εἰς τὸ Δόξα καὶ νῦν, τὸ δογμακικόν. ὡς εἴρηται. Εἰς τὸν στίχον δέ, τοῦ στίχου τὸ ἀναστάσιμον ἅπαξ, καὶ τὸ ἰδιόμελον τῶν ἁγίων (π. 42.] Προπατόρων, καὶ τοῦ ἁγίου ὁμοίως, Δόξα καὶ νῦν, Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν. Ἀπολυτίκιον ἦχος β΄. Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας. Εἰς δὲ τὰ ἀπόδειπνα. τὸ ἀναστάσιμον, καὶ εἰ ἐστὶ μέγας ἅγιος, καὶ τοῦ ἁγίου, Δόξα καὶ νῦν, τῶν Προπατόρων.

Εἰς τὴν παννυχίδα, κανόνες τῆς Ὀκτωήχου τῆς παννυχίδος· ὁ εἷς εἰς ς΄. καὶ τῶν ἁγίων Προπατόρων εἰς δ΄. ἦχος α΄. Χριστὸς γεννᾶται. Πατράσιν ὕμνον. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τὸ κατανυκτικὸν τοῦ ἤχου. ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου καὶ τὸν οἶκον. Μετὰ τὴν ἀπόλυσιν. ἡ τοῦ Πραξαποστόλου ἀνάγνωσις· τὸ ἥμισυ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, τὸ δὲ ἕτερον ἥμισυ, τῇ κυριακῇ τῶν ἁγίων Πατέρων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τοῦ ἤχου τροπάριον δεύτερον, Δόξα καὶ νῦν, τὸ τῶν Προπατόρων· Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, τὸ ἀναστάσιμον β΄. Δόξα, τοῦ ἁγίου, καὶ νῦν, τῶν Προπατόρων. Αἱ στιχολογίαι, καθίσματα β΄. Ἐξομολογήσομαί σοι καὶ Ἀγαπήσω σε. Καθίσματα ἀναστάσιμα τοῦ ἤχου. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Ἔπειτα ὁ Πολυέλεος ἢ ὁ Ἄμωμος. Κάθισμα ἀναστάσιμον τοῦ ἤχου. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου, ἢ μᾶλλον λόγος τοῦ Χρυσοστόμου εἰς τὸ μὴ πλησιάζειν θεάτροις, καὶ εἰς τὸν Ἀβραάμ. Ζήτει εἰς τὸ Πανηγυρικὸν εἰς ὁδοὺς β΄. οὗ ἡ ἀρχή· Πολλούς οἶμαι. Εἶτα, εἰ ἔχει ἡ ὥρα, καὶ ὁ Ἄμωμος μετὰ τῶν ἀναστασίμων τροπαρίων αὐτοῦ, καὶ εὐθὺς ἡ ὑπακοή, ἢ τό· Ἄγγελος παίδων, ἢ τό· Εἰς ὄρος. Ἐὰν γὰρ λάχῃ ὁ β΄. ἦχος, ἢ ὁ πλ. β΄. ἢ ὁ δ΄. ἢ ὁ βαρύς, ψάλλεται πρῶτον τό· Εἰς ὄρος· εἰ δὲ λάχῃ ὁ γ΄. ἢ ὁ πλ. α΄. ἢ ὁ α΄. ἢ ὁ πλ. δ΄. ψάλλεται τό· Ἄγγελος παίδων. Ψάλλεται δὲ οὕτως· πρῶτον ὁ ψάλτης, ἔπειτα ὁ λαὸς μετὰ χειρονομίας.

εἶτα ὁ ψάλτης τὸν στίχον, ἢ τό· Ἀλαλάξατε τῷ Κυρίῳ, ἢ τό· Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν· τὸ γὰρ Ἀλαλάξατε ἔνι τοῦ· Ἄγγελος παιδων, τὸ δὲ, Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν, ἐστὶ τοῦ· Εἰς ὄρος. Μετὰ δὲ τὸν στίχον, ψάλλει ὁ λαὸς πάλιν τὸ τέλος τῆς ὑπακοῆς, οἷον· Ὑπάρχει γὰρ ζωή, (**οδ.**] ἢ Ὁ ἀρχηγὸς τῆς ζωῆς ἡμῶν, καὶ εὐθὺς ἡ ἀνάγνωσις, τὸ λοιπὸν τοῦ λόγου τοῦ Χρυσοστόμου, ἦχον ἢ β΄. ἀνάγνωσις. Μετὰ δὲ τὴν ἀνάγνωσιν, οἱ ἀναβαθμοὶ τοῦ ἤχου· τὸ προκείμενον, ὁμοίως καὶ τό· Πᾶσα πνοή, Εὐαγγέλιον ἑωθινὸν τὸ ἐνόρθινον, τό· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν΄. Κανόνες γ΄. τὸν ἀναστάσιμον εἰς δ΄. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ΄. καὶ τῶν Προπατόρων ἦχος πλ. β΄. Ἰωσὴφ πρὸς τὸ· Κύματι θαλάσσης, εἰς ς΄. Ἅγιε ἁγίων.

Εἰ δὲ τύχῃ μέγας ἅγιος, τὸν ἀναστάσιμον τὸν α΄. εἰς δ΄. καὶ τοῦ ἁγίου ὁμοίως εἰς δ΄. καὶ τῶν Προπατόρων εἰς ς΄. προηγοῦνται δὲ ὁ εἷς τοῦ ἑτέρου πρὸς τὸν ἦχον. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν Πατέρων, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, τοῦ ἁγίου, τὸ δὲ τῶν Προπατόρων λέγεται ἀπὸ τοῦ β΄ καθίσματος. Ἀναγινώσκομεν δὲ καὶ, εἰ ἔχει ἡ ὥρα, τοῦ ἑορταζομένου ἁγίου τὸ μαρτύριον, ἢ ἐγκώμιον, ἢ βίον. Ἀπὸ ς΄. τὸ κοντάκιον ἦχος πλ. β΄. Χειρόγραφον. Εἰ δὲ οὐκ ἔχει ὁ ἅγιος ἀνάγνωσιν, ἀναγινώσκομεν λόγον τοῦ ἁγίου Γρηγορίου Νύσσης εἰς τὸν Ἀβραάμ. Ἀναγινώσκομεν δὲ καὶ τὰς ὁράσεις τοῦ Δανιὴλ, εἰ ἔχει ἡ ὥρα. καὶ τὸ μαρτύριον τῶν ἁγίων τριῶν παίδων.

Χρὴ δὲ εἰδέναι, ὅτι, εἰ τύχῃ τῶν ἁγίων τριῶν παίδων καὶ τοῦ προφήτου Δανιὴλ ἐν ταύτῃ τῇ κυριακῇ τῶν Προπατόρων, ψάλλομεν κανόνα τὸν ἀναστάσιμον εἰς ς΄. καὶ τοὺς δύο κανόνας τῶν ἁγίων ἦχος πλ. δ΄. ἀνὰ δ΄. τὸν πλ. β΄. Ἅγιε ἁγίων, καταλιμπάνομεν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τὰ ἀναστάσιμα τοῦ ἤχου τὰ δ΄. πρὸς μίαν, καὶ ἕτερα τῶν ἁγίων Προπατόρων ἦχος πλ. β΄. πρὸς τό· Ὅλην ἀποθέμενοι, δευτεροῦντες τὸ ἕν, Δόξα ἦχος β΄. πρὸς τό· Οἶκος τοῦ Ἐφραθὰ. Ἱστραφὲν ἀληθῶς. καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Ἀπολυτίκιον· Ἀναστὰς ἐκ τοῦ μνήματος, ἢ τὸν γ΄. Σήμερον σωτηρία.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου οἱ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον. Δόξα καὶ νῦν, τὸ κοντάκιον· Χειρόγραφον. Προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ. Ζήτει κυριακῇ κθ΄. Ἀλληλούια ἦχος δ΄. Ἐκέκραξαν

οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἐποίησε δεῖπνον. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Μηνὶ τῷ αὐτῷ ιζ'. τῶν ἁγίων τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου. Ἑσπέρας, εἰ μὴ τύχῃ κυριακῇ, οὐ στιχολογοῦμεν διὰ τὴν θ'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων τριῶν παίδων πρὸς τό· Ὡς γενναῖον· καὶ ἕτερα γ'. τοῦ προφήτου (π. 43] πρὸς τό· Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, ἦχος ὁ αὐτὸς ἰδιόμελον προεόρτιον· Ἡσαΐα χόρευε. Προκείμενον. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου δύο καὶ ἰδιόμελον ἦχος πλ. β'. Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν. καὶ θεοτοκίον. Ἀπολυτίκιον. ἦχος β'. Μεγάλα τὰ τῆς πίστεως κατορθώματα.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον. Δόξα καὶ νῦν. θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ ὑπομνήματος τοῦ προφήτου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς. καὶ τῶν ἁγίων τριῶν παίδων ἕτερος ἦχος πλ. δ'. Ἰωσήφ· Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν· καὶ ἕτερος τοῦ προφήτου εἰς τὸν αὐτὸν ἦχον Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς. κάθισμα τῶν ἁγίων ἦχος πλ. δ'. τὸ ἓν ὁ ψάλτης, τὸ ἕτερον ὁ λαός, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ ς'. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ γ'. ἓν τῆς Ὀκτωήχου, καὶ ἓν τῶν ἁγίων τριῶν παίδων ἐκ τῶν προσομοίων τῆς ἑσπέρας πρὸς τό· Ἔδωκας σημείωσιν. καὶ ἓν τοῦ προφήτου ἐκ τῶν αὐτῶν πρὸς τό· Ὡς γενναῖον, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. τὸ τροπάριον τῶν ἁγίων, Δόξα καὶ νῦν. τὸ κοντάκιον. Προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ἀλληλούια ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Ἀπόστολος δὲ καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Χρὴ εἰδέναι. ὅτι, εἰ τύχῃ ἡ μνήμη αὕτη τῶν ἁγίων τῇ κυριακῇ τῶν ἁγίων Προπατόρων, ἑσπέρας. μετὰ τὴν συνήθη στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. πρὸς μίαν, καὶ γ' τῶν ἁγίων Πατέρων ἦχος πλ. δ'. Ὁ ἐν Ἐδὲμ παράδεισός ποτε, καὶ δύο τοῦ προφήτου πρὸς τό· Ὡς γενναῖον. ἦχος δ'. Δόξα καὶ νῦν τὸ α'. δογματικὸν τοῦ ἤχου. Ἀπὸ δὲ τοῦ προκειμένου λέγεται, καθὼς ἐκεῖσε εἰρήκαμεν, ἤτοι τὸ ἀναστάσιμον τοῦ στίχου καὶ ἕτερον ἐκ τῶν κδ'. καὶ ἰδιόμελον ἦχος πλ. β'. Τοὺς πρὸ τοῦ νόμου Πατέρας, Δόξα καὶ νῦν. Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν. Ἀπολυτίκιον ἦχος β'. Ἐν πίστει τούς. Εἰς δὲ τὴν παννυχίδα. ὡς εἴρηται ἐκεῖσε

Εἰς τὸν ὄρθρον, κανόνες γ'. τῆς Ὀκτωήχου ὁ εἷς, εἰς ς'. καὶ τοῦ προφήτου ἕτερος, καὶ τῶν ἁγίων τριῶν παίδων ὁμοίως, οἱ καὶ προγραφέντες, ἀμφότεροι ἦχος πλ. δ'. οἱ δύο ἀνὰ δ'. ὁ δὲ πλ. β'. τῆς κυριακῆς καταλιμπάνεται. (οϐ.] Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, καὶ ἡ ἀνάγνωσις· τὸ ὑπόμνημα τοῦ προφήτου· ἀπὸ ς'. τὸ κοντάκιον. Εἰς τοὺς αἴνους, ὡς εἴρηται ἐν τῇ κυριακῇ τῶν Προπατόρων. Ὁμοίως δὲ καὶ ἐν τῇ λειτουργίᾳ.

Χρὴ δὲ εἰδέναι, ὅτι, εἰ τύχῃ ἡ μνήμη αὕτη τῶν ἁγίων τριῶν παίδων κοινῇ ἡμέρᾳ, ἐκτὸς κυριακῆς, στιχολογοῦμεν τὴν ζ'. ᾠδὴν πᾶσαν, εἰς τὸν ἦχον τοῦ α'. κανόνος, τοῦ κατὰ τὴν ἡμέραν ψαλλομένου ἤχου. Ἡ δὲ ἔναρξις τῆς ᾠδῆς ἐστὶν οὕτως· Τῶν Πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ Κύριε. Εἰς δὲ τὸ τέλος τῆς η'. ᾠδῆς, εἰς τό· Αἰνοῦμεν εὐλογοῦμεν, λέγομεν εἱρμὸν εἰς ἦχον πλ. δ'. Ἱερουσαλὴμ ἡγιασμένη, ἢ ἄλλον· Ἀπόβλεψάμενος ὁ τύραννος. Εἰ δὲ τύχῃ ἐν κυριακῇ. τὸν μὲν εἱρμὸν λέγομεν. τὴν δὲ ᾠδὴν οὐ στιχολογοῦμεν.

Μηνὶ τῷ αὐτῷ ιη'. τοῦ ἁγίου μάρτυρος Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τῶν μαρτύρων ἦχος α'. πρὸς τό· Πανεύφημοι μάρτυρες, δευτεροῦντες τὸ α'. καὶ Θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ Θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπα.

Εἰς τὸν ὄρθρον. Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Πολλῶν κατὰ διαφόρους καιρούς. Κανόνες γ'. τῆς Ὀκτωήχου β'. καὶ τοῦ ἁγίου ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος, Ἰωσήφ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος α'. ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ Θεοτοκίον. Αἱ ὧραι κοινῶς ἐν τῷ μέσῳ.

Μηνὶ τῷ αὐτῷ ιθ'. τῶν ἁγίων μαρτύρων Ἀθηνοδώρου καὶ Βονιφατίου. Ἑσπέρας. οὐ στιχολογοῦμεν διὰ τὴν θ'. εἰς δὲ τὸ Κύριε ἐκεκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ἁγίου Βονιφατίου εἰς ἦχον δ'. πρὸς τό· Ἔδωκας σημείωσιν. καὶ ἕτερα γ'. τοῦ ἁγίου Ἀθηνοδώρου ἦχος πλ. β'. πρὸς τό· Τριήμερος, καὶ Θεοτοκίον. Ἀλληλούια Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ Θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου Βονιφατίου, οὗ ἡ ἀρχή· Καὶ τὰ τῶν ἄλλων μὲν τοῦ Χριστοῦ μαρτύρων. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς καὶ τοῦ ἁγίου Βονιφατίου ἦχος δ'. Τριστάτας κραταιούς· Ἰωσήφ, καὶ τοῦ ἁγίου Ἀθηνοδώρου ἦχος πλ. α'. Ἵππον καὶ ἀναβάτην. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἑνὸς ἁγίου, ἦχος δ'. ἀπὸ τ'. κάθισμα τοῦ ἑτέρου ἁγίου, ἦχος πλ. α'. εἰς τό· Δόξα καὶ νῦν, θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Αἱ ὧραι ἐν τῷ μέσῳ κοινῶς, καὶ ἡ τράπεζα ἅπαξ, ὡς εἴρηται.

Σαββάτῳ πρὸ τῆς Χριστοῦ Γεννήσεως, ἤχου τῶν ἁγίων Πατέρων. Εἰς τὴν λειτουργίαν, ὁ ἀπόστολος· Ἀδελφοί, (**л. 44**) προϊδοῦσα ἡ Γραφή. Ζήτει σάββατον κ'. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως· ἡ δὲ λοιπὴ ἀκολουθία πᾶσα τοῦ σαββάτου.

Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως, ἤχου τῶν ἁγίων Πατέρων. Σαββάτῳ ἑσπέρας, ἡ στιχολογία, τό· Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. δευτεροῦντες τὸ α'. καὶ τῶν ἁγίων Πατέρων ἕτερα γ'. ἦχος πλ. α'. πρὸς τό· Χαίροις, δευτεροῦντες ἐξ αὐτῶν τὸ α'. Δόξα καὶ νῦν, ἰδιόμελον προεόρτιον εἰς τὸν αὐτὸν ἦχον· Μή στύγναζε Ἰωσήφ. Μετὰ τὴν εἴσοδον, τὸ προκείμενον. Εἰς τὸν στίχον τὸ ἀναστάσιμον τοῦ στίχου ἅπαξ, καὶ β'. τῶν ἁγίων Πατέρων ἦχος β'. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ. Ἔσβεσαν τοῦ πυρός. Πάντες τὴν τῶν σεπτῶν. Ζήτει δὲ ταῦτα τῇ κυριακῇ τῶν Προπατόρων. Δόξα καὶ νῦν ἦχος βαρὺς ἰδιόμελον· Δεῦτε ἅπαντες πιστῶς πανηγυρίσωμεν. Ἀπολυτίκιον ἦχος β'. Μεγάλα τὰ τῆς πίστεως. Προεγράφη τῶν ἁγίων τριῶν παίδων. Εἰς δὲ τὸ ἀπόδειπνον α'. τὸ ἀναστάσιμον, ἔπειτα τοῦτο καὶ τὸ κοντάκιον.

Εἰ δὲ τύχῃ μέγας ἅγιος, λέγομεν εἰς τὸ Κύριε ἐκέκραξα τὰ γ'. ἀναστάσιμα, πρὸς μίαν, καὶ τῶν ἁγίων Πατέρων τὰ προγραφέντα γ'. καὶ ἕτερα β'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ ἰδιόμελον. Εἰς δὲ τὸν στίχον, τὸ ἀναστάσιμον ἅπαξ, καὶ, ἐὰν ἔχει ὁ κατὰ τὴν ἡμέραν ἅγιος, ἰδιόμελον, καὶ τῶν ἁγίων Πατέρων τὰ δύο πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ μετὰ τοῦ Δόξα καὶ νῦν, τὸ δὲ ἰδιόμελον τὸ εἰς ἦχον βαρύν, καταλιμπάνομεν. Ἀπολυτίκιον τῶν ἁγίων Πατέρων.

Εἰς τὴν παννυχίδα, κανόνα τὸν κατανυκτικὸν τοῦ ἤχου τῆς ἡμέρας τὸν α'. εἰς ς'. καὶ τὸν προεόρτιον τῶν ἁγίων Πατέρων ἦχος δ'.

πρὸς τό· Ὤφθησαν αἱ πηγαί, σὺν τοῖς εἱρμοῖς εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τὸ κατανυκτικὸν τῆς ἡμέρας καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Μετὰ δὲ τὴν ἀπόλυσιν, ἀνάγνωσις ἐν τῷ Πραξαποστόλῳ, τὸ καταλειφθὲν ἥμισυ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα καὶ νῦν, ἦχος β'. Μεγάλα τὰ τῆς πίστεως. Εἰ δὲ ἔχει ὁ ἅγιος, λέγομεν τοῦ ἁγίου· εἰς τὸ Δόξα, καὶ εἰς τὸ καὶ νῦν, τὸ τῶν ἁγίων Πατέρων. Αἱ στιχολογίαι, καθίσματα β'. Ἐξομολογήσομαί σοι. Κύριε. καὶ τό· Ἀγαπήσω σε. Καθίσματα ἀναστάσιμα. Αἱ ἀναγνώσεις. Ἀρχόμεθα γὰρ ἀπὸ τῆς σήμερον τῆς εἰς τὸ κατὰ Ματθαῖον ἑρμηνείας τοῦ Χρυσοστόμου τοῦ α'. βιβλίου· Βίβλος γενέσεως. Ἔπειτα ὁ πολυέλεος, καὶ ἡ ὑπακοὴ τοῦ ἤχου ἡ ἀναστάσιμος, εἶτα ὁ Ἄμωμος σὺν τοῖς ἀναστασίμοις αὐτοῦ τροπαρίοις, καὶ εὐθὺς ἡ ἐπιλαγχάνουσα ὑπακοὴ τῆς ἡμέρας, ἢ τό· Ἄγγελος παίδων, ἢ τό· Εἰς ὄρος. Ψάλλεται δέ, καθὼς εἰρήκαμεν ἐν τῇ ἑτέρᾳ κυριακῇ τῶν ἁγίων Προπατόρων. καὶ ἀνάγνωσις· Λόγος τοῦ ἁγίου Ἐφραὶμ εἰς τὸν πάγκαλον Ἰωσήφ, οὗ ἡ ἀρχή· (ος.) Ὁ Θεὸς τοῦ Ἀβραάμ. Ἔπειτα οἱ ἀναβαθμοί, τὸ προκείμενον τοῦ ἤχου. τὸ Πᾶσα πνοή, Εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον. τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν'. Κανόνα δὲ ἀναστάσιμον οὐ ψάλλομεν, ἀλλὰ λέγομεν· Τῷ Κυρίῳ ᾄσωμεν, καὶ ἱστῶμεν ιτ'. καὶ ψάλλομεν τὸν κανόνα τῶν ἁγίων Πατέρων, εἰς ἦχον πλ. β'. Κύματι θαλάσσης. Βήματι, εἰς η'. μετὰ τῶν εἱρμῶν, δευτεροῦντες τὰ α'. τροπάρια, διὰ τὸ εἶναι αὐτὰ ἀναστάσιμα· λέγομεν δὲ αὐτὰ καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. οἷος ἂν εἴη. καὶ τὸν προσόρτιον ἕσχατον εἰς δ'. ἦχος α'. πρὸς τό· Χριστὸς γεννᾶται. Χριστὸν σαρκὶ νηπιάσαντα. Ζήτει δὲ αὐτὸν εἰς τὰς κβ'. τοῦ μηνός. λέγομεν γὰρ αὐτὸν καὶ σήμερον. Εἰ δὲ ἔχει καὶ αὕτη ἡ ἡμέρα προσόρτιον, καταλιμπάνομεν αὐτὸν καὶ λέγομεν τῆς ἡμέρας, εἰ μὴ τί γε τύχῃ ἡ εἰκοστὴ τοῦ μηνὸς διὰ τὸ εἰς ἦχον α'. εἶναι καὶ αὐτῆς τῆς ἡμέρας τοὺς κανόνας. Λέγομεν δὲ καὶ τὰς καταβασίας τῶν Χριστουγέννων· ὁ μὲν εἷς χορός τό· Χριστὸς γεννᾶται, ὁ δὲ ἕτερος τό· Ἔσωσε λαὸν θαυματουργῶν. Ἀπὸ γ'. ᾠδῆς. κάθισμα τοῦ ἁγίου καὶ θεοτοκίον, καὶ εἰ ἔχει καὶ ἀνάγνωσιν, λέγομεν καὶ αὐτήν. Εἰ δὲ οὐκ ἔχει, τὴν β'. ἀνάγνωσιν τοῦ ἁγίου Ἐφραὶμ. τοῦ εἰς τὸν Ἰωσὴφ λόγου. Εἰ δὲ ἀνεγνώσθη ὅλος, ἀναγινώσκομεν καὶ αὖθις ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον. Ἀπὸ. ς'. τὸ κοντάκιον· Χειρόγραφον εἰκόνα. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η'. καὶ λέγομεν τὰ ἀναστάσιμα στιχηρὰ τοῦ ἤχου τὰ δ'. καὶ τῶν ἁγίων Πατέρων ἕτερα στιχηρὰ γ'. ἦχος δ'. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς,

Ζήτει ταῦτα τῇ κυριακῇ τῶν Προπατόρων, ἔπειτα ἰδιόμελον ἦχος α'. Βολίδες ἀστράπτοντες, Δόξα ἦχος β'. καὶ ἕτερον· Χαίρετε προφῆται, καὶ νῦν, Ὑπερευλογημένη. Ἀπολυτίκιον, οἷον λάχῃ τῆς κυριακῆς, ἢ τό· Ἀναστὰς ἐκ τοῦ μνήματος, ἢ τὸ· Σήμερον σωτηρία, καὶ ἡ α'. ὥρα.

Δεῖ δὲ γινώσκειν, ὅτι, ὡς εἴρηται, ἀπὸ ταύτης τῆς κυριακῆς ἀργόμεθα ἀναγινώσκειν τὸ α'. βιβλίον τοῦ κατὰ Ματθαῖον μέχρι τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῶν ἁγίων Πατέρων ἡ ς'. Μετὰ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν. τὸ κοντάκιον· Χειρόγραφον. Ὠδὴ τῶν Πατέρων, προκείμενον ἦχος δ'. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων, ἡμῶν, στίχος· Ὅτι δίκαιος εἶ ἐπὶ πάσιν, οἷς ἐποίησας ἡμῖν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πίστει Ἀβραάμ. Ἀλληλούια ἦχος δ'. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν. στίχος β'. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς. Εὐαγγέλιον κατὰ Ματθαῖον· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον, καὶ Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ κ'. τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου. Ἑσπέρας. οὐ στιχολογοῦμεν διὰ τὴν θ'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ προεόρτια τῆς Χριστοῦ Γεννήσεως. (л. 45] εἰς ἦχον δ'. πρὸς τό· Ὡς γενναῖον, γ'. καὶ ἕτερα γ'. τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Χριστὸς ὁ ἐρχόμενος. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἦχος β'. δύο· Οἶκος τοῦ Ἐφραθᾶ, καὶ ἄλλο ὅμοιον· Δεῦτε οἱ γηγενεῖς. καὶ ἰδιόμελον τοῦ ἁγίου εἰς ἦχον α'. Ὦ τῆς στερρᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς. Καὶ νῦν προεόρτιον ἰδιόμελον ἦχος ὁ αὐτός· Προεορτάσωμεν λαοί. Ἀπολυτίκιον ἦχος δ'. Καὶ τρόπων μέτοχος.

Εἰς τὰ ἀπόδειπνα λέγομεν τροπάριον· Ἑτοιμάζου Βηθλεέμ, Δόξα καὶ νῦν, τοῦ ἁγίου. Ἀντὶ δὲ κανόνος, ψάλλομεν εἰς τὰ ἀπόδειπνα τὰ β'. Τριῴδια τὰ προεόρτια ἦχος β'. πρὸς τό· Τῷ τὴν ἄβατον· τὸ μὲν ἓν τριῴδιον, τὸ δὲ ἄλλο διῴδιον η'. καὶ θ'. Τῷ δόγματι τῷ, ἀνὰ β'. τὰ τροπάρια ὅλα. τοὺς δὲ εἱρμοὺς πρὸς μίαν· ἀργῶς δὲ καὶ μετὰ προσοχῆς, ἀφ' ὅμοια γάρ εἰσι τοῖς τῆς μεγάλης ἑβδομάδος.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ'. τροπάριον· Ἑτοιμάζου Βηθλεέμ β'. Δόξα καὶ νῦν. Καὶ τρόπων μέτοχος. Αἱ στιχολογίαι, καθίσματα β'. Ἀπὸ α'. στιχολογίας, κάθισμα προεόρτιον ἦχος α'. Ὁ κλίνας οὐρα-

νούς, Δόξα καὶ νῦν, τὸ αὐτό· ἀπὸ τῆς β΄. στιχολογίας, ἕτερον κάθισμα προεόρτιον ἦχος πλ. δ΄. Τῶν Γενεθλίων τοῦ Χριστοῦ, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις, ἐν πρώτοις ὁ εἰς τὸν Φιλογόνιον λόγος τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Ἐγὼ μὲν καὶ σήμερον, εἶτα τὸ μαρτύριον τοῦ ἁγίου, εἰς δόσεις δύο, οὗ ἡ ἀρχή· Ἄρτι Τραϊανοῦ τὰ Ῥωμαίων. Κανόνας β΄. τὸν προεόρτιον ἦχος α΄. εἰς ς΄. Ἰωσήφ· Ὠδὴν ἐπινίκιον, καὶ τῶν ἁγίων ὁμοίως εἰς τὸν αὐτὸν ἦχον, εἰς ς΄. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα τοῦ ἁγίου ἦχος γ΄. Χειροθετούμενος, Δόξα καὶ νῦν, θεοτοκίον. Καὶ ἡ β΄. ἀνάγνωσις τοῦ ἁγίου. Ἀπὸ ς΄. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια ἦχος α΄. πρὸς τό· Πανεύφημοι μάρτυρες γ΄. Δόξα. ἰδιόμελον τοῦ ἁγίου ἦχος ὁ αὐτὸς· Στήλη ἔμψυχος, καὶ νῦν ἰδιόμελον προεόρτιον· Ἄκουε οὐρανέ. Ἀπολυτίκιον τοῦ ἁγίου· Καὶ τρόπων.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ προεορτίου ᾠδὴ γ΄. τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν τῆς ἑορτῆς. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν. Ζήτει κυριακὴ γ΄. τῶν ἁγίων νηστειῶν. Ἀλληλούια ἦχος β΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ. Ζήτει τῇ παρασκευῇ τῆς ιγ΄. ἑβδομάδος. Κοινωνικόν· Εἰς μνημόσυνον·

Εἰ δὲ τύχῃ ἐν τῇ κυριακῇ τῶν ἁγίων Πατέρων, πᾶσα ἡ ἀκολουθία τῆς λειτουργίας ψάλλεται τῆς κυριακῆς, καθὼς ἐκεῖσε εἰρήκαμεν· ἐν δὲ τῷ ὄρθρῳ λέγομεν κανόνα α΄. τῶν ἁγίων Πατέρων εἰς ς΄. ἔπειτα ὁ προεόρτιος· Ὠδὴν ἐπινίκιον, εἰς δ΄. εἶτα τοῦ ἁγίου εἰς ς΄. ὁ δὲ ἕτερος (σ6.] προεόρτιος καταλιμπάνεται· Χριστὸν σαρκὶ νηπιάσαντα, ψάλλεται γὰρ εἰς τὰς κβ΄. τοῦ μηνός. Στιχηρὰ δὲ ἑσπέρας καὶ πρωί, καθὼς ἐκεῖσε εἰρήκαμεν.

Χρὴ δὲ γινώσκειν, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας ἀρχόμεθα ψάλλειν τὰ προεόρτια. καταλιμπάνομεν δὲ τῆς Ὀκτωήχου παντελῶς τούς τε κανόνας καὶ τὰ στιχηρά, καὶ τὰ καθίσματα, ὁμοίως δὲ καὶ τοὺς μακαρισμούς· Πάντα δὲ ψάλλομεν τὰ τῆς ἑορτῆς. Προκείμενον δὲ τῇ ἑσπέρᾳ οὐ ψάλλομεν, οὔτε τῷ πρωΐ, Θεὸς Κύριος, ἀλλ' ἀντ' αὐτῶν, ἀλληλούια, εἰ μὴ μόνον εἰς τὴν κ΄. τοῦ ἁγίου Ἰγνατίου καὶ εἰς τὴν κδ΄. λέγομεν Θεὸς Κύριος. Ἀπολυτίκιον δὲ λέγομεν καθ' ἑσπέραν, τὸ τῆς ἑορτῆς· ὁμοίως δὲ καὶ ἐν τῷ ὄρθρῳ, τό· Ἑτοιμάζου Βηθλεέμ, ἐκ γ΄. ψάλλομεν

δὲ καὶ ἀλληλούια, ὡς εἴρηται, ποιοῦμεν δὲ καὶ τὰς μετανοίας ἐν τῷ κοινῷ. Ἑσπέρας τὲ καὶ πρωΐ, ὡς σύνηθες. Ψάλλομεν δὲ καὶ τὰς ὥρας ἐν τῷ κοινῷ μετὰ στιχολογίας.

Μηνὶ τῷ αὐτῷ κα'. Προεόρτια, καὶ τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς, ψάλλομεν δὲ καὶ τὴν ἁγίαν Εὐγενίαν, διὰ τὸ μὴ ψάλλεσθαι αὐτὴν εἰς τὰς κδ'. διὰ τὰ προεόρτια. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν τ'. καὶ ψάλλομεν στιχηρὰ προεόρτια εἰς ἦχον δ'. δύο πρὸς τό· Ἔδωκας σημείωσιν. Οὗτος ὁ Θεὸς ἡμῶν. Θημωνία ἄλωνος. Καὶ ἕτερα β'. τῆς μάρτυρος εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Ὡς γενναῖον, καὶ ἕτερα δύο τῆς ἁγίας Εὐγενίας εἰς ἦχον β'. πρὸς τό· Ὅτε ἐκ τοῦ ξύλου σε. Ζήτει ταῦτα εἰς τὰς κδ'. τοῦ μηνός. Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτὸς· Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ προεόρτια ἦχος β'. πρὸς τό· Οἶκος τοῦ Ἐφραθὰ γ'. Δεῦτε οἱ γηγενεῖς. Πάντων τῶν προφητῶν. Λόγος τοῦ Πατρός. Δόξα καὶ νῦν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Βηθλεὲμ γῆ Ἰούδα. Ἀπολυτίκιον τὸ προεόρτιον.

Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον ἦχος β'. τοὺς εἱρμοὺς πρὸς μίαν, τὰ δὲ τροπάρια ἓκ β'. ᾠδὴ γ'. Τῆς πίστεως ἐν πέτρᾳ.

Εἰς τὸν ὄρθρον. Ἀλληλούια. καὶ τὸ προεόρτιον τροπάριον ἓκ γ'. Αἱ στιχολογίαι. Ἀπὸ α'. στιχολογίας, κάθισμα προεόρτιον ἦχος α'. Λαμπρύνθητι ἡ κτίσις. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀπὸ τῆς β'. στιχολογίας ἕτερον κάθισμα ἦχος β'. Ὁ ἀπρόσιτος Θεός. Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· τὸ μαρτύριον τῆς ἁγίας Ἰουλιανῆς, οὗ ἡ ἀρχή· Ἡ καλλίστη τῶν πόλεων Νικομήδεια. Ὁμοίως ἀναγινώσκεται καὶ ἐκ τοῦ βίου τῆς ὁσίας Εὐγενίας, οὗ ἡ ἀρχή· Κόμοδος μετὰ Μάρκον τὸν αὐτοῦ πατέρα. Κανόνες γ'. τὸν προεόρτιον ἦχος δ'. Τριστάτας κραταιούς. Ἰωσήφ· καὶ τῆς ἁγίας Ἰουλιανῆς εἰς τὸν αὐτὸν ἦχον· (л. 46] Θαλάσσης τὸ ἐρυθραῖον, τοῦ αὐτοῦ, καὶ τῆς ἁγίας Εὐγενίας ἦχος β'. Ἐν βυθῷ κατέστρωσε, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἁγίας Ἰουλιανῆς ἦχος δ'. Νυμφίον ποθήσασα. καὶ θεοτοκίον. Ἀπὸ τ'. κάθισμα τῆς ἁγίας Εὐγενίας ἦχος πλ. δ'. Ἐνασκήσασα πόνοις. καὶ θεοτοκίον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἦχος πλ. β'. πρὸς τό· Αἱ ἀγγελικαί, γ'. Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτὸς· Σπήλαιον εὐτρεπίζου. Ἀπολυτίκιον τῆς ἑορτῆς. Αἱ ὧραι κοινῶς.

Εἰ δὲ θέλει γενέσθαι καὶ λειτουργίαν. τυπικὰ καὶ ᾠδὴ τοῦ προεορτίου κανόνος ἡ γ'. Μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν, καὶ τὸ τροπάριον

τῆς ἑορτῆς. Προκείμενον ἄμνημον, ἦχος α'. Γένοιτο, στίχος· Ἀγαλλιᾶσθε δίκαιοι. Ἀλληλούια ἄμνημον ἦχος α'. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Δεῖ γινώσκειν, ὅτι, εἰ τύχῃ ἡμέρα προεόρτιος ἐν σαββάτῳ, οὐδὲν τῆς Ὀκτωήχου ψάλλομεν, οὔτε νεκρώσιμον, ὁμοίως δὲ καὶ τὸν Ἄμωμον μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου στιχολογοῦμεν· ψάλλομεν δὲ τῇ ἑσπέρᾳ προκείμενον, καὶ τὸ πρωὶ Θεὸς Κύριος, τὸ δὲ τροπάριον τῆς ἑορτῆς λέγομεν καὶ πρωὶ καὶ ἑσπέρας καὶ ἐν τῇ λειτουργίᾳ. Εἰ δὲ κυριακὴ τυχῇ, προηγοῦνται πάντα τὰ ἀναστάσιμα, ὥσπερ εἴρηται, εἶθ' οὕτως τῆς κατὰ τὴν ἡμέραν ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ κβ'. Προεόρτια, καὶ τῆς ἁγίας μάρτυρος Ἀναστασίας. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὴν Θ'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ προεόρτια ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου. γ'. καὶ ἕτερα γ'. τῆς ἁγίας εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Χριστὸς ὁ ἐρχόμενος. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἦχος β'. πρὸς τὸ· Οἶκος τοῦ Ἐφραθά. Χαῖρε ἡ Βηθλεέμ. Δεῦτε οἱ γηγενεῖς. Ἴδωμεν τῷ Θεῷ. Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτός· Δεῦτε ἅπαντες Χριστοῦ τὰ γενέθλια. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὰ ἀπόδειπνα, κανὼν προεόρτιος ὅμοιος τῆς μεγάλης ε'. ἦχος πλ. β'. Τριθείσῃ τρᾶται, εἰς δ'. σὺν τοῖς εἱρμοῖς. Ἀπὸ γ'. ᾠδῆς. οὐδέν, ἀπὸ ς'. κοντάκιον τῆς Θεοτόκου ἐκ τῶν συνήθων.

Εἰς τὸν ὄρθρον. Ἀλληλούια, καὶ τὸ προεόρτιον τροπάριον. ὡς εἴρηται ἐκ γ'. Ἀπὸ α'. στιχολογίας, κάθισμα ἦχος δ'. Παρθένοι δοξάσατε. Δόξα καὶ νῦν τὸ αὐτό, ἀπὸ β'. στιχολογίας. ἕτερον κάθισμα ἦχος πλ. β'. Ἐκ Περσίδος βασιλεῖς, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀναγινώσκομεν δὲ ἐκ τοῦ βίου τῆς ἁγίας Εὐγενίας, καὶ τὸ Μαρτύριον τῆς ἁγίας Ἀναστασίας, οὗ ἡ ἀρχή· Ἀναστασία γυναικῶν ἡ καλλίστη. Κανόνες γ'. ὁ προεόρτιος ἦχος α'. Χριστὸν σαρκὶ νηπιάσαντα. (**οβ.**]

Εἰ δὲ κατελείφθη καὶ ἐκ τῆς κυριακῆς καὶ ἕτερος κανὼν προεόρτιος, ψάλλομεν κἀκεῖνον, τοὺς δύο εἰς η'. εἰ δὲ οὐ κατελείφθη, ψάλλομεν τὸν προειρημένον ἦχος α'. εἰς η'. καὶ τῆς ἁγίας εἰς δ'. ἦχος πλ. δ'. Ἰωσήφ· Ἆσμα ἀναπέμψωμεν λαοί. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἁγίας ἦχος πλ. δ'. Τῶν μαρτύρων ζηλοῦμεν, καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα προεόρτιον ἦχος πλ. δ'. Ἀγαλλιάσθω οὐρανός, Δόξα καὶ

νὸν τὸ αὐτό. Ζήτει δὲ τοῦτο εἰς τὰς κγ΄. τοῦ μηνός. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων. στιχηρὰ προεόρτια ἦχος πλ. β΄. πρὸς τό· Αἱ ἀγγελικαί. Ὄρος νοητόν. Σαλπιγγος φωνήν. Αὐλῶν ποιμενικῶν, Δόξα καὶ νῦν ἰδιόμελον ἦχος ὁ αὐτός· Σιὼν πανηγύριζε. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰ δὲ θέλει γενέσθαι καὶ λειτουργίαν. λέγομεν τυπικὰ καὶ ᾠδὴν τοῦ προεορτίου κανόνος, τὴν γ΄. Δόξα καὶ νῦν τὸ τροπάριον τῆς ἑορτῆς. Προκείμενον ἦχος β΄. Σῶσον, Κύριε, τὸν λαόν σου, στίχος· Πρὸς σέ. Κύριε, κεκραξόμαι. Ἀλληλούια ἦχος β΄. Ἐπακούσαι σου Κύριος. Ἀπόστολος δὲ καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Μηνὶ τῷ αὐτῷ κγ΄. προεόρτια καὶ τῶν ἁγίων ι΄. μαρτύρων τῶν ἐν Κρήτῃ. Ἑσπέρας. οὐ στιχολογοῦμεν διὰ τὴν θ΄. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν τ΄. καὶ ψάλλομεν στιχηρὰ προεόρτια γ΄. ἦχος πλ. β΄. πρὸς τό· Ὅλην ἀποθέμενοι, καὶ γ΄. τῶν ἁγίων ἦχος δ΄. πρὸς τό· Ὡς γενναῖον. Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτός· Βηθλεὲμ εὐτρεπίζου. Ἀλληλούια. Εἰς τὸν στίχον. στιχηρὰ τῆς ἑορτῆς ἦχος β΄. πρὸς τό· Οἶκος τοῦ Ἐφραθὰ· Ὄρη καὶ οἱ βουνοί. Ἥκει ὁ λυτρωτής, καὶ ἰδιόμελον τῶν ἁγίων ἦχος γ΄. Γενναῖοι μάρτυρες, Δόξα καὶ νῦν ἦχος ὁ αὐτος τῆς ἑορτῆς· Εὐτρεπίζου Βηθλεέμ. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὸ ἀπόδειπνον, τὸ τριῳδιον ᾠδὴ ε΄. ἦχος πλ. β΄. Πρὸς σὲ ὁρθρίζω. ἀνὰ β΄. τὰ τροπάρια χωρὶς τῶν εἱρμῶν, τοὺς γὰρ εἱρμοὺς καταλιμπάνομεν.

Εἰς τὸν ὄρθρον. ἀλληλούια καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ΄. Αἱ στιχολογίαι, ἀπὸ α΄. στιχολογίας, κάθισμα προεόρτιον ἦχος α΄. Ὁ θρόνῳ πορφύρῳ. Δόξα καὶ νῦν, τὸ αὐτό· ἀπὸ β΄. στιχολογίας κάθισμα ἕτερον ἦχος γ΄. Χαρᾶς ἐμπλήσθητε, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον. καὶ τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Ἄλλος μὲν ἄλλο τι τῆς θρυλλουμένης. Κανόνες δύο τῆς ἑορτῆς ἦχος πλ. β΄. Θεοφάνους· Ὡς ἐν ἠπείρῳ πεζεύσας, σὺν τοῖς εἱρμοῖς εἰς η΄. καὶ τῶν ἁγίων ἦχος γ΄. Γερμανοῦ, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, ἡ ὑπακοὴ ὁ ψάλτης καὶ λαὸς μετὰ χειρονομίας, ἦχος πλ. δ΄. Τὴν ἀπαρχὴν τῶν ἐθνῶν, καὶ εὐθὺς ἡ ἀνάγνωσις. Ἀπὸ ς΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος α΄. Δόξα καὶ νῦν, Θεοτοκίον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος β΄. πρὸς τό· Ἄγγελος μὲν τὸ χαῖρε γ΄. [π. 47] Δόξα καὶ νῦν, ἰδιόμελον εἰς ἦχον δ΄. Ἡσαΐα χόρευε. Ἀπολυτίκιον τὸ αὐτό.

Εἰ δὲ θέλει λειτουργῆσαι, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος ἡ γ'. τὸ τροπάριον. Προκείμενον ἦχος δ'. Ὡς ἐμεγαλύνθη, στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ἀλληλούια ἦχος δ'. Ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Μηνὶ τῷ αὐτῷ κδ'. Προεόρτια τῆς Χριστοῦ Γεννήσεως, τὴν γὰρ ἁγίαν Εὐγενίαν προεφάλαμεν εἰς τὰς κδ'. τοῦ μηνός. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν τ. καὶ ψάλλομεν στιχηρὰ προεόρτια ἰδιόμελα ἦχος δ'. γ'. ἐκ β'. Βηθλεὲμ εὐτρεπίζου. Χριστὸς ὁ ἐρχόμενος. Ἡσαΐα χόρευε. Δόξα καὶ νῦν ἦχος πλ. α'. Μὴ στύγναζε Ἰωσήφ. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ προεόρτια ἰδιόμελα ἦχος β'. Ἰδοὺ καιρός. Βηθλεὲμ γῆ Ἰούδα. Δεῦτε ἅπαντες Χριστοῦ τὰ γενέθλια, Δόξα εἰς τὸν αὐτὸν ἦχον· Οἶκος τοῦ Ἐφραθὰ. καὶ νῦν ἦχος πλ. β'. Σπήλαιον εὐτρεπίζου. Ἀπολυτίκιον. ἦχος δ'. Ἀπεγράφετο ποτὲ σὺν τῷ προαβύτῃ Ἰωσήφ. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου. καὶ εἰς τὰς ὥρας.

Εἰς τὸ ἀπόδειπνον, κανὼν ἦχος πλ. β'. Κύματι θαλάσσης. σὺν τοῖς εἱρμοῖς εἰς δ'. Ἀπὸ τ'. ᾠδῆς, κοντάκιον τῆς Θεοτόκου ἐκ τῶν συνήθων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος. καὶ τὸ τροπάριον τῆς ἀπογραφῆς ἐκ γ'. Αἱ στιχολογίαι, καθίσματα δύο. Ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς ἑορτῆς ἦχος πλ. δ'. Τῶν γενεθλίων τοῦ Χριστοῦ. Ζήτει δὲ αὐτὸ εἰς τὰς κγ'. τοῦ μηνός, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου· Τίς ἡ τυραννίς, εἰς δύσεις δύο. Ἀπὸ β'. στιχολογίας, ἕτερον κάθισμα προεόρτιον· Ὁ τῶν αἰώνων δεσπότης, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις, τὸ λοιπὸν τοῦ Θεολόγου. Κανόνες β'. τῆς ἀπογραφῆς, ἀμφότεροι κατ' ἀλφάβητον, καὶ ψάλλονται ἀνὰ τ'. ὁ εἷς αὐτῶν ἦχος β'. Ἐν βυθῷ κατέστρωσε, ὁ ἕτερος δὲ ἦχος πλ. β'. πρὸς τὸ· Κύματι θαλάσσης. Ἄρχων ἐξ Ἰούδα. Ἀπὸ γ'. ᾠδῆς, ἡ ὑπακοὴ ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν, (ob.) ὁ ψάλτης καὶ λαὸς μετὰ χειρονομίας. Καὶ εὐθὺς ἀνάγνωσις· λόγος τοῦ ἁγίου Ἀθανασίου εἰς τὴν ἀπογραφήν. οὗ ἡ ἀρχή· Ὥσπερ οἱ τὴν χρυσῖτιν γῆν. Ζήτει εἰς τὸ Πανηγυρικόν. Ἀπὸ τ'. ᾠδῆς, τὸ προεόρτιον κοντάκιον ἦχος γ'. πρὸς τὸ· Ἡ παρθένος σήμερον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια ἦχος γ'. πρὸς τὸ· Σταυροφανῶς, Δόξα καὶ νῦν. ἰδιόμελον ἦχος πλ δ'. Ὑπόδεξαι Βηθλεέμ. Ἀπολυτίκιον τὸ αὐτό. καὶ ἡ α'. ὥρα, ὡς σύνη

θετ. Οὐ μέντοι ψάλλομεν καὶ τὰ τροπάρια ἅρτι, ἀλλ' ἐὰν ἐστι νηστεία, ὥρα γ'. κρουομένου τοῦ ξύλου. ἀπερχόμεθα καὶ ψάλλομεν ἔνδοθεν τοῦ ναοῦ τὴν γ'. ὥραν, καὶ εὐθὺς τὰ τροπάρια πάντα ὁμοῦ τῆς α'. ὥρας, τῆς γ'. τῆς ς'. καὶ τῆς θ'. ὡς κατωτέρω δηλωθήσεται περὶ τούτου σαφέστερον.

Χρὴ δὲ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ἡ κυριακὴ τῶν ἁγίων Πατέρων πρὸ τῆςΧριστοῦ Γεννήσεως τῇ αὐτῇ ἡμέρᾳ, ἤγουν τῇ κδ'. τοῦ μηνός, οὐδὲν τῶν ἀναστασίμων ψάλλεται, ἀλλὰ πάντα τῶν ἁγίων Πατέρων μετὰ τῶν προεορτίων· προηγοῦνται δὲ τὰ στιχηρὰ τῶν ἁγίων Πατέρων τῶν τῆς ἑορτῆς· ὁμοίως καὶ οἱ κανόνες, μόνους δὲ τοὺς ἀναβαθμοὺς τοῦ ἤχου ψάλλομεν, καὶ ὁ ἐὰν τύχῃ ἀναστάσιμον ἑωθινὸν Εὐαγγέλιον ἀναγινώσκεται.

Εἰ δὲ ἐν σαββάτῳ τύχῃ ἡ παραμονὴ αὕτη τῶν Χριστουγέννων, ἢ ἐν κυριακῇ, ἤγουν ἡ κδ'. τοῦ μηνός, οὐδὲν τῶν προειρημένων στιχηρῶν ψάλλομεν, οὔτε ἑσπέρας, οὔτε πρωί, ἀλλὰ πάντα ἐκ τῶν τροπαρίων. διὰ τὸ μὴ ψάλλεσθαι τὰς ὥρας κοινῶς, οὔτε μὴν τὰ τροπάρια, οὔτε ἀναγινώσκομεν τὰ εὐαγγέλια, ψάλλομεν δὲ ταῦτα οὕτως· τῇ μὲν ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ προειρημένα γ'. στιχηρὰ ἰδιόμελα εἰς ἦχον δ'. ἤγουν Βηθλεὲμ εὐτρεπίζου. Χριστὸς ὁ ἐρχόμενος. Ἠσαΐα χόρευε. Τὰ μὲν δύο, τὰ πρῶτα, ἐκ β'. τὸ δὲ ἓν ἅπαξ. Λέγομεν δὲ καὶ ἐκ τῶν τροπαρίων ἓν εἰς τὸν αὐτὸν ἦχον καὶ αὐτὸ ἅπαξ· Ἄκουε οὐρανέ. Εἶτα Δόξα καὶ νῦν ἦχος πλ. α'. καὶ ἕτερον στιχηρὸν ἐκ τῶν τροπαρίων· Δεῦτε χριστοφόροι λαοί. Εἰς δὲ τὸν στίχον. ἕτερον ἦχος πλ. δ'. λέγομεν δὲ καὶ τοὺς στίχους αὐτοῦ, καθὼς εἶαν ἐν ἑνὶ ἑκάστῳ στιχηρῷ· Βηθλεὲμ ἑτοιμάζου, καὶ ὁ στίχος αὐτοῦ, ἄλλο ἦχος ὁ αὐτὸς· Τάδε λέγει Ἰωσήφ. Στίχος ἕτερος καὶ ὁ αὐτὸς ἦχος ἕτερα στιχηρά· Πρὸ τῆς γεννήσεως τῆς σῆς, Δόξα, ἦχος γ'. Ἰωσὴφ εἰπὲ ἡμῖν. καὶ νῦν, ἦχος ὁ αὐτός· Νῦν προφητικὴ πρόῤῥησις.

Εἰς δὲ τὸν ὄρθρον, ἀντὶ τῶν προσομοίων στιχηρῶν, ἤγουν τῶν πρὸς τό· Σταυροφανῶς, λέγομεν ἐκ τῶν τροπαρίων ταῦτα, ἦχος α'. Δεῦτε πιστοί, εἶτα στίχος εἰς ἦχον β'. στιχηρόν· (σ. **48**) Ὅτε Ἰωσήφ, καὶ πάλιν στίχος εἰς ἦχον πλ. β'. καὶ στιχηρόν· Οὗτος ὁ Θεὸς ἡμῶν, Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον, στιχηρόν· Σήμερον γεννᾶται ἐκ Παρθένου· τὸν δὲ βαρὺν ἦχον, τὸ Ἐξεπλήττετο ὁ Ἡρῴδης, καταλιμπάνεται διὰ τὸ ψάλλεσθαι αὐτὸ εἰς τὰς κθ'. τοῦ αὐτοῦ μηνὸς τῶν ἁγίων Νηπίων. Ἀπολυτίκιον· Ἀπεγράφετο ποτέ.

Καὶ ταῦτα μὲν ψάλλονται οὕτως, μὴ οὔσης νηστείας, εἰ δὲ ἐστὶ νηστεία, ἤγουν λιτὴ ἡμέρα, πρὸς ὥραν γ'. κρουομένου τοῦ ξύλου, συνα-

γόμεθα καὶ ψάλλομεν αὐτὴν τρίψαλμον ἐνδοθεν τοῦ ναοῦ, ἠλλαγμένου ἱερέως καὶ διακόνου, καὶ κηρῶν ἁπτόντων ἐν ταῖς κατὰ συνήθειαν ἁγίαις εἰκόσι. Μετὰ δὲ τὸ τρίψαλμον, λέγομεν τροπάριον· Ἀπεγράφετο ποτέ, Δόξα καὶ νῦν. Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Ὥρα α΄. Καὶ εὐθὺς ἄρχεται ὁ ἐνόρδινος χορὸς ὁ καὶ ἐναρξάμενος τὸ α΄. τροπάριον ἦχος πλ. δ΄. Βηθλεὲμ ἑτοιμάζου, εἶτα λέγει αὐτὸ καὶ ὁ ἄλλος χορός, καὶ πάλιν ὁ α΄. χορὸς λέγει στίχον. καὶ τὸ β΄. τροπάριον ἦχος ὁ αὐτός· Τάδε λέγει Ἰωσήφ. καὶ πάλιν ὁ ἕτερος χορὸς ὁμοίως στίχον καὶ τὸ αὐτὸ τροπάριον. Εἶτα ὁ ἐναρξάμενος χορὸς πάλιν στίχον ἕτερον εἰς ἦχον πλ. β΄. καὶ τὸ γ΄. τροπάριον· Οὗτος ὁ Θεὸς ἡμῶν, εἶτα στίχον ὁ ἕτερος χορὸς καὶ πάλιν τὸ αὐτὸ τροπάριον. Ἔπειτα ἑνούμενοι ἐν τῷ μέσῳ οἱ δύο χοροί. λέγουσι Δόξα καὶ νῦν. καὶ ψάλλουσιν ὁμοῦ τὸ αὐτὸ γ΄. τροπάριον· Οὗτος ὁ Θεὸς ἡμῶν, καὶ εὐθὺς γίνεται ὑπὸ τοῦ διακόνου, μικρὰ συναπτή, καὶ ἡ παρὰ τοῦ ἱερέως ἐκφώνησις. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον. ἦχος α΄. Κύριος εἶπε πρός με Υἱός μου εἶ σύ. στίχος· Αἴτησαι παρ' ἐμοῦ. Ὁ διάκονος· Σοφία. Καὶ ὁ ἀναγνώστης· Προφητείας Μιχαίου. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης· Καὶ σὺ Βηθλεέμ. Ζήτει τὴς ἑσπέρας Προφητείαν. Εἶτα μετὰ τὸ τέλος τῆς Προφητείας. λέγει ὁ διάκονος· Σοφία. Καὶ ὁ ἀναγνώστης· Πρὸς Ἑβραίους ἐπιστολῆς. Καὶ ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης λέγει τὸν ἀπόστολον· Πολυμερῶς καὶ πολυτρόπως. Ζήτει σαββάτῳ α΄. τῶν νηστειῶν. Καὶ ὁ διάκονος· Σοφία ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον. Ὁ διάκονος· Πρόσχωμεν. Εὐαγγέλιον· Τοῦ Ἰησοῦ Χριστοῦ ἡ γέννησις. Ζήτει ἐωθινὸν τῆς ἑορτῆς. Καὶ μετὰ τὸ τέλος τοῦ εὐαγγελίου, εὐθὺς ἄρχεται ὁ ἄλλος χορός, τὸ δ΄. τροπάριον.

Δεῖ δὲ γινώσκειν. ὅτι οὕτως ὀφείλουσι ψάλλεσθαι καὶ ἀναγινώσκεσθαι εἰς πάσας τὰς ὥρας, καθὼς ἐν τῇ α΄. ὥρᾳ εἰρήκαμεν· τὰ τροπάρια, τὸ προκείμενον, αἱ Προφητεῖαι, οἱ ἀπόστολοι, καὶ τὰ εὐαγγέλια. καὶ ἡ λοιπὴ πᾶσα τάξις. ὡς εἴρηται. (**об.**|

Ὥρα γ΄. Ἰστέον δὲ καὶ τοῦτο. ὅτι εἰς μὲν τὰς προφητείας καθεζόμεθα, εἰς δὲ τοὺς ἀποστόλους ἱστάμεθα. Τροπάριον δ΄. τῆς γ΄. ὥρας ἦχος γ΄. Νῦν προφητικὴ πρόρρησις. Τὸ αὐτὸ καὶ ὁ ἕτερος χορός. Εἶτα στίχον ὁ ἐναρξάμενος χορός. καὶ λέγει τὸ ε΄. τροπάριον ἦχος πλ. δ΄. Πρὸ τῆς γεννήσεως τῆς σῆς. Ὁμοίως καὶ ὁ ἕτερος ὡσαύτως. Καὶ πάλιν ὁ ἕτερος τὸ ς΄. τροπάριον ἦχος γ΄. Ἰωσὴφ εἰπὲ ἡμῖν. Ὁμοίως καὶ ὁ ἕτερος ὡσαύτως. Εἶτα Δόξα καὶ νῦν, καὶ ἑνούμενοι ψάλλουσι τὸ αὐτὸ τροπά-

γόμεθα καὶ ψάλλομεν αὐτὴν τρίψαλμον ἐνδοθεν τοῦ ναοῦ, ἠλλαγμένου ἱερέως καὶ διακόνου, καὶ κηρῶν ἁπτόντων ἐν ταῖς κατὰ συνήθειαν ἁγίαις εἰκόσι. Μετὰ δὲ τὸ τρίψαλμον, λέγομεν τροπάριον· Ἀπεγράφετο ποτέ. Δόξα καὶ νῦν. Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Ὥρα α΄. Καὶ εὐθὺς ἄρχεται ὁ ἐνόρδινος χορὸς ὁ καὶ ἐναρξάμενος τὸ α΄. τροπάριον ἦχος πλ. δ΄. Βηθλεὲμ ἑτοιμάζου, εἶτα λέγει αὐτὸ καὶ ὁ ἄλλος χορός, καὶ πάλιν ὁ α΄. χορὸς λέγει στίχον. καὶ τὸ β΄. τροπάριον ἦχος ὁ αὐτός· Τάδε λέγει Ἰωσήφ, καὶ πάλιν ὁ ἕτερος χορὸς ὁμοίως στίχον καὶ τὸ αὐτὸ τροπάριον. Εἶτα ὁ ἐναρξάμενος χορὸς πάλιν στίχον ἕτερον εἰς ἦχον πλ. β΄. καὶ τὸ γ΄. τροπάριον· Οὗτος ὁ Θεὸς ἡμῶν, εἶτα στίχον ὁ ἕτερος χορὸς καὶ πάλιν τὸ αὐτὸ τροπάριον. Ἔπειτα ἑνούμενοι ἐν τῷ μέσῳ οἱ δύο χοροί. λέγουσι Δόξα καὶ νῦν. καὶ ψάλλουσιν ὁμοῦ τὸ αὐτὸ γ΄. τροπάριον· Οὗτος ὁ Θεὸς ἡμῶν, καὶ εὐθὺς γίνεται ὑπὸ τοῦ διακόνου, μικρὰ συναπτή, καὶ ἡ παρὰ τοῦ ἱερέως ἐκφώνησις. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον. ἦχος α΄. Κύριος εἶπε πρός με Υἱός μου εἶ σύ. στίχος· Αἴτησαι παρ' ἐμοῦ. Ὁ διάκονος· Σοφία. Καὶ ὁ ἀναγνώστης· Προφητείας Μιχαίου. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης· Καὶ σὺ Βηθλεέμ. Ζήτει τὴν ἑσπέρας Προφητείαν. Εἶτα μετὰ τὸ τέλος τῆς Προφητείας, λέγει ὁ διάκονος· Σοφία. Καὶ ὁ ἀναγνώστης· Πρὸς Ἑβραίους ἐπιστολῆς. Καὶ ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης λέγει τὸν ἀπόστολον· Πολυμερῶς καὶ πολυτρόπως. Ζήτει σαββάτῳ α΄. τῶν νηστειῶν. Καὶ ὁ διάκονος· Σοφία ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον. Ὁ διάκονος· Πρόσχωμεν. Εὐαγγέλιον· Τοῦ Ἰησοῦ Χριστοῦ ἡ γέννησις. Ζήτει ἐωθινὸν τῆς ἑορτῆς. Καὶ μετὰ τὸ τέλος τοῦ εὐαγγελίου, εὐθὺς ἄρχεται ὁ ἄλλος χορός, τὸ δ΄. τροπάριον.

Δεῖ δὲ γινώσκειν, ὅτι οὕτως ὀφείλουσι ψάλλεσθαι καὶ ἀναγινώσκεσθαι εἰς πάσας τὰς ὥρας, καθὼς ἐν τῇ α΄. ὥρᾳ εἰρήκαμεν· τὰ τροπάρια, τὸ προκείμενον, αἱ Προφητεῖαι, οἱ ἀπόστολοι, καὶ τὰ εὐαγγέλια, καὶ ἡ λοιπὴ πᾶσα τάξις. ὡς εἴρηται. (**οβ.**]

Ὥρα γ΄. Ἰστέον δὲ καὶ τοῦτο. ὅτι εἰς μὲν τὰς προφητείας καθεζόμεθα, εἰς δὲ τοὺς ἀποστόλους ἱστάμεθα. Τροπάριον δ΄. τῆς γ΄. ὥρας ἦχος γ΄. Νῦν προφητικὴ πρόρρησις. Τὸ αὐτὸ καὶ ὁ ἕτερος χορός. Εἶτα στίχον ὁ ἐναρξάμενος χορός. καὶ λέγει τὸ ε΄. τροπάριον ἦχος πλ. δ΄. Πρὸ τῆς γεννήσεως τῆς σῆς. Ὁμοίως καὶ ὁ ἕτερος ὡσαύτως. Καὶ πάλιν ὁ ἕτερος τὸ ς΄. τροπάριον ἦχος γ΄. Ἰωσὴφ εἶπε ἡμῖν. Ὁμοίως καὶ ὁ ἕτερος ὡσαύτως. Εἶτα Δόξα καὶ νῦν, καὶ ἑνούμενοι ψάλλουσι τὸ αὐτὸ τροπά-

ριὸν· Ἰωσὴφ εἰπὲ ἡμῖν. Καὶ πάλιν γίνεται παρὰ τοῦ διακόνου μικρὰ συναπτή, ὡς ἀνωτέρω εἰρήκαμεν, καὶ εὐθὺς προκείμενον ἦχος δ΄. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, στίχος· Οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, ἔπειτα Προφητεία Ἱερεμίου· Οὗτος ὁ Θεὸς ἡμῶν. Ζήτει τῇ αὐτῇ ἑσπέρᾳ ἀνάγνωσμα ε΄. καὶ ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες παῤῥησίαν. Ζήτει Νοεμβρίου α΄. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος. Ζήτει τῇ αὐτῇ ἑσπέρᾳ.

Ὥρα ς΄. Καὶ πάλιν ἄρχεται ὁ ἐναρξάμενος χορὸς τοῦ ζ΄. τροπαρίου ἦχος α΄. Δεῦτε πιστοὶ ἐπαρθῶμεν· τὸ αὐτὸ καὶ ὁ ἕτερος χορός. Εἶτα στίχον ὁ ἄλλος χορὸς καὶ λέγει τὸ η΄. τροπάριον ἦχος δ΄. Ἄκουε, οὐρανέ· ὁμοίως δὲ καὶ ὁ ἕτερος χορὸς ὡσαύτως. Καὶ πάλιν ὁ α΄. χορὸς στίχον, καὶ τὸ θ΄. τροπάριον, καὶ ὁ ἄλλος χορὸς ὡσαύτως. Εἶτα ἑνούμενοι λέγουσι Δόξα καὶ νῦν, καὶ πάλιν τὸ αὐτὸ θ΄. τροπάριον ἦχος πλ. α΄. Δεῦτε. χριστοφόροι λαοί, καὶ γίνεται πάλιν ἡ μικρὰ συναπτὴ παρὰ τοῦ διακόνου, καὶ ἡ παρὰ τοῦ ἱερέως ὡσαύτως ἐκφώνησις. Καὶ εὐθὺς τὸ προκείμενον ἦχος δ΄. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου, στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Ἡ προφητεία Ἡσαΐου τὸ ἀνάγνωσμα· Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων. Ζήτει τῇ αὐτῇ ἑσπέρᾳ προφητείαν η΄. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας. Ζήτει κυριακῇ β΄· τῶν νηστειῶν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τοῦ Ἰησοῦ γεννηθέντος. Ζήτει τῆς λειτουργίας τῆς ἑορτῆς.

Ὥρα θ΄. Καὶ εὐθὺς πάλιν ἄρχεται ὁ ἕτερος χορὸς τοῦ ι΄. τροπαρίου· Ἐξεπλήττετο ὁ Ἡρῴδης. Τὸ αὐτὸ ὁμοίως καὶ ὁ ἄλλος χορός. Εἶτα στίχον ὁ ἐναρξάμενος χορὸς καὶ λέγει τὸ ια΄. τροπάριον ἦχος β΄. Ὅτε Ἰωσὴφ· ὡσαύτως καὶ ὁ ἕτερος χορός. Καὶ πάλιν στίχον ὁ ἐναρξάμενος καὶ λέγει τὸ ιβ΄. τροπάριον ἦχος πλ. β΄. Σήμερον γεννᾶται ἐκ Παρθένου· εἶτα καὶ ὁ ἄλλος χορός. Καὶ πάλιν ἑνούμενοι οἱ χοροὶ λέγουσι Δόξα καὶ νῦν, καὶ τὸ αὐτὸ τροπάριον, καὶ ἡ μικρὰ συναπτὴ ὁμοίως, καὶ εὐθὺς τὸ προκείμενον ἦχος δ΄. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη, στίχος· Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Προφητεία Ἡσαΐου· Παιδίον ἐγεννήθη. Ζήτει τῇ αὐτῇ ἑσπέρᾳ ἀνάγνωσμα ζ΄. (**π. 49**] Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ζήτει εἰς τὰς κς΄. τοῦ αὐτοῦ μηνός. Εὐαγγέλιον κατὰ Ματθαῖον· Ἀναχωρησάντων τῶν μάγων. Ζήτει τῇ ἐπαύριον μετὰ τὴν ἑορτὴν εἰς τὴν λειτουργίαν. Καὶ μετὰ τὸ τέλος τοῦ εὐαγγελίου γίνεται ἐκτενής, ἐν ᾗ

μνήμονεύομεν τοῦ καθηγουμένου μόνον, ὡς σύνηθες, σὺν πάσῃ τῇ ἀδελφότητι καὶ τῶν προαπελθόντων πατέρων ἡμῶν, καὶ μετὰ τὴν ἐκφώνησιν τοῦ ἱερέως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις· εὐθὺς λέγομεν· Κύριος ὁ Θεὸς εὐλογητός, καὶ τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον με΄. καὶ τὴν συνήθη εὐχήν· Ὁ ἐν παντὶ καιρῷ, καὶ γ΄. προσκυνήσεις καὶ τὴν εὐχὴν τῆς γ΄. ὥρας. Καὶ μετὰ τὸ τέλος εὐθὺς λέγομεν ἐκ γ΄. τὸ Δεῦτε προσκυνήσωμεν καὶ ψάλλομεν τὴν ς΄. ὥραν τρίψαλμον· τὸ τροπάριον· Ἀπεγράφετο, Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, καὶ τὰ λοιπὰ ὁμοίως, εἶτα τὴν ταύτης εὐχὴν καὶ ἀπόλυσις. Τὰ δὲ μεσώρια ψάλλομεν ἐν ταῖς κέλλαις ἡμῶν. Ὁμοίως δὲ καὶ τὴν θ΄. ὥραν ἐν τῷ καιρῷ αὐτῆς.

Μηνὶ τῷ αὐτῷ κε΄. Ἡ ἁγία γέννησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἑσπέρας, σημαίνει ἀρχὴ ὥρας θ΄. Καί, εἰ μὲν ἐστὶ σαββάτου ὀψέ, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, πλὴν οὐδὲν τῆς κυριακῆς ψάλλομεν· εἰ δὲ ἐν ἄλλαις ἡμέραις, εὐθὺς τὸ Κύριε ἐκέκραξα, χωρὶς στιχολογίας, εἰς ἦχον β΄. ἱστῶμεν δὲ στίχους η΄. καὶ ψάλλομεν τὰ δ΄. ἰδιόμελα στιχηρά, ἀνὰ β΄. Δεῦτε ἀγαλλιασώμεθα. Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος. Ἡ βασιλεία σου, Χριστὲ ὁ Θεός. Τί σοι προσενέγκωμεν, Χριστέ. Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον ἰδιόμελον ἕτερον· Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, καὶ γίνεται εἴσοδος μετὰ μεγαλείου, ἤγουν τοῦ εὐαγγελίου· καὶ μετὰ τὴν εἴσοδον, ἡ κάτω καθέδρα. Ἔπειτα τὸ προκείμενον τῆς ἡμέρας, εἶτα τὰ ἀναγνώσματα, καὶ μετὰ τὸ ἀναγνωσθῆναι ἀναγνώσματα γ΄. λέγει εὐθὺς ὁ ψάλτης τροπάριον ἦχος πλ. β΄. Λαθὼν ἐτέχθης ὑπὸ τὸ σπήλαιον. Ψάλλεται δὲ ἐν τῷ μέσῳ μετὰ χειρονομίας. Εἶτα λέγει στίχον ὁ ψάλτης, ψαλμὸς πς΄. Στίχος α΄. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ὁ λαός· Καὶ μάγους σοι προσήνεγκεν. Στίχος β΄. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος (οδ.]. Ὁ λαός· Καὶ μάγους σοι προσήνεγκεν. Στίχος γ΄. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν. Καὶ πάλιν ὁ λαός· Καὶ μάγους σοι προσήνεγκεν. Εἶτα πάλιν ὁ ψάλτης τὸ αὐτὸ τροπάριον· Λαθὼν ἐτέχθης ὑπὸ τὸ σπήλαιον. Καὶ εὐθὺς ἀναγνώσματα ἕτερα γ΄. Καὶ πάλιν μετὰ τὸ τέλος τῶν τριῶν ἀναγνωσμάτων, ψάλλει ἕτερον τροπάριον ἐν τῷ μέσῳ ὁ ψάλτης ἦχος πλ. β΄. Ἀνέτειλας, Χριστέ, ἐκ Παρθένου. Εἶτα λέγει στίχον ὁ ψάλτης· ψαλμὸς ΡΙΒ΄. Στίχος α΄. Ὁ Κύριος ἐβασίλευσεν. Ὁ λαός· Μάγους ὁδηγήσας. Ὁ δὲ ψάλτης τὸν β΄. στίχον· Ἐπῆραν οἱ ποταμοὶ Κύριε. Ὁ λαός· Μάγους ὁδηγήσας. Καὶ πάλιν ὁ ψάλτης τὸν γ΄. στίχον· Θαυμαστοὶ οἱ με-

τεωρισμοὶ τῆς θαλάσσης. Ὁ λαός· Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου. Εἶτα λέγουσι πάντες τὸ αὐτὸ τροπάριον· Ἀνέτειλας, Χριστέ, ἐκ Παρθένου. Ἔπειτα ἀναγνώσματα β΄. τὸ ζ΄. καὶ τὸ η΄. Μετὰ δὲ τὸ τέλος τῶν Προφητειῶν, γίνεται συναπτὴ παρὰ τοῦ διακόνου, ἡ τοῦ Τρισαγίου καὶ ψάλλομεν τὸ Τρισάγιον, καὶ γίνεται ἡ ἄνω καθέδρα τῶν ἱερέων. Καὶ εὐθὺς τὸ προκείμενον τοῦ ἀποστόλου ἦχος α΄. Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ, στίχος α΄. Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι, στίχος β΄. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ, στίχος γ΄. Καὶ νῦν βασιλεῖς σύνετε. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Πολυμερῶς καὶ πολυτρόπως. Ζήτει σαββάτῳ α΄. τῶν νηστειῶν. (π. 50) Ἀλληλούια ἦχος πλ. α΄. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, στίχος β΄. Ῥάβδον δυνάμεως, στίχος γ΄. Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου. Καὶ καθεξῆς ἅπασα ἡ θεία λειτουργία τοῦ ἁγίου Βασιλείου. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Εἰ δὲ τύχῃ ἡ παραμονὴ τῶν Χριστουγέννων ἐν σαββάτῳ, ἢ κυριακῇ, ὡς μὴ γίνεσθαι νηστείαν, πρωῒ μὲν λειτουργοῦμεν τὴν συνήθη λειτουργίαν τοῦ Χρυσοστόμου σὺν πάσῃ τῇ ἀκολουθίᾳ αὐτῆς, ἤγουν προκείμενον ἄμνημον τοῦ ἤχου, ὁμοίως δὲ καὶ ἀλληλούια, ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας, ἤγουν σαββάτῳ πρὸ τῆς Χριστοῦ γεννήσεως, εἴτε κυριακῇ ὡσαύτως· τὸ δὲ ἑσπερινὸν γίνεται, ὡς προλέλεκται, πρὸς ὥραν η΄. Μετὰ δὲ τὴν τῆς πρωΐας λειτουργίαν, οὐκ ἀπερχόμεθα ἐν τῇ τραπέζῃ, κατὰ τὸν τύπον τοῦ Στουδίτου, ἐσθίοντες ὄσπριον ἐκζεστὸν ἄνευ ἐλαίου καὶ ὀπώρας, ἀλλὰ ἐν τῷ νάρθηκι μετὰ τὸ φαγεῖν τὸ κατακλαστὸν καὶ διακλύσασθαι ἀπὸ τῆς ἁγίας δωρεᾶς, διανέμει ὁ κελλαρίτης πᾶσι πρὸς ἓν τεμμάχιον ψωμοῦ, ὁμοίως δὲ καὶ πρὸς ἓν βαυκάλιον οἴνου, ὡς ἂν ὁρίσῃ ὁ προεστὼς καὶ πλεῖον οὐδέν. Πρὸς ὥραν δὲ η΄. ὡς εἴρηται, σημαίνει τὸ ἑσπερινόν, καὶ γίνεται πᾶσα ἡ ἀκολουθία, ὡς εἰρήκαμεν· τά τε στιχηρὰ καὶ ἀναγνώσματα καὶ τὰ λοιπὰ μέχρι τοῦ εὐαγγελίου, πλὴν συναπτὴ εἰς τὸ Τρισάγιον οὐ γίνεται, ἀλλὰ λέγεται χωρὶς συναπτῆς. Μετὰ δὲ τὸ τέλος τοῦ εὐαγγελίου, γίνεται ἐκτενὴς παρὰ τοῦ διακόνου, καὶ ἡ ἐκφώνησις παρὰ τοῦ ἱερέως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, εἶτα ὁ διάκονος· Σοφία, καὶ ἀπόλυσις. Καὶ εὐθὺς παρακράζομεν τὸν προεστῶτα. Λέγομεν καὶ τὸ κοντάκιον, τὸ γὰρ ἀπολυτίκιον ἕως τῶν ἀποδείπνων οὐ λέγομεν. Μετὰ δὲ τὴν ἀπόλυσιν, εἰσερχόμενοι εἰς τὴν τράπεζαν, ἐσθίομεν τέλειον γεῦμα. Μετὰ δὲ τὸ ἀναστῆναι, εὐθὺς ψάλλομεν τὰ ἀπόδειπνα ἀπὸ τοῦ ιʹ. ψάλμοῦ· Ὁ κα-

τοικῶν, ὁμοίως καὶ τὸ τροπάριον τῆς ἑορτῆς καὶ τὰ λοιπὰ μετὰ τοῦ κοντακίου. Εἶτα μικρὸν ἀδειάσαντες ἐν ταῖς κέλλαις, ἀρχόμεθα τῆς ἀγρυπνίας.

Εἰς δὲ τὴν παννυχίδα, λέγομεν κανόνας β'. τὸν προεόρτιον ἦχος πλ. β'. Κύματι θαλάσσης· ὁμοίως δὲ καὶ τὸν ἕτερον τὸν κατὰ ἀλφάβητον, τοὺς β'. ἀνὰ δ'. Ζήτει ἀμφοτέρους εἰς τὰς κδ'. τοῦ αὐτοῦ μηνός. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα ἦχος πλ. δ'. Αὐλῶν ποιμενικῶν, Δόξα καὶ νῦν, θεοτοκίον· Τὸ προσταχθὲν μυστικῶς. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· (οϐ.] Προστασία τῶν χριστιανῶν καὶ τὸν οἶκον. Μετὰ δὲ τὸ τέλος, ἀνάγνωσις ἐν τῷ Πραξαποστόλῳ κατὰ τὴν ἀκολουθίαν αὐτῆς. Εἶτα σημαίνει καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ'. καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν. Αἱ στιχολογίαι, καθίσματα δύο τῆς ἡμέρας. Ἀπὸ α'. στιχολογίας, κάθισμα ἦχος δ'. Ὁ ἀχώρητος παντί, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· Λόγος τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Μυστήριον ξένον καὶ παράδοξον. Ἀπὸ β'. στιχολογίας, ἕτερον κάθισμα ἦχος ὁ αὐτός· Τί θαυμάζεις Μαριάμ, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ αὐτοῦ· Ἃ πάλαι πατριάρχαι μὲν ὠδίνον. Ἔπειτα στιχολογοῦμεν ἕτερον κάθισμα τό· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου εἰς ἦχον πλ. β'. ἀργῶς καὶ μετὰ μειζόνων ἀλληλουϊαρίων, καὶ εὐθὺς ἡ ὑπακοὴ τῆς ἑορτῆς ἦχος πλ. δ'. Τὴν ἀπ' ἀρχὴν τῶν ἐθνῶν. ὁ ψάλτης καὶ ὁ λαὸς μετὰ χειρονομίας, καὶ εὐθὺς ἡ ἀνάγνωσις· λόγος τοῦ Θεολόγου· Χριστὸς γεννᾶται δοξάσατε, εἰς δόσιν μίαν. Εἶτα οἱ ἀναβαθμοὶ ἀντίφωνον ἓν εἰς ἦχον δ'. καὶ τὸ προκείμενον· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τοῦ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. Ζήτει τὸ εὐαγγέλιον τῶν ἁγίων Πατέρων ἀπὸ τὸ μέσον. Εἶτα ὁ Ν'. καὶ οἱ δύο κανόνες Κοσμᾶ καὶ Ἰωάννου· τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἔνθα μὲν ἔχουσιν αἱ ᾠδαὶ ἐκ γ'. τροπαρίων, λέγομεν αὐτὰ ἐκ β'. ἔνθα δὲ ἔχουσιν ἐκ β'. λέγομεν αὐτὰ ἐκ γ'. καὶ πάλιν λέγονται αἱ καταβασίαι· τὸ μὲν Χριστὸς γεννᾶται, ὁ ἐναρξάμενος χορός· τὸ δὲ Ἔσωσε λαόν, παρὰ τοῦ ἑτέρου χοροῦ. Ἄρχεται δὲ τοῦ· Χριστὸς γεννᾶται, ὁ προεστώς, ἤγουν τὸ δεξιὸν μέρος, κἂν τύχῃ θέλει ἐνάρξασθαι τὸ ἕτερον μέρος, κἂν τε καὶ μή. Τὴν δὲ γ'. ᾠδήν, εἰ τύχῃ ταύτην ἐπιλαγχάνειν τῷ ἀριστερῷ μέρει, ἀρχέτω· εἰ δὲ μήγε, ἄρχεται καὶ ταύτην τὸ δεξιόν, διὰ τὸ ἰσάσαι πάλιν τὰς ἐνάρξεις τοῖς χοροῖς κατὰ τὸν τύπον αὐτῶν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος πλ. δ'. Ἀγαλλιάσθω οὐρανός· Δόξα

καὶ νῦν, πάλιν τὸ αὐτό. Ἀνάγνωσις ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον· Τοῦ δὲ Ἰησοῦ γεννηθέντος. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἴκους, εἰ ἔχει ἡ ὥρα κἂν γ΄. εἰ δὲ ἐστὶ ταχύ, ἀναγινώσκομεν καὶ ἕτερον λόγον εἰς τὸ Πανηγυρικὸν τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Τί τοῦτο; σημεῖον ἀντιλεγόμενον ὁρῶ. Ἐξαποστειλάριον· Ἐπεσκέψατο ἡμᾶς. Τὸ δ' αὐτὸ ψάλλομεν καθ' ἑκάστην, ἕως οὗ ἀποδωθῇ ἡ ἑορτή. Εἰς τοὺς αἴνους, ἱστῶμεν η΄. εἰς ἦχον δ΄. ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς δ΄. ἐκ β΄. Εὐφραίνεσθε δίκαιοι. Θεοτόκε Παρθένε. Δεῦτε ἀνυμνήσωμεν. Ὁ Πατὴρ εὐδόκησεν. (л. 51] Δόξα καὶ νῦν ἦχος β΄. Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ. Δοξολογία μεγάλη. Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ἀπόλυσις.

Χρὴ δὲ γινώσκειν, ὅτι ἐὰν φθάσῃ ἡ παροῦσα ἑορτή, ἢ τῶν Φώτων, ἐν ἡμέρᾳ κυριακῇ, οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν, οὔτε Πᾶσα πνοή, οὔτε ἀναβαθμούς, οὔτε ἑωθινὸν εὐαγγέλιον, οὔτε εἰς τὴν λειτουργίαν ὁμοίως, ἀλλὰ πάντα τὰ τῆς ἑορτῆς, καθὼς δεδήλωται, ἑσπέρᾳ τε καὶ ὄρθρῳ καὶ λειτουργίᾳ.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνον α΄. ψαλμὸς ρι΄. Ἐξομολογήσομαί σοι, Κύριε. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, στίχος· Ἐξομολογήσομαί σοι, Κύριε. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. Ταῖς πρεσβείαις. Δόξα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Καὶ νῦν, Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἀντίφωνον β΄. Ψαλμὸς ΡΙΑ΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ. Σῶσον. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. Σῶσον ἡμᾶς. Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱός. Ἀντίφωνον γ΄. Ψαλμὸς ΡΘ΄. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Ἡ γέννησίς σου, Χριστέ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος. Ἡ γέννησίς σου, Χριστέ. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. Ἡ γέννησίς σου, Χριστέ. Εἰς δὲ τὴν εἴσοδον, λέγομεν καὶ ἕτερον· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται. Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν. Δόξα καὶ νῦν, τὸ κοντάκιον. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, χωρὶς συναπτῆς. Προκείμενον ἦχος πλ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, στίχος α΄. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου. (об.] Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου. Ἀλληλούια ἦχος α΄. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τοῦ Ἰησοῦ

γεννηθέντος. Κοινωνικὸν ἦχος βαρύς· Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. Τὸ αὐτὸ λέγεται ἕως οὗ ἀποδωθῇ ἡ ἑορτή.

Μηνὶ τῷ αὐτῷ κς'. τοῦ δικαίου Ἰωσὴφ τοῦ μνήστορος, καὶ τὰ Ἐπιλόγια τῆς Θεοτόκου, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Εὐθυμίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. Εὐφραίνεσθε δίκαιοι. Θεοτόκε Παρθένε. Δεῦτε ἀνυμνήσωμεν, καὶ ἕτερα γ'. τῶν δικαίων εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, Ὁ Πατὴρ εὐδόκησεν. Εἴσοδος. Προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, στίχος α'. Καὶ εἶπα νῦν ἠρξάμην, στίχος β'. Ἐμνήσθην τῶν ἔργων Κυρίου, στίχος γ'. Ἐγνώρισας ἐν τοῖς. Εἰ δὲ εἴη σάββατον, λέγομεν Ὁ Κύριος ἐβασίλευσε· προηγεῖται γὰρ πάντων τῶν προκειμένων. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, ἦχος πλ. δ'. Παράδοξον μυστήριον. Στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Στιχηρὸν ἕτερον· Πῶς ἐξείπω τὸ μέγα μυστήριον. Στίχος· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται. Στιχηρὸν ἄλλο· Ἐν Βηθλεὲμ συνέδραμον ποιμένες. Δόξα καὶ νῦν ἦχος πλ. β'. Σήμερον ἡ ἀόρατος φύσις. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Δεῖ δὲ γινώσκειν, ὅτι τοὺς αὐτοὺς στίχους λέγομεν καὶ ἑσπέρας καὶ πρωὶ ἕως οὗ ἀποδωθῇ ἡ ἑορτή, εἰ μή που τύχῃ συνάντημα μνήμης ἁγίου, οἷον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου· τότε γὰρ, διὰ τὸ λέγειν εἰς τὸν στίχον τοῦ ἑσπερινοῦ ἰδιόμελον τοῦ ἁγίου, οὐ λέγομεν τοὺς στίχους τῆς ἑορτῆς, ἀλλὰ τοὺς συνήθεις. Τὴν δὲ παννυχίδα ἑσπέρας καταλιμπάνομεν.

Εἰ δὲ ἐν σαββάτῳ τύχῃ, στιχολογοῦμεν τό· Μακάριος ἀνήρ, ὡς σύνηθες· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου εἰς δ'. καὶ τὰ προειρημένα προσόμοια τῶν δικαίων, εἰς ἦχον δ'. πρὸς τό· Ὡς γενναῖον, εἰς δ'. Δόξα καὶ νῦν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Δεῦτε ἀνυμνήσωμεν τὴν Μητέρα· Εἴσοδος καὶ τὸ προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ στίχου, (πε 52) καὶ ἕτερα δύο ἰδιόμελα τὰ προειρημένα τῆς ἑορτῆς ἦχος πλ. δ'. Παράδοξον μυστήριον, καὶ ἕτερον· Πῶς ἐξείπω τὸ μέγα μυστήριον, μετὰ τῶν στίχων αὐτῶν. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος β'. Τί σοι προσενέγκωμεν, Χριστέ. Ἀπολυτίκιον· Ἡ γέννησίς σου.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, κανόνες δύο· τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς'. καὶ τῆς ἑορτῆς τὸν α'. ἦχον εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, Δόξα καὶ νῦν τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· ἀπὸ

ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Καὶ μετὰ τὴν ἀπόλυσιν, ἡ ἀνάγνωσις ἐν τῷ Πραξαποστόλῳ.

Εἰς τὸν ὄρθρον, εἰ οὐκ ἔστι κυριακή, ἐγειρόμεθα ὥρα θ'. τὸ Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Ἡ γέννησίς σου, Χριστέ. Οὐ στιχολογοῦμεν δέ, ἀλλ' εὐθὺς τὸν Ν'. καὶ λέγομεν Τῷ Κυρίῳ ἄσωμεν, καὶ ἱστῶμεν ιβ'. Κανόνας γ'. τὸν ἕνα τῆς ἑορτῆς τό· Χριστὸς γεννᾶται, καὶ ἕτερον τῆς Θεοτόκου εἰς ἦχον δ'. ποίημα Γαβριὴλ μοναχοῦ· Ἀνοίξω τὸ στόμα μου· καὶ ἄλλον τοῦ ἁγίου Εὐθυμίου εἰς τὸν αὐτὸν ἦχον τοὺς γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ δικαίου Ἰωσὴφ ἦχος α'. πρὸς τό· Τὸν τάφον σου, Σωτήρ. Πατρὸς ὡς ἀληθῶς. Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον τῆς ἑορτῆς· Ἐν φάτνῃ δι' ἡμᾶς. Ἀνάγνωσις· λόγος τοῦ μεγάλου Βασιλείου εἰς τὴν ἑορτήν, οὗ ἡ ἀρχή· Χριστοῦ γέννησις, εἰς δόσιν μίαν. Ζήτει εἰς τὸ βιβλίον τὸν ἅγιον Βασίλειον λόγος ΛΓ'. Ἀπὸ ς'. τὸ κοντάκιον ἦχος πλ. β'. Ὁ πρὸ ἑωσφόρου. Ἐξαποστειλάριον· Ἐπεσκέψατο ἡμᾶς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. πρὸς τό· Ὡς ὡράθης Χριστέ, πρὸς μίαν, μετὰ τῶν στίχων τῆς ἑορτῆς. Δόξα καὶ νῦν ἦχος πλ. α'. Τοῦ δικαίου Ἰωσὴφ πρὸς τό· Χαίροις. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰ δὲ ἐστὶ κυριακή, εἰς τὸ Θεὸς Κύριος τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα καὶ νῦν τῆς ἑορτῆς. Αἱ στιχολογίαι, τὰ β'. καθίσματα καὶ ὁ πολυέλεος. Εἰ δὲ ἐστὶ ταχύ, καὶ ὁ Ἄμωμος μετὰ τῶν ἀναστασίμων τροπαρίων αὐτοῦ. Καθίσματα ἀναστάσιμα. Εἰς δὲ τὸ τέλος τῶν στιχολογιῶν, ψάλλομεν τὴν ὑπακοὴν τοῦ ἤχου τὴν ἀναστάσιμον· ἀναγινώσκομεν δὲ καὶ ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον, εἴτε, ἐὰν κατελείφθη λόγος, ἐκ τῆς ἑορτῆς. Εἶτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου, ὁμοίως δὲ καὶ τὸ προκείμενον, καὶ τὸ Πᾶσα πνοὴ τοῦ ἤχου, καὶ τὸ ἑωθινὸν ἀναστάσιμον εὐαγγέλιον, τό· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν'. ψαλμός. Καὶ λέγομεν κανόνας γ'. τὸν ἀναστάσιμον εἰς δ'. καὶ τῶν δικαίων εἰς ς'. καὶ τοῦ ἁγίου ἱερομάρτυρος Εὐθυμίου εἰς δ'. (αδ.] Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν δικαίων εἰς ἦχον α'. Τὸ προγραφέν· ὁμοίως δὲ καὶ εἰς τὸ Δόξα καὶ νῦν τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον, καὶ ἡ ἀνάγνωσις τοῦ μεγάλου Βασιλείου ὡσαύτως. Ἀπὸ ς'. τὸ κοντάκιον· Ὁ πρὸ ἑωσφόρου. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ λέγομεν τὰ δ'. ἀναστάσιμα καὶ ἕτερα γ'. τῶν δικαίων μετὰ τοῦ Δόξα ἦχος α'. πρὸς τό· Τῶν οὐρανίων ταγμάτων, καὶ νῦν ἦχος β'. Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ. Ἀπολυτίκιον τὸ ἀναστάσιμον, οἷον τύχῃ.

Εἰς δὲ τὴν λειτουργίαν, εἰ οὐκ ἔστι κυριακή, τὰ ἀντίφωνα τῆς ἑορτῆς. Μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν, τὸ κοντάκιον· Ὁ πρὸ ἑωσφόρου, ὁ Τρισάγιος. Προκείμενον, ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ἀλληλούια ἦχος πλ. δ΄. τὸν β΄. στίχον τοῦ· Ἀνάστηθι, Κύριε. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Ἀναχωρησάντων τῶν μάγων. Κοινωνικόν· Λύτρωσιν ἀπέστειλεν.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, Ὁ πρὸ ἑωσφόρου. Προκείμενον δὲ καὶ Ἀλληλούια ὁμοίως δὲ καὶ εὐαγγέλιον, λέγονται κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν, σὺν τοῖς κονωνικοῖς.

Σαββάτῳ μετὰ τὴν Χριστοῦ γέννησιν, γίνεται ἡ ἀκολουθία πᾶσα κατὰ τὸν γεγραμμένον τύπον τῆς ἡμέρας· οὐδὲ γὰρ σαββάτου τι ψάλλομεν, ἤγουν τῆς Ὀκτωήχου. Εἰς δὲ τὴν λειτουργίαν, προκείμενον καὶ ἀλληλούια ἄμνημον τοῦ ἐνεστῶτος ἤχου τῆς κυριακῆς. Ὁ δὲ ἀπόστολος πρὸς Τιμόθεον α΄. Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην. Ζήτει κυριακῇ λβ΄. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί. Κοινωνικὸν τῆς ἑορτῆς. Εἰ δὲ ἔχει ἡ ἡμέρα οἰκείαν ἀκολουθίαν, εἴτε ἅγιον ἑορτάσιμον, λέγομεν αὐτά· τὰ δὲ ἄμνημα καταλιμπάνομεν, τό τε προκείμενον καὶ τὸ ἀλληλούια, καὶ λέγομεν τοῦ ἁγίου.

Κυριακῇ μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν τελεῖται ἡ μνήμη τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ μνήστορος καὶ Δαβὶδ καὶ Ἰακώβ. Ἑσπέρας, ἡ συνήθης στιχολογία, τό· Μακάριος ἀνήρ· εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ΄. καὶ τῆς ἑορτῆς πρὸς τὸν ἦχον ἕτερα β΄. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, ἀφίομεν τῆς ἑορτῆς καὶ λέγομεν τοῦ ἁγίου τὰ β΄. καὶ τῶν δικαίων εἰς ἦχον δ΄. πρὸς τό· Ὡς γενναῖον, γ΄. Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον τῆς ἑορτῆς· Δεῦτε ἀνυμνήσωμεν. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ στίχου ἅπαξ, καὶ ἕτερα δύο ἰδιόμελα (**л. 53**] τῶν δικαίων ἦχος πλ. β΄. Μνήμην ἐπιτελοῦμεν, καὶ ἄλλο· Ἱερέων μνήμη καὶ βασιλέων, Δόξα καὶ νῦν τῆς ἑορτῆς ἦχος πλ. δ΄. Πῶς ἐξείπω τὸ μέγα μυστήριον. Ἀπολυτίκιον ἦχος β΄. Εὐαγγελίζου Ἰωσήφ. Εἰς τὸ ἀπόδειπνον λέγομεν τὸ ἀναστάσιμον τροπάριον, εἶτα τὸ τῆς ἑορτῆς καὶ τὸ κοντάκιον.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, τὸν α΄. κατανυκτικὸν τοῦ ἤχου κανόνα καὶ ἕνα ἐκ τῶν εἰς τὴν παννυχίδα τῆς ἑορτῆς· τὸν μὲν κατανυκτικόν, εἰς ς΄. τὸν δὲ τῆς ἑορτῆς, εἰς δ΄. τὰ δὲ λοιπὰ, ὡς σύνηθες.

Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β΄. Δόξα καὶ νῦν· Εὐαγγελίζου Ἰωσήφ. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, εἰς τὸ Δόξα, τοῦ ἁγίου, καὶ εἰς τὸ καὶ νῦν, Εὐαγγελίζου Ἰωσήφ. Αἱ στιχολογίαι, καθίσματα β΄. τῆς κυριακῆς καὶ ὁ Πολυέλεος καὶ ὁ Ἄμωμος. Ψάλλομεν δὲ αὐτὸν μετὰ Ἀλληλουιαρίων τοῦ πλ. α΄. ἤχου· λέγομεν δὲ καὶ τὰ προσόμια τροπάρια τὰ ἀναστάσιμα. Ἀναγινώσκομεν δὲ καὶ ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον, καὶ εἰ ἔχει καὶ ὁ κατὰ τὴν ἡμέραν ἅγιος. Καθίσματα ἀναστάσιμα καὶ ἡ ὑπακοὴ τοῦ ἤχου, ἔπειτα οἱ ἀναβαθμοί, τὸ προκείμενον καὶ τὸ Πᾶσα πνοή. Ὁμοίως καὶ τὸ ἀναστάσιμον ἑωθινὸν εὐαγγέλιον, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν΄. Κανόνες γ΄. ὁ α΄. ἀναστάσιμος εἰς ς΄. καὶ τῶν δικαίων εἰς ς΄. εἰς ἦχον δ΄. πρὸς τό· Ἄσομαί σοι, Κύριε, ὁ Θεός μου· καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ΄. Εἰ δὲ ἐστὶ μέγας ἅγιος εἰς ς΄. καὶ τὸν ἀναστάσιμον εἰς δ΄. πρὸς δὲ τὸν ἦχον τοῦ ἀναστασίμου κανόνος πρωτεύει ὁ εἷς τοῦ ἑτέρου. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν δικαίων ἦχος α΄. Δόξα καὶ νῦν τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον, τοῦ δὲ ἁγίου τὸ κάθισμα ψάλλομεν ἀπὸ τῆς γ΄. στιχολογίας, Δόξα καὶ νῦν πρὸς τὸν ἦχον καὶ τῆς ἑορτῆς. Εἰ δὲ ἔχει ὁ ἅγιος κοντάκιον, ψάλλομεν αὐτό, τὸ δὲ κάθισμα ψάλλομεν ἀπὸ τῶν στιχολογιῶν, καταλιμπάνομεν τὰ ἀναστάσιμα. Ἀπὸ δὲ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους κἂν γ΄. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ΄. καὶ ἕτερα β΄. τῶν δικαίων ἦχος α΄. πρὸς τό· Τῶν οὐρανίων. Δόξα ἦχος πλ. δ΄. Αἷμα καὶ πῦρ, καὶ νῦν, Ὑπερευλογημένη. Εἰ δὲ ἔχει καὶ ὁ ἅγιος στιχηρά, ἱστῶμεν η΄· καὶ λέγομεν καὶ ἕτερα δύο τοῦ αὐτοῦ· εἰ δὲ ἔχει ἰδιόμελα, λέγομεν τὰ δ΄. ἀναστάσιμα καὶ γ΄. τῶν δικαίων καὶ τὸ ἰδιόμελον αὐτῶν, τό· Αἷμα καὶ πῦρ, εἰς τὸ Δόξα τὸ ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν Ὑπερευλογημένη. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον τῆς κυριακῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι τοῦ ἤχου. Μετὰ τὴν εἴσοδον, (**οϐ.**] τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Προκείμενον τῶν ἁγίων ἦχος δ΄. Θαυμαστὸς ὁ Θεός, στίχος· Ἐν ἐκκλησίαις. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, γνωρίζω ὑμῖν. Ζήτει κυριακῇ κ΄. Ἀλληλούια ἦχος δ΄. Μνήσθητι, Κύριε, τοῦ Δαβίδ. Στίχος β΄. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν. Εὐαγγέλιον κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν.

Χρὴ δὲ εἰδέναι, ὅτι, ἐὰν τύχωσιν ἀπὸ τῆς Χριστοῦ γεννήσεως μέχρι τῶν Φώτων δύο σαββατοκυριακα, ἀναγινώσκονται ἀμφότερα, καθὼς εἴρηται. Εἰ δὲ τύχῃ ἕν, γίνεται ἀκολουθία τοῦ σαββάτου καὶ τῆς κυριακῆς ἡ πρὸ τῶν Φώτων, καὶ ἀναγινώσκεται τὸ κατὰ Μάρκον εὐαγγέλιον. Κοινωνικὸν δὲ τῆς κυριακῆς μετὰ τὴν Χριστοῦ γέννησιν· Αἰνεῖτε καὶ Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ κζ'. τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου. Χρὴ δὲ γινώσκειν, ὅτι τὸ δωδεκαήμερον ὅλον, ἐκτὸς σαββάτου ἑσπέρας, ἐν τοῖς λυχνικοῖς οὐ στιχολογοῦμεν, καὶ ἐν τῷ ὄρθρῳ δὲ ἓν κάθισμα μόνον λέγομεν. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου εἰς ἦχον δ'. γ'. ἐκ β'. πρὸς τό· Ὡς γενναῖον, Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον τῆς ἑορτῆς· Ὁ Πατὴρ εὐδόκησε. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἦχος β'. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ β'. Ἄστρον ἐξ Ἰακώβ. Πόλις ἡ τοῦ Δαβίδ· καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος δ'. Στέφανος, ἡ καλὴ ἀπαρχὴ τῶν μαρτύρων, Δόξα καὶ νῦν, Θεοτόκε Παρθένε, ἡ τεκοῦσα. Ἀπολυτίκιον, ἦχος δ'. Βασίλειον διάδημα ἐστέφθη σὴ κορυφή.

Εἰς τὴν παννυχίδα, λέγομεν κανόνα τῆς ἑορτῆς Γεωργίου ἦχος α'. πρὸς τό· Ὠδὴν ἐπινίκιον. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν· ἀπό ς'. τὸ κοντάκιον τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ'. τροπάριον τῆς ἑορτῆς β'. Δόξα καὶ νῦν τὸ τοῦ ἁγίου. Ἡ στιχολογία, κάθισμα ἕν, κάθισμα τῆς ἑορτῆς πρὸς τὸν ἐνεστῶτα ἦχον, εἰ ἔχει· εἰ δ' οὖν, οἷον ἂν εἴη. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· Ἐγκώμιον τοῦ Νύσσης εἰς τὸν πρωτομάρτυρα, οὗ ἡ ἀρχή· Ὡς καλὴ τῶν ἀγαθῶν ἡ ἀκολουθία. Ζήτει εἰς τὸ Πανηγυρικόν, ἔπειτα ὁ Ν'. καὶ ψάλλομεν κανόνας β'. τῆς ἑορτῆς (σ. 54) τὸν ἰαμβικόν, τὸ Ἔσωσε λαόν, εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος πλ. α'. Ἰωάννου μοναχοῦ· λέγομεν γὰρ καὶ Τῷ Κυρίῳ ᾄσωμεν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ'. πρὸς τό· Κατεπλάγη Ἰωσήφ, Δόξα καὶ νῦν, τὸ αὐτὸ θεοτοκίον, τὸ Κατεπλάγη· Ἀνάγνωσις ἐκ τοῦ δηλωθέντος λόγου, γίνεται γὰρ εἰς δόσεις δύο. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἁγίου πρὸς τό· Ἡ Παρθένος σήμερον, καὶ οἶκον ἕνα, καὶ δύο τῆς ἑορτῆς, καὶ ἕσχατον ἄρχεται ὁ ψάλτης τό· Ἡ παρθένος σήμερον, καὶ τελειοῦται παρὰ τοῦ λαοῦ. Ἐξαποστειλάριον, τῆς ἑορτῆς ὁμοίως καὶ τοῦ ἁγίου· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ β'. τῆς ἑορτῆς ἦχος πλ. β'. πρὸς τό· Αἱ ἀγγελικαί. Ἰδὼν Ἰωσήφ. Νίκην κατ' ἐχθρῶν. Καὶ

ἰδιόμελον τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον· Πρῶτος ἐν μάρτυσι. Δόξα καὶ νῦν, τῆς ἑορτῆς· Χορεύουσιν ἄγγελοι πάντες ἐν οὐρανῷ. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ ς΄. ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ κοντάκιον τοῦ ἁγίου. Ὁ Τρισάγιος. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, Στέφανος πλήρης. Ζήτει τῇ β΄. τῆς γ΄. ἑβδομάδος τοῦ Πάσχα. Ἀλληλούια ἦχος α΄. Ἐξομολογήσονται. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης. Κοινωνικὸν τῆς ἑορτῆς, καὶ τοῦ ἁγίου· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ κη΄. τῶν ἁγίων δισμυρίων, καὶ τοῦ ἁγίου Θεοδώρου τοῦ Γραπτοῦ. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ δύο τῶν μαρτύρων, δευτεροῦντες τὸ α΄. εἰς ἦχον α΄. καὶ ἕτερα γ΄. τοῦ Γραπτοῦ εἰς ἦχον δ΄. πρὸς τό· Ὡς γενναῖον, Δόξα καὶ νῦν τῆς ἑορτῆς· Εὐφραίνεσθε δίκαιοι, καὶ τὸ προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ γ΄. τῆς ἑορτῆς πρὸς τό· Οἶκος τοῦ Ἐφραθά. Λόγος ὁ τοῦ Πατρός. Δῶρα, ὡς βασιλεῖ. Σκίρτησαν, ὦ Δαβίδ. Δόξα καὶ νῦν ἰδιόμελον· Ἡ βασιλεία σου, Χριστὲ ὁ Θεός. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, οὐδέν· ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου ἓν ἐκ τῶν συνήθων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ΄. Ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα τῆς ἑορτῆς. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀναγινώσκομεν δὲ καὶ τὸν βίον τοῦ ἁγίου Θεοδώρου, οὗ ἡ ἀρχή· Τῶν ὑπὲρ Χριστοῦ τὴν ἄθλησιν ἑλομένων. Ἀναγινώσκομεν δὲ καὶ τὸ μαρτύριον τῶν ἁγίων δισμυρίων, οὗ ἡ ἀρχή· Ἄρτι Μαξιμιανοῦ, δεύτερον ἔτος ἄγοντος. (οϐ.] Εἶτα ὁ Ν΄. Κανόνες γ΄. τῆς ἑορτῆς τό· Χριστὸς γεννᾶται, καὶ τῶν ἁγίων εἰς τὸν αὐτὸν ἦχον, καὶ τοῦ ὁσίου εἰς ἦχον δ΄. Θεοφάνους, τοὺς γ΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ὁσίου, Δόξα καὶ νῦν τῆς ἑορτῆς πρὸς τὸ αὐτὸ κάθισμα· Τόκον ἄσπορον κατανοοῦσα. Ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους γ΄. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς εἰς ἦχον πλ. β΄. πρὸς τό· Αἱ ἀγγελικαί. Τέτοκε χαράν. Αὐλῶν ποιμενικῶν. Ποῖος τοὺς βροτῶν. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. ἰδιόμελον τῆς ἑορτῆς· Παράδοξον μυστήριον. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικά, τοῦ κανόνος τῆς ἑορτῆς ἡ ε'. καὶ ἡ ς'. ᾠδὴ μετὰ τοῦ ἑνὸς εἱρμοῦ· Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν. Τὸ τροπάριον καὶ τὸ κοντάκιον, ὁμοίως καὶ τὸ προκείμενον καὶ ἀλληλούια καὶ κοινωνικὸν τῆς ἑορτῆς. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κθ'. τῶν ἁγίων Νηπίων, καὶ τοῦ ὁσίου Μαρκέλλου, καὶ μνήμη τῶν ἐγκαινίων τῆς ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῶν ἐγκαινίων εἰς ἦχον πλ. β'. γ'. τὰ μὲν β'. τὰ πρῶτα ἐκ γ'. τὸ δὲ ἓν β'. Εἰσὶ δὲ ταῦτα· Ἐγκαίνια τιμᾶσθαι. Ἐγκαινίζεσθε, ἀδελφοί. Τὴν μνήμην τῶν ἐγκαινίων. Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον, τῆς ἑορτῆς. Ὅτε καιρὸς τῆς ἐπὶ γῆς παρουσίας σου. Εἴσοδος, τό· Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ ἀναγνώσματα τῶν ἐγκαινίων γ'. τὸ α'. Βασιλειῶν· Ἔστη Σολομὼν· τὸ β'. Παροιμιῶν· Ὁ Θεὸς τῇ σοφίᾳ· τὸ γ'. Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον. Εἰς τὸν στίχον, στιχηρὰ τῶν ἁγίων Νηπίων ἦχος πλ. δ'. πρὸς τό· Ὦ τοῦ παραδόξου θαύματος γ'. Δόξα καὶ νῦν ἦχος βαρύς· Ἐξεπλήττετο ὁ Ἡρώδης. Ἀπολυτίκιον· Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεός.

Εἰς δὲ τὴν παννυχίδα τῆς ἀγρυπνίας, κανόνα τὸν κατανυκτικὸν τῆς Ὀκτωήχου τῆς ἡμέρας εἰς ς'. καὶ τῶν ἐγκαινίων εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τὸ κατανυκτικόν, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Ἀνάγνωσις, ἡ κατὰ ἀκολουθίαν τοῦ ἀποστόλου.

Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος δ'. τὸ τροπάριον τῆς ἑορτῆς ἐκ β'. Δόξα καὶ νῦν τὸ τῶν ἐγκαινίων εἰς τὸν αὐτὸν ἦχον· Τὰ πέρατα ἐφώτισε τῇ παρουσίᾳ Χριστός, τὸν κόσμον ἀνεκαίνισε Πνεύματι θείῳ αὐτοῦ, ψυχαὶ ἐγκαινίζονται· οἶκος γὰρ ἀνετέθη νῦν εἰς δόξαν Κυρίου· ἔνθα καὶ ἐγκαινίζει τῶν πιστῶν τὰς καρδίας Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς σωτηρίαν βροτῶν. Αἱ στιχολογίαι, κάθισμα γ'. εἰς τὴν ἀκολουθίαν τοῦ Ψαλτῆρος κατὰ ἀποβολήν, καθίσματα δὲ τῆς ἑορτῆς, εἶτα τὸν Πολυέλεον, ἤ, ἀντ' αὐτοῦ, (π. 55] χωρίζει ὁ ἐκκλησιάρχης ψαλμοὺς διαφόρους, ἁρμόζοντας εἰς ἐγκαίνια, καὶ στιχολογοῦμεν αὐτοὺς μετὰ καὶ τρανωτέρων ἀλληλουιαρίων. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου Μαρκέλλου, οὗ ἡ ἀρχή· Ἔννοιά μοι πολλάκις γέγονε. Ἀπὸ δὲ τοῦ Πολυελέου λέγομεν κάθισμα ἦχος πλ. δ'. τῶν ἐγκαινίων πρὸς τό· Τὸ προσταχθέν· Τοῦ μαρτυρίου τὴν σκηνήν, Δόξα καὶ νῦν τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Ἀγαλλιάσθω οὐρανός. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου τῶν Ἐγκαινίων,

οὗ ἡ ἀρχή· Ἐγκαίνια τιμᾶσθαι, παλαιὸς νόμος· ἔπειτα οἱ ἀναβαθμοὶ ἦχος δ΄. Ἀντίφωνον ἓν. Προκείμενον ἦχος δ΄. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου, ἅγιος ὁ ναός σου θαυμαστὸς ἐν δικαιοσύνῃ, στίχος· Σοὶ πρέπει ὕμνος, ὁ Θεὸς, ἐν Σιών. Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο τὰ ἐγκαίνια. Ζήτει τῇ παρασκευῇ τῆς ε΄. ἑβδομάδος τοῦ Πάσχα ἀπὸ τὸ μέσον. Ὁ Ν΄. καὶ εὐθὺς Τῷ Κυρίῳ ᾄσωμεν, καὶ οἱ κανόνες, τῆς ἑορτῆς τό· Ἔσωσε λαόν, εἰς δ΄. καὶ τῶν ἁγίων Νηπίων σὺν τῷ ὁσίῳ εἰς ς΄. ἦχος πλ. β΄. πρὸς τό· Ὡς ἐν ἠπείρῳ. καὶ τῶν ἐγκαινίων εἰς τὸν αὐτὸν ἦχον εἰς ς΄. ἱστῶμεν γὰρ στίχους ις΄. μετὰ τοῦ Δόξα καὶ νῦν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων Νηπίων ἦχος δ΄. πρὸς τό· Ἐπεφάνης σήμερον. Τῷ τεχθέντι σήμερον, Δόξα καὶ νῦν, Τὸν λόγον τοῦ Πατρός. Ἀνάγνωσις· λόγος τοῦ Νύσσης εἰς τὰ ἅγια Νήπια, οὗ ἡ ἀρχή· Σαλπίσατε ἐν νεομηνίᾳ. Ζήτει εἰς τὸ Παννηγυρικόν, εἰς στάσεις δύο, ἢ εἰς μίαν πρὸς τὴν ὥραν. Ἀπὸ ς΄. τὸ κοντάκιον τῶν ἐγκαινίων ἦχος δ΄. Ὡς τοῦ ἄνω στερεώματος, ἢ προσόμοιον πρὸς τό· Ἐπεφάνης σήμερον. Οὐρανὸς κατάστερος. Ζήτει Σεπτεμβρίου ιγ΄. εἰς τὸ Κοντακάριον. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τὰ Νήπια. ἐν τῷ Παννηγυρικῷ. Ἐξαποστειλάριον τῆς ἑορτῆς· Ἐπεσκέψατο, καὶ τῶν ἐγκαινίων πρὸς τό· Ἐν πνεύματι τῷ ἱερῷ. Ζήτει ἐν τῷ Τροπολογίῳ. Εἰς τοὺς αἴνους ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τῶν Ἐγκαινίων, δύο πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ τῶν ἁγίων Νηπίων γ΄. πρὸς τό· Ὡς γενναῖον, καὶ τοῦ ὁσίου προσόμοια εἰς τὸν αὐτὸν ἦχον δύο. Ζήτει ταῦτα ἐν τῷ Τροπολογίῳ. Τὸν δὲ ἔσχατον στίχον, λέγοντες εἰς ἦχον α΄. ἐνούμεθα καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα ἦχος α΄. τῶν ἐγκαινίων· Πάλαι μὲν ἐγκαινίζων, ἅπαξ· εἰς τὸ Δόξα καὶ νῦν ἦχος γ΄. ἰδιόμελον· Πρὸς ἑαυτὸν ἐπανάγου, ἄνθρωπε. Δοξολογία μεγάλη. Ἀπολυτίκιον τῆς ἑορτῆς· Ἡ γέννησίς σου.

Εἰ δὲ τύχῃ τὴν μνήμην τῶν ἐγκαινίων λαχεῖν ἐν κυριακῇ, τῇ μετὰ τὴν Χριστοῦ γέννησιν, τῷ σαββάτῳ ἑσπέρας, στιχολογοῦμεν τό· Μακάριος ἀνήρ· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ γ΄. ἀναστάσιμα τοῦ ἤχου, ἐφ' ἅπαξ, εἶτα τῶν ἐγκαινίων· Ἐγκαίνια τιμᾶσθαι, β΄. Ἐγκαινίζεσθε ἀδελφοί, β΄. Τὴν μνήμην τῶν ἐγκαινίων, ἅπαξ. Δόξα καὶ νῦν τὸ α΄. (οϐ.] δογματικὸν τοῦ ἤχου. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου ἅπαξ, εἶτα στιχηρὰ ἦχος πλ. β΄. ἰδιόμελον τῆς κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν· Μνήμην ἐπιτελοῦμεν. Ἄλλο· Ἱερέων μνήμη καὶ βασιλέων· Δόξα καὶ νῦν ἦχος βαρύς· Ἐξε-

πλήττετο ὁ Ἡρώδης. Ἀπολυτίκιον, τῆς μετὰ τὴν Χριστοῦ Γέννησιν κυριακῆς· Εὐαγγελίζου Ἰωσήφ. Τὴν δὲ παννυχίδα, ὡς εἴρηται.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος πρὸς τὸν ἦχον, τροπάριον τὸ ἀναστάσιμον β'. Δόξα καὶ νῦν τῶν ἐγκαινίων. Αἱ στιχολογίαι. Αἱ ἀναγνώσεις, ὡς εἴρηται. Ἀναβαθμοὶ δέ, καὶ προκείμενον, καὶ Πᾶσα πνοή, καὶ εὐαγγέλιον ἑωθινόν, πάντα τοῦ ἤχου τὰ ἀναστάσιμα. Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν'. Καὶ ἱστῶμεν ς'. καὶ ψάλλομεν κανόνας, τὸν ἀναστάσιμον εἰς δ'. εἶτα τῶν ἐγκαινίων εἰς δ'. ἔπειτα τῆς μετὰ τὴν Χριστοῦ Γέννησιν κυριακῆς, εἰς δ'. καὶ τῶν ἁγίων Νηπίων σὺν τῷ ὁσίῳ εἰς δ'. δύο μὲν τροπάρια τῶν ἁγίων Νηπίων, καὶ ἓν τοῦ ὁσίου καὶ θεοτοκίον. Καθίσματα καὶ τὸ κοντάκιον καὶ αἱ ἀναγνώσεις, ὡς εἴρηται. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, εἶτα τῶν ἐγκαινίων τὰ δύο. Εἰς τοὺς αἴνους ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ δύο τῶν Ἐγκαινίων ἐκ τῶν εἰρημένων εἰς ἦχον δ'. καὶ δύο ἁγίων Νηπίων, Δόξα ἦχος γ'. ἰδιόμελον τῶν ἐγκαινίων· Πρὸς ἑαυτὸν ἐπανάγου, καὶ νῦν Ὑπερευλογημένη. Ἀπολυτίκιον τῆς κυριακῆς.

Δεῖ δὲ γινώσκειν, ὅτι, οὕτως ἐπιτελοῦμεν τὰ ἐγκαίνια τοῦ ναοῦ. Πρὸς ὥραν δὲ δ'. σημαίνει τὴν λειτουργίαν καὶ, συνηγμένων τῶν ἱερέων ἅμα τῷ λαῷ ἐν τῷ εὐκτηρίῳ τῶν ἁγίων ἀποστόλων, ἀρχόμεθα ἐκεῖ τῆς θείας λειτουργίας· ἡ δὲ μεγάλη ἐκκλησία θυμιᾶται, ἅμα τὸ σημᾶναι, συχνῶς πρὸς τὸ γεμισθῆναι ταύτην καπνοῦ. Ψάλλονται δὲ ἐκεῖ τυπικὰ καὶ, ἀντὶ μακαρισμῶν, ᾠδὴ τοῦ κανόνος τῶν ἐγκαινίων ἡ γ'. πρὸς τό· Εὐφραίνεται. Ἠγίασας ἐπὶ γῆς. Μετὰ δὲ τὸ τέλος τῶν μακαρισμῶν, εὐθὺς ἀρχόμεθα τοῦ τροπαρίου ἦχος βαρύς· Δόξα σοι, Χριστὲ ὁ Θεός· καὶ αἴροντες τὸν Σταυρὸν καὶ εὐαγγέλιον μετὰ καὶ τῶν κηρῶν τῆς εἰσόδου, ἐξερχόμεθα ἀπ' ἐκεῖ πάντες, ψάλλοντες τὸ αὐτὸ τροπάριον ἐκ γ'. Εἶτα στίχον· Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις, καὶ ἕτερον τροπάριον ἦχος βαρύς· Ἅγιοι μάρτυρες, οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες. Εἶτα πάλιν τό· Δόξα σοι, Χριστὲ ὁ Θεός, καὶ ὁ στίχος οὗτος· Ἀγαλλιᾶσθε δίκαιοι. Ἅγιοι μάρτυρες, οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες. Οὕτως ψάλλομεν ἕως περικυκλεύσουσι τὴν ἐκκλησίαν. Ἅμα δὲ τῷ φθάσαι τὴν λιτὴν εἰς τὸ ἐξωνάρθηκον, λέγομεν Δόξα καὶ νῦν ἦχος β'. καὶ τροπάριον θ'. Ἀδιόδευτε πύλη. Ἱσταμένων δὲ πάντων ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, μετὰ τὴν συμπλήρωσιν τοῦ θεοτοκίου, ἀπάρχονται [π. 56] οἱ ψάλλοντες, τό· Ἄρατε πύλας. Ἱστάμενοι δὲ καὶ ἕτεροι ἔσωθεν, ἀντιψάλλουσι καὶ αὐτοί· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. Εἶτα οἱ ἔξω· Ἄρατε πύλας. Καὶ πάλιν οἱ

ἔσω· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. Ἔπειτα ἐκ γ΄. οἱ ἔξω· Ἄρατε πύλας. Καὶ οἱ ἔσω· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. Τούτων δὲ λεγομένων, λέγουσι τὴν εὐχὴν τῆς εἰσόδου οἱ ἱερεῖς, τότε λέγουσιν οἱ ἔξω· Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεύς. Καὶ τούτου λεγομένου, εὐθέως ἀνοίγονται αἱ πύλαι, καὶ εἰσέρχονται οἱ ἱερεῖς εἰσοδεύοντες· εἰσοδευόντων δὲ τῶν ἱερέων, λέγει ὁ λαὸς Δόξα καὶ νῦν, καὶ τὸ κοντάκιον· Ὡς τοῦ ἄνω στερεώματος. Εἰς τοὺς ἰδίους τόπους εὐτάκτως παραγενομένων πάντων. Εἶτα γίνεται συναπτὴ τοῦ Τρισαγίου ὑπὸ τοῦ διακόνου, καὶ εὐθὺς τὸ Τρισάγιον. Προκείμενον ἦχος δ΄. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, στίχος· Ὁ Κύριος ἐβασίλευσεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, κλήσεως ἐπουρανίου. Ἀλληλούια ἦχος δ΄. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σίων, στίχος β΄. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. Εὐαγγέλιον ζήτει Ἰουνίου κθ΄. τῶν ἁγίων ἀποστόλων κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Καὶ τελεῖται ἅπασα ἡ θεία λειτουργία. Κοινωνικὸν ἦχος α΄. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, πάντα μὲν καθὼς εἴρηται, πλὴν λέγομεν συνημμένως καὶ ἀπόστολον καὶ εὐαγγέλιον τῆς κυριακῆς, ἅτινα καὶ προηγοῦνται, ἔπειτα τῶν ἐγκαινίων πάντα, ὡς εἴρηται. Καὶ κοινωνικόν· Αἰνεῖτε καὶ τῶν ἐγκαινίων.

Μηνὶ τῷ αὐτῷ λ΄. Μεθέορτα καὶ τῆς ἁγίας μάρτυρος Ἀνυσίας, καὶ τῆς ὁσίας Μελάνης· ψάλλομεν γὰρ καὶ ταύτην ἀφ' ἑσπέρας διὰ τὸ εἰς τὴν λα΄. ἀποδίδοσθαι τὴν ἑορτήν. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς δύο εἰς ἦχον γ΄. πρὸς τό· Μεγάλα τοῦ Σταυροῦ σου. Μεγάλα τοῦ τεχθέντος. Καὶ ἕτερον· Μεγάλα τῆς οἰκονομίας σου. Ζήτει ταῦτα ἐν τῷ Τροπολογίῳ, καὶ β΄. τῆς ἁγίας Ἀνυσίας εἰς ἦχον δ΄. πρὸς τό· Ὡς γενναῖον, καὶ ἕτερα β΄. τῆς ὁσίας Μελάνης ἦχος ὁ αὐτὸς πρὸς τό· Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Σπηλαίῳ παρώκησας. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος πλ. α΄. πρὸς τό· Χαίροις, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Μάγοι, Περσῶν βασιλεῖς. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον (ὀδ.]

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ΄. Ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶν νῦν, τὸ αὐτό.

Κανόνες γ'. τῆς ἑορτῆς· Χριστὸς γεννᾶται, καὶ τῆς μάρτυρος ἦχος δ'. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον· καὶ τῆς ὁσίας εἰς τὸν αὐτὸν ἦχον τοῦ αὐτοῦ· Ἀνοίξω τὸ στόμα μου, οἱ γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ὁσίας ἦχος δ'. πρὸς τό· Ταχὺ προκατάλαβε, Δόξα καὶ νῦν τῆς ἑορτῆς πρὸς αὐτό· Εὐθέως εὐφραίνεται. Ἀνάγνωσις· ὁ βίος τῆς ὁσίας, οὗ ἡ ἀρχή· Ἦν ἄρα καὶ τοῦτο τῆς μεγίστης. Καὶ ἀπὸ τῆς στιχολογίας δὲ ἐξ αὐτοῦ. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἶκους γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ γ'. τῆς ἑορτῆς ἦχος πλ. δ'. πρὸς τό· Κύριε, εἰ καὶ κριτηρίῳ, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος πλ. α'. Ἀκατάληπτον τὸ τελούμενον. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῶν παννυχίδων ἡ ς'. Τὸν προφήτην Ἰωνᾶν. Ὁ ἐν κόλποις τοῦ Πατρός. Τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Τρισάγιον. Προκείμενον ἦχος α'. Κύριος εἶπε πρός με· Υἱός μού. Στίχος· Αἴτησαι παρ' ἐμοῦ. Ἀλληλούια, ἦχος πλ. α'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς· Λύτρωσιν ἀπέστειλεν.

Μηνὶ τῷ αὐτῷ λα'. Ἐν ταύτῃ ἀποδίδομεν τὴν ἑορτήν, τὴν δὲ ἁγίαν Μελάνην ἐψάλλομεν τῇ λ'. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν ἰδιόμελα τῆς ἑορτῆς ἦχος β'. Δεῦτε ἀγαλλιασώμεθα. Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος. Ἡ βασιλεία σου, Χριστὲ ὁ Θεός, τὰ γ'. ἐκ β'. Δόξα καὶ νῦν, Τί σοι προσενέγκωμεν, Χριστέ. Προκείμενον Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα ἦχος πλ. δ'. Παράδοξον μυστήριον. Στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Πῶς ἐξείπω τὸ μέγα μυστήριον. Στίχος β'. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου. Ἐν Βηθλεὲμ συνέδραμον ποιμένες. Δόξα καὶ νῦν, Σήμερον ἡ ἀόρατος φύσις. Ἀπολυτίκιον· Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὴν παννυχίδα, τὸν κανόνα τῆς ἑορτῆς ἦχος α'. Ὠδὴν ἐπινίκιον. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς. Ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα τῆς ἑορτῆς ἦχος δ'. πρὸς τό· Κατεπλάγη Ἰωσήφ. Ὁ ἀχώρητος παντί, Δόξα καὶ νῦν ὅμοιον· Τί θαυμάζεις Μαριάμ. Ἀνάγνωσις· Λόγος τοῦ Χρυσοστόμου εἰς τὴν ἑορτήν, οὗ ἡ ἀρχή· Ἃ πάλαι πατριάρχαι μὲν ὤδινον, εἰς δόσεις δύο. Κανόνες ψάλλομεν τῆς ἑορτῆς τοὺς δύο ἀνὰ ς'. καὶ ἔσχατον τὰς καταβασίας, πρὸς μίαν, οἱ χοροί· πλὴν οὐ λέγομεν πρῶτον τό· Χριστὸς γεννᾶται· τὴν

καταβασίαν, ὡς ἐν τῇ ἑορτῇ, ἀλλὰ τοῦ πληρουμένου κανόνος, ἤγουν τοῦ Ἔσωσε λαόν. Ὁ δὲ δεύτερος χορὸς, τό· Χριστὸς γεννᾶται, λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος πλ. δ΄. Ἀγαλλιάσθω οὐρανός, ἐν τῷ Τροπολογίῳ, (π. 57] ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν, κάθισμα ἕτερον εἰς τὸν αὐτὸν ἦχον, πρὸς τό· Ἀνέστης ἐκ νεκρῶν. Παράδοξον πιστοί. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἴκους τοὺς γ΄. τοὺς ἐν τῷ τέλει. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἦχος δ΄. ἰδιόμελον· Εὐφραίνεσθε, δίκαιοι. Στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Θεοτόκε Παρθένε. Στίχος· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου. Δεῦτε ἀνυμνήσωμεν. πρὸς μίαν. Δόξα καὶ νῦν. Ὁ Πατὴρ εὐδόκησεν. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰ δὲ τύχῃ ἀποδίδοσθαι τὴν ἑορτὴν εἰς ἡμέραν κυριακήν, ψάλλομεν καὶ τὰ ἀναστάσιμα πάντα· τὴν γὰρ κυρίαν καὶ μόνην ἡμέραν τῶν Χριστουγέννων οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος ἡ ε΄. Θεὸς ὢν εἰρήνης, ἧς καὶ ἀρχόμεθα· λέγομεν δὲ καὶ ταύτης τροπάρια, ὁμοίως καὶ τὰ β΄. τροπάρια τῆς ς΄. ᾠδῆς, τὸν γὰρ εἱρμὸν αὐτῆς οὐ λέγομεν· τὰ δὲ λοιπὰ πάντα τῆς ἑορτῆς. Τὸ τροπάριον μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν, τὸ κοντάκιον, προκείμενον, ἀπόστολος, Ἀλληλούια, εὐαγγέλιον καὶ κοινωνικὸν τῆς ἑορτῆς.

Σαββάτῳ πρὸ τῶν Φώτων. Ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες. Ζήτει σαββάτῳ λδ΄. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης ὁ Βαπτιστής.

Κυριακῇ πρὸ τῶν Φώτων. Προκείμενον τοῦ ἤχου ἄμωμον. Ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, νῆφε ἐν πᾶσι. Ἀλληλούια ἦχος πλ. δ΄. Ὁ Θεός, οἰκτειρήσαι ἡμᾶς. Εὐαγγέλιον κατὰ Μάρκον· Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ.

Καὶ ἕτερον σάββατον πρὸ τῶν Φώτων. Εἰ τύχῃ γενέσθαι τὰ Φῶτα ἐν κυριακῇ, ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι. Ζήτει τῇ παρασκευῇ τῆς ς΄. ἑβδομάδος ἀπὸ τοῦ Πάσχα.

Δεῖ εἰδέναι, ὅτι, εἰ μέν εἰσι δύο κυριακαὶ μεταξὺ τῶν Χριστουγέννων καὶ τῶν Φώτων, ἀναγινώσκεται τῇ α΄. κυριακῇ· Ἀναχωρησάντων τῶν μάγων· τῇ δὲ β΄. κυριακῇ· Ἀρχὴ τοῦ εὐαγγελίου. Εἰ δὲ ἓν σάββατον καὶ μία κυριακή, ἀναγινώσκεται, τὸ μὲν σάββατον, σαββάτῳ μετὰ τὴν τοῦ Χριστοῦ Γέννησιν, τῇ δὲ κυριακῇ, πρὸ τῶν Φώτων. (οδ.]

Μὴν Ἰανουάριος.

Μηνὶ Ἰανουαρίῳ α'. Ἡ Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. (οβ.] καὶ ψάλλομεν στιχηρὰ τῆς Περιτομῆς εἰς ἦχον δ'. γ'. καὶ τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον γ'. πρὸς τό· Ὁ ἐξ Ὑψίστου κληθείς, Δόξα καὶ νῦν, θεοτοκίον. Εἴσοδος, προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τοῦ ἁγίου ἦχος γ'. Χριστὸν εἰσοικισάμενος. Ἕτερον· Μῦρον ἐκκενωθέν. Ἄλλο· Τὴν ἱερατικὴν στολήν. Δόξα καὶ νῦν ἦχος πλ. δ'. ἰδιόμελον· Συγκαταβαίνων ὁ Σωτήρ. Ἀπολυτίκιον, ἦχος α'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου.

Εἰς τὴν παννυχίδα, κανὼν τοῦ ἁγίου. Ζήτει εἰς τὸ τέλος τῆς Ὀκτωήχου. Ἀπὸ γ'. οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ.

Εἰς τὸν ὄρθρον, ἐγειρόμεθα ἀρχὴ ὥρας ζ'. Θεὸς Κύριος ἦχος α'. τὸ τροπάριον τοῦ ἁγίου β'. καὶ θεοτοκίον· Συλλαβοῦσα ἀφλέκτως. Ἡ στιχολογία, κάθισμα ἕν, κάθισμα τῆς ἑορτῆς ἦχος α'. Ὁ πάντων ποιητής, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· τὰ θαύματα τοῦ ἁγίου, συγγραφέντα παρὰ Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου, ὧν ἡ ἀρχή· Ἀγαπητοί, οὐκ ἦν ἀπεικός, εἰς δόσεις δύο. Ὁ Ν'. καὶ κανόνα ἕνα εἰς ἦχον β'. Θεοφάνους· Δεῦτε λαοί. Λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν, ἱστῶντες ιδ'. καὶ λέγομεν τὸν εἱρμὸν ἅπαξ, τὰ δὲ τροπάρια τῆς ἑορτῆς τὰ β'. ἀνὰ γ'. ἤγουν εἰς ς'. τὰ δὲ λοιπὰ τροπάρια τοῦ ἁγίου εἰς η'. ἔσχατον δὲ λέγομεν τὰς καταβασίας τῶν Φώτων· τὸ Βυθοῦ ἀνεκάλυψε, καὶ Στείβει θαλάσσης, πρὸς μίαν οἱ χοροί. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. Τῆς ἀῤῥήτου σοφίας, καὶ θεοτοκίον, καὶ ἡ β'. ἀνάγνωσις. Ἀπὸ ς'. τὸ κοντάκιον· Ὤφθης βάσις ἄσειστος. Ἀνάγνωσις· λόγος εἰς τὴν Περιτομὴν καὶ εἰς τὸν μέγαν Βασίλειον, οὗ ἡ ἀρχή· Σκιὰν μὲν τῶν μελλόντων ἀγαθῶν. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. α'. πρὸς τό· Χαίροις, Δόξα καὶ νῦν, θεοτοκίον ὅμοιον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς ἦχος πλ. δ'. Οὐκ ἐπαισχύνθη ὁ πανάγαθος, δευτεροῦντες αὐτό, καὶ ἕτερα στιχηρὰ ἰδιόμελα τοῦ ἁγίου ἦχος πλ. β'. Ἐξεχύθη ἡ χάρις, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος ἡ γ'. Μετὰ τὴν εἴσοδον, τροπάριον τὸ τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Προ-

κείμενον ἦχος α'. Τὸ στόμα μου λαλήσει σοφίαν, στίχος· Ἀκούσατε ταῦτα. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, βλέπετε μή τις ὑμᾶς. Ἀλληλούια ἦχος πλ. δ'. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. Ὁ ὁδηγῶν, ὡσεὶ πρόβατα, τὸν Ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ. Στίχος β'. Ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου. Εὐαγγέλιον κατὰ (л. 58] Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ὑπέστρεψαν οἱ ποιμένες. Κοινωνικόν· Εἰς μνημόσυνον. Τελεῖται δὲ πᾶσα ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, τῷ σαββάτῳ ἑσπέρας ἡ στιχολογία, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ'. καὶ δύο τῆς Περιτομῆς ἦχος δ'. καὶ γ'. τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον τὰ προειρημένα, Δόξα καὶ νῦν, θεοτοκίον δογματικὸν τοῦ ἤχου. Εἴσοδος. Προκείμενον. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ στίχου ἅπαξ, καὶ β'. ἰδιόμελα τοῦ ἁγίου ἦχος γ'. Χριστὸν εἰσοικισάμενος. Ἕτερον· Μῦρον ἐκκενωθέν. Δόξα καὶ νῦν ἦχος πλ. δ'. τὸ ἰδιόμελον τῆς ἑορτῆς· Συγκαταβαίνων ὁ Σωτήρ. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν παννυχίδα, κανόνα τὸν α'. τοῦ ἤχου τῆς παννυχίδος εἰς ς'. καὶ τοῦ ἁγίου τὸν προειρημένον εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικόν, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου, ἡ ἀνάγνωσις, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον τοῦ ἤχου β'. Δόξα, τὸ τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι καὶ καθίσματα ἀναστάσιμα. Ἀναγνώσεις. αἱ εἰρημέναι, καὶ ὁ Ἐπιτάφιος τοῦ ἁγίου εἰς τὸν Θεολόγον, εἰς δόσεις δ'. Οἱ ἀναβαθμοὶ καὶ τὸ Πᾶσα πνοὴ τοῦ ἤχου. Εὐαγγέλιον, τὸ ἑωθινόν. Κανόνες β'. τὸν ἀναστάσιμον εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δέκα. δευτεροῦντες τὰ τροπάρια τῆς ἑορτῆς, ἔσχατον δὲ λέγομεν καὶ τὰς καταβασίας τῶν Φώτων. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου· ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, καὶ τό· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ δ'. τοῦ ἁγίου ἦχος πλ. α'. πρὸς τό· Χαίροις, Δόξα ἦχος πλ. δ'. ἰδιόμελον· Οὐκ ἐπαισχύνθη ὁ πανάγαθος Θεός, καὶ νῦν· Ὑπερευλογημένη. Ἀπολυτίκιον τὸ ἐπιλαγχάνον τῆς κυριακῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι τοῦ ἤχου. Μετὰ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντά-

κιον τοῦ ἁγίου. Προκείμενον καὶ ἀλληλούια τοῦ αὐτοῦ. Ἀπόστολος δὲ καὶ εὐαγγέλιόν, ἀμφότερα, τῆς τε κυριακῆς καὶ τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον, καὶ Εἰς μνημόσυνον, καὶ ἡ λειτουργία τοῦ μεγάλου Βασιλείου.

Δεῖ δὲ εἰδέναι, ὅτι, εἰ οὐ τύχῃ ἐν κυριακῇ ἡ μνήμη αὐτοῦ· ἀναγινώσκεται ὁ Ἐπιτάφιος τῇ κυριακῇ, τῇ μετὰ τὴν μνήμην αὐτοῦ, εἰ μὴ τύχῃ ἡ παραμονὴ τῶν Φώτων, ἢ αὐτὴ ἡ ἡμέρα τῆς ἑορτῆς τῶν Φώτων.

Μηνὶ τῷ αὐτῷ β'. Προεόρτια τῶν Φώτων, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Σιλβέστρου, πάπα Ῥώμης. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. (οβ.] καὶ ψάλλομεν στιχηρὰ προεόρτια γ'. εἰς ἦχον δ'. πρὸς τό· Ὡς γενναῖον, καὶ γ'. τοῦ ὁσίου εἰς ἦχον πλ. δ'. πρὸς τό· Ὦ τοῦ παραδόξου θαύματος, Δόξα καὶ νῦν, ἰδιόμελον προεόρτιον ἦχος α'. Λαμπρὰ μὲν ἡ παρελθοῦσα ἑορτή. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ προεόρτια ἦχος β'. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ, γ'. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος β'. Πάλιν Ἰησοῦς. Ἀπολυτίκιον ἦχος δ'. Ἑτοιμάζου Ζαβουλών. Τὸ αὐτὸ καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου καὶ εἰς τὸ Θεὸς Κύριος καθ' ἑκάστην μέχρι τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν προεόρτιος ἦχος α'. Ὠδὴν ἐπινίκιον, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν· ἀπὸ ς'. κάθισμα ἦχος πλ. α'. Ὁ συνάναρχος λόγος, χωρὶς τοῦ Δόξα καὶ νῦν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ προεόρτιον τροπάριον ἐκ γ'. Ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα τῆς ἑορτῆς ἦχος δ'. Πτωχεύσας ὁ πλούσιος, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Εὐσεβίου τοῦ Παμφίλου. Κανόνες β'. τῆς ἑορτῆς ἦχος β'. Τῷ τὴν ἄβατον εἰς η'. Ἰωσήφ· καὶ τοῦ ἁγίου ἦχος πλ. δ'. Ἡ κεκομμένη, τοῦ αὐτοῦ εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα προεόρτιον ἦχος πλ. α'. Προεόρτιον ὕμνον, Δόξα καὶ νῦν, Ὁ συνάναρχος λόγος. Ἐξαποστειλάριον· Ἅγιος Κύριος εἰς τὸν ἑνεστῶτα ἦχον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια ἦχος πλ. β'. πρὸς τό· Αἱ ἀγγελικαὶ γ'. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἑτοιμάζου, Ἰορδάνη ποταμέ. Ἀπολυτίκιον, τὸ προεόρτιον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ προεορτίου κανόνος ἡ θ'. Προκείμενον τοῦ ἁγίου ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ὁ ἀπόστολος, ζήτει προεόρτια τῶν Φώτων. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον ζήτει προεόρτια τῶν

Φώτων, ἐν τῇ αὐτῇ ἡμέρᾳ, ὁμοίως καὶ τὸν ἀπόστολον ἐν τῷ Ἀποστόλῳ. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ γ'. Προεόρτια, καὶ τοῦ ἁγίου Γορδίου, καὶ τοῦ ἁγίου προφήτου Μαλαχίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ προεόρτια β'. εἰς ἦχον δ'. πρὸς τό· Ἔδωκας σημείωσιν, καὶ ἕτερα β'. τοῦ προφήτου εἰς ἦχον πλ. δ'. πρὸς τό· Κύριε, εἰ καὶ κριτηρίῳ, καὶ δύο τοῦ μάρτυρος εἰς τὸν αὐτὸν ἦχον πρὸς τό· Ὦ τοῦ παραδόξου θαύματος, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἰωάννῃ Βαπτιστά. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ προεόρτια ἦχος πλ. β'. πρὸς τό· Τριήμερος ἀνέστης, γ'. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Φαιδρότερος ἡλίου γέγονεν. Ἀπολυτίκιον, τὸ προεόρτιον.

Εἰς τὴν παννυχίδα, κανὼν προεόρτιος ἦχος β'. πρὸς τό· Ἐν βυθῷ κατέστρωσε, εἰς ς'. Τοῦ φωτὸς ἀκτῖνας ὁ Χριστός. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν· ἀπὸ ς'. κάθισμα ἦχος α'. Προέρχεσθαι Χριστός, χωρὶς τοῦ Δόξα καὶ νῦν. (л. **59**]

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ προεόρτιον τροπάριον ἐκ γ'. Ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα προεόρτιον ἦχος α'. Φορέσας τὴν ἐμὴν, Ἰησοῦ μου, πτωχείαν, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· Ἐγκώμιον τοῦ ἁγίου Βασιλείου εἰς Γόρδιον μάρτυρα. Ζήτει εἰς τὰ Ἠθικὰ τοῦ αὐτοῦ. Κανόνες γ'. τὸν προεόρτιον ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου, Ἰωσήφ· καὶ τοῦ προφήτου ἦχος πλ. δ'. Ἡ κεκομμένη, Θεοφάνους· καὶ τοῦ μάρτυρος εἰς τὸν αὐτὸν ἦχον· Ἄσωμεν τῷ Κυρίῳ· Θεοφάνους, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ προφήτου ἦχος πλ. δ'. Δόξα καὶ νῦν θεοτοκίον· ἀπὸ ς'. κάθισμα τοῦ μάρτυρος ἦχος δ'. καὶ θεοτοκίον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια ἦχος πλ. β'. γ'. πρὸς τό· Αἱ ἀγγελικαί, Δόξα καὶ νῦν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἔρχεται πρὸς τὸν Ἰορδάνην. Ἀπολυτίκιον, τὸ προεόρτιον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ προεορτίου κανόνος ἡ γ'. τροπάριον τὸ αὐτό. Προκείμενον τοῦ μάρτυρος ἦχος δ'. Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς. Ζήτει κυριακῇ ια'. Ἀλληλούια ἦχος δ'. Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει. Εὐαγγέλιον προεόρτιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν Ἰωάννης ὁ βαπτιστής. Ζήτει ἐν τοῖς εὐαγγελίοις τῶν ἑορτῶν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ δ'. Προεόρτια, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ προεόρτια γ'. ἦχος πλ. δ'. πρὸς τό· Οἱ μάρτυρές σου, Κύριε, καὶ γ'. τοῦ ὁσίου ἦχος β'. πρὸς τό· Ὅτε ἐκ τοῦ ξύλου σε, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος γ'. Φαιδρὰ μὲν ἡ παρελθοῦσα ἑορτή. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ προεόρτια γ'. ἦχος πλ. β'. πρὸς τό· Αἱ ἀγγελικαί, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος γ'. Δεῦτε ἅπαντες πιστοί. Ἀπολυτίκιον, τὸ προεόρτιον.

Εἰς τὴν παννυχίδα, κανὼν προεόρτιος ἦχος β'. Θεοφάνους· Την Μωσέως ᾠδήν. Εὐφραινέσθω ἡ γῆ, εἰς ς'. Ἀπὸ ς'. κάθισμα ἦχος πλ. δ'. Ὁ μέγας Βαπτιστής, χωρὶς καὶ τοῦ Δόξα καὶ νῦν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ προεόρτιον τροπάριον ἐκ γ'. Μετὰ τὴν στιχολογίαν, κάθισμα προεόρτιον ἦχος γ'. Ὁ ἀπερίγραπτος, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον· λόγος Ι'. καὶ ΙΑ'. Κανόνες δύο· τὸν προεόρτιον ἦχος β'. εἰς η'. Ἰωσήφ, πρὸς τό· Ἄτριπτον, ἀσυνήθη, καὶ τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον εἰς δ'. Ἰγνατίου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου, ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα προεόρτιον ἦχος πλ. δ'. Ὁ μέγας Βαπτιστής, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια ἦχος πλ. β'. πρὸς τό· Αἱ ἀγγελικαί, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἀγαλλιάσθω ἡ ἔρημος. Ἀπολυτίκιον τὸ προεόρτιον. (οϐ.]

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος ἡ δ'. Τροπάριον τὸ προεόρτιον. Προκείμενον ἦχος πλ. β'. Σῶσον, Κύριε, τὸν λαόν σου, στίχος· Πρὸς σέ, Κύριε, κεκράξομαι. Ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. Ζήτει Δεκεμβρίου δ'. Ἀλληλούια ἦχος πλ. β'. Ὁ κατοικῶν ἐν βοηθείᾳ. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱερουσαλήμ. Ζήτει τῇ β'. τῆς Διακαινησίμου. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Μηνὶ τῷ αὐτῷ ε'. Προεόρτια τῶν Φώτων. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'.] καὶ ψάλλομεν στιχηρὰ προεόρτια ἰδιόμελα ἦχος] πλ. β'. Ἑτοιμάζου, Ἰορδάνη. Ἔρχεται πρὸς τὸν Ἰορδάνην. Φαιδρότερος ἡλίου. Τὰ γ'. ἐκ β'. Δόξα καὶ νῦν ἕτερον ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Τὸν ἐκ Παρθένου ἥλιον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ γ'. ἦχος β'. πρὸς τό· Οἶκος τοῦ Ἐφραθᾶ. Εὐτρεπίζου καὶ σύ. Ἔρχεται ὁ Χριστός. Ἴδε ὁ βασιλεύς. Δόξα καὶ νῦν ἦχος πλ. α'. Ἐν Ἰορδάνῃ ποταμῷ.

Εἰ δὲ ἐν σαββάτῳ τύχῃ ἡ παραμονὴ αὕτη, τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ προειρημένα δ'. προεόρτια στιχηρὰ εἰς ἦχον πλ. β'. δευτεροῦντες τὸ ἓν· λέγομεν δὲ καὶ ἐκ τῶν τροπαρίων ἓν εἰς τὸν αὐτὸν ἦχον· Σήμερον ἡ ψαλμικὴ προφητεία, Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Τάδε λέγει Κύριος πρὸς Ἰωάννην. Εἰς δὲ τὸν στίχον, πάλιν ἐκ τῶν τροπαρίων ἦχος πλ. δ'. Ὡς ἄνθρωπος ἐν ποταμῷ. Στίχος· Ἐξαπέστειλεν ἐξ ὕψους, ἦχος ὁ αὐτός· Πρὸς τὴν φωνὴν τοῦ βοῶντος. Στίχος· Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε. Ἡ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ. Δόξα καὶ νῦν ἦχος δ'. Ἡ Τριὰς, ὁ Θεὸς ἡμῶν.

Εἰς τὴν παννυχίδα, τὸν προεόρτιον κανόνα τοῦ Μηναίου εἰς δ'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας, Γεωργίου. Ἀπὸ γ'. οὐδέν· ἀπὸ ς'. κάθισμα προεόρτιον ἦχος πλ. α'. Ὁ συνάναρχος λόγος.

Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ προεόρτιον τροπάριον. Μετὰ τὴν στιχολογίαν, κάθισμα προεόρτιον ἦχος πλ. α'. πρὸς τό· Τὸν συνάναρχον λόγον, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ ἁγίου Βασιλείου, οὗ ἡ ἀρχή· Ὁ μὲν σοφὸς Σολομών. Κανόνες β'. προεόρτιος, ἀνὰ ς'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, κατὰ ἀλφάβητον, καὶ ὁ ἕτερος ἦχος α'. πρὸς τό· Χριστὸς γεννᾶται. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα προεόρτιον ἦχος πλ. δ'. Πανήγυριν φαιδράν, Δόξα καὶ νῦν, τὸ αὐτό, ἀπὸ ς'. ἕτερον κάθισμα προεόρτιον ἦχος γ'. πρὸς τό· Τὴν ὡραιότητα. Ὁ ἀπερίγραπτος. Ζήτει αὐτὸ εἰς τὴν δ'. τοῦ μηνός. Δόξα καὶ νῦν τὸ αὐτό. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ προεόρτια ἦχος πλ. β'. γ'. πρὸς τό· Αἱ ἀγγελικαί, Δόξα καὶ νῦν ἦχος β'. Σήμερον ὁ οὐρανοῦ καὶ γῆς ποιητής.

Εἰ δὲ ἐν σαββάτῳ, ψάλλομεν ἐκ τῶν τροπαρίων ἦχος πλ. α'. Ἐρχόμενος μετὰ σαρκός. Στίχος· Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου. (π. 60] Τί ἀναχαιτίζεις σου τὰ ὕδατα. Στίχος· Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ. Τὴν χεῖρά σου τὴν ἁψαμένην. Δόξα, ἦχος β'. Ὅτε πρὸς αὐτὸν ἐρχόμενον ὁ Πρόδρομος. Καὶ νῦν, ἦχος πλ. δ'. Σήμερον τῶν ὑδάτων ἁγιάζεται· τὸν δὲ βαρὺν ἦχον καταλιμπάνομεν.

Εἰ δὲ ἐν κυριακῇ τύχῃ αὕτη ἡ παραμονή, στιχολογοῦμεν τό· Μακάριος ἀνήρ, σαββάτῳ ἑσπέρας, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ λέγομεν τὰ γ'. ἀναστάσιμα στιχηρά, πρὸς μίαν, ἔπειτα τὰ προειρημένα προεόρτια ἰδιόμελα στιχηρὰ εἰς ἦχον πλ. β'. Ἑτοιμάζου, Ἰορδάνη ποταμέ. Ἔρχεται πρὸς τὸν Ἰορδάνην. Φαιδρότερος ἡλίου γέγονεν. Τὸν

ἐκ Παρθένου ἥλιον. Καὶ ἓν ἐκ τῶν τροπαρίων εἰς τὸν αὐτὸν ἦχον· Σήμερον ἡ ψαλμικὴ προφητεία. Δόξα, ἦχος πλ. δ'. Τάδε λέγει Κύριος πρὸς Ἰωάννην. Καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον, θεοτοκίον δογματικόν. Ἀπὸ τοῦ προκειμένου, τὸ ἀναστάσιμον στιχηρὸν τοῦ ἤχου ἅπαξ, εἶτα στίχος· Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, ἦχος πλ. δ'. τροπάριον· Ὡς ἄνθρωπος ἐν ποταμῷ. Δόξα, ἦχος ὁ αὐτός· Σήμερον τῶν ὑδάτων ἁγιάζεται. Καὶ νῦν, ἦχος δ'. Ἡ Τριάς, ὁ Θεὸς ἡμῶν. Ἀπολυτίκιον, τὸ προεόρτιον.

Εἰς τὴν παννυχίδα, κανόνες β'. τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς'. καὶ τὸν προεόρτιον εἰς δ'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ, Γεωργίου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα καὶ νῦν, Ἑτοιμάζου Ζαβουλών. Αἱ στιχολογίαι, καθίσματα δύο, καὶ ὁ πολυέλεος. Καθίσματα ἀναστάσιμα. Αἱ ἀναγνώσεις ἀπὸ τοῦ προκειμένου βιβλίου. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν εὐαγγέλιον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι· καὶ ὁ Ν'. Κανόνες γ'. τὸν ἀναστάσιμον εἰς ς'. καὶ τοὺς δύο προερτίους, τὸν πλ. β'. καὶ τὸν α'. Ὡς ἐν ἠπείρῳ, καὶ Χριστὸς γεννᾶται, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα ἦχος πλ. δ'. Πανήγυριν φαιδράν, Δόξα καὶ νῦν θεοτοκίον, καὶ ἡ ἀνάγνωσις· λόγος τοῦ Βασιλείου· Ὁ μὲν σοφὸς Σολομών· ἀπὸ ς'. ἕτερον κάθισμα ἦχος γ'. Ὁ ἀπερίγραπτος, Δόξα καὶ νῦν θεοτοκίον.

Εἰ δέ ἐστιν ἑορταζόμενος ἅγιος, καταλιμπάνομεν τὸν ἕνα προεόρτιον κανόνα καὶ λέγομεν τὸν ἀναστάσιμον εἰς δ'. καὶ τὸν προεόρτιον εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. καὶ ἀπὸ γ'. τὸ κάθισμα τοῦ ἁγίου, καὶ ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ ἐκ τῶν τροπαρίων ἕτερα ε'. τὰ γ'. ἦχος πλ. α'. Ἐρχόμενος μετὰ σαρκός. Τί ἀναχαιτίζεις. Τὴν χεῖρά σου τὴν ἁψαμένην. Καὶ ἕτερον ἦχος πλ. δ'. Ἡ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ. Δόξα, ἦχος β'. Ὅτε πρὸς αὐτὸν ἐρχόμενον. Καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον τοῦ ἤχου. Ἡ δὲ λειτουργία γίνεται εἰς τὴν ὥραν αὐτῆς, (**οδ.**] κἂν τε σαββάτῳ ᾖ, κἂν τε κυριακῇ, καὶ γίνεται ἡ ἀκολουθία τοῦ σαββάτου, ἢ τῆς κυριακῆς πρὸ τῶν Φώτων, καὶ ζήτει ὄπισθεν τό τε σάββατον καὶ τὴν κυριακὴν πρὸ τῶν Φώτων καὶ εὑρήσεις τὴν ἀκολουθίαν αὐτῶν.

Εἰ δὲ τύχῃ νηστείαν γίνεσθαι ἐν τῇ παραμονῇ, πρὸς ὥραν γ'. σημαινομένου τοῦ συνακτηρίου τὴν γ'. ὥραν, καὶ συνερχόμενοι, ψάλλομεν αὐτὴν τρίψαλμον, εἶτα τὸ τροπάριον· Ἑτοιμάζου Ζαβουλών, Δόξα καὶ νῦν,

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Ὥρα α΄. Καὶ εὐθὺς ἄρχεται ὁ ἐνόρδινος χορὸς τὰ τροπάρια· τὸ α΄. ἦχος πλ. δ΄. Σήμερον τῶν ὑδάτων ἁγιάζεται ἡ φύσις. Εἶτα λέγει καὶ αὐτὸ ὁ ἄλλος χορός. Καὶ πάλιν ὁ ἐναρξάμενος χορὸς λέγει στίχον καὶ τὸ β΄. τροπάριον, ἦχος πλ. δ΄. Ὡς ἄνθρωπος ἐν ποταμῷ. Καὶ ὁ ἄλλος χορὸς ἕτερον στίχον καὶ τὸ αὐτὸ τροπάριον. Εἶτα πάλιν ὁ ἐναρξάμενος χορὸς ἕτερον στίχον καὶ λέγει τὸ γ΄. τροπάριον, ἦχος ὁ αὐτός· Πρὸς τὴν φωνὴν τοῦ βοῶντος. Καὶ ὁ ἄλλος χορὸς στίχον καὶ τὸ αὐτὸ τροπάριον. Εἶτα ἑνούμενοι οἱ χοροὶ ἐν τῷ μέσῳ, λέγουσι Δόξα καὶ νῦν, καὶ πάλιν λέγουσι τὸ αὐτὸ τρίτον τροπάριον, ὥστε λέγειν τὰ μὲν β΄. ἀνὰ β΄. τὸ δὲ γ΄. τρεῖς μετὰ τοῦ Δόξα καὶ νῦν. Οὕτως ψάλλομεν πάντα τὰ τροπάρια εἰς πάσας τὰς ὥρας αὐτῶν. Τοῦ δὲ ἱερέως ἠλλαγμένου ὄντος μετὰ καὶ διακόνου καὶ τῶν κηρῶν ἐν ταῖς ἁγίαις εἰκόσιν ἁπτόντων, γίνεται παρὰ τοῦ διακόνου μικρὰ συναπτή, ἢ παρὰ τοῦ ἱερέως, εἰ μὴ εἴη διάκονος, καὶ ἐκφωνεῖ· Ὅτι πρέπει σοι. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης· Προκείμενον ἦχος δ΄. Ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Ὕψιστος, στίχος α΄. Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης· Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἀναγνώστης· Τάδε λέγει Κύριος· εὐφράνθητι ἔρημος. Ζήτει τὴν α΄. προφητείαν τοῦ ἁγιασμοῦ. Εἶτα πάλιν ὁ διάκονος· Σοφία, καὶ ὁ ἀναγνώστης· Πράξεων τῶν ἀποστόλων, ὁ διάκονος· Πρόσχωμεν, ὁ ἀναγνώστης· Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης. Ζήτει τῆς ἀποτομῆς τοῦ Προδρόμου. Εἶτα ὁ διάκονος· Σοφία, ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι, καὶ εὐθὺς ὁ αὐτός· Ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης. Ζήτει σαββάτῳ πρὸ τῶν Φώτων. Οὕτως ποιοῦμεν εἰς πάσας τὰς ὥρας, μετὰ τὴν πλήρωσιν τῶν γ΄. τροπαρίων μιᾶς ἑκάστης αὐτῶν. Ὥρα γ΄. Μετὰ δὲ τὸ τέλος τοῦ εὐαγγελίου, εὐθὺς ἄρχεται ὁ ἄλλος χορὸς τοῦ δ΄. τροπαρίου ἦχος πλ. δ΄. Ἡ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, τὸ δ΄. αὐτὸ [л. 61] καὶ ὁ ἄλλος χορός, καὶ πάλιν ὁ ἐναρξάμενος χορός, στίχον καὶ τὸ ε΄. τροπάριον, ἦχος δ΄. Ἡ Τριάς, ὁ Θεὸς ἡμῶν. Ὁμοίως καὶ ὁ ἕτερος χορὸς στίχον καὶ τὸ αὐτὸ τροπάριον, καὶ πάλιν ὁ ἐναρξάμενος λέγει στίχον καὶ τὸ ς΄. τροπάριον ἦχος πλ. α΄. Ἐρχόμενος μετὰ σαρκός· καὶ ὁ ἕτερος χορὸς στίχον καὶ τὸ αὐτὸ τροπάριον, εἶτα Δόξα καὶ νῦν, καὶ, ἑνούμενοι ἀμφότεροι οἱ χοροί, ψάλλουσι τὸ τροπάριον, καὶ πάλιν ἡ μικρὰ συναπτὴ καὶ τὰ λοιπά, ὡς εἴρηται ἀνωτέρω. Προκείμενον ἦχος δ΄. Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἰδο-

σάν σε ὕδατα, στίχος· Φωνῇ μου πρὸς Κύριον. Προφητείας Ἡσαΐου· Τάδε λέγει Κύριος· λούσασθε, καὶ καθαροὶ γίνεσθε. Ζήτει ἀνάγνωσμα ζ'. τῆς ἑσπέρας. Εἶτα ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι. Ζήτει τῇ ἐπαύριον τῆς Ἀναληψίμου. Εὐαγγέλιον κατὰ Μάρκον· Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ. Ζήτει κυριακῇ πρὸ τῶν Φώτων. Ἔπειτα πάλιν ὁ προεναρξάμενος χορός, τροπάριον τὸ ζ'. ἦχος πλ. δ'. Τάδε λέγει Κύριος πρὸς Ἰωάννην. Τὸ αὐτὸ καὶ ὁ ἄλλος χορός. Εἶτα ὁ ἐναρξάμενος στίχον, καὶ λέγει τὸ η'. τροπάριον ἦχος πλ. β'. Σήμερον ἡ ψαλμικὴ προφητεία. Εἶτα καὶ ὁ ἄλλος χορὸς στίχον, καὶ πάλιν τὸ αὐτό, καὶ πάλιν ὁ ἐναρξάμενος στίχον ἕτερον, καὶ τὸ θ'. τροπάριον ἦχος πλ. α'. Τί ἀναχαιτίζεις σου τὰ ὕδατα· καὶ ὁ ἄλλος χορὸς στίχον, καὶ τὸ αὐτὸ τροπάριον, εἶτα Δόξα καὶ νῦν, καὶ πάλιν ἑνούμενοι, λέγουσι τὸ αὐτό, καὶ εὐθὺς ἡ μικρὰ συναπτὴ καὶ ἡ ἐκφώνησις. Προκείμενον ἦχος δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, στίχος· Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Προφητείας Ἡσαΐου· Τάδε λέγει Κύριος· ἀντλήσατε ὕδωρ. Ζήτει τὸ γ'. ἀνάγνωσμα τοῦ ἁγιασμοῦ. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, νῆφε ἐν πᾶσι. Ζήτει κυριακῇ πρὸ τῶν Φώτων. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ. Ζήτει τὸ ἑωθινὸν τῆς ἑορτῆς. Ὥρα θ'. Καὶ εὐθὺς πάλιν ἄρχεται ὁ ἄλλος χορὸς τροπάριον τὸ ι'. ἦχος βαρύς· Θάμβος ἦν κατιδεῖν, τὸ αὐτὸ καὶ ὁ ἕτερος χορός· εἶτα στίχον καὶ τὸ ια'. τροπάριον, ἦχος β'. Ὅτε πρὸς αὐτὸν ἐρχόμενον, καὶ πάλιν ἕτερον στίχον, καὶ τὸ αὐτὸ τροπάριον, καὶ ὁ ἐναρξάμενος πάλιν στίχον, καὶ τὸ ιβ'. τροπάριον, ἦχος πλ. α'. Την χεῖρά σου τὴν ἁψαμένην, καὶ ὁ ἄλλος χορὸς στίχον καὶ τὸ αὐτὸ τροπάριον· ἔσχατον δὲ, ἑνούμενοι πάλιν οἱ χοροί, λέγουσι Δόξα καὶ νῦν καὶ ψάλλομεν τὸ αὐτὸ τροπάριον, ἔπειτα ἡ μικρὰ συναπτὴ καὶ εὐθὺς προκείμενον ἦχος δ'. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, στίχος· Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. Προφητείας Ἡσαΐου· Τάδε λέγει Κύριος· οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. Ζήτει τὸ β'. (οδ.] ἀνάγνωσμα τοῦ ἁγιασμοῦ. Ὁ ἀπόστολος πρὸς Τίτον· Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις. Ζήτει εἰς τὴν λειτουργίαν τῆς ἑορτῆς. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ἔτει πεντεκαιδεκάτῳ. Ζήτει εἰς τὴν λειτουργίαν τῇ αὐτῇ ἑσπέρᾳ. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, εὐθὺς γίνεται ἐκτενής, καὶ μετὰ τὴν ἐκτενῆ, ἡ παρὰ τοῦ ἱερέως ἐκφώνησις· Ὅτι ἐλεήμων, ἔπειτα· Κύριος ὁ Θεὸς εὐλογητός, εἶτα Τρισάγιος, τὸ Κύριε, ἐλέησον· με'. ἡ εὐχή· Ὁ ἐν παντὶ καιρῷ, καὶ προσκυνήσεις γ'. ἀργαί, καὶ τὴν εὐχὴν τῆς γ'. ὥρας. Καὶ εὐθὺς· Δεῦτε προσκυνήσωμεν γ'. καὶ

ψάλλομεν συνημμένως καὶ τὴν ς΄. ὥραν τρίψαλμον. Τροπάριον· Ἑτοιμάζου Ζαβουλών, Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, Τρισάγιος καὶ τὰ λοιπά, τὰς γ΄. προσκυνήσεις καὶ τὴν ταύτης εὐχὴν καὶ ἀπόλυσις. Τὴν δὲ θ΄. ὥραν ψάλλομεν· ἐν τοῖς κελλίοις ἡμῶν, ἐν τῷ καιρῷ αὐτῆς κρουομένου τοῦ ξύλου, ὡς σύνηθες.

Μηνὶ τῷ αὐτῷ ς΄. Ἡ ἑορτὴ τῶν Φώτων. Ὅτε ἐστὶν ἡ παραμονὴ ἐν νηστείᾳ, σημαίνει τὸ ἑσπερινὸν ὥρα· θ΄. οὐ στιχολογοῦμεν δέ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς ἰδιόμελα δ΄. ἀνὰ β΄. Τὸν φωτισμὸν ἡμῶν. Τοῦ λυτρωτοῦ ἡμῶν. Τὰ ἰορδάνεια ῥεῖθρα. Σῶσαι βουλόμενος. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. Τὰ τῶν ἀγγέλων στρατεύματα. Εἶτα, γινομένης εἰσόδου, εἰς τὸ Φῶς ἱλαρόν, μετὰ τοῦ εὐαγγελίου καὶ τῶν μανουαλίων τῆς εἰσόδου, πάντων τῶν ἱερέων καὶ διακόνων εἰσοδευόντων, γίνεται ἡ κάτω καθέδρα, καὶ ψάλλομεν προκείμενον τῆς ἡμέρας, ἔπειτα τὰ ἀναγνώσματα. Μετὰ δὲ τὸ γ΄. ἀνάγνωσμα, ψάλλομεν μετὰ χειρονομίας τροπάριον ἦχος γ΄. Ἐπεφάνης ἐν τῷ κόσμῳ. Εἶτα λέγει ὁ ψάλτης στίχον α΄. Ὁ Θεός, οἰκτειρήσαι ἡμᾶς. Ὁ λαός· Ἵνα φωτίσῃς. Στίχος β΄. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός. Ὁ λαός· Ἵνα φωτίσῃς. Στίχος γ΄. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός. Ὁ λαός· Ἵνα φωτίσῃς. Εἶτα πάλιν ψάλλομεν τροπάριον· Ἐπεφάνης ἐν τῷ κόσμῳ. Καὶ εὐθὺς ἀναγινώσκονται ἕτερα γ΄. ἀναγνώσματα, καὶ μετὰ τὸ τέλος τοῦ γ΄. ἀναγνώσματος, ψάλλομεν ἐν τῷ μέσῳ μετὰ χειρονομίας τροπάριον, ἦχος πλ. β΄. Ἁμαρτωλοῖς καὶ τελώναις διὰ πλῆθος ἐλέους σου. Εἶτα λέγει στίχον ὁ ψάλτης· ψαλμὸς ΡΙΒ΄. Στίχος α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ὁ λαός· Ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι. Στίχος β΄. Ἐπῆραν οἱ ποταμοί, Κύριε. Ὁ λαὸς· Ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι. Στίχος γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης. Ὁ λαός· Ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι. Καὶ πάλιν ψάλλει τὸ αὐτὸ τροπάριον· Ἁμαρτωλοῖς καὶ τελώναις. (οβ.] Εἶτα τὰ ἕτερα ἑπτὰ ἀναγνώσματα, καὶ μετὰ τὸ τέλος αὐτῶν, γίνεται συναπτὴ τοῦ Τρισαγίου, εἶτα τὸ Τρισάγιον, καὶ γίνεται ἡ ἄνω καθέδρα, καὶ εὐθὺς τὸ προκείμενον τοῦ ἀποστόλου· Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἐλεύθερος ὢν ἐκ πάντων. Ἀλληλούια ἦχος πλ. β΄. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, στίχος β΄. Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, στίχος γ΄. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ἔτει πεντεκαιδεκάτῳ. Κοινωνικόν· Αἰνεῖτε, καὶ καθεξῆς πᾶσα ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου.

Καὶ μετὰ τὸ εἰπεῖν τὸν ἱερέα τὴν ὀπισθάμβωνον εὐχήν, μήτε τῆς εὐλογίας διδομένης, μήτε τοῦ συνήθους ψαλμοῦ τοῦ· Εὐλογήσω τὸν Κύριον λεγομένου, ἐξερχόμεθα πάντες ἐν τῷ λουτρῷ, ψάλλοντες τὸ παρὸν τροπάριον· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. Μετὰ δὲ τὸ πάντας ἐξελθεῖν μετὰ κηρῶν ἐν τῇ φιάλῃ καὶ τρισσαθῆναι τὸ αὐτὸ τροπάριον, λέγει ὁ διάκονος· Σοφία, καὶ εὐθὺς ἀναγινώσκονται τὰ γ'. ἀναγνώσματα τοῦ ἁγιασμοῦ, πάντων ἱσταμένων. Καὶ μετὰ τὴν τούτων συμπλήρωσιν, λέγει ὁ διάκονος τὴν ὑποτεταγμένην συναπτὴν τῶν Φωτισμάτων, ὁ δὲ ἱερεὺς ἐπεύχεται καθ' ἑαυτόν, τὴν α'. εὐχὴν ἐκ τοῦ ἁγιασμοῦ, ἧς ἡ ἀρχή· Κύριε, ὁ μονογενὴς Υἱὸς τοῦ Πατρός. Ἰδὼς τῷ τέλει δὲ ταύτης, οὐκ ἐκφωνεῖ ὁ ἱερεύς, ἀλλὰ καὶ τὴν ἐκφώνησιν καὶ τὸ Ἀμήν, καθ' ἑαυτὸν λέγει. Ταύτης δὲ τῆς εὐχῆς λεγομένης παρὰ τοῦ ἱερέως, ὁ διάκονος ἀπάρχεται λέγειν τὰ διακονικὰ ταῦτα τῶν Φώτων μέχρι συμπληρώσεως τῆς εὐχῆς, ἀργοτέρως δέ· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης. Ὑπὲρ εὐκρασίας ἀέρων. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα. Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτοῖς. Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ εἰς ἁγιασμὸν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ἀποτρόπαιον καὶ καθαρτήριον. Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ ἰατρεῖον καθαρισμοῦ πάσης νόσου ψυχῶν τε καὶ σωμάτων, τοῦ Κυρίου. Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πᾶσι τοῖς χριομένοις ἐξ αὐτῶν. Ὑπὲρ τοῦ καταφυτῆσαι ἐν αὐτοῖς τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου. Ὑπὲρ τοῦ πᾶσαν ἐν αὐτοῖς τοῦ ψυχοφθόρου πολεμίου (οϐ.] τὴν δύναμιν βυθισθῆναι, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων. Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πηγὴν ἀφθαρσίας καὶ ἁγιασμὸν οἴκων, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ εὐλογηθῆναι αὐτά, ὡς [τὰ] ἰορδάνεια ῥεῖθρα, τοῦ Κυρίου. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας ἀχράντου. (Conf. Euchologg. Goar. edit. Venet. 1730 an. p. 368, 372). Οὕτω δὲ τῆς συναπτῆς λεγομένης ὑπὸ τοῦ διακόνου, καὶ τῆς εὐχῆς ὑπαναγινωσκομένης παρὰ τοῦ ἱερέως, μετὰ τὸ εἰπεῖν τὸν διάκονον· Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης Δεσποίνης, ἀπάρχεται ὁ ἱερεὺς εἰς ἐπήκοον πάντων τῆς εὐχῆς οὕτως· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου. Μετὰ δὲ τὸ τέλος καὶ τὴν ἐκφώνησιν ταύτης, λέγει ὁ ἱερεύς· Εἰρήνη

πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ. Καὶ πάλιν ἑτέραν εὐχὴν εἰς ἐπήκοον πάντων· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου. Καὶ μετὰ τὸ Ἀμήν, ἐπιλαβόμενος ὁ ἱερεὺς τοῦ τιμίου ξύλου, βαπτίζει τρίτον σταυροειδῶς, ψάλλων· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε· ὅπερ λέγει καὶ ὁ λαός. Πάντων ἁγιαζομένων καὶ μεταλαμβανόντων ἐκ τῆς τοῦ ἁγιάσματος μεταλήψεως καὶ ῥαντίσεως, ψάλλοντες τὸ αὐτὸ τροπάριον ἐκ γ'. εἰσερχόμεθα ἐν τῷ ναῷ, καὶ συστήσαντες χορόν, ψάλλομεν μετὰ ἤχου τροπάριον· ἦχος δ'. Σήμερον Τριὰς ἡ ἐν μονάδι θεότητος... (л. **64**] ὁ ἐπιφανείς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ τὸν κόσμον φωτίσας δόξα σοι. (См. выше стр. 41). Εἶτα Δόξα καὶ νῦν, καὶ ψάλλομεν τὸ παρὸν στιχηρὸν εἰς ἦχον, πλ. β'. Ἀνυμνήσωμεν, οἱ πιστοί. Εὐχολ. Goar. pag. 372. Καὶ μετὰ τὴν τούτου τελείωσιν, γίνεται εὐθὺς ὑπὸ τοῦ διακόνου ἐκτενής, ἐν ᾗ μνημονεύομεν τοῦ ἡγουμένου καὶ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος, ὁμοίως δὲ καὶ τοῦ κτήτορος. Καὶ μετὰ τὴν παρὰ τοῦ ἱερέως ἐκφώνησιν, εὐθὺς δίδοται ἡ εὐλογία, λεγόντων ἡμῶν καὶ τὸν ΛΓ'. ψαλμὸν, τό· Εὐλογήσω τὸν Κύριον. Εἶτα παρακράζομεν τῷ προεστῶτι, λέγοντες τὸ κοντάκιον· Ἐπεφάνης σήμερον, καὶ εὐθὺς ἀρχόμεθα τοῦ ψαλμοῦ τῆς τραπέζης. Καὶ μετὰ τὸ γεύσασθαι καὶ ἀναστῆναι, ποιοῦμεν τὴν συνήθη εὐχαριστίαν, καὶ ἀρχόμεθα τῶν ἀποδείπνων ἀπὸ τοῦ Ϟ'. ψαλμοῦ· Ὁ κατοικῶν ἐν βοηθείᾳ, καὶ καθ' ἑξῆς ἡ πᾶσα ἀκολουθία τῶν ἀποδείπνων. Καὶ οὕτως μὲν γίνεται ἡ ἀκολουθία τῶν Φώτων, νηστείας οὔσης.

Εἰ δὲ μὴ εἴη νηστεία, πρωὶ μὲν λειτουργοῦμεν, ὡς καθ' ἑκάστην, ποιοῦντες πᾶσαν τὴν ἀκολουθίαν τοῦ σαββάτου, ἢ τῆς κυριακῆς πρὸ τῶν Φώτων, ὡς ἔχει λαχεῖν· ἑσπέρας δὲ σημαίνει πρὸς ὥραν θ'. Πᾶσα δὲ (**об.**] ἡ ἀκολουθία καὶ ἡ τάξις οὕτως γίνεται, ὡς προεγράφη, μέχρι τοῦ ἁγίου εὐαγγελίου καὶ τῆς ἐκτενοῦς. Μετὰ δὲ τὸ εὐαγγέλιον καὶ τὴν ἐπὶ τῇ ἐκτενεῖ τοῦ ἱερέως ἐκφώνησιν, ἐξερχόμεθα πάντες μετὰ κηρῶν, ψάλλοντες τὸ προγραφὲν τροπάριον· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, καὶ γίνεται, ὡς προγέγραπται ὁ ἁγιασμός, πλὴν συναπτὴ εἰς τὸ Τρισάγιον οὐ λέγεται, διὰ τὸ μὴ ἐπιτελεῖσθαι λειτουργίαν. Μετὰ δὲ τὸ γενέσθαι τὸν ἁγιασμόν, εἰσερχόμενοι, ποιοῦμεν καθὼς προεγράφη, εἶτα τὴν ἐκτενῆ, ἐν ᾗ μνημονεύομεν τοῦ καλογήρου, ὡς εἴρηται, καὶ ἀπολύει. Εἰσερχόμενοι δὲ ἐν τῇ τραπέζῃ, ποιοῦμεν τέλειον γεῦμα· μὴ οὔσης γὰρ ἡμέρας νηστίμου, οὔτε ἡ εὐλογία δίδοται, οὔτε τὸν ψαλμὸν ψάλλομεν, τό· Εὐλογήσω τὸν Κύριον. Τὸ δὲ ἄριστον οὕτως ποιοῦ-

μεν, ὅτε οὐκ ἔστι νηστεία, ὡς προεγράψαμεν, ἐν τῇ παραμονῇ τῶν Χριστουγέννων.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, ψάλλομεν κανόνας β'. τοὺς προεορτίους τῆς αὐτῆς ἡμέρας, τόν τε εἰς ἦχον πλ. β'. καὶ τὸν α'. τοὺς β'. ἀνὰ ς'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος δ'. Τὰ ῥεῖθρα ἡγίασας, Δόξα καὶ νῦν, τὸ αὐτό· ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, καὶ οἶκον τὸν δ'. καὶ ἡ ἀνάγνωσις τοῦ Πραξαποστόλου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος α'. καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου. Αἱ στιχολογίαι, καθίσματα β'. τῆς ἡμέρας. Ἀπὸ τοῦ α'. καθίσματος, κάθισμα ἦχος δ'. πρὸς τό· Κατεπλάγη. Ἰορδάνη ποταμέ. Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις εἰς τὸ Πανηγυρικὸν βιβλίον· λόγος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ, οὗ ἡ ἀρχή· Ἄνδρες φιλόχριστοι. Μετὰ τὴν β'. στιχολογίαν, κάθισμα ὅμοιον τῷ α'. Ἀπεστρέφετο ποτέ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις ἐν τῷ αὐτῷ βιβλίῳ· λόγος τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Πάντες ὑμεῖς ἐν εὐθυμίᾳ. Εἶτα στιχολογοῦμεν ἕτερον κάθισμα, τὸ Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, ἀργῶς καὶ μετὰ μειζόνων ἀλληλουαρίων, καὶ μετὰ τὸ τέλος αὐτῶν, κάθισμα ὅμοιον τοῖς προγραφεῖσι· Ἰησοῦς ὁ τοῦ Ναυῆ, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις ἐν τῷ αὐτῷ βιβλίῳ· λόγος Σωφρονίου, οὗ ἡ ἀρχή· Πάλιν φῶς. Ἔπειτα τὸν πολυέλεον, εἰ ἔχει ἡ ὥρα, ὡς σύνηθες, καὶ μετὰ τὸ τέλος τὴν ὑπακοὴν τῆς ἑορτῆς, ἦχος πλ. α'. Ὅτε τῇ ἐπιφανείᾳ σου· ὁ ψάλτης καὶ ὁ λαὸς μετὰ χειρονομίας. Καὶ εὐθὺς ἀνάγνωσις· λόγος τοῦ Θεολόγου· Πάλιν Ἰησοῦς, εἰς δόσιν μίαν. Εἶτα οἱ ἀναβαθμοὶ ἦχος δ'. ἀντίφωνον ἕν. (π. 65] Προκείμενον ἦχος δ'. Ἡ θάλασσα εἶδε καὶ ἔφυγε, στίχος· Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες. Πᾶσα πνοή. Εὐαγγέλιον τῆς ἑορτῆς κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ. καὶ ὁ Ν'.

Χρὴ δὲ γινώσκειν, ὅτι, ἐὰν τύχῃ ἐν κυριακῇ ἡ ἑορτὴ αὕτη, οὐδέν τῶν ἀναστασίμων ψάλλομεν, οὔτε εὐαγγέλιον λέγομεν, οὔτε ἕτερόν τι, ἀλλ' ὡς εἴρηται πάντα τῆς ἑορτῆς. Κανόνες β'. εἰς ἦχον β'. Κοσμᾶ καὶ Ἰωάννου ἀνὰ β'. τά τε τροπάρια καὶ τοὺς εἱρμούς, ἔσχατον δὲ τὴν μίαν καταβασίαν ὁ εἷς χορός, καὶ τὴν ἑτέραν ὁ ἕτερος, καθὼς καὶ ἐν τῇ τῶν Χριστουγέννων ἑορτῇ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος πλ. δ'. πρὸς τό· Αὐλῶν ποιμενικῶν. Βαπτίζεται Χριστός. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον, οὗ ἡ ἀρχή· Τότε παραγίνεται ὁ Ἰησοῦς. Ἀπὸ ς'. τὸ κον-

τάκιον καὶ οἴκους, εἰ ἔχει ἡ ὥρα, γ'. Ἐξαποστειλάριον· Ἐπεφάνη ὁ Σωτήρ. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἐκ β'. ἰδιόμελον ἦχος πλ. δ'. Κύριε, πληρῶσαι βουλόμενος, καὶ ἕτερα β'. ὅμοια αὐτῷ, Δόξα καὶ νῦν, ἦχος β'. Σήμερον ὁ Χριστὸς ἐν Ἰορδάνῃ ἦλθε. Δοξολογία μεγάλη. Ἀπολυτίκιον· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Χρὴ δὲ γινώσκειν, ὅτι τοὺς κανόνας, χωρὶς ἐνάρξεως τῶν ᾠδῶν, ἀρχόμεθα ἐκ τῶν εἱρμῶν αὐτῶν ἐν πάσαις ταῖς δεσποτικαῖς ἑορταῖς καὶ ταῖς τῆς Θεοτόκου.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνον α'. Ψαλμὸς ΡΙΓ'. Στίχος α'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς. Στίχος β'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ, ἐκ λαοῦ βαρβάρου. Ταῖς πρεσβείαις. Στίχος γ'. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ. Ταῖς πρεσβείαις. Στίχος δ'. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν· Ταῖς πρεσβείαις. Δόξα καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἀντίφωνον β'. Ψαλμὸς ΡΙΔ'. Στίχος α'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ βαπτισθείς. Στίχος β'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεως, ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱέ. Στίχος γ'. Περιέσχον με ὠδῖνες θανάτου. Σῶσον ἡμᾶς. Στίχος δ'. Θλῖψιν καὶ ὀδύνην εὗρον. Σῶσον ἡμᾶς. (οδ.] Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ. Ἀντίφωνον γ'. ἦχος α'. Ψαλμὸς ΡΙΖ'. Στίχος α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Στίχος β'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν Ἰορδάνῃ. Στίχος γ'. Εἰπάτω δὴ οἶκος Ἰσραήλ. Ἐν Ἰορδάνῃ. Στίχος δ'. Εἰπάτω δὴ οἶκος Ἀαρών. Ἐν Ἰορδάνῃ. Στίχος ε'. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Εἰς δὲ τὴν εἴσοδον, λέγομεν στίχον ἕτερον· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Δόξα καὶ νῦν ἦχος δ'. τὸ κοντάκιον. Ἀντὶ τοῦ Τρισαγίου· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, χωρὶς συναπτῆς. Προκείμενον ἦχος δ'. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Ὁ ἀπόστολος πρὸς Τίτον· Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος. Ἀλληλούια ἦχος δ'. Ἐνέγκατε τῷ Κυρίῳ, Υἱοὶ Θεοῦ. Στίχος β'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται ὁ Ἰησοῦς. Κοινωνικόν· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ.

Μηνὶ τῷ αὐτῷ ζ'. Ἡ σύναξις τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰ μὴ εἴη κυριακῇ, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς εἰς ἦχον δ'. γ'. ἐκ β'. Σὲ τὸν ἐν πνεύματι. Ἄλλο· Ἔτρεμεν ἡ χεὶρ τοῦ Βαστιστοῦ. Ἄλλο· Βαπτίζεται Χριστός. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον. Εἴσοδος· εἰς τὸ Φῶς ἱλαρόν, προκείμενον ἦχος βαρύς· Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, στίχος α'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. Στίχος β'. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Στίχος γ'. Τί σοι ἐστι θάλασσα, ὅτι ἔφυγες. Εἰ δὲ λάχῃ κυριακῇ, λέγομεν προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν· προηγεῖται γὰρ πάντων τῶν προκειμένων. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἰδιόμελα ἦχος α'. Φῶς ἐκ φωτός. Στίχος· Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Πῶς σε, Χριστέ, δοῦλοι τὸν Δεσπότην. (π. **66**] Στίχος· Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες. Σὺ ἐν Ἰορδάνῃ βαπτισθεὶς ὁ Σωτὴρ ἡμῶν. Δόξα καὶ νῦν, ἰδιόμελον τοῦ Προδρόμου ἦχος πλ. β'. Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων προῆλθες. Ἀπολυτίκιον· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε. Παννυχίδα δὲ οὐ ψάλλομεν, εἰ μή ἐστι κυριακή.

Εἰς δὲ τὸν ὄρθρον, ἐγειρόμεθα πρὸς ὥραν θ'. Εἰς τὸ Θεὸς Κύριος, λέγομεν τροπάριον τὸ τῆς ἑορτῆς β'. Δόξα καὶ νῦν ἦχος β'. Μνήμη δικαίου μετ' ἐγκωμίων. Οὐ στιχολογοῦμεν, ἀλλ' εὐθὺς τὸν Ν'. Κανόνας β'. ἕνα τῆς ἑορτῆς· Βυθοῦ ἀνεκάλυψε, ἦχος β'. καὶ ἕτερον τοῦ Προδρόμου, ἦχος ὁ αὐτός· Τῷ τὴν ἄβατον, τοὺς δύο ἀνὰ ς'. λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος· γ'. πρὸς τό· Τὴν ὡραιότητα. Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου, οὗ ἡ ἀρχή· Χθὲς τῇ λαμπρᾷ, τῶν Φώτων ἡμέρᾳ, εἰς δόσεις δ'. Ἀπὸ ς'. κοντάκιον· Τὴν σωματικήν σου παρουσίαν, ἦχος πλ. β'. καὶ τὸν οἶκον. Ἐξαποστειλάριον· Ἐπεφάνης σήμερον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος πλ. α'. πρὸς τό· Χαίροις. Πάλαι τὴν ῥυπωθεῖσαν. Στίχος· Ἡ θάλασσα εἶδε καὶ ἔφυγε. Θέλων τοὺς ποταμούς. Στίχος· Τί σοι ἐστὶ θάλασσα. Ποίαν εὐχαριστίαν Σωτήρ. Δόξα καὶ νῦν, ἰδιόμελον τοῦ Προδρόμου εἰς τὸν αὐτὸν ἦχον· Τὴν χεῖρά σου τὴν ἁψαμένην. Ζήτει εἰς τὰ ιβ'. τροπάρια. Ἀπολυτίκιον· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε.

Εἰς τὴν λειτουργίαν, τὰ ἀντίφωνα τῆς ἑορτῆς, εἰ μὴ τύχῃ κυριακή, τὸν δὲ στίχον τῆς εἰσόδου εἰς ἦχον β'. τροπάριον· Μνήμη δι-

καίου, Δόξα καὶ νῦν, ἦχος πλ. β΄. Τὴν σωματικήν σου. Ὁ Τρισάγιος. Προκείμενον ἦχος δ΄. Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, φωνῆς μου. Ὁ ἀπόστολος· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλώ. Ζήτει τῇ ἐπαύριον τῆς ἀναληψίμου. Ἀλληλούια ἦχος δ΄. Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν. Κοινωνικὸν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου· Μνήμη δικαίου.

Εἰ δὲ τύχῃ ἐν ἡμέρᾳ κυριακῇ, ἑσπέρας μὲν γίνεται ἡ στιχολογία, ὡς σύνηθες. τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ γ΄. ἀναστάσιμα τοῦ ἤχου, πρὸς μίαν, καὶ τὰ εἰρημένα ἰδιόμελα στιχηρὰ τὰ β΄. ἐκ β΄. τὸ δὲ γ΄. ἅπαξ, Δόξα καὶ νῦν, τὸ εἰρημένον ἰδιόμελον· Ὁ ἀναβαλλόμενος. Εἴσοδος καὶ προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον· τὸ ἀναστάσιμον, ἅπαξ, καὶ δύο ἰδιόμελα ἦχος α΄. ἐκ τῶν εἰρημένων, Δόξα καὶ νῦν, ἦχος πλ. β΄. τὸ εἰρημένον.

Εἰς δὲ τὴν παννυχίδα τῆς ἀγρυπνίας, τὸν κανόνα τοῦ ἤχου τὸν ἕνα, καὶ ἕτερον τῆς ἑορτῆς ἦχος β΄. Δεῦτε λαοί· Ἰωάννου μοναχοῦ, εἰς δ΄. Κάθισμα δὲ καὶ κοντάκιον (οβ.] τὰ συνήθη. Ἤγουν ἀπὸ γ΄. τὸ κατανυκτικὸν τοῦ ἤχου, καὶ ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου· πλὴν βραδυτέρως ἀρχόμεθα τῆς ἀγρυπνίας, διὰ τὸν τῆς προλαβούσης κόπον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος εἰς τὸν ἑνεστῶτα ἦχον καὶ τὸ ἀναστάσιμον τροπάριον ἐκ β΄. Δόξα καὶ νῦν, ἦχος β΄. Μνήμη δικαίου μετ' ἐγκωμίων. Αἱ στιχολογίαι κατὰ τὰ καθίσματα τὰ ἀναστάσιμα, ὡς σύνηθες. Αἱ ἀναγνώσεις ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον. καὶ ὁ λόγος τοῦ Θεολόγου· Χθὲς τῇ λαμπρᾷ, εἰς δόσεις δ΄. εἰς δὲ τὸ τέλος τῶν στιχολογιῶν, ἡ ὑπακοὴ τοῦ ἤχου. Εἶτα οἱ ἀναβαθμοί, τὸ προκείμενον καὶ τὸ Πᾶσα πνοή, πάντα τοῦ ἤχου. Εὐαγγέλιον ἀναστάσιμον. Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν΄. Κανόνες γ΄. τὸν ἀναστάσιμον εἰς δ΄. καὶ τῆς ἑορτῆς τὸν εἰρημένον εἰς δ΄. καὶ τοῦ ἁγίου εἰς ς΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τὸ εἰρημένον, ἀπὸ ς΄. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα, καὶ τὰ εἰρημένα γ΄. τῆς ἑορτῆς. δευτεροῦντες τὸ ἐν, εἰς ἦχον πλ. α΄. Δόξα, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Τὴν χεῖρά σου. καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις.

Εἰς δὲ τὴν λειτουργίαν, τυπικὰ καὶ οἱ ἀναστάσιμοι μακαρισμοί. Μετὰ δὲ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντάκιον· Τὴν σωματικήν σου παρουσίαν. Ὁ Τρισάγιος. Προκείμενον καὶ

ἀλληλούια τοῦ ἁγίου τὰ προειρημένα. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον ἀμφότερα. προηγοῦνται δὲ τὰ τῆς κυριακῆς. Ὁμοίως καὶ κοινωνικὸν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου.

Χρὴ δὲ γινώσκειν, ὅτι ἐὰν φθάσῃ ἡ ἑορτὴ ἐν μέσῳ ἑβδομάδος μέχρι τῆς κυριακῆς. ἓν κάθισμα στιχολογοῦμεν· ἐν μόνῳ τῷ ὄρθρῳ, ἀπὸ δὲ ταύτης πάλιν, δύο καθίσματα ἐν τῷ ὄρθρῳ καὶ ἕτερον τῇ ἑσπέρᾳ.

Σαββάτῳ μετὰ τὰ Φῶτα, προκείμενον καὶ ἀλληλούια, τὰ κατὰ συνήθειαν. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ. Ζήτει κυριακῇ κζ'. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ. ἀνήχθη ὁ Ἰησοῦς ὑπὸ τοῦ πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

Κυριακῇ μετὰ τὰ Φῶτα. Προκείμενον καὶ Ἀλληλούια ἄμνημα. Ἀπόστολος δὲ πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε. χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω. Ζήτει κυριακῇ λγ'. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ. ἀκούσας ὁ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη.

Μηνὶ τῷ αὐτῷ η'. Μεθέορτα τῶν Φώτων, καὶ τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ, καὶ τῆς ἁγίας ὁσιομάρτυρος Δομνίκας. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β'. εἰς ἦχον δ'. πρὸς τὸ Ἑδωκας σημείωσιν. Ὡς εἶδε σε. Δέσποτα· καὶ ἕτερον· Δεῦρό μοι μυστήριον, καὶ ἕτερα δύο (π. 67] τῆς ὁσίας ὁμοίως, καὶ δύο τοῦ μάρτυρος εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Δεῦτε μιμησώμεθα. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. πρὸς τὸ Τριήμερος ἀνέστης. Χριστέ, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἀνυμνήσωμεν, οἱ πιστοί. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς ἦχος β'. Ἰωάννου μοναχοῦ εἰς δ'. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, εἰ δὲ εἴη κυριακή, τὸν κανόνα τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον.

Εἰς τὸν ὄρθρον. ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις, τὸ ὑπολειφθὲν ἐκ τοῦ λόγου τοῦ Θεολόγου. καὶ ἀπὸ γ'. ᾠδῆς. τὸν βίον τῆς ὁσίας, οὗ ἡ ἀρχή· Δομνίκαν τὴν τῷ ὄντι. Κανόνες γ'. ἕνα τῆς ἑορτῆς τὸν ἰαμβικόν, εἰς δ'. ἦχος β'. Στείβει θαλάσσης, καὶ τῆς ὁσίας εἰς τὸν αὐτὸν ἦχον Ἰωσήφ, εἰς δ'. Ἐν βυθῷ κατέστρωσε. καὶ τοῦ ἁγίου εἰς ἦχον α'. Ἰωσήφ· Σοὶ ἡ τροπαιοῦχος, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος πρὸς τὸ Ταχὺ προκατάλαβε. Δόξα καὶ νῦν θεοτοκίον. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Εἰς τὸν στίχον. στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. πρὸς τὸ Λί ἀγ-

γελικαί, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος β'. Εἴδοσάν σε ὕδατα, ὁ Θεός. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἑορτῆς ἦχος δ'. τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς, ὁμοίως δὲ καὶ προκείμενον καὶ ἀλληλούια, καὶ κοινωνικὸν τῆς ἑορτῆς. Ἀπόστολος δὲ μεθέορτος πρὸς Ἐφεσίους· Ἀδελφοί, ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις. Εὐαγγέλιον ζήτει μεθέορτον εἰς τὰς η'. τοῦ αὐτοῦ μηνός. Εἰ δὲ τύχῃ κυριακῇ, πάντα κοινά.

Μηνὶ τῷ αὐτῷ θ'. Μεθέορτα καὶ τοῦ ἁγίου μάρτυρος Πολυεύκτου, καὶ τοῦ ὁσίου Μαρκιανοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β'. ἦχος α'. πρὸς τὸ Πανεύφημοι μάρτυρες. Ἰδών σε ἐρχόμενον. Ὤφθης ὅλος ἄνθρωπος. Καὶ τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον ἕτερα β'. ἦχος πλ. δ'. πρὸς τὸ Ὢ τοῦ παραδόξου. Τὰ τοῦ μάρτυρος καὶ αὐτὰ β'. Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Σήμερον ἡ κτίσις φωτίζεται. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ γ'. τῆς ἑορτῆς ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθὰ, Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον· Ἐν Ἰορδάνῃ ποταμῷ. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἑκ γ'. Αἱ στιχολογίαι, καθίσματα β'. εἰ μή ἐστι τέλος τῆς ἑβδομάδος. Ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὸ αὐτό, ἀπὸ β'. στιχολογίας, κάθισμα τοῦ μάρτυρος ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον (οϐ.] τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Εἴπέρ τις ἄλλη καλλίστη, καὶ ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Πολλὰ μὲν καὶ ἄλλα. Κανόνες γ'. τὸν ἕνα τῆς ἑορτῆς· Βυθοῦ ἀνεκάλυψε, καὶ ἄλλον τοῦ μάρτυρος ἦχος πλ. δ'. Θεοφάνους· Ἡ κεκορμένη. Καὶ ἕτερον τοῦ ὁσίου ἦχος α'. πρὸς τὸ Ὠδὴν ἐπινίκιον· Θεοφάνους. τοὺς γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον. τῆς ἑορτῆς, καὶ οἴκους γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ γ'. τῆς ἑορτῆς ἦχος πλ. β'. πρὸς τὸ Αἱ ἀγγελικαί. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος β'. Ὑπέκλινας κάραν. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἑορτης οἱ ἐγκαταλειφθέντες ἦχος δ'. Τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς· ὁμοίως δὲ καὶ προκείμενον καὶ ἀλληλούια, τὸν β'. στίχον τῆς ἑορτῆς· ἀπόστολον δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας, κοινωνικὸν τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ ι΄. Μεθέορτα καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου Νύσσης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος α΄. πρὸς τὸ Πανεύφημοι μάρτυρες. Συνέχομαι πάντοθεν. Ἄλλο· Ἥλιον ῥυπτόμενον. Ἕτερον· Φρίττω σου τὴν ἔλευσιν. Καὶ τοῦ ἁγίου ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις. Πάλαι τὴν ῥυπωθεῖσαν. Προκείμενον· Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς ἦχος α΄. Φῶς ἐκ φωτός. Πῶς σε, Χριστέ. Καὶ ἰδιόμελον τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον· Ὁ τῆς ὀρθῆς πίστεως, Δόξα καὶ νῦν. Τὸ ἀληθινὸν φῶς ἐπεφάνη. Ἀπολυτίκιον τὸ τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, τὸ τροπάριον τῆς ἑορτῆς ἐκ β΄. εἰς τὸ Θεὸς Κύριος, καὶ τὸ Δόξα καὶ νῦν τοῦ ἁγίου, ἦχος πλ. δ΄. Ὀρθοδοξίας ὁδηγέ. Ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς ἑορτῆς. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου, οὗ ἡ ἀρχή· Φίλου πιστοῦ, εἰς ὁσίαν μίαν. Ἀπὸ β΄. στιχολογίας, κάθισμα ὅμοιον τῆς ἑορτῆς. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου Θεοδοσίου, οὗ ἡ ἀρχή· Ἥδιστον μὲν ἔαρ ἐν ὥραις. Κανόνες β΄. τῆς ἑορτῆς τὸν ἰαμβικόν· Στείβει θαλάσσης, καὶ τοῦ ἁγίου ἦχος πλ. α΄. Θεοφάνους ἀνὰ ς΄. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα τοῦ ἁγίου, τὸ ἓν ὁ ψάλτης καὶ τὸ ἕτερον ὁ λαός, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπὸ ς΄. τὸ κοντάκιον τοῦ ἁγίου. Ἐξαποστειλάριον τῆς ἑορτῆς καὶ τοῦ ἁγίου· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς β΄. ἦχος πλ. β΄. πρὸς τὸ Λί ἀγγελικαί, καὶ ἓν τοῦ ἁγίου ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν προσόμοιον τῆς ἑορτῆς· (π. **68**] Ποίαν εὐχαριστίαν Σωτήρ. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ΄. καὶ μετὰ τὴν εἴσοδον, τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον τοῦ ἁγίου ἦχος βαρύς· Τίμιος ἐναντίον, στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ζήτει Σεπτεμβρίου β΄. ἀλληλούια ἦχος β΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα. Κοινωνικὸν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου· Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ια΄. Μεθέορτα καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β΄. ἦχος δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν. Ἥλιον ῥυπτόμενον. Ἴδε πῶς περίκειμαι.

Ἔπειτα τοῦ ὁσίου ἦχος πλ. α΄. γ΄. πρὸς τὸ Ὅσιε πάτερ, δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν ἦχος πλ. δ΄. Κύριε, πληρῶσαι βουλόμενος. Εἰς τὸν στίχον στιχηρὰ τῆς ἑορτῆς β΄. πρὸς τὸ Ὡς ὡράθης, Χριστέ, καὶ ἕτερον ἰδιόμελον τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον· Ὅσιε πάτερ, ὡς πόλις ζῶντος Θεοῦ, Δόξα καὶ νῦν, Σῶσαι βουλόμενος. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἓκ β΄. Δόξα καὶ νῦν, ἦχος πλ. δ΄. τοῦ ὁσίου· Ταῖς τῶν δακρύων σου ῥοαῖς. Αἱ στιχολογίαι, καθίσματα β΄. καθίσματα τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὰ αὐτά. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου. Κανόνες β΄. τῆς ἑορτῆς, τὸ Βυθοῦ ἀνεκάλυψε, καὶ τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον· Ἐν βυθῷ κατέστρωσε, ποίημα Στεφάνου ἀνὰ ς΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ΄. Δόξα καὶ νῦν θεοτοκίον, ἀπὸ ς΄. τὸ κοντάκιον τοῦ ὁσίου. Ἐξαποστειλάριον τῆς ἑορτῆς καὶ τοῦ ὁσίου· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τοῦ ὁσίου γ΄. ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Ὁρῶσά σε ἡ φύσις ἅπασα τῶν γηγενῶν. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ὁσίου ἡ γ΄. Μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν τὸ τροπάριον τοῦ ὁσίου καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον τοῦ ὁσίου ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ὁ ἀπόστολος πρὸς (Γαλάτας)· Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος. Ζήτει σαββάτῳ κζ΄. Ἀλληλούια ἦχος πλ. β΄. Μακάριος ἀνήρ. Εὐαγγέλιον τοῦ ὁσίου. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ εὐαγγελίου. Κοινωνικὸν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου. (**οϐ.**]

Μηνὶ τῷ αὐτῷ ιβ΄. Μεθέορτα καὶ τῆς ἁγίας μάρτυρος Τατιανῆς, ψάλλομεν δὲ καὶ τοὺς ἁγίους τῆς ιγ΄. τοῦ αὐτοῦ μηνὸς Ἑρμυλον καὶ Στρατόνικον. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ δύο τῆς ἑορτῆς ἦχος δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν. Ὠφ[θ]ης σωματούμενος. Καὶ ἕτερον· Σύ με ἐν τοῖς ὕδασι. Καὶ ἕτερα β΄. τῆς ἁγίας ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε, καὶ ἕτερα δύο τῶν μαρτύρων ἦχος α΄. πρὸς τὸ Τῶν οὐρανίων ταγμάτων. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Τὸ ἀληθινὸν φῶς ἐπεφάνη. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος πλ. δ΄. πρὸς τὸ Κύριε, εἰ καὶ κριτηρίῳ, Δόξα καὶ νῦν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Σήμερον ἡ κτίσις φωτίζεται.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἑκ γ'. Αἱ στιχολογίαι. Ἀπὸ τῆς α'. κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὸ αὐτό, ἀπὸ β'. στιχολογίας, κάθισμα τῆς ἁγίας ἦχος δ'. Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον τῆς ἁγίας, οὗ ἡ ἀρχή· Βασιλεύοντος ἐν τῇ Μεγαλοπόλει. Κανόνες γ'. ἀνὰ δ'. τῆς ἑορτῆς ὁ ἰαμβικὸς τὸ Στείβει θαλάσσης ἦχος β'. καὶ τῆς ἁγίας εἰς τὸν αὐτὸν ἦχον, Ἰγνατίου· Δεῦτε λαοί, καὶ τῶν μαρτύρων, Ἰωσήφ, ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοί. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν μαρτύρων ἦχος α'. Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῶν, οὗ ἡ ἀρχή· Βασιλεύοντος Λικινίου. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. πρὸς τὸ Αἱ ἀγγελικαί, Δόξα καὶ νῦν ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Νάματα Ἰορδάνου. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ Προδρόμου ἡ ς'. Ἐν ἀβύσσῳ, τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκειμένου ἦχος γ'. Κύριος φωτισμός μου, στίχος· Κύριος ὑπερασπιστής. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Ἀλληλούια ἦχος πλ. β'. Ἐξηρεύξατο ἡ καρδία μοῦ λόγον ἀγαθόν. Κοινωνικὸν τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ ιγ'. Ἐν ταύτῃ ἀποδίδοται ἡ ἑορτή. τοὺς δὲ ἁγίους ἐψάλλομεν εἰς τὰς ιβ'. Ἑσπέρας. οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς ἰδιόμελα γ'. ἀνὰ β'. Τὸν φωτισμὸν ἡμῶν. Τὰ ἰορδάνεια ῥεῖθρα. Δόξα καὶ νῦν, Σῶσαι βουλόμενος. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα ἦχος α'. Φῶς ἐκ φωτός. Πῶς σε Χριστέ. Σὺ ἐν Ἰορδάνῃ. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Ἀνυμνήσωμεν οἱ πιστοί.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς, ἦχος β'. Δεῦτε λαοί, εἰς δ'. ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. (π. **69**]

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἑκ γ'. Αἱ στιχολογίαι καθίσματα β'. καθίσματα τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὰ αὐτά. Ἀνάγνωσις, εἰ κατελείφθη ἐκ τοῦ βίου τοῦ ἁγίου Θεοδοσίου, ἢ ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον. Κανόνας τοὺς β'. τῆς ἑορτῆς ἀνὰ ς'. ἔσχατον δὲ τὰς καταβασίας πρὸς μίαν οἱ χοροί· λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ἄσωμεν. Ἀπὸ γ'. ᾠδῆς, τὴν καταβασίαν τῆς ἑορτῆς· Ὅτε τῇ ἐπιφανείᾳ σου· ὁ ψάλτης καὶ ὁ λαὸς μετὰ χειρονομίας. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, καὶ οἴκους γ'. Ἐξαποστειλάριον· Ἐπεφάνη ὁ Σωτήρ. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος πλ. δ'.

Κύριε, πληρῶσαι βουλόμενος, καὶ τὰ δύο τὰ τούτου ὅμοια. Δόξα καὶ νῦν ἦχος ὁ αὐτός· Τὰ τῶν ἀγγέλων στρατεύματα. Ἀπολυτίκιον τὸ τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς ἑορτῆς ἡ ε΄. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, ὃ καὶ ἀρχόμεθα· λέγομεν δὲ καὶ τὰ δύο ταῦτα τροπάρια, ὁμοίως δὲ καὶ τῆς ς΄. τὰ ἕτερα β΄. χωρὶς τοῦ εἱρμοῦ, τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον καὶ ἀλληλούια, ἀπόστολος καὶ εὐαγγέλιον καὶ κοινωνικὸν ἅπαντα τῆς ἑορτῆς.

Εἰ δὲ εἴη κυριακή, ψάλλομεν καὶ τὰ ἀναστάσιμα συνημμένως ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ· προηγοῦνται δὲ τὰ ἀναστάσιμα.

Μηνὶ τῷ αὐτῷ ιδ΄. Τῶν ἁγίων Ἀββάδων. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῶν ὁσίων γ΄. ἐκ β΄. ἦχος πλ. δ΄. πρὸς τὸ Τί ὑμᾶς καλέσωμεν, Δόξα καὶ νῦν, Θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τῶν ὁσίων ἦχος πλ. δ΄. Ὅσιοι πατέρες μελετήσαντες, Δόξα καὶ νῦν Θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν.

Εἰς τὸν ὄρθρον, ἐγειρόμεθα ταχύτερον, καὶ ψάλλομεν εἰς τὸ Θεὸς Κύριος τὸ αὐτὸ τροπάριον ἐκ β΄. Δόξα καὶ νῦν Θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β΄. Ἀνάγνωσις· λόγος Νείλου μοναχοῦ εἰς τὴν ἀναίρεσιν τῶν ἁγίων Πατέρων, οὗ ἡ ἀρχή· Ἁλώμενος ἐγώ, εἰς ὁσεις γ. Καθίσματα τῆς Ὀκτωήχου καὶ Θεοτοκίον. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς΄. καὶ τῶν ἁγίων ὁμοίως εἰς ς΄. ἦχος δ΄. Ἰωσήφ· Θαλάσσης. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. α΄. καὶ Θεοτοκίον, ἀπὸ ς΄. τὸ κοντάκιον αὐτῶν. Ἐξαποστειλάριον· [Ὁ] οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ τῶν ἁγίων ἓν ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν Θεοτοκίον. Ἀπολυτίκιον, τὸ προγραφέν.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου, τροπάριον τῶν ἁγίων καὶ Θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κύριῳ ᾆσμα καινόν. Ἀλληλούια ἦχος δ΄. στίχος β΄. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Μηνὶ τῷ αὐτῷ ιε΄. Τοῦ ἁγίου Ἰωάννου τοῦ Καλυβίτου, καὶ τοῦ ὁσίου Παύλου τοῦ Θηβαίου. (**οδ**.] Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς

τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ Καλυβίτου ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε, καὶ ἕτερα δύο τοῦ ὁσίου Παύλου, δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου Ἰωάννου ἦχος β'. Ἀρνησάμενος κόσμον. Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Ἐν σοί, πάτερ, ἀκριβῶς διεσώθη. Εἰς τὴν παννυχίδα. ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ ὁσίου β'. Δόξα καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου Παύλου, οὗ ἡ ἀρχή· Καὶ ζωγράφοις τῶν ἀρχετύπων, εἰς δόσιν μίαν. Ἀπὸ β'. στιχολογίας, κάθισμα τοῦ αὐτοῦ, ἦχος α'. καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου Ἰωάννου τοῦ Καλυβίτου, εἰς δόσεις δυο, οὗ ἡ ἀρχή· Τυραννικόν τι χρῆμα. Κανόνας γ'. ἕνα τῆς Ὀκτωήχου, καὶ ἕτερον τοῦ Καλυβίτου εἰς ἦχον β'. Ἐν βυθῷ κατέστρωσε, καὶ τοῦ ὁσίου Παύλου ἦχος πλ. δ', Ἁρματηλάτην Φαραὼ· Θεοφάνους, τοὺς γ'. ἀνὰ δ'. πλὴν πρωτεύει εἷς τοῦ ἑτέρου πρὸς τὸν ἦχον τοῦ κανόνος τῆς Ὀκτωήχου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ Καλυβίτου ἦχος γ'. καὶ θεοτοκίον. ἀπὸ ς'. τὸ αὐτὸ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου δύο, καὶ ἓν τοῦ ἁγίου Ἰωάννου ἦχος πλ. α'. πρὸς τὸ Ὅσιε πάτερ. καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ὁσίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον· Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι, στίχος. Ἄσατε τῷ Κυρίῳ. Ἀλληλούια ἦχος πλ. β'. Μακάριος ἀνήρ. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ις'. Ἡ προσκύνησις τῆς τιμίας ἁλύσεως τοῦ ἁγίου ἀποστόλου Πέτρου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. ἦχος δ'. δευτεροῦντες τὸ α'. καὶ ἕτερα δύο εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου ἦχος β'. καὶ τοῦ ἀποστόλου ἰδιόμελον ἦχος δ'. Τῷ τρίτῳ τῆς ἐρωτήσεως, ἢ τοῦτο μὲν ἐὰν οὐ θέλῃ λέγειν δὲ ἦχον πλ. β'. Πάλιν ἡμῖν ὁ θερμὸς προστάτης, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ'. (**π. 70**] Τὴν Ῥώμην μὴ λιπών.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον β'. Δόξα καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. ἀπὸ α'. στιχολογίας, καθί-

σματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· Ἐγκώμιον τοῦ ἀποστόλου, οὗ ἡ ἀρχή· Ὅσοι τῷ τοῦ κορυφαίου τῶν ἀποστόλων, εἰς δόσεις δύο. Ἀπὸ β'. στιχολογίας, κάθισμα τοῦ ἀποστόλου, ἦχος δ'. πρὸς τὸ Ταχὺ προκατάλαβε, Δόξα καὶ νῦν θεοτοκίον. Κανόνες γ'. τῆς Ὀκτωήχου τοὺς β'. εἰς ς'. καὶ τοῦ ἀποστόλου εἰς ς'. ἦχος δ'. Χορὸς Ἰσραήλ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα αὐτοῦ ἦχου δ'. πρὸς τὸ Ὁ ὑψωθείς, καὶ θεοτοκίον. Ἀναγνώσις ἐκ τοῦ βίου τοῦ ἁγίου Ἀντωνίου, οὗ ἡ ἀρχή· Ἀγαθὴν ἄμιλλαν. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἀποστόλου. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου. Εἰ μὲν οὖν οὐ θέλει καταλεῖψαι τὸ στιχηρόν, τὸ Τῷ τρίτῳ τῆς ἐρωτήσεως, ψάλλομεν ἐνταῦθα εἰς τὸν στίχον τῶν αἴνων, τὸ Πάλιν ἡμῖν ὁ θερμός· εἰ δὲ καταλεῖψαι ἐκεῖνο διὰ τὸ ψάλλεσθαι εἰς τὰς κθ'. τοῦ Ἰουνίου τῇ ἑορτῇ τῶν ἁγίων ἀποστόλων, ψάλλομεν εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὸν ἦχος πλ. β'. Σήμερον ἡμῖν ἡ κρηπὶς τῆς ἐκκλησίας καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἀποστόλου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ γ'. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον αὐτοῦ καὶ θεοτοκίον. Προκείμενον ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Κατ' ἐκεῖνον τὸν καιρόν. Ζήτει σαββάτῳ ε'. τοῦ Πάσχα. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταις αὐτοῦ. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε. καὶ ἕτερα γ'. εἰς ἦχον δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ὁσίου ἦχος πλ. β'. Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ'. Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος. (οϐ.]

Εἰς τὸν ὄρθρον, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου. Κανόνες γ'. οἱ β'. τῆς Ὀκτωήχου εἰς ς'. καὶ τοῦ ὁσίου ὁμοίως εἰς ς'. ἦχος πλ. δ'. Θεοφάνους· Ἁρματηλάτην Φαραώ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στι-

χηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ὁσίου ἦχος πλ. δ΄. Τῶν μοναστῶν τὰ πλήθη, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ὁσίου ἡ γ΄. τροπάριον τοῦ αὐτοῦ καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν. Ζήτει Δεκεμβρίου ς΄. Ἀλληλούια ἦχος πλ. β΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. Ζήτει ἐν τῷ Μηνολογίῳ τοῦ εὐαγγελίου. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ιη΄. τῶν ὁσίων πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν τ΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. τοῦ ἁγίου Ἀθανασίου ἦχος πλ. α΄. δευτεροῦντες τὸ α΄. καὶ ἕτερα δύο τοῦ ἁγίου Κυρίλλου, ἦχος δ΄. πρὸς τὸ Ὡς γενναῖον, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου δύο. καὶ ἰδιόμελον τοῦ ἁγίου Ἀθανασίου ἦχος γ΄. Τὸ μέγα κλέος τῶν ἱερέων, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ΄. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος. τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Ἀπὸ α΄. στιχολογίας, τὰ τῆς Ὀκτωήχου καθίσματα, ἀπὸ β΄. κάθισμα τοῦ ἁγίου Κυρίλλου ἦχος γ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου εἰς τὸν μέγαν Ἀθανάσιον, οὗ ἡ ἀρχή· Ἀθανάσιον ἐπαινῶν, εἰς δόσεις γ΄. ὁ γὰρ βίος αὐτοῦ ἀναγινώσκεται Μάϊον μῆνα. Κανόνες γ΄. εἷς τῆς Ὀκτωήχου, καὶ ἕτερος τοῦ ἁγίου Κυρίλλου ἦχος δ΄. Ἰωάννου μοναχοῦ· Θαλάσσης τὸ ἐρυθραῖον, καὶ ἕτερος τοῦ ἁγίου Ἀθανασίου, ἦχος πλ. δ΄. Ἁρματηλάτην, τοὺς γ΄. ἀνὰ δ΄. πλὴν πρὸς τὸν ἦχον, πρωτεύει ὁ εἷς τοῦ ἑτέρου. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Ἀθανασίου ἦχος γ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος γ΄. Πάλιν ἡμῖν ὁ χρυσορρόας, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν. Ἀλληλούια ἦχος β΄. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου. (л. 71] Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ εὐαγγελίου. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Δεῖ γινώσκειν, ὅτι μετὰ τὴν παρέλευσιν τῆς ἑορτῆς τῶν ἁγίων Θεοφανίων, ἐπ' ἂν ἐπιστῇ ἡμέρα, μὴ ἔχουσα δύο ἁγίους, ἢ καὶ ἕνα μέγαν ἑορταζόμενον, ἀναψηφίζοντες τοὺς τῆς ἁγίας τεσσαρακοστῆς ἁγίους, τοὺς λα[γ]χάνοντας ἀπὸ τῆς β'. τῆς α'. ἑβδομάδος μέχρι τῆς νέας κυριακῆς τοῦ Θωμᾶ, ψάλλομεν αὐτούς.

Μηνὶ τῷ αὐτῷ ιθ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τοῦ ὁσίου στιχηρὰ γ'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Δόξα καὶ νῦν θεοτοκίον. Ἀντὶ προκειμένου, ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρα τῆς Ὀκτωήχου γ'. θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὴν παννυχίδα, εἰ μὲν οὐκ ἔφθασεν ἀκμὴν ἡ κυριακὴ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου, ψάλλομεν κανόνας τοὺς συνήθεις τῆς Ὀκτωήχου, εἰ δὲ διῆλθεν ἡ εἰρημένη κυριακή, ψάλλομεν κανόνας τῶν ἁγίων τῆς τεσσαρακοστῆς, ὡς ἐκεῖσε δηλονότι εἴρηται.

Εἰς τὸν ὄρθρον, ψάλλομεν ἀλληλούια, καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ ὁσίου καὶ μεγάλου Εὐθυμίου, οὗ ἡ ἀρχή· Καὶ παντὸς μὲν ἄλλου πράγματος. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς καὶ τοῦ ὁσίου ἕτερος ἦχος δ'. Θεοφάνους· Χοροὶ Ἰσραήλ, καὶ ἄλλος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, ἀνὰ δ'. προηγοῦνται δὲ οἱ κανόνες ἀεὶ πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κάθισμα τοῦ ἑτέρου ἁγίου καὶ θεοτοκίον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν, ἢ μᾶλλον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἡ α'. ὥρα, ὡς σύνηθες· ἀναγινώσκομεν δὲ τὰ Ἀποφθέγματα τοῦ ἁγίου Μακαρίου, ὁμοίως δὲ καὶ ἐν τῇ τραπέζῃ. Εἰς τὴν λειτουργίαν πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ἁγίου ἀνὰ β'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρα τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος β'. Τῶν ἐν τῷ βίῳ πραγμάτων, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα.... ταῖς αὐτοῦ (οϐ.] ἱκεσίαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον, Δόξα καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις,

ἐκ τοῦ βίου αὐτοῦ. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ· Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ'. ἦχος α'. πρὸς τὸ Πανεύφημοι μάρτυρες, δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος β'. Ὅσιε πάτερ. ἐκ βρέφους τὴν ἀρετήν, καὶ θεοτοκίον. Ἀπολυτίκιον, τὸ τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. τὸ τροπάριον τοῦ αὐτοῦ καὶ θεοτοκίον. Προκείμενον· Καυχήσονται ὅσιοι. στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς. Ζήτει κυριακὴ ιε'. Ἀλληλούια ἦχος πλ. β'. Μακάριος ἀνὴρ ὁ φοβούμενος. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος πάντα μοι παρεδόθη. Ζήτει τῇ ε'. τῆς δ'. ἑβδομάδος. Κοινωνικόν· Εἰς μνημόσυνον αἰωνίου.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ, καὶ τοῦ ἁγίου μάρτυρος Νεοφύτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν. εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ ἕτερα γ'. τοῦ μάρτυρος ἦχος πλ. δ'. πρὸς τὸ Οἱ μάρτυρές σου, Κύριε, Δόξα καὶ νῦν θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ἁγίου Εὐθυμίου. Κανόνες γ'. εἷς τῆς Ὀκτωήχου, καὶ ἕτερος τοῦ ὁσίου εἰς ἦχον πλ. δ'. Ἰωάννου μοναχοῦ· Ἄσωμεν τῷ Κυρίῳ, καὶ ἄλλος τοῦ μάρτυρος εἰς τὸν αὐτὸν ἦχον· Ἰγρὰν διοδεύσας, τοὺς γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος γ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ τοῦ μάρτυρος ἦχος δ'. καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κβ'. Τοῦ ἁγίου ἀποστόλου Τιμοθέου, καὶ τοῦ ὁσίου μάρτυρος Ἀναστασίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. Εἰς ἦχον α'. πρὸς τὸ Πανεύφημοι μάρτυρες, καὶ τοῦ ὁσίου μάρτυρος ἕτερα γ'.

εἰς τὸν αὐτὸν ἦχον, καὶ Θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος α'. Τὸν φωστῆρα τῶν πιστῶν καὶ ἀπόστολον, καὶ Θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Χρηστότητα ἐκδιδαχθείς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τροπάριον τὸ αὐτὸ β'. Δόξα, Οἱ μάρτυρές σου, Κύριε, καὶ νῦν Θεοτοκίον. (π. **72**) Αἱ στιχολογίαι. Ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου μαρτυρικὸν καὶ Θεοτοκίον. Ἀνάγνωσις· τὸ ἐγκώμιον τοῦ ἀποστόλου εἰς δόσιν μίαν, οὗ ἡ ἀρχή· Τιμόθεον τὸν μέγαν. Ἀπὸ β'. στιχολογίας, κάθισμα τοῦ ἀποστόλου ἦχος δ'. καὶ Θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ὁσιομάρτυρος Ἀναστασίου, οὗ ἡ ἀρχή· Τῆς μεγάλης πόλεως Ἱεροσολύμων. Κανόνας γ'. τῆς Ὀκτωήχου τοὺς δύο εἰς ς'. καὶ τῶν ἁγίων ἀμφοτέρους εἰς ς'. Θεοφάνους· Σοῦ ἡ τροπαιοῦχος δεξιά. Εἰ δὲ εἴη καὶ ἕτερος κανὼν τοῦ ἁγίου Τιμοθέου, λέγομεν τῆς Ὀκτωήχου τὸν ἕνα εἰς δ'. καὶ τοῦ ἁγίου Ἀναστασίου τροπάρια β'. καὶ β'. τοῦ ἀποστόλου ἐκ τοῦ προρρηθέντος κανόνος καὶ τὸν ἕτερον τοῦ ἀποστόλου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος ἦχος πλ. δ'. καὶ Θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἀποστόλου. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ β'. τῆς Ὀκτωήχου καὶ ἰδιόμελον τοῦ ὁσιομάρτυρος ἦχος πλ. α'. Ὅσιε Πάτερ. νικητὴς Μήδων καὶ Χαλδαίων, καὶ Θεοτοκίον. Ἀπολυτίκιον, τὸ τοῦ ἀποστόλου· Χρηστότητα ἐκδιδαχθείς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ γ'. τὸ τροπάριον αὐτοῦ καὶ Θεοτοκίον. Προκείμενον ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, χάριν ἔχω. Ζήτει κυριακῇ λγ'. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· πᾶς ὅστις ὁμολογήσει. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ εὐαγγελίου. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ κγ'. τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας καὶ Ἀγαθαγγέλου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκεκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Κλήμεντος γ'. ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, καὶ τοῦ ἁγίου Ἀγαθαγγέλου ἕτερα γ'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ Θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου Κλήμεντος ἦχος πλ. δ'. Τὴν τῶν χρόνων τετραχῶς, Δόξα καὶ νῦν Θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἱερομάρτυρος ἦχος πλ. δ'. Κλῆμα ὁσιότητος

καὶ στέλεχος ἀθλήσεως, ἄνθος ἱερώτατον καὶ κάρπωσις θεόσδοτος τοῖς πιστοῖς, μακάριε, ἀειθαλὲς διδώρησαι· ἀλλ' ὡς μαρτύρων σύναθλος καὶ ἱεραρχῶν σύσκηνος, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα. Ἀπὸ α'. στιχολογίας τῆς Ὀκτωήχου. ἀπὸ β'. στιχολογίας. καθισμα τοῦ ἁγίου Ἀγαθαγγέλου, ἦχος δ'. καὶ θεοτοκίον. (οβ.] Ἀνάγνωσις· τὸ μαρτύριον αὐτοῦ, οὗ ἡ ἀρχή· Μετὰ τὸ διακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος, εἰς δύσεις δ'. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς. καὶ ἕτερος τοῦ ἁγίου Κλήμεντος ἦχος πλ. β'· Ὡς ἐν ἠπείρῳ. καὶ ἕτερος τοῦ ἁγίου Ἀγαθαγγέλου ἦχος δ'. Ἰωσήφ· Ὁ πατάξας Αἴγυπτον. Ἀπὸ γ'. ᾠδῆς. κάθισμα τοῦ ἱερομάρτυρος ἦχος πλ. δ'. καὶ θεοτοκίον. ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων. στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τοῦ ἁγίου ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον. τὸ τοῦ ἱερομαρτυρος.

Εἰς τὴν λειτουργίαν. τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας· τροπάριον τὸ τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς, Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου. Κύριε. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ κδ'. τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν. εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ὁσίας γ'. ἦχος πλ. δ'. πρὸς τὸ Οἱ μάρτυρές σου, Κύριε· καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, Δόξα καὶ νῦν θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ καταλειφθὲν ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου Κλήμεντος. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τῆς ὁσίας ἕτερος ἦχος πλ. δ'. Ἰγνατίου· Ἆσμα ἀναπέμψωμεν λαοί, καὶ ἕτερος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς ἀνὰ δ'. προηγοῦνται δὲ πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς. κάθισμα τῆς ὁσίας ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος αὐτῆς. οὗ ἡ ἀρχή· Ὁ καινὸς καὶ ξένος. Ἀπὸ ς'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κε'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἐκ β'. ἦχος α'. πρὸς τὸ Πανεύφημοι μάρτυρες, καὶ Θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ'. Τὰς καρδίας τῶν πιστῶν, Δόξα καὶ νῦν Θεοτοκίον. Ἀπολυτίκιον, ἦχος α'. Ὁ ποιμενικὸς αὐλὸς τῆς θεολογίας σου. (π. **73**]

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος. τροπάριον τὸ αὐτὸ καὶ Θεοτοκίον. Αἱ στιχολογίαι. Ἀπὸ α'. στιχολογίας, καθίσματα τῆς Ὀκτωήχου, ἀπὸ β'. κάθισμα τοῦ ἁγίου ἦχος γ'. καὶ Θεοτοκίον. Ἀνάγνωσις· ὁ συνταχτήριος τοῦ Θεολόγου, οὗ ἡ ἀρχή· Ἰδοὺ ὑμῖν τὰ ὑμέτερα, εἰς δόσεις γ'. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ ἁγίου εἰς τ'. ἦχος α'. πρὸς τὸ Χριστὸς γεννᾶται, Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. καὶ Θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου. γ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, καὶ ἄλλο ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, καὶ Θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος α'. Τὴν λύραν τοῦ πνεύματος, Δόξα καὶ νῦν Θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ τ'. τροπάριον τοῦ αὐτοῦ καὶ Θεοτοκίον. Προκείμενον ἦχος α'. Τὸ στόμα μου λαλήσει σοφίαν, στίχος· Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἑκάστῳ δίδοται ἡ φανέρωσις. Ζήτει Νοεμβρίου ιζ'. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε, ἢ μᾶλλον· Προσέχετε λαός μου τὸν νόμον μου. Στίχος· Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ κ'. Τοῦ ἁγίου Ξενοφῶντος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν τ'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ἁγίου ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε, καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς καὶ Θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ Θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια, καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς καὶ ἕτερος τοῦ ἁγίου ἦχος β'.

Θεοφάνους· Δεῦτε λαοί, καὶ ἕτερος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, ἀνὰ δ'. προηγοῦνται δὲ πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Ξενοφὼν ὁ θαυμάσιος. Ἀπὸ ς'. κάθισμα τοῦ ἁγίου τῆς τεσσαρακοστῆς καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κζ'. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ ἕτερα γ'. εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος δ'. (οβ.] Οὐκ ἔδει σε. Χρυσόστομε, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Ἡ τοῦ στόματός σου.

Εἰς τὴν παννυχίδα, κανὼν παρακλητικὸς τοῦ Χρυσοστόμου. Ἀπὸ γ'. οὐδέν· ἀπὸ ς'. τὸ κοντάκιον· Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου ἀπὸ τῆς α'. στιχολογίας· ἀπὸ δὲ τῆς β'. κάθισμα τοῦ ἁγίου πρὸς τὸ Ὁ ὑψωθείς, καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος Κοσμᾶ Βεστήτορος εἰς τὴν ἀνακομιδὴν τοῦ Χρυσοστόμου· καὶ ἕτερος λόγος εἰς τὴν μετάφρασιν τοῦ Λογοθέτου· Ὑπόμνημα εἰς τὴν ἐπάνοδον, οὗ ἡ ἀρχή· Ἀλλὰ πῶς ἄν τις. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ ἁγίου ὁμοίως εἰς ς'. ἦχος πλ. δ'. Ἰωάννου μοναχοῦ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον ἦχος α'. Χορὸς ἀγγελικός. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον ἦχος α'. Ἀγάλλεται σήμερον, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ δ'. τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ κοντάκιον αὐτοῦ· Ἐκ τῶν οὐρανῶν ἐδέξω. Προκείμενον ἦχος α'. Τὸ στόμα μου λαλήσει. στίχος· Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ζήτει Σεπτεμβρίου β'. Ἀλληλούια ἦχος β'. Στόμα δικαίου μελετήσει σοφίαν, στίχος β'. Ὁ νόμος τοῦ Θεοῦ

αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα. Ζήτει ἐν τῷ Μηνολογίῳ τοῦ εὐαγγελίου. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ', ἀνὰ β'. ἦχος α'. καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β'. Εὐφρόνως τῶν ὀχληρῶν, καὶ θεοτοκίον. Ἀπολυτίκιον· Ταῖς τῶν δακρύων σου ῥοαῖς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Ἀπὸ τοῦ α'. καθίσματος, καθίσματα τῆς Ὀκτωήχου, ὁμοίως δὲ καὶ ἀπὸ τοῦ β'. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Ἐφραὶμ ὁ θαυμάσιος. Κανόνες γ'. οἱ β'. τῆς Ὀκτωήχου εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. α'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἕτερον τοῦ ὁσίου ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. (π. 74] Προκείμενον, ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀλληλούια ἦχος πλ. β'. Μακάριος ἀνήρ. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ κδ'. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Ἰγνατίου τοῦ θεοφόρου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. εἰς ἦχον α'. πρὸς τὸ Τῶν οὐρανίων ταγμάτων, καὶ ἕτερα γ'. εἰς ἦχον δ'. πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ'. Θεοφόρε Ἰγνάτιε, τὸν σόν, Δόξα καὶ νῦν θεοτοκίον· Ἀπολυτίκιον, ἦχος δ'. Καὶ τρόπων μέτοχος.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος δ'. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ', πρὸς τὸ Ταχὺ προκατάλαβε, καὶ θεοτοκίον.

Ἀνάγνωσις· Ἐγκώμιον τοῦ Χρυσοστόμου εἰς τὸν ἅγιον Ἰγνάτιον. Ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος α'. Στήλη ἔμψυχος, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου· Καὶ τρόπων.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ λ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου. Ἑσπέρας. μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων, καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια, καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἀπὸ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ ἕτερος τοῦ ἁγίου ἦχος δ'. Ἰωάννου μοναχοῦ· Ἅρματα Φαραώ, καὶ ἕτερος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς· προηγοῦνται δὲ πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τοῦ ἑτέρου ἁγίου τῆς τεσσαρακοστῆς. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ λ'. Τῶν ἁγίων μαρτύρων Κύρου καὶ Ἰωάννου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἀνὰ β'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωηχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων ἦχος β'. (οβ.) Δεῦτε τῶν πιστῶν ὁ σύλλογος, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον ἦχος πλ. α'. Τὰ θαύματα τῶν ἁγίων σου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκιον. Αἱ στιχολογίαι. Ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπὸ β'. τὸ προσόμοιον τῆς ἡμέρας. Ἀνάγνωσις· τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Κύριος ὁ περιφανής. Κανόνες γ'. οἱ β'. τῆς

Ὀκτωήχου εἰς ς'. καὶ τῶν ἁγίων ὁμοίως εἰς ς'. ἦχος δ'. πρὸς τὸ Θαλάσσης τὸ ἐρυθραῖον· Ἰωάννου μοναχοῦ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος δ'. πρὸς τὸ Ὁ ὑψωθείς, καὶ θεοτοκίον. Ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον τῶν ἁγίων.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον ἦχος δ'. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, στίχος· Προωρώμην τὸν Κύριον. Ἀλληλούια ἦχος β'. Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μὴν Φεβρουάριος.

Μηνὶ Φεβρουαρίῳ α'. Προεόρτια τῆς Ὑπαπαντῆς, καὶ τοῦ ἁγίου μάρτυρος Τρύφωνος. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ προεόρτια β'. δευτεροῦντες τὸ ἓν ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ ἕτερα γ'. τοῦ μάρτυρος ἦχος ὁ αὐτός, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον τῆς ἑορτῆς ἦχος α'. Ὁ παλαιὸς ἡμερῶν. Ἀπολυτίκιον ἦχος α'. Χορὸς ἀγγελικὸς ἐκπληττέσθω τὸ θαῦμα, βροτοὶ δὲ ταῖς φωναῖς ἀνακράζομεν ὕμνον, ὁρῶντες τὴν ἄφατον τοῦ Θεοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι τῶν οὐρανῶν αἱ δυνάμεις, νῦν γηραλέαι ἐναγκαλίζονται χεῖρες, τὸν μόνον φιλάνθρωπον.

Εἰς τὴν παννυχίδα, κανὼν προεόρτιος. Ἀπὸ γ'. οὐδέν· ἀπὸ ς'. κάθισμα προεόρτιον, χωρὶς τοῦ Δόξα καὶ νῦν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ προεόρτιον τροπάριον ἐκ γ'. Αἱ στιχολογίαι, καθίσματα β'. Ἀπὸ α'. στιχολογίας, κάθισμα προεόρτιον ἦχος α'. Οὐράνιος χορός, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀπὸ β'. στιχολογίας, ἕτερον εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Τοῦ λίθου σφραγισθέντος, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· τὸ τοῦ ἁγίου μαρτύριον, οὗ ἡ ἀρχή· Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν. Κανόνες γ'. ὁ προεόρτιος ἦχος δ'. Γεωργίου· Θαλάσσης τὸ ἐρυθραῖον· καὶ τοῦ μάρτυρος ἦχος πλ. δ'. (π. **75**] Θεοφάνους· Ὑγρὰν διοδεύσας· καὶ ἕτερος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, ἀνὰ δ'. Προηγοῦνται δὲ πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ τοῦ ἁγίου τοῦ προψαλλομένου, καὶ θεοτοκίον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος εἰς τὸν ἐνε-

στῶτα ἦχον. Εἰς δὲ τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον τῆς ἑορτῆς ἦχος βαρύς· Φῶς εἰς ἀποκάλυψιν. Ἀπολυτίκιον, τὸ προεόρτιον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας. Προκείμενον δὲ ἦχος πλ. β'. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θυγατερ. Ἀλληλούια ἦχος πλ. δ'. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσιν σου. Κοινωνικόν· Ποτήριον.

Εἰ δὲ τύχῃ ἡ προεόρτιος αὕτη ἡμέρα τῇ δ'. ἢ τῇ παρασκευῇ τῆς τυροφάγου, εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τὰ προγραφέντα προεόρτια στιχηρά, μετὰ καὶ τοῦ ἁγίου ὁμοίως. Ἀντὶ δὲ προκειμένου, Ἀλληλούια. Εἰς δὲ τὸν στίχον, τὸ ἰδιόμελον τοῦ Τριῳδίου β'. καὶ μαρτυρικόν, Δόξα καὶ νῦν τὸ προγεγραμμένον στιχηρόν· Ὁ παλαιὸς ἡμερῶν, καὶ ἀπολυτίκιον τὸ προγραφέν. Εἰς τὴν παννυχίδα, τὸν κανόνα, ὡς εἴρηται.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια εἰς ἦχον α'. καὶ τὸ προεόρτιον τροπάριον ἐκ γ'. καὶ καθεξῆς πᾶσα ἡ ἀκολουθία, καθὼς δεδήλωται, καὶ αἱ ὧραι ἐν τῷ κοινῷ μετὰ καὶ στιχολογιῶν, ἤγουν ἡ γ'. καὶ θ'. ἄνευ τῆς α'. καὶ ς'. καὶ χωρὶς μετανοιῶν. Ἀρχὴ δὲ ὥρας ς'. σημαίνει τὴν θ'. καὶ μετὰ τὴν στιχολογίαν, λέγομεν τὸ προεόρτιον τροπάριον, ὡς καὶ ἐν πάσαις ταῖς ὥραις· οὐ γὰρ λέγομεν τὰ προκείμενα τῶν ὡρῶν, καθὼς ἔθος ἐστὶν ἐν ταῖς στιχολογίαις, ὅτε ψάλλομεν Ἀλληλούια, ἀλλ' εὐθύς, ὡς εἴρηται, τὸ τροπάριον τὸ προεόρτιον, Δόξα καὶ νῦν τὸ θεοτοκίον· Ὁ δι' ἡμᾶς, καὶ καθεξῆς ἡ ἀκολουθία τῆς θ'. ὥρας. Εἶτα, μετὰ τὸ ταύτης τέλος, εὐθὺς λέγομεν τὸ Μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, Κύριε· καὶ καθεξῆς τὰ λοιπὰ, καθὰ τῇ τεσσαρακοστῇ ποιοῦμεν. Εἶτα θυμιάσαντος τοῦ διακόνου καὶ τῆς ἀκολουθίας τέλος δοθείσης, ἀρχόμεθα τοῦ ἑσπερινοῦ. Καὶ εἰ ἐστίν, ὡς εἴρηται, ἡ παραμονὴ τῆς Ὑπαπαντῆς, εἴη δὲ καὶ ἡ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τοῦ Τριῳδίου τὸ ἰδιόμελον ἐκ δευτέρου, εἶτα τῶν ἁγίων Πατέρων τὰ γ'. πρὸς μίαν ἦχος πλ. δ'. Δεῦτε ἅπαντες πιστοί, ἔπειτα τὰ τῆς ἑορτῆς ἦχος βαρύς· Κατακόσμησον, καὶ τὰ ἕτερα δύο ἐφ' ἅπαξ, Δόξα καὶ νῦν ἦχος πλ. β'. Ἀνοιγέσθω ἡ πύλη. Ἔπειτα, μετὰ τὴν εἴσοδον, τὰ τῆς ἡμέρας ἀναγνώσματα, εἶτα τὰ τῆς ἑορτῆς. Ἀντὶ δὲ τοῦ Κατευθυνθήτω, ψάλλομεν προκείμενον ἦχος πλ. β'. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον καὶ (μετὰ) τῶν στίχων αὐτοῦ. (**οδ.**] καὶ καθεξῆς ἡ θεία λειτουργία τῶν Προηγιασμένων.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, ψάλλομεν κανόνας β'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, καὶ τῶν ἁγίων Πατέρων εἰς η'. Ἀπὸ γ'. ᾠδῆς, κά-

θισμα τῶν ἁγίων, καὶ ἀπὸ ς'. τὸ κοντάκιόν αὐτῶν. Ἀπολυτίκιον τῶν ἁγίων πατέρων καὶ ἡ συνήθης ἀνάγνωσις. Εἰς δὲ τὸν ὄρθρον, ψάλλομεν πᾶσαν τὴν ἀκολουθίαν τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς.

Ἐὰν δὲ τύχῃ αὐτὴ ἡ ἡμέρα τῆς Ὑπαπαντῆς τῇ δ'. ἢ τῇ παρασκευῇ τῆς τυροφάγου, τῇ γ'. ἢ τῇ ε'. ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες η'. ψάλλομεν τὸ ἰδιόμελον τοῦ Τριῳδίου στιχηρὸν ἐκ β'. εἶτα τὰ προγεγραμμένα τῆς ἑορτῆς στιχηρὰ εἰς ἦχον βαρὺν τὰ γ'. ἀνὰ δεύτερον. Δόξα καὶ νῦν τὸ α'. Κατακόσμησον, εἶτα τὸ προκείμενον καὶ τὰ ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς δὲ τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς ἦχος β'. Ζήτει εἰς τὴν αὐτὴν ἑορτὴν μετὰ τῶν στίχων αὐτῶν. Δόξα καὶ νῦν, Ἀνοιγέσθω ἡ πύλη, καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἦχος α'. Χαῖρε, κεχαριτωμένη.

Εἰς δὲ τὴν παννυχίδα, ζήτει τοὺς κανόνας τῆς ἀγρυπνίας, οὓς ἔχει εἰς τὴν αὐτὴν ἑορτήν, ὁμοίως δὲ καὶ τὴν λοιπὴν πᾶσαν ἀκολουθίαν.

Εἰς τὸν ὄρθρον, πᾶσα ἡ ἀκολουθία τῆς ἑορτῆς, ὡς ἐκεῖσε διαγορεύει· ἄγομεν δὲ καὶ ἀργίαν τῶν ὡρῶν ἐν τῷ μέσῳ. Πρὸς ὥραν δὲ θ'. σημαίνει τὴν θ'. καὶ ψάλλομεν αὐτὴν ἐν τῷ ναῷ χωρὶς στιχολογίας, εἶτα τὸ τῆς ἑορτῆς τροπάριον, Δόξα καὶ νῦν, θεοτοκίον· Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ εὐθέως τὸ τροπάριον τῆς προφητείας, καὶ ἡ προφητεία τῆς ς'. ὥρας, εἶτα Μὴ δὴ παρσθῶμεν ἡμᾶς εἰς τέλος, Τρισάγιον, Κύριε ἐλέησον μ'. αἱ γ'. προσκυνήσεις, καὶ αἱ συνήθεις εὐχαί, καὶ μετὰ τὸ τέλος τῆς εὐχῆς, τὸ Μνήσθητί μου καὶ τὰ λοιπά, ὡς σύνηθες, καὶ ἀρχόμεθα τοῦ ἑσπερινοῦ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τοῦ Τριῳδίου τῆς παρασκευῆς β'. εἶτα τὰ τῆς ἑορτῆς ἰδιόμελα στιχηρὰ ἦχος α'. Λέγε Συμεών καὶ τὰ ὅμοια τούτῳ, ἐφ' ἅπαξ, εἶτα ἕτερα γ'. τοῦ δικαίου Συμεών ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος βαρύς· Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, εἶτα εἴσοδος, καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ τὸ προκείμενον· Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, χωρὶς τοῦ Ψαλμὸς τῷ Δαβίδ. Καὶ μετὰ τοῦτο, γίνεται συναπτὴ ὑπὸ τοῦ διακόνου, καὶ εὐθὺς τὸ Τρισάγιον, εἶτα τὸ προκείμενον τῆς ἑορτῆς· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Ὁ ἀπόστολος, τὸ Ἀλληλούια, τὸ εὐαγγέλιον, πάντα τῆς ἑορτῆς, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. (**π. 76**] Ἡ δὲ εἴσοδος γίνεται μετὰ τοῦ εὐαγγελίου καὶ τῶν μονογενῶν τῆς εἰσόδου.

Μηνὶ τῷ αὐτῷ β'. ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰ μή που εἴη σαββάτῳ ἑσπέρας· τότε γὰρ στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, πλὴν οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν. Εἰς γὰρ τὸ Κύριε ἐκέκραξα ἱστῶντες η'. ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς γ'. ἦχος βαρύς· Κατακόσμησον ἐκ β'. ἕτερον· Τὸν ὀχούμενον, ἐκ γ'. Ἕτερον· Τὸν ἐκλάμψαντα, ἐκ γ'. Δόξα καὶ νῦν τὸ α'. Κατακόσμησον. Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ τῆς ἡμέρας προκείμενον, τὰ τῆς ἑορτῆς ἀναγνώσματα· τὸ α'. Ἡσαΐου· Ἐγένετο τοῦ ἔτους. Ζήτει τῇ ε'. τῆς β'. ἑβδομάδος, τὸ β'. Ἰεζεκιήλ· Ἔσται ἀπὸ τῆς ἡμέρας. Ζήτει εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου. τὸ γ'. Παροιμιῶν· Κύριος ἔκτισέ με. Ζήτει εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, γ'. ἦχος β'. Τὸν ἱερὸν ἡ ἱερὰ Παρθένος. Στίχος· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα. Ἄλλο· Ὄνπερ οἱ ἄνω λειτουργοὶ τρόμῳ. Στίχος· Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. Ἕτερον· Ὁ κτίστης οὐρανοῦ καὶ γῆς. Δόξα καὶ νῦν ἦχος πλ. β'. Ἀνοιγέσθω ἡ πύλη. Ἀπολυτίκιον, ἦχος α'. Χαῖρε, κεχαριτωμένη Θεοτόκε, Παρθένε.

Εἰς τὴν παννυχίδα, κανὼν ὁ κατανυκτικὸς τῆς ἡμέρας εἰς ς'. καὶ τῆς ἑορτῆς Γερμανοῦ ἦχος δ'. Ἄσωμαί σοι, Κύριε ὁ Θεός μου, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τὸ κατανυκτικόν· ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, ἀκαταίσχυντε. Εἰ δὲ εἴη κυριακὴ ἑσπέρας, ζήτει ἕτερον κανόνα τοῦ ἤχου κατανυκτικόν, ἤγουν τῆς β'. ἑσπέρας, καὶ μετὰ τὴν παννυχίδα, ἡ τοῦ Πραξαποστόλου ἀνάγνωσις.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος ἦχος α'. καὶ τὸ τῆς ἑορτῆς τροπάριον ἐκ γ'. Αἱ στιχολογίαι, καθίσματα β'. τῆς ἡμέρας· λέγομεν δὲ καθίσματα τῆς ἑορτῆς. Ἀπὸ α'. στιχολογίας, κάθισμα ἦχος δ'. πρὸς τὸ Ταχὺ προκατάλαβε. Σαρκὶ νηπιάσαντα. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις τῆς ἑορτῆς· λόγος Μεθοδίου Πατάρων, οὗ ἡ ἀρχή· Πάλαι ἱκανῶς ὡς οἷόν τε, εἰς δόσεις β'. Ἀπὸ β'. στιχολογίας ἕτερον κάθισμα εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ὁ ὑψωθείς. Χρηματισθεὶς παρὰ Θεοῦ. (οβ.] Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις β'. τοῦ εἰρημένου λόγου, ἔπειτα ὁ πολυέλεος, καὶ κάθισμα ἐν τῷ Μηναίῳ ἦχος α'. Ὁ ὢν σὺν τῷ Πατρί, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου ὁ περὶ φιλοπτωχίας, οὗ ἡ ἀρχή· Ἄνδρες ἀδελφοί, εἰς δόσεις β'. Εἶτα οἱ ἀναβαθμοί, ἦχος δ'. ἀντίφωνον ἓν, εἰ δὲ εἴη κυριακή, τὰ γ'. τοῦ ἤχου ἀντίφωνα. Προκείμενον τῆς ἑορτῆς ἦχος δ'. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ζήτει εἰς τὸ εὐαγγέλιον τῆς λειτουργίας ἀπὸ τὸ μέσον·

Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἰερουσαλήμ, ᾧ ὄνομα Συμεών. Εἶτα ὁ Ν'. ὁ κανὼν τῆς ἑορτῆς Κοσμᾶ μοναχοῦ χωρὶς ἐνάρξεως τῶν ᾠδῶν ἦχος γ'. Χέρσον ἀβυσσοτόκον· τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ δ'. ἔσχατον δὲ καὶ πάλιν ὁμοῦ ἀμφότεροι οἱ χοροί, τὴν καταβασίαν ἐφ' ἅπαξ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα ἦχος δ'. πρὸς τὸ Κατεπλάγη. Νηπιάζεις δι' ἐμέ'. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις τὸ ὑπολειφθὲν τοῦ περὶ φιλοπτωχίας λόγου τοῦ Θεολόγου. Ἀπὸ ς'. τὸ κοντάκιον ἦχος γ'. Ὁ μήτραν παρθενικήν, καὶ οἴκους κἂν γ'. εἰ ἔχει ἡ ὥρα, ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Ἐξαποστειλάριον· Ἐναγκάλιζε Χριστόν, καὶ ἕτερον· Ἐν πνεύματι τῷ ἱερῷ. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἐκ β'· ἦχος α'. Λέγε Συμεών. Δέχου Συμεών. Δεῦτε καὶ ἡμεῖς. Δόξα ἰδιόμελον ἦχος β'. Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις. Καὶ νῦν. Σήμερον τὸν Χριστὸν ἐν τῷ ναῷ. Δοξολογία μεγάλη καὶ ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς. Εἰ γὰρ καὶ κυριακὴ τύχῃ, οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνον α'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθε τῷ Κυρίῳ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἀντίφωνον β'. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου. Ἀντίφωνον γ'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἦχος α'. καὶ τροπάριον τῆς ἑορτῆς· Χαῖρε κεχαριτωμένη. Εἰς δὲ τὴν εἴσοδον· Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε. Δόξα καὶ νῦν, τὸ κοντάκιον. Προκείμενον ἦχος γ'. ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον· στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, χωρὶς πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Ἀλληλούια ἦχος πλ, δ'. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, στίχος β'. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. (л. **77**] Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον Ἰησοῦν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Μηνὶ τῷ αὐτῷ γ'. Μεθέορτα καὶ ἡ μνήμη τοῦ δικαίου Συμεών. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἰδιόμελα ἦχος α'. Λέγε Συμεών. Καὶ τὰ ἕτερα β'. ἔπειτα ἕτερα γ'. τοῦ δικαίου ἦχος δ'. πρὸς τὸ Ἑδώκας σημείωσιν, Δόξα καὶ νῦν στιχηρὸν προσόμοιον τῆς ἑορτῆς· Φῶς εἰς ἀποκάλυψιν. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς· γ'. ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ. Φέρουσα ἡ ἁγνή. Δέχου, ὦ Συμεων. Νῦν

εἶδον, ἀγαθέ. Λέγομεν δὲ καὶ τοὺς στίχους τῆς ἑορτῆς. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος α'. Σήμερον ὁ πάλαι τῷ Μωσεῖ ἐν Σινᾷ. Ἀπολυτίκιον τῆς ἑορτῆς. Παννυχίδα δὲ οὐ ψάλλομεν, εἰ μή που εἴη κυριακή, τουτέστιν ἀγρυπνία.

Εἰς τὸν ὄρθρον, εἰ μή ἐστι κυριακὴ, ἐγειρόμεθα πρὸς ὥραν θ'. καὶ ψάλλομεν εἰς τὸ Θεὸς Κύριος, τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. ἡ στιχολογία, κάθισμα ἓν, κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις· Λογος τοῦ Χρυσοστόμου εἰς τὴν ἑορτήν, οὗ ἡ ἀρχή· Οὐ μόνον φορεῖ σάρκα. Ὁ Ν'. καὶ κανόνες β'. τῆς ἑορτῆς εἰς ς'. Χέρσον ἀβυσσοτόκον, καὶ τοῦ ἁγίου ἦχος δ'. Ἰωσήφ, εἰς ς'. λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν. Ἀπὸ γ'. φῶς, κάθισμα τοῦ ἁγίου ἦχος δ'. Ἐν τῷ ὄρει τῷ Σινᾷ. Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις· Λόγος τοῦ ἁγίου Κυρίλλου εἰς τὴν αὐτὴν ἑορτήν, οὗ ἡ ἀρχή· Χαῖρε σφόδρα, θύγατερ. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους γ'. Ἐξαποστειλάριον· Ἐν πνεύματι τῷ ἱερῷ. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ. Ὅνπερ οἱ λειτουργοί. Μέγα καὶ φοβερόν. Χαῖρε ἡ τὴν χαράν. Λέγομεν δὲ καὶ τοὺς στίχους τῆς ἑορτῆς. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος πλ. β'. Ὁ ἐν χερσὶ πρεσβυτικαῖς. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἑορτῆς ἦχος δ'. τροπάριον καὶ κοντάκιον ὁμοίως τὰ τῆς ἑορτῆς. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, Χριστὸς παραγενόμενος. Ζήτει κυριακῇ ε'. τῶν νηστειῶν. Ἀλληλούια τῆς ἑορτῆς. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ζήτει τῆς ἑορτῆς ἀπὸ τὸ μέσον. Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών. Κοινωνικόν· Εἰς μνημόσυνον.

Εἰ δὲ κυριακῇ τύχῃ, ἑσπέρας, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, καὶ ψάλλομεν στιχηρὰ τὰ ἀναστάσιμα τοῦ ἤχου, δευτεροῦντες τὸ α'. ὁμοίως καὶ τὰ γ'. τοῦ ἁγίου δευτεροῦντες τὸ α'. (**οδ.**] Δόξα καὶ νῦν τὸ δογματικὸν θεοτοκίον. Εἴσοδος καὶ τὸ προκείμενον. Εἰς δὲ τὸν στίχον τὸ ἀναστάσιμον ἅπαξ καὶ δύο ἐκ τῶν εἰρημένων τῆς ἑορτῆς πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ, Δόξα καὶ νῦν, Ὁ ἐν χερσὶ πρεσβυτικαῖς. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, ὡς σύνηθες ἀεί, τοῦ ἤχου πάντα.

Ὁμοίως καὶ ἐν τῷ ὄρθρῳ, αἱ στιχολογίαι. Καθίσματα ἀναστάσιμα καὶ ἡ ὑπακοὴ τοῦ ἤχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Οἱ ἀναβαθμοί, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, οἱ κανόνες· ὁ ἀναστάσιμος εἰς ς'. καὶ τῆς ἑορτῆς εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. Εἰς τοὺς αἴνους, τὰ δ'. ἀναστάσιμα, καὶ τὰ εἰρημένα γ'.

τῆς ἑορτῆς, καὶ ἓν τὸ καταλειφθὲν τὸ ἑσπέρας πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ, Δόξα, ἰδιόμελον· Ὁ ἐν χερσὶ πρεσβυτικαῖς, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ οἱ μακαρισμοὶ τῆς κυριακῆς τροπάρια γ'. καὶ ἕτερα γ'. τροπάρια τῆς ἑορτῆς, τροπάριον ἀναστάσιμον, εἰς τὸ Δόξα καὶ νῦν, τὸ τῆς ἑορτῆς κοντάκιον. Ἀπόστολος καὶ εὐαγγέλιον ἀμφότερα. Κοινωνικόν· Αἰνεῖτε καὶ Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ δ'. Μεθέορτα, καὶ τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ β'. τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ὡς γενναῖον, καὶ ἕτερα β'. τοῦ προψαλλομένου ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρά, εἰ μὲν τύχῃ τῇ ἑβδομάδι τῆς τροφάγου, ἢ ἔσωθεν τῆς τεσσαρακοστῆς, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ μαρτυρικὸν καὶ θεοτοκίον, εἰ δὲ ἔξωθεν τῶν τοιούτων ἡμερῶν, στιχηρὰ τῆς Ὀκτωήχου γ'. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος β'. Σήμερον Συμεὼν ὁ πρεσβύτης. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα κανὼν τοῦ προψαλλομένου ἁγίου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Αἱ στιχολογίαι καθίσματα β'. καθίσματα τῆς ἑορτῆς, εἰ δὲ τύχῃ σταυρώσιμον, ἢ ἀναστάσιμον, τῆς ἡμέρας. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου τῆς εἰς τὸ κατὰ Ματθαῖον ἑρμηνείας τοῦ Χρυσοστόμου. Κανόνες γ'. ὁ τῆς ἑορτῆς εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, καὶ ἕτερος τοῦ προψαλλομένου ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδὴ κάθισμα τοῦ ἁγίου ἦχος πλ. β'. πρὸς τὸ Ἐλπὶς τοῦ κόσμου ἀγαθή, Δόξα καὶ νῦν, τὸ αὐτὸ θεοτοκίον. Ἀπὸ ς'. τὸ τῆς ἑορτῆς κοντάκιον καὶ οἶκους γ'. Ἐξαποστειλάριον· Ἐναγκάλισαι Χριστόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς ἦχος δ'. Σήμερον ἡ ἱερὰ μήτηρ. Εἰ δὲ τύχῃ ἔσωθεν τῆς τεσσαρακοστῆς, ὡς εἴρηται, τῇ ἑσπέρᾳ. (л. **78**].

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ τὰ ὑπολειφθέντα τροπάρια τῶν μακαρισμῶν τῆς ἑορτῆς, καὶ τὸ τροπάριον ὁμοίως καὶ τὸ κοντάκιον. Προκείμενον ἦχος πλ. β.. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ. Ἀλληλούια τῆς ἑορτῆς, ὁ β'. στίχος· Φῶς εἰς ἀποκάλυψιν. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Μηνὶ ε'. Μεθέορτα καὶ ἁγίας Ἀγάθης, ψάλλομεν δὲ καὶ τὸν ἅγιον ἱερομάρτυρα Βουκόλον διὰ τὸ ἀποδιδόναι τὴν ἑορτὴν εἰς τὰς ς'. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ τῆς ἁγίας ἕτερα β'. ἦχος ὁ αὐτός, καὶ τοῦ ἱερομάρτυρος β'. ἦχος πλ. β'. πρὸς τὸ Τριήμερος ἀνέστης, Χριστέ, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος πλ. α'. Ἐρευνᾶτε τὰς Γραφάς. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. εἰ οὐκ ἔστι τεσσαρακοστή, Δόξα καὶ νῦν ἰδιόμελον ἦχος πλ. δ'. Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Αἱ στιχολογίαι. Καθίσματα, εἰ τύχῃ σταυρώσιμος ἡμέρα ἢ ἀναστάσιμος, τῆς ἡμέρας, εἰ δὲ μή γε, τῆς ἑορτῆς. Αἱ ἀναγνώσεις· ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. ἀνὰ δ'. ὁ τῆς ἑορτῆς καὶ τῆς ἁγίας ἦχος β'. Θεοφάνους· Δεῦτε λαοί, καὶ τοῦ ἁγίου Βουκόλου ἦχος πλ. β'. Θεοφάνους· Ὡς ἐν ἠπείρῳ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἱερομάρτυρος ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους γ'. Ἐξαποστειλάριον· Ἐναγκάλισαι Χριστόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος πλ. α'. Ὁ παλαιὸς ἡμερῶν. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ οἱ μακαρισμοὶ τῆς ἑορτῆς, ὁμοίως τό τε τροπάριον καὶ τὸ κοντάκιον. Προκείμενον, ὃ λέγεται εἰς τὸ Πᾶσα πνοὴ ἦχος δ'. Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἀλληλούια ἦχος πλ. δ'. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου λήψομαι.

Μηνὶ τῷ αὐτῷ εἰς τὴν ς'. Μεθέορτα, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Βουκόλου, ἐπισκόπου Σμύρνης. Ἐν ταύτῃ ἀποδίδοται ἡ ἑορτή, τὸν δὲ ἅγιον Βουκόλον ἐψάλλομεν εἰς τὴν ε'. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ γ'. τῆς ἑορτῆς στιχηρὰ ἐκ β'. ἦχος βαρύς· Κατακόσμησον, καὶ ἕτερα β'. τὰ τούτῳ ὅμοια, Δόξα καὶ νῦν τὸ α'. ἐξ αὐτῶν. Εἰς τὸν στίχον, εἰ μὲν τύχῃ ἡ τῆς τυροφάγου (οβ.] ἑβδομάς, λέγομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. εἶτα καὶ ἰδιόμελον τῆς ἑορτῆς πρὸς τὸν ἦχον τοῦ στιχηροῦ τῆς ἡμέρας, Δόξα καὶ νῦν ἰδιόμελον, ἦχος πλ. β'. Ἀνοιγέσθω ἡ πύλη. Εἰ δὲ ἔξωθεν τύχῃ τῆς τυροφάγου, πάντα τὰ στιχηρά, καθὼς προεγράφησαν ἐν τῇ ἑορτῇ μετὰ καὶ τῶν στί-

χων αὐτῶν, ἦχος β'. Τὸν ἱερὸν ἡ ἱερά, καὶ τὰ λοιπὰ ὁμοίως, Δόξα καὶ νῦν, Ἀνοιγέσθω ἡ πύλη. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς εἰς ἦχον δ'. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τροπάριον τὸ τῆς ἑορτῆς. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς ἑορτῆς. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου, εἰ τύχῃ μετάφρασις, ἢ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον, ὁ Ν'. ὁ κανὼν τῆς ἑορτῆς. Λέγομεν δὲ τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια τὰ μὲν β'. ἐκ γ'. τὸ δὲ ἕν, εἰς δ'. ἱστῶμεν γὰρ ιβ'. λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν· ἔσχατον δὲ τὴν αὐτὴν καταβασίαν ἀμφότεροι οἱ χοροί. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἴκους γ'. Ἐξαποστειλάριον· Ἐν πνεύματι τῷ ἱερῷ. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς ἦχος α'. Λέγε Συμεών, καὶ ἕτερα β'. τὰ τούτῳ ὅμοια, μετὰ καὶ τῶν ἐπ' αὐτοῖς στίχων, Δόξα καὶ νῦν, Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις. Εἰ δέ ἐστιν ἡ ἑβδομὰς τῆς τυροφάγου, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ πρὸς τὸν ἦχον αὐτοῦ ἰδιόμελον τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὸ εἰρημένον. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς ἑορτῆς ἡ ς'. Ἐβόησέ σοι, ὃ καὶ ἀρχόμεθα, δευτεροῦντες καὶ ἓν ἐκ τῶν τροπαρίων τῆς αὐτῆς ᾠδῆς, τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον, ἀπόστολος, ἀλληλούια, εὐαγγέλιον καὶ κοινωνικόν, ἅπαντα τῆς ἑορτῆς· ὁμοίως καὶ ἐν τῇ εἰσόδῳ λέγομεν στίχον· Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ.

Εἰ δὲ τύχῃ ἀποδιδόναι τὴν ἑορτὴν ἐν κυριακῇ, ψάλλομεν καὶ τὰ ἀναστάσιμα πάντα μετὰ τῶν τῆς ἑορτῆς ἑσπέρας τε καὶ πρωί, πλὴν λέγομεν καὶ εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, καὶ τροπάριον ὁμοίως τὸ ἐπιλαγχάνον ἀναστάσιμον ἐν τῷ ὄρθρῳ μόνον εἰς τὸ Θεὸς Κύριος μετὰ καὶ τοῦ τῆς ἑορτῆς, καὶ κανόνας δὲ τὸν ἀναστάσιμον εἰς ς'. καὶ τὸν τῆς ἑορτῆς εἰς η'. Εἰς δὲ τὴν παννυχίδα τῆς ἀγρυπνίας, κανόνα τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς'. καὶ τῆς ἑορτῆς τὸν προρρηθέντα εἰς δ'. εἰ δέ ἐστιν ἐκ τῶν προψαλλομένων ἁγίων, ἑῶμεν τὸν κατανυκτικὸν καὶ ψάλλομεν τῆς ἑορτῆς τὸν προρρηθέντα εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, τὸ τῆς ἑορτῆς κάθισμα, εἰ δέ ἐστιν ἅγιος, τοῦ ἁγίου, ἀπὸ ς. τὸ κοντάκιον τῆς Θεοτόκου, ὡς σύνηθες, καὶ ἡ ἀνάγνωσις ἐν τῷ Πραξαποστόλῳ. (л. **79**] Εἰς τὸν ὄρθρον πάντα, ὡς εἴρηται, κοινῶς.

Εἰς τὴν λειτουργίαν, οἱ ἀναστάσιμοι μακαρισμοί, προκείμενον καὶ ἀλληλούια τῆς ἑορτῆς· ἀπόστολος δὲ καὶ εὐαγγέλιον ἀμφότερα τῆς τε κυριακῆς καὶ τῆς ἑορτῆς. Κοινωνικὸν ὁμοίως ἀμφότερα.

Χρὴ εἰδέναι, ὅτι εἰ μὲν ἔξω τύχῃ τῆς ἑβδομάδος τῆς τυροφάγου ἡ ἑορτὴ αὕτη, ἑορτάζεται μετὰ τῶν ἁγίων ἡμέρας ε'. ὡς εἴρηται, εἰ δὲ τύχῃ τῇ ἑβδομάδι τῆς τυρηνῆς, ἡμέρας γ'. ἀποδίδοται δὲ εἰς τὰς δ'. τοῦ μηνὸς ἕως τῆς τετράδος ἢ τῆς παρασκευῆς. Ἐν ταύταις γὰρ, εἰ μὴ ἡ ἑορτὴ αὕτη τύχῃ τῆς Ὑπαπαντῆς, ἀλληλούια ψάλλομεν, ὅταν δὲ ἀποδίδοται ψάλλομεν, ὡς καὶ ἐν τῇ ἑορτῇ, πλὴν εἰς τὴν λειτουργίαν, καθὼς ἐκεῖσε ἡρμηνεύσαμεν, ἤγουν εἰ τύχῃ τῇ παρασκευῇ τῆς τυρηνῆς.

Μηνὶ τῷ αὐτῷ ζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Παρθενίου, ἐπισκόπου Λαμψάκων, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ τοῦ ἐν Ἑλλάδι. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἱεράρχου, γ'. ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων ταγμάτων, καὶ τοῦ ὁσίου Λουκᾶ ἕτερα γ'. ἦχος πλ. β'. [1]) Δόξα καὶ νῦν θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ἁγίου Παρθενίου, οὗ ἡ ἀρχή· Τὰ κατὰ τὸν μέγαν Παρθένιον. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἱεράρχου, ἦχος δ'. Γεωργίου· Θαλάσσης τὸ ἐρυθραῖον· καὶ τοῦ ὁσίου Λουκᾶ ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἱεράρχου ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα τοῦ ὁσίου Λουκᾶ καὶ θεοτοκίον. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου, καὶ τοῦ ἁγίου προφήτου Ζαχαρίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ Στρατηλάτου δ'. ἦχος [2]) καὶ τοῦ προφήτου β'. ἦχος πλ. δ'. πρὸς τὸ Τί ὑμᾶς καλέσωμεν, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ

---

[1]) Стихиры пр. Лукѣ намѣчены, но не указаны. Въ рукописи для нихъ всюду оставлены пустыя мѣста. [2]) И въ этой службѣ тоже многія стихиры опущены.

τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ Στρατηλάτου ἦχος πλ. δ΄. Ἀθλητικὸν συστησάμενος στάδιον. Ἀπολυτίκιον, ἦχος δ΄. Ὁ μάρτυς σου, Κύριε. Εἰς τὴν παννυχίδα, κανόνα ἑνὸς τῶν προψαλλομένων ἁγίων. Ἀπὸ ς΄. ᾠδῆς, τὸ κάθισμα αὐτοῦ.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τοῦ μάρτυρος τροπάριον, καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα, ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Λικινίῳ τῷ βασιλεῖ. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, τοῦ προφήτου ἕτερος, ἦχος πλ. δ΄. Θεοφάνους· (οδ.] Ἄσωμεν τῷ Κυρίῳ· τοῦ μάρτυρος τοὺς γ΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα, ἀπὸ ς΄. τὸ τοῦ μάρτυρος κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ β΄. τῆς Ὀκτωήχου, καὶ ἓν τῶν τοῦ μάρτυρος προσομοίων τῆς ἑσπέρας καὶ θεοτοκίον. Ἀπολυτίκιον, τὸ τοῦ μάρτυρος.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας, τὸ τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος δ΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε. Ὁ ἀπόστολος· Ἀδελφοί, ἐνδυναμοῦσθε. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ θ΄. τοῦ ἁγίου μάρτυρος Νικηφόρου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. τοῦ μάρτυρος ἦχος β΄. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, δευτεροῦντες αὐτά, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β΄. Ἔδειξας πᾶσιν ἐμφανῶς, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ΄. Ὁ μάρτυς σου, Κύριε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον, καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καὶ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου Λουκᾶ, οὗ ἡ ἀρχή· Οὐ χρόνος ἦν ἀληθῶς. Κανόνες γ΄. οἱ β΄. τῆς Ὀκτωήχου εἷς ς΄. καὶ τοῦ ἁγίου ἕτερος ἦχος πλ. δ΄. εἰς ς΄. Θεοφάνους· Ἁρματηλάτην. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος ἦχος δ΄. καὶ θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτοῦ, οὗ ἡ ἀρχή· Οὐδὲν ἔοικεν ἀγάπης μακαριώτερον. Ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον τοῦ μάρτυρος.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τὸ τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος δ΄. Εὐφρανθήσεται δίκαιος, στίχος· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ἀλληλούια ἦχος δ΄. Δίκαιος, ὡς

φοῖνιξ, ἀνθήσει. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ ι'. Τοῦ ἁγίου μάρτυρος Χαραλάμπους. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι, καὶ ἕτερα γ'. ἄλλου ἁγίου τῶν προψαλλομένων καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καὶ καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου Λουκᾶ. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἁγίου ἕτερος ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, Θεοφάνους· καὶ τοῦ προψαλλομένου ἁγίου, ἕτερος ἀνὰ δ'. (π. **80**] Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος γ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τοῦ προψαλλομένου ἁγίου. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ια'. Τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου. Ἑσπέρας. μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, ἀνὰ β'. καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος δ'. Ὡς καλὸς παιδοτρίβης, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος δ'. Καὶ τρόπων μέτοχος.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ αὐτὸ τροπάριον β'. καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου Λουκᾶ. Κανόνες γ'. οἱ β'. τῆς Ὀκτωήχου εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον· Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ· ἀπὸ γ'. ἀνάγνωσις, τὸ μαρτύριον αὐτοῦ, οὗ ἡ ἀρχή· Βλάσιος ὁ μάρτυς. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας. τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε. Κοινωνικόν· Εἰς μνημόσυνον, τὰ δὲ λοιπὰ τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιβ'. Τῶν ἁγίων χιλίων τριῶν μαρτύρων, τῶν ἐν Νικομηδείᾳ, καὶ τοῦ ἁγίου Μελετίου, πατριάρχου Ἀντιοχείας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν

στιχηρὰ τοῦ ἱεράρχου γ'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον καὶ ἕτερα γ'. τῶν μαρτύρων εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἱεράρχου ἕτερος ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ· Θεοφάνους, καὶ τῶν μαρτύρων ἦχος δ'. Ἄσομαί σοι, Κύριε ὁ Θεός μου· Ἰωσήφ, ἀνὰ δ'. προηγοῦνται δὲ πρὸς τὸν ἦχον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἱεράρχου ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἀνάγνωσις· Ἐγκώμιον τοῦ Χρυσοστόμου εἰς αὐτόν. Ἀπὸ ς'. κάθισμα τῶν μαρτύρων ἦχος δ'. καὶ θεοτοκίον. Ἐξαποστειλαρίων τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιγ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ὁσίου (οϐ.] εἰς ἦχον δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ ἕτερα γ'. ἑνὸς τῶν προψαλλομένων ἁγίων. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου, οὗ ἡ ἀρχή· Ὃν τρόπον αἱ τῶν προλαβόντων, εἰς δόσεις γ'. τῆς Ὀκτωήχου, καὶ τοῦ ὁσίου ἦχος δ'. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος· καὶ τοῦ προψαλλομένου ἁγίου, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τοῦ ἑτέρου ἁγίου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιϐ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Λύξεντίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, δευτεροῦντες αὐτά, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ὁσίου ἦχος πλ. δ'. Ἡ καθαρὰ τοῦ πνεύματος. Ἀπολυτίκιον· Ἐν σοί, πάτερ.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ ὁσίου εἰς ς'. ἦχος δ'. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ

ὁσίου ἦχος πλ. δ΄. καὶ θεοτοκίον, ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τὸ τοῦ ὁσίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀλληλούια ἦχος πλ. β΄. Μακάριος ἀνήρ. Κοινωνικόν· Αἰνεῖτε. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Χρὴ δὲ εἰδέναι, ὅτι, ἂν τύχωσιν οἱ ἅγιοι οὗτοι οἱ ἑορταζόμενοι ἔσωθεν τῆς τεσσαρακοστῆς, ψάλλομεν αὐτοὺς ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς· ἀναγινώσκομεν δὲ καὶ τοὺς βίους αὐτῶν.

Μηνὶ τῷ αὐτῷ ιε΄. Τοῦ ἁγίου ἀποστόλου Ὀνησίμου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ΄. ἦχος δ΄. πρὸς τὸ Ὡς γενναῖον, δευτεροῦντες τὸ α΄. καὶ ἕτερα β΄. ἑνὸς τῶν προψαλλομένων ἁγίων, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε, πρέσβευε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἀποστόλου ἦχος πλ. β΄. Θεοφάνους· Ὡς ἐν ἠπείρῳ, καὶ ἕτερος τοῦ προψαλλομένου ἁγίου τῆς τεσσαρακοστῆς· προηγοῦνται δὲ πρὸς τὸν ἦχον. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος πλ. δ΄. καὶ θεοτοκίον, (л. 81] ἀπὸ ς΄. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τοῦ ἀποστόλου καὶ θεοτοκίον. Προκείμενον, Ἀλληλούια, κοινωνικὸν τοῦ αὐτοῦ· ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἀποστόλου.

Μηνὶ τῷ αὐτῷ ις΄. Τοῦ ἁγίου ἱερομάρτυρος Παμφίλου καὶ τῶν σὺν αὐτῷ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ΄. ἦχος δ΄. πρὸς τὸ Ὡς γενναῖον, καὶ ἕτερα γ΄. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις, ὡς εἴρηται. Κανόνες γ΄. τῆς Ὀκτωήχου εἷς, καὶ τῶν ἁγίων ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον,

καὶ ἕτερος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ τοῦ ἑτέρου ἁγίου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος, καὶ τῆς ἁγίας Μαριάμνης. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. δευτεροῦντες τὸ ἓν, ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ β'. τοῦ ἁγίου ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. δ'. Ἀθλητικὴν ἀνδρείαν, καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος β'. Μεγάλα τὰ τῆς πίστεως κατορθώματα.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Ἀπὸ β'. στιχολογίας, κάθισμα τῆς ἁγίας ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἀνάγνωσις, τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Μαξιμιανῷ καὶ Μαξιμίνῳ, εἰς δόσιν μίαν μέχρι τοῦ θαύματος. Κανόνες γ'. τῆς Ὀκτωήχου τὸν α'. καὶ τοῦ μάρτυρος ἦχος πλ. δ'. Ἁρματηλάτην, Ἰωσήφ· καὶ τῆς ἁγίας εἰς τὸν αὐτὸν ἦχον, Ἆσμα ἀναπέμψωμεν λαοί, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος, ἦχος δ'. πρὸς τὸ Ὁ ὑψωθείς, καὶ θεοτοκίον. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου· τὸ γὰρ θαῦμα (οβ.] τοῦ μάρτυρος ἀρτίως καταλιμπάνεται διὰ τὸ ἀναγινώσκεσθαι τοῦτο τῷ σαββάτῳ τῆς α'. ἑβδομάδος. Ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τοῦ ἁγίου, ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον, Ἀλληλούια, κοινωνικὸν τοῦ ἁγίου. Ἀπόστολος καὶ εὐαγγέλιον τοῦ ἁγίου καὶ τῆς ἡμέρας. Τὸ προκείμενον· Εὐφρανθήσεται, τὸ ἀλληλούια, Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει.

Δεῖ δὲ γινώσκειν, ὅτι, εἰ μὲν τύχῃ ἔξω τῆς ἁγίας τεσσαρακοστῆς ἡ μνήμη τοῦ μάρτυρος, οὕτως ψάλλεται, ὡς προείρηται· εἰ δὲ ἔσωθεν τύχῃ, ἡ μὲν ἁγία ψάλλεται μετὰ τῶν προψαλλομένων ἁγίων, ὁ δέ γε μάρτυς τελείως καταλιμπάνεται, διὰ τὸ ψάλλεσθαι αὐτὸν τῷ σαββάτῳ τῶν ἁγίων νηστειῶν ἐν τῷ Τριῳδίῳ, ὅτε ἀναγινώσκεται καὶ τὸ μαρτύριον αὐτοῦ σὺν τῷ ἐγκωμίῳ, τῷ περὶ τοῦ θαύματος τῶν κολύβων.

Μηνὶ τῷ αὐτῷ ιη'. Τοῦ ἁγίου Λέοντος, πάπα Ῥώμης. Εἰ μὲν τύχῃ ἔσωθεν τῆς τεσσαρακοστῆς, ψάλλομεν ἐν σαββάτῳ ἢ κυριακῇ, εἰ

δὲ ἔξω τύχῃ, ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ἁγίου ἦχος πλ. δ'. δευτεροῦντες τὸ α'. καὶ ἕτερα β'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς καὶ θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος πλ. β'. Σοῦ ἐξεχύθη ἡ χάρις ἐν χείλεσι. Ζήτει Ἰανουαρίου α'. Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Ὀρθοδοξίας ὁδηγέ.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ ἁγίου τῆς ἡμέρας, ἕτερος, καὶ τοῦ ἱεράρχου ἦχος πλ. δ'. Θεοφάνους· Ἄσωμεν τῷ Κυρίῳ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ· τὸ γὰρ κάθισμα τοῦ ἑτέρου ἁγίου τῆς τεσσαρακοστῆς ψάλλομεν ἀπὸ τοῦ β'. καθίσματος. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου. Κοινωνικόν· Εἰς μνημόσυνον.

Δεῖ γινώσκειν, ὅτι, εἰ μὲν τύχῃ αὕτη ἡ ἡμέρα τῆς μνήμης αὐτοῦ (π. 82] ἐν τῇ τεσσαρακοστῇ, ἐν σαββάτῳ ἢ κυριακῇ, ἑορτάζεται ἐκεῖσε οὕτως, καὶ πάλιν ἔξωθεν τῆς τεσσαρακοστῆς ὁμοίως. Εἰ δὲ τύχῃ ἐν ἑβδομάδι μέσῃ νηστίμου, ψάλλεται καὶ οὕτως ἐν σαββάτῳ καὶ κυριακῇ, οὐ μέντοι δὲ καὶ ἑορτάζεται, ἀλλὰ ψάλλονται μὲν τὰ τούτου στιχηρά, καὶ ὁ κανὼν μετὰ τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, τὸ δὲ τούτου ἀπολυτίκιον καταλιμπάνεται.

Μηνὶ τῷ αὐτῷ ιθ'. Τῶν ἁγίων Μαξίμου, Θεοδότου καὶ τῶν λοιπῶν. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἦχος α'. πρὸς τὸ Πανεύφημοι, καὶ ἕτερα γ'. ἑνὸς τῶν ἁγίων τῆς τεσσαρακοστῆς καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα τῆς Ὀκτωήχου, καὶ θεοτοκίον. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς καὶ τῶν ἁγίων ἕτερος ἦχος δ'. Ἰωσήφ· Τριστάτας κραταιούς, καὶ τοῦ ἁγίου τῆς τεσσαρακοστῆς ἕτερος, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα

τῶν ἁγίων ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κ'. Τοῦ ἁγίου ἀποστόλου Ἀρχίππου, ἑνὸς τῶν ἑβδομήκοντα. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. ἦχος πλ. δ'. πρὸς τὸ Οἱ μάρτυρές σου, Κύριε· καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, τοῦ ἀποστόλου ἦχος δ'. Ἰωσήφ· Θαλάσσης τὸ ἐρυθραῖον· καὶ ἕτερος τοῦ ἁγίου τῆς τεσσαρακοστῆς ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τοῦ ἑτέρου ἁγίου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ὁσίου Τιμοθέου τοῦ ἐν Συμβόλοις, καὶ τοῦ ὁσίου Λέοντος, ἐπισκόπου Κατάνης. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ'. ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου, καὶ ἕτερα γ'. τοῦ ἱεράρχου εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Κύριε, εἰ καὶ κριτηρίῳ, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον, Θεοτόκε Παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου. Κανόνες γ'. τῆς Ὀκτωήχου, τοῦ ὁσίου ἦχος πλ. δ'. Θεοφάνους· Ἆσμα ἀναπέμψωμεν λαοί· καὶ τοῦ ἱεράρχου ἦχος ὁ αὐτός· Ὑγρὰν διοδεύσας. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου· ἀπὸ ς'. (οϐ.] τὸ τοῦ ἱεράρχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, ἡ τῆς ἡμέρας ἀκολουθία.

Μηνὶ τῷ αὐτῷ κβ'. ἡ εὕρεσις τῶν λειψάνων τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου. Ἑσπέρας, στιχηρὰ γ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Κανόνες· τῆς Ὀκτωήχου, τῶν ἁγίων ἦχος πλ. δ'. Θεοφάνους· Ἁρματηλάτην Φαραώ· καὶ τοῦ ἑτέρου ἁγίου· τὰ καθίσματα, ὡς εἴρηται, τὰ στιχηρὰ ὁμοίως, καὶ ἡ λειτουργία.

Μηνὶ τῷ αὐτῷ κγ'. Τοῦ ἁγίου Πολυκάρπου, ἐπισκόπου Σμύρνης. Ἑσπέρας, στιχηρὰ ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε, γ'. καὶ

ἕτερα γ΄. ἄλλου ἁγίου. Αἱ στιχολογίαι καὶ τὰ καθίσματα, ὡς πολλάκις εἴρηται. Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ ἱερομάρτυρος ἦχος β΄. Δεῦτε λαοί· Ἰγνατίου, καὶ ἑτέρου ἁγίου τῆς τεσσαρακοστῆς. Εἰς τὴν λειτουργίαν, ὡς σύνηθες.

Μηνὶ τῷ αὐτῷ κδ΄. Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. εἰ οὐκ ἔστι νηστεία, καὶ ψάλλομεν στιχηρὰ γ΄. ἐκ β΄. ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον, ἦχος πλ. β΄. Θησαυρὸς ἐνθέων δωρεῶν, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Μνήμη δικαίου μετ' ἐγκωμίων. Εἰς τὴν παννυχίδα, κανὼν τοῦ Προδρόμου εἰς τὸν ἑνεστῶτα ἦχον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα τῆς Ὀκτωήχου, ἀπὸ τῆς α΄. στιχολογίας· ἀπὸ τῆς β΄. κάθισμα τοῦ Προδρόμου ἦχος δ΄. πρὸς τὸ Ταχὺ προκατάλαβε, καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος διαλαμβάνων τὴν α΄. καὶ β΄. καὶ γ΄. εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Κανόνες β΄. τῆς Ὀκτωήχου εἷς, εἴτε κατανυκτικός, ἢ σταυρώσιμος, ἢ τῆς Θεοτόκου, οἷος ἂν λάχῃ, καὶ τοῦ Προδρόμου εἰς η΄. ἦχος, πλ. β΄. Ὡς ἐν ἠπείρῳ. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ αὐτοῦ ἦχος δ΄. πρὸς τὸ Ὁ ὑψωθεὶς καὶ θεοτοκίον. Ἀπὸ ς΄. τὸ τούτου κοντάκιον ἦχος β΄. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, εἰ μέν ἐστι σταυρώσιμος ἡμέρα, λέγομεν σταυρώσιμα β΄. καὶ ἰδιόμελον τοῦ Προδρόμου ἦχος β΄. Ἡ τῶν θείων ἐννοιῶν, καὶ θεοτοκίον· εἰ οὐκ ἔστι σταυρώσιμος ἡμέρα, λέγομεν στιχηρὰ τοῦ Προδρόμου β΄. ἦχος α΄. Τῆς ἀποτμηθείσης κεφαλῆς, καὶ ἕτερον ὅμοιον αὐτοῦ καὶ τὸ προῤῥηθὲν ἰδιόμελον· Ἡ τῶν θείων ἐννοιῶν, Δόξα καὶ νῦν, θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ ς΄. τὸ τροπάριον αὐτοῦ καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός. Ὁ ἀπόστολος πρὸς (Ἑβραίους)· Ἀδελφοί, ὁ Θεός, ὁ εἰπὼν ἐκ σκότους. Ζήτει κυριακῇ ιγ΄. Ἀλληλούια ἦχος δ΄. Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ἐν τῷ δεσμωτηρίῳ. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον. (π. 83].

Χρὴ γινώσκειν, ὅτι, ἐὰν τύχῃ νηστεία, τῇ παραμονῇ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ β΄. προσόμοια τοῦ Τριῳδίου τῆς ἡμέρας τοῦ κυροῦ Ἰωσήφ, πρὸς μίαν, εἶτα τὸ τῆς ἡμέρας ἰδιόμελον ἐκ

β΄. καὶ εἶθ' οὕτως, τὰ προγραφέντα προσόμοια στιχηρὰ τοῦ Προδρόμου ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις, δευτεροῦντες τὸ α΄. Δόξα, ἦχος πλ. β΄. Θησαυρὸς ἐνθέων δωρεῶν, καὶ νῦν θεοτοκίον. Εἴσοδος, καὶ ἡ λειτουργία τῶν προηγιασμένων.

Εἰς δὲ τὰ ἀπόδειπνα, τὸ ἀπολυτίκιον τοῦ ἁγίου, τὸ δὲ Μεθ' ἡμῶν ὁ Θεός, οὐ μετὰ ἤχου· καὶ κανόνα λέγομεν τοῦ Προδρόμου, ὡς εἴρηται, εἰς τὸν ἐνεστῶτα ἦχον, μετανοίας δὲ οὐ ποιοῦμεν, ἀλλὰ προσκυνήσεις, εἰ μή τοι γε τύχῃ ἡ α΄. ἑβδομάς.

Εἰς τὸν ὄρθρον, ἀλληλούια ἦχος β΄. καὶ λέγομεν τὸ τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β΄. Ἀπὸ α΄. στιχολογίας, κάθισμα τοῦ Τριῳδίου, ὁμοίως καὶ ἀπὸ β΄. στιχολογίας. Ἀνάγνωσις· ὁ λόγος τῆς Εὑρέσεως. Ψάλλομεν δὲ κανόνα ἕνα τοῦ Προδρόμου εἰς η΄. ἦχος πλ. β΄. Εἰς δὲ τὰς ᾠδάς, ἐν αἷς εἰσι τὰ τριῴδια, ἀνὰ ς΄. προηγοῦνται δὲ τὰ τριῴδια τοῦ κανόνος, ψάλλομεν δὲ ταῦτα ὁμοίως ἀνὰ ς΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ Προδρόμου ἦχος δ΄. πρὸς τὸ Ὁ ὑψωθείς, καὶ θεοτοκίον. Ἀπὸ ς΄. τὸ κοντάκιον. Ἐξαποστειλάριον τοῦ ἤχου· Πρεσβείαις, Κύριε, τοῦ Προδρόμου β΄. εἶτα Τῆς τεκούσης σε, καὶ πλέον οὐδέν, πλὴν πρὸς τὸν ἦχον, οἷος λάχῃ, καὶ λέγομεν. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. καὶ ψάλλομεν τοῦ Προδρόμου στιχηρὰ ἠχός α΄. Τῆς ἀποτμηθείσης κεφαλῆς, καὶ ἕτερα β΄. ὅμοια, δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρά, τὸ ἰδιόμελον τῆς ἡμέρας ἐκ β΄. καὶ τὸ τοῦ ἁγίου, ἦχος β΄. Ἡ τῶν θείων ἐννοιῶν, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον· Μνήμη δικαίου, ἡ ἐκτενὴς καὶ ἡ α΄. ὥρα συνημμένως μετὰ στιχολογίας καὶ ἀναγνώσεως· μετανοίας δὲ οὐ ποιοῦμεν, ἀλλὰ προσκυνήσεις. Εἰς δὲ τὰς λοιπὰς ὥρας ἐν τῷ καιρῷ αὐτῶν στιχολογοῦμεν, οὐκ ἀναγινώσκομεν δὲ οὔτε μετανοίας ποιοῦμεν, εἰ μή που λάχῃ ἡ α΄. ἑβδομάς.

Εἰς δὲ τὸ ἑσπερινόν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὰ β΄. προσόμοια τοῦ Τριῳδίου τοῦ κυροῦ Ἰωσήφ, καὶ τὸ τῆς ἡμέρας ἰδιόμελον ἐκ β΄. καὶ ἐκ τῶν προσομοίων τοῦ Προδρόμου β΄. πρὸς τὸ Χαίροις, Δόξα, τὸ ἰδιόμελον, ἦχος πλ. β΄. Τὴν πανσεβάσμιον θήκην, καὶ νῦν θεοτοκίον. Εἴσοδος μετὰ εὐαγγελίου, τὰ προκείμενα καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τὸ Κατευθυνθήτω. Καὶ μετὰ τοῦτο λέγει ὁ διάκονος· Σοφία, καὶ εὐθὺς ὁ ἀπόστολος χωρὶς προκειμένου, ἔπειτα τὸ ἀλληλούια τοῦ ἁγίου, Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει· καὶ τὸ εὐαγγέλιον ὁμοίως, καὶ καθεξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων. Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε, καὶ Εἰς μνημόσυνον. (οϐ.]

Εἰ δὲ ἐν σαββάτῳ τύχῃ, τῇ παρασκευῇ ὀψέ, οὐ λέγομεν μαρτυρικόν, ἀλλὰ τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ τὰ γ'. τοῦ ἁγίου, δευτεροῦντες τὸ α'. πρὸς τὸ Χαίροις, Δόξα, τὸ προειρημένον ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν θεοτοκίον. Εἴσοδος, καὶ ἡ λειτουργία τῶν προηγιασμένων. Εἰς τὴν παννυχίδα, κανὼν νεκρώσιμος τοῦ ἤχου εἰς τοὺς τάφους.

Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ ἁγίου β'. καὶ θεοτοκίον. Κανόνες β'. τῆς Θεοτόκου, εἰς δ'. καὶ τοῦ Προδρόμου εἰς η'. Εἰς τοὺς αἴνους ἱστῶμεν δ'. καὶ ψάλλομεν τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου καὶ θεοτοκίον. Εἰς δὲ τὸν στίχον, λέγομεν τὰ προειρημένα γ'. στιχηρὰ τοῦ ἁγίου εἰς ἦχον α'. Τῆς ἀποτμηθείσης κεφαλῆς, Δόξα τὸ ἰδιόμελον, καὶ νῦν θεοτοκίον.

Εἰς δὲ τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τοῦ ἁγίου, ὡς προείρηται, νηστείας μὴ οὔσης. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον ἀμφότερα τοῦ τε ἁγίου καὶ τῆς ἡμέρας, ἃ καὶ προηγοῦνται.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, τῷ σαββάτῳ ἑσπέρας ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἀναστάσιμα, δευτεροῦντες τὸ α'. καὶ τὰ εἰς ἦχον πλ. α'. γ'. προσόμοια τοῦ ἁγίου δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν, τὸ α'. δογματικὸν τοῦ ἤχου. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ ἤχου ἅπαξ, καὶ ἕτερον ἀναστάσιμον ἐκ τῶν ἀνατολικῶν, καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β'. Θησαυρὸς ἐνθέων δωρεῶν, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου. Εἰς τὴν παννυχίδα, ὁ κατανυκτικὸς εἰς ς'. καὶ τοῦ Προδρόμου εἰς δ'.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον β'. καὶ τοῦ ἁγίου· εἰς τὸ Δόξα καὶ νῦν θεοτοκίον· καὶ καθεξῆς πᾶσα ἡ ἀκολουθία, ὡς σύνηθες. Αἱ στιχολογίαι, τὰ καθίσματα, αἱ ἀναγνώσεις, καὶ τὰ λοιπά. Κανόνες· ὁ ἀναστάσιμος εἰς δ'. καὶ εἰ ἐστὶ καὶ τοῦ Τριῳδίου, εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. εἰ δ' ἴσως ψάλλεται ὁ τοῦ Τριῳδίου ἐν τῇ παννυχίδι, ὡς εἴς τινας κανόνας ἑρμηνεύει τὸ Συναξάριον, λέγομεν τὸν ἀναστάσιμον εἰς ς'. τὸν δὲ τοῦ ἁγίου εἰς η'. Εἰς τοὺς αἴνους, τὰ δ'. ἀναστάσιμα, καὶ τοῦ ἁγίου τὰ προειρημένα τροπάρια ἦχος α'. εἶτα τὸ ἰδιόμελον ἦχος β'. Ἡ τῶν θείων ἐννοιῶν, Δόξα καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε. Δοξολογία μεγάλη καὶ τὸ ἀναστάσιμον ἀπολυτίκιον.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία κοινὴ ἡ ἀναστάσιμος καὶ ἡ τοῦ ἁγίου· οἵ τε μακαρισμοί, τὰ τροπάρια, οἱ ἀπόστολοι, καὶ τὰ εὐαγγέλια καὶ τὰ κοινωνικά· προκείμενον δὲ καὶ ἀλληλούια τὰ τοῦ ἁγίου.

Εἰ δὲ τύχῃ κυριακῇ, ὀψὲ τὸ ἑσπερινόν, εἰς τὸ Κύριε ἐκέκραξα, νηστείας οὔσης, οὐ ψάλλομεν, ὡς σύνηθες, τὰ κατανυκτικά, ἀλλὰ τὰ τοῦ ἁγίου, δευτεροῦντες αὐτά. Ἀπὸ δὲ τοῦ προκειμένου, τὸ ἰδιόμελον τοῦ Τριῳδίου ἐκ β'. εἶτα τὸ τοῦ ἁγίου καὶ θεοτοκίον. (π. 84] Ἀπολυτίκιον τοῦ ἁγίου, μετανοίας δὲ οὐ ποιοῦμεν. Εἰς τὴν παννυχίδα κανὼν τοῦ ἁγίου. Εἰς τὸν ὄρθρον, ὡς προείρηται, νηστείας οὔσης, ὁμοίως καὶ ἐν τῇ λειτουργίᾳ

Μηνὶ τῷ αὐτῷ κε'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως. Στιχηρὰ ἦχος β'. Ὁ κανὼν ἦχος ὁ αὐτός, Ἰγνατίου. Κάθισμα ἦχος δ'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ κς'. Τοῦ ὁσίου Πορφυρίου, ἐπισκόπου Γάζης. Στιχηρὰ ἦχος α'. Κανὼν ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'. Οὗτοι πάντες προψάλλονται, εἰ μὴ τύχωσιν ἐν σαββάτῳ ἢ κυριακῇ.

Μηνὶ τῷ αὐτῷ κζ'. τοῦ ὁσίου Προκοπίου τοῦ Δεκαπολίτου. Στιχηρὰ ἦχος δ'. Κανὼν ἦχος πλ. β'. Θεοφάνους. Κάθισμα ἦχος δ'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ κη'. Τοῦ ὁσίου Βασιλείου, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Προτερίου, ἀρχιεπισκόπου Ἀλεξανδρείας. Στιχηρὰ τοῦ ὁσίου ἦχος δ'. Κανὼν καὶ κάθισμα ἦχος ὁ αὐτός, Θεοφάνους· καὶ τοῦ ἱερομάρτυρος στιχηρὰ ἦχος ὁ αὐτός. Κανὼν καὶ κάθισμα ἦχος δ'.

Δεῖ δὲ γινώσκειν, ὅτι, εἰ τύχῃ γενέσθαι βίσεκτον καὶ ἔχει ὁ Φεβρουάριος κθ'. ψάλλομεν τὸν μὲν ὅσιον, εἰς τὰς κη'. τὸν ἱερομάρτυρα δὲ εἰς τὰς κθ'.

Μὴν Μάρτιος.

Μηνὶ Μαρτίῳ α'. Τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας. Στιχηρὰ ἦχος β'. Κανὼν ἦχος πλ. δ'. καὶ κάθισμα, ἦχος ὁ αὐτός. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ β'. Τοῦ ἁγίου μάρτυρος Κοΐντου. Στιχηρὰ ἦχος δ'. Κανὼν καὶ κάθισμα ἦχος ὁ αὐτός· Ἰωσήφ. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ γ'. Τῶν ἁγίων μαρτύρων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου. Στιχηρὰ ἦχος α'. Ὁ κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος α'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ δ'. Τοῦ ἁγίου μάρτυρος Ἡσυχίου. Στιχηρὰ ἦχος δ'. Κανὼν ἦχος δ'. Κάθισμα ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ ε'. Τοῦ ἁγίου μάρτυρος Κόνωνος. Στιχηρὰ ἦχος α'. Κανὼν ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος α'. Οὗτοι πάντες προψάλλονται, εἰ μή τοί γε τύχωσιν αἱ ἡμέραι αὐτῶν ἐν σάββασιν ἢ κυρια-

καῖς· ἐν ταύταις γὰρ ψάλλονται, εἰ οὕτως λάχωσιν αἱ ἡμέραι αὐτῶν μετὰ καὶ ἑτέρων ἑορταζομένων ἁγίων. (οϐ.]

Μηνὶ τῷ αὐτῷ ς'. Τῶν ἁγίων ΜΒ'. μαρτύρων τῶν ἐν τῷ Ἀμμορίῳ. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν ἦχος πλ. β'. Ἰωσήφ. Κάθισμα ἦχος πλ. δ'. Ψάλλονται ἐν σαββάτῳ ἢ κυριακῇ, καὶ ἀναγινώσκομεν καὶ τὸ μαρτύριον αὐτῶν, οὗ ἡ ἀρχή· Φαιδρὰ μὲν τῆς πανηγύρεως ἡ ὑπόθεσις, εἰς δόσεις β'.

Μηνὶ τῷ αὐτῷ ζ'. Τῶν ἁγίων ἱερομαρτύρων Βασιλέως, Ἐφραὶμ καὶ τῶν σὺν αὐτοῖς. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος γ'. Καὶ οὗτοι προψάλλονται.

Μηνὶ τῷ αὐτῷ η'. Τοῦ ἁγίου Θεοφυλάκτου, ἐπισκόπου Νικομηδείας. Στιχηρὰ ἦχος α'. Κανὼν καὶ κάθισμα, ἦχος πλ. δ'. Θεοφάνους. Ψάλλομεν δὲ αὐτὸν ἐν σαββάτῳ ἢ κυριακῇ.

Μηνὶ τῷ αὐτῷ θ'. Τῶν ἁγίων τεσσαράκοντα τοῦ Χριστοῦ μαρτύρων, τῶν ἐν Σεβαστείᾳ. Ἑσπέρας οὐ στιχολογοῦμεν, εἰ μὴ τύχῃ σαββάτῳ ἑσπέρας. Εἰ τύχῃ νηστεία, ἑσπέρας, τῇ παραμονῇ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ β'. προσόμοια τῆς ἡμέρας τοῦ Τριῳδίου τοῦ κυροῦ Ἰωσήφ, εἶτα τὸ τῆς ἡμέρας ἰδιόμελον ἐκ β'. καὶ γ'. τῶν ἁγίων ἦχος πλ. β'. Φέροντες τὰ παρόντα γενναίως, καὶ ἕτερα β'. τὰ ὅμοια αὐτῷ δευτεροῦντες τὸ α'. Δόξα ἰδιόμελον ἦχος β'. Τὴν τετραδεκάριθμον χορείαν, καὶ νῦν θεοτοκίον. Εἴσοδος. Προκείμενον. Τὰ ἀναγνώσματα καὶ ἡ τῶν προηγιασμένων λειτουργία.

Εἰς δὲ τὰ ἀπόδειπνα, τὸ τροπάριον τῶν ἁγίων ἦχος α'. Ὡς καλοὶ στρατιῶται· πλὴν τὰ ἀπόδειπνα οὐ μετὰ ἤχου· λέγομεν δὲ καὶ κανόνα τῶν ἁγίων ἦχος πλ. β'. ἔνδοθεν τοῦ ναοῦ, ποίημα Ἰωσήφ. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν καὶ ἡ ἐκτενής, μετανοίας δὲ οὐ ποιοῦμεν, ἀλλὰ προσκυνήσεις καὶ τὰ λοιπὰ τῶν ἀποδείπνων.

Εἰς τὸν ὄρθρον, ἀλληλούια ἦχος α'. καὶ τροπάριον τῶν ἁγίων· Τὰς ἀλγηδόνας τῶν ἁγίων, Δόξα καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τοῦ Τριῳδίου πρὸς ἕν. Ἀνάγνωσις· Ἐγκώμιον τοῦ ἁγίου Βασιλέως, οὗ ἡ ἀρχή· Μνήμη μαρτύρων, τίς ἂν γένοιτο κόρος. Ζήτει εἰς τὰ Ἠθικὰ λόγος λζ'. Κανόνες β'. τῆς Θεοτόκου· εἷς πρὸς τὸν ἦχον τοῦ Τριῳδίου εἰς δ'. καὶ ἕτερος τῶν ἁγίων ἦχος β'. Ἰωάννου μοναχοῦ· Δεῦτε λαοί, εἰς η'. Εἰς δὲ τὰς τῶν Τριῳδίων ᾠδάς, καταλιμπάνεται ὁ τῆς Θεοτόκου κανών, καὶ ψάλλομεν τὰ τριῴδια, ἀνὰ ς'. χωρὶς τῶν τριαδικῶν, καὶ προηγοῦνται τοῦ κανόνος τῶν Τριῳδίων εἰς οἵας ἂν ᾠδὰς

τύχωσιν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. δ΄. Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῶν, οὗ ἡ ἀρχή· Εἶχε μὲν τὰ Ῥωμαίων σκῆπτρα. Ἀπὸ ς΄. τὸ κοντάκιον αὐτῶν ἦχος πλ. β΄. Ἐξαποστειλάριον τοῦ ἤχου· Πρεσβείαις, Κύριε, τῶν ἁγίων σου, ἐκ β΄. πλὴν πρὸς τὸν ἦχον, οἷος λάχῃ, εἶτα τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους ἱστῶμεν δ΄. εἰς ἦχον β΄. (л. 85] καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῶν ἁγίων· Ἀληθείας κρατῆρα, καὶ τὰ ἕτερα β΄. τὰ τούτου προσόμοια, δευτεροῦντες τὸ ἓν καὶ θεοτοκίον. Εἰς τὸν στίχον, τὸ τῆς ἡμέρας ἰδιόμελον β΄. εἶτα τῶν ἁγίων ἦχος πλ. α΄. πρὸς τὸ Ὅσιε πάτερ, τὸ γ΄. Μέσον ἀνόμων, καὶ θεοτοκίον. Ἀπολυτίκιον· Τὰς ἀλγηδόνας τῶν ἁγίων. Ἔπειτα ἡ α΄. ὥρα μετά γε στιχολογίας καὶ ἀναγνώσεως, χωρὶς μετανοιῶν· ὁμοίως δὲ καὶ εἰς τὰς λοιπὰς ὥρας ἐν τῷ καιρῷ αὐτῶν στιχολογοῦμεν, οὐκ ἀναγινώσκομεν δέ, οὔτε μετανοίας ποιοῦμεν. Ἀντὶ δὲ προκειμένου, λέγομεν τροπάριον τῶν ἁγίων· Ὡς καλοὶ στρατιῶται. Εἰς δὲ τὴν ς΄. ὥραν ἐν τῇ προφητείᾳ, λέγομεν τροπάριον· Τὰς ἀλγηδόνας τῶν ἁγίων, καὶ τὸ τῆς ἡμέρας τροπάριον σημειοῦται καὶ λέγεται τῇ δ΄. τῆς ε΄. ἑβδομάδος.

Εἰς τὸ ἑσπερινὸν ταχύτερον, καὶ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὰ β΄. προσόμοια τοῦ κυροῦ Ἰωσήφ, καὶ τὸ τῆς ἡμέρας ἰδιόμελον β΄. εἶτα τῶν ἁγίων β΄. Φέροντες τὰ παρόντα γενναίως, καὶ ἕτερον ἓν, Δόξα ἦχος β΄. Ἀληθείας κρατῆρα, καὶ νῦν θεοτοκίον. Εἴσοδος μετὰ εὐαγγελίου, ἔπειτα τὰ προκείμενα τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα, τὸ Κατευθυνθήτω καὶ εὐθὺς ὁ διάκονος· Σοφία, καὶ λέγει ὁ ψάλτης· Ψαλμὸς τῷ Δαβὶδ, καὶ τὸ προκείμενον τῶν ἁγίων ἦχος πλ. α΄. Σύ, Κύριε, φυλάξαις ἡμᾶς, στίχος· Σῶσόν με, Κύριε· καὶ ὁ ἀπόστολος τῶν ἁγίων πρὸς Ἑβραίους· Ἀδελφοί, τοσοῦτον ἔχοντες. Εἶτα τὸ ἀλληλούια ἦχος δ΄. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, ἕως τοῦ· Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου. Στίχος β΄. Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἕως τοῦ: καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ. Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε, καὶ Ἀγαλλιᾶσθε.

Εἰ δὲ ἐν σαββάτῳ τύχῃ, τῇ παρασκευῇ ἑσπέρας μαρτυρικὸν οὐ ψάλλομεν, ἀλλὰ τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. καὶ τῶν ἁγίων τὰ ἰδιόμελα· Φέροντες, καὶ τὰ λοιπά, εἰς δ΄. Δόξα ἰδιόμελον· Τὴν τετραδεκάριθμον χορείαν. Καὶ νῦν θεοτοκίον, καὶ ἐξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων. Εἰς δὲ τὰ ἀπόδειπνα, κανὼν νεκρώσιμος ἐν τοῖς τάφοις.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος α'. καὶ τὸ τροπάριον τῶν ἁγίων· Τὰς ἀλγηδόνας τῶν ἁγίων β'. καὶ θεοτοκίον. Ἀπὸ α'. στιχολογίας, καθίσματα μαρτυρικὰ τοῦ ἤχου, εἶτα τὸν ἄμωμον μετὰ τῶν ἀλληλουϊαρίων τοῦ ἤχου, καὶ κάθισμα τῶν ἁγίων ἦχος δ'. καὶ θεοτοκίον, τὰ ἀναγνώσματα τῶν ἁγίων καὶ οἱ κανόνες, ὡς εἴρηται· ὁμοίως καὶ τὸ κάθισμα αὐτῶν καὶ τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, τὰ μαρτυρικὰ τοῦ ἤχου, καὶ εἰς τὸν στίχον, τὰ εἰρημένα ἰδιόμελα· Ἀληθείας κρατῆρα, καὶ τὰ λοιπὰ ὁμοίως. Ἀπολυτίκιον τῶν ἁγίων. (**οδ**.]

Εἰς δὲ τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου. Τροπάριον, προκείμενον, Ἀλληλούια τῶν ἁγίων. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον, ἀμφότερα· προηγοῦνται δὲ τὰ τοῦ σαββάτου. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Εἰ δὲ κυριακῇ, ἑσπέρας, ἡ στιχολογία, Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, εἰς δ'. καὶ τῶν ἁγίων τὰ προειρημένα εἰς ἦχον πλ. β'. εἰς δ'. Φέροντες τὰ παρόντα, Δόξα καὶ νῦν, τὸ α'. δογματικόν. Εἴσοδος. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τὸ ἀναστάσιμον τοῦ στίχου καὶ ἐκ τῶν ἀνατολικῶν ἕν, εἶτα ἰδιόμελον τῶν ἁγίων· Τὴν τετραδεκάριθμον, καὶ θεοτοκίον. Ἀπολυτίκιον· Τὰς ἀλγηδόνας τῶν ἁγίων. Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἡμέρας εἰς ς'. καὶ τῶν ἁγίων εἰς δ'. Κάθισμα καὶ κοντάκιον, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον β'. Δόξα τὸ τῶν ἁγίων, καὶ νῦν θεοτοκίον. Εἰς τὴν στιχολογίαν, καθίσματα ἀναστάσιμα καὶ ἐν τῷ τέλει τούτων ἡ ὑπακοὴ τοῦ ἤχου. Αἱ ἀναγνώσεις τῆς ἡμέρας καὶ τῶν ἁγίων. Οἱ ἀναβαθμοί, προκείμενον, τὸ εὐαγγέλιον πάντα τὰ ἀναστάσιμα καὶ τοῦ ἤχου. Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες β'. ὁ α'. ἀναστάσιμος εἰς ς'. καὶ τῶν ἁγίων εἰς η'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν μαρτύρων, ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους τὰ δ'. ἀναστάσιμα, καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ β'. ἰδιόμελα τῶν ἁγίων ἐκ τῶν προειρημένων ἦχος β'· Ἀληθείας κρατῆρα, Δόξα καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Ἡ α'. ὥρα, ὡς σύνηθες, καὶ ἀπολύει.

Εἰς τὴν λειτουργίαν, προκείμενον καὶ Ἀλληλούια τῶν ἁγίων. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον, πρῶτον τῆς κυριακῆς, ἔπειτα τὰ τῶν ἁγίων καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου. Κοινωνικόν· Αἰνεῖτε καὶ Ἀγαλλιᾶσθε.

Εἰ τύχῃ ἐν κυριακῇ τοῦ Σταυροῦ. Ἑσπέρας, μετὰ τὴν στιχολο-

γίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. δύο τοῦ Σταυροῦ, καὶ τὰ προειρημένα γ'. τῶν ἁγίων, Δόξα καὶ νῦν, τὸ α'. δογματικὸν τοῦ ἤχου. Εἴσοδος. Τὸ προκείμενον. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον, καὶ τοῦ Σταυροῦ ἕν, καὶ τὸ εἰρημένον ἰδιόμελον τῶν ἁγίων ἦχος β'. Δόξα καὶ νῦν ἰδιόμελον τοῦ Σταυροῦ ἦχος πλ. β'. Σήμερον τὸ σκῆπτρον. Ἀπολυτίκιον, ἦχος α'. Σῶσον, Κύριε, τὸ λαόν σου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. εἶτα τὸ τοῦ Σταυροῦ, Δόξα, τὸ τῶν ἁγίων· Τὰς ἀλγηδόνας, καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι, ὡς σύνηθες. Καθίσματα ἀναστάσιμα, εἶτα ὁ πολυέλεος, καὶ ἡ ὑπακοὴ τοῦ ἤχου. Οἱ ἀναβαθμοί, τὸ προκείμενον, καὶ τὸ Πᾶσα πνοὴ τοῦ ἤχου, καὶ τὸ ἀναστάσιμον ἑωθινὸν εὐαγγέλιον. Κανόνες γ'. τὸν ἀναστάσιμον εἰς δ'. τοῦ Σταυροῦ εἰς ς'. καὶ τῶν μαρτύρων εἰς ς'. ἱστῶμεν γὰρ ις'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, Δόξα καὶ νῦν ἦχος πλ. β'. Σήμερον τὸ προφητικόν. (**π. 86**) Ἀνάγνωσις· τὸ ἐγκώμιον τῶν ἁγίων. Ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν καὶ οἶκον· Ὕστερον δὲ ἄρχεται ὁ ψάλτης τὸ κοντάκιον τοῦ Σταυροῦ, καὶ πληροῖ αὐτὸ ὁ λαός. Εἰς τοὺς αἴνους, τὰ δ'. ἀναστάσιμα καὶ τὸ τῆς ἡμέρας ἰδιόμελον β'. καὶ β'. τῶν ἁγίων ἐκ τῶν προειρημένων, Δόξα καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, καὶ γίνεται ἡ προσκύνησις τοῦ τιμίου Σταυροῦ.

Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία, ὡς τῇ γ'. κυριακῇ τῶν νηστειῶν διαγορεύει. Προκείμενον καὶ Ἀλληλούια τῶν ἁγίων. Ἀπόστολος καὶ εὐαγγέλιον καὶ κοινωνικὸν τῶν ἀμφοτέρων τῆς ἡμέρας καὶ τῶν ἁγίων.

Εἰ δὲ κυριακῇ τύχῃ, ὀψὲ οὐδὲν τῶν κατανυκτικῶν ψάλλομεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα, ψάλλομεν μόνα τὰ τῶν ἁγίων στιχηρὰ καὶ θεοτοκίον. Εἰς δὲ τὸν στίχον, λέγομεν τὸ ἰδιόμελον τοῦ Τριῳδίου β'. εἶτα τὸ τῶν ἁγίων· Τὴν τετραδεκάριθμον, καὶ θεοτοκίον. Ἀπολυτίκιον τῶν ἁγίων, ἡ ἐκτενὴς καὶ προσκυνήσεις γ'. μετανοίας γὰρ οὐ ποιοῦμεν. Εἰς τὸ ἀπόδειπνον τὸ τροπάριον τῶν ἁγίων· καὶ ἐν τῇ παννυχίδι δὲ ψάλλομεν κανόνα τῶν ἁγίων ἔνδοθεν τοῦ ναοῦ. Ἀπὸ ς'. τὸ τούτων κοντάκιον καὶ τὰ λοιπά, ὡς σύνηθες. Εἰς τὸν ὄρθρον, Ἀλληλούια, τὸ τροπάριον τῶν ἁγίων, καὶ ἡ λοιπὴ πᾶσα ἀκολουθία, ὡς προείρηται, νηστείας οὔσης.

Μηνὶ τῷ αὐτῷ ι'. Τοῦ ἁγίου, ἀποστόλου Κοδράτου, τοῦ ἐν Κορίνθῳ. Στιχηρὰ ἦχος δ'. Ὁ κανών· Ἰωσήφ, σὺν τῷ καθίσματι, ἦχος ὁ αὐτός. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ ια'. Τοῦ ἁγίου Σωφρονίου πατριάρχου Ἱεροσολύ-

μων. Στιχηρὰ καὶ ὁ κανών, Θεοφάνους καὶ κάθισμα, πάντα ἦχος δ'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ ιβ'. Τοῦ ἁγίου Θεοφάνους καὶ ὁμολογητοῦ, τοῦ τῆς Σιγριανῆς. Στιχηρὰ ἦχος πλ. δ'. καὶ κάθισμα ἦχος ὁ αὐτός. Κανὼν Θεοφάνους ἦχος δ'. Τοῦτον ψάλλομεν ἐν σαββάτῳ ἢ κυριακῇ. Ἀναγινώσκομεν δὲ καὶ τὸν βίον αὐτοῦ.

Μηνὶ τῷ αὐτῷ ιγ'. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Νικηφόρου, πατριάρχου Κωνσταντινουπόλεως. Στιχηρὰ καὶ ὁ κανὼν Ἰγνατίου, ἦχος β'. κάθισμα ἦχος δ'. Καὶ τοῦτον ψάλλομεν ἐν σαββάτῳ ἢ κυριακῇ, ἀναγινώσκομεν δὲ καὶ τὸν βίον αὐτοῦ.

Μηνὶ τῷ αὐτῷ ιδ'. Τοῦ ἁγίου Ἀλεξάνδρου τοῦ ἐν Πύδνῃ. Στιχηρὰ καὶ ὁ κανὼν Θεοφάνους, ἦχος πλ. δ'. Κάθισμα ἦχος δ'. Προψάλλεται καὶ οὗτος.

Μηνὶ τῷ αὐτῷ ιε'. Τοῦ ἁγίου Ἀγαπίου καὶ τῶν σὺν αὐτῷ. Στιχηρὰ καὶ ὁ κανὼν Ἰωσήφ, καὶ κάθισμα, τὰ πάντα ἦχος πλ. δ'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου μάρτυρος Πάπα. Στιχηρὰ ἦχος α'. Ὁ κανὼν ἦχος γ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ ιζ'. Τοῦ ἁγίου Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Στιχηρὰ ἦχος α'. Ὁ κανὼν Ἰωσήφ, ἦχος β'. (οδ.] Κάθισμα ἦχος δ'. Τοῦτον ψάλλομεν ἐν σαββάτῳ ἢ κυριακῇ· ἀναγινώσκομεν δὲ καὶ τὸν βίον αὐτοῦ.

Μηνὶ τῷ αὐτῷ ιη'. Τοῦ ἁγίου Κυρίλλου, πατριάρχου Ἱεροσολύμων. Στιχηρὰ καὶ [ὁ] κανὼν ἦχος δ'. Θεοφάνους. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ ιθ'. Τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρείας. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Ἰωσήφ, κάθισμα ἦχος α'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ κ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Γερασίμου. Στιχηρὰ καὶ ὁ κανών, ἦχος πλ. δ'. Ἰωσήφ, κάθισμα ἦχος δ'. Καὶ οὗτος ψάλλεται ἐν σαββάτῳ ἢ κυριακῇ· ἀναγινώσκομεν δὲ καὶ τὸν βίον αὐτοῦ.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ἁγίου Κυρίλλου, ἐπισκόπου Κατάνης. Στιχηρὰ ἦχος α'. Κανὼν Θεοφάνους ἦχος β'. Κάθισμα ἦχος δ'. Καὶ οὗτος προψάλλεται.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν Ἰωσήφ, ἦχος πλ. β'. Κάθισμα ἦχος πλ. β'. Ψάλλομεν αὐτὸν τῇ παραμονῇ τῶν προεορτίων τῆς Θεοτόκου· ἀναγινώσκομεν δὲ καὶ τὸν βίον αὐτοῦ μετάφρασιν.

Μηνὶ τῷ αὐτῷ κγ'. Τοῦ ἁγίου ἱερομάρτυρος Νίκωνος. Στιχηρὰ καὶ ὁ κανών, ἦχος δ'. Ἰωσήφ, κάθισμα ἦχος γ'. Προψάλλεται.

Μηνὶ τῷ αὐτῷ κδ'. Τοῦ ὁσίου Ἰακώβ τοῦ ἐπισκόπου. Στιχηρὰ ἦχος δ'. Κανὼν ἦχος β'. Ἰγνατίου. Κάθισμα ἦχος δ'. Προψάλλεται. Τῇ αὐτῇ ἡμέρᾳ προεόρτια τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ.

Δεῖ γινώσκειν, ὅτι τῇ κγ'. τοῦ μηνὸς ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. εἶτα τὰ Προεόρτια τῆς Θεοτόκου, ἦχος α'. πρὸς τὸ Ὦ τοῦ παραδόξου θαύματος, γ'. δευτεροῦντες τὸ α'. ἔπειτα τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου, οὗ ἡ μνήμη ἐστὶ εἰς τὰς κβ'. στιχηρὰ β'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον· Ἰδοὺ ἡ ἀνάκλησις. Εἶτα εἴσοδος, εἰς τὸ Φῶς ἱλαρόν, αἱ προφητεῖαι τῆς ἡμέρας, καὶ ἡ λειτουργία τῶν προηγιασμένων. Εἰς τὸ ἀπόδειπνον, τροπάριον ἦχος δ'. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, πλὴν οὐ μετὰ ἤχου διὰ τὴν ἑορτήν, καὶ κανόνα τὸν προεόρτιον.

Εἰς δὲ τὸν ὄρθρον, εἰ ἐστὶ νηστεία, ψάλλομεν ἀλληλούια ἦχος δ'. καὶ τὸ προειρημένον τροπάριον ἐκ γ'. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τὰ τοῦ Τριῳδίου. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἱερομάρτυρος. Κανόνες β'. ὁ προεόρτιος ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον, εἰς ς'. καὶ τοῦ ἁγίου ἦχος πλ. β'. εἰς δ'. καὶ τὰ Τριῴδια εἰς τὰς ᾠδὰς αὐτῶν, ἃ καὶ προηγοῦνται, καὶ ψάλλονται (σ. **87**] αἵτε ᾠδαὶ τῶν Τριῳδίων καὶ αἱ τῶν κανόνων σὺν αὐτοῖς ἀνὰ δ'. ἦγουν στίχοι ις'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος γ'. ἀπὸ ς'. κάθισμα προεόρτιον ἦχος δ'. Δόξα καὶ νῦν τὸ αὐτό. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ'. καὶ ψάλλομεν Προεόρτια τῆς Θεοτόκου γ'. ἦχος δ'. πρὸς τὸ Ὡς γεναῖον, δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν, ἓν ἐξ αὐτῶν. Εἰς δὲ τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. μαρτυρικὸν καὶ θεοτοκίον. Ἡ α'. ὥρα συνημμένως μετὰ στιχολογίας καὶ ἀναγνώσεως· εἰς δὲ τὰς λοιπὰς ὥρας ἐν τῷ καιρῷ αὐτῶν στιχολογοῦμεν μέν, οὐκ ἀναγινώσκομεν δέ, οὔτε μετανοίας ποιοῦμεν, ἀλλὰ διὰ τὸ ἔγκριτον τῆς ἡμέρας καὶ τὴν ἀγρυπνίαν τῆς ἑορτῆς, σημαίνει καὶ τὸ ἑσπερινὸν ὥραν η'.

Μηνὶ τῷ αὐτῷ κε'. Ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου. Ἑσπέρας, νηστείας οὔσης, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ τῆς ἡμέρας ἰδιόμελον ἐκ β'. εἶτα ἕτερα γ'. ἰδιόμελα τῆς ἑορτῆς καὶ αὐτὰ ἐκ β'. ἦχος δ'. Τῷ ἕκτῳ μηνί. Ἰδοὺ ἡ ἀνάκλησις. Γλῶσσαν, ἣν οὐκ ἔγνω. Δόξα καὶ νῦν, ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἶτα εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν, καὶ λέγομεν τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα ἕτερα γ'. τῆς Θεοτόκου τὰ καὶ εἰς τὴν Κοίμησιν αὐ-

τῆς· τὸ α'. Ἐξῆλθεν Ἰακώβ, τὸ β'. Ἰεζεκιήλ· Ἔσται ἀπὸ τῆς ἡμέρας, τὸ γ'. Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν. Εἶτα τὸ Κατευθυνθήτω, καὶ καθεξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Εἰς τὸ ἀπόδειπνον, κανόνα οὐ ψάλλομεν, ἀλλὰ μόνον τὸ ἀπόδειπνον, καὶ λέγομεν τὸ τροπάριον τῆς ἑορτῆς ἦχος δ'. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον καὶ πλέον οὐδέν.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἡμέρας τοῦ ἤχου εἰς δ'. καὶ ὁ τῆς ἑορτῆς εἰς ς'. ἦχος πλ. β'. κατὰ ἀλφάβητον· Ὡς ἐν ἠπείρῳ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικὸν τῆς ἡμέρας καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ σύνηθες κοντάκιον τῆς Θεοτόκου· Προστασίᾳ τῶν χριστιανῶν ἀκαταίσχυντε. Ἀνάγνωσις ἐν τῷ Πραξαποστόλῳ κατὰ τὴν ἀκολουθίαν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τῆς ἑορτῆς τροπάριον ἐκ γ'. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Αἱ στιχολογίαι, καθίσματα γ'. τῆς ἡμέρας κατὰ τὴν ἀκολουθίαν. Καθίσματα δὲ λέγομεν τοῦ Τριῳδίου, εἰς τὴν στιχολογίαν πρὸς ἕν, εἰς δὲ τὴν γ'. στιχολογίαν, κάθισμα τῆς ἑορτῆς ἦχος α'. Ὁ μέγας Γαβριήλ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς. Εἶτα στιχολογοῦμεν τὸν πολυέλεον, κάθισμα τῆς Ἑορτῆς ἦχος δ'. πρὸς τὸ Κατεπλάγη. Ἀπεστάλη Γαβριήλ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις ἐν τῷ Πανηγυρικῷ λόγος Γρηγορίου Νεοκαισαρείας τοῦ θαυματουργοῦ εἰς τὴν τοιαύτην ἑορτήν, οὗ ἡ ἀρχή· Ἑορτὰς μὲν ἁπάσας. Εἶτα οἱ ἀναβαθμοὶ ἦχος δ'. (οδ.] Ἀντίφωνον ἕν. Προκείμενον ἦχος ὁ αὐτός· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον, στίχος· Ἄσατε τῷ Κυρίῳ. Πᾶσα πνοή, ἦχος ὁ αὐτός, εὐαγγέλιον ἑωθινὸν τῆς ἑορτῆς ἐκ τοῦ κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, εἶτα ὁ Ν'. καὶ εὐθὺς ὁ κανὼν τῆς ἑορτῆς κατὰ ἀλφάβητον· Ἰωάννου μοναχοῦ ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου, χωρὶς ἐνάρξεως τῶν ᾠδῶν. Ψάλλομεν δὲ τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια, ἐν αἷς μὲν τῶν ᾠδῶν εἰσὶ γ'. ἀνὰ δ'. ἐν αἷς δὲ εἰσὶ δ'. ἀνὰ γ'. ἔσχατον δὲ πάλιν ἀμφότεροι οἱ χοροί, τοὺς εἱρμοὺς κοινῶς. Τὰ δὲ τριῴδια ψάλλομεν εἰς τὴν παννυχίδα. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς ἦχος δ'. πρὸς τὸ Κατεπλάγη Ἰωσήφ. Οὐρανόθεν Γαβριήλ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Ἀνδρέου, οὗ ἡ ἀρχή· Ἐπέστη σήμερον. Ἀπὸ ς'. κοντάκιον τῆς ἑορτῆς ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ στρατηγῷ. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Πάλιν χαρᾶς εὐαγγέλια. Ζήτει εἰς τὸ Πανηγυρικόν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας στιχηρὸν ἐκ β'. εἶτα προσόμοια

τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι ἀνὰ β'. Δόξα καὶ νῦν ἦχος ὁ αὐτός· Ἀπεστάλη ἐκ οὐρανοῦ. Ἀπολυτίκιον τῆς ἑορτῆς. Δοξολογία μεγάλη.

Δεῖ γινώσκειν, ὅτι, εἰ τύχῃ ἡ μνήμη τῆς Θεοτόκου τῇ αὐτῇ ἡμέρᾳ τῆς ἀκαθίστου, ὀφείλει ψάλλεσθαι εἰς τὴν παννυχίδα κανὼν τῆς ἀκαθίστου, καὶ τὰ τριῴδια εἰς τὴν ᾠδὴν αὐτῶν, καὶ ἀπὸ ς'. ᾠδῆς, ὀφείλουσι ψάλλεσθαι οἱ ΙΒ'. οἶκοι, καὶ εἰς τὸν ὄρθρον ἀπὸ ς'. οἱ ἕτεροι ΙΒ'.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐν ταύτῃ τῇ ἑορτῇ ὥρας ἐν τῷ κοινῷ οὐ ψάλλομεν, πλὴν τῆς α'. ὥρας, ὡς σύνηθες, χωρὶς στιχολογίας.

Περὶ δὲ ὥραν ε'. τῆς ἡμέρας σημαίνει τὸ μέγα, καὶ συναγόμεθα πάντες ἐν τῷ ναῷ, καὶ ἐξέρχεται διάκονος, ἠλλαγμένος στολὴν μέλαιναν, καὶ ἐκφωνεῖ· Εὐλόγησον δέσποτα, καὶ τοῦ ἱερέως τὴν συνήθη ἐκφώνησιν ἐπειπόντος, εὐθὺς ἀπαρχόμεθα τοῦ τροπαρίου· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Αἴροντες δὲ λιτὴν μετὰ Σταυροῦ καὶ εὐαγγελίου, καὶ πυρείου, ἔτι δὲ καὶ λαμπάδος, ἐξερχόμεθα λιτανεύοντες καὶ περικυκλοῦμεν ἔσωθεν, ἅπαν τὸ μοναστήριον, εἶτα φθάσαντες ἐν τοῖς τοῦ ναοῦ προπυλαίοις, λέγομεν· Χαῖρε πύλη τοῦ Θεοῦ· καὶ τοῦτο ψάλλοντες, εἰσερχόμεθα ἐν τῷ ναῷ. Μετὰ δὲ τὸ τελειῶσαι τοῦτο, εὐθὺς ἀρχόμεθα· Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. καὶ λέγομεν τὸν ΡΓ'. ψαλμόν· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. (σ. 88] Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἔπειτα τὰ γ'. στιχηρὰ τῆς ἑορτῆς ἦχος δ'. Τῷ ἕκτῳ μηνί. Ἰδοὺ ἡ ἀνάκλησις. Γλῶσσαν, ἣν οὐκ ἔγνω. Καὶ τοῦ ἀρχιστρατήγου ἕτερα γ'. εἰς τὸν αὐτὸν ἦχον ἐφ' ἅπαξ, Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς ἦχος β'. Τὸ ἀπ' αἰῶνός μυστήριον. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρὸν μετὰ εὐαγγελίου. Τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς ἀναγνώσματα β'. τὸ α'. τῆς Ἐξόδου· Εἰσῆλθε Μωϋσῆς, τὸ β'. Παροιμιῶν· Κύριος ἔκτισέ με, εἶτα, τὸ Κατευθυνθήτω, εἶτα γίνεται συναπτὴ ὑπὸ τοῦ διακόνου, καὶ εὐθὺς τὸ Τρισάγιον. Προκείμενον τῆς ἑορτῆς ἦχος δ'. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ζήτει τῇ ἐπαύριον τῆς Χριστοῦ Γεννήσεως. Ἀλληλούια ἦχος α'. Καταβήσεται Κύριος, ὡς ὑετὸς ἐπὶ πόκον, στίχος β'. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις, συνέλαβεν Ἐλισάβετ, καὶ ἐξῆς, ἅπασα ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικόν· Ὅτι ἐξελέξατο. Ἑσπέρας δὲ ψάλλομεν τὸ ἀπόδειπνον, χωρὶς κανόνος.

Τῇ δὲ ἐπαύριον εἰς τὴν κς'. τοῦ μηνός, εἰ ἐστὶ νηστεία, εἰς τὸν ὄρθρον στιχολογοῦμεν καθίσματα β'. ψάλλομεν δὲ Ἀλληλούια ἦχος α'. καὶ τροπάριον· Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε, ἐκ γ'. Ἀπὸ α'. στιχολογίας, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὸ αὐτό, ἀπὸ β'. κάθισμα, τοῦ Τριῳδίου καὶ θεοτοκίον. Κανόνες β'. τῆς ἑορτῆς καὶ τοῦ Ἀρχιστρατήγου εἰς τὸν αὐτὸν ἦχον Ἰωσήφ· Ἀνοίξω τὸ στόμα μου, ἀνὰ δ'. καὶ τὰ Τριῴδια ἐν ταῖς ᾠδαῖς αὐτῶν, καὶ ταῦτα ὁμοίως ἀνὰ δ'. προηγοῦνται δὲ οἱ κανόνες. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ Ἀρχιστρατήγου ἦχος α'. Ὁ μέγας Γαβριήλ, ἀπὸ ς'. τὸ τῆς ἑορτῆς κοντάκιον. Ἐξαποστειλάριον τοῦ ἤχου· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν ἰδιόμελον ἦχος α'. Τῷ ἕκτῳ μηνὶ ὁ ἀρχιστράτηγος. Εἰς τὸν στίχον, τὸ τῆς ἡμέρας ἰδιόμελον β'. εἶτα τοῦ Ἀρχιστρατήγου, ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος β'. Εὐαγγελίζεται ὁ Γαβριήλ. Ἀπολυτίκιον τῆς ἑορτῆς Ἡ δὲ α'. ὥρα συνημμένως μετὰ στιχολογίας καὶ ἀναγνώσεως· ὁμοίως δὲ καὶ αἱ λοιπαὶ ὧραι χωρὶς τῶν μετανοιῶν, ἡ δὲ λειτουργία τῶν προηγιασμένων.

Χρὴ δὲ γινώσκειν, ὅτι, ἐὰν γένηται ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ ἐν σαββάτῳ, εἰς τὴν παραμονὴν ἀναγινώσκονται τὰ ἀναγνώσματα τῆς ἡμέρας, ἔπειτα τὰ τῆς ἑορτῆς τὰ ἐν τῇ λειτουργίᾳ μόνα τὰ δύο· τῆς Ἐξόδου· Εἰσῆλθε Μωϋσῆς, καὶ τὸ ἕτερον Παροιμιῶν· Κύριος ἔκτισέ με. (об.] Τὰ δὲ τῆς ἑσπέρας, ἤγουν τὰ ἐν τῇ ἑορτῇ τῆς Κοιμήσεως, καταλιμπάνομεν, ἡ δὲ λοιπὴ ἀκολουθία πᾶσα καὶ ἑσπέρᾳ καὶ ὄρθρῳ, ὡς εἴρηται· πᾶσα γὰρ ἡ ἀκολουθία μόνης γίνεται τῆς ἑορτῆς, οὔτε γὰρ τριῴδια ψάλλομεν, εἰ τύχῃ ἐν σαββάτῳ, οὔτε μαρτυρικὰ στιχηρά, οὔτε ἀπόστολον, οὔτε εὐαγγέλιον, ἀλλὰ πάντα μόνης τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνον α'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ταῖς πρεσβείαις. Ἀντίφωνον β'. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου. Ἀντίφωνον γ'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ ἦχος δ'. καὶ τὸ τροπάριον τῆς ἑορτῆς· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Εἰς δὲ τὴν εἴσοδον, λέγεται στίχος· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν, καὶ πάλιν τὸ τροπάριον, Δόξα καὶ νῦν ἦχος πλ. δ'. τὰ κοντάκιον, εἶθ' οὕτως συναπτή. Ὁ Τρισάγιος. Προκείμενον, ἀλληλούια, ἀπόστολος, εὐαγγέλιον καὶ κοινωνικόν, μόνης τῆς ἑορτῆς, καὶ ἐξῆς τελεῖται ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου· γίνεται δὲ καὶ ἡ λιτή, ὡς εἴρηται.

Εἰ τύχῃ ἐν κυριακῇ, τῷ σαββάτῳ ἑσπέρας ἡ στιχολογία, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ γ'. ἀναστάσιμα τοῦ ἤχου ἐφ' ἅπαξ, εἶτα τῆς ἑορτῆς τὰ μὲν β'. ἐκ β'. τὸ δὲ ἕτερον ἓν, ἐφ' ἅπαξ, Δόξα καὶ νῦν, ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἴσοδος καὶ τὸ προκείμενον· Ὁ Κύριος ἐβασίλευσε, τὰ ἀναγνώσματα πάντα, ἤγουν τὰ ε'. πρῶτον τὰ γ'. τὸ καὶ ἐν τῇ ἑορτῇ τῆς Κοιμήσεως, εἶτα τὰ β'. τῆς παρούσης ἑορτῆς· Εἰσῆλθε Μωϋσῆς, καὶ το Κύριος ἔκτισέ με. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ στίχου, εἶτα τῆς ἑορτῆς στιχηρὰ β'. ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι. Καὶ στίχους δὲ λέγομεν, τοὺς τῆς ἑορτῆς· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, στίχος β'. Καταβήσεται Κύριος, Δόξα καὶ νῦν, ἦχος ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριήλ. Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, ὡς εἴρηται.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον ἅπαξ, εἶτα τὸ τῆς ἑορτῆς, Δόξα καὶ νῦν τὸ αὐτό. Αἱ στιχολογίαι, τὰ καθίσματα, αἱ ἀναγνώσεις, πάντα κοινά, τά τε ἀναστάσιμα καὶ τῆς ἑορτῆς. Οἱ ἀναβαθμοί, τὰ γ'. ἀντίφωνα τοῦ ἤχου. Προκείμενον, καὶ ἑωθινὸν εὐαγγέλιον τῆς ἑορτῆς. Πᾶσα πνοὴ, ἦχος πλ. β'. Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν'. Κανόνας δὲ, πρῶτον τὸν ἀναστάσιμον εἰς δ'. ποιούμεθα γὰρ καὶ τὴν ἔναρξιν τῶν ᾠδῶν, εἶτα τῆς ἑορτῆς, τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἐκ γ'. ἔσχατον δὲ πάλιν ὁμοῦ τοὺς εἱρμούς. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα στιχηρὰ ἐφ' ἅπαξ, (**π. 89**] καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ ἕτερα β'. στιχηρὰ τῆς ἑορτῆς ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων, Δόξα, ἰδιόμελον ἦχος ὁ αὐτός· Τῷ ἕκτῳ μηνί, καὶ νῦν Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον ἀναστάσιμον, οἷον λάχῃ.

Εἰς τὴν λειτουργίαν, μετὰ τὸ σημᾶναι ἐξέρχεται ἡ λιτή, ὡς εἴρηται, καὶ μετὰ τὸ ὑποστρέψαι, γίνεται ἡ ἔναρξις τῆς θείας λειτουργίας. Ἀντίφωνα δὲ λέγομεν τὰ προγεγραμμένα τῷ σαββάτῳ, ἤγουν τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι καὶ τὰ λοιπά, καὶ ἁπλῶς πάντα, ὡς ἐκεῖσε εἰρήκαμεν, πλὴν μετὰ τὸν στίχον τῆς εἰσόδου, λέγομεν τὸ τῆς ἑορτῆς τροπάριον, εἶτα Δόξα, καὶ τὸ ἀναστάσιμον, καὶ νῦν, τὸ κοντάκιον τῆς ἑορτῆς, εἶθ' οὕτως ἡ συναπτὴ καὶ ὁ Τρισάγιος. Προκείμενον καὶ Ἀλληλούια τῆς ἑορτῆς. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον ἀμφότερα· προηγοῦνται δὲ τὰ τῆς ἑορτῆς, καὶ ἡ λειτουργία τοῦ μεγάλου Βασιλείου.

Τῇ δὲ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν ἐκ τῶν τοῦ Τριῳδίου προσόμοια στιχηρὰ β'. τοῦ κυροῦ Ἰωσήφ, καὶ γ'. τοῦ

Ἀρχιστρατήγου ἦχος α΄. πρὸς τὸ Τῶν οὐρανίων, δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν, ἦχος ὁ αὐτός· Ἐν τῷ μηνὶ τῷ ἕκτῳ. Εἰς δὲ τὸν στίχον, τὸ ἰδιόμελον τοῦ Τριῳδίου ἐκ β΄. καὶ ἕτερα β΄. τῆς ἑορτῆς, οἷα θέλει μετὰ τοῦ Δόξα καὶ νῦν. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰ δὲ φθάσῃ ὁ Εὐαγγελισμὸς γενέσθαι τῷ σαββάτῳ τοῦ Λαζάρου, τῇ παρασκευῇ ἑσπέρας οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. Τὴν ψυχωφελῆ, εἶτα ἕτερα γ΄. τοῦ Εὐαγγελισμοῦ, ἦχος δ΄. ἐφ' ἅπαξ, ἔπειτα τοῦ Λαζάρου ἕτερα γ΄. ἦχος πλ. β΄. ἐφ' ἅπαξ, Δόξα, ἰδιόμελον ἦχος β΄. τῆς ἑορτῆς· Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἴσοδος. Προκείμενον, τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τὰ ε΄. τῆς ἑορτῆς, καὶ ἐφεξῆς πᾶσα ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος δ΄. καὶ τροπάριον τῆς Θεοτόκου β΄. Δόξα καὶ νῦν, ἦχος α΄. Τὴν κοινὴν ἀνάστασιν. Αἱ στιχολογίαι καὶ αἱ ἀναγνώσεις τῆς ἑορτῆς, οἱ ἀναβαθμοί, ἀντίφωνον ἓν, ἦχος δ΄. τὸ προκείμενον, Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν τῆς Θεοτόκου, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν΄. Κανόνες· πρῶτον ὁ τῆς Θεοτόκου εἰς η΄. εἶτα ὁ τοῦ Λαζάρου εἰς ς΄. χωρὶς τῶν εἱρμῶν· Τῷ Κυρίῳ ᾄσωμεν. Οὐ λέγομεν δὲ καὶ τὰ τετραῴδια ἀπὸ τῆς ς΄. ᾠδῆς· ψαλλομένου δὲ τοῦ κανόνος τῆς Θεοτόκου μετὰ τῶν τετραῳδίων, καταλιμπάνεται ὁ κανὼν τοῦ Λαζάρου. Καθίσματα δὲ λέγομεν ἐν ταῖς στιχολογίαις, πρῶτον τῆς Θεοτόκου, (οβ.] ἔπειτα τοῦ Λαζάρου· ὁμοίως δὲ καὶ τὰς ἀναγνώσεις. Ἀπὸ γ΄. ᾠδῆς, τὸ κοντάκιον τοῦ Λαζάρου, ἦχος β΄. ἀπὸ δὲ ς΄. τὸ τῆς Θεοτόκου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Θεοτόκου γ΄. ἦχος α΄. πρὸς τὸ Τῶν οὐρανίων, δευτεροῦντες τὸ α΄. καὶ τοῦ Λαζάρου ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον δ΄. Δόξα, ἦχος πλ. δ΄. Ἐπιστὰς τῷ μνήματι Λαζάρου, καὶ νῦν ἦχος πλ. β΄. ἰδιόμελον τῆς Θεοτόκου· Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριὴλ ὁ ἀρχάγγελος. Ἀπολυτίκιον τῆς Θεοτόκου. Τὰ δὲ λοιπά, ἤτοι τῆς λιτῆς καὶ τῆς λειτουργίας, ὡς προεγράφη· προηγουμένης δηλονότι, τῆς τοῦ Εὐαγγελισμοῦ ἀκολουθίας. Ἀντίφωνα, τὰ προγραφέντα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, καὶ τὰ λοιπά. Ὁ στίχος τῆς εἰσόδου τῆς Θεοτόκου, καὶ τὸ τροπάριον ὁμοίως, Δόξα, Τὴν κοινὴν ἀνάστασιν, Καὶ νῦν, τὸ κοντάκιον τοῦ Εὐαγγελισμοῦ. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον καὶ Ἀλληλούια τοῦ Εὐαγγελισμοῦ. Ἀπόστολος καὶ εὐαγγέλιον τῶν ἀμφοτέρων· πρῶτον τῆς Θεοτόκου, εἶτα τοῦ Λαζάρου. Κοινωνικὸν ἀμφοτέρων.

Ὡσαύτως, εἰ φθάσει γενέσθαι ὁ Εὐαγγελισμὸς τῇ κυριακῇ τῶν Βαΐων, τῷ σαββάτῳ ἑσπέρας, οὐ στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ Εὐαγγελισμοῦ γ΄. ἦχος δ΄. τὰ μὲν β΄. ἐκ β΄. τὸ δὲ ἓν ἅπαξ, καὶ ἕτερα γ΄. ἰδιόμελα τῶν Βαΐων, ἦχος πλ. β΄. τὰ ἐφ' ἅπαξ, Δόξα καὶ νῦν, τὸ ἰδιόμελον τοῦ Εὐαγγελισμοῦ ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσε. Τὰ ε΄. ἀναγνώσματα τοῦ Εὐαγγελισμοῦ πρῶτον, εἶτα τὰ γ΄. τῶν Βαΐων. Εἰς τὸν στίχον, στιχηρὰ τῶν Βαΐων, καὶ εἰς τὸ Δόξα καὶ νῦν, ὡς ἐκεῖσε εἴρηνται. Ἀπολυτίκιον τῶν Βαΐων· Συνταφέντες σοι διὰ τοῦ. Εἰς τὴν παννυχίδα, οἷαν ἂν ἡμέραν τύχῃ, κανόνας τοὺς εἰρημένους ψάλλομεν, ἤτοι τὸν τῆς ἡμέρας καὶ τῆς ἑορτῆς· ἀφ' ἑσπέρας δὲ λέγομεν ἕνα τοῦ Εὐαγγελισμοῦ, καὶ ἕτερον τῶν Βαΐων τὸν τῆς παννυχίδος, τὰ δὲ λοιπά, ὡς γράφει ἑκάστη ἡμέρα.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος δ΄. καὶ τὸ τοῦ Εὐαγγελισμοῦ τροπάριον β΄. Δόξα καὶ νῦν, ἦχος α΄. Τὴν κοινὴν ἀνάστασιν. Εἰς δὲ τὰς στιχολογίας, λέγομεν καθίσματα καὶ ἀναγνώσματα, πρῶτον τοῦ Εὐαγγελισμοῦ, εἶτα τῶν Βαΐων. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν εὐαγγέλιον τῶν Βαΐων. Ὁ Ν΄. Κανόνες β΄. πρῶτον τοῦ Εὐαγγελισμοῦ, ἔπειτα τῶν Βαΐων. Τῷ Κυρίῳ ἄσωμεν οὐ λέγομεν, ἱστῶμεν δὲ ιδ΄. ὕστερον δὲ τοὺς εἱρμοὺς (л. **90**] πρὸς μίαν καταβασίαν οἱ χοροί, πλὴν πρῶτον τῶν Βαΐων, ὕστερον δὲ τῆς Θεοτόκου. Ἀπὸ γ΄. ᾠδῆς, τὸ κοντάκιον τῶν Βαΐων, ἀπὸ ς΄. τὸ τῆς Θεοτόκου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν η΄. καὶ λέγομεν στιχηρὰ πρῶτον τῆς Θεοτόκου γ΄. εἰς ἦχον δ΄. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθείς, δευτεροῦντες τὸ α΄. καὶ δ΄. τῶν Βαΐων τὰ εἰρημένα ἐκεῖσε, Δόξα, ἦχος πλ. β΄. τῶν Βαΐων· Πρὸ ἓξ ἡμερῶν, καὶ νῦν, Ἀπεστάλη ἐξ οὐρανοῦ. Ἀπολυτίκιον τῆς Θεοτόκου. Ἡ δοξολογία μεγάλη.

Περὶ δὲ β΄. ὥραν τῆς ἡμέρας γίνεται ἡ λιτή, ὡς σύνηθες, καὶ ὅταν ὑποστρεψῃ, ἄρχεται ἡ λειτουργία. Πᾶσα δὲ ἡ ταύτης ἀκολουθία, ὡς προεγράφη, ἤτοι τὰ ἀντίφωνα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, καὶ τὰ λοιπά, ὁ στίχος τῆς εἰσόδου τῆς Θεοτόκου, καὶ τὸ τροπάριον Δόξα, ἦχος α΄. Τὴν κοινὴν ἀνάστασιν· καὶ νῦν, τὸ κοντάκιον τῆς Θεοτόκου. Ὁ Τρισάγιος. Προκείμενον τῆς Θεοτόκου. Ἀλληλούια. (Στίχοι) ἀμφοτέρων, ἕνα μὲν στίχον τῆς ἑορτῆς, ἕτερον δὲ τῶν Βαΐων· εἰσὶ γὰρ καὶ ἀμφοτέρων ἦχος α΄. (;) Ἀπόστολον καὶ εὐαγγέλιον καὶ κοινωνικὸν ἀμφοτέρων· προηγοῦνται δὲ τὰ τῆς Θεοτόκου, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

Ἐὰν δὲ γένηται ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ β΄. τῇ κυριακῇ τῶν Βαΐων, ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ γ΄. στιχηρὰ τῆς ἑορτῆς εἰς ε΄. ἦχος δ΄. καὶ γ΄. τῆς ἡμέρας, ἦχος βαρύς· Συναγωγὴ πονηρά, καὶ τὰ ὅμοια αὐτῷ, Δόξα καὶ νῦν, ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἴσοδος καὶ προκείμενον τῆς ἡμέρας. Τὰ γ΄. ἀναγνώσματα τῆς ἑσπέρας τῆς ἑορτῆς, ἃ καὶ ἐν τῇ ἑορτῇ τῆς Κοιμήσεως. Εἰς τὸν στίχον, τὰ στιχηρὰ τῆς ἡμέρας, ἦχος α΄. Ἐρχόμενος ὁ Κύριος, ἕτερον, ἦχος πλ. α΄. Φθάσαντες πιστοί, καὶ ἕτερα τὰ εἰρημένα ἐκεῖσε, ἤτοι τῆς μεγάλης β΄. Δόξα ἦχος πλ. δ΄. Τῆς ξηρανθείσης συκῆς, καὶ νῦν ἰδιόμελον τῆς Θεοτόκου ἦχος πλ. β΄. Ἀπεστάλη ἐξ οὐρανοῦ. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ΄. Αἱ στιχολογίαι. Καθίσματα καὶ ἀναγνώσματα τῆς ἡμέρας καὶ τῆς ἑορτῆς. Ἀναβαθμοί, ἀντίφωνον ἕν. Προκείμενον, τὸ Πᾶσα πνοή, ἑωθινὸν εὐαγγέλιον τῆς ἑορτῆς, ὁ Ν΄. Καὶ ψάλλομεν τὸν κανόνα τῆς ἑορτῆς, ὡς καὶ ἐν αὐτῇ τῇ ἑορτῇ, εἶτα τὰ τριῴδια τῆς ἡμέρας μετὰ τὸν κανόνα εἰς τὰς ᾠδὰς αὐτῶν, εἰς ιᾧ΄. ὕστερον δὲ τοὺς εἱρμοὺς ἐφ' ἅπαξ οἱ χοροί. Ἀπὸ γ΄. ᾠδῆς, τὸ κοντάκιον τῆς ἡμέρας, ἀπὸ ς΄. τὸ τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους, (οβ.] στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος πλ. β΄. δευτεροῦντες τὸ α΄. εἶτα ἰδιόμελα τῆς ἡμέρας, ἦχος πλ. α΄. Κύριε ἐρχόμενος. Κύριε, πρὸς τὸ μυστήριον. Κύριε, τὰ τελεώτατα φρονεῖν. Καὶ ἕτερον, ἦχος πλ. δ΄. Δευτέραν Εὔαν. Δόξα καὶ νῦν, ἦχος α΄. Τῷ ἕκτῳ μηνί. Δοξολογία μεγάλη, καὶ ἀπολυτίκιον τὸ τῆς ἑορτῆς. Ἄγομεν δὲ καὶ ἀγρίαν τῶν ὡρῶν ἐν τῷ κοινῷ. Χρὴ δὲ εἰδέναι, ὅτι εἰς τὴν παννυχίδα τῶν ἀγρυπνιῶν ψάλλομεν καὶ τὰ τριῴδια τοῦ κυροῦ Ἀνδρέου μετὰ καὶ τοῦ κανόνος τῆς ἑορτῆς.

Περὶ δὲ ὥραν ε΄. τῆς ἡμέρας, γίνεται ἡ λιτή, ὡς εἴρηται, καὶ ὑποστρεφούσης, ἀρχόμεθα τοῦ λυχνικοῦ, οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας ἦχος α΄. Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἄλλο, ἦχος β΄. Ὁ τῇ ψυχῇ ῥαθυμία. Ἕτερον, ἦχος ὁ αὐτός· Καθαρίσωμεν ἑαυτούς. Ἕτερον, ἦχος δ΄. Τοῦ κρύψαντος τὸ τάλαντον. Εἶτα τὰ γ΄. στιχηρὰ τῆς ἑορτῆς ἰδιόμελα ἦχος δ΄. ἐφ' ἅπαξ, καὶ ἕτερα β΄. τοῦ Ἀρχιστρατήγου μετὰ τοῦ Δόξα, ἦχος α΄. Καὶ νῦν ἰδιόμελον ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἶτα εἴσοδος, εἰς τὸ Φῶς ἱλαρόν, μετὰ τοῦ εὐαγγελίου· τὸ προκείμενον καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τὰ β΄. ἀναγνώσματα τῆς ἑορτῆς. Μετὰ ταῦτα, τὸ Κατευθυνθήτω, ἡ συναπτὴ καὶ τὸ Τρισάγιον. Προκείμενον.

ἀπόστολος, ἀλληλούια, καὶ εὐαγγέλιον τῆς ἑορτῆς, ἔπειτα τὸ τῆς ἡμέρας εὐαγγέλιον, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Τῇ δὲ ἐπαύριον τελεῖται ὁ ὄρθρος, ὡς προεγράψαμεν ὄπισθεν τῇ κς'.

Δεῖ δὲ εἰδέναι, ὡς, εἰ λάχῃ ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου ἐν ταῖς τρισὶν ἡμέραις τῆς ἑβδομάδος τῆς μεγάλης, ἤτοι τῇ β'. τῇ γ'. καὶ τῇ δ'. δέον πάντα τελεῖσθαι, καθὼς προεγράψαμεν, ἤγουν τὰ τῆς ἑορτῆς τῆς Θεοτόκου. Τῇ δὲ ἐπαύριον, ἤτοι τῇ ἑορτῇ τοῦ Ἀρχιστρατήγου, τὰ μὲν ἄλλα τελεῖσθαι, καθὰ προεγράψαμεν, ἤγουν τό τε τροπάριον καὶ τὸν κανόνα, καὶ εἴ τι ἄλλο τοῦ ἁγίου συμψάλλεσθαι ἀνελλιπῶς τῇ λοιπῇ ἀκολουθίᾳ τῆς τεσσαρακοστῆς, τῇ καθεκάστην τελουμένῃ· γίνεσθαι δὲ καὶ τὰς μετανοίας ἐν πάσαις ταῖς ὥραις, πρὸς ταύτοις ἀναγινώσκεσθαι καὶ τὸ δ'. εὐαγγέλιον. Μὴ μέντοι οἰνοπότειν ἢ περὶ τὴν δίαιταν τῆς τραπέζης τι καινοτομεῖν, ἀλλὰ πάντα παραφυλάττεσθαι, καὶ οὕτω τελεῖσθαι, καθὰ ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς τεσσαρακοστῆς εἰώθασι γίνεσθαι.

Ἐὰν δὲ γένηται τῇ μεγάλῃ γ'. ὁ Εὐαγγελισμός, προηγοῦνται τὰ στιχηρὰ τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς, ὁμοίως δὲ καὶ τὰ ἀναγνώσματα, ἡ δὲ λοιπὴ ἀκολουθία (π. 91] οὕτως τελεῖται, ὡς καὶ τῇ μεγάλῃ β'. Ὡσαύτως καὶ ἐὰν τῇ μεγάλῃ δ'. γένηται ὁ Εὐαγγελισμός, ὁ αὐτὸς τύπος καὶ ἡ αὐτὴ ἀκολουθία] τελεῖται, ὡς καὶ ἐν τῇ μεγάλῃ β'. εἴρηται, προηγουμένων τῶν στιχηρῶν καὶ ἀναγνωσμάτων τῆς ἡμέρας, ἔπειτα τῆς ἑορτῆς. Πλὴν τῇ ἐπαύριον, ἤγουν τῇ μεγάλῃ ε'. εἰς τὸν ὄρθρον, οὐδὲν μεθέορτον τῆς ἑορτῆς ψάλλομεν, ἀλλ' ἢ μόνην τῆς μεγάλης ε'. ἀκολουθίαν, τῇ δὲ δ'. ἑσπέρας, ἀπὸ τῶν στιχηρῶν τοῦ Τριῳδίου, ψάλλομεν καὶ τὰ πολλάκις ῥηθέντα ἰδιόμελα στιχηρὰ τῆς ἑορτῆς, ἦχος δ'. ἡ δὲ λοιπὴ ἀκολουθία τελεῖται, ὡς ἤδη πολλάκις εἴρηται.

Τοίνυν ἐὰν γένηται ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ ε'. τῇ παραμονῇ, ἤγουν τῇ μεγάλῃ δ'. ἑσπέρας, εἰς τὸ λυχνικὸν οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας γ'. ἦχος πλ. β'. Σήμερον ὁ Χριστός. Προσῆλθε γυνή. Γέννημα ἐχιδνῶν. Εἶτα τὰ εἰρημένα γ'. ἰδιόμελα τῆς ἑορτῆς, ἦχος δ'. ἐκ β'. μετὰ τοῦ Δόξα, καὶ νῦν, ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον, εἶτα ἡ εἴσοδος εἰς τὸ Φῶς ἱλαρὸν μετὰ τοῦ εὐαγγελίου. Τὸ προκείμενον καὶ τὰ τῆς ἡμέρας ἀναγνώσματα, ἔπειτα τὰ γ'. ἀναγνώσματα τῆς ἑορτῆς τὰ καὶ ἐν τῇ ἑορτῇ τῆς Κοιμήσεως, τὸ Κατευθυνθήτω, καὶ τὸ εὐαγγέλιον τῆς ἡμέρας, ἤγουν τῆς μεγάλης δ'. καὶ καθεξῆς ἡ λειτουργία τῶν προηγιασμένων.

Εἰς τὸν ὄρθρον, τῇ μεγάλῃ ε'. Θεὸς Κύριος, ἦχος δ'. καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ β'. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ὅτε οἱ ἔνδοξοι

μαθηταί. Αἱ στιχολογίαι. Τὰ καθίσματα, καὶ τὰ ἀναγνώσματα τῆς ἑορτῆς. Οἱ ἀναβαθμοί, ὡς εἴρηται, τὸ προκείμενον, Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν εὐαγγέλιον τῆς ἑορτῆς, ὁ Ν'. Κανόνες β'. πρῶτον τῆς ἑορτῆς, ἔπειτα τῆς ἡμέρας. Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν, ἱστῶμεν δὲ χωρὶς τῶν εἱρμῶν ιδ'. Ἀπὸ γ'. ᾠδῆς, τὸ κοντάκιον τῆς ἡμέρας· ἀπὸ ς'. τὸ τῆς ἑορτῆς. Πλὴν ἀναγινώσκομεν ἀπὸ γ'. εἰς τὸ πανηγυρικὸν λόγον τοῦ Χρυσοστόμου εἰς τὴν προδοσίαν τοῦ Ἰούδα. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων, δευτεροῦντες τὸ α'. εἶτα τὰ ἰδιόμελα τῆς ἡμέρας, ἦχος β'. Συντρέχει λοιπόν. Ἰούδας ὁ παράνομος, Κύριε. Ἰούδας ὁ προδότης. Ἰούδας ὁ δοῦλος καὶ δόλιος. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Ἀπεστάλη ἐξ οὐρανοῦ. Ἀπολυτίκιον τῆς ἑορτῆς. Δοξολογία μεγάλη.

Περὶ δὲ ὥραν ε'. ἐξέρχεται ἡ λιτή, καὶ ὑποστρεφούσης, γίνεται ἡ ἀκολουθία τοῦ λυχνικοῦ καὶ τῆς λειτουργίας. Ψάλλομεν τοίνυν εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ τῆς ἡμέρας γ'. ἦχος πλ. δ'. Σήμερον ὁ Ἰούδας τὸ τῆς φιλοπτωχίας. (οδ.] [Ὁ] τρόπος σου δολιότητος γέμει. Μηδείς, ὦ πιστοί. Καὶ τῆς ἑορτῆς ἕτερα γ'. ἰδιόμελα, ἦχος δ'. ἱστῶμεν γὰρ ς'. Δόξα καὶ νῦν ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρὸν μετὰ τοῦ εὐαγγελίου, καὶ ἡ κάτω καθέδρα. Ἔπειτα τὸ προκείμενον, καὶ τὰ τῆς ἡμέρας ἀναγνώσματα, εἶθ' οὕτως τὰ τῆς ἑορτῆς β'. καὶ μόνα, καὶ γίνεται ὑπὸ τοῦ διακόνου συναπτή. Ὁ Τρισάγιος, εἶτα προκείμενον τῆς ἡμέρας. Ἀπόστολος δὲ ἀμφοτέρων, τῆς ἑορτῆς πρῶτον, εἶτα τῆς ἡμέρας. Ἀλληλούια τῆς ἑορτῆς. Εὐαγγέλιον δὲ ἀμφοτέρων, πρῶτον τῆς ἑορτῆς, ἔπειτα τῆς ἡμέρας, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ χερουβικοῦ λέγομεν· Τοῦ δείπνου σου τοῦ μυστικοῦ· ὁμοίως δὲ καὶ ἀντὶ τοῦ κοινωνικοῦ λέγομεν ἐκ γ'. ἦχος δ'. λέγομεν δὲ καὶ τὸ τῆς ἑορτῆς κοινωνικὸν ἅπαξ. Μετὰ δὲ τὴν μετάληψιν, τὸ Πληρωθήτω, καὶ τοῦ ἱερέως ποιήσαντος τὴν ὀπισθάμβωνον εὐχήν, εἰ οὐκ ἐγένετο πρὸ τῆς λειτουργίας ὁ νιπτήρ, γίνεται ἄρτι κατὰ τάξιν, εἶθ' οὕτως δίδοται ἡ εὐλογία παρὰ τοῦ ἱερέως τοῖς ἀδελφοῖς· λέγουσι καὶ τὸν συνήθη ψαλμόν, ἔπειτα εἰσέρχεται ὁ στίχος τῆς τραπέζης.

Ἐὰν δὲ γένηται ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ παρασκευῇ, ἑσπέρας τῇ παραμονῇ, ἤτοι τῇ μεγάλῃ ε'. ἑσπέρας, προηγοῦνται τὰ στιχηρὰ καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶθ' οὕτως τὰ τῆς ἑορτῆς.

Τῇ δὲ ἐπαύριον ἤγουν τῇ μεγάλῃ παρασκευῇ εἰς τὸν ὄρθρον μετὰ τὸ ἑξάψαλμον, λέγομεν. Θεὸς Κύριος, ἦχος δ'. καὶ τὸ τῆς ἑορτῆς τρο-

πάριον ἐκ β΄. Δόξα καὶ νῦν. ἦχος πλ δ΄. Ὅτε οἱ ἔνδοξοι μαθηταί, εἶθ' οὕτως γίνεται ἡ ἀκολουθία τῶν ἁγίων Παθῶν κατὰ τάξιν, καὶ μετὰ τὴν συμπλήρωσιν τῶν ἀντιφώνων, λέγομεν εὐθὺς τὸ κοντάκιον τῶν ἁγίων Παθῶν· Τὸν δι' ἡμᾶς σταυρωθέντα, εἶτα τὸ εὐαγγέλιον, ἔπειτα οἱ μακαρισμοὶ τῶν ἁγίων Παθῶν, καὶ τὸ προκείμενον· Διεμερίσαντο τὰ ἱμάτια. Εὐαγγέλιον, καὶ μετὰ τὸ τέλος αὐτοῦ, λέγομεν ἀναβαθμούς, ἀντίφωνον ἓν, ἦχος δ΄. εἶτα τὸ προκείμενον τῆς ἑορτῆς, τὸ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν τῆς ἑορτῆς· Ἀναστᾶσα Μαριάμ. Εἶθ' οὕτως, τὸν Ν΄. καὶ πάλιν εὐαγγέλιον τῶν ἁγίων Παθῶν, καὶ μετὰ τὸ εὐαγγέλιον, εὐθὺς ψάλλομεν τὸν κανόνα τῆς ἑορτῆς, τοὺς εἱρμοὺς ἀνὰ β΄. τὰ δὲ τροπάρια ἀνα δ΄. ψάλλομεν δὲ καὶ τὰ τριῴδια εἰς τὰς ᾠδὰς αὐτῶν μετὰ τοῦ κανόνος τῆς ἑορτῆς, ἀμφότερα ἀνὰ β΄. Ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς, τὰ δὲ ἐπίλοιπα εὐαγγέλια τῶν ἁγίων Παθῶν, (л. **92**] ἀναγινώσκονται κατὰ τὴν ἐπακολουθοῦσαν τάξιν αὐτοῖς, ὡς ἐκεῖσε εἴρηνται. Εἰς δὲ τοὺς αἴνους ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας εἰς ἦχον α΄. Πᾶσα ἡ κτίσις. Ἕτερα β΄. Λαὸς δυσσεβής. Ἄλλο· ἦχος γ΄. Δύο καὶ πονηρά. Ἕτερον ἦχος πλ. δ΄. Ἤδη βάπτεται κάλαμος. Δόξα καὶ νῦν θεοτοκίον. Ἡ ἄνυμφος μήτηρ. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς, ἦχος α΄. πρὸς τὸ Τῶν οὐρανίων ταγμάτων γ΄. στίχον δὲ λέγομεν τῆς ἑορτῆς, Δόξα καὶ νῦν, ἦχος πλ. β΄. Ἀπεστάλη ἐξ οὐρανοῦ. Ὥρας δὲ οὐ ψάλλομεν, ἀλλὰ καὶ τὰ τροπάρια καὶ τὰ εὐαγγέλια τῶν ὡρῶν, καταλιμπάνομεν διὰ τὴν ἑορτήν.

Δέον δεῖ γινώσκειν, ὅτι, ἐν οἵᾳ ἂν ἡμέρᾳ τῆς μεγάλης ἑβδομάδος φθάσῃ ἡ τοῦ Εὐαγγελισμοῦ ἑορτή, καταλιμπάνεται καὶ ἡ τοῦ δ΄. εὐαγγελίου ἀνάγνωσις, καὶ τὰ τροπάρια, τὰς δὲ ὥρας ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν. Περι δὲ ὥραν ς΄. ἐξέρχεται ἡ λιτή, καὶ ὑποστρεφούσης, ἀρχόμεθα τοῦ λυχνικοῦ καὶ τῆς λειτουργίας· προηγοῦνται δὲ τά τε στιχηρὰ καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, καὶ οὕτως τὰ τῆς ἑορτῆς. Ὁ μέντοι ἀπόστολος καὶ τὸ εὐαγγέλιον προηγουμένως τῆς ἑορτῆς. Προκείμενον καὶ ἀλληλούια καὶ κοινωνικὸν τῆς ἑορτῆς. Καὶ τελεῖται τελεία ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

Τῇ μεγάλῃ παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας γ΄. ἦχος πλ. β΄. Ὢ πῶς ὁ παράνομος. Φοβερὸν καὶ παράδοξον. Σήμερον ὁ Δεσπότης καὶ Κύριος. Καὶ ἕτερα γ΄. τοῦ Εὐαγγελισμοῦ ἦχος δ΄. Δόξα καὶ νῦν, ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον. Καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας, προκείμενον γὰρ ἐξ ἀρχῆς οὐ λέγομεν, ἀλλ' εὐθὺς ἡ προφητεία, εἶτα καὶ τὰ τῆς ἑορτῆς ἀναγνώσματα, καὶ μετὰ τὸ τέλος αὐτῶν, ἀνίστανται καὶ ψάλλουσι τὸ προκείμε-

νον τοῦ ἀποστόλου· Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, στίχος· Κύριε ὁ Θεός, τῆς σωτηρίας μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ λόγος [γὰρ] ὁ τοῦ Σταυροῦ. Ἀλληλούια, ἦχος πλ. α'. Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα. Στίχος β'. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Στίχος γ'. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον, καὶ ἐφεξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων, πλὴν οὔτε Φῶς Χριστοῦ, οὔτε Κατευθυνθήτω λέγομεν. Κοινωνικόν· Γεύσασθε. Τὰ δὲ ἀπόδειπνα ψάλλομεν λιτῶς, λέγομεν δὲ καὶ κοντάκιον καὶ τὸ προκείμενον τῆς ἑορτῆς.

Εἰς δὲ τὴν παννυχίδα τῆς ἀγρυπνίας, ψάλλομεν κανόνας β'. εἷς τῆς ἡμέρας, ἦχος πλ. β'. Ὁ θρῆνος τῆς Θεοτόκου, καὶ ἕτερος τῆς ἑορτῆς.

Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος β'. τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, ἐκ β'. Δόξα καὶ νῦν, τὸ τῆς ἑορτῆς. Αἱ στιχολογίαι· καθίσματα τῆς ἑορτῆς. Αἱ ἀναγνώσεις. Εἰς δὲ τὸ τέλος τῶν στιχολογιῶν, κάθισμα τοῦ Τριῳδίου, ἦχος β'. Σήμερον συνέχει. Ἀνάγνωσις· λόγος Ἐπιφανίου, οὗ ἡ ἀρχή· Τί τοῦτο σήμερον σιγὴ πολλὴ ἐν τῇ γῇ. Ἔπειτα οἱ ἀναβαθμοί, ἀντίφωνον ἓν ἦχος δ'. τὸ προκείμενον τῆς ἑορτῆς, ἦχος δ'. τὸ Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν εὐαγγέλιον τῆς ἑορτῆς, ὁ Ν'. Κανόνες β'. τῆς ἡμέρας καὶ τῆς ἑορτῆς. Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν, ἀλλ' εὐθὺς τοὺς εἱρμούς. Ψάλλομεν δὲ τοὺς β'. κανόνας εἰς ιδ'. χωρὶς τῶν εἱρμῶν, λέγομεν ὕστερον καὶ τὴν καταβασίαν ἅπαξ. Ἀπὸ γ'. ᾠδῆς, τὸ κοντάκιον τῆς ἡμέρας. ἀπὸ ς'. τὸ τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε, καὶ ἕτερα γ'. τῆς ἑορτῆς τὰ καὶ πολλάκις ῥηθέντα. Δόξα, Ἀπεστάλη ἐξ οὐρανοῦ, καὶ νῦν ἦχος πλ. α'. Σὲ τὸν ἀναβαλλόμενον. Καὶ τούτου ψαλλομένου, ἀλλάσσει ὁ ἱερεὺς πᾶσαν τὴν στολὴν αὐτοῦ, καὶ γίνεται εἴσοδος μετὰ μεγαλείου, καὶ τελεῖται πᾶσα ἡ ἀκολουθία, καθὼς ἐκεῖσε διαγορεύει, ἤγουν τῷ μεγάλῳ σαββάτῳ, οἷον τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, τὸ προκείμενον, ἡ προφητεία, καὶ τὸ ἕτερον προκείμενον τοῦ ἀποστόλου. Ὁ ἀπόστολος, τὸ Ἀλληλούια, τὸ εὐαγγέλιον, καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς ἐκεῖσε εὑρίσκεται.

Εἰς δὲ τὸ ἑσπερινὸν περὶ ὥραν ς'. ἤγουν τῷ μεγάλῳ σαββάτῳ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας, ἦχος πλ. δ'. Σήμερον ὁ ᾅδης στένων βοᾷ, καὶ τὰ λοιπά, εἶτα τὰ γ'. ἰδιόμελα τῆς ἑορτῆς, ἦχος δ'. δευτεροῦντες τὸ ἓν, Δόξα καὶ νῦν, ἦχος β'. Τὸ ἀπ' αἰῶνος μυστήριον, καὶ γίνεται ἡ εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν,

καὶ ψάλλομεν τὸ προκείμενον τῆς ἡμέρας· Ὁ Κύριος ἐβασίλευσεν. Ἔπειτα ἐκφωνεῖ ὁ διάκονος· Σοφία, καὶ ἀναγινώσκεται τὸ πρῶτον ἀνάγνωσμα τῆς ἡμέρας, τὸ Ἐν ἀρχῇ ἐποίησεν ὁ **Θεός**, εἶθ' οὕτως ἀναγινώσκονται τὰ ε'. (**л. 93**] ἀναγνώσματα τοῦ Εὐαγγελισμοῦ, καὶ μετὰ τὴν τούτων τελείωσιν, ἀναγινώσκονται τὰ ἐπίλοιπα ἀναγνώσματα τοῦ Πάσχα, κατὰ τὴν ἐπακολουθοῦσαν τάξιν. Ὁμοίως δὲ καὶ ἡ λοιπὴ πᾶσα τῆς λειτουργίας ἀκολουθία, καθὼς τὸ Συναξάριον τῷ μεγάλῳ σαββάτῳ διαγορεύει. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, προκείμενον τῆς ἡμέρας, ἦχου τοῦ μεγάλου σαββάτου. Ἀπόστολοι β'. καὶ ἀντὶ τοῦ Ἀλληλούια, Ἀνάστα ὁ Θεός. Εὐαγγέλιον β'. καὶ κοινωνικὸν, β'. Καὶ καταλύεται ἡ νηστεία, πλὴν οὐκ ἰχθυοφαγοῦμεν, οἷαν ἂν ἡμέραν λάχῃ τῆς μεγάλης ἑβδομάδος.

Περὶ δὲ ὥραν γ'. τῆς νυκτὸς, κρουομένου τοῦ ξύλου, συναγόμεθα ἐν τῷ ναῷ καὶ ψάλλομεν εἰς τὴν παννυχίδα κανόνας β'. τοῦ μεγάλου σαββάτου, καὶ τῆς Θεοτόκου τὸν εἰρημένον, εἶτα ἀναγινώσκομεν λόγον Γρηγορίου Ἀντιοχείας, οὗ ἡ ἀρχή· Ἐπαινετὸς καὶ οὗτος· πλὴν καὶ ἀπὸ γ'. καὶ ς'. ἀναγινώσκομεν ἕως οὗ ἑνστῇ ἡ ζ'. ὥρα τῆς νυκτός· κάμνει γὰρ ἀφ' ἑσπέρας τὸ ὡρολόγιον, καὶ μετὰ τὴν ζ'. ὥραν, θυμιᾷ ὁ ἱερεὺς κατὰ τὸν τύπον, καθὼς ἐκεῖσε διαγορεύει, καὶ λέγομεν τὸ Χριστὸς ἀνέστη, ὡς ἔθος γ'. Λέγοντος δὲ τὸν δ'. στίχον τοῦ ἱερέως, τὸ Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ψάλλει ὁ λαὸς τὸ τροπάριον τῆς Θεοτόκου· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, εἶτα πάλιν ὁ ἱερεύς· Δόξα καὶ νῦν, καὶ ὁ λαὸς τὸ αὐτὸ τροπάριον. Εἶτα ἀπαρχόμεθα τῶν κανόνων πρῶτον τοῦ Πάσχα εἰς η'. ἔπειτα τοῦ Εὐαγγελισμοῦ εἰς ς'. ὕστερον δὲ οἱ χοροὶ τοὺς εἱρμοὺς ὁμοῦ. Ἀπὸ γ'. ᾠδῆς, τὸ κοντάκιον τοῦ Πάσχα, καὶ ἀνάγνωσις· λόγος τοῦ Θεολόγου, τὸν α'. τοῦ Πάσχα· Ἀναστάσεως ἡμέρα. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ Εὐαγγελισμοῦ καὶ ἀνάγνωσις. Εἶτα τὸ προκείμενον ἦχος δ'. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, στίχος· Ἄσατε τῷ Κυρίῳ, καὶ εὐθὺς ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς, καὶ λέγει τὸ ἑωθινὸν εὐαγγέλιον τῆς Θεοτόκου· Ἀναστᾶσα Μαριάμ. Εἶτα τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ'. ἄνευ τοῦ Ν'. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ γ'. στιχηρὰ τοῦ Πάσχα, ἦχος α'. Σήμερον σωτηρία τῷ κόσμῳ. Τῆς λαμπρᾶς καὶ ἐνδόξου. Ἀναστάσεως ἡμέρα καρποφορήσωμεν. Καὶ ἕτερα γ'. τοῦ Εὐαγγελισμοῦ εἰς τὸν αὐτὸν ἦχον, ἔπειτα λέγομεν στίχον εἰς ἦχον πλ. α'. Ἀναστήτω ὁ Θεός. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος· Ὡς ἐκλείπει καπνός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Δόξα. Αἱ μυροφόροι γυναῖκες. Καὶ νῦν. Ἀναστάσε-

ως ἡμέρα. Χριστὸς ἀνέστη. Εἶτα ὁ ἀσπασμός, καὶ ἀπολύει· λιτὴν δὲ οὐ ποιοῦμεν. (οϐ.]

Εἰς δὲ τὴν λειτουργίαν, ψάλλομεν τὰ ἀντίφωνα τοῦ Πάσχα. Μετὰ δὲ τὴν εἴσοδον, Δόξα, ἦχος δ'. καὶ τὸ τροπάριον τῆς Θεοτόκου· Σήμερον τῆς σωτηρίας, Καὶ νῦν, τὸ κοντάκιον τοῦ Πάσχα. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον καὶ Ἀλληλούια τοῦ Πάσχα. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον ἀμφοτέρων, πρῶτον τοῦ Πάσχα, εἶτα τοῦ Εὐαγγελισμοῦ, καὶ ἑξῆς ἡ λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικὸν τοῦ Πάσχα.

Εἰ δὲ εἴη εὐκτήριος οἶκος τῆς Θεοτόκου, τελεῖται ἐκεῖσε πᾶσα ἡ ἀκολουθία καὶ ἡ λειτουργία τῆς Θεοτόκου, ἐν δὲ τῷ ναῷ ἡ ἀκολουθία τοῦ Πάσχα.

Περὶ δὲ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ ἱστέον, ὅτι οὐκ ἀπὸ σκοποῦ, τοῦ πῶς δεῖ ψάλλεσθαι τὴν ἀκολουθίαν ἐν ταῖς τῆς τεσσαρακοστῆς καὶ τῆς μεγάλης ἑβδομάδος ἡμέραις, ἡμῖν πεπόνηται· καὶ γὰρ τῷ τύπῳ τῆς μεγάλης ἐκκλησίας ἀκολουθοῦντες, ἔτι μὴν καὶ δι' ἐρωτήσεως, τοῦ ταύτης ἀρχιερατεύσαντος Ἀντωνίου τοῦ ὁσιωτάτου ἀκριβῶς ἀναμαθόντες, ταῦτα ἐντετάχαμεν. Μηδεὶς οὖν ἐπαπορείτω τῇ ἐναλλαγῇ ἐντυγχάνων τῶν τε στιχηρῶν καὶ κανόνων καὶ τῶν ἀναγνωσμάτων, ὅπως διώριστο, ἀλλὰ τὴν ἡμέραν σκοπείτω, ὅτε ἡ παραμονὴ τῆς ἑορτῆς γίνεται, εἶτα αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς ποία ἐστί, καὶ εὑρίσει, ὅτι, ὅτε ἡ νηστεία τύχῃ, διὰ τὸ σεβάσμιον τῆς τεσσαρακοστῆς, ψάλλομεν πρῶτον τὰ στιχηρὰ τοῦ Τριῳδίου τῆς ἡμέρας καὶ οἱονεὶ πέρας διδόαμεν τῇ νηστείᾳ, εἶτα ψάλλομεν καὶ τῆς ἑορτῆς, καὶ τὴν τῶν προηγιασμένων λειτουργίαν. Εἰς δὲ τὸν ὄρθρον, πάντα τὰ τοῦ Εὐαγγελισμοῦ προηγεῖται, τοῦ δὲ σαββάτου τοῦ δικαίου Λαζάρου, καὶ τῆς κυριακῆς τῶν Βαΐων προετάξαμεν τῆς ἑορτῆς τῆς Θεοτόκου τὴν ἀκολουθίαν ἐν ἅπασι προηγεῖσθαι, διὰ τὸ πρὸ τοῦ Πάθους τοῦ Χριστοῦ γενέσθαι ταύτας τὰς ἑορτάς, καὶ διὰ τὸ μὴ εἶναι νηστείαν ἐν αὐταῖς.

Περὶ δὲ τοῦ γενέσθαι τῇ μεγάλῃ παρασκευῇ προσκομιδήν, εἰ τύχῃ ὁ Εὐαγγελισμός, καὶ οἱ κανόνες ἄλλως διηγόρευον, ἀλλ' οὖν εὕρομεν ἐν τῷ Συναξαρίῳ τῆς μεγάλης ἐκκλησίας, ἵνα εἰς τοὺς εὐκτηρίους οἴκους τῆς Θεοτόκου γίνηται προσκομιδὴ καὶ τελεία λειτουργία. Εἰ δὲ οὐκ ἔστιν εὐκτήριος οἶκος τῆς Θεοτόκου, προσκομιδὴ οὐ γίνεται, οὔτε ἐν ταύτῃ τῇ ἡμέρᾳ, οὔτε ἐν ἄλλῃ, νηστείας οὔσης, ἀλλ' ἡ τῶν προηγιασμένων τελεῖται λειτουργία, πλὴν μόνης τῆς μεγάλης ε'. (π. 94]

Ἑρμηνεία περὶ τοῦ Εὐαγγελισμοῦ, εὑρεθεῖσα ἐν τοῖς κατὰ τὸν Ὄλυμπον τυπικοῖς γινομένη, ἔχει δὲ οὕτως·

Εἰ φθάσῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ ε΄. ἑσπέρας, εἰς τὰ ἅγια Πάθη δηλονότι, ἢ τῷ μεγάλῳ σαββάτῳ ἑσπέρας, ἤγουν τῇ κυριακῇ τοῦ Πάσχα, εἰς μὲν τὸ ε΄. ἑσπερινὸν ψαλλέσθωσαν ἀμφότεραι αἱ ἑορταί, ὡς εἴρηται, ἐν δὲ τῷ ὄρθρῳ, ἐπεὶ ἀγρυπνία ἐστὶ, καταλιπὼν τὴν τὴν παννυχίδα, ἄρξαι ἀφ' ἑσπέρας τοῦ ἑξαψάλμου, καὶ ποίησον πᾶσαν τὴν ἀκολουθίαν μόνου τοῦ Εὐαγγελισμοῦ, καὶ στιχολόγησον ἓν καὶ μόνον κάθισμα τοῦ Εὐαγγελισμοῦ, ὁμοίως τὸν κανόνα, τὰς ἀναγνώσεις, τὰ καθίσματα, τὰ στιχηρὰ μόνου τοῦ Εὐαγγελισμοῦ. Καὶ μετὰ τὴν τελείωσιν τῆς τοῦ ὄρθρου πάσης ἀκολουθίας ἀπολύει, προτίθεται ἡ ἐν τῷ Πραξαποστόλῳ ἀνάγνωσις. Καὶ πληρωθείσης αὐτῆς, ἄρξαι πάλιν ἕτερον ἑξάψαλμον, ἢ ἐάν ἐστι μεγάλη κυριακή, τοῦ Χριστὸς ἀνέστη, καὶ ἀρξάμενος, μέχρι πρωΐας πλήρωσον πάλιν τὴν ἀκολουθίαν μόνης τῆς ἡμέρας, μηδενὸς μηδόλως τοῦ Εὐαγγελισμοῦ τῇ τῆς ἡμέρας ἀκολουθίᾳ συνεισφερομένου, καὶ γενήσονται αἱ δύο ἀκολουθίαι, ἀταράχως καὶ ἀπαραλείπτως κατὰ τὴν τάξιν αὐτῶν. [Ὁ]μοίως καὶ ἐν τῇ λειτουργίᾳ, εἰ ἐστὶν εὐκτήριον, τελεσθήτω ἡ προσκομιδὴ καὶ πᾶσα ἡ ἀκολουθία τῆς Θεοτόκου, ὡς ἐν τάξει προλειτουργίας, ἐν δὲ τῷ μέσῳ τελεσθήτω μόνη ἡ ἀκολουθία τῆς ἡμέρας ἀκωλύτως. Ὁ κρατῶν καὶ τούτοις ἐντυγχάνων, ἣν θέλεις ἀκολουθίαν ἑλοῦ.

Ἐὰν δὲ φθάσῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῇ β΄. ἢ ἑτέρᾳ ἡμέρᾳ τῆς Διακαινησίμου, ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα τοῦ ἤχου, ἔπειτα τὰ δ΄. ἰδιόμελα τοῦ Εὐαγγελισμοῦ ἤχος δ΄. δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν, ἦχος β΄. Τὸ ἀπ' αἰῶνος μυστήριον. Ἡ εἴσοδος, το προκείμενον καὶ τὰ ἀναγνώσματα. Μετὰ δὲ τὴν τούτων τελείωσιν, λέγει ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ εὐαγγέλιον, ἔσωθεν τοῦ βήματος· Οὔσης ὀψίας, καὶ εὐθὺς ἡ ἐκτενής, ὁμοίως τε τὸ Καταξίωσον, Κύριε, καὶ τὰ λοιπά. Ἔπειτα στιχηρὰ γ΄. ἦχος πλ. β΄. πρὸς τὸ Ὅλην ἀποθέμενοι, τῆς ἑορτῆς, μετὰ καὶ τῶν ἐπ' αὐτοῖς στίχων, εἶτα λέγομεν στίχον τοῦ Πάσχα, ἦχος πλ. α΄. Ἀναστήτω ὁ Θεός, καὶ ψάλλομεν τὰ στιχηρὰ τοῦ Πάσχα, τὸ Πάσχα ἱερόν, καὶ τὰ λοιπά, μετὰ τοῦ Δόξα καὶ νῦν, τὸ Χριστὸς ἀνέστη καὶ ἀπόλυσις. Εἰς δὲ τὴν παννυχίδα τῆς ἀγρυπνίας, ψάλλομεν τὸν ἀναστάσιμον κανόνα τοῦ Τριῳδίου εἰς δ΄. καὶ τὸν τῆς ἑορτῆς εἰς ς΄. τὸν κατὰ ἀλφάβητον, ἦχος πλ. β΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆς Θεοτόκου, (οδ.] ἀπὸ ς΄. τὸ κοντάκιον αὐτῆς καὶ οἴκους κᾶν τρεῖς.

Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς Θεοτόκου ἐκ γ'. λέγομεν γὰρ καὶ τὸ ἐξάψαλμον, καὶ στιχολογοῦμεν κάθισμα ἕν, τὸ Κύριε, μὴ τῷ θυμῷ σου, μετὰ μειζόνων ἀλληλουιαρίων, εἶτα οἱ ἀναβαθμοὶ ἀντίφωνον ἕν, ἦχος δ'. Προκείμενον· Πᾶσα πνοή, καὶ ἑωθινὸν εὐαγγέλιον τῆς Θεοτόκου, εἶτα ὁ Ν'. Καὶ ὁ κανὼν τῆς Θεοτόκου εἰς ιδ'. Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν. Τὰ καθίσματα, αἱ ἀναγνώσεις, πάντα τῆς ἑορτῆς. Ὁμοίως καὶ ἐξαποστειλάριον, εἰ ἔχει, εἰδ' οὖν, Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. προσόμοια ἐκ β'. ἦχος α'. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Ἀπεστάλη ἐξ οὐρανοῦ. Δοξολογία μεγάλη. Τὸ ἀπολυτίκιον, καὶ ἀπόλυσις. Καὶ γίνεται ἡ ἀκολουθία τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Εἶτα πάλιν θυμιᾷ, ὡς ἔθος, ὁ ἱερεὺς πάντας, καὶ ἄρχεται τοῦ Χριστὸς ἀνέστη κατὰ τὸν τύπον, καὶ ψάλλομεν τὸν κανόνα τοῦ Πάσχα· Ἀναστάσεως ἡμέρα εἰς η'. μετὰ τῶν εἱρμῶν. Ἀπὸ ς'. τὸ κοντάκιον. Εἰς τοὺς αἴνους τὰ δ'. ἀναστάσιμα στιχηρὰ τοῦ στίχου ἐφ' ἅπαξ, εἶτα στίχος· Ἀναστήτω ὁ Θεός, καὶ τὰ στιχηρὰ τοῦ Πάσχα τὰ γ'. μετὰ τοῦ Δόξα καὶ νῦν, τὸ Χριστὸς ἀνέστη καὶ ἀπόλυσις.

Εἰς δὲ τὴν λειτουργίαν, γίνεται ἡ λιτή. Ἀντίφωνον τοῦ Πάσχα. Προκείμενον καὶ Ἀλληλούια τῆς ἑορτῆς. Ἀπόστολοι καὶ εὐαγγέλια δύο τῆς ἡμέρας καὶ τῆς ἑορτῆς. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστόν. Κοινωνικὸν ἀμφοτέρων.

Μηνὶ τῷ αὐτῷ κ'. Ἡ Σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ. Στιχηρὰ καὶ κάθισμα ἦχος α'. Κανών, ἦχος δ'. Εἴρηται περὶ τούτου, ἐὰν τύχῃ ἔξω τῆς μεγάλης ἑβδομάδος, ἐὰν δὲ οὐκ ᾖ νηστεία, ψάλλομεν μετὰ τὴν ἑορτὴν κοινῶς.

Μηνὶ τῷ αὐτῷ κζ'. Τῆς ὁσίας Ματρώνης, τῆς ἐν Θεσσαλονίκῃ. Στιχηρὰ καὶ κανών, Θεοφάνους. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ κη'. Τῶν ἁγίων μαρτύρων Μάρκου καὶ Κυρίλλου. Στιχηρὰ ἦχος δ'. Κανών, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ κθ'. Τῶν ἁγίων μαρτύρων Ἰωνᾶ καὶ Βαραχησίου. Στιχηρὰ καὶ κανών, Ἰωσήφ, κάθισμα δὲ ἦχος α'.

Μηνὶ τῷ αὐτῷ λ'. Τοῦ ὁσίου Ἰωάννου τῆς Κλίμακος. Στιχηρὰ καὶ ὁ κανών, ἦχος πλ. δ'. Ἰγνατίου. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ λα'. Τοῦ ἁγίου μάρτυρος Θεοφίλου. Στιχηρά, κανὼν Ἰωάννου μοναχοῦ, καὶ κάθισμα, ἦχος δ'. (π. 95)

Μὴν Ἀπρίλιος.

Μηνὶ Ἀπριλίῳ α'. τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

Χρὴ γινώσκειν, ὡς τῇ κυριακῇ τῆς ε'. ἑβδομάδος τῶν νηστειῶν, ψάλλονται τά τε στιχηρὰ αὐτῆς, ἦχος πλ. β'. καὶ τὸ ἰδιόμελον στιχηρὸν, ἦχος β'. Τὰ τῆς ψυχῆς θηρεύματα· ὅτε κανὼν, ἦχος β'. Θεοφάνους καὶ τὸ κάθισμα, ἦχος δ'. ταῦτα πάντα ψάλλομεν μετὰ καὶ τῆς ἀκολουθίας τῆς κυριακῆς, ὡς δηλοῖ τὸ τῆς τεσσαρακοστῆς συναξάριον, τὸν δὲ βίον αὐτῆς ἀναγινώσκομεν, ὅτε ψάλλεται ὁ μέγας κανών.

Μηνὶ τῷ αὐτῷ β'. τοῦ ὁσίου Τίτου. Στιχηρὰ καὶ κανὼν, ἦχος πλ. δ'. Ἰγνατίου. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ γ'. τοῦ ὁσίου Νικήτα, ἡγουμένου μονῆς τοῦ Μηδικίου. Στιχηρὰ ἦχος β'. Κανὼν Θεοφάνους ἦχος β'. ψάλλομεν δὲ αὐτὸν ἐν σαββάτῳ ἢ κυριακῇ, ἀναγινώσκοντες καὶ τὸν βίον αὐτοῦ.

Μηνὶ τῷ αὐτῷ δ'. τῶν ἁγίων Θεοδούλου καὶ Ἀγαθόποδος. Στιχηρὰ καὶ κανὼν, ἦχος δ'. Θεοφάνους. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ ε'. τῆς ὁσίας Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ. Στιχηρὰ ἦχος πλ. δ'. Ὁ κανὼν ἦχος πλ. α'. Ἰωσήφ. Κάθισμα ἦχος πλ. δ'.

Μηνὶ τῷ αὐτῷ ς'. τοῦ ἁγίου Εὐτυχίου, πατριάρχου Κωνσταντινουπόλεως. Στιχηρὰ ἦχος πλ. δ'. Ὁ κανὼν καὶ τὸ κάθισμα, ἦχος πλ. δ'. Θεοφάνους.

Μηνὶ τῷ αὐτῷ ζ'. τοῦ ἁγίου Γεωργίου, μητροπολίτου Μιτυλήνης. Στιχηρὰ καὶ κανὼν ἦχος πλ. δ'. καὶ κάθισμα ὅμοιον Θεοφάνους.

Μηνὶ τῷ αὐτῷ η'. τῶν ἁγίων ἀποστόλων Ἡρωδίωνος, Ἀγάβου καὶ τῶν λοιπῶν. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν ἦχος γ'. Ἰωσήφ, κάθισμα δὲ ἦχος πρῶτος.

Μηνὶ τῷ αὐτῷ θ'. τοῦ ἁγίου μάρτυρος Εὐψυχίου. Στιχηρὰ καὶ κανὼν, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ ι'. τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, Τερεντίου καὶ τῶν λοιπῶν. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ια'. τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίππα. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ ιβ'. τοῦ ἁγίου Βασιλείου, ἐπισκόπου Παρείου. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν ἦχος πλ. δ'. Θεοφάνους. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ιγ'. τοῦ ὁσίου Μαρτίνου, πάπα Ῥώμης. Στιχηρὰ καὶ κανὼν, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'. (οβ.]

Μηνὶ τῷ αὐτῷ ιδ'. τῶν ἁγίων ἀποστόλων Ἀριστάρχου καὶ τῶν λοιπῶν. Στιχηρὰ ἦχος α'. Ὁ κανών, ἦχος πλ. β'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ιε'. τοῦ ἁγίου μάρτυρος Κρίσκεντος. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ις'. τῶν ἁγίων γυναικῶν καὶ μαρτύρων Εἰρήνης, Ἀγάπης καὶ Χιονίας. Στιχηρὰ ἦχος δ'. Κανὼν Ἰωσήφ, ἦχος πλ. δ'. Κάθισμα ἦχος πλ. δ'.

Τῇ αὐτῇ ἡμέρᾳ τελοῦμεν ἡνωμένως τὰ μνημόσυνα τῶν ὁσίων πατέρων ἡμῶν καὶ κτητόρων, τοῦ τε μοναχοῦ κυροῦ Παύλου καὶ τοῦ μοναχοῦ κυροῦ Τιμοθέου, γίνονται δὲ οὕτως· Ἑσπέρας οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου τῆς ἡμέρας γ'. καὶ γ'. τοῦ ὁσίου πατρός, ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι, καὶ θεοτοκίον. Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ γ'. νεκρώσιμα πρὸς τὸ Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον. Δόξα, ἰδιόμελον τοῦ ὁσίου πατρὸς, ἦχος πλ. β'. Ἐδόθης ἄνωθεν δοτός. Καὶ νῦν ἰδιόμελον τῆς ἡμέρας, εἴπερ ἐστιν ἐξώπασχα, εἰ δὲ μή, θεοτοκίον. Ἀπολυτίκιον ἦχος πλ. δ'. Ἐν σοί, πάτερ, ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβὼν γὰρ τὸν Σταυρόν.

Εἶτα κατερχόμεθα εἰς τὸ κοιμητήριον, καὶ ποιοῦμεν ἐν τοῖς ἁγίοις τάφοις αὐτῶν παννυχίδα, ψάλλοντες κανόνας β'. ἕνα μὲν τοῦ ὁσίου πατρὸς, ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ. Ταῖς ἀρχηφώτοις ἀστραπαῖς λαμπόμενοι, ἕτερον δὲ νεκρώσιμον ἦχος ὁ αὐτός· Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ. Καὶ ἀμφοτέρους ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα ἦχος πλ. α'. Ἀνάπαυσον, ἀπὸ δὲ ς'. τὸ κοντάκιον τοῦ ὁσίου πατρός, πρὸς τὸ Τὴν ἐν πρεσβείαις. Τὸν ἐν ἀσκήσει ἐκλάμψαντα θεῖον Παῦλον. Ἡ ἐκτενής, ἐν ᾗ μνημονεύομεν τῶν δύο ὁμοῦ, λέγοντες τὸ Κύριε ἐλέησον μ'. καὶ ἀπολύει.

Εἰ δὲ τὴν παννυχίδα τῆς ἀγρυπνίας, ψάλλομεν κανόνα τῆς ἡμέρας, ἤτοι τῶν ἁγίων γυναικῶν εἰς δ'. καὶ τοῦ ὁσίου πατρὸς ἕτερον, ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, καὶ νεκρώσιμον, ἦχος β'. Τῷ θανάτῳ σου καταπατήσας θάνατον, τοὺς γ'. ἀνὰ δ'. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ὁσίου πατρός, πρὸς τὸ Τὰ ἄνω ζητῶν. Οἰκίαν ἀφείς. Ἡ ἐκτενής, ἐν ᾗ μνημονεύομεν τῶν ἀμφοτέρων ὁμοῦ, λέγοντες τὸ Κύριε ἐλέησον, μ'. καὶ ἀπολύει. Εἶθ' οὕτως, ἡ ἐν τῷ Πραξαποστόλῳ ἀνάγνωσις.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἡμέρας, εἴπερ λάχῃ ἐξώπασχα, ἐκ β'. (π. 96] εἰς δὲ τὸ Δόξα, τοῦ ὁσίου, καὶ νῦν, θεοτοκίον, εἰ δὲ λάχῃ τῇ τεσσαρακοστῇ, ψάλλομεν τοῦ ὁσίου β'. Δόξα, νεκρώσιμον, καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. ἐνόρδινα, καθίσματα τῆς ἡμέρας. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου, εἶτα ὁ Ἄμωμος εἰς ἦχον πλ. α'. μετὰ τῶν νεκρωσίμων τροπαρίων αὐτοῦ, καὶ κάθισμα· Ἀνάπαυσον, Δόξα καὶ νῦν, θεοτοκίον. Ἔπειτα οἱ ἀναβαθμοὶ ἀντίφωνον ἓν, ἦχος δ'. προκείμενον ἦχος ὁ αὐτός· Ὁ Θεὸς, ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίου, στίχος· Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα. Πᾶσα πνοή, ἦχος ὁ αὐτός, εὐαγγέλιον κατὰ Ματθαῖον εἰς ὅσιον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ Εὐαγγελίου, Ὀκτωβρίου, ὁ Ν'. Κανόνες γ'. εἰ μὲν ἐστιν ἐξώπασχα, λέγομεν πρῶτον τῆς ἑορτῆς, καὶ ἕτερον τοῦ ὁσίου ἦχος πλ. β'. πρὸς τὸ Κύματι θαλάσσης. Ὕμνοις ἐγκωμίων, καὶ νεκρώσιμον ἦχος ὁ αὐτός· Ἐν οὐρανίοις θαλάμοις, ἀνὰ δ'. εἰς δὲ ἔσωθεν τῆς τεσσαρακοστῆς, λέγομεν τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. τοῦ ὁσίου εἰς ς'. καὶ τὸν νεκρώσιμον εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα ἦχος πλ. β'. Ἀληθῶς ματαιότης, ἀπὸ δὲ ς'. κοντάκιον νεκρώσιμον. Εἶτα κατέρχεται ὁ παρεκκλησιάρχης ἢ ὁ ταφιώτης καὶ ἑτοιμάζει κάτω καλῶς, ἅπτει τε κηροὺς καὶ κανδύλας, καὶ θυμιᾷ τὸ κοιμητήριον ἅπαν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς θ'. ᾠδῆς, γινομένης μικρᾶς συναπτῆς, εὐθὺς ἀρχόμεθα τοῦ ἐξαποστειλαρίου· Ὁ οὐρανὸν τοῖς ἄστροις, εἶτα καὶ Ὁ νεκρῶν καὶ ζώντων. Καὶ τούτων ψαλλομένων, ἐξερχόμενοι πάντες διὰ τῶν βασιλικῶν πυλῶν, κατερχόμεθα εἰς τὸ κοιμητήριον, ψάλλοντες καὶ τὸ Ὁ γλυκασμὸς ἀγγέλων, εἶτα ψάλλομεν ἐκεῖ τοὺς αἴνους, ἱστῶντες δὲ δ'. ψάλλομεν τὰ καταλειφθέντα τρία στιχηρὰ τοῦ ὁσίου πρὸς τὸ Ὅλην ἀποθέμενοι, καὶ ἕτερον ἰδιόμελον τοῦ αὐτοῦ, ἦχος β'. Ὠχυρωμένος, Δόξα καὶ νῦν, εἰ μέν ἐστιν ἐξώπασχα, ἰδιόμελον τῆς ἑορτῆς, εἰ δὲ μή, θεοτοκίον. Εἰς δὲ τὸν στίχον, ψάλλομεν στιχηρὰ νεκρώσιμα, ἦχος πλ. δ'. Βασιλικῶς μοι ὑπέγραψας, τὰ δ'. ἐφ' ἅπαξ μετὰ τοῦ Δόξα καὶ νῦν. Ἀπολυτίκιον τοῦ ὁσίου· Ἐν σοί, πάτερ, ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα. Ἡ α'. ὥρα, χωρὶς ἀναγνώσεως.

Ἡ δὲ λειτουργία, τελεῖται ἐν τῷ κοιμητηρίῳ. Ἀκολουθία νεκρώσιμος καὶ τοῦ ὁσίου ἅμα. Οἱ μακαρισμοὶ καὶ ἡ γ'. ᾠδὴ τοῦ κανόνος τοῦ ὁσίου τοῦ εἰς ἦχον πλ. β'. Προκείμενον, ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀπόστολοι β'. τοῦ ὁσίου· Ἀδελφοί, ὁ καρπὸς τοῦ πνεύματος. Ζήτει σαββάτῳ κζ'. καὶ νεκρώσιμος.

Ἀλληλούια ἦχος πλ. β΄. Μακάριος ἀνήρ, στίχος ἕτερος· Μακάριος, ὃν ἐξελέξω. Κοινωνικόν· Εἰς μνημόσυνον. Εὐαγγέλια β΄. τοῦ ὁσίου ἐκ τοῦ κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. Ζήτει τῇ παρασκευῇ τῆς β΄. ἑβδομάδος τοῦ Λουκᾶ, καὶ νεκρώσιμον (**οδ.**). Εἰδέναι δὲ δεῖ, ὅτι εἰ τύχῃ γενέσθαι τὰ μνημόσυνα τῶν ὁσίων πατέρων ἡμῶν τῇ μεγάλῃ ἑβδομάδι, ἢ τῆς διακαινησίμου, ἢ ἐν ἡμέρᾳ κυριακῇ, οὐκ ἐπιτελοῦνται, ἀλλ' ἅμα τῷ παρελθεῖν ἢ τὴν κυριακήν, εἴπερ ἐστιν, τηνικαῦτα ἐν ἐπιτηδείᾳ καὶ λιτῇ ἡμέρᾳ ἐκτελοῦνται, ὅτε δηλονότι κελεύει ὁ προεστώς. Ἐὰν δὲ τῇ ἁγίᾳ τεσσαρακοστῇ λάχῃ, οἵα ἂν ἡμέρα εἴῃ, ἐν σαββάτῳ ἐπιτελοῦμεν τὰ μνημόσυνα αὐτῶν, καὶ ψάλλομεν, καθὼς ἠρμηνεύσαμεν ἔν τε τῷ ἑσπερινῷ καὶ ἐν ταῖς παννυχίσιν. Εἰ δὲ ἐξώπασχα λάχῃ, οἵα ἂν ἡμέρα τύχῃ, κατ' αὐτὴν ἐπειτελοῦμεν τὰ τούτων μνημόσυνα, καθὼς δηλονότι καὶ ἄνωθεν ἠρμηνεύσαμεν.

Μηνὶ τῷ αὐτῷ ιζ΄. τοῦ ἁγίου Συμεών, ἐπισκόπου Περσίδος. Στιχηρὰ ἦχος δ΄. Ὁ κανών, ἦχος πλ. α΄. Ἰωσήφ. Κάθισμα ἦχος α΄.

Μηνὶ τῷ αὐτῷ ιη΄. τοῦ ἁγίου Ἀκακίου, ἐπισκόπου Μελιτηνῆς. Στιχηρὰ καὶ κανών, Ἰωσήφ, ἦχος πλ. δ΄. Κάθισμα ἦχος δ΄.

Μηνὶ τῷ αὐτῷ ιθ΄. τοῦ ἁγίου Θεοδώρου τοῦ ἐν Ἤργῃ. Στιχηρα ἦχος πλ. δ΄. Ὁ κανὼν Θεοφάνους καὶ κάθισμα ἦχος δ΄.

Μηνὶ τῷ αὐτῷ κ΄. τοῦ ἁγίου Θεοδώρου τοῦ Τριχινᾶ. Στιχηρὰ ἦχος πλ. δ΄. Ὁ κανὼν Θεοφάνους, καὶ κάθισμα ἦχος δ΄.

Μηνὶ τῷ αὐτῷ κα΄. τοῦ ἁγίου μάρτυρος Ἰανουαρίου καὶ τῶν λοιπῶν. Τὰ στιχηρὰ, ὁ κανὼν Ἰωσήφ, καὶ τὸ κάθισμα ἦχος δ΄.

Μηνὶ τῷ αὐτῷ κβ΄. τοῦ ἁγίου Θεοδώρου τοῦ Συκεώτου. Στιχηρὰ ἦχος πλ. α΄. Ὁ κανὼν Ἰωσήφ, καὶ κάθισμα ἦχος δ΄. Εἰ τύχῃ ἔσωθεν τῆς τεσσαρακοστῆς, ψάλλομεν ἐν σαββάτῳ ἢ κυριακῇ.

Μηνὶ τῷ αὐτῷ κγ΄. τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου εἰς ἦχον δ΄. Ὡς γενναῖον, δευτεροῦντες τὰ δύο τὰ πρῶτα, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος πλ. β΄. Ἄξιως τοῦ ὀνόματος, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς παρούσης ἑορτῆς. Ἀπολυτίκιον, ἦχος δ΄. Ὁ μάρτυς σου, Κύριε.

Εἰς τὴν παννυχίδα, ψάλλομεν ἔνδοθεν τοῦ ναοῦ κανόνα τοῦ ἁγίου, ἦχος β΄. Θεοφάνους. Ἀπὸ γ΄. ᾠδῆς, οὐδέν, ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ β΄. Δόξα τοῦ ἁγίου· Ὁ μάρτυς σου, Κύριε, (**л. 97**) καὶ νῦν θεοτοκίον.

Καὶ εἰ μέν ἐστιν ἑβδομὰς ἡ τῆς Διακαινησίμου, οὐ στιχολογοῦμεν, εἰ δὲ ἑτέρα μετὰ ταύτην, στιχολογοῦμεν κάθισμα ἓν. Κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις· τὸ μαρτύριον τοῦ ἁγίου, οὗ ἡ ἀρχή· Διοκλητιανὸς ὁ Ῥωμαίων αὐτοκράτωρ. Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν'. καὶ ψάλλομεν κανόνας β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος δ'. Κοσμᾶ μοναχοῦ· Χοροὶ Ἰσραήλ, ὕστερον δὲ λέγομεν καὶ τοὺς εἱρμοὺς ταύτης τῆς καταβασίας. Εἰ δὲ ἔχει ὁ ἅγιος β'. κανόνας, εἰς η'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ, ἦχος δ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς, καὶ τοῦ ἁγίου· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς δὲ τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος δ'. Τὸν νοερὸν ἀδάμαντα, Δόξα καὶ νῦν, τῆς ἑορτῆς. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. καὶ ἡ ς'. τὸ τροπάριον τῆς ἡμέρας, Δόξα καὶ νῦν, τὸ κοντάκιον τοῦ ἁγίου. Προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, Θεοῦ ἐσμὲν συνεργοί. Ζήτει κυριακῇ θ'. Ἀλληλούια ἦχος δ'. Δίκαιος, ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν. Ζήτει σαββάτῳ γ'. τοῦ Πάσχα. Κοινωνικόν· Ἀγαλλιᾶσθε. Εἰ δὲ ἔχει ἡ ἡμέρα ἀπόστολον καὶ εὐαγγέλιον καὶ κοινωνικόν, λέγομεν κἀκεῖνα.

Εἰδέναι μέντοι χρή, ὡς, ἐὰν φθάσῃ τοῦ ἁγίου Γεωργίου τῇ μεγάλῃ παρασκευῇ, ψάλλομεν τὰ στιχηρὰ καὶ τὸν κανόνα αὐτοῦ τῇ μεγάλῃ δ'. μετὰ καὶ τῆς ἀκολουθίας τῆς ἡμέρας. Περὶ δὲ τοῦ λέγειν, Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ μάρτυρος, οὕτω δεῖ ποιεῖν, καθὼς ποιοῦμεν καὶ τῇ ἑορτῇ τῶν ἁγίων τεσσαράκοντα· ὁμοίως δὲ καὶ ἡ προηγιασμένη λειτουργία, εἰ δὲ μή γε, ὡς δόξει τῷ προεστῶτι.

Εἰ δὲ γένηται ἡ μνήμη αὐτοῦ τῷ μεγάλῳ σαββάτῳ, καταλιμπάνεται ἡ ἑορτὴ αὐτοῦ, καὶ ψάλλεται τῇ ἑβδομάδι τῆς Διακαινησίμου. Ἐν ἄλλῃ δὲ ἡμέρᾳ τοῦ Πάσχα εἰ φθάσῃ γενέσθαι ἡ μνήμη αὐτοῦ, εἴτε ἡ μνήμη τοῦ ἁγίου ἀποστόλου Μάρκου, ψάλλομεν τὴν ἀκολουθίαν αὐτῶν, μετὰ τὴν τῆς ἡμέρας ἀκολουθίαν, κἂν τε τῇ νέᾳ κυριακῇ, κἂν τε τῇ Μεσοπεντηκοστῇ, παρεκτὸς τῆς β'. τῆς Διακαινησίμου, διὰ τὸ τελεῖσθαι ἐν ταύτῃ τῇ ἡμέρᾳ τὴν ἀκολουθίαν τῆς μεγάλης κυριακῆς.

Μηνὶ τῷ αὐτῷ κδ'. τῆς ὁσίας Ἐλισάβετ. Στιχηρά, κανὼν ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ κε'. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. (οδ.] ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων, καὶ ἕτερα γ'. πρὸς τὸ Πανεύφημοι μάρτυρες, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος πλ. δ'. Δεῦτε τῆς οὐρανίου, Δόξα καὶ νῦν, τῆς ἑορτῆς. Ἀπολυτίκιον, ἦχος γ'. Ἀπόστολε ἅγιε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ τροπάριον τῆς ἑορτῆς, Δόξα τὸ τοῦ ἀποστόλου, καὶ νῦν θεοτοκίον. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος α'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου, ἦχος πλ. δ'. Ἀνάγνωσις· ὑπόμνημα τοῦ ἀποστόλου. Ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ, ἐξαποστειλάριον τῆς ἡμέρας καὶ τοῦ ἀποστόλου· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἡμέρας β'. καὶ ἕτερα τοῦ ἀποστόλου ἦχος α'. πρὸς τὸ Πανεύφημοι μάρτυρες, τὸ δ'. Δόξα καὶ νῦν τῆς ἑορτῆς ἢ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς δὲ τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. τροπάριον τῆς ἡμέρας καὶ τοῦ ἁγίου. Προκείμενον, ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Πέτρου· Ἀδελφοί, ταπεινωθῶμεν ὑπὸ τὴν κραταιάν. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ κς'. τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως, ἐπισκόπου Ἀμασείας. Στιχηρά, ἦχος δ'. Κανὼν Ἰωσήφ, ἦχος ὁ αὐτός. Κάθισμα ἦχος γ'. Ἀνάγνωσις· τὸ ὑπόμνημα αὐτοῦ, οὗ ἡ ἀρχή· Οἱ τὸ ἐπίγειον κράτος.

Μηνὶ τῷ αὐτῷ κζ'. τοῦ ἁγίου ἱερομάρτυρος Συμεών, τοῦ συγγενοῦς τοῦ Κυρίου. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ κη'. τοῦ ἁγίου ἀποστόλου Ἰάσωνος, ἑνὸς τῶν ἑβδομήκοντα. Στιχηρὰ καὶ κανὼν, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ κθ'. τοῦ ὁσίου Μέμνονος. Στιχηρὰ ἦχος πλ. δ'. Κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος πλ. δ'.

Μηνὶ τῷ αὐτῷ λ'. τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ ς'. στιχηρὰ τοῦ ἀποστόλου ἐφ' ἅπαξ, ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου

ἦχος πλ. δ'. Πρῶτος, πανεύφημε, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἡμέρας, Δόξα, τὸ τροπάριον τοῦ ἀποστόλου, καὶ νῦν θεοτοκίον. Κανόνες β'. ὁ τῆς ἡμέρας εἰς δ'. καὶ ὁ τοῦ ἀποστόλου εἰς ς'. ἦχος πλ. δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου εἰς ἦχον α'. καὶ θεοτοκίον. Ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον (л. **98**] τῆς ἡμέρας καὶ τοῦ ἁγίου· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τοῦ ἁγίου ἐκ τῶν προσομοίων τῆς ἑσπέρας, τὸ α'. Δόξα καὶ νῦν τῆς ἑορτῆς, εἴπερ ἐστὶν, ἢ θεοτοκίον. Ἀπολυτίκιον, τὸ τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ γ'. εἰ μή που τύχῃ ἐν ἡμέρᾳ κυριακῇ. Τροπάριον τῆς ἡμέρας καὶ τοῦ αὐτοῦ. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Κατ' ἐκεῖνον τὸν καιρόν. Ζήτει σαββάτῳ ε'. τοῦ Πάσχα. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον ζήτει ἐν τῷ Μηνολογίῳ τοῦ εὐαγγελίου· λέγομεν δὲ καὶ τὰ τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς καὶ τοῦ ἁγίου, οἷαν δὲ ἡμέραν λάχῃ ἡ μνήμη αὐτοῦ, εἴτε καὶ ἑτέρου ἀποστόλου ἡ μνήμη, ψάλλονται μετὰ τῆς ἐνεστώσης ἑορτῆς.

Μὴν Μάϊος.

Μηνὶ Μαΐῳ α'. τοῦ ἁγίου προφήτου Ἱερεμίου. Στιχηρὰ ἦχος πλ. δ'. Ὁ κανὼν Θεοφάνους, ἦχος ὁαὐτός. Κάθισμα ἦχος α'. Ψάλλεται δὲ μετ' αὐτοῦ καὶ ὁ ἅγιος Σάβας (;) ὁ στρατηλάτης, οὗ ἡ μνήμη ἐστὶν εἰς τὴν β'. τοῦ μηνὸς τούτου, διὰ τὸ ψάλλεσθαι εἰς τὴν β'. τὸν ἅγιον Ἀθανάσιον. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ προφήτου, καὶ ἕτερα γ'. τοῦ Στρατηλάτου καὶ θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου. Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἡμέρας, Δόξα, τοῦ προφήτου, καὶ νῦν θεοτοκίον. Κανόνες γ'. τῆς ἡμέρας, τοῦ προφήτου, ἦχος πλ. δ'. Θεοφάνους, καὶ τοῦ Στρατηλάτου ἦχος β'. Ἰωσὴφ ἀνὰ δ'. καὶ τὰ καθίσματα τῶν ἁγίων. Εἰς τὴν λειτουργίαν, ὡς σύνηθες.

Μηνὶ τῷ αὐτῷ β'. τοῦ ἁγίου Ἀθανασίου, ἀρχιεπισκόπου Ἀλεξανδρείας. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἐκ β'. ἦχος πλ. α'. πρὸς τὸ Χαίροις. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος γ'. Τὸ μέγα κλέος. Ζήτει Ἰανουαρίου ιη'. Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς, ἢ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Ὀρθοδοξίας.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ τροπάριον τῆς ἡμέρας, εἰ ἐστίν, εἶτα τοῦ ἁγίου. Μετὰ τὴν στιχολογίαν, ἀνάγνωσις· ὁ βίος τοῦ ἁγίου Ἀθανασίου, οὗ ἡ ἀρχή· Ἄλλοι μὲν ἄλλα τῶν μακαρίων ἀνδρῶν. Ζήτει Ἰανουαρίου ιη'. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος δ'. Γεωργίου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος γ'. Ἡ μεγάλη τῆς ἀληθείας σάλπιγξ. Ζήτει Ἰανουαρίου ιη'. (οδ.] καὶ θεοτοκίον, ἢ τῆς ἑορτῆς. Ἀπολυτίκιον τοῦ ἁγίου. Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. τροπάριον τοῦ αὐτοῦ καὶ τὸ τῆς ἡμέρας. Προκείμενον, ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος, στίχος· Τί ἀνταποδώσωμεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς. Ζήτει σεπτεμβρίου β'. Ἀλληλούια ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ γ'. τῶν ἁγίων μαρτύρων Τιμοθέου καὶ Μαύρας. Στιχηρὰ ἦχος α'. Ὁ κανὼν ἦχος πλ. β'. Ἰωσήφ. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ δ'. τῆς ἁγίας μάρτυρος Εἰρήνης. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Θεοφάνους. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ ε'. τῆς ἁγίας ὁσιομάρτυρος Πελαγίας. Στιχηρὰ ἦχος δ'. Ὁ κανὼν ἦχος ὁ αὐτός, Θεοφάνους. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ ς'. τοῦ δικαίου Ἰώβ. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Ἰωάννου μοναχοῦ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ζ'. τοῦ ἁγίου Ἀκακίου. Στιχηρὰ καὶ κανὼν καὶ κάθισμα ἦχος δ'. Θεοφάνους.

Μηνὶ τῷ αὐτῷ η'. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, καὶ τοῦ ὁσίου Ἀρσενίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς'. ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου, δευτεροῦντες τὸ α'. καὶ β'. τοῦ ὁσίου εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος β'. Τὸν υἱὸν τῆς βροντῆς, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἢ θ(εοτοκίον). Ἀπολυτίκιον, ἦχος β'. Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε. Εἰς τὴν παννυχίδα, κανὼν τοῦ ἁγίου. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ ἀποστόλου, εἶτε τῆς ἑορτῆς, εἰ ἐστίν, ὃ καὶ προηγεῖται. Ἀπὸ τῆς στιχολογίας, κάθισμα

τοῦ ἀποστόλου ἦχος πλ. δ'. Τῆς σοφίας τῷ στήθει, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου Ἀρσενίου, οὗ ἡ ἀρχή· Ἀλλὰ τῶν σπουδαίων ἄρα. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ'. Τοὺς θορύβους τοῦ βίου, καὶ κάθισμα. (τοῦ Θεολόγου): Κανόνες β'. τῆς ἑορτῆς εἰς δ'. καὶ τοῦ ἀποστόλου συνάμα μετὰ τοῦ ὁσίου εἰς ς'. Ἰωάννου μοναχοῦ, ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ. Ἀπὸ ς'. τὸ τοῦ ἀποστόλου κοντάκιον ἦχος β'. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων, γ'. δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ἀπόστολε Χριστοῦ, εὐαγγελιστὰ Ἰωάννη, Δόξα καὶ νῦν τῆς ἑορτῆς. Ἀπολυτίκιον τοῦ ἁγίου. (π. **99**]

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ γ'. Τροπάριον καὶ κοντάκιον τοῦ αὐτοῦ. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰωάννου· Ἀδελφοί, ὃ ἦν ἀπ' ἀρχῆς. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ εἰσ[τ]ήκεισαν παρὰ τῷ Σταυρῷ τῷ Ἰησοῦ. Κοινωνικὸν τοῦ ἀποστόλου.

Ἰστέον μέντοι, ὅτι οἵαν ἡμέραν τύχῃ τοῦ Θεολόγου ἡ μνήμη μετὰ τὸ Πάσχα, κἂν τε τῇ Μεσοπεντηκοστῇ, κἂν τε τῆς Ἀναληψίμου, οὐ παραλιμπάνεται, ἀλλὰ ψάλλεται ἡ ἀκολουθία αὐτοῦ, ὡς εἴρηται, σὺν τῇ τῆς ἡμέρας ἀκολουθίᾳ· ὡσαύτως καὶ ἄλλου ἀποστόλου μνήμη τῶν ἑορταζομένων εἰ τύχῃ, οὐ παραλιμπάνεται.

Μηνὶ τῷ αὐτῷ θ'. τοῦ ἁγίου προφήτου Ἡσαΐου, καὶ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων πέντε, ἦχος δ'. δευτεροῦντες τὸ ἓν τοῦ μάρτυρος, Δόξα καὶ νῦν θεοτοκίον. Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, κάθισμα τοῦ προφήτου ἦχος γ'. καὶ θεοτοκίον. Ὁ κανὼν ἀμφοτέρων εἰς ς'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ μάρτυρος· ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ ι'. τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. ἐκ β'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν. Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου ἦχος πλ. β'. Ζηλῶν ἐζήλωκας, Δόξα καὶ νῦν θεοτοκίον, ἢ τῆς ἑορτῆς. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε. Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς

ἡμέρας. Ἀνάγνωσις, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἀποστόλου εἰς ς'. ἦχος πλ. δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου ἦχος γ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχων τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, καὶ ἓν τοῦ ἀποστόλου ἐκ τῶν προσομοίων τῆς ἑσπέρας, τὸ α'. Δόξα καὶ νῦν, τῆς ἑορτῆς. Ἀπολυτίκιον τοῦ ἀποστόλου. Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας. Τροπάριον τοῦ ἁγίου. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοί. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ τε ἀποστόλου καὶ τοῦ εὐαγγελίου. Καθολικῆς ἐπιστολῆς Ἰούδα. Κοινωνικόν· Εἰς πᾶσαν.

Μηνὶ τῷ αὐτῷ ια'. τὰ γενέθλια τῆς πόλεως, καὶ τοῦ ἁγίου μάρτυρος Μωκίου. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἦχος δ'. μετὰ τῆς ἑορτῆς εἰς ς'. ὁμοίως καὶ τὸν κανόνα μετὰ τῆς ἑορτῆς, τῆς κατὰ τὴν ἡμέραν, εἰς ι'. ἦχος δ'. Θεοφάνους. Κάθισμα τοῦ ἁγίου ἦχος δ'. ἡ δὲ λοιπὴ ἀκολουθία πᾶσα τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιβ'. τοῦ ἁγίου Ἐπιφανίου, ἐπισκόπου Κύπρου, καὶ τοῦ ἁγίου (οβ.] Γερμανοῦ, πατριάρχου Κωνσταντινουπόλεως. Ἑσπέρας, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Ἐπιφανίου, ἦχος δ'. γ'. καὶ ἕτερα γ'. τοῦ ἁγίου Γερμανοῦ, ἦχος α'. καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου. Ἀπολυτίκιον, ἦχος δ'. Ὁ Θεὸς τῶν πατέρων. Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ τροπάριον τῶν ἁγίων. Ἀπὸ τῆς στιχολογίας, κάθισμα τοῦ ἑνὸς ἁγίου. Κανόνες γ'. τῆς ἡμέρας, τοῦ ἁγίου Ἐπιφανίου· Ἰωάννου μοναχοῦ, καὶ τοῦ ἁγίου Γερμανοῦ, ἦχος ὁ αὐτός, Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἑτέρου ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου. Ἀπολυτίκιον τῶν ἁγίων. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας. Τροπάριον τῶν ἁγίων. Προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσωμεν. Ἀλληλούια, ἦχος β'. Οἱ ἱερεῖς σου, Κύριε. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιγ'. τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου, τοῦ ἐν τῷ Μαλέᾳ, καὶ τῆς ἁγίας Γλυκερίας. Στιχηρὰ τοῦ ὁσίου ἦχος α'. γ'. καὶ γ'. τῆς ἁγίας, ἦχος πλ. δ'. Κανόνες γ'. τῆς ἐνεστώσης ἑορτῆς, τοῦ ὁσίου ἦχος β'. Θεοφάνους, καὶ τῆς ἁγίας ἦχος πλ. δ'. τοῦ αὐτοῦ. Ἀπὸ τῆς σήμερον δὲ ἀναγινώσκεται καὶ ὁ βίος τοῦ ὁσίου Παχωμίου· ὁμοίως δὲ

καὶ εἰς τὴν α'. ὥραν καὶ εἰς τὴν τράπεζαν, ἕως οὗ πληρωθῇ. Εἰ δὲ τύχῃ ἀνὰ μέσον ἀγρυπνία γενέσθαι, ἀναγινώσκεται τότε.

Μηνὶ τῷ αὐτῷ ιδ'. τοῦ ἁγίου Ἰσιδώρου τοῦ Χιώτου. Στιχηρὰ ἦχος πλ. β'. Ὁ κανὼν ἦχος πλ. δ'. Θεοφάνους. Κάθισμα ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ ιε'. τοῦ ὁσίου πατρὸς ἡμῶν Παχωμίου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου γ'. ἐκ β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ὁσίου ἦχος δ'. Κρίνον σε ἡ ἔρημος ἐξήνθησε, πάτερ, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Ταῖς τῶν δακρύων σου ροαῖς τῆς ἐρήμου.

Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς ἡμέρας. Ἀνάγνωσις· ἐκ τοῦ βίου τοῦ ὁσίου. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος β'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ ὁσίου ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν ἐκ τῶν προσομοίων τοῦ ἁγίου, ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἡμέρας καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ τῆς ἡμέρας. Τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος βαρύς· Καυ(π. 100)χήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀλληλούια, ἦχος πλ. β'. Μακάριος ἀνήρ. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ις'. τοῦ ὁσίου πατρὸς ἡμῶν Νεαδίου. Στιχηρὰ ἦχος α'. Κανὼν ἦχος πλ. β'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ιζ'. τοῦ ἁγίου ἀποστόλου Ἀνδρονίκου, ἑνὸς τῶν ο'. Στιχηρὰ καὶ κανὼν ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ιη'. τῶν ἁγίων μαρτύρων Πέτρου, Διονυσίου καὶ τῶν λοιπῶν. Στιχηρὰ καὶ κανών, Ἰωσήφ, ἦχος δ'. Κάθισμα ἦχος πλ. δ'.

Μηνὶ τῷ αὐτῷ ιθ'. τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου. Στιχηρὰ ἦχος β'. Ὁ κανὼν ἦχος πλ. δ'. Θεοφάνους. Κάθισμα ἦχος πλ. δ'.

Μηνὶ τῷ αὐτῷ κ'. τοῦ ἁγίου Θαλελαίου. Στιχηρὰ καὶ κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος πλ. δ'.

Μηνὶ τῷ αὐτῷ κα'. τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς'. ψάλλομεν τῶν ἁγίων στιχηρὰ γ'. ἐκ β'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων

ἦχος β'. Οὐκ ἐξ ἀνθρώπων τὴν κλῆσιν, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Τοῦ Σταυροῦ σου τὸν τύπον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον ἐκ γ'. Ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς ἡμέρας. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος πλ. δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν. Ἐξαποστειλάριον· Ὁ οὐρανόν.... καὶ διὰ τῶν σῶν ἁγίων. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τῶν ἁγίων, ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου. Χαίροις, Κωνσταντῖνε μέγιστε, καὶ θεοτοκίον. Ἀπολυτίκιον τῶν ἁγίων.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῶν ἁγίων ἡ γ'. Τροπάριον τῶν αὐτῶν καὶ τῆς ἡμέρας. Προκείμενον, ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ βασιλεύς. Ἀλληλούια, ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί, ἢ μᾶλλον τοῦτο εἰπέ· Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Εὐαγγέλιον ζήτει εἰς τὸ Μηνολόγιον τοῦ εὐαγγε- (οβ.] λίου. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς σήμερον ἀρχόμεθα ἀναγινώσκειν τὸν βίον τοῦ ὁσίου Συμεών, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει.

Μηνὶ τῷ αὐτῷ κβ'. τοῦ ἁγίου μάρτυρος Βασιλίσκου. Στιχηρά, ἦχος δ'. Ὁ κανών, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ κγ'. τοῦ ἁγίου Μιχαήλ, ἐπισκόπου Συννάδων. Στιχηρά, ἦχος πλ. δ'. Ὁ κανών, ἦχος β'. Θεοφάνους. Κάθισμα, ἦχος α'.

Μηνὶ τῷ αὐτῷ κδ'. τοῦ ὁσίου Συμεών, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ἁγίου ἐκ β'. ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος β'. Εἰς ὄρος ὑψηλόν, Δόξα καὶ νῦν ἰδιόμελον τῆς ἑορτῆς, ἢ θεοτοκίον. Ἀπολυτίκιον ἦχος α'. Ὑπομονῆς στύλος γέγονας ζηλώσας.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον. Ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς ἡμέρας, καὶ ἀνάγνωσις ἐκ τοῦ βίου τοῦ ὁσίου. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος πλ. δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου ἦχος α'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν ταῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τοῦ ὁσίου ἓν ἐκ τῶν προσομοίων, ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, Δόξα καὶ νῦν τῆς ἡμέρας. Ἀπολυτίκιον τοῦ ὁσίου.

Εἰς τὴν λειτουργίαν, προκείμενον, καὶ ἀλληλούια, καὶ κοινωνικὸν τοῦ ὁσίου, ἤγουν Καυχήσονται ὅσιοι, καὶ Μακάριος ἀνήρ. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον καὶ μακαρισμοὶ τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κε'. ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ Προδρόμου γ'. ἐκ β'. ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β'. Ἡ πρώην ἐπὶ πίνακος, Δόξα καὶ νῦν, τῆς ἡμέρας. Ἀπολυτίκιον, ἦχος β'. Μνήμη δικαίου μετ' ἐγκωμίων. Εἰς τὴν παννυχίδα, κανὼν τοῦ Προδρόμου τῆς Ὀκτωήχου. Ἀπὸ ς'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τοῦ ἁγίου ἐκ β'. μετὰ καὶ τοῦ τροπαρίου τῆς ἐνεστώσης ἑορτῆς, ἢ θεοτοκίον. Μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς ἡμέρας. Κανόνες β'. τῆς ἡμέρας εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. Θεοφάνους, ἦχος πλ. δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος δ'. καὶ θεοτοκίον· (π. **101**] ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἀνάγνωσις· λόγος, περιέχων τὰς γ'. εὑρέσεις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος πλ. β'. Θησαυρὸς ἐνθέων δωρεῶν. Ζήτει Φεβρ. Δόξα καὶ νῦν, τῆς ἡμέρας.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. Τροπάριον τοῦ αὐτοῦ καὶ τῆς ἡμέρας. Προκείμενον, ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου· Ὁ ἀπόστολος πρὸς (Ἑβραίους)· Ἀδελφοί, Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς. Ζήτει κυριακῇ ιε'. Ἀλληλούια, ἦχος πλ. α'. Φῶς ἀνέτειλε τῷ δικαίῳ. Εὐαγγέλιον ζήτει ἐν τῷ Μηνολογίῳ τοῦ εὐαγγελίου. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κς'. τοῦ ἁγίου Κάρπου, ἑνὸς τῶν ο'. ἀποστόλων. Στιχηρά, ἦχος πλ. β'. Ὁ κανών, ἦχος δ'. Ἰωσήφ. Κάθισμα, ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ κζ'. τοῦ ἁγίου Ἑλλαδίου. Στιχηρά, ἦχος α'. Ὁ κανὼν ἦχος δ'. Θεοδώρου τοῦ Στουδίτου. Κάθισμα, ἦχος α'.

Μηνὶ τῷ αὐτῷ κη'. τοῦ ἁγίου μάρτυρος Εὐψύχου. Στιχηρά, ἦχος α'. Ὁ κανὼν ἦχος δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ κθ'. τῆς ἁγίας μάρτυρος Θεοδοσίας. Στιχηρά, ἦχος πλ. δ'. Ὁ κανὼν ἦχος δ'. Θεοφάνους. Κάθισμα, ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ λ'. τοῦ ἁγίου Εὐτυχοῦς, μαθητοῦ τοῦ Θεολόγου. Στιχηρὰ καὶ κανὼν Ἰωσήφ, ἦχος πλ. δ'. Κάθισμα, ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ λα'. τοῦ ἁγίου μάρτυρος Ἑρμείου. Στιχηρὰ καὶ κανών, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος δ'.

Δεῖ γινώσκειν, ὅτι ὧδε μὲν εἴρηται ἡ ἀκολουθία τῶν ἁγίων ἁπλῶς οὕτω καὶ ἀποικίλως, διὰ τὸ τῶν ἡμερῶν ἄδηλον, κἄν τε Πάσχα τύχωσιν, κἄν τε τῇ Μεσοπεντηκοστῇ τῶν ἁγίων ἀποστόλων, ἐκεῖ δὲ ἀναζητήσας, εὑρήσεις πῶς δεῖ τούτους ψάλλεσθαι, ἀκριβέστερον περιέχον τὸ συναξάριον. Εἰ μὲν τύχωσιν αἱ ἡμέραι τῆς Πεντηκοστῆς, καθ' ἑκάστην γεγραμμένον δηλοῦται πῶς ψάλλεται ὁ ἅγιος ἑκάστης ἡμέρας, μετὰ τῆς ἀκολουθίας τῆς ἡμέρας, εἰ δὲ αἱ ἡμέραι τῆς τεσσαρακοστῆς, πάλιν ἐφ' ἅπαξ ὁμοῦ γεγραμμένον εὑρήσεις, πῶς δεῖ ψάλλεσθαι τούτους, τούς τε ἑορτασίμους καὶ ἀνευρτάστους ἁγίους μετὰ τῆς ἀκολουθίας τῆς τεσσαρακοστῆς, καὶ οὕτω κρατῶν καὶ ποιῶν, τῆς πρεπούσης οὐ διαμάρτῃς ἀκολουθίας.

Μετὰ γὰρ [τὴν] παρέλευσιν τῆς κυριακῆς τῶν ἁγίων Πάντων, εἰσερχομένης τῆς ἁγίας τεσσαρακοστῆς, ἀρχόμεθα πάλιν τοὺς κανόνας τῆς Ὀκτωήχου, καὶ ἱστῶμεν ἐν τῷ ὄρθρῳ στίχους ιβ'. τὰς δὲ ὥρας ψάλλομεν κοινῶς ἐν τῷ νάρθηκι μετά γε καὶ στιχολογιῶν. Μετὰ δὲ τὴν λειτουργίαν, ψάλλομεν τὴν θ'. ὥραν, εἶτα γευόμεθα. Ὁμοίως καὶ ἐν τοῖς ἀποδείπνοις ψάλλομεν τὸν κανόνα τῆς παννυχίδος, ἐπὰν ἔχῃ ἡ ἡμέρα ἀλληλουάρια· εἰ δὲ Θεὸς Κύριος ψάλλομεν, οὔτε ὥρας ψάλλομεν κοινῶς, οὔτε τὸν κανόνα εἰς τὸ ἀπόδειπνον, ἀλλὰ ποιοῦμεν παννυχίδα, συνημ[μ]ένως τῷ ἑσπερινῷ, (л. **102**] ἐκ μιᾶς οὖν ἐκεῖ περὶ τούτων γεγραφότες, οὐ δεῖν ᾠήθημεν πάλιν περὶ τῶν αὐτῶν καθεκάστην διαλαμβάνειν. Εἰ μήτοι γε τύχῃ ἁγίου ἑορτασίμου ἡμέρα, ἔχουσα καὶ Θεὸς Κύριος, ἵν' ἐκ τούτου γνώριμος ᾖ, ποίους καὶ πῶς δεῖ ἑορτάζεσθαι τοὺς ἁγίους, τοὺς δὲ λοιπούς, ὡς ἡ τοῦ παντὸς χρόνου παρέλαβε συνήθεια ψάλλεσθαι, αὐτοὺς μετὰ τῆς Ὀκτωήχου.

Μὴν Ἰούνιος.

Μηνὶ Ἰουνίῳ α'. τοῦ ἁγίου μάρτυρος Ἰουστίνου καὶ τῶν σὺν αὐτῷ. Στιχηρὰ, ἦχος β'. Ὁ κανὼν Ἰγνατίου, ἦχος ὁ αὐτός. Κάθισμα, ἦχος πλ. α'.

Μηνὶ τῷ αὐτῷ β'. τοῦ ἁγίου Νικηφόρου, πατριάρχου Κωνσταντινουπόλεως. Στιχηρὰ, ἦχος πλ. δ'. Ὁ κανών, ἦχος δ'. Θεοφάνους. Κάθισμα, ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ γ'. τοῦ ἁγίου μάρτυρος Λουκιλλιανοῦ. Στιχηρὰ, ἦχος α'. Ὁ κανὼν Ἰγνατίου, ἦχος πλ. δ'. Κάθισμα, ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ δ'. τοῦ ἁγίου Μητροφάνους, πατριάρχου Κωνσταντινουπόλεως. Στιχηρὰ καὶ κανών, ἦχος πλ. β'. Θεοφάνους· Κάθισμα ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ ε'. τοῦ ὁσίου Ἰλαρίωνος, τοῦ νέου ἡγουμένου. Στιχηρὰ καὶ κάθισμα, ἦχος δ'. Ὁ κανών, ἦχος πλ. δ'. Ἰγνατίου.

Μηνὶ τῷ αὐτῷ ς'. τοῦ ἁγίου Δωροθέου, ἐπισκόπου Τύρου. Στιχηρὰ καὶ κανών, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ ζ'. τοῦ ἁγίου Θεοδότου, ἐπισκόπου Ἀγκύρας. Στιχηρὰ ἦχος α'. Ὁ κανών, Ἰωσήφ ἦχος πλ. β'. Κάθισμα ἦχος α'.

Μηνὶ τῷ αὐτῷ η'. τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἐκ β'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος πλ. δ'. Ἀθλητικὸν συστησάμενος στάδιον, Δόξα καὶ νῦν, θεοτοκίον, ἢ τῆς ἡμέρας. Ἀπολυτίκιον, ἦχος δ'. Ὁ μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει.

Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς ἡμέρας. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτοῦ, οὗ ἡ ἀρχή· Λικινίῳ τῷ βασιλεῖ. Ζήτει Φεβρ. ζ'. Κανόνες γ'. τῆς Ὀκτωήχου τοὺς β'. εἰς ς'. (οβ.] ἢ τῆς ἡμέρας, εἰ τύχῃ ἔσωθεν τοῦ Πάσχα, εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τοῦ ἁγίου, ἦχος πλ. α'. πρὸς τὸ Χαίροις καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον ἦχος δ'. Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, (τῆς) φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, ἐνδυναμοῦ. Ζήτει Ὀκτώβ. κς'. Ἀλληλούια ἦχος δ'. Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Ζήτει σαβ. γ'. τοῦ Πάσχα. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ θ'. τῶν ἁγίων μαρτύρων Ὀρέστου καὶ Διομήδους. Στιχηρά, ἦχος δ'. Ὁ κανών, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα, ἦχος πλ. δ'.

Μηνὶ τῷ αὐτῷ ι'. τοῦ ἁγίου μάρτυρος Βενιαμίν. Στιχηρά, ἦχος δ'. καὶ ἕτερον (;) πλ. δ'. Ὁ κανὼν καὶ τὸ κάθισμα γ'. Ἰωσήφ.

Μηνὶ τῷ αὐτῷ ια'. τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν

ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἑνὸς γ'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ τοῦ ἑτέρου γ'. εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου Βαρνάβα, ἦχος πλ. δ'. Ἀπόστολε τοῦ Σωτῆρος Βαρνάβα. καὶ θεοτοκίον. Ἀπολυτίκιον ἦχος γ'. Ἀπόστολε ἅγιε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον μετὰ τὴν στιχολογίαν, κάθισμα τοῦ ἁγίου Βαρθολομαίου, ἦχος πλ. δ'. καὶ θεοτοκίον. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ β'. τῶν ἀποστόλων εἰς ἦχον β'. ἀνὰ δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Βαρνάβα, ἦχος πλ. δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἁγίου Βαρθολομαίου, ἦχος δ'. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τοῦ ἁγίου Βαρθολομαίου ἓν, ἦχος πλ'. δ'. Ὦ τοῦ παραδόξου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τροπάριον τῶν ἁγίων. Προκείμενον, ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις διασπαρέντες. Ζήτει κυριακῇ ε'. ἀπὸ τοῦ Πάσχα. Ἀλληλούια ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσια. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ ιβ'. τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τοῦ ὁσίου ἐκ β'. ἦχος πλ. δ'. Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου (л. **103**] ἦχος πλ. α'. Ὅσιε πάτερ, οὐκ ἔδωκας ὕπνον, καὶ θεοτοκίον, ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ βίος τοῦ ὁσίου. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ ἁγίου εἰς ς'. ἦχος β'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τοῦ ἁγίου ἐκ τῶν προσομοίων τῆς ἑσπέρας καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τροπάριον τοῦ ὁσίου καὶ θεοτοκίον. Προκείμενον, ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ἀλληλούια, ἦχος πλ. β'. Μα-

χάριος ἀνήρ, ὁ φοβούμενος. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ ιγ'. τῆς ἁγίας μάρτυρος Ἀκυλίνης. Στιχηρὰ, ἦχος δ'. Κανὼν, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα ἦχος γ'.

Μηνὶ τῷ αὐτῷ ιδ'. τοῦ ἁγίου προφήτου Ἐλισσαίου. Στιχηρὰ ἦχος πλ. δ'. Ὁ κανὼν ἦχος πλ. α'. Ἰωάννου μοναχοῦ. Κάθισμα, ἦχος δ'. Καὶ εἰ ἐστὶ τεσσαρακοστή, αἱ ὧραι κοινῶς μετὰ στιχολογιῶν ἐν τῷ νάρθηκι, ἐκτὸς τῆς α'. ὥρας.

Μηνὶ τῷ αὐτῷ ιε'. τοῦ ἁγίου προφήτου Ἀμώς. Στιχηρὰ ἦχος β'. Ὁ κανὼν, Θεοφάνους, ἦχος βαρύς. Κάθισμα, (ἦχος) γ'.

Μηνὶ τῷ αὐτῷ ις'. τοῦ ἁγίου Τύχωνος, ἐπισκόπου Κύπρου. Στιχηρά, ἦχος δ'. Ὁ κανὼν, Ἰωσήφ, καὶ κάθισμα, ἀμφότερα ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ ιζ'. τῶν ἁγίων μαρτύρων Μανουὴλ, Σαβὲλ καὶ Ἰσμαήλ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἦχος πλ. δ'. ἀνὰ β'. καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων, ἦχος πλ. δ'. Εἰλικρινῶς ποθήσαντές σε, καὶ θεοτοκίον. Ἀπολυτίκιον· Οἱ μάρτυρές σου, Κύριε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον. Μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς Ὀκτωήχου. Κανόνες γ'. οἱ β'. τῆς Ὀκτωήχου εἰς ς'. καὶ τῶν ἁγίων εἰς ς'. ἦχος πλ. β'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, ἦχος πλ. δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῶν, οὗ ἡ ἀρχή· Οἱ μὲν ἄλλοι διῶκται. Ἀπολυτίκιον τῶν ἁγίων. Εἰς δὲ τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, ἡ μὲν λοιπὴ πᾶσα ἀκολουθία τῆς ἡμέρας, ἀλληλούια δὲ καὶ προκείμενον καὶ κοινωνικὸν τῶν ἁγίων.

Μηνὶ τῷ αὐτῷ ιη'. τοῦ ἁγίου μάρτυρος Λεοντίου. Στιχηρά, ἦχος πλ. δ'. Ὁ κανὼν, ἦχος δ'. Ἰωάννου μοναχοῦ. Κάθισμα, ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ ιθ'. τοῦ ἁγίου ἀποστόλου Ἰούδα. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ (οδ.] τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀποστόλου γ'. ἦχος α'. πρὸς τὸ Πανεύφημοι καὶ ἕτερα γ'. πρὸς τὸ Ὅσιε πάτερ, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος πλ. β'. Ἰούδα, οἱ ἀδελφοί σου αἰνέσουσι καὶ θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολε ἅγιε.

Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· ἡ καθολικὴ αὐτοῦ ἐπιστολή. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ

β'. εἰς ς'. καὶ τοῦ ἀποστόλου ὁμοίως εἰς ς'. ἦχος πλ. α'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, τὸ κάθισμα αὐτοῦ καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ αὐτοῦ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ ἓν ἐκ τῶν προσομοίων τῆς ἑσπέρας τῶν εἰς ἦχον πλ. α'. πρὸς τὸ Ὅσιε πάτερ, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἀποστόλου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τροπάριον τοῦ ἁγίου. Προκείμενον καὶ ἀλληλούια τοῦ ἀποστόλου, ἀπόστολον δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν. Εἰ δὲ οὐκ ἀνεγνώσθη ἡ τούτου ἐπιστολὴ ἐν τῷ ὄρθρῳ, ἀναγινώσκομεν ἐξ αὐτῆς εἰς τὴν λειτουργίαν· ὁμοίως δὲ καὶ εὐαγγέλιον. Ζήτει ἐν τῷ μηνολογίῳ τοῦ εὐαγγελίου.

Μηνὶ τῷ αὐτῷ κ'. τοῦ ἁγίου μάρτυρος Ζωσίμου. Στιχηρὰ, ἦχος πλ. δ'. καὶ κανὼν ὁμοίως Ἰωσήφ. Κάθισμα, ἦχος δ'.

Μηνὶ τῷ αὐτῷ κα'. τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ. Στιχηρὰ, ἦχος δ'. Ὁ κανὼν, ἦχος πλ. δ'. Ἰωάννου μοναχοῦ. κάθισμα, ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ κβ'. τοῦ ἁγίου ἱερομάρτυρος Εὐσεβίου. Στιχηρὰ καὶ κανὼν, ἦχος πλ. δ'. Ἰωσήφ. Κάθισμα (ἦχος) δ'.

Μηνὶ τῷ αὐτῷ κγ'. τῆς ἁγίας μάρτυρος Ἀγριππίνης. Στιχηρὰ καὶ κανὼν, ἦχος δ'. Θεοφάνους. Κάθισμα, ἦχος ὁ αὐτός.

Μηνὶ τῷ αὐτῷ κδ'. τὸ Γενέθλιον τοῦ τιμίου Προδρόμου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν, στιχηρὰ ἰδιόμελα τοῦ ἁγίου, ἦχος δ'. Θεοῦ λόγου μέλλοντος β'. Ἄλλο· Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν. β'. Ἕτερον· Ἰωάννη πανεύφημε, ἅπαξ. Ἄλλο· Προφῆτα καὶ Πρόδρομε, ἅπαξ. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ ἰδιόμελον ἦχος πλ. β'. Σήμερον τοῦ φωτὸς ὁ λύχνος, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Προφῆτα καὶ Πρόδρομε τῆς παρουσίας Χριστοῦ.

Εἰς τὴν παννυχίδα, κανὼν τοῦ Προδρόμου εἰς τὴν Ὀκτώηχον, ἦχος πλ. β'. Ἄγγελος θεῖος τὴν σήν. Ἀπὸ γ'. οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ· Ἡ στεῖρα σήμερον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τοῦ ἁγίου τροπάριον. Μετὰ δὲ τὴν στιχολογίαν, κάθισμα τοῦ ἁγίου, ἦχος πλ. α'. καὶ θεοτοκίον. Ἀνάγνωσις· Ἐγκώμιον τοῦ Χρυσοστόμου εἰς τὸ Γενέσιον τοῦ Προδρόμου. Ζήτει εἰς τὸ Πανηγυρικόν. Κανόνες β'. τῆς Ὀκτωήχου, εἰ τύχῃ κατανυκτικόν, ἢ σταυρώσιμον, ἢ τῆς Θεοτόκου εἰς δ'. καὶ τοῦ Προδρόμου εἰς η'. ἦχος δ'. Ἰωάννου μοναχοῦ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ

αὐτοῦ ἦχος πλ. δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ ἦχος γ'. Ἡ στεῖρα σήμερον. (**π. 104**] Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθείς, καὶ ἕτερα γ'. ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου ἦχος β'. Ἦλθεν ἡ φωνή, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου. Εἰ δὲ οὐκ ἔστιν ἡμέρα σταυρώσιμος, οὐδ' ὅλως ψάλλομεν τῆς Ὀκτωήχου, ἀλλὰ καὶ εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἰδιόμελα τοῦ Προδρόμου λέγομεν, ἦχος δ'. Ὦ τοῦ παραδόξου. Ἄλλο· Ἐπέφανε σήμερον, εἶτα ἦχος β'. Ἦλθεν ἡ φωνὴ καὶ θεοτοκίον.

Δεῖ δὲ γινώσκειν, ὅτι ἐὰν τύχῃ ἡ ἑορτὴ αὕτη ἐν σαββάτῳ, οὐδὲν τῶν νεκρωσίμων ψάλλομεν, οὔτε ἑσπέρας, οὔτε πρωΐ, οὔτε παννυχίδα νεκρώσιμον ψάλλομεν, εἰ μή εἰσι μνημόσυνα ἀδελφῶν, ἀλλὰ πᾶσα ἡ ἀκολουθία τοῦ ἁγίου. Εἰ δὲ τύχῃ ἐν κυριακῇ, ψάλλεται κοινῶς μετὰ τῶν ἀναστασίμων στιχηρῶν τε καὶ κανόνων καὶ πᾶσα τῆς λοιπῆς ἀκολουθίας. Ἐν δὲ τῇ λειτουργίᾳ τῆς κυριακῆς, λέγονται δύο ἀπόστολοι καὶ εὐαγγέλια β'. Προκείμενον δὲ καὶ ἀλληλούια ψάλλονται τοῦ ἁγίου· κοινωνικὸν δὲ ἀμφοτέρων.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. Τροπάριον καὶ κοντάκιον τοῦ αὐτοῦ Προκείμενον, ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία. Ἀλληλούια, ἦχος α'. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, στίχος· Καὶ σὺ παιδίον προφήτης Ὑψίστου κληθήσῃ. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν. Κοινωνικόν· Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ κε'. τῆς ἁγίας ὁσιομάρτυρος Φεβρωνίας. Στιχηρὰ, ἦχος δ'. Ὁ κανὼν, ἦχος πλ. δ'. Κάθισμα α'.

Μηνὶ τῷ αὐτῷ κς'. τοῦ ὁσίου Δαυὶδ τοῦ ἐν Θεσσαλονίκῃ. Στιχηρὰ, ἦχος πλ. δ'. Ὁ κανὼν, πλ. α'. Ἰωσήφ. Κάθισμα, πλ. α'.

Μηνὶ τῷ αὐτῷ κζ'. τοῦ ὁσίου Σαμψὼν τοῦ ξενοδόχου. Στιχηρὰ ἦχος β'. Ὁ κανὼν, ἦχος ὁ αὐτός, Ἰωσήφ. Κάθισμα, ἦχος α'. Εἰς τὸν ὄρθρον δὲ ἀνάγνωσις· ὁ βίος αὐτοῦ μετάφρασις, οὗ ἡ ἀρχή· Ἅμα μὲν χάριτος ἔργον. Ψάλλομεν δὲ καὶ σήμερον τὰς ὥρας κοινῶς μετὰ στιχολογιῶν. Ἀπὸ τῆς σήμερον δὲ καταλιμπάνομεν ταύτας ἐν τῷ κοινῷ, καὶ ψάλλομεν αὐτὰς ἐν τοῖς κελλίοις ἡμῶν, ὡς σύνηθες.

Μηνὶ τῷ αὐτῷ κη'. ἡ ἀνακομιδὴ τῶν λειψάνων τῶν ἁγίων μαρτύρων Κύρου καὶ Ἰωάννου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἐκ β'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων, ἦχος πλ. δ'. (οϐ.] Δυὰς μαρτύρων σήμερον ἀνέτειλεν ἡμῖν, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. α'. Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων. Τὸ αὐτὸ καὶ εἰς τὸν ὄρθρον. Εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, καθίσματα τῆς Ὀκτωήχου. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τῶν ἁγίων ὁμοίως εἰς ς'. ἦχος β'. Ἰωσήφ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ τούτων κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἓν τῶν ἁγίων ἐκ τῶν προσομοίων τῆς ἑσπέρας, καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον, ἦχος δ'. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, στίχος· Προωρώμην τὸν Κύριον. Ἀλληλούια ἦχος β'. Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν. Ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κθ'. τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἀνὰ β'. Ποίοις εὐφημιῶν, καὶ ἕτερον ὅμοιον αὐτῶν, Δόξα καὶ νῦν, θεοτοκίον. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν, καὶ προκείμενον τῆς ἡμέρας, εἶτα τὰ ἀναγνώσματα ἐκ τῆς καθολικῆς ἐπιστολῆς τοῦ ἁγίου Πέτρου. Εἰς δὲ τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῶν ἁγίων, ἦχος α'. Τὰ κατὰ πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου. Στίχος· Εἰς πᾶσαν τὴν γῆν. Ἄλλο· Τὰ κατὰ πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται. Στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ἕτερον ἦχος δ'. Τῷ τριττῷ τῆς ἐρωτήσεως. Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ'. Οἱ τῶν ἀποστόλων πρωτόθρονοι.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἡμέρας, ὁ εἰς τὴν παννυχίδα ψαλλόμενος, εἰς ς'. καὶ ἕτερος τῶν ἁγίων εἰς ς'. ἦχος δ'. Ἄσομαί σοι, Κύριε ὁ Θεός μου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικὸν τῆς ἡμέρας· ἀπὸ ς'. τὸ κοντάκιον τῶν ἁγίων, καὶ τὸν δ'. οἶκον. Εἰς τὴν ἀνάγνωσιν τῆς παννυχίδος, ἡ τοῦ ἁγίου Πέτρου ἐπιστολή.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῶν ἁγίων, Δόξα καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα δύο τῆς ἡμέρας καὶ τὴν λαγχάνουσαν ἀκολουθίαν· ὕστερον δὲ λέγομεν καὶ ψαλμόν· Οἱ οὐρανοὶ διηγοῦνται, μετὰ μειζόνων ἀλληλουαρίων. Καθίσματα δὲ ἐν ταῖς στιχολογίαις

τῆς Ὀκτωήχου πρὸς τὸν ἦχον ἀποστολικά· ἀνάγνωσις, πρῶτον λόγος τοῦ Χρυσοστόμου ἐν τῷ Πανηγυρικῷ, ἔπειτα τὸ ἐγκώμιον αὐτῶν, τὸ συντεθὲν παρὰ Θεοδώρου μαγίστρου, εἰς δόσεις β'. οὗ ἡ ἀρχή· Καὶ τῶν τεχνῶν. Μετὰ τὸ τέλος τῶν στιχολογιῶν, ψάλλεται ἡ ἀκολουθία τῶν ἁγίων, ἦχος πλ. α'. (π. **105**] Ποία φυλακὴ οὐκ ἔχει σε δέσμιον; καὶ ἡ β'. ἀνάγνωσις τῶν ἁγίων, εἶτα οἱ ἀναβαθμοί, ἀντίφωνον ἓν, ἦχος δ'. Προκείμενον ἦχος ὁ αὐτός· Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, στίχος· Τὰ ἐλέη σου, Κύριε, τὸ Πᾶσα πνοή, καὶ εὐαγγέλιον ἀποστολικόν. Ζήτει κυριακῇ α'. τοῦ Λουκᾶ. Κανόνες β'. εἷς εἰς ἦχον δ'. εἰς ς'. Οὐκ ἔστι σοι ὅμοιος· καὶ ἕτερος εἰς ἦχον πλ. δ'. Ἡ κεκομμένη· καὶ ψάλλετσι εἰς η'. καὶ ἀμφότεροι Ἰωάννου μοναχοῦ, ἱστῶμεν γὰρ ιδ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων εἰς ἦχον α'. Τὸν τάφον σου, Σωτήρ, Δόξα καὶ νῦν θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν ἦχος β'. Τοὺς ἀσφαλεῖς. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων ς'. ἦχος δ'. πρὸς μίαν, πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθείς, Δόξα, ἰδιόμελον ἦχος πλ. β'. Ἡ πάνσεπτος ἀποστόλων ἐπεδήμησε, καὶ νῦν θεοτοκίον. Δοξολογία μεγάλη μέν, ἡσύχως δέ· τὸ ἀπολυτίκιον τῶν ἁγίων, καὶ ἡ α'. ὥρα.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς παννυχίδος, τοῦ Ἄσομαί σοι, Κύριε, ἡ ς'. Μετὰ τὴν εἴσοδον, τροπάριον τῶν ἁγίων, Δόξα καὶ νῦν κοντάκιον, προκείμενον, ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἐν ᾧ δ' ἄν τις τολμᾷ. Ἀλληλούια, ἦχος α'. Ἐξομολογήσονται. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας. Κοινωνικόν· Εἰς πᾶσαν.

Εἰ τύχῃ ἐν κυριακῇ, τῷ σαββάτῳ ἑσπέρας γίνεται ἡ στιχολογία, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. δευτεροῦντες τὸ α'. εἶτα τὰ τῶν ἁγίων, ἦχος β'. Ποίοις εὐφημιῶν, δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν τὸ α'. δογματικόν. Εἴσοδος. Προκείμενον, τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, στιχηρά, τὸ ἀναστάσιμον ἅπαξ, εἶτα στίχους τοὺς εἰρημένους τῶν ἁγίων· ὁμοίως δὲ καὶ τὰ β'. ἰδιόμελα στιχηρὰ ἦχος α'. Τὰ κατὰ πόλιν δεσμά, Δόξα, ἦχος δ'. Τῷ τριττῷ τῆς ἐρωτήσεως, καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον τῶν ἁγίων. Εἰς τὴν παννυχίδα, ὡς εἴρηται.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα, ἦχος δ'. τὸ τροπάριον τῶν ἁγίων, καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι, ὡς εἴρηται, ὡς καὶ αἱ ἀναγνώσεις. Καθίσματα δὲ ἀπὸ μὲν α'. στι-

χολογίας, τὸ ἀναστάσιμον, ἀπὸ δὲ δευτέρας, ἡ ἀναστάσιμος ὑπακοή· εἴπερ θέλομεν, στιχολογοῦμεν καὶ γ'. κάθισμα· εἰ δὲ μόνα δύο καθίσματα στιχολογοῦμεν, καταλιμπάνεται μὲν ἡ ἀναστάσιμος ὑπακοή, ψάλλεται δὲ ἡ τῶν ἁγίων· Ποία φυλακὴ οὐκ ἔχει σε δέσμιον. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὰ γ'. ἀντίφωνα, τό τε προκείμενον τῆς ἡμέρας, καὶ τὸ ἑωθινὸν ἀναστάσιμον εὐαγγέλιον, εἶτα τὸ Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες γ'. (**οϐ.**] ὁ ἀνκστάσιμος εἰς δ'. τοῦ ἁγίου Πέτρου εἰς δ'. ἦχος δ'. Οὐκ ἔστι σοι ὅμοιος, καὶ τοῦ ἁγίου Παύλου εἰς ς'. ἦχος πλ. δ'. Ἡ κεκομμένη. Ἀπὸ γ'. ᾠδῆς, τὸ εἰρημένον κάθισμα, ἦχος α'. ἀπὸ ς'. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν, καὶ Ἅγιος Κύριος, ὃ καὶ προηγεῖται. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ τῶν ἁγίων ἕτερα δ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου κληθείς, Δόξα, ἦχος πλ. β'. Ἡ πάνσεπτος, καὶ νῦν, Ὑπερευλογημένη. Ἀπολυτίκιον τὸ ἀναστάσιμον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῶν ἁγίων. Προκείμενον καὶ ἀλληλούια τῶν αὐτῶν. Ἀπόστολος καὶ εὐαγγέλιον ἀμφοτέρων. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον, καὶ Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ λ'. τῶν ἁγίων δώδεκα ἀποστόλων. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰ μὴ εἴη κυριακή, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν κορυφαίων τοῦ ἁγίου Πέτρου καὶ τοῦ ἁγίου Παύλου γ'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ ἕτερα γ'. τῶν ιβ'. εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ β'. τῆς Ὀκτωήχου, καὶ ἰδιόμελον τῶν ἀποστόλων, ἦχος β'. Δεῦρο δή μοι σήμερον, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος γ'. Ἀπόστολοι ἅγιοι. Παννυχίδα δὲ οὐ ψάλλομεν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος γ'. καὶ τὸ τροπάριον· Ἀπόστολοι ἅγιοι, καὶ θεοτοκίον. Οὐ στιχολογοῦμεν δέ, ἀλλ' εὐθὺς τὸν Ν'. καὶ ψάλλομεν κανόνας β'. τῶν κορυφαίων εἰς ς'. ἦχος δ'. Ἄσομαί σοι, Κύριε, καὶ τῶν ιβ'· ὁμοίως εἰς ς'. ἦχος ὁ αὐτὸς, Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν αὐτῶν, ἦχος δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον τῶν κορυφαίων· Τοὺς ἀσφαλεῖς. Ἀναγινώσκομεν δὲ λόγον τοῦ Χρυσοστόμου εἰς τὸν Ῥοδισμόν. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τῶν ἁγίων ἰδιόμελον ἦχος γ'. Οἱ τῆς ἄνω Ἱερουσαλὴμ πολῖται, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον· Ἀπόστολοι ἅγιοι.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῶν δώδεκα, ἡ γ'. τροπάριον καὶ κοντάκιον τὰ εἰρημένα. Προκείμενον, ἀλληλούια καὶ

κοινωνικὸν τῶν αὐτῶν. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. Ζήτει κυριακῇ ι'. εὐαγγέλιον δὲ ζήτει τῇ β'. τῆς γ'. ἑβδομάδος τοῦ Ματθαίου.

ἀναστάσιμα τοῦ ἤχου, αἱ ἀναγνώσεις τῆς ἑορτῆς, πλὴν στιχολογοῦμεν καὶ τὸν Ἄμωμον μετὰ τῶν ἀλληλουιαρίων, μετὰ τὸ Ἐξομολογήσομαί σοι, Κύριε. Εἶτα ἡ ὑπακοὴ τῆς Θεοτόκου, εἴπερ οὐ θέλει στιχολογηθῆναι ὁ πολυέλεος, πλὴν καὶ οὕτως καταλιμπάνεται· εἰ γὰρ θέλουσι στιχολογῆσαι καθίσματα γ'. λέγομεν τὰ β'. τῆς ἡμέρας, καὶ ὁ Ἄμωμος, εἶτα ἡ ὑπακοή, καὶ ἡ ἀνάγνωσις· τὴν γὰρ ὑπακοὴν τοῦ ἤχου λέγομεν ἀπὸ τοῦ β'. καθίσματος. Καὶ οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὰ γ'. ἀντίφωνα, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, καὶ εὐαγγέλιον ὁμοίως τῆς Θεοτόκου, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν'. Κανόνες γ'. τὸν α'. ἀναστάσιμον εἰς δ'. εἶτα τοὺς δύο τῆς Θεοτόκου, ἀνὰ β'. τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια· ἔσχατον δὲ τοὺς εἱρμοὺς ὁμοῦ οἱ χοροί· Ἀνοίξω τὸ στόμα μου. Λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, καὶ τὸ τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα στιχηρά, καὶ τὰ προειρημένα γ'. τῆς Θεοτόκου, δευτεροῦντες τὸ α'. Δόξα, Ὅτε ἡ μετάστασις, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον, οἷον τύχῃ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς Θεοτόκου. Προκείμενον καὶ ἀλληλούια τῆς Θεοτόκου. Κοινωνικὸν καὶ ἀπόστολος καὶ εὐαγγέλιον, τὰ ἀμφότερα· προηγοῦνται δὲ τὰ τῆς κυριακῆς.

Μηνὶ τῷ αὐτῷ ις'. τοῦ ἁγίου Μανδηλίου τοῦ Σωτῆρος ἡμῶν Θεοῦ καὶ τοῦ ἁγίου Διομήδους. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Μανδηλίου, γ'. ἦχος β'. Ποίοις εὐφημιῶν, (π. 116] καὶ γ'. τοῦ μάρτυρος, ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν, ἰδιόμελον ὁ αὐτὸς ἦχος· Τὴν πάνσεπτόν σου κοίμησιν. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Θεοτόκου, ἦχος β'. Ποίοις εὐφημιῶν. Λέγομεν δὲ καὶ τοὺς στίχους τῆς ἑορτῆς. Δόξα καὶ νῦν ἰδιόμελον, ἦχος β'. Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα. Ἀπολυτίκιον, ἦχος β'. Τὴν ἄχραντον εἰκόνα σου. Παννυχίδα δὲ ἀφ' ἑσπέρας οὐ ψάλλομεν διὰ τὸν κόπον τῆς ἀγρυπνίας.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος β'. τὸ τροπάριον· Τὴν ἄχραντον εἰκόνα σου, Δόξα καὶ νῦν, ἦχος α'. τὸ τροπάριον τῆς Θεοτόκου. Οὐ στιχολογοῦμεν, ἀλλ' εὐθὺς ὁ Ν'. Ἔπειτα Τῷ Κυρίῳ ᾄσωμεν, καὶ ψάλλομεν κανόνας γ'. ἕνα τοῦ ἁγίου Μανδηλίου, ἦχος δ'. εἰς ς'. καὶ τῆς Θεοτόκου τροπάρια β'. εἰς τὸν αὐτὸν ἦχον, καὶ ἕτερον τοῦ ἁγίου Διομήδους εἰς τὸν αὐτὸν ἦχον, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Μαν-

δηλίου ἦχος δ'. Ὁ καταβὰς ἐξ οὐρανοῦ, Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον τῆς Θεοτόκου. Ἀνάγνωσις· λόγος εἰς τὴν Μετάφρασιν περὶ τοῦ ἁγίου Μανδηλίου, οὗ ἡ ἀρχή· Οὐκ ἄρα μόνος αὐτός. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου καὶ οἴκους γ'. Ἐξαποστειλάριον· Ἅγιος Κύριος καὶ τῆς Θεοτόκου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ γ'. τοῦ ἁγίου Μανδηλίου, ἦχος β'. πρὸς τὸ Οἶκός τοῦ Ἐφραθᾶ, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς Θεοτόκου ἦχος γ'. Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς. Ἀπολυτίκιον, τοῦ ἁγίου Μανδηλίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἐκ μὲν τῆς γ'. ᾠδῆς τοῦ κανόνος τοῦ ἁγίου Μανδηλίου τροπάρια γ'. ἐκ δὲ τοῦ κανόνος τῆς Θεοτόκου τροπάρια προσόμοια ἕτερα β'. Μετὰ τὴν εἴσοδον, τὸ τροπάριον τοῦ ἁγίου Μανδηλίου, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς Θεοτόκου. Προκείμενον ἦχος δ'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε. Στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, πεποίθησιν. Ζήτει τῇ δ'. τῆς ια'. ἑβδομάδος. Ἀλληλούια, ἦχος δ'. Ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε. Εὐαγγέλιον τοῦ ἁγίου Μανδηλίου. Ζήτει ἐν τῷ Μηνολογίῳ τοῦ Εὐαγγελίου. Κοινωνικόν· Αἰνεῖτε καὶ τῆς Θεοτόκου.

Μηνὶ τῷ αὐτῷ ιζ'. Μεθέορτα τῆς Θεοτόκου καὶ τοῦ ἁγίου μάρτυρος Μύρωνος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τῆς Θεοτόκου, ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ, καὶ γ'. τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε, Δόξα καὶ νῦν, ἦχος β'. Ἡ πανάμωμος νύμφη. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον τῆς Θεοτόκου εἰς τὸ Δόξα καὶ νῦν, Τῇ ἀθανάτῳ σου κοιμήσει. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς δ'. ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ. Ἀπὸ ς'. ᾠδῆς τὸ κοντάκιον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Ἡ στιχολογία. Κάθισμα τῆς ἑορτῆς, ἦχος δ'. Δόξα καὶ νῦν τὸ αὐτό. Κανόνες β'. εἰ μὲν τύχῃ τετρὰς, ἡ παρασκευή, ἡ κυριακή, (οδ.] ψάλλομεν ἕνα κανόνα τῆς ἡμέρας, εἴτε σταυρώσιμον, εἴτε ἀναστάσιμον εἰς δ'. εἶτα τὸν τῆς ἑορτῆς καὶ τὸν τοῦ ἁγίου, ἀνὰ δ'. εἰ δὲ ἄλλη ἡμέρα ἐστί, τὸν μὲν κανόνα τῆς Θεοτόκου εἰς η'. καὶ τοῦ ἁγίου εἰς δ'. τὸν δὲ τῆς Θεοτόκου λέγομεν τὸν α'. ἦχον, τοῦ ἁγίου, ἦχος β'. Δεῦτε λαοί, Ἰωσήφ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος α'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου, καὶ οἴκους κἂν γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. Δόξα καὶ νῦν ἰδιόμελον, ἦχος δ'. Δεῦτε ἀνυμνήσωμεν λαοί. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, μακαρισμοί. Προκείμενον, ἀλληλούια καὶ κοινωνικὸν τῆς ἑορτῆς· ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας. Εἰ δὲ τύχῃ ἐν κυριακῇ, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιη'. Μεθέορτα, καὶ τῶν ἁγίων μαρτύρων Φλώρου καὶ Λαύρου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς Θεοτόκου γ'. εἰς ἦχον δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ ἕτερα γ'. τῶν μαρτύρων εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον· Τὴν πάνσεπτόν σου. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. Δόξα καὶ νῦν ἰδιόμελον, ἦχος πλ. δ'. Πιστούμενος Ἰησοῦς ὁ Υἱός σου. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου, ἦχος β'. Θεοφάνους. Ἐν βυθῷ κατέστρωσε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τῆς ἑορτῆς τροπάριον. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἡ ἀνάγνωσις. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τῆς ἑορτῆς ἕτερος εἰς ἦχον δ'. Ἀνοίξω τὸ στόμα μου, καὶ ἕτερος τῶν ἁγίων, ἦχος πλ. δ'. Ἰωσήφ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, καὶ οἴκους κᾶν γ'. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον τῆς ἑορτῆς, ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ. Πᾶσα τῶν οὐρανῶν. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ ιθ'. Μεθέορτα καὶ τοῦ ἁγίου μάρτυρος Ἀνδρέου τοῦ Στρατηλάτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τῆς ἑορτῆς, ἦχος α'. πρὸς τὸ Ὦ τοῦ παραδόξου θαύματος, καὶ γ'. τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Πανεύφημοι μάρτυρες, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἔπρεπε τοῖς αὐτόπταις. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον, ἦχος πλ. β'. Ὅτε ἡ μετάστασις τοῦ ἀχράντου σου. Ἀπολυτίκιον τῆς Θεοτόκου.

Εἰς τὴν παννυχίδα, κανὼν μεθέορτος, ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ. Ἀπὸ ς'. τὸ κοντάκιον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. τῆς ἑορτῆς ὁ α'. ἦχος· Πεποικιλμένη, καὶ τοῦ ἁγίου, ἦχος δ'. Ἰωσήφ, καὶ τῆς Ὀκτωήχου ἕτερος, οἱ γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος α'. (л. 117] Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον τῆς Θεοτόκου. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου καὶ

οἴκους κἂν γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. Δόξα καὶ νῦν, ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ. Πύλη τῶν οὐρανῶν. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κ'. Μεθέορτα καὶ τοῦ ἁγίου προφήτου Σαμουήλ. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, καὶ τοῦ προφήτου γ'. ἦχος ὁ αὐτός, πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος ὁ αὐτός· Δαυιτικὴν ᾠδήν. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον, ἦχος πλ. β'. Δεῦτε τὴν παγκόσμιον κοίμησιν.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον, εἰς δ'.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἓκ γ'. Ἡ στιχολογία. Καθίσματα τῆς ἡμέρας, καὶ ἡ ἀνάγνωσις. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ τῆς Θεοτόκου ἕτερος εἰς ἦχον δ'. Ἀνοίξω, καὶ ἕτερος τοῦ ἁγίου ἦχος ὁ αὐτός, ἀνὰ δ'. Ἀπὸ γ'. κάθισμα τοῦ ἁγίου ἦχος πλ. δ'. Δόξα καὶ νῦν τῆς Θεοτόκου· ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἴκους κἂν γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. Δόξα καὶ νῦν, ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ. Ἤθροισται μαθητῶν. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κα'. Τοῦ ἁγίου ἀποστόλου Θαδδαίου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς Θεοτόκου γ'. ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, καὶ γ'. τοῦ ἁγίου, ἦχος πλ. δ'. πρὸς τὸ Ὦ τοῦ παραδόξου θαύματος, Δόξα καὶ νῦν ἰδιόμελον ἦχος ὁ αὐτός· Παρθενικαὶ χορεῖαι. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον, εἰς τὸ Δόξα καὶ νῦν, ἦχος πλ. α'. Ἄσατε λαοί. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον, εἰς δ'.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἡ ἀνάγνωσις. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ ἕτερος τῆς Θεοτόκου, ἦχος α'. Πεποικιλμένη, καὶ τοῦ ἁγίου, ἦχος πλ. δ'. Ἰωσήφ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἴκους. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον, εἰς τὸ Δόξα καὶ νῦν, ἦχος γ'. Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κβ'. Μεθέορτα, καὶ τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου. Προψάλλομεν δὲ σήμερον καὶ τὸν ἅγιον Λοῦπον, διὰ τὸ ἀποδιδόναι τὴν ἑορτὴν εἰς τὰς κγ'. Ἑσπέρας, (οϐ.] μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου Ἀγαθονίκου γ'. εἰς ἦχον δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ γ'. τοῦ ἁγίου Λούπου προσόμοια, Δόξα καὶ νῦν, ἦχος ὁ αὐτός· Τὴν πάνσεπτόν σου κοίμησιν. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον, ἦχος α'. Ἔπρεπε τοῖς αὐτόπταις.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον. Ἀπὸ ς'. κοντάκιον ἐκ τῶν συνήθων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς. Ἡ στιχολογία. Κάθισμα τοῦ ἁγίου Ἀγαθονίκου, ἦχος πλ. δ'. καὶ θεοτοκίον. Ἀνάγνωσις. Κανόνες γ'. εἷς τῆς Θεοτόκου εἰς ἦχον δ'. Ἀνοίξω τὸ στόμα μου, καὶ ἕτερος τοῦ ἁγίου Λούπου εἰς τὸν αὐτὸν ἦχον· Τριστάτας κραταιούς, καὶ τοῦ ἁγίου Ἀγαθονίκου, ἦχος α'. Ὠδὴν ἐπινίκιον, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Λούπου, ἦχος α'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους γ'. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου γ'. καὶ ἰδιόμελον εἰς τὸ Δοξα καὶ νῦν, ἦχος πλ. α'. Δεῦτε φιλεόρτων τὸ σύστημα. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κγ'. Μεθέορτα καὶ τοῦ ἁγίου Λούπου. Ἐν ταύτῃ ἀποδίδοται ἡ ἑορτή, τὸν δὲ ἅγιον Λοῦπον προεψάλλομεν εἰς τὰς κβ'. τοῦ μηνός. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τὰ καὶ εἰς τὴν ἑορτὴν, ἦχος δ'. τὰ γ'. ἐκ β'. Δεῦτε ἀνυμνήσωμεν λαοί. Δαυιτικὴν ᾠδήν. Τὴν πάνσεπτόν σου κοίμησιν. Δόξα καὶ νῦν. Ὅτε ἐξεδήμησας. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ ἦχος β'. Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα. Στίχος α'. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Ἡ πανάμωμος νύμφη. Στίχος β'. εἰς ἦχον πλ. β'. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών. Δεῦτε τὴν παγκόσμιον κοίμησιν. Δόξα καὶ νῦν, ἦχος ὁ αὐτός. Ὅτε ἡ μετάστασις. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς ἑορτῆς, ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τῆς ἑορτῆς τροπάριον ἐκ γ'. Ἡ στιχολογία. Καθίσματα τῆς Θεοτόκου, πρὸς τὸν ἦχον, Δόξα καὶ νῦν, τὰ αὐτά. Ἀνάγνωσις λόγου τοῦ κυροῦ Ἀνδρέου· Ὅσοι τὸ πάνσεπτον. Κανόνες, οἱ β'. τῆς ἑορτῆς, τοῦ μοναχοῦ κυροῦ Κοσμᾶ, ἦχος α'. καὶ τοῦ

μοναχοῦ κυροῦ Ἰωάννου ἦχος δ΄. ἀνὰ ς΄. Ἀπὸ γ΄. ᾠδῆς, ἡ ὑπακοὴ τῆς Θεοτόκου· Μακαρίζομέν σε. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἴκους γ΄. Ἐξαποστειλάριον τῆς ἑορτῆς. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς, ἦχος α΄. Ὦ τοῦ παραδόξου θαύματος, καὶ ἕτερα β΄. τὰ σὺν αὐτῷ τὰ γ΄. πρὸς μίαν, Δόξα καὶ νῦν, ἦχος πλ. β΄. Τῇ ἀθανάτῳ σου κοιμήσει. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς Θεοτόκου, ἦχος δ΄. τροπάριον καὶ κοντάκιον ὁμοίως, ὡσαύτως προκείμενον, ἀλληλούια καὶ κοινωνικόν, ἀπόστολος καὶ εὐαγγέλιον, πάντα τῆς Θεοτόκου. (л. 118].

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, ὡς ἐκεῖσε εἰρήκαμεν, γινέσθω ἡ ἀκολουθία πᾶσα, ὡς ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς ἑορτῆς ἑσπέρας τε καὶ πρωΐ, καὶ τῇ λειτουργίᾳ, ψαλλομένων δηλονότι πάντων τῶν ἀναστασίμων, κοινῶς μετὰ τῆς ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ κδ΄. Ἡ κατάθεσις τοῦ τιμίου λειψάνου τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου ἐν τῇ νήσῳ τῆς Λιπάρεως. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου ς΄. εἰς ἦχον δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν, γ΄. καὶ ἕτερα γ΄. πρὸς τὸ Ὡς γενναῖον, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ τοῦ ἁγίου ἦχος β΄. πρὸς τὸ Ποίοις εὐφημιῶν. Τίς σου τὰ ἱερὰ στίγματα, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος γ΄. Ἀπόστολε ἅγιε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἡ ἀνάγνωσις. Κανόνες γ΄. τῆς Ὀκτωήχου οἱ β΄. εἰς ς΄. καὶ τοῦ ἀποστόλου εἰς ς΄. ἦχος δ΄. Θεοφάνους. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἀποστόλου, ἦχος α΄. καὶ θεοτοκίον· ἀπὸ ς΄. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β΄. καὶ τοῦ ἁγίου, ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἀποστόλου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἀποστόλου ἡ γ΄. τὸ τροπάριον τοῦ αὐτοῦ καὶ θεοτοκίον. Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν. Στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ἀλληλούια. Ἐξομολογήσονται οἱ οὐρανοί. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κε΄. Τοῦ ἁγίου ἀποστόλου Τίτου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. τοῦ ἁγίου, ἦχος δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν, τὰ γ΄. ἐκ β΄. Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτω-

ήχου β'. καὶ ἰδιόμελον τοῦ ἀποστόλου, ἦχος α'. Τὸν φωστῆρα τῶν πιστῶν καὶ ἀπόστολον, καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος δ'. Χρηστότητα ἐκδιδαχθείς.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ κείμενον τῆς αὐτοῦ ἐπιστολῆς. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ δύο εἰς ς'. καὶ τοῦ ἀποστόλου ὁμοίως εἰς ς'. ἦχος δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τοῦ ἁγίου, ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, καὶ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τὸ τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν. Στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος πρὸς Τίτον· Τέκνον Τίτε. Ζήτει εἰς τὸ Μηνολόγιον τοῦ Ἀποστόλου. Ἀλληλούια. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. (οϐ.]

Μηνὶ τῷ αὐτῷ κς'. Τῶν ἁγίων μαρτύρων Ἀδριανοῦ καὶ Ναταλίας. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν ἁγίων γ'. ἐκ β'. ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τῶν ἁγίων, ἦχος πλ. β'. Ὦ ζεῦγος ἅγιον καὶ ἐκλεκτόν, καὶ θεοτοκίον. Ἀπολυτίκιον· Οἱ μάρτυρές σου, Κύριε.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· τὸ μαρτύριον αὐτῶν. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τῶν ἁγίων ὁμοίως εἰς ς'. ἦχος πλ. β'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων ἦχος δ'. ἀπὸ ς'. τὸ κοντάκιον αὐτῶν. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ τῶν ἁγίων, ἦχος δ'. Ὁ ἐξ Ὑψίστου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τῆς ἡμέρας. Τροπάριον τῶν ἁγίων καὶ θεοτοκίον. Προκείμενον· Θαυμαστὸς ὁ Θεός. Στίχος· Ἐν ἐκκλησίαις. Ἀλληλούια, ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Μηνὶ τῷ αὐτῷ κς'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ποιμένος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, δευτεροῦντες τὸ

α'. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις εἰς τὸ Πατερικόν· τὰ ἀποφθέγματα τοῦ ὁσίου Ποιμένος. Κανόνες γ'. ἀνὰ δ'. τοῦ ἤχου οἱ β'. καὶ ἕτερος τοῦ ὁσίου, ἦχος πλ. δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ὁσίου, ἦχος δ'. καὶ θεοτοκίον· ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Μηνὶ τῷ αὐτῷ κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μωϋσέως τοῦ Αἰθίοπος. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ὁσίου β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε, καὶ ἕτερα β'. εἰς ἦχον πλ. δ'. πρὸς τὸ Οἱ μάρτυρές σου, Κύριε, καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις εἰς τὸ Πατερικόν· τὰ ἀποφθέγματα τοῦ ὁσίου Μωϋσέως. Κανόνες γ'. ἀνὰ δ'. τῆς Ὀκτωήχου οἱ β'. καὶ τοῦ ὁσίου ἕτερος, ἦχος πλ. δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ ὁσίου, ἦχος γ'. ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον ὁμοίως τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας.

Μηνὶ τῷ αὐτῷ κθ'. Ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ἑσπέρας οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ Προδρόμου δ'. ἐκ β'. ἦχος πλ. β'. Γενεθλίων τελουμένων. Ἄλλο· Ὡρχήσατο ἡ μαθήτρια. (σ. **119**) Ἄλλο· Οὐκ ἔδει σε, ὦ Ἡρῴδη. Ἄλλο· Πάλιν Ἡρωδιὰς μαίνεται. Δόξα καὶ νῦν θεοτοκίον· Ἄξιον ἐστίν, ὡς ἀληθῶς. Εἰ δέ ἐστι κυριακὴ τὸ δογματικὸν τοῦ ἤχου. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, εἶτα τὰ ἀναγνώσματα· τὸ α'. Ἡσαΐου· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ἐγὼ ἀποστέλλω. τὸ β'. Τάδε λέγει Κύριος· παρακαλεῖτε. τὸ γ'. Παροιμιῶν· Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος δ'. Γενέσιον ἀθέμιτον, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον, ἦχος β'. Μνήμη δικαίου μετ' ἐγκωμίων.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, κανὼν τῆς Θεοτόκου, εἰς τὸν ἑνεστῶτα ἦχον, εἰς δ'. καὶ τοῦ ἁγίου, ἦχος πλ. δ'. Τῷ ἐκτινάξαντι ἐν θα-

λάσση, εἰς η'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ Προδρόμου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Μετὰ τὴν ἀπόλυσιν τῆς παννυχίδος, ἡ ἐν τῷ Πραξαποστόλῳ ἀνάγνωσις.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ τροπάριον τοῦ Προδρόμου καὶ θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. καὶ καθίσματα τῆς Ὀκτωήχου, εἶτα ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουαρίων τοῦ ἤχου, ἔπειτα κάθισμα τοῦ Προδρόμου, ἦχος πλ. δ'. Ἐκ τῆς στείρας ἐκλάμψας, καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Ἀνδρέου, οὗ ἡ ἀρχή· Πηδᾷ καὶ γῆρας, ὡς τὰ πολλά. Εἶτα οἱ ἀναβαθμοί, ἦχος δ'. ἀντίφωνον ἓν. Προκείμενον, ἦχος δ'. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Στίχος· Μνήσθητι, Κύριε, τοῦ Δαβίδ. Πᾶσα πνοή. Εὐαγγέλιον ἑωθινὸν τοῦ Προδρόμου. Εἶτα ὁ Ν'. καὶ κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς ς'. καὶ τοῦ Προδρόμου εἰς η'. ἦχος πλ. δ'. ποίημα Θεοδωρήτου πρωτασηκρίτου, ἡ δὲ γ'. καὶ η'. καὶ θ'. ποίημα Ἰωάννου μοναχοῦ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος πλ. δ'. Ὁ Πρόδρομος πιστοί. Ἀνάγνωσις ἐκ τοῦ προειρημένου λόγου. Ἀπὸ ς'. τὸ κοντάκιον ἰδιόμελον, ἦχος πλ. α'. Ἡ τοῦ Προδρόμου, καὶ ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου. Ζήτει εἰς τὸ βιβλίον, τὰ Ἀνθολογήματα τοῦ Χρυσοστόμου, πρὸς τὸ τέλος. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ Προδρόμου γ'. ἦχος γ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, καὶ ἕτερα γ'. ἦχος πλ. δ'. Δόξα, εἰς τὸν αὐτὸν ἦχον ἰδιόμελον τοῦ Προδρόμου· Πρόδρομε τοῦ Σωτῆρος σύ, καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου β'. καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος α'. Τί σε καλέσωμεν, προφῆτα, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ Προδρόμου, ἦχος δ'. τὸ τροπάριον αὐτοῦ καὶ τὸ κοντάκιον. Προκείμενον, ἦχος δ'. Εὐφρανθήσεται δίκαιος. Στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου Ἰωάννης. Ἀλληλούια, ἦχος δ'. Δίκαιος, ὡς φοῖνιξ, ἀνθήσει. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρῴδης ὁ βασιλεύς. (οδ.] Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Εἰ δὲ τύχῃ ἐν κυριακῇ, τὸ σάββατον ἑσπέρας στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, λέγομεν τὰ γ'. ἀναστάσιμα στιχηρά, δευτεροῦντες τὸ α'. καὶ τὰ εἰρημένα δ'. ἰδιόμελα τοῦ Προδρόμου, πρὸς μίαν, Δόξα καὶ νῦν, τὸ α'. δογματικὸν τοῦ ἤχου. Εἴσοδος, τὰ προκείμενα, τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τοῦ στίχου τὸ ἀναστάσιμον καὶ ἓν ἐκ τῶν ἀνατολικῶν καὶ ἰδιόμελον τοῦ ἁγίου, ἦχος δ'. Γενέ-

σιον ἀθέμιτον, Δόξα καὶ νῦν θεοτοκίον, τὸ β'. Ἀπολυτίκιον τοῦ ἁγίου. Εἰς τὴν παννυχίδα, ὡς εἴρηται.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα, ἦχος β'. τὸ τοῦ ἁγίου, καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα ἀναστάσιμα. Αἱ ἀναγνώσεις, ὡς εἴρηται. Ὁ Ἄμωμος καὶ ἡ ὑπακοὴ τοῦ ἤχου. Ψάλλεται δὲ ὁ Ἄμωμος μετὰ τῶν ἀναστασίμων τροπαρίων χωρὶς ἀλληλουαρίων, ἔπειτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου τὰ γ'. ἀντίφωνα, τὸ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν'. Κανόνες β'. ὁ ἀναστάσιμος εἰς ς'. καὶ τοῦ ἁγίου εἰς η'. Ἀπὸ γ'. ᾠδῆς καὶ ἀπὸ ς'. ὡς εἴρηται. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, καὶ τοῦ ἁγίου· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ τοῦ ἁγίου τὰ γ'. ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου, δευτεροῦντες τὸ α'. Δόξα, ἦχος ὁ αὐτὸς ἰδιόμελον· Πρόδρομε τοῦ Σωτῆρος, σὺ βασιλεῖς ἤλεγξας, καὶ νῦν Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον καὶ ἡ α'. ὥρα.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι. Τροπάριον, τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τοῦ ἁγίου· ὡσαύτως προκείμενον καὶ ἀλληλούια τοῦ αὐτοῦ· ἀπόστολος καὶ εὐαγγέλιον ἀμφότερα, προηγοῦνται δὲ τὰ τῆς κυριακῆς. Κοινωνικόν· Αἰνεῖτε, καὶ Εἰς μνημόσυνον.

Μηνὶ τῷ αὐτῷ λ'. Τοῦ ἁγίου Φίλητος. Ἑσπέρας, οὐ στιχολογοῦμεν διὰ τὸν κόπον τῆς ἀγρυπνίας, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου γ'. ἦχος πλ. δ'. δευτεροῦντες τὸ α'. καὶ θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Ἡ ἀνάγνωσις. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. καὶ τοῦ ἁγίου, ἦχος πλ. δ'. Ἰωσὴφ, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἦχος πλ. δ'. καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ προσόμοιον τῆς ἡμέρας. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τοὺς στίχους τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τῆς ἡμέρας. (π. 120]

Μηνὶ τῷ αὐτῷ λα'. Τὰ καταθέσια τῆς τιμίας Ζώνης τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατ[εί]οις. Ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς Θεοτόκου ς'. εἰς ἦχον δ'. πρὸς τὸ Ὡς γενναῖον, τὰ ς'. πρὸς μίαν, Δόξα καὶ νῦν, ἐξ αὐτῶν τὸ α'. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου

γ'. Δόξα καὶ νῦν ἰδιόμελον, ἦχος β'. Ὡς στέφανον ὑπέρλαμπρον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. [Θ]εοτόκε ἀειπάρθενε τῶν ἀνθρώπων ἡ σκέπη.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου ἐν τῷ Μηναίῳ, ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον, εἰς δ'. Θεοφάνους. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. κάθισμα, ἦχος δ'. Τῆς τιμίας Ζώνης σου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον τῆς ἑορτῆς, ἐκ γ'. Ἡ στιχολογία. Καθίσματα τῆς Ὀκτωήχου. Εἰ τύχῃ σταυρώσιμον ἢ ἀναστάσιμον, εἰ δὲ μήγε τῆς Θεοτόκου, ἦχος δ'. Ὡς θεῖον ἀνάθημα, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος Γερμανοῦ πατριάρχου εἰς τὴν αὐτὴν ἑορτήν. Κανόνες β'. τῆς Ὀκτωήχου εἰς δ'. καὶ ἕτερος τῆς Θεοτόκου εἰς η'. ἦχος πλ. δ'. Ἰωσήφ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος δ'. Δόξα καὶ νῦν τὸ αὐτό, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ γ'. τῆς Θεοτόκου, ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, ἦχος πλ. α'. πρὸς τὸ Χαίροις· Ὀκτωήχου γὰρ στιχηρὰ οὐ ψάλλομεν, εἰ μή ἐστι κυριακὴ ἢ σταυρώσιμος ἡμέρα.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῆς Θεοτόκου ἡ γ'. Δόξα καὶ νῦν, τὸ τροπάριον τῆς Θεοτόκου. Προκείμενον, ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας. Ἀλληλούια, ἦχος δ'. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Ἰησοῦς εἰς Ἰεριχώ. Ζήτει κυριακῇ ιε'. Κοινωνικόν· Ποτήριον σωτηρίου. (οϐ.]

(π. 121] Ἀκολουθία σὺν Θεῷ ἀκριβὴς τῆς ἁγίας τεσσαρακοστῆς, ἀρχομένη ἀπὸ τῆς κυριακῆς τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου μέχρι τῶν ἁγίων Πάντων.

Κυριακὴ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου. Τῇ κυριακῇ, ἐν ᾗ ἀναγινώσκεται τὸ εὐαγγέλιον τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου, ἤγουν τῷ σαββάτῳ ἑσπέρας ἡ στιχολογία τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ'. δευτεροῦντες τὸ α'. καὶ τοῦ Τελώνου ἰδιόμελα β'. ἦχος πλ. δ'. Τὴν ὑψηλόφρονα γνώμην. Ἄλλο· Ἀτενίσαι τὸ ὄμμα εἰς οὐρανόν. Ταῦτα δὲ ψάλλονται καὶ κυριακῇ γ'. πρωὶ καὶ ἑσπέρας, ἔπειτα ἕτερα β'. στιχηρὰ τοῦ ἁγίου τῆς ἡμέρας, πλὴν πρὸς τὸν ἦχον προηγοῦνται, Δόξα καὶ νῦν, τὸ

δογματικὸν α'. θεοτοκίον τοῦ ἤχου. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν, προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον ἅπαξ, καὶ β'· τῆς κυριακῆς ἰδιόμελα, ἦχος πλ. δ'. Ταῖς ἐξ ἔργων καυχήσεσιν. Ἕτερον· Παντοκράτορ Κύριε, καὶ νῦν, τὸ β'. δογματικὸν θεοτοκίον. Εἰ δὲ ἔχει τὸ Συναξάριον ἰδιόμελον τοῦ ἁγίου τῆς ἡμέρας, καταλιμπάνεται τὸ ἓν τῆς προλεχθείσης κυριακῆς· καὶ ψάλλεται τοῦ ἁγίου καὶ τὸ εἰρημένον θεοτοκίον. Ἀπολυτίκιον, εἰ μὲν ἔχει ὁ ἅγιος τοῦ αὐτοῦ, εἰ δὲ μήγε, τὸ ἀναστάσιμον τοῦ ἤχου. Εἰς δὲ τὸ ἀπόδειπνον, λέγεται τὸ ἀναστάσιμον καὶ τοῦ ἁγίου καὶ θεοτοκίον.

Εἰς τὴν παννυχίδα, κανὼν ἐν τῷ Τριῳδίῳ τοῦ Τελώνου, ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, εἰς ς'. εἰς γὰρ τὸν ὄρθρον οὗτος οὐ ψάλλεται, [καὶ [1]) ἕτερος κανὼν ἐκ τῶν τῆς τεσσαρακοστῆς ἁγίων εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τοῦ ἁγίου, οὗ καὶ ὁ κανών, ψάλλεται.] ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Μετὰ δὲ τὴν ἀπόλυσιν, ἡ ἀνάγνωσις εἰς τὸ χῦμα τοῦ Πραξαποστόλου, εἶτα σημαίνει καὶ ἀρχόμεθα τοῦ ἑξαψάλμου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα, τοῦ ἁγίου, εἴπερ ἔχει, καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι· Ἐξομολογήσομαί σοι, Κύριε, καὶ Ἀγαπήσω σε, Κύριε· καὶ τὸν πολυέλεον ἢ καὶ τὸν Ἄμωμον μετὰ τῶν ἀναστασίμων τροπαρίων αὐτοῦ. (об.] Καθίσματα ἀναστάσιμα. Καὶ μετὰ τὸ τέλος τῶν στιχολογιῶν, ἡ ὑπακοὴ τοῦ ἤχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου· εἴτε τοῦ κατὰ Ματθαῖον, ἢ τινος ἑτέρου, ἔπειτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον καὶ τὸ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν'. Κανόνες γ'. ὁ α'. ἀναστάσιμος εἰς ς'. καὶ ὁ β'. εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. Εἰ δὲ εἴη ἑορταζόμενος ὁ ἅγιος, λέγομεν τοῦ ἁγίου εἰς ς'. τὸ δέ α'. ἀναστάσιμον εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τὸν Τελώνην καὶ τὸν Φαρισαῖον. Ζήτει εἰς τὸ Πανηγυρικὸν βιβλίον τῆς τεσσαρακοστῆς, οὗ ἡ ἀρχή· Μηδέποτε διαλιμπάνομεν. Εἰ δὲ ἔχει ὁ ἅγιος, (ἀνάγνωσιν?) τοῦ ἁγίου, τὸν δὲ τοῦ Χρυσοστόμου λόγον τὸν ῥηθέντα ἀναγινώσκομεν μετὰ τῶν στιχολογιῶν· ὁμοίως δὲ καὶ ἕτερον λόγον τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ βιβλίῳ, οὗ ἡ ἀρχή· Οἱ πόῤῥωθεν τοὺς λειμῶνας. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ ἁγίου, εἰ ἔχει, εἰ δὲ μή, τοῦ Τελώνου, εἴτε καθίσματα ἀναστάσιμα. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ β'. ἰδιόμελα τοῦ Τελώνου, ἦχος α'. Μὴ προσευ-

[1]) Вставка рукою писца.

ξώμεθα. Ἕτερον· Φαρισαῖος κενοδοξίᾳ. Δόξα, τὸ ἑωθινὸν τοῦ εὐαγγελίου, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη. Ἀπολυτίκιον, ἀναστάσιμον τῆς κυριακῆς τοῦ ἤχου, οἷον λάχῃ.

Εἰ δὲ ἐστὶ μέγας ἅγιος καὶ ἔχει καὶ στιχηρά, ἱστῶμεν εἰς τοὺς αἴνους η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, καὶ ἰδιόμελα τῆς κυριακῆς β'. τὰ προῤῥηθέντα, καὶ ἕτερα δύο τοῦ ἁγίου.

Εἰς δὲ τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ οἱ ἀναστάσιμοι τοῦ ἤχου. Προκείμενον, ἄμνημον τοῦ ἤχου. Ἀλληλούια, ἦχος πλ. δ'. Ἐπίβλεψον ἐπ' ἐμέ. Στίχος β'. Τὰ διαβήματά μου. Ἀπόστολος καὶ εὐαγγέλιον, τὰ τῆς κυριακῆς. Κοινωνικόν· Αἰνεῖτε. Εἰ δὲ εἴη μέγας ἅγιος, καὶ τὸ Εἰς μνημόσυνον αἰώνιον.

Δεῖ γινώσκειν, ὅτι μετὰ τὴν παρέλευσιν τῆς ἑορτῆς τῶν ἁγίων Θεοφανείων, ἐπᾶν ἐπιστῇ ἡμέρα, μὴ ἔχουσα β'. ἁγίους, ἢ καὶ ἕνα ἐκ τῶν μεγάλων, ψάλλομεν μετὰ τῆς Ὀκτωήχου καὶ τοῦ ἁγίου τῆς ἡμέρας καὶ ἕτερον ἅγιον τῆς τεσσαρακοστῆς, ἐπειδὴ ἐν τῇ μεγάλῃ ταύτῃ τεσσαρακοστῇ ἅγιον, ἐκτὸς σαββάτου καὶ κυριακῆς, οὐ ψάλλομεν.

Δεῖ δὲ καὶ τὸν ἐκκλησιάρχην ἀκριβῶς τούτους ἀναψηφίζειν καὶ ἀνερευνᾶν ἐν ποίᾳ ἡμέρᾳ τοῦ μηνός, ἄρχεται ἡ β'. τῆς α'. ἑβδομάδος, καὶ ἀπεχεῖ ἄρχεσθαι προψάλλειν αὐτούς, τοὺς δὲ ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς ἐπιλαγχάνοντας, ὑπεξαίρειν καὶ σημειοῦσθαι ἐν χάρτῃ (**π. 122**] ἐγγράφως, καὶ ψάλλειν αὐτοὺς ἐν ταῖς ἡμέραις αὐτῶν, ἐπειδή, ὡς εἴρηται, κανόνας ψάλλομεν τῶν ἁγίων ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς. Εἰ δέ γε ἀνὰ μέσον τῆς ἑβδομάδος τύχῃ γενέσθαι μνήμην ἁγίου ἑορτασίμου, ἔχοντος Θεὸς Κύριος, οὐ προψάλλομεν αὐτόν, ἀλλὰ σημειούμενοι καὶ τοῦτον ἐν τῷ χάρτῃ, ψάλλομεν ἐν τῇ ἑβδομάδι τῆς μνήμης αὐτοῦ τῷ σαββάτῳ ἢ τῇ κυριακῇ, ἢ τοῖς προλαβοῦσιν, ἢ τοῖς μετέπειτα, ψάλλοντες καὶ τὸ κοντάκιον αὐτοῦ, εἰ ἔχει, καὶ ἀναγινώσκοντες καὶ τὸν βίον αὐτοῦ, εἴτε μαρτύριον, ὡς δηλοῖ τοῦ μηνολογίου τὸ Συναξάριον. Καὶ ἐν μὲν τοῖς ὄρθροις, προψάλλομεν τοὺς ἁγίους, ὡς εἴρηται, ἐπᾶν οὐκ εἰσι δύο ἅγιοι, ἢ ἑνὸς τῶν μεγάλων μνήμη, οὓς εὑρήσεις ἐκεῖ σεσημειωμένους, διὰ δὲ τὸ μὴ δύνασθαι οὕτω πληροῦν αὐτούς:

Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς κυριακῆς τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου, ἄλλοτε κανόνα κατανυκτικὸν ἐκ τῶν συνήθων τοῦ ἤχου ἐν ταῖς παννυχίσιν οὐ ψάλλομεν, ἀλλ' ἐκ τούτων τῶν εἰρημένων τῆς τεσσαρακοστῆς ἁγίων, καὶ καθ' ἑκάστην ἐν ταῖς παννυχίσι, πρὸς ἕνα· εἰ μήτι γε ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς ἐπιστῇ, ἢ μνήμη μεγάλου ἁγίου, ὥς τε ἔχειν οἰκεῖον κανόνα ἐν τῇ παννυχίδι. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν· ἀπὸ δὲ ς'. τὸ

κάθισμα τοῦ αὐτοῦ ἁγίου, ὃν ψάλλομεν, καὶ θεοτοκίον καὶ πληροῦμεν τοὺς ἀπὸ τῆς β'. τῆς α'. ἑβδομάδος ἁγίους, ἄχρι τῆς β'. τῆς Νέας Κυριακῆς Θωμᾶ· ταῖς δέ γε παρασκευαῖς ἑσπέρας, οὐ ψάλλομεν ἅγιον, ἀλλὰ τὸν συνήθη νεκρώσιμον ἐν τοῖς τάφοις τῶν ὁσίων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Τῇ κυριακῇ τοῦ Ἀσώτου, ἤγουν τῷ σαββάτῳ ἑσπέρας, ἡ στιχολογία, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. δευτεροῦντες τὸ α'. καὶ β'. ἰδιόμελα τῆς κυριακῆς τοῦ Ἀσώτου, ἦχος β'. Πάτερ ἀγαθέ. Τοῦτο δὲ ψάλλομεν καὶ τῇ β'. τῆς γ'. ἑβδομάδος, ἑσπέρας. Ἕτερον· Πατέρα σε τὸν κτίστην. Ψάλλομεν δὲ καὶ τοῦτο τῇ γ'. τῆς γ'. ἑβδομάδος ἑσπέρας, καὶ β'. στιχηρὰ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, Δόξα καὶ νῦν, τὸ α'. δογματικὸν θεοτοκίον τοῦ ἤχου. Εἴσοδος. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τὸ ἀναστάσιμον τοῦ στίχου ἅπαξ καὶ β'. ἰδιόμελα τῆς κυριακῆς τοῦ Ἀσώτου, ἦχος πλ. β'. Τῆς πατρικῆς δωρεᾶς. (οδ.] Ἕτερον· Πάτερ ἀγαθέ, ἐμακρύνθην. Δόξα καὶ νῦν, τὸ β'. δογματικὸν θεοτοκίον τοῦ ἤχου. Εἰ δὲ εἴη μέγας ἅγιος, ἓν ἰδιόμελον τοῦ Ἀσώτου καὶ ἓν τοῦ ἁγίου καὶ θεοτοκίον. Ἀπολυτίκιον, εἰ ἐστὶ τοῦ ἁγίου, εἶδ' οὖν τὸ ἀναστάσιμον τοῦ ἤχου.

Εἰς τὴν παννυχίδα, κανόνα τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς'. καὶ ἕτερον ἑνὸς τῶν προψαλλομένων ἁγίων, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ τῆς Θεοτόκου κοντάκιον, καὶ ἡ τοῦ Πραξαποστόλου ἀνάγνωσις, κατὰ τὸ ἔθος.

Εἰς τὸν ὄρθρον, αἱ στιχολογίαι. Καθίσματα ἀναστάσιμα τοῦ ἤχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Εἶτα ὁ πολυέλεος ἢ ὁ Ἀμωμος μετὰ τῶν ἀναστασίμων τροπαρίων αὐτοῦ, καὶ εὐθὺς ἡ ὑπακοὴ τοῦ ἤχου. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου ἐν τῷ Πανηγυρικῷ, οὗ ἡ ἀρχή· Πρῴην ἡμῖν ἡ μεγάλη. Εἶτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ· καὶ ὁ ν'. Κανόνες γ'. ὁ α'. ἀναστάσιμος εἰς δ'. τοῦ ἁγίου εἰς δ'. καὶ τοῦ Ἀσώτου εἰς ς'. ἦχος β'. Τὴν Μωσέως ᾠδήν, πλὴν πρὸς τὸν ἦχον προηγοῦνται. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, καὶ ἀνάγνωσιν, εἰ ἔχει ὁ ἅγιος, εἰ δὲ μή, λόγος τοῦ Χρυσοστόμου εἰς τὸν Ἄσωτον, οὗ ἡ ἀρχή· Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ Ἀσώτου, ἦχος γ'. Τῆς πατρῴας δόξης σου. Εἰ δὲ ἔχει ὁ ἅγιος, ψάλλομεν ἀπὸ γ'. τὸ ἕν, καὶ ἀπὸ ς'. τὸ ἄλλο, τὸ δὲ τοῦ ἁγίου κάθισμα εἰς τὴν στιχολογίαν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς

αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα καὶ β'. ἰδιόμελα τοῦ Ἀσώτου, ἦχος β'. Ὦ πόσων ἀγαθῶν. Καὶ ἄλλο· Τὴν τοῦ Ἀσώτου φωνήν. Δόξα, τὸ ἑωθινὸν στιχηρὸν τοῦ εὐαγγελίου, εἰ δὲ ἔχει ὁ ἅγιος, τὸ αὐτοῦ, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Εἰ δὲ ἔχει ὁ ἅγιος καὶ προσόμοια, ἱστῶμεν η'. Δοξολογία μεγάλη. Ἀπολυτίκιον, τὸ τῆς κυριακῆς ἀναστάσιμον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου οἱ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον. Δόξα καὶ νῦν τὸ κοντάκιον τοῦ Ἀσώτου. Προκείμενον, ἄμνημον τοῦ ἤχου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, πάντα μοι ἔξεστιν. Ἀλληλούια, ἦχος β'. Ἐλέησόν με, ὁ Θεός. Στίχος β'. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου. Εὐαγγέλιον κατὰ Λουκᾶν τῆς κυριακῆς τοῦ Ἀσώτου. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Σαββάτῳ τῆς Ἀπόκρεω, ἤτοι τῶν ψυχῶν. Τῇ παρασκευῇ ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. (π. 123] καὶ ψάλλομεν στιχηρὰ γ'. μαρτυρικὰ τοῦ ἤχου, καὶ γ'. τοῦ Τριῳδίου εἰς τοὺς κοιμηθέντας, ἦχος πλ. δ'. πρὸς τὸ Ὁ ἐν Ἐδὲμ παράδεισος ποτέ, καὶ ἕτερον εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Δεῦτε, ἅπαντες πιστοί, Δόξα καὶ νῦν θεοτοκίον. Εἰ δὲ μέγας ἅγιος, ψάλλομεν τὰ γ'. μαρτυρικά, καὶ γ'. τοῦ ἁγίου· ταῦτα δὲ τοῦ Τριῳδίου, τὰ εἰς ἦχον πλ. δ'. ἀπὸ τοῦ προκειμένου. Εἰς τὸν στίχον, τὸ μαρτυρικὸν τοῦ στίχου, καὶ β'. νεκρώσιμα τοῦ ἤχου καὶ θεοτοκίον. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Ὁ βάθει σοφίας φιλανθρώπως. Τὸ αὐτὸ καὶ εἰς τὰ ἀπόδειπνα, καὶ εἰς τὸν ὄρθρον. Εἰ δὲ εἴη μέγας ἅγιος, τοῦ ἁγίου. Μετὰ δὲ τὸ ἑσπερινόν, κατερχόμεθα εἰς τοὺς τάφους καὶ ψάλλομεν κανόνα τὸν νεκρώσιμον τοῦ ἤχου, ἐπειδὴ ἐν τῷ ὄρθρῳ οὐ ψάλλεται. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα· Ἀληθῶς ματαιότης, καὶ θεοτοκίον· ἀπὸ ς'. Μετὰ τῶν ἁγίων. Εἰς τὴν ἐκτενῆ, τὸ Κύριε ἐλέησον μ'. καὶ ἀπόλυσις.

Εἰς τὸν ὄρθρον, εἰ μὲν εἴη μέγας ἅγιος, ψάλλομεν Θεὸς Κύριος καὶ τὸ τροπάριον τοῦ ἁγίου, Δόξα, Ὁ βάθει σοφίας, καὶ θεοτοκίον· εἰ δὲ οὐκ ἔστι, ψάλλομεν Ἀλληλούια καὶ τὸ τροπάριον· Ὁ βάθει σοφίας, καὶ θεοτοκίον. Ἡ στιχολογία, καθίσματα β'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Καθίσματα μαρτυρικὰ τοῦ ἤχου. Ἀνάγνωσις· λόγος τοῦ Δαμασκηνοῦ, εἰς δόσεις γ'. οὗ ἡ ἀρχή· Τὰ τῶν βρωμάτων ἡδέα καὶ τίμια. Εἶτα ὁ Ἄμωμος, ἦχος πλ. α'. μετὰ τῶν νεκρωσίμων τροπαρίων αὐτοῦ, κάθισμα, ἦχος πλ. α'. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, καὶ θεοτοκίον. Κανόνες β'. τοῦ ἁγίου τῆς ἡμέρας, εἰς δ'. καὶ τὸν νεκρώσιμον τοῦ κυροῦ Θεοδώ-

ρου τοῦ Στουδίτου εἰς η'. ἦχος πλ. δ'. Ἆσμα ἀναπέμψωμεν λαοί. Λέγομεν δὲ καὶ τὴν β'. ᾠδήν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος πλ. β'. Ἀληθῶς ματαιότης. Εἰ δὲ εἴη μέγας ἅγιος, τοῦ ἁγίου. Ἀπὸ ς'. τὸ κοντάκιον· Μετὰ τῶν ἁγίων, καὶ οἴκους κᾶν γ'.

Δεῖ γινώσκειν, ὅτι ἀπὸ ς'. ᾠδῆς προκατέρχεται ὁ παρεκκλησιάρχης ἐν τοῖς τάφοις καὶ ἑτοιμάζει, ἅπτων κηροὺς καὶ κανδύλας καὶ θυμιῶν. Μετὰ δὲ τὴν θ'. ᾠδήν, ἀρχόμενοι τοῦ ἐξαποστειλαρίου· Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐξερχόμεθα πάντες διὰ τῶν βασιλικῶν πυλῶν καὶ κατερχόμεθα εἰς τοὺς τάφους τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, λέγοντες τὸ εἰρημένον ἐξαποστειλάριον, ἕως γ'. καὶ ψάλλομεν ἐκεῖ καὶ τοὺς αἴνους, καὶ ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, καὶ β'. ἐκ τῶν προσομοίων τῆς ἑσπέρας, ἦχος πλ. δ'. Ὁ ἐν Ἐδὲμ παράδεισος, καὶ ἕτερον εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Δεῦτε ἅπαντες πιστοί, Δόξα καὶ νῦν θεοτοκίον· Ἡ σκέπη σου, ἡ ἐκτενής, τὸ Κύριε ἐλέησον μ'. Ἀπολυτίκιον, τὸ προγραφέν. Ἡ α'. ὥρα καὶ ἀπόλυσις.

Ἡ δὲ ἁγία λειτουργία τελεῖται ἐν τοῖς τάφοις, καὶ ψάλλομεν τυπικὰ καὶ ἀντὶ τῶν μακαρισμῶν, λέγομεν τὴν δ'. ᾠδὴν τοῦ κανόνος τοῦ Τριῳδίου, τροπάριον καὶ κοντάκιον τὰ νεκρώσιμα. (οδ.] Προκείμενον, ἦχος πλ. β'. Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ἀλληλούια, ἦχος ὁ αὐτός. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου. Στίχος β'. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν. Εὐαγγέλιον κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος· βλέπετε μὴ πλανηθῆτε. Κοινωνικόν, ἦχος πλ. α'. Μνήμη δικαίων μετ' ἐγκωμίων γίνεται, καὶ Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου.

Εἰ δὲ τύχῃ ἑορτὴ μεγάλου ἁγίου, εἰς τοὺς τάφους μὲν γίνεται προλειτουργία καὶ νεκρώσιμος ἀκολουθία, ἐν δὲ τῷ ναῷ ἡ τελεία μετὰ καὶ τῆς ἀκολουθίας αὐτῆς.

Κυριακῇ τῆς Ἀπόκρεω. Τῷ σαββάτῳ ἑσπέρας ἡ στιχολγία, ὡς σύνηθες, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. δευτεροῦντες τὸ α'. καὶ τῆς Ἀπόκρεω γ'. δευτεροῦντες τὸ α'. ἦχος πλ. β'. Ἐννοῶν τὴν ἡμέραν. Ὦ ποία ὥρα τότε. Ὅταν ἔλθῃς ἐν δόξῃ. Τοῦτο δὲ ψάλλεται καὶ τῇ γ'. τῆς μεγάλης ἑβδομάδος, Δόξα καὶ νῦν θεοτοκίον, δογματικὸν τοῦ ἤχου τὸ α'. Εἰ δὲ εἴη μέγας ἅγιος, λέγομεν ἀναστάσιμα γ'. καὶ γ'. τῆς κυριακῆς, καὶ β'. τοῦ ἁγίου καὶ θεοτοκίον τὸ εἰρημένον. Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον ἅπαξ, καὶ β'. ἰδιόμελα τῆς Ἀπόκρεω, ἦχος πλ. δ'. Ὅταν τίθωνται θρόνοι. Ἄλλο· Οἴμοι μέλαινα ψυχή. Δόξα καὶ νῦν θεοτοκίον

τοῦ ἤχου, τὸ β'. Εἰ δὲ ἔχει ὁ ἅγιος, λέγομεν (;) αὐτό· εἰς τὸ Δόξα καὶ νῦν, τὸ θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου, εἰ ἔχει, εἰ δὲ μή, τὸ ἀναστάσιμον.

Εἰς τὴν παννυχίδα, κανόνες β'. τῆς Ἀπόκρεω, ἦχος πλ. δ'. Ἰωσήφ· Χαίρει χορός, εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας, εἰς δ'. εἰ δὲ ἐστὶν ἑορταζόμενος, καὶ ὀφείλει ψαλθῆναι ἐν τῷ ὄρθρῳ, ψάλλομεν ἕτερον ἅγιον ἐκ τῶν προψαλλομένων τῆς τεσσαρακοστῆς. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου· ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τροπάριον τὸ ἀναστάσιμον β'. Δόξα καὶ νῦν θεοτοκίον. Εἰ δὲ ἔχει ὁ ἅγιος, λέγομεν αὐτὸ εἰς τὸ Δόξα καὶ νῦν θεοτοκίον. Αἱ στιχολογίαι. Καθίσματα ἀναστάσιμα τοῦ ἤχου. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Ἔπειτα ὁ Πολυέλεος, καὶ ἡ ὑπακοὴ τοῦ ἤχου· καὶ ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τὴν β'. παρουσίαν, οὗ ἡ ἀρχή· Ἐνόμιζον μεγάλον. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον, τὸ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες β'. ὁ ἀναστάσιμος εἰς ς'. καὶ τῆς Ἀπόκρεω, ἦχος πλ. β'. εἰς η'. Εἰ δὲ εἴη μέγας ἅγιος, ἱστῶμεν ις'. καὶ λέγομεν τὸν ἀναστάσιμον εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. τῆς δὲ κυριακῆς, εἰς η'. προηγοῦνται δὲ καὶ οὗτοι, πρὸς τὸν ἦχον (**π. 124**] Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, εἴπερ ἐστὶν ἑορταζόμενος, καὶ ἀνάγνωσις αὐτοῦ, εἰ ἔχει, εἰ δὲ μήγε, κάθισμα κατανυκτικόν, ἦχος πλ. β'. Ἐννοῶν τὴν ἡμέραν τὴν φοβεράν. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· Παρακαλῶ ὑμᾶς, ἀδελφοί. Ἀπὸ ς'. τὸ κοντάκιον, ἦχος πλ. α'. ἢ μᾶλλον α'. Ὅταν ἔλθῃς, ὁ Θεός. Εἰ δὲ ἔχει ὁ ἅγιος, ψάλλομεν αὐτὸ ἀπὸ γ'. ᾠδῆς, τὸ δὲ κάθισμα αὐτοῦ ἀπὸ στιχολογίας. Ἀνάγνωσις· λόγος τοῦ ἁγίου Ἐφραὶμ εἰς τὴν β'. παρουσίαν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, καὶ εἰ ἐστὶν ἑορταζόμενος ἅγιος, τὸ Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ τὰ δ'. ἀναστάσιμα καὶ β'. τῆς Ἀπόκρεω, ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι, εἶτα τὸ τῆς ἡμέρας ἰδιόμελον β'. ἦχος α'. Προκαθάρωμεν ἑαυτούς, ἀδελφοί. Δόξα, τὸ ἑωθινόν, εἰ δὲ ἔχει ὁ ἅγιος, τὸ τοῦ ἁγίου, καὶ νῦν Ὑπερευλογημένη ὑπάρχεις. Τροπάριον ἀναστάσιμον, οἷον λάχῃ. Ἡ α'. ὥρα καὶ ἡ κατήχησις καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς Ἀπόκρεω. Προκείμενον, ἦχος γ'. Μέγας ὁ Κύριος ἡμῶν. Στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς ψαλμός. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελ-

φοί, βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Ἀλληλούια, ἦχος πλ. δ'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Στίχος β'. Προφθάσωμέν τὸ πρόσωπον. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος, ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου. Εἰ δὲ ἔχει καὶ ὁ ἅγιος, ἀμφότερα, προηγοῦνται δὲ τῆς κυριακῆς, εἶτα τοῦ ἁγίου. Κοινωνικόν· Αἰνεῖτε, καὶ τοῦ ἁγίου.

Τῇ αὐτῇ κυριακῇ, ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου τῆς ἡμέρας, γ'. καὶ ἕτερα γ'. ἄλλου προψαλλομένου ἁγίου, Δόξα καὶ νῦν θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τοῦ Τριῳδίου, ἦχος πλ. δ'. Ἀνοιχνευσάμενοι, ἐκ β'. καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον τὸ α'. Μάρτυρες Κυρίου· ἀεὶ γὰρ πρὸς τὸν ἦχον τοῦ στιχηροῦ τῆς τεσσαρακοστῆς λέγομεν καὶ τὰ μαρτυρικά, Δόξα καὶ νῦν θεοτοκίον. Ἀπολυτίκιον τοῦ ἁγίου, οἵου κἂν τύχῃ, τὴν γὰρ ἑβδομάδα ταύτην πᾶσαν ἑορτάζομεν, οἵου κἂν τύχῃ ἁγίου, καὶ οὔτε μετανοίας ποιοῦμεν ἐν τῷ μέσῳ, ἄνευ τῆς τετάρτης καὶ τῆς παρασκευῆς, τὰς γὰρ αὐτὰς β'. ἡμέρας, οἵου κἂν τύχῃ ἁγίου, κἂν αὐτοῦ τοῦ Προδρόμου, ἢ ἑτέρου τῶν μεγάλων ἁγίων, ἀλληλούια ψάλλομεν, εἰ μήπου τύχῃ αὐτὴ ἡ κυρία ἡμέρα τῆς Ὑπαπαντῆς.

Εἰς τὴν παννυχίδα, κανὼν ἑνὸς τῶν προψαλλομένων ἁγίων. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κάθισμα αὐτοῦ. (οβ.]

Εἰς τὸν ὄρθρον, ἡ στιχολογία, κάθισμα ἕν. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ τοῦ προκειμένου βιβλίου. Κανόνες γ'. ἕνα τῆς Ὀκτωήχου τὸν κανανυκτικόν, καὶ τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἄλλον ἑτέρου ἁγίου, προψαλλομένου, ἀνὰ δ'. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ καθίσματα τῶν ἁγίων. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τοῦ Τριῳδίου, ἦχος γ'. Πάντα τὸν χρόνον ἡ νηστεία, ἐκ β'. Μαρτυρικὸν τὸ α'. τοῦ αὐτοῦ ἤχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, ἡ ἀκολουθία τῆς ἡμέρας, εἰ δὲ ἔχει ὁ ἅγιος, τοῦ ἁγίου.

Τῇ β'. τῆς Τυροφάγου, ἑσπέρας, μετὰ τὸ προοίμιον, ἡ στιχολογία, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου τῆς ἡμέρας γ'. καὶ ἕτερα γ'. ἑνὸς τῶν προψαλλομένων ἁγίων, οὗ τὸν κανόνα ψάλλομεν εἰς τὴν παννυχίδα, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Ἐπεί, ὡς εἴρηται, οἷος ἂν τύχῃ ἅγιος, ἑορτάζομεν αὐτόν, οὐδὲ γὰρ μετανοίας ποιοῦμεν ἐν τῷ μέσῳ. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος πλ. δ'. Διὰ νηστείας καθαρθῆναι σπεύσωμεν, καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον τὸ β'. Δόξα καὶ νῦν θεοτοκίον.

Εἰς τὴν παννυχίδα, ὁ κανὼν τοῦ προψαλλομένου ἁγίου. Ἀπὸ ς'. ᾠδῆς, τὸ κάθισμα αὐτοῦ καὶ θεοτοκίον.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τοῦ ἁγίου. Ἡ στιχολογία, κάθισμα ἕν. Καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, καὶ ἕτερος τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἑτέρου ἑνὸς τῶν προψαλλομένων ἁγίων, ἀνὰ δ'. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ καθίσματα αὐτῶν. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος γ'. Ἀσμένως λαοὶ τὴν νηστείαν ἀσπασώμεθα, ἐκ β'. καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον τὸ β'. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, εἰ μὴ ἔχει ὁ ἅγιος, ἡ ἀκολουθία τῆς ἡμέρας.

Δεῖ γινώσκειν, ὅτι καταλιμπάνεται ἡ προηγιασμένη τῆς τετράδος.

Τῇ γ'. τῆς Τυροφάγου. Ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου τῆς ἡμέρας γ'. καὶ ἕτερα γ'. τοῦ ἁγίου τῆς τεσσαρακοστῆς, Δοξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια, οἵου κἂν τύχῃ ἁγίου, εἰ μήπου εἴη αὐτὴ ἡ κυρία ἡμέρα τῆς Ὑπαπαντῆς. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον, ἦχος α'. Περιχαρῶς δεξώμεθα πίστοι, β'. καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, τὸ γ'. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά.

Εἰς τὴν παννυχίδα, κανὼν ἑνὸς τῶν προψαλλομένων ἁγίων, ποιοῦμεν δὲ καὶ μετανοίας, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. (σ. **125**) Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου· Τί λύετε τάξιν ἐπαινουμένην, εἰς δόσεις β'. Κανόνες γ'. ἀνὰ δ'. τῆς Ὀκτωήχου ὁ σταυρώσιμος, καὶ ἕτερος τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἄλλος ἑτέρου ἁγίου τῶν προψαλλομένων. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ καθίσματα τῶν ἁγίων. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον, ἦχος α'. Βρωμάτων νηστεύουσα ψυχή μου, καὶ μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου τὸ γ'. καὶ θεοτοκίον. Ἡ α'. ὥρα, καὶ αἱ μετάνοιαι, ἡ κατήχησις καὶ ἀπόλυσις.

Ἀρχὴ δὲ γ'. ὥρας σημαίνει τὴν γ'. καὶ συναγόμενοι ἅπαντες ἐν τῷ ναῷ ἔσωθεν, ψάλλομεν αὐτὴν τρίψαλμον, καὶ στιχολογοῦμεν τῆς ἀκολουθίας κάθισμα ἕν, εἶτα προκείμενον, ἦχος πλ. β'. Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα, λιτῶς δὲ καὶ οὐ μετὰ ἤχου, Δόξα καὶ νῦν, Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον μ'. αἱ μετάνοιαι, ὡς σύνηθες, καὶ ἡ εὐχή.

Καὶ εὐθὺς συνημμένως ψάλλομεν καὶ τὴν ς'. ὥραν, ἀρχόμενοι ἀπὸ Τρισαγίου. Οὐ στιχολογοῦμεν δέ, ἀλλὰ μετὰ τὸ τρίψαλμον, ψάλλομεν προκείμενον, ἦχος β'. Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ, λιτῶς καὶ αὐτὸ καὶ οὐ μετὰ ἤχου, Δόξα καὶ νῦν θεοτοκίον· Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, καὶ εὐθὺς τὸ τροπάριον τῆς προφητείας, ἦχος γ'. Βασιλεῦ ἅγιε παντοδύναμε, Δόξα καὶ νῦν, τὸ τέλος αὐτοῦ, καὶ πάλιν τὸ αὐτὸ τροπάριον, εἶτα τὸ προκείμενον καὶ ἡ προφητεία, καὶ εὐθὺς Ταχὺ προκαταλαβέτωσαν, Τρισάγιον, αἱ μετάνοιαι, ἡ εὐχὴ καὶ ἀπόλυσις.

Περὶ δὲ ς'. ὥραν, σημαίνει τὴν θ'. καὶ συναγόμενοι, ψάλλομεν καὶ ταύτην τρίψαλμον, εἶτα ἡ στιχολογία, τὸ προκείμενον, ἦχος πλ. δ'. Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ, Δόξα καὶ νῦν θεοτοκίον· Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος, τὸ Τρισάγιον, αἱ μετάνοιαι, καὶ ἡ εὐχή, καὶ εὐθὺς οἱ μακαρισμοί, εἰς ἦχον πλ. δ'. καὶ στιχολογοῦμεν τοὺς μακαρισμούς, μετὰ τοῦ Δόξα καὶ νῦν, μετὰ ἤχου, εἶτα Μνήσθητι ἡμῶν, Κύριε. Μνήσθητι ἡμῶν, ἅγιε. Μνήσθητι ἡμῶν, Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, καὶ τὰ λοιπὰ τῶν Τυπικῶν, ἤγουν τὸ Πιστεύω, Ἄνες, ἄφες, συγχώρησον, τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον λ'. Μετὰ δὲ τὸ ἄρξασθαι ἡμᾶς στιχολογεῖν τοὺς μακαρισμούς, ἐξέρχεται ὁ ὡρολόγος καὶ σημαίνει τὸ μέγα τοῦ ἑσπερινοῦ, ὁ δὲ διάκονος, ἐξερχόμενος, θυμιᾷ, ψαλλόντων ἡμῶν τὰ τυπικά, ὡς εἴρηται. Καὶ μετὰ τὴν τούτων πλήρωσιν, θυμιάσας πάντα τὸν ναὸν καὶ εἰσελθὼν ἅμα τῷ ἱερεῖ, βαλών τε σὺν αὐτῷ μετάνοιαν ἐν τῇ ἁγίᾳ τραπέζῃ ὁ διάκονος, ἐξέρχεται καὶ λέγει· Εὐλόγησον δέσποτα, (οϐ.] καὶ ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί. Ὁ λαός· Ἀμήν, καὶ εὐθὺς Δεῦτε προσκυνήσωμεν γ'. καὶ ψάλλομεν τὸ λύχνικόν.

Τῇ δὲ αὐτῇ δ'. ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἑστῶντες ς'. ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος γ'. Ἀνέτειλε τὸ ἔαρ τῆς νηστείας, ἐκ β'. εἶτα στιχηρὰ γ'. τοῦ ἁγίου τῆς ἡμέρας, καὶ μαρτυρικὸν πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου τὸ δ'. Δόξα καὶ νῦν θεοτοκίον. Εἴσοδος μετὰ θυμιατοῦ καὶ μανουαλίων, εἶτα τὸ προκείμενον τῆς ἡμέρας· Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, τὰ ἀναγνώσματα, τὸ δὲ Φῶς Χριστοῦ οὐ λέγομεν, οὔτε σήμερον, οὔτε τῇ παρασκευῇ. Ἀντὶ δὲ τοῦ Κατευθυνθήτω, ψάλλομεν προκείμενον, ἦχος πλ. β'. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, στίχος· Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, στίχος β'. Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, στίχος γ'. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμέ-

νον. Καὶ ἀντὶ τοῦ χερουβικοῦ, ψάλλομεν Νῦν αἱ δυνάμεις, καὶ κατὰ τάξιν ἡ θεία λειτουργία τῶν προηγιασμένων. Εἰς δὲ τὴν ὑποστροφὴν τῶν ἁγίων, Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεως. Τοῦτο γὰρ ψάλλομεν καὶ ὅλην τὴν τεσσαρακοστήν. Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε, εἶτα εἰσέρχεται ὁ στίχος τῆς τραπέζης.

Τὴν δὲ παννυχίδα ψάλλομεν συνημμένως μετὰ τοῦ ἀποδείπνου πρὸς ὥραν ια'. κρουομένου τοῦ ξύλου· ψάλλομεν δὲ κανόνα ἑνὸς τῶν προψαλλομένων ἁγίων, καὶ ἀπὸ ς'. τὸ κάθισμα αὐτοῦ, μετανοίας δὲ οὐ ποιοῦμεν διὰ τὸ ἑορτάζειν καὶ τῇ αὔριον, οἷον κἂν τύχῃ ἁγίου.

Δεῖ δὲ γινώσκειν, ὅτι ταύτῃ τῇ ἑβδομάδι, οὔτε Τριῴδιον ψάλλομεν, οὔτε κάθισμα τοῦ Τριῳδίου, ἀλλὰ μόνα τὰ ἰδιόμελα στιχηρὰ σὺν τῇ εἰρημένῃ ἀκολουθίᾳ.

Τῇ ε'. τῆς Τυροφάγου εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τοῦ ἁγίου. Ἡ στιχολογία, κάθισμα ἕν. Καθίσματα τῆς Ὀκτωήχου. Αἱ ἀναγνώσεις, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, ὁ ἀποστολικός, καὶ ἕτερος τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἄλλος ἑτέρου ἁγίου τῶν προψαλλομένων. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ καθίσματα τῶν ἁγίων. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἦχος γ'. Ἔλαμψε τῆς ἐγκρατείας, καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν (л. **126**] ἦχον τὸ δ'. καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, εἰ οὐκ ἔχει ὁ ἅγιος τῆς ἡμέρας, καταλιμπάνεται δὲ καὶ προηγιασμένη τῆς παρασκευῆς, τὰς δὲ ὥρας, ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν.

Ἑσπέρας, μετὰ στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἕτερα ἄλλου ἁγίου τῶν προψαλλομένων, ἱστῶμεν γὰρ ς'. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀλληλούια. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον, ἦχος β'. ἐκ β'. Ὁ τοῦ Κυρίου Σταυρός, καὶ μαρτυρικόν, εἰς τὸν αὐτὸν ἦχον τὸ α'. καὶ θεοτοκίον, ἡ παννυχὶς συνημμένως τῷ ἑσπερινῷ, ψάλλομεν κανόνα ἑνὸς τῶν προψαλλομένων ἁγίων.

Τῇ παρασκευῇ τῆς Τυροφάγου. Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου, οἷον κἂν τύχῃ ἁγίου. Αἱ στιχολογίαι, καθίσματα β'. καθίσματα τῆς Ὀκτωήχου. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τὸν προφήτην Ἰωνᾶν καὶ Δανιήλ, οὗ ἡ ἀρχή· Φαιδρὰ σήμερον ἡμῖν ἡ πανήγυρις, εἰς δόσεις β'. Κανόνες γ'. τῆς Ὀκτωήχου εἷς, ὁ σταυρώσιμος, καὶ ἕτερος τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἄλλος ἑτέρου ἁγίου τῶν προψαλλομένων, ἀνὰ δ'. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ καθίσματα αὐτῶν. Ἐξα-

ποστειλάριον τῆς ἡμέρας. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον, ἦχος πλ. β'. Πρὸ τοῦ σωτηρίου Σταυροῦ, β'. καὶ μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου τὸ α'. καὶ θεοτοκίον. Ἡ α'. ὥρα, χωρὶς στιχολογίας, καὶ ἡ συνήθης ἀνάγνωσις. Αἱ δὲ λοιπαὶ ὧραι, ἤγουν ἡ γ'. καὶ ς'. καὶ θ'. ὡς προεγράφη τῇ δ'. τῆς τοιαύτης ἑβδομάδος ἀπαραλλάκτως. Αἵ τε στιχολογίαι,καὶ ὧραι τῆς ἡμέρας αἱ αὐταὶ σὺν τοῖς προκειμένοις ὁμοίως καὶ τῇ λειτουργίᾳ τῶν προηγιασμένων.

Εἰς δὲ τὸ λυχνικὸν οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἐκ β'. ἦχος β'. Καθαρίσωμεν ἑαυτοὺς ἀδελφοί, καὶ τῶν ὁσίων πατέρων στιχηρὰ γ'. ἦχος δ'. πρὸς (τὸ) Δεῦτε ἅπαντες πιστοί, καὶ νεκρώσιμον ἓν, τὸ Θρηνῶ καὶ ὀδύρομαι, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰ δέ ἐστι μέγας ἅγιος, ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ τοῦ ἁγίου στιχηρὰ β'. εἶτα τὰ λοιπά, ὡς εἴρηται. Εἴσοδος. Προκείμενον, ἡ προφητεία, ἀντὶ τοῦ Κατευθυνθήτω, Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, καὶ ἁπλῶς πᾶσα ἡ ἀκολουθία, ὡς εἴρηται τῇ τετράδι.

Εἰς δὲ τὴν παννυχίδα, ψάλλομεν κανόνα νεκρώσιμον τοῦ ἑνεστῶτος ἤχου εἰς τοὺς τάφους τῶν ἀδελφῶν, ὡς σύνηθες, σὺν τοῖς ἀποδείπνοις.

Τῷ σαββάτῳ τῆς Τυροφάγου. Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος δ'. τροπάριον· Ὁ Θεὸς τῶν πατέρων, ὃ λέγομεν καὶ εἰς τὰ ἀπόδειπνα, εἰ δὲ ἔχει ὁ ἅγιος, λέγομεν καὶ τοῦ ἁγίου, εἰς τὸ Δόξα καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα β'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Καθίσματα μαρτυρικὰ τοῦ ἤχου καὶ θεοτοκίον, εἶτα τὸν Ἄμωμον μετὰ τῶν νεκρωσίμων τροπαρίων αὐτοῦ, κάθισμα νεκρώσιμον, (οδ.] ἦχος πλ. α'. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Ἀνδρέου, οὗ ἡ ἀρχή· Οὐδὲν ὡς ἀληθῶς, εἰς δόσεις γ'. Κανόνες β'. τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. καὶ τῶν ὁσίων πατέρων ἡμῶν εἰς η'. ποίημα τοῦ κυροῦ Θεοδώρου τοῦ Στουδίτου, ἦχος πλ. δ'. λέγόμεν δὲ καὶ τὴν β'. ᾠδήν, πλὴν οὐ στιχολογοῦμεν αὐτήν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῶν ὁσίων. Εἰ δὲ ἔχει ὁ ἅγιος, λέγομεν αὐτὸ ἀπὸ γ'. Ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ γ'. μαρτυρικὰ τοῦ ἤχου καὶ τὰ γ'. τῶν ἁγίων πατέρων, ἃ καὶ τῇ ἑσπέρᾳ ψάλλομεν, πρὸς τὸ Δεῦτε ἅπαντες πιστοί, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, τὸ μαρτυρικὸν τοῦ στίχου, καὶ β'. νεκρώσιμα εἰς τὸν αὐτὸν ἦχον τῆς Ὀκτωήχου καὶ θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τῶν ὁσίων ἡ δ'. Τροπάριον τῶν ὁσίων καὶ θεοτοκίον. Προκείμενον, ἦχος βαρύς· Καυχήσονται ὅσιοι, στίχος· Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, τὰ τῆς εἰρήνης διώκετε. Ἀλληλούια, ἦχος δ'. Ἐκέκραξαν οἱ δίκαιοι. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν. Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον.

Κυριακῇ τῆς Τυροφάγου. Τῷ σαββάτῳ ἑσπέρας, ἡ στιχολογία, ὡς σύνηθες, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. δευτεροῦντες τὸ α'. καὶ τῆς κυριακῆς ἰδιόμελα γ'. δευτεροῦντες τὸ α'. ἦχος πλ. β'. Ἥλιος ἀκτῖνας ἔδυσεν, β'. Ἐξεβλήθη Ἀδὰμ τοῦ παραδείσου. Ἐκάθισεν Ἀδάμ. Δόξα καὶ νῦν τὸ α'. θεοτοκίον τοῦ ἤχου. Εἰ δὲ εἴη μέγας ἅγιος, γ'. μὲν ἀναστάσιμα καὶ γ'. τῆς κυριακῆς ἐφ' ἅπαξ καὶ β'. τοῦ ἁγίου, καὶ τὸ θεοτοκίον, ὡς εἴρηται. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον ἅπαξ, καὶ β'. ἰδιόμελα τῆς κυριακῆς, ἦχος πλ. α'. Οἴμοι ὁ Ἀδάμ. Τὸ στάδιον τῶν ἀρετῶν. Δόξα καὶ νῦν, θεοτοκίον τὸ β'. Ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, τὸ ἀναστάσιμον.

Εἰς τὴν παννυχίδα, τὸν κανόνα τῆς Ὀκτωήχου εἰς ς'. καὶ ἕτερον ἑνὸς τῶν προψαλλομένων ἁγίων. Εἰ δὲ οὐκ ἔστιν ὁ ἅγιος τῆς ἡμέρας ἑορταζόμενος, ψάλλομεν αὐτόν. Ἀπὸ γ'. κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Μετὰ τὴν παννυχίδα, ἡ ἐν τῷ Πραξαποστόλῳ ἀνάγνωσις.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα, τοῦ ἁγίου, εἰ ἔχει, καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, ὡς σύνηθες. Καθίσματα ἀναστάσιμα. Αἱ ἀναγνώσεις ἐκ τοῦ προκειμένου βιβλίου. Μετὰ τὸν Ἄμωμον ἡ ὑπακοὴ τοῦ ἤχου, καὶ ἀνάγνωσις· λόγος τοῦ ἁγίου Βασιλείου εἰς τὰ Ἠθικὰ περὶ νηστείας, οὗ ἡ ἀρχή· Σαλπίσατε φησί. Οἱ ἀναβαθμοί, (σ. **127**] τὸ προκείμενον τοῦ ἤχου, τὸ Πᾶσα πνοή, καὶ τὸ ἀναστάσιμον εὐαγγέλιον, Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν'. Κανόνες γ'. τῆς Ὀκτωήχου οἱ β'. εἰς η'. καὶ ὁ τῆς κυριακῆς, εἰς ς'. ἦχος πλ. β'. εἰ δὲ μέγας ἅγιος, τὸν ἀναστάσιμον εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. καὶ τῆς κυριακῆς εἰς ς'. Ἀπὸ γ'. ᾠδῆς, τὸ κάθισμα τοῦ ἁγίου, εἰ δὲ οὐ ψάλλομεν ἅγιον, λέγομεν κατανυκτικόν, ἦχος πλ. β'. Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, καὶ θεοτοκίον. Ἀνάγνωσις· λόγος β'. περὶ νηστείας τοῦ μεγάλου Βασιλείου, οὗ ἡ ἀρχή· Παρακαλεῖτε. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς κυριακῆς, ἦχος πλ. β'. Τῆς σοφίας ὁδηγέ. Καὶ εἰ ἐστὶ ταχύ, ἀνάγνωσις· λόγος κ'. τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον· Ὅταν

δὲ νηστεύητε, μέχρι τοῦ Ἠθικοῦ. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα, καὶ ἐν τῷ Τριῴδια ἕτερα β΄. ἦχος πλ. β΄. πρὸς τὸ Ὅλην ἀποθέμενοι, καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος ὁ αὐτός· Ἔφθασε καιρός, Δόξα τὸ ἑωθινὸν τοῦ εὐαγγελίου, ἢ τὸ τοῦ ἁγίου ἐὰν ἔχῃ, καὶ νῦν Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον. Ἡ α΄. ὥρα καὶ ἀνάγνωσις μετὰ τὸ τέλος αὐτῆς. Κατήχησις τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου. Καθ' ἑκάστην γὰρ κυριακὴν ἀπὸ τῆς σήμερον, καὶ τετράδα ὁμοίως καὶ παρασκευήν, κατηχήσεις τοῦ αὐτοῦ ἀναγινώσκομεν εἰς τὴν α΄. ὥραν· ταύτας δὲ ἄλλος οὐκ ἀναγινώσκει, εἰ μὴ ὁ προεστώς, ἢ ἀπόντος αὐτοῦ, ὁ οἰκονόμος, εἰ δὲ λείπουσι καὶ ἀμφότεροι, ὁ ἐκκλησιάρχης, πλὴν ἱσταμένων πάντων.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι, Δόξα, τὸ ἀναστάσιμον τροπάριον, καὶ νῦν, τὸ κοντάκιον τῆς κυριακῆς. Προκείμενον, ἦχος πλ. δ΄. Εὔξασθε καὶ ἀπόδοτε, στίχος· Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, νῦν ἐγγύτερον. Ἀλληλούια, ἦχος πλ. δ΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις. Κοινωνικόν· Αἰνεῖτε.

Τῇ κυριακῇ, ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ ἤχου δ΄. καὶ β΄. τοῦ Τριῳδίου τῆς β΄. ἦχος β΄. πρὸς τὸ Ἄγγελος μὲν τὸ χαῖρε, Δόξα καὶ νῦν, Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τὸ γὰρ ἕτερον στιχηρὸν τὸ προσόμοιον τοῦ κυροῦ Θεοδώρου τοῦ Στουδίτου καταλιμπάνομεν. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν· καὶ ἐν πάσαις δὲ ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς, εἴσοδος γίνεται εἰς τὸ Φῶς ἱλαρόν, εἶτα προκείμενον, ἦχος πλ. δ΄. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου, στίχος· Ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μου, στίχος β΄· Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος δ΄. Ἔλαμψεν ἡ χάρις σου, Κύριε. Μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον τὸ α΄. καὶ θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά.

Παννυχίδα δὲ ἀφ' ἑσπέρας οὐ ψάλλομεν διὰ τὴν παράκλησιν, (οϐ.) ἀλλ' οὐδὲ εἰς τὸ ἀπόδειπνον ποιοῦμεν μετανοίας, ψάλλομεν δὲ λιτῶς ἔξω, ὡς σύνηθες.

Τῇ β΄. τῆς α΄. ἑβδομάδος εἰς τὸν ὄρθρον, ἐγειρόμεθα, ὡς καθ' ἡμέραν ὥρᾳ η΄. διὰ τὴν παράκλησιν. Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Ἡ στιχολογία, καθίσματα β΄. ἀπὸ τοῦ α΄. καθίσματος, κάθισμα τοῦ κυροῦ Ἰωσήφ καὶ θεοτοκίον, ἀπὸ τοῦ β΄. καθίσματος, κάθισμα τοῦ

Στουδίτου, πλὴν πάντα τὰ καθίσματα πρῶτον ὁ ψάλτης, εἶτα ὁ λαός, Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις. Ἀπὸ τῆς σήμερον ἀναγινώσκειν ἀρχόμεθα τὸν ἅγιον Ἐφραὶμ ἔν τε τοῖς ὄρθροις καὶ εἰς τὰς ὥρας· εἰς μὲν τὸν ὄρθρον ἑκάστη ἀνάγνωσις, ὡσεὶ φύλλα β΄. ἢ καὶ γ΄. εἰς δὲ τὰς ὥρας, ἓν καὶ ἥμισυ. Μετὰ τοίνυν τὴν β΄. ἀνάγνωσιν τοῦ ὄρθρου, ὁ Ν΄. καὶ εὐθὺς τὰ τῆς ἡμέρας Τριῴδια ἀργῶς καὶ μετὰ προσοχῆς, ἱστῶντες ἀεὶ στίχους(?) ιδ΄. ἀπὸ τοῦ Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα· τὸ μὲν τοῦ κυροῦ Ἰωσὴφ τριῴδιον εἰς η΄. μετὰ τοῦ εἱρμοῦ, τὸ δὲ τοῦ κυροῦ Θεοδώρου εἰς ς΄. καὶ οὕτως ποιοῦμεν πᾶσαν τὴν ἁγίαν τεσσαρακοστήν· ψάλλομεν δὲ τὰς τρεῖς ᾠδὰς μόνας, μήτε κάθισμα διαμένοντες, μήτε ἀνάγνωσιν ποιοῦντες. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον, ἦχος πλ. α΄. ἐκ β΄. Ἐλήλυθεν ἡ νηστεία. Μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου τὸ α΄. καὶ θεοτοκίον. Καὶ εὐθὺς τὴν πρώτην ὥραν συνημμένως τρίψαλμον· οὐ γὰρ διαχωρίζομεν αὐτήν, ὥς τινες, καὶ ψάλλομεν αὐτὴν μετὰ στιχολογίας ἀργῶς, εἶτα τὸ προκείμενον μετὰ ἤχου· Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου, στίχος· Τὰ ῥήματά μου ἐνώτισον, στίχος ἕτερος· Ὅτι πρὸς σὲ προσεύξομαι, Δόξα καὶ νῦν, θεοτοκίον· Τί σε καλέσωμεν, ὦ κεχαριτωμένη, καὶ εὐθὺς ἡ ἀνάγνωσις.

Δεῖ γὰρ γινώσκειν, ὅτι κατὰ πᾶσαν τὴν μεγάλην ταύτην τεσσαρακοστήν, τὰς ε΄. ἡμέρας τῆς ἑβδομάδος, μετὰ τὸ θεοτοκίον, τὸ Τί σε καλέσωμεν, εὐθὺς γίνεται ἡ ἀνάγνωσις τῆς α΄. ὥρας, τὰς δὲ λοιπὰς ἡμέρας, μετὰ τὴν εὐχὴν τῆς α΄. ὥρας· Ὁ Θεὸς ὁ αἰώνιος, πλὴν ταύτῃ τῇ ἡμέρᾳ εἰς τὰς ὥρας (οὐκ) ἀναγινώσκομεν τὸν ἅγιον Ἐφραίμ, ἀλλὰ λόγον εἰς τὸ Πανηγυρικὸν τοῦ ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου εἰς τὸν ς΄. ψαλμόν, εἰς δόσεις δ΄. πληροῦντες αὐτὸν εἰς τὴν θ΄. Μετὰ δὲ τὴν ἀνάγνωσιν, Τὰ διαβήματά μου κατεύθυνον, λιτῶς καὶ οὐ μετὰ ἤχου, ἐκ γ΄. εἶτα τὸ Τρισάγιον, Τὸ Κύριε ἐλέησον με΄. ἡ εὐχή· Ὁ ἐν παντὶ καιρῷ, μετάνοιαι ιε΄. ὡς σύνηθες, εἶτα αἱ εὐχαί· Ὁ Θεὸς ὁ αἰώνιος, καὶ τὴν ἑτέραν συνημμένως (π. 128] αὐτῇ· Ὁ ἀποστέλλων τὸ φῶς, καὶ ἀπόλυσις.

Χρὴ δὲ γινώσκειν, ὅτι πάσας τὰς ὥρας τῆς μεγάλης τεσσαρακοστῆς ἔνδοθεν τοῦ ναοῦ ψάλλομεν.

Πληρουμένης δὲ β΄. ὥρας, σημαίνει τὴν γ΄. καὶ ψάλλομεν αὐτὴν τρίψαλμον, στιχολογοῦμεν δὲ καὶ ἀναγινώσκομεν, ὡς καὶ εἰς τὴν α΄. ὥραν· ἐξίσου γὰρ καὶ τὰς ἀναγνώσεις καὶ τὰς μετανοίας ποιοῦμεν εἰς πάσας τὰς ὥρας, πλὴν τὴν ς΄. ὥραν· ἐν ταύτῃ γὰρ καὶ μόνῃ τῇ α΄. ἑβδομάδι, ἀναγινώσκομεν καὶ εἰς τὴν ς΄. ὥραν· ἐν δὲ ταῖς λοιπαῖς ἑβδο-

μάδαις (σι;) ἀντὶ τῆς ἀναγνώσεως, ἀναγινώσκεται ἡ τῆς ἡμέρας προφητεία, καὶ ἀνάγνωσις οὐ γίνεται. Ὁμοίως καὶ τὰς παρασκευὰς εἰς τὴν θ'. ὥραν οὐκ ἀναγινώσκομεν, τὰς δὲ λοιπὰς δ'. τῆς ἑβδομάδος ἡμέρας, ἀναγινώσκομεν καὶ εἰς τὴν θ'. ὥραν· τὰ δὲ προκείμενα πάντων (sic) τῶν ὡρῶν τῆς μεγάλης τεσσαρακοστῆς ψάλλονται μετὰ ἤχου, ὁμοίως δὲ καὶ τὰ θεοτοκία αὐτῶν, μετὰ δὲ τὸ τέλος τοῦ θεοτοκίου, εὐθὺς γίνεται ἡ ἀνάγνωσις, εἶτα Κύριος ὁ Θεὸς εὐλογητός, τὸ Τρισάγιον, ἡ εὐχή· Ὁ ἐν παντὶ καιρῷ, αἱ συνήθεις ιε'. μετάνοιαι, ἡ εὐχὴ τῆς γ'. ὥρας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ ἀπόλυσις. Τὰ δὲ μεσώρια ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν.

Δεῖ δὲ εἰδέναι καὶ τοῦτο, ὅτι αἱ στιχολογίαι τῶν ὡρῶν, ψάλλονται κατὰ τῶν ἤχων τῶν (sic) προκειμένων αὐτῶν, ἤγουν ἐν μὲν τῇ α'. ὥρᾳ, ἡ α'. καταβασία τῶν ἀλληλουαρίων τοῦ πλ. β'. ἤχου, ἐν δὲ τῇ γ'. ἡ β'. καταβασία τοῦ αὐτοῦ ἤχου, ἐν δὲ τῇ ἕκτῃ, ἡ α'. καταβασία τοῦ β'. ἤχου, ἐν δὲ τῇ θ'. ὥρᾳ, ἡ α'. καταβασία τοῦ πλ. δ'. ἤχου, ἐν δὲ τῷ ὄρθρῳ εἰς τὰ γ'. καθίσματα τῶν στιχολογιῶν, λέγομεν τὰ θ'. ἀλληλουάρια τοῦ ἐνεστῶτος ἤχου, τὸ δὲ ψαλτήριον ἀκολούθως καθ' εἱρμὸν ἐξ ἀρχῆς μέχρι τέλους, πληροῦμεν δὲ αὐτὸ β'. τὴν ἑβδομάδα.

Ἀρχὴ δὲ ε'. ὥρας σημαίνει τὴν ς'. καὶ μετὰ τὸ τρίψαλμον καὶ τὴν στιχολογίαν, προκείμενον· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ, καὶ οἱ ἐπ' αὐτῷ στίχοι, Δόξα καὶ νῦν θεοτοκίον· Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, καὶ εὐθὺς λέγεται ὑπὸ πάντων, τὸ τῆς ἡμέρας τροπάριον, εἶτα ὁ ἀναγνώστης, Δόξα καὶ νῦν, καὶ λέγει ὁ λαὸς τὸ τέλος τοῦ τροπαρίου, καὶ πάλιν τὸ αὐτὸ τροπάριον, καὶ εὐθὺς τὸ προκείμενον τῆς προφητείας, καὶ τὴν προφητείαν, εἶτα τὸ δεύτερον προκείμενον, καὶ εὐθὺς συνημμένως ἡ ἀνάγνωσις, ὡς γὰρ εἴρηται, ταύτῃ, τῇ α'. ἑβδομάδι, ἀναγινώσκομεν καὶ εἰς τὴν ς'. ὥραν τὰς δὲ λοιπὰς ἑβδομάδας οὐχί· μετὰ δὲ τὴν ἀνάγνωσιν, Ταχὺ προκαταλαβέτωσαν, τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον με'. μετάνοιαι ιε'. ἡ εὐχὴ τῆς ς'. ὥρας καὶ ἀπόλυσις. (οϐ.]

Ἀρχὴ δὲ τῆς ζ'. ὥρας σημαίνει τὴν θ'. καὶ πάλιν συνερχόμενοι ψάλλομεν καὶ αὐτὴν τρίψαλμον, ἡ στιχολογία, τὸ προκείμενον· Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ, Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ. Παρθένου, καὶ εὐθὺς ἡ ἀνάγνωσις· ἀναγινωσκόντων δέ, ἅπτονται αἱ κανδύλαι τοῦ ναοῦ. Μετὰ δὲ τὸ τέλος τῆς ἀναγνώσεως, Μὴ δὴ παραδῴης, Τρισάγιον, τὸ Κύριε ἐλέησον με'. εὐχή· Ὁ ἐν παντὶ καιρῷ, αἱ ιε'. μετάνοιαι, καὶ ἡ εὐχὴ τῆς θ'. καὶ εὐθὺς στιχολογοῦμεν τοὺς μακαρισμούς, μετὰ ἤχου. Ἅμα δὲ τῷ ἄρξασθαι τῶν μακαρισμῶν, σημαίνει τὸν μέγα σημαντῆρα τῆς ἑσπέρας,

καὶ μετὰ τὸ τέλος τῶν τυπικῶν, σημαίνει τὸν μικρόν· εἰ μὴ γὰρ τὰ τυπικὰ τελειώσωμεν, οὐ σημαίνει τὸν μικρὸν σημαντῆρα. Διελθόντος δὲ τοῦ θυμιατοῦ, ψαλλόντων ἡμῶν τὰ τυπικὰ ἅμα τῷ πληρῶσαι αὐτά, ἀρχόμεθα τοῦ ἑσπερινοῦ.

Δεῖ δὲ γινώσκειν καὶ τοῦτο, ὅτι ταύτῃ καὶ μόνῃ τῇ ἡμέρᾳ οὐ λειτουργοῦμεν. Ψάλλομεν οὖν ἐν τοῖς τυπικοῖς καὶ τὸν ψαλμόν, τὸ Εὐλογήσω τὸν Κύριον. Ὅταν δὲ λειτουργοῦμεν, ψάλλομεν αὐτὸν ἐν τῷ τέλει τῆς λειτουργίας.

Χρὴ οὖν εἰδέναι, ὅτι ἐπὰν οὐκ ἔχει εἴσοδον ἡ λειτουργίαν ὁ ἱερεύς, εἰς πάντα τοῦ ὅλου χρόνου τὰ λυχνικὰ καὶ τὰς λοιπὰς ἀκολουθίας τῆς ἐκκλησίας ἀρχόμεθα τῆς ἀκολουθίας ἀπὸ Τρισαγίου καὶ λέγομεν τὸ Δεῦτε προσκυνήσωμεν, ὃ καὶ ταύτῃ τῇ ἑσπέρᾳ ποιοῦμεν καὶ πάντα τὸν χρόνον. Ἐπὰν δὲ ἔχῃ εἴσοδον ὁ ἱερεύς, ὡς πάντα τὰ σάββατα καὶ πάσας τὰς ἑορτὰς ὁμοίως καὶ πᾶσαν τὴν μεγάλην τεσσαρακοστήν, οὐκ ἀρχόμεθα ἀπὸ Τρισαγίου, ἀλλ' εὐθὺς Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. καὶ τὸν ψαλμόν, τεκμαιρόμεθα. δὲ τοῦτο, ἐκ τοῦ ἐνδεδύσθαι τὸ φελώνιον τὸν ἱερέα, ὁμοίως δὲ καὶ τὸν διάκονον τὸ στιχάριον καὶ θυμιᾶν δέ, ἢ οὕτως εἶναι αὐτοὺς γυμνούς, ὡς ἔχουσι καὶ αὐτοστόλους. Τῇ β'. τοίνυν τῆς α'. ἑβδομάδος ἑσπέρας στιχολογοῦμεν τὰ Πρὸς Κύριον, καὶ λειτουργία οὐ γίνεται ἐν ταύτῃ τῇ ἡμέρᾳ καὶ μόνῃ. Ἀπὸ δὲ τῆς γ'. καὶ δι' ὅλης τῆς μεγάλης τεσσαρακοστῆς, οὐ στιχολογοῦμεν ἐν τοῖς ἑσπερινοῖς, ἐκτὸς τῆς τοῦ σαββάτου ἑσπέρας, λειτουργοῦμεν δὲ καθ' ἑκάστην ἡμέραν τὴν θείαν λειτουργίαν τῶν προηγιασμένων.

Ταύτῃ τοιγαροῦν τῇ β'. ἑσπέρας, στιχολογοῦμεν, ὡς εἴρηται, τὰ Πρὸς Κύριον, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς γ'. προσόμοια ἐν τῷ Τριῳδίῳ· δύο μὲν τοῦ κυροῦ Ἰωσήφ, ἦχος β'. πρὸς τὸ Πάντας ὑπερβάλλω, ἓν δὲ τοῦ κυροῦ Θεοδώρου, ἦχος πλ. α'. τὰ γ'. ἐκ β'. Δόξα καὶ νῦν θεοτοκίον. Εἶτα τὸ τοῦ προφήτου προκείμενον, καὶ αἱ προφητεῖαι, ἔπειτα τὸ Καταξίωσον. (π. 129] Καὶ εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας ἐκ β'. ἦχος γ'. Νηστεύσωμεν νηστείαν δεκτήν, μαρτυρικόν, εἰς τὸν αὐτὸν ἦχον τὸ β'. Δόξα καὶ νῦν θεοτοκίον. Τρισάγιον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά, εἶτα αἱ τρεῖς ἀργαὶ μετάνοιαι, ἡ εὐχὴ τοῦ ἑσπερινοῦ καὶ ἀπόλυσις.

Μέσον δὲ δεκάτης ὥρας, σημαίνει τὸ ἀπόδειπνον καὶ ψάλλομεν αὐτὸ οὕτως: Τρισάγιον, τὸ ἑξάψαλμον, ἔπειτα τὸ Μεθ' ἡμῶν ὁ Θεὸς, μετὰ ἤχου· ἔνδοθεν γὰρ τοῦ ναοῦ ψάλλομεν καὶ αὐτό, ὡς καὶ τὰ λοιπά, καὶ μετὰ ἤχου· τροπάριον· Τῶν ἀοράτων ἐχθρῶν μου, Δόξα, Ὡς φοβερὰ ἡ

χρίσις σου, Κύριε, καὶ νῦν, Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου· καὶ ταῦτα μετὰ ἤχου. Κύριε ἐλέησον με'. Ὁ ἐν παντὶ καιρῷ, αἱ συνήθεις ιε'. μετάνοιαι, καὶ ἡ εὐχή· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς, καὶ εὐθὺς τὸν Ν'. καὶ κανόνα τὸν συνήθη τῆς παννυχίδος τοῦ ἤχου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικὸν τοῦ ἤχου, ἀπὸ ς'. κοντάκιον τῆς Θεοτόκου ἐκ τῶν συνήθων. Καὶ μετὰ τὸ τέλος τοῦ κανόνος, τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, σχολαιότερον καὶ προσεκτικότερον, εἶτα Τρισάγιον, καὶ ἐκτενής, καὶ εὐθὺς τὸ Κύριε παντοκράτορ, καὶ συνημμένως ἡ ὑπὲρ τῶν ὁμογενῶν εὐχή, τὸ Τρισάγιον τῶν κεκοιμημένων ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ ἡ ὑπὲρ αὐτῶν εὐχὴ καὶ ἀπόλυσις, καὶ γίνεται ἡ συνήθης μετάνοια καὶ συγχώρησις, τὴν δὲ λοιπὴν ἀκολουθίαν, ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν. Σήμερον γὰρ ἄγομεν ἀργίαν τῆς τραπέζης.

Τῇ γ'. τῆς α'. ἑβδομάδος. Ἀπὸ ταύτης ἐγειρόμεθα καθ' ἑκάστην ἀρχὴν ὥρας ς'. καὶ στιχολογοῦμεν καθίσματα γ'. καὶ ἐν μὲν τῇ α'. λέγομεν κάθισμα τοῦ κυροῦ Ἰωσήφ. Πάντα δὲ τὰ καθίσματα πρῶτον ὁ ψάλτης, ἔπειτα ὁ λαός, Δόξα καὶ νῦν θεοτοκίον. Ἀνάγνωσις, καθ' ἓν κάθισμα, ἐκ τοῦ ἁγίου Ἐφραίμ. Εἶτα ὁ Ν'. καὶ εὐθὺς τὸ τριῴδιον συνημμένως αἱ γ'. ᾠδαὶ τοῦ κυροῦ Ἰωσήφ, η'. καὶ τοῦ κυροῦ Θεοδώρου, εἰς ς'. στιχολογοῦμεν δὲ καὶ τὴν β'. ᾠδήν. Ἡ δὲ ἔναρξις γίνεται τὴν τεσσαρακοστὴν οὕτως: οὐκ ἄρχεται τοῦ τριῴδίου ὁ κατὰ τὴν ἡμέραν ἐναρξάμενος χορός, ἀλλ' ὁ ἄλλος· ἐκεῖ γαρ ἐνήρξατο τοῦ γ'. καθίσματος τὴν στιχολογίαν, ἄρχεται τοίνυν τοῦ τριῴδίου ὁ ἕτερος, τὴν δὲ η'. ᾠδὴν ὁ κατὰ τὴν ἡμέραν ἐναρξάμενος χορός, καὶ τὴν θ'. πάλιν ὁ ἄλλος· τοὺς δὲ αἴνους, ὁ ἐναρξάμενος, καὶ τὴν στιχολογίαν τῆς α'. ὥρας πάλιν ὁ ἄλλος, τὴν δὲ στιχολογίαν τῆς γ'. ὥρας ὁ ἐναρξάμενος, καὶ τῆς ς'. ὥρας ὁ ἄλλος· τὴν δὲ θ'. πάλιν ὁ ἐναρξάμενος, καὶ γίνονται ἴσως πᾶσαι αἱ ἐνάρξεις καὶ ἀταράχως. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος γ'. Ἀρξώμεθα λαοί, ἐκ β'. καὶ μαρτυρικὸν! (**οδ.**] τοῦ αὐτοῦ ἤχου τὸ β'. καὶ θεοτοκίον. Ἀπὸ γ'. ἡ α'. ὥρα μετὰ καὶ στιχολογίας. Προκείμενον· Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου, μετὰ τῶν στίχων αὐτοῦ, Δόξα καὶ νῦν, Τί σε καλέσωμεν, καὶ εὐθὺς ἡ ἀνάγνωσις. Ἀπὸ τῆς σήμερον γὰρ ἀρχόμεθα ἀναγινώσκειν τὸν ἅγιον Ἰωάννην τῆς Κλίμακος, ἀρχόμενοι ἐκ τοῦ α'. αὐτοῦ λόγου· εἰς τὴν α'. δὲ ὥραν μόνον καὶ εἰς τὴν τράπεζαν, τὰς δὲ λοιπὰς ὥρας, ἤγουν γ'. ς'. καὶ θ'. ἀναγινώσκομεν τὸν ἅγιον Ἐφραίμ, ὡς εἴρηται. Ὁμοίως δὲ καὶ εἰς τὴν α'. ὥραν τετράδι καὶ παρασκευῇ καὶ κυριακῇ ἀνὰ πᾶσαν τὴν τεσσαρακοστὴν ἀναγινώσκει ὁ προεστὼς τὰς κατηχήσεις τοῦ ἁγίου Θεοδώρου

τοῦ Στουδίτου, τὰς δὲ λοιπὰς ἡμέρας εἰς τὴν α'. ὥραν ἐκ τῆς Κλίμακος, ὡσεὶ φύλλα β'. ὁμοίως δὲ καὶ καθ' ἑκάστην εἰς τὴν τράπεζαν. Ἡ δὲ ἀκολουθία τῶν ὡρῶν, ὡς καὶ τῇ β'.

Δεῖ γινώσκειν, ὅτι, μετὰ τὸ ἐξελθεῖν ἡμᾶς ἐκ τῆς τοῦ ὄρθρου ἀπολύσεως, ψάλλομεν ἐν ταῖς κέλλαις ἡμῶν τοὺς ς'. ψαλμούς, ὡς σύνηθες, καὶ καθ' ἑκάστην ὥραν, μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς ἐκκλησίας, ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν τὰ μεσώρια τῶν ὡρῶν.

Τῇ γ'. ἑσπέρας, εἰς τὸ λυχνικόν. Ἀπὸ ταύτης οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δύο προσόμοια τοῦ κυροῦ Ἰωσήφ, ἦχος β'. πρὸς τὸ Ὡς ὡράθης, Χριστέ, δευτεροῦντες τὸ α'. εἶτα τὸ τοῦ κυροῦ Θεοδώρου, ἅπαξ. Εἰς δὲ τὸν στίχον, τὸ Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐνούμενοι οἱ χοροὶ ἐν τῷ μέσῳ ψάλλουσι τὸ ἰδιόμελον τῆς ἡμέρας, ἐκ β'. ἦχος πλ. δ'. Νηστείαν οὐκ ἀποχὴν βρωμάτων μόνον, Δόξα, μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου τὸ γ'. καὶ θεοτοκίον, καὶ γίνεται εἴσοδος εἰς τὸ Φῶς ἱλαρόν, προηγουμένου τοῦ διακόνου μετὰ θυμιατοῦ καὶ μανουαλίων τῆς εἰσόδου, καὶ αὐτοῦ τοῦ διακόνου ἐκφωνοῦντος τὸ Φῶς ἱλαρόν. Μετὰ δὲ τὴν ἐν τῷ θυσιαστηρίῳ εἰσέλευσιν, λέγει ὁ διάκονος· Πρόσχωμεν, ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύματί σου. Ὁ διάκονος· Σοφία. Καὶ εὐθὺς ὁ ψάλτης ψαλμὸς τῷ Δαβὶδ καὶ τὸ α'. ἀνάγνωσμα. Ψαλλομένου δὲ τοῦ β'. προκειμένου, ἀνάψας τὴν λαμπάδα ὁ παρεκκλησιάρχης τίθησιν αὐτὴν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἀνοίγων αὐτάς, καὶ τοῦ προκειμένου τρισσευομένου, ἐξέρχεται ὁ διάκονος διὰ τοῦ ἀριστεροῦ μέρους, κατέχων τὸν θυμιατόν, καὶ δόντος τοῦ ἱερέως ἔσωθεν· Σοφία, προσφωνεῖ ὁ διάκονος, ἀναλαβόμενος καὶ τὴν λαμπάδα ἔμπροσθεν (**л. 130**] τῶν ἁγίων θυρῶν, τὸ Φῶς Χριστοῦ φαίνει πᾶσι, καὶ εἰσέρχεται κατέχων αὐτά, καὶ εὐθὺς ἡ παροιμία. Καὶ μετὰ τὸ τέλος, ὁ διάκονος· Σοφία ὀρθοί, πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Καὶ εὐθὺς ὁ ψάλτης· Κατευθυνθήτω, καὶ καθεξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων. Ἀντὶ δὲ τοῦ χερουβικοῦ λέγομεν τὸ Νῦν αἱ δυνάμεις, καὶ κοινωνικόν· Γεύσασθε, καὶ τὸ Πληρωθήτω· ἀείποτε γὰρ αὐτὸ λέγομεν, καὶ τὸ Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Αὕτη ἡ τάξις τελεῖται πᾶσαν τὴν ἁγίαν τεσσαρακοστὴν μέχρι τῆς μεγάλης δ'. Εἶτα κρουομένου τοῦ ξύλου, κατέρχονται οἱ βουλόμενοι εἰς τὴν τράπεζαν, εἶτα τὰ ἀπόδειπνα, ὁμοίως τῇ χθές, ἔνδοθεν τοῦ ναοῦ, ὅ τε κανὼν καὶ τὰ λοιπά.

Τῇ δ'. ὡσαύτως σημαίνει ἀρχὴ ὥρας ς'. Εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι τὰ γ'. καθίσματα, ὁ Ἄμω-

μος μετὰ τῶν ἀλληλουϊαρίων τοῦ ἤχου, ὁ πολυέλεος, καὶ τὸ Εὐλογητὸς Κύριος ὁ Θεός μου· τὰ γὰρ πρὸς Κύριον, ἐψάλλομεν τῇ β΄. ἑσπέρας. Αἱ ἀναγνώσεις ἐκ τοῦ ἁγίου Ἐφραίμ. Τὰ τριῴδια, ὡς εἴρηται. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον, ἦχος πλ. δ΄. ἐκ β΄. Νηστείᾳ τῶν λογισμῶν τὰ πάθη. Μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον τὸ γ΄. καὶ θεοτοκίον. Εἰς δὲ τὴν α΄. ὥραν, πάλιν ἀρχόμεθα τοῦ ψαλτῆρος, ἀπ' αὐτοῦ τοῦ Μακάριος ἀνήρ. Ἀνάγνωσις, ὁ προεστὼς τὴν κατήχησιν, καὶ καθεξῆς πᾶσα ἡ ἀκολουθία, ὡς εἴρηται.

Ἑσπέρας δέ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὰ στιχηρὰ τὰ προσόμοια τῆς ε΄. τοῦ κυροῦ Ἰωσήφ, β΄. δευτεροῦντες τὸ α΄. τὸ δὲ τοῦ κυροῦ Θεοδώρου ἅπαξ, εἶτα ἑνούμενοι ἀμφότεροι οἱ χοροί, ὡς εἴρηται, εἰς τὸ Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἐκ β΄. ἦχος πλ. δ΄. Νηστεύοντες ἀδελφοί, Δόξα μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου τὸ δ΄. καὶ θεοτοκίον. Ἡ εἴσοδος, καὶ ἡ λοιπὴ τάξις ἀκολούθως, ὡς εἴρηται, ὁμοίως καὶ ὁ κανὼν τῆς ἡμέρας εἰς τὰ ἀπόδειπνα.

Τῇ ε΄. εἰς τὸν ὄρθρον, ἐγειρόμεθα τῇ αὐτῇ ὥρᾳ. Αἱ στιχολογίαι, καθίσματα γ΄. τὰ καθίσματα τοῦ τε κυροῦ Ἰωσὴφ καὶ τοῦ κυροῦ Θεοδώρου, καὶ μαρτυρικὸν τοῦ ἤχου, τὰ τριῴδια, αἱ ἀναγνώσεις. Εἰς τοὺς στίχους τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. καὶ μαρτυρικὸν καὶ θεοτοκίον. Εἰς τὰς ὥρας, ὡς εἴρηται, αἵ τε στιχολογίαι, αἱ ἀναγνώσεις, καὶ πᾶσα ἡ ἀκολουθία αὐτῶν.

Ἐν τῷ λυχνικῷ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὰ β΄. προσόμοια τῆς παρασκευῆς τοῦ κυροῦ Ἰωσήφ, δευτεροῦντες τὸ α΄. ἦχος β΄. πρὸς τὸ Τὸν φωτισμὸν ἡμῶν, καὶ τὸ ἓν τοῦ κυροῦ Θεοδώρου, εἶτα ἑνούμενοι, ὡς εἴρηται, ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος δ΄. Οἱ ποθοῦντες τοῦ θείου Πάσχα, ἐκ β΄. μαρτυρικὸν τὸ α΄. καὶ θεοτοκίον, καὶ ἡ λοιπὴ ἀκολουθία. (οδ.]

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, ὁμοίως εἰς τὰς ὥρας καὶ εἰς τὴν λοιπὴν πᾶσαν ἀκολουθίαν, ὡς εἴρηται, τὴν δὲ θ΄. ὥραν σημαίνει παρὰ τὰς ἄλλας ἡμέρας ταχύτερον καὶ οὐδὲ ἀναγινώσκομεν· πᾶσας γὰρ τὰς παρασκευὰς εἰς τὴν θ΄. ὥραν, οὐκ ἀναγινώσκομεν, ἀλλὰ στιχολογούντων ἡμῶν, ἅπτονται αἱ κανδύλαι, καὶ ἑτοιμάζονται οἱ ἱερεῖς, καὶ μετὰ τὸ προκείμενον καὶ ξτὰ λοιπά, εὐθὺς οἱ μακαρισμοὶ καὶ ἀρχόμεθα τοῦ ἑσπερινοῦ.

Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος πλ. δ΄. Δεῦτε πιστοί, ἐπερ-

γασώμεθα οὐχ ἡνωμένως, ἀλλ' ἕκαστος ὁ χορὸς πρὸς μίαν, εἶτα στιχολογοῦμεν γ'. τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, δευτεροῦντες τὸ α'. μαρτυρικὸν γὰρ τοῦ ἤχου οὐ ψάλλομεν ἀφ' ἑσπέρας· Δόξα, ἰδιόμελον τοῦ ἁγίου, ἦχος πλ. β'. Ἁγιωσύνης δωρεά, καὶ νῦν, θεοτοκίον. Εἴσοδος, καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων.

Εἰς δὲ τὸ ἀπόδειπνον, τὸ Μεθ' ἡμῶν ὁ Θεός, λιτῶς, ψάλλομεν δὲ αὐτὸ ἔνδοθεν τοῦ ναοῦ. Τροπάριον τοῦ ἁγίου, ἦχος β'. Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, τὸ Κύριε ἐλέησον μ'. καὶ γ'. προσκυνήσεις διὰ τὸν ἅγιον· τὰς γὰρ λοιπὰς παρασκευὰς μετανοίας ποιοῦμεν. Εἶτα ὁ Ν'. καὶ κανὼν τοῦ ἁγίου, ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας. Τὸν θεῖον ἀγῶνα, μάρτυς Χριστοῦ. Καὶ ἡ λοιπὴ ἀκολουθία καὶ ἀπόλυσις. Εἰ δὲ τύχῃ μέγας ἅγιος, ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον, ἐκ β'. καὶ τὰ γ'. τοῦ ἑτέρου ἁγίου ἕτερα γ'. Δόξα τὸ προειρημένον, ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν θεοτοκίον.

Δεῖ γινώσκειν, ὅτι ταύτην τὴν ἑορτὴν τοῦ ἁγίου Θεοδώρου, ἤτοι τῷ α'. σαββάτῳ τῶν ἁγίων νηστειῶν, ἐννόμως παρελάβομεν παρὰ τοῦ προεστῶτος ἡμῶν ἁγίου πατρὸς κυροῦ Τιμοθέου ποιεῖν παράκλησιν ἀεὶ τὸν κατὰ καιρὸν προεστῶτα τῆς ποίμνης αὐτοῦ τοῖς ἀδελφοῖς, οἵαν ἡ χρεία ἀπαιτεῖ καὶ τὸ εὔλογον· ἐν τούτῳ γὰρ καὶ οἴνου τῇ παρασκευῇ ταύτῃ μεταλαμβάνομεν, ὁμοίως καὶ πιστογραύτου καὶ ἐριβινθοζώμου ἄνευ ἐλαίου, τῷ δὲ σαββάτῳ μεταλαμβάνομεν καὶ ἐλαίου, οὐ μέντοι γε τῶν λαχάνων καὶ ὀσπρίων ἐκτός· ἐν τούτοις γὰρ μόνοις ἑορταστέον παρέδωκε καὶ παρήγγειλε, καὶ οὐκ ἐν ὄψοις καὶ καρυκεύμασι.

Τῷ σαββάτῳ τοῦ ἁγίου Θεοδώρου εἰς τὸν ὄρθρον ἐγειρόμεθα διὰ τὸν κόπον τῆς ἑβδομάδος μικρὸν βραδύτερον, καὶ ψάλλομεν Θεὸς Κύριος, ἦχος β'. τροπάριον τοῦ ἁγίου· Μεγάλα τὰ τῆς πίστεως, καὶ θεοτοκίον. Εἰ δέ ἐστι καὶ ἕτερος ἅγιος ἑορταζόμενος, λέγομεν καὶ τὸ αὐτοῦ τροπάριον· εἰς τὸ Δόξα καὶ νῦν, θεοτοκίον. Ἡ α'. στιχολογία· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, εἶτα μετὰ τὸ τέλος αὐτῆς, καθίσματα (**π. 131**]. μαρτυρικὸν τοῦ ἤχου. Ἀνάγνωσις, ἐγκώμιον τοῦ Νύσσης εἰς τὸν ἅγιον μάρτυρα Θεόδωρον, οὗ ἡ ἀρχή· Ἡμεῖς ὁ τοῦ Χριστοῦ λαός, εἰς δόσιν μίαν. Εἶτα ἡ β'. στιχολογία, ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου, καὶ κάθισμα τοῦ ἑτέρου ἁγίου τῆς ἡμέρας. Ἀνάγνωσις, λόγος Νεκταρίου εἰς τὸ θαῦμα τοῦ ἁγίου Θεοδώρου, οὗ ἡ ἀρχή· Ὡς πολὺ τὸ πλῆθος, εἰς δόσεις δύο. Εἰ δὲ τύχῃ ἑτέρου ἁγίου μνήμη μεγάλου καὶ ἔχει βίον, ἢ μαρτύριον, ἢ καὶ ἐὰν τύχῃ αὐτὴ ἡ μνήμη τοῦ ἁγίου Θεο-

δώρου, καταλιμπάνεται ὁ λόγος τοῦ Νύσσης, καὶ ἀναγινώσκομεν τοῦ ἁγίου τῆς ἡμέρας, ἢ καὶ τὸ τοῦ ἁγίου Θεοδώρου μαρτύριον. Κανόνες γ'. ὁ τοῦ ἁγίου Θεοδώρου, ἦχος πλ. δ'. Ἰωάννου μοναχοῦ· Ὑγρὰν διοδεύσας. Θεοῦ σε Θεόδωρε ἐραστήν, εἰς ς'. καὶ β'. τροπάρια τοῦ κανόνος τοῦ ἑτέρου ἁγίου, καὶ τὸν νεκρώσιμον τοῦ ἤχου εἰς δ'. Εἰ δὲ εἴη μέγας ὁ ἅγιος, τοὺς γ'. ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου Θεοδώρου, Δόξα καὶ νῦν, θεοτοκίον· ἀπὸ ς'. τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ὁ οὐρανόν. Εἰς τοὺς αἴνους τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ γ'. τοῦ ἁγίου Θεοδώρου, ἦχος β'. πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου, Δόξα, ἰδιόμελον, ἦχος πλ. β'. Ὀργάνῳ χρησάμενος, καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον, τὸ τοῦ ἁγίου. Ἡ α'. ὥρα τρίψαλμος σὺν τῷ ὄρθρῳ, ἡ ἀπὸ τῆς εὐχῆς ἀνάγνωσις ἐκ τῆς Κλίμακος, αἱ λοιπαὶ ὧραι ἐν τοῖς κελλίοις.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ ἁγίου ἡ γ'. Τροπάριον καὶ κοντάκιον τοῦ αὐτοῦ. Προκείμενον, ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Πολυμερῶς καὶ πολυτρόπως. Ἀλληλούια, ἦχος δ'. Δίκαιος, ὡς φοῖνιξ. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς. Κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Χρὴ δὲ εἰδέναι, ὅτι πᾶσαν τὴν ἁγίαν τεσσαρακοστὴν καὶ ἐν ταῖς καθημερινὰῖς ἡμέραις, καὶ ἐν ταῖς κυριακαῖς ἡ λειτουργία ἐν τῷ ναῷ γίνεται, τοῖς δὲ σάββασιν ἐν τοῖς εὐκτηρίοις.

Χρὴ δὲ γινώσκειν καὶ τοῦτο, ὅτι τὰ σαββατοκυρίακα τῆς τεσσαρακοστῆς, ἐὰν μὴ εἴη μνήμη μεγάλου ἁγίου, ἔχουσα ἀνάγνωσιν, ἐν τῷ ὄρθρῳ ἀναγινώσκομεν ἐξ ἑτέρου βιβλίου, ἢ ἀπὸ τῶν Ἠθικῶν τοῦ μεγάλου Βασιλείου, ἢ ἀπὸ τῶν τοῦ Χρυσοστόμου, ἢ τοὺς Ἀνδριάντας, ἢ τὴν ἑρμηνείαν τοῦ Ψαλτῆρος, ἢ τὴν Ἑξαήμερον, καὶ ἁπλῶς οἷον προκρίνει ὁ προεστώς· τὰς δὲ λοιπὰς ε'. τῆς ἑβδομάδος ἡμέρας τὸν ἅγιον Ἐφραίμ.

Κυριακὴ πρώτη τῶν νηστειῶν τῆς Ὀρθοδοξίας. Τῷ σαββάτῳ ἑσπέρας, μετὰ τὴν στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ'. δευτεροῦντες τὸ α'. καὶ τῶν ἁγίων εἰκόνων δύο, ἦχος δ'. καὶ β'. τῶν ἁγίων προφητῶν, ἦχος α'. πρὸς τὸ Πανεύφημοι, Δόξα καὶ νῦν, θεοτοκίον τὸ α'. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, στιχηρὸν τοῦ στίχου ἅπαξ, (οδ.] καὶ ἰδιόμελα β'. ἦχος β'. Χαίρετε προφῆται τίμιοι. Ζήτει τῇ κυριακῇ τῶν προπατόρων. Καὶ ἄλλο, ἦχος β'. Ἡ χάρις ἐπέλαμψε, Δόξα καὶ νῦν,

ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Οἱ ἐξ ἀσεβείας. Ἀπολυτίκιον· Τὴν ἄχραντόν εἰκόνα σου προσκυνοῦμεν, ἀγαθέ. Εἰς δὲ τὰ ἀπόδειπνα, τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, Τὴν ἄχραντον εἰκόνα σου.

Δεῖ δὲ εἰδέναι, ὅτι τὰ τῶν ἁγίων εἰκόνων β΄. στιχηρὰ πρὸς τὸ Ἔδωκας σημείωσιν, προηγοῦνται δὲ τὰ πρὸς τὸν ἦχον ἁρμόζοντα.

Εἰς τὴν παννυχίδα, κανόνες γ΄. τῆς Θεοτόκου εἰς τὸν ἐφεστῶτα ἦχον, τοῦ ἁγίου τῆς ἡμέρας, καὶ ἑτέρου ἁγίου ἀπὸ τῶν τῆς τεσσαρακοστῆς, ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου, καὶ ἡ συνήθης τοῦ Πραξαποστόλου ἀνάγνωσις.

Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὅτι, εἰ τύχῃ ἑορτάσιμος ἅγιος, εἰς τὸν ἑσπερινὸν λέγομεν τὰ γ΄. ἀναστάσιμα ἐφ' ἅπαξ, καὶ β΄. τῶν ἁγίων εἰκόνων, καὶ ἓν τῶν προφητῶν, καὶ β΄. τοῦ ἁγίου· εἰς δὲ τὸν στίχον, ψάλλομεν ἅπαξ τὸ ἀναστάσιμον, καὶ τῶν ἁγίων· προφητῶν· Ἡ χάρις ἐπέλαμψε, καὶ ἰδιόμελον τοῦ ἁγίου, Δόξα καὶ νῦν, Οἱ ἐξ ἀσεβείας.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ ἀναστάσιμον τροπάριον β΄. Δόξα καὶ νῦν, Τὴν ἄχραντον εἰκόνα σου, εἶτα στιχολογοῦμεν καθίσματα β΄. τῆς ἡμέρας. Ἀπὸ α΄. στιχολογίας, κάθισμα ἀναστάσιμον, ἀπὸ β΄. ἡ ὑπακοὴ τοῦ ἤχου, εἶτα ὁ πολυέλεος, καὶ κάθισμα τῶν ἁγίων προφητῶν, ἦχος β΄. καὶ ὁ χορὸς τῶν προφητῶν. Ἀνάγνωσις ἐν τῷ Πανηγυρικῷ· λόγος περὶ τῆς ἐν Βυριτῷ ἁγίας εἰκόνος, λόγος ἕτερος περὶ Θεοδώρου Ναυκλήρου, καὶ τοῦ Ἀβραμίου ὁ περὶ τοῦ Ἀντιφωνιτοῦ, λόγος ἕτερος τῆς Ὀρθοδοξίας περὶ Θεοφίλου. Ζήτει καὶ ἕτερον ὑπόμνημα, ἱστορικὸς λόγος, ἐπέχων (:) περὶ τῆς Ὀρθοδοξίας. Ζήτει καὶ ἕτερον λόγον Γρηγορίου τοῦ Διαλόγου ἐπιστολὴ πρὸς Λέοντα τὸν αἱρετικόν. Τὸν δὲ Ἄμωμον οὐ στιχολογοῦμεν. Οἱ ἀναβαθμοί, προκειμένου τοῦ ἤχου, Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. Κανόνες γ΄. ὁ ἀναστάσιμος. εἰς ς΄. εἶτα τῆς Ὀρθοδοξίας, εἰς δ΄. ἦχος δ΄. Θεοφάνους· Θαλάσσης τὸ ἐρυθραῖον. καὶ τῶν προφητῶν εἰς δ΄. ἦχος πλ. α΄. Εἰ δὲ τρέχει ὁ πλ. α΄. ἦχος, πρωτεύει ὁ κανὼν τῶν προφητῶν. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα, ἦχος βαρύς· Τὴν τῶν ἀληθινῶν δογμάτων, Δόξα καὶ νῦν θεοτοκίον, ἀπὸ ς΄. κοντάκιον, ἦχος πλ. δ΄. Ὁ ἀπερίγραπτος. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ΄. καὶ τῆς Ὀρθοδοξίας β΄. ἦχος πλ. β΄. πρὸς τὸ Ὅλην ἀποθέμενοι, (π. 132] καὶ τὸ ἰδιόμελον, ἐκ β΄. ἦχος ὁ αὐτός· Μωσῆς τῷ καιρῷ τῆς ἐγκρατείας, Δόξα καὶ νῦν, Ὑπερευλογημένη. Ἡ α΄. ὥρα καὶ ἡ κατήχησις τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου οἱ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον καὶ τὸ κοντάκιον· Ὁ ἀπερίγραπτος. Προκείμενον, ἦχος δ΄. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, πίστει Μωσῆς μέγας γενόμενος. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν. Ἀλληλούια, ἦχος δ΄. Μωϋσῆς καὶ Ἀαρών. Κοινωνικόν· Αἰνεῖτε, καὶ ἐφ' ἑξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου.

Τὰς γὰρ κυριακὰς πάσας τῆς ἁγίας τεσσαρακοστῆς, ἡ τοῦ μεγάλου Βασιλείου λειτουργεῖται λειτουργία, τῇ δὲ κυριακῇ τῆς Βαϊοφόρου ἡ τοῦ Χρυσοστόμου.

Τῇ β΄. τῆς β΄. ἑβδομάδος. Τῇ κυριακῇ ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ ἤχου δ΄. καὶ τὰ τοῦ κυροῦ Ἰωσήφ, β΄. προσόμοια τῆς ἡμέρας, ἦχος δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, θεοτοκίον. Εἴσοδος, προκείμενον, ἦχος πλ. δ΄. Ἔδωκας κληρονομίαν, στίχος· Ἀπὸ τῶν περάτων τῆς γῆς. Δεῖ εἰδέναι, ὅτι ταῦτα τὰ προκείμενα ψάλλονται ἑκάστῃ κυριακῇ πρὸς ἓν μέχρι τῆς κυριακῆς τῆς Βαϊοφόρου. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος πλ. δ΄. Δεῦτε ἐκκαθάρωμεν ἑαυτούς. Μαρτυρικόν, εἰς τὸν αὐτὸν ἦχον τὸ α΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, καὶ νῦν, Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν.

Εἰς τὴν παννυχίδα, κανὼν ἐκ τῶν τῆς τεσσαρακοστῆς ἁγίων. Ἀπὸ ς΄. ᾠδῆς, τὸ αὐτοῦ κάθισμα.

Εἰς τὸ ἀπόδειπνον, τροπάριον· Τῶν ἀοράτων, καὶ λοιπὰ λιτῶς οὕτως καὶ ἔξωθεν τοῦ ναοῦ ἐν τῷ νάρθηκι· τὰς γὰρ παρασκευὰς ἑσπέρας καὶ τὰ σάββατα, καὶ τὰς κυριακάς, οὐ μετὰ ἤχου ψάλλομεν τὰ ἀπόδειπνα, ἤτοι τὸ Μεθ' ἡμῶν ὁ Θεὸς καὶ τὰ τροπάρια, μετανοίας δὲ τῇ κυριακῇ ἑσπέρας ποιοῦμεν, καὶ τὴν παννυχίδα συνημμένως τῶν ἑσπερινῶν.

Εἰς τὸν ὄρθρον, ἀπὸ τῆς σήμερον ὑφαιροῦμεν ὥραν μίαν καὶ ἐγειρόμεθα ἀρχὴν ὥρας ζ΄. ἀλληλούια, τὰ τριαδικὰ τοῦ ἤχου, αἱ στιχολογίαι, καθίσματα γ΄. Ἀπὸ α΄. στιχολογίας, κάθισμα τοῦ κυροῦ Ἰωσήφ, ὁ ψάλτης πρῶτον, καὶ ὁ λαός, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ β΄. κάθισμα τοῦ Στουδίτου καὶ θεοτοκίον, ἀπὸ γ΄. κάθισμα, μαρτυρικὸν τοῦ ἤχου, ὁ ψάλτης, εἶτα ὁ λαός, καὶ θεοτοκίον. Ἀναγινώσκομεν δὲ ἐν τῷ ὄρθρῳ τὸν ἅγιον Ἐφραὶμ ἄχρι τῆς δ΄. τῆς ς΄. ἑβδομάδος, ἐν δὲ ταῖς ὥρας μέχρι τῆς παρασκευῆς τοῦ Λαζάρου, πρὸς ὀλίγον, ὡς εἴρηται. Εἰς δὲ τὴν ς΄. ὥραν, ἀπὸ τῆς σήμερον

οὐκ ἀναγινώσκομεν, ἀλλὰ μετὰ τὴν τῆς ἡμέρας προφητείαν, (οϐ.] Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς, εἰς δὲ τὴν α΄. ὥραν, ἀναγινώσκομεν τὴν Κλίμακα καὶ τὰς Κατηχήσεις· ἐν δὲ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς, τοὺς τῶν προψαλλομένων ἁγίων βίους καὶ τὰ μαρτύρια, ἢ ἐκ τῶν προειρημένων βιβλίων, οἷον προτεθῇ, καὶ τὰς παρασκευὰς δὲ πάσας, ἐν τῇ θ΄. ὥρᾳ, οὐκ ἀναγινώσκομεν. Εἰς δὲ τὰ τριῴδια, καθ' ἑκάστην ἱστῶμεν ιδ΄. καὶ ψάλλομεν τὸ μὲν τοῦ κυροῦ Ἰωσὴφ τριῴδιον, εἰς η΄. τὸ δὲ τοῦ κυροῦ Θεοδώρου, εἰς ς΄. τὰς γ΄. ᾠδὰς συνημμένως· στιχολογοῦμεν δὲ καὶ τοὺς στίχους ἅπαντας τῶν ᾠδῶν· ἑκάστη ᾠδὴ εἰς τὴν ἡμέραν αὐτῆς, ἤγουν τῇ μὲν β΄. τὴν α΄. ἕως οὗ στήσωμεν, εἰς τὴν ἔναρξιν τῶν κανόνων, εἰς τὸ Ἐπάγη ὡσεὶ τεῖχος. Τῇ δὲ γ΄. τὴν β΄. τῇ δὲ δ΄. τὴν γ΄. τῇ ε΄. τὴν δ΄. τῇ παρασκευῇ τὴν ε΄. τῷ σαββάτῳ τὴν ζ΄. εἰς τὸν στίχον τὸ ἰδιόμελον β΄. καὶ μαρτυρικόν, εἰς τὸ αὐτὸν ἦχον, τὸ ἐπιλαγχάνων καὶ θεοτοκίον.

Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὸ ἰδιόμελον β΄. διηρημένως οἱ χοροί, τά τε δ΄. μαρτυρικὰ τοῦ ἤχου, καὶ β΄. τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, Δόξα, πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου, νεκρώσιμον α΄. καὶ νῦν θεοτοκίον. Εἴσοδος καὶ τὰ λοιπὰ κατὰ τὸ ἔθος, τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς τάφοις τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, πρὸς δέ, καὶ κανόνα νεκρώσιμον, ποιοῦμεν δὲ καὶ μετανοίας.

Εἰ μὲν οὖν γένηται ἀδελφὸν ἡμῶν πρὸς Κύριον ἐκδημῆσαι, μέσον τῆς ἑβδομάδος τῶν ἁγίων τούτων ἡμερῶν, οὐ ψάλλεται ἡ παννυχὶς αὐτοῦ ἕως τῆς παρασκευῆς, τότε γὰρ τελεῖται ἡ παννυχὶς αὐτοῦ· ὁμοίως δὲ καὶ ἡ λειτουργία αὐτοῦ τῷ σαββάτῳ, τὸ δὲ ἐπιὸν σάββατον, γίνονται τὰ θ΄. αὐτοῦ κἂν τε λαγχάνῃ κἂν τε καὶ μή, τὰ δὲ τεσσαρακοστὰ αὐτοῦ γίνονται, ὅτε πληρωθῇ ὁ ἀριθμὸς τῶν ἡμερῶν· αἱ δὲ προσφοραὶ καὶ μνήμη αὐτοῦ, ἄρχονται ἀπὸ τῆς νέας κυριακῆς ἄχρι συμπληρώσεως ἡμερῶν μ΄.

Σαββάτῳ β΄. τῶν νηστειῶν. Εἰ μή ἐστιν ὁ ἅγιος μέγας καὶ ἑορταζόμενος, οὐ ψάλλομεν τὸ Θεὸς Κύριος, ἀλλ' ἀλληλούια δι' ὅλης τῆς ἁγίας τεσσαρακοστῆς εἰς ἦχον β΄. τροπάριον· Ἀπόστολοι μάρτυρες καὶ προφῆται, ἱεράρχαι καὶ ὅσιοι, Δόξα, Μνήσθητι, Κύριε, καὶ νῦν, Μῆτερ ἁγία. Αἱ στιχολογίαι καθίσματα β΄. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, καθίσματα μαρτυρικὰ τοῦ ἤχου, εἶτα ὁ Ἄμωμος καὶ τὰ τούτου τροπάρια. Καθίσματα τὰ προσόμοια τοῦ ἤχου τῆς ἡμέρας. Ἀνάγνωσις, εἰ ἔχει ὁ τῆς ἡμέρας ἅγιος, εἰδ' οὖν, ἐκ τοῦ ἀναγινωσκομένου χρυσοστομικοῦ βιβλίου

τοῖς σάββασι καὶ ταῖς κυριακαῖς, ὡς δεδήλωται. Ὁ Ν΄. Κανόνες γ΄. τῶν ἁγίων β΄. ἐκ τοῦ Μηναίου καὶ τὸν νεκρώσιμον τοῦ ἤχου, ἀνὰ δ΄. μετὰ καὶ τῶν (л. 133] κανόνων τῶν ἁγίων, οἳ καὶ προηγοῦνται τῶν τριῳδίων. Στιχολογοῦμεν καὶ τὴν ζ΄. ᾠδήν. Ἐξαποστειλάριον τοῦ ἤχου· Πρεσβείαις, Κύριε, τῶν ἀθλοφόρων σου. Τῆς τεκούσης σε. Εἰς τοὺς αἴνους τὰ δ΄. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον τὰ νεκρώσιμα προσόμοια τοῦ ἤχου μετὰ τοῦ θεοτοκίου αὐτῶν. Ἀπολυτίκιον, οὐδέν. Εἰς τὴν α΄. ὥραν, ἀνάγνωσις ἐν τῇ Κλίμακι.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου τῆς ἡμέρας, τροπάρια τὰ αὐτά, προκείμενον· Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, βλέπετε μήποτε ἔσται. Ἀλληλούια, ἦχος πλ. β΄. Μακάριοι, οὓς ἐξελέξω. Εἰ δέ ἐστι μέγας ἅγιος, καὶ ἀμφοτέρους τοῦ ἁγίου. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον. Κοινωνικόν· Ἀγαλλιᾶσθε, καὶ νεκρώσιμον.

Σαββάτῳ ἑσπέρας, ἡ στιχολογία Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ τοῦ ἤχου ἀναστάσιμα γ΄. δευτεροῦντες τὸ α΄. καὶ τοῦ τῆς ἡμέρας ἁγίου γ΄. δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν, τὸ α΄. θεοτοκίον τοῦ ἤχου. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τοὺς στίχους, τὸ ἀναστάσιμον τοῦ στίχου, ἅπαξ, καὶ β΄. ἀνατολικὰ Ἰωάννου μοναχοῦ ἐκ τῶν κατὰ ἀλφάβητον, εἰς τὸν ἑνεστῶτα ἦχον, Δόξα καὶ νῦν, τὸ τούτων θεοτοκίον. Ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος.[1]) Εἰς δὲ τὸ ἀπόδειπνον, τὸ ἀναστάσιμον.

Εἰς τὴν παννυχίδα, κανόνα κατανυκτικὸν τοῦ Τριῳδίου, ἦχος πλ. δ΄. Θεοφάνους, εἰς ς΄. καὶ ἄλλον ἑνὸς τῶν ὑπεξαιρεθέντων ἁγίων, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον· ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν καὶ τὸν οἶκον, καὶ ἀνάγνωσιν ἐν τῷ Πραξαποστόλῳ, ὡς σύνηθες, εἶτα σημαίνει.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τὸ ἀναστάσιμον τροπάριον β΄. Δόξα καὶ νῦν θεοτοκίον. Εἰ δέ ἐστι μέγας ἅγιος, καὶ τοῦ ἁγίου. Αἱ στιχολογίαι, καθίσματα β΄. Ἐξομολογήσομαί σοι, Κύριε, καὶ Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Καθίσματα ἀναστάσιμα τοῦ ἤχου. Ἀνάγνωσις ἐκ τοῦ χρυσοστομικοῦ βιβλίου. Εἶτα ὁ πολυέλεος, καὶ ἡ ὑπακοὴ τοῦ ἤχου, ἀνάγνωσις ἐκ τοῦ αὐτοῦ βιβλίου· προτίθενται γὰρ ἢ τὰ Ἠθικὰ τοῦ Χρυσοστόμου, ἢ οἱ Ἀνδριάντες ἢ ἡ ἑρμηνεία τῶν ψαλμῶν, ἢ τὰ Ἠθικὰ τοῦ μεγάλου

[1]) Въ рукописи не окончено предложеніе.

Βασιλείου· τὸν δὲ Ἄμωμον ἀπὸ τοῦ νῦν οὐ ψάλλομεν, διατὸ τὰς νύκτας ἐλαττωθῆναι. Οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον, Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. καὶ οἱ κανόνες, ὁ α΄. ἀναστάσιμος, εἰς ς΄. ὁ β΄. εἰς δ΄. καὶ τοῦ ἁγίου, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου καὶ θεοτοκίον, καὶ εἰ ἐστὶν ἀνάγνωσις, τοῦ ἁγίου, εἰ δ' οὖν (οϐ.], ἀνάγνωθι εἰς τὸ Πανηγυρικὸν λόγον τοῦ Χρυσοστόμου περὶ μετανοίας· Ἐξ ἀγροῦ αὐτοῦ ἐπανελθόντος. Ἀπὸ ς΄. ᾠδῆς, εἰ οὐκ ἔχει κοντάκιον ὁ ἅγιος, ψάλλομεν κάθισμα ἀναστάσιμον τοῦ ἤχου τὸ κρεῖττον, ὁ ψάλτης, εἶτα ὁ λαός. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα καὶ τὸ τῆς ἡμέρας ἰδιόμελον ἐκ β΄. ἦχος πλ. β΄. Τοῖς ἐν σκότει, Δόξα, τὸ ἑωθινὸν τοῦ εὐαγγελίου, καὶ νῦν Ὑπερευλογημένη ὑπάρχεις, Ἀπολυτίκιον ἀναστάσιμον, οἷον λάχῃ, εἰς δὲ τὴν α΄. ὥραν, ἡ κατήχησις.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι, τροπάριον τοῦ ἤχου τὸ ἀναστάσιμον καὶ θεοτοκίον. Προκείμενον. Ἀλληλούια ἄμνημον. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Κοινωνικόν· Αἰνεῖτε.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ ἤχου δ΄. καὶ β΄. τὰ προσόμοια τοῦ κυροῦ Ἰωσήφ, ἦχος πλ. δ΄. πρὸς τὸ Ἀμέτρητος ὑπάρχει, ἐν τῷ Τριῳδίῳ τῆς β΄. Δόξα καὶ νῦν, Τὴν ἔνδοξον καὶ ἄχραντον. Εἴσοδος, προκείμενον, ἦχος πλ. δ΄. Μὴ ἀποστρέψῃς, στίχος· Ἡ σωτηρία σου, ὁ Θεός. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον β΄. ἦχος πλ. δ΄. Χαλινοὺς ἀποπτύσας, μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου τὸ α΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε καὶ τὰ λοιπά. Εἶτα τὴν παννυχίδα συνημμένως, κανόνα τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Ἀπὸ ς΄. τὸ κάθισμα αὐτοῦ.

Τὰ ἀπόδειπνα ἐν τῷ νάρθηκι, τὸ Μεθ' ἡμῶν ὁ Θεός, καὶ τὰ τροπάρια λιτῶς, μετανοίας ιε΄.

Τῇ β΄. τῆς γ΄. ἑβδομάδος, εἰς τὸν ὄρθρον, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα γ΄. Ἀπὸ α΄. στιχολογίας, κάθισμα τοῦ κυροῦ Ἰωσήφ, ἦχος πλ. α΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις τοῦ ἁγίου Ἐφραίμ, εἶτα τὰ τριῴδια, τὸ τοῦ κυροῦ Ἰωσήφ, εἰς η΄. καὶ τοῦ κυροῦ Θεοδώρου, εἰς ς΄. στιχολογοῦμεν δὲ καὶ τὰς ᾠδάς, ἑκάστην εἰς τὴν ἡμέραν αὐτῆς. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος δ΄. Τὸν χαλεπόν, τὸ α΄. μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου, Δόξα καὶ νῦν,

θεοτοκίον. Τρισάγιον, ἐκτενής, ἡ α'. ὥρα μετὰ στιχολογίας, ἀνάγνωσις τῆς Κλίμακος. Αἱ λοιπαὶ ὧραι μετὰ στιχολογιῶν καὶ ἀναγνώσεων τοῦ ἁγίου Ἐφραίμ, εἰς δὲ τὴν ς'. ὥραν οὐκ ἀναγινώσκομεν, ἀλλ' ἀναπληροῖ τὸν τῆς ἀναγνώσεως τόπον ἡ τῆς ἡμέρας προφητεία. Μετὰ δὲ τὴν θ'. ὥραν, τὸ Μνήσθητί μου, καὶ τὰ λοιπὰ τῶν τυπικῶν, εἶτα τὸ ἑσπερινὸν καὶ οὐ στιχολογοῦμεν.

Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ προσόμοια στιχηρὰ τῆς γ'. τὰ δύο τοῦ κυροῦ Ἰωσήφ, δευτεροῦντες τὸ ἔν, καὶ τὸ τοῦ κυροῦ Θεοδώρου ἅπαξ. Εἰς δὲ τὸ (σ. **134**] Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, συνερχόμενοι ψάλλομεν τὸ τῆς ἡμέρας ἰδιόμελον, ἐκ β'. ἦχος β'. Πάτερ ἀγαθέ, Δόξα, μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον τὸ β'. Καὶ νῦν, θεοτοκίον. Εἴσοδος, τὰ ἀναγνώσματα, καὶ ἡ λειτουργία τῶν προηγιασμένων.

Τὰ ἀπόδειπνα ἔνδοθεν τοῦ ναοῦ, τὸ Μεθ' ἡμῶν, τὰ τροπάρια μετὰ ἤχου, καὶ ὁ συνήθης κανὼν τῆς ἡμέρας. Οὕτως τελεῖται ἡ ἀκολουθία δι' ὅλης τῆς ἑβδομάδος.

Τῇ δὲ παρασκευῇ, ἑσπέρας, εἰς τὴν θ'. οὐκ ἀναγινώσκομεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ τῆς ἡμέρας ἰδιόμελον, ἐκ β'. διηρημένως οἱ χοροί, εἶτα τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου καὶ β'. τοῦ ἁγίου τοῦ σαββάτου, Δόξα, νεκρώσιμον, πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου, καὶ νῦν θεοτοκίον. Εἴσοδος καὶ ἡ λειτουργία τῶν προηγιασμένων.

Τὰ ἀπόδειπνα ἐν τοῖς τάφοις λιτῶς οὕτως· τροπάριον· Ἀπόστολοι μάρτυρες, Δόξα, Μνήσθητι, Κύριε, καὶ νῦν, Μῆτερ ἁγία, αἱ συνήθεις μετάνοιαι καὶ ὁ νεκρώσιμος κανών.

Σάββατον γ'. τῶν νηστειῶν. Εἰς τὸν ὄρθρον, ἀλληλούια, ἦχος β'. τροπάριον· Ἀπόστολοι μάρτυρες, καὶ τὰ λοιπά. Αἱ στιχολογίαι, καθίσματα β'. τὰ συνήθη. Ἀπὸ τοῦ α'. καθίσματος, τοῦ Εἶπεν ὁ Κύριος, καθίσματα μαρτυρικὰ τοῦ ἤχου, ἀπὸ τοῦ β'. καθίσματος, ἤτοι τοῦ Ἀμώμου, τὰ προσόμοια τοῦ ἤχου καθίσματα, ἀνάγνωσιν, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ τοῦ προτεθημένου βιβλίου ἔν τε τοῖς σάββασι καὶ ταῖς κυριακαῖς. Κανόνες γ'. τῶν ἁγίων β'. καὶ τὸν νεκρώσιμον τοῦ ἤχου, ψάλλομεν δὲ καὶ τὰ β'. τετραῴδια μετὰ τῶν κανόνων τῶν ἁγίων, ἀνὰ δ'. προηγοῦνται δὲ οἱ κανόνες. Ἐξαποστειλάριον τοῦ ἤχου· Πρεσβείαις, Κύριε, τῶν ἀθλοφόρων σου. Τῶν ἁγίων σου. Τῆς τεκούσης σε. Στιχολογοῦμεν δὲ καὶ τὴν ζ'. ᾠδήν. Εἰς τοὺς αἴνους, τὰ μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, τὰ δ'. προσόμοια στιχηρὰ τοῦ ἤχου μετὰ τοῦ Δόξα καὶ νῦν, ἀπολυτίκιον οὐδέν.

Εἰς τὴν λειτουργίαν, προκείμενον, ἀλληλούια καὶ μακαρισμοὶ μετὰ τῶν τυπικῶν τῆς ἡμέρας, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἀναμιμνήσκεσθε, εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος. Κοινωνικόν· Ἀγαλλιᾶσθε, καὶ νεκρώσιμον.

Τῷ σαββάτῳ ἑσπέρας. Χρὴ εἰδέναι, ὅτι πρὸ τοῦ ἑσπερινοῦ προερχόμενος ὁ τίμιος Σταυρὸς προτίθεται ἔνδοθεν τοῦ ἁγίου θυσιαστηρίου, εἶτα γίνεται ἡ ἔναρξις τοῦ ἑσπερινοῦ, ἔπειτα ἡ στιχολογία, ὡς σύνηθες. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ΄. δευτεροῦντες τὸ α΄. καὶ γ΄. τοῦ Σταυροῦ, ἦχος δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν, δευτεροῦντες τὸ α΄. Ζήτει εἰς τὴν ἀρχὴν τοῦ Τριῳδίου. Δόξα καὶ νῦν, τὸ α΄. θεοτοκίον τοῦ ἤχου. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον (**οβ.**] τοῦ στίχου, ἅπαξ, καὶ ἕτερα β΄. ἀνατολικὰ εἰς τὸν ἦχον τοῦ κυροῦ Ἰωάννου, Δόξα καὶ νῦν, ἰδιόμελον τοῦ Σταυροῦ, ἦχος πλ. α΄. Ὁρῶσά σε ἡ κτίσις ἅπασα. Εἰ δὲ ἐστὶ στιχηρόν, ἦχος πλ. β΄. Σήμερον τὸ σκῆπτρον τοῦ βασιλέως, ψάλλομεν αὐτό, καταλιμπάνοντες τὸ προγραφὲν εἰς ἦχον πλ. α΄. Ἀπολυτίκιον· Σῶσον, Κύριε, τὸν λαόν σου. Εἰς δὲ τὰ ἀπόδειπνα, τὸ ἀναστάσιμον.

Εἰς τὴν παννυχίδα, τὸν κατανυκτικὸν κανόνα τοῦ ἤχου, εἰς ς΄. καὶ τοῦ Σταυροῦ εἰς δ΄. ἦχος δ΄. Τριστάτας κραταιούς. Ἀγάλλου, οὐρανέ. Ζήτει τῇ β΄. τῆς μεγάλης ἑβδομάδος, ψάλλομεν δὲ αὐτὸν εἰς δ΄. ὡς εἴρηται, δευτεροῦντες τὰ πρῶτα τροπάρια. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα κατανυκτικὸν τοῦ ἤχου, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ ὁ οἶκος.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ ἀναστάσιμον τροπάριον β΄. Δόξα καὶ νῦν, Τὸ τοῦ Σταυροῦ σου. Σῶσον Κύριε. Αἱ στιχολογίαι, καθίσματα β΄. καθίσματα ἀναστάσιμα. Ἀνάγνωσις ἐκ τοῦ προτιθεμένου βιβλίου τοῖς σάββασι καὶ ταῖς κυριακαῖς. Εἶτα ὁ πολυέλεος καὶ ἡ ὑπακοὴ τοῦ ἤχου. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τὸν Σταυρόν. Ζήτει εἰς τὸ μέγα Πανηγυρικόν. Οἱ ἀναβαθμοί, τὸ προκείμενον τοῦ ἤχου, Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν ἀταστάσιμον, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. Κανόνες γ΄. ὁ α΄. ἀναστάσιμος εἰς ς΄. καὶ β΄. τροπάρια τοῦ ἄλλου, ἤτοι τοῦ β΄. ἀναστασίμου, καὶ ὁ τοῦ Σταυροῦ εἰς ς΄. ἦχος ά΄. πρὸς τὸ Ἀναστάσεως ἡμέρα. Ὁ θειότατος. Ἐπ' ἐσχάτων δὲ λέγουσιν ἀμφότεροι οἱ χοροὶ τὰ πρόσειρμα. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα, ἦχος πλ. β΄. Ὁ Σταυρός σου, Κύριε, ἡγίασται, α΄. ὁ ψάλτης, εἶτα ὁ λαός, Δόξα καὶ νῦν, Σήμερον τὸ προ-

φητικὸν πεπλήρωται λόγιαν. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Θεοδώρου τοῦ Στουδίτου εἰς τὸν Σταυρόν. Ζήτει εἰς τὸ μικρὸν Πανηγυρικόν, τὸ α΄. Ἀπὸ ς΄. τὸ κοντάκιον, ἦχος βαρύς· Οὐκέτι φλογίνη ῥομφαία. Ἀνάγνωσις· λόγος Ἰωσὴφ Θεσσαλονίκης. Ζήτει ἐν τῷ αὐτῷ βιβλίῳ. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν η΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ΄. καὶ β΄. τοῦ Σταυροῦ, ἦχος πλ. α΄. πρὸς τὸ Χαίροις. Ζήτει εἰς τὴν ἀρχὴν τοῦ Τριῳδίου. Τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος πλ. δ΄. Δόξα καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε παρθένε. Ψαλλόντων δὲ ἡμῶν τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ἀποτίθεται τὸ τετραπόδιον μετὰ βλαττίου εἰς τὸν ὀμφαλὸν τῶν ψαλτῶν. Μετὰ δὲ τὸ λαχὸν ἀναστάσιμον ἀπολυτίκιον, ἢ τὸ Σήμερον σωτηρία, ἢ τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος, εὐθὺς ἀρχόμεθα τοῦ Σῶσον, Κύριε, τὸν λαόν σου. Ἅμα δὲ τῷ ἄρξασθαι τούτου, αἴρει ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ὁ ἱερεὺς σὺν τῇ θήκῃ τὸν ζωοποιὸν Σταυρόν, καὶ ἐξέρχεται ἀπο τοῦ ἀριστεροῦ βήματος, προπορευομένου αὐτοῦ καὶ διακόνου μετὰ θυμιατοῦ καὶ τῶν β΄. μανουαλίων τῆς εἰσόδου. Μετὰ δὲ τὸ τέλος (л. **135**] τοῦ Σῶσον, Κύριε, εὐθὺς ἀρχόμεθα· Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα. Καὶ ὅταν ἀποθήσῃ τὸν Σταυρὸν ὁ ἱερεὺς εἰς τὸ τετραπόδιον καὶ ἀνοίξῃ τὴν θήκην αὐτοῦ, προσκυνεῖ πρῶτον αὐτός, ἡμῶν ψαλλόντων, τὸ Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ΄. τῶν λαμπάδων τῆς εἰσόδου ἱσταμένων ἔνθεν κακεῖθεν, εἶτα μετὰ τὸν ἱερέα, προσκυνεῖ ὁ καθηγούμενος μόνος, καὶ καθεξῆς οἱ λοιποὶ πάντες ἀδελφοὶ σὺν δύο εἰσερχόμενοι, ποιοῦντες ἐν ἰσότητι ἀνὰ γ΄. μετανοίας, εἶτα ἀσπαζόμενοι τὸν τίμιον Σταυρὸν εὐτάκτως καὶ προσεχόντως ὁ εἷς καὶ πάλιν ὁ ἕτερος, ἀπέρχεται ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. Ὅταν δὲ ἐκ γ΄. λεχθῇ τὸ τροπάριον, τὸ Τὸν Σταυρόν σου προσκυνοῦμεν, λέγεται κάθισμα· Μόνον ἐπάγη τὸ ξύλον, Χριστέ, τοῦ Σταυροῦ σου, εἶτα πάλιν ἐκ γ΄. Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἔπειτα, συναχθέντων κύκλῳ τῶν ἀδελφῶν ἐν χορῷ, ψάλλομεν στιχηρά, ἦχος β΄. Δεῦτε πιστοί, τὸ ζωοποιόν. Στίχος, ἦχος δ΄. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. Ἕτερον στιχηρόν, ἦχος δ΄. Ὁ συμμαχήσας, Κύριε, Δόξα καὶ νῦν, Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ΄. Εἶτα ἐκτενὴς καὶ ἡ α΄. ὥρα, ἡ δὲ ἀνάγνωσις σήμερον καταλιμπάνεται.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τοῦ Σταυροῦ, ἦχος βαρύς· Οὐκέτι φλογίνη ῥομφαία. Ἀντὶ τοῦ Τρισαγίου, Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα. Προκείμενον, ἦχος πλ. β΄. Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον. Στίχος· Πρὸς σέ, Κύριε, κεκράξο-

μαι. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες ἀρχιερέα. Ἀλληλούια, ἦχος α΄. Μνήσθητι τῆς συναγωγῆς σου. Εὐαγγέλιον κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον, καὶ ἕτερον· Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου. Καὶ μετὰ τὸ τέλος τῆς θείας λειτουργίας, αἴρεται πάλιν ὁ τίμιος Σταυρός, καὶ ἀποτίθεται ἐν τῷ ἁγίῳ βήματι.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς΄. ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ ἤχου δ΄. καὶ β΄. ἐκ τῶν προσομοίων τοῦ Τριῳδίου τῆς β΄. τὰ τοῦ κυροῦ Ἰωσήφ, ἦχος πλ. δ΄. Δόξα καὶ νῦν, θεοτοκίον· Τὴν Θεοτόκον Μαρίαν. Εἴσοδος. Προκείμενον, ἦχος πλ. δ΄. Ἔδωκας κληρονομίαν, στίχος· Ἀπὸ τῶν περάτων τῆς γῆς. Εἶτα στιχηρόν, τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. ἦχος πλ. δ΄. καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, τὸ α΄. Δόξα καὶ νῦν, θεοτοκίον.

Ἡ παννυχὶς συνημμένως τῷ ἑσπερινῷ, ἐν ᾗ ψάλλομεν κανόνα τοῦ ἁγίου τῆς τεσσαρακοστῆς. Ἀπὸ ς΄. (οϐ.] τὸ κάθισμα αὐτοῦ, τὰ δὲ ἀπόδειπνα, ἐν τῷ νάρθηκι λιτῶς, τὸ Μεθ' ἡμῶν ὁ Θεός, καὶ τὰ τροπάρια, μετανοίας ιε΄. καὶ τὰ λοιπά, ὡς σύνηθες.

Τῇ β΄. τῆς δ΄. ἑβδομάδος εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, τὰ γ΄. καθίσματα. Ἀπὸ α΄. στιχολογίας, κάθισμα τοῦ κυροῦ Ἰωσήφ, ἀπὸ β΄. κάθισμα τοῦ κυροῦ Θεοδώρου, ἀπὸ δὲ τῆς γ΄. στιχολογίας, ἀντὶ μαρτυρικοῦ λέγομεν κάθισμα σταυρώσιμον τοῦ ἤχου καὶ θεοτοκίον. Ἀνάγνωσις· ὁ ἅγιος Ἐφραίμ. Τὰ τριῴδια, τὸ μὲν τοῦ κυροῦ Ἰωσήφ, εἰς η΄. τὸ δὲ τοῦ κυροῦ Θεοδώρου, εἰς ς΄. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας β΄. καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, τὸ α΄. Δόξα καὶ νῦν, ἰδιόμελον τοῦ Σταυροῦ, ἦχος β΄. Δεῦτε πιστοὶ τὸ ζωοποιόν. Ἡ α΄. ὥρα μετὰ στιχολογίας καὶ ἀναγνώσεως ἐκ τοῦ τῆς Κλίμακος, αἱ δὲ λοιπαὶ μετὰ στιχολογιῶν καὶ ἀναγνώσεων ἐκ τοῦ ἁγίου Ἐφραίμ.

Τῇ β΄. ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Τριῳδίου τῆς γ΄. δύο μὲν τοῦ κυροῦ Ἰωσήφ, ἦχος πλ. δ΄. δευτεροῦντες τὸ α΄. καὶ ἓν τοῦ κυροῦ Θεοδώρου, ἦχος πλ. δ΄. πρὸς τὸ Τὴν Θεοτόκον Μαρίαν, εἶτα ἑνούμενοι ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας εἰς τὸν αὐτὸν ἦχον, ἐκ β΄. Μεγαλορρήμων Φαρισαῖος, Δόξα, μαρτυρικὸν τοῦ αὐτοῦ ἤχου, τὸ β΄. καὶ νῦν, ἰδιόμελον τοῦ Σταυροῦ, ἦχος δ΄. Ὁ συμμαχήσας, Κύριε, τῷ πρωτοτόκῳ. Εἴσοδος καὶ ἡ λειτουργία τῶν προηγιασμένων.

Ἡ παννυχὶς συνημμένως τοῖς ἀποδείπνοις ἔνδοθεν τοῦ ναοῦ, τὸ Μεθ' ἡμῶν ὁ Θεὸς καὶ τὰ τροπάρια μετὰ ἤχου, καὶ κανὼν τοῦ Σταυροῦ, ἦχος δ'. πρὸς τὸ Τριστάτας κραταιούς· Τὸ ξύλον τοῦ Σταυροῦ, εἰς δ'. Ἀπὸ ς'. κάθισμα· Σωτηρίαν εἰργάσω, καὶ θεοτοκίον.

Τῇ γ'. εἰς τὸν ὄρθρον ὁμοίως, ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, τὰ γ'. καθίσματα. Ἀπὸ α'. στιχολογίας, κάθισμα τοῦ κυροῦ Ἰωσήφ, ἀπὸ β'. κάθισμα τοῦ κυροῦ Θεοδώρου, ἀπὸ γ'. στιχολογίας, κάθισμα σταυρώσιμον τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, ὁ ἅγιος Ἐφραίμ. Ὁ Ν'. καὶ τὰ β'. τριῴδια, ὡς σύνηθες. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, τὸ β'. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Σταυρὲ τοῦ Χριστοῦ. Αἱ ὧραι, ὡς σύνηθες, μετὰ στιχολογιῶν καὶ ἀναγνώσεων, εἰς δὲ τὴν θ'. ὥραν οὐκ ἀναγινώσκομεν.

Δεῖ δὲ γινώσκειν, ὅτι, εἰ τύχῃ διὰ μέσου ταύτης τῆς ἑβδομάδος γενέσθαι τὸν Εὐαγγελισμόν, οἷα ἂν ἡμέρα τύχῃ, ἐκτὸς τῆς κυριακῆς, καταλιμπάνεται ἄρτι ἡ ἀγρυπνία τοῦ Σταυροῦ, διὰ τὸ γίνεσθαι ἑτέραν ἀγρυπνίαν τοῦ Εὐαγγελισμοῦ, εἰ δ' οὐ τύχῃ τοῦ Εὐαγγελισμοῦ ταύτῃ τῇ ἑβδομάδι, τελεῖται ἡ ἀγρυπνία τοῦ Σταυροῦ. (π. **136**]

Τῇ γ'. τῆς ἑβδομάδος ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ Τριῳδίου τοῦ κυροῦ Ἰωσήφ, γ'. ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι, καὶ ἓν τοῦ κυροῦ Θεοδώρου, ἦχος α'. πρὸς τὸ Ὁ πάλαι τῷ Μωσεῖ, εἶτα ἑνούμενοι ψάλλομεν εἰς τὸν στίχον τὸ Αἰνεῖτε τὸν Κύριον, τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος γ'. ἐκ β'. Νικῶν τὸν τελώνην. Μαρτυρικὸν δὲ οὐ λέγομεν, ἀλλὰ Δόξα καὶ νῦν, ἦχος πλ. α'. Ὁρῶσά σε ἡ κτίσις ἅπασα. Εἴσοδος καὶ ἡ λειτουργία τῶν προηγιασμένων.

Καὶ γευσάμενοι, ἀναπαυόμεθα μικρόν, εἶθ' οὕτως τῇ τεταγμένῃ ὥρᾳ τῆς ἀγρυπνίας, τοῦ ξύλου κρουομένου καὶ πάντων ἐπισυναγομένων τῶν ἀδελφῶν, ἀρχόμεθα τῶν ἀποδείπνων καὶ τῆς συνήθους τῶν κανόνων δοξολογίας, καὶ ἐχόμενα τούτων τοῦ ὄρθρου, τῆς ἀγρυπνίας· τὸ δ' αὐτὸ ποιοῦμεν ἀπαραλλάκτως, ἔν τε τῇ ἀκολουθίᾳ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ καὶ τῇ τοῦ μεγάλου κανόνος. Ψαλλόντων τοίνυν τῶν ἀποδείπνων, ποιοῦμεν μετανοίας τὰς συνήθεις, εἶτα ψάλλομεν συνημμένως τοὺς κανόνας τῆς παννυχίδος· τὸν μὲν κατανυκτικὸν τοῦ ἤχου τῆς ἡμέρας, εἰς ς'. καὶ τὸν τοῦ Σταυροῦ, εἰς δ'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου. Τὸ ξύλον τὸ ἅγιον. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικὸν καὶ θεοτοκίον, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Εἰ δὲ ἔχει περισσοὺς ἁγίους

ἐκ τῶν τῆς τεσσαρακοστῆς, οὐ ψάλλομεν τὸν κατανυκτικόν, ἀλλὰ β'. ἁγίους τῆς τεσσαρακοστῆς, καὶ τοῦ Σταυροῦ τὸν εἰρημένον, ἀνὰ δ'. προηγεῖται δὲ ὁ κανὼν τοῦ Σταυροῦ, εἶτα οἱ τῶν ἁγίων. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῶν ἁγίων, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου. Εἰ δὲ οὐκ ἔστιν ἀγρυπνία, ψάλλομεν τὸν κανόνα τοῦ Σταυροῦ μόνον εἰς τὰ ἀπόδειπνα, μετὰ δὲ τὴν ἀπόλυσιν, ἀνάγνωσις, τὸ χῦμα τοῦ ἀποστόλου.

Εἰς τὸν ὄρθρον, ἀλληλούια, ἦχος α'. ἀντὶ δὲ τριαδικοῦ, λέγομεν τροπάριον τοῦ Σταυροῦ· Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν, φιλάνθρωπε, β'. Δόξα καὶ νῦν, θεοτοκίον. Οἱ τὴν σὴν προστασίαν. Αἱ στιχολογίαι, καθίσματα γ'. ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου, καὶ κάθισμα τοῦ κυροῦ Ἰωσήφ, εἶτα ὁ πολυέλεος εἰς τὸν ἦχον, τὸ ὅλον κάθισμα καὶ κάθισμα τοῦ κυροῦ Θεοδώρου, ἔπειτα τὸ Εὐλογητὸς Κύριος, καὶ κάθισμα τὸ προσόμοιον τοῦ ἤχου τῆς Ὀκτωήχου τῆς τετράδος, Δόξα καὶ νῦν, τὸ θεοτοκίον αὐτοῦ. Ἀνάγνωσις, ἐκ τοῦ προκειμένου βιβλίου τοῖς σάββασι καὶ ταῖς κυριακαῖς· μετὰ τὴν ἀνάγνωσιν τοῦ γ'. καθίσματος, ὁ Ν'. Εὐαγγέλιον γὰρ οὐ λέγομεν, οὔτε Πᾶσα πνοή, ψάλλομεν δὲ κανόνας β'. ἱστῶντες ιβ'. ἕνα τῆς Θεοτόκου εἰς τὴν Ὀκτώηχον, ἦχος πλ. β'. εἰς δ'. καὶ ἕτερον τοῦ τιμίου Σταυροῦ, εἰς η'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ. Τὸν τοῦ Κυρίου προσελθόντες σήμερον. (οϐ.]

Εἰ δὲ τύχῃ μέγας ἅγιος, ἤγουν ἡ μνήμη τῶν τεσσαράκοντα, ἢ τὰ προεόρτια τοῦ Εὐαγγελισμοῦ, ἢ τὰ μεθέορτα, καταλιμπάνεται μὲν ὁ τῆς Θεοτόκου κανών, ὁ δὲ τοῦ ἁγίου καὶ ὁ τοῦ Σταυροῦ ψάλλονται ἀνὰ ς'. καὶ τὰ τριῴδια τῆς ἡμέρας· προηγεῖται δὲ ὁ κανὼν τῆς Θεοτόκου, εἶτα τὰ τριῴδια καὶ μετὰ ταῦτα ὁ τοῦ Σταυροῦ, ὅλα ἀνὰ δ'. ἐν ταῖς τῶν τριῳδίων ᾠδαῖς, καταλιμπάνονται δὲ εἰς τὸ τοῦ κυροῦ Θεοδώρου τριῴδιον, τὰ τριαδικὰ μόνα τροπάρια. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ Σταυροῦ, ἦχος πλ. β'. εἰς τὴν Ὀκτώηχον· Ὁ Σταυρός σου, Κύριε, ἡγίασται, Δόξα καὶ νῦν, Σήμερον τὸ προφητικόν. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τοὺς ἀνδριάντας, οὗ ἡ ἀρχή· Πολλοὺς εἶδον. Ἀπὸ ς'. τὸ κοντάκιον τοῦ Σταυροῦ, ἦχος βαρύς· Οὐκέτι φλογίνη ῥομφαία. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἦχος πλ. α'. Οἱ ἐν κρυπτῷ ἀρετὰς ἐργαζόμενοι, καὶ ἄλλο, ἦχος πλ. δ'. Τῆς νηστείας τὴν ὁδόν, ἅπαξ. Μαρτυρικὸν δὲ οὐ λέγομεν, ἀλλὰ Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον καὶ ἰδιόμελον τοῦ Σταυροῦ· Σήμερον ὁ Δεσπότης τῆς κτίσεως. Ψαλλόντων δὲ ἡμῶν τὸ Τρισάγιον, ἀλλάσσει ὁ ἱερεὺς καὶ ὁ διάκονος καὶ εἰσέρχεται, καὶ προσφέρει τὸν τίμιον Σταυρὸν μετὰ καὶ λαμπάδος καὶ θυμιατοῦ, ὥσπερ καὶ

τῇ κυριακῇ, ψαλλόντων ἡμῶν μετὰ τὸ τέλος τοῦ Τρισαγίου, τὸ Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ ἀποτιθέασι τοῦτον ἐν τῷ προαποτεθειμένῳ μετὰ ἐνδυτῆς τετραποδίῳ ἔξωθεν, ἔμπροσθεν τῶν ἁγίων θυρῶν· ἀνοίξας δὲ ὁ ἱερεὺς τὴν θήκην, προσκυνεῖ πρῶτος αὐτός, ἔπειτα ὁ καθηγούμενος μόνον καὶ καθεξῆς οἱ λοιποὶ πάντες ἀδελφοί, δύο δύο εἰσερχόμενοι καὶ ποιοῦντες ἀνὰ γ΄. μετανοίας εὐτάκτως καὶ ἐν ἰσότητι, ἔπειτα ἀσπαζόμενοι τὸν Σταυρὸν ὁ εἷς καὶ πάλιν ὁ ἕτερος, ἀπέρχεται μετὰ εὐλαβείας ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. Ψαλλόντων δὲ πάντων· Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, ἐκ γ΄. λέγομεν κάθισμα, ἦχος πλ. β΄. Σήμερον τὸ προφητικόν, εἶτα πάλιν· Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ΄. καὶ συναγόμενοι ψάλλομεν τὰ στιχηρά, ἦχος β΄. Δεῦτε, πιστοί, τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν. Στίχος, ἦχος δ΄. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. Ὁ συμμαχήσας, Κύριε, τῷ πραοτάτῳ Δαβίδ, Δόξα καὶ νῦν, ἦχος πλ. β΄. Σταυρὲ τοῦ Χριστοῦ. Εἶτα Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ΄. καὶ γίνεται ἐκτενής, καὶ εὐθὺς συνημμένως ψάλλομεν τὴν α΄. ὥραν μετὰ καὶ στιχολογίας, ἀναγινώσκεται δὲ καὶ ἡ Κατήχησις. Ἀντὶ δὲ προκειμένου εἰς πάσας τὰς ὥρας, ψάλλομεν τὸ Σῶσον, Κύριε, τὸν λαόν σου, λιτῶς, καὶ μετανοίας δὲ ποιοῦμεν. (л. 137] Τὰ δὲ τίμια ξύλα, ἀπόκεινται ἔξω, πρὸς τὸ δεξιὸν μέρος τοῦ βήματος, μετὰ κηροῦ ἡμμένου ἕως τοῦ τέλους τῆς λειτουργίας. Εἰς δὲ τὰς λοιπὰς ὥρας, στιχολογοῦμεν καὶ μετανοίας ποιοῦμεν· καὶ ἀναγινώσκομεν δὲ, πλὴν ταχύτερον διὰ τὸν κόπον. Ἐν ταύτῃ γὰρ καὶ οἴνῳ καὶ ἐλαίῳ χρώμεθα.

Εἰς δὲ τὸ ἑσπερινόν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς΄. ψάλλομεν τὰ στιχηρὰ τοῦ Τριῳδίου, τὰ δύο προσόμοια τοῦ κυροῦ Ἰωσήφ, εἰς ἦχον α΄. καὶ ἐκ τῶν προσομοίων τοῦ Σταυροῦ ἕτερα β΄. εἰς ἦχον δ΄. Εἶτα τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος δ΄. Ἡ τῶν ἀγαθῶν, ἐκ β΄. Δόξα, ἦχος πλ. δ΄. Μεσάσαντες τὸ πέλαγος. Καὶ νῦν, τοῦ Σταυροῦ. Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ προσιτός. Εἴσοδος, καὶ ἐξῆς ἡ τῶν προηγιασμένων λειτουργία Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, αἴρονται τὰ τίμια ξύλα, καὶ πάλιν ἀποτίθενται ἐν τῷ βήματι.

Εἰς τὸ ἀπόδειπνον, κανὼν τοῦ Σταυροῦ, ἦχος δ΄. Ἅρματα Φαραώ, εἰς δ΄. χωρὶς εἱρμοῦ. Ἀπὸ γ΄. ᾠδῆς, οὐδέν· ἀπὸ ς΄. κάθισμα σταυρώσιμον, ἦχος πλ. δ΄. Βλέπων ὁ λῃστής, Δόξα καὶ νῦν, Τὸν ἀμνὸν καὶ ποιμένα καὶ Σωτῆρα τοῦ κόσμου.

Τῇ ε΄. εἰς τὸν ὄρθρον, πᾶσα ἡ ἀκολουθία, ὡς σύνηθες. Ἀλληλούια, τὰ τριαδικά, αἱ στιχολογίαι, καθίσματα γ΄. καθίσματα τοῦ Τριῳδίου καὶ μαρτυρικὸν τοῦ ἤχου, αἱ ἀναγνώσεις εἰς τὸν ἅγιον Ἐφραίμ.

Εἰς τὸν στίχον, τὸ ἰδιόμελον καὶ μαρτυρικὸν καὶ θεοτοκίον. Αἱ ὧραι μετὰ στιχολογιῶν καὶ ἀναγνώσεων. Τῇ ε'. ἑσπέρας ὁμοίως, ὡς σύνηθες, εἰς δὲ τὸ Δόξα καὶ νῦν, ἦχος πλ. β'. Σταυρὲ τοῦ Χριστοῦ.

Εἰς τὸ ἀπόδειπνον, κανὼν τοῦ Σταυροῦ, ὃν καὶ τῇ ἑορτῇ ἑσπέρας ἐψάλλομεν, ἦχος δ'. Τὸ ξύλον τὸ ἅγιον, εἰς ς'. μετὰ τῶν εἱρμῶν.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, ὡς σύνηθες. Ἀντὶ δὲ καθίσματος μαρτυρικοῦ, λέγομεν τὸ προσόμοιον τοῦ ἤχου τῆς ἡμέρας, ὁμοίως καὶ τὸ θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, Δόξα καὶ νῦν, ἦχος δ'. Ὁ συμμαχήσας, Κύριε. Τὰς ὥρας ὁμοίως μετὰ στιχολογιῶν καὶ ἀναγνώσεων. Μετὰ δὲ τὴν θ'. ὥραν, ψαλλόντων ἡμῶν τὸ Μνήσθητί μου καὶ τὰ λοιπὰ τῶν τυπικῶν, προτίθεται τὸ τετραπόδιον ἐν τῷ μέσῳ ὑπὸ τῶν παρεκκλησιαρχῶν, προφέρεται δὲ καὶ ὁ τίμιος Σταυρὸς παρὰ τοῦ ἱερέως καὶ διακόνου μετὰ θυμιατοῦ, εἶτα ἀσπαζόμενος ὁ ἱερεὺς εἰσέρχεται, ὁ δὲ διάκονος θυμιᾷ τόν τε ναὸν καὶ τοὺς ἀδελφούς. Μετὰ δὲ τὸ τέλος τῶν τυπικῶν, εὐθὺς ψάλλομεν συνημμένως· Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ' καὶ ἄρχονται προσκυνεῖν πάντες τὸν τίμιον Σταυρὸν καὶ ἀσπάζεσθαι. Μετὰ δὲ τὸ τρισσεῦσαι τὸ, Τὸν Σταυρόν σου προσκυνοῦμεν, ψάλλομεν στιχηρόν, ἦχος β'. Δεῦτε πιστοί, Δόξα, ἦχος πλ. α'. Ὁρῶσά σε, καὶ νῦν, Σταυρὲ τοῦ Χριστοῦ, χριστιανῶν· (οδ.] εἶτα, Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ'. καὶ εὐθὺς ἄρχεται ἡ θεία λειτουργία τῶν προηγιασμένων μετὰ τοῦ ἑσπερινοῦ, δόντος Δόξαν τοῦ ἱερέως, μετατιθεμένου καὶ τοῦ τιμίου Σταυροῦ πρὸς τὸ δεξιὸν μέρος τοῦ βήματος ἔξωθεν.

Εἰς δὲ τὸ ἑσπερινόν, ἱστῶντες η'. ψάλλομεν στιχηρά, τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἦχος βαρύς, ἰδίᾳ ἕκαστος χορός, καὶ δ'. μαρτυρικὰ τοῦ ἤχου, καὶ β'. τοῦ ἁγίου τῆς ἡμέρας, Δόξα, νεκρώσιμον, πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον. Εἴσοδος, καὶ ἡ λειτουργία τῶν προηγιασμένων. Ἀπὸ δὲ τῆς λειτουργίας, ἀνέρχεται ὁ τίμιος Σταυρός, προπορευομένων τινῶν ἀδελφῶν καὶ ψαλλόντων τὸ Σῶσον, Κύριε, τὸν λαόν σου, εἶτα εἰσέρχεται ὁ στίχος τῆς τραπέζης.

Εἰς τὰ ἀπόδειπνα, κανὼν νεκρώσιμος εἰς τοὺς τάφους. Περὶ δὲ μετανοιῶν, ὡς ὀφείλει τῷ προεστῶτι, πλὴν τὸ ἀπόδειπνον λιτῶς ψάλλομεν.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, ἀλληλούια, ἦχος β'. Ἀπόστολοι μάρτυρες καὶ τὰ λοιπά. Ἀπὸ α'. στιχολογίας, τὸ Εἶπεν ὁ Κύριος, κάθισμα μαρτυρικόν, εἶτα τὸν Ἄμωμον μετὰ τῶν νεκρωσίμων τροπαρίων αὐτοῦ, καὶ καθίσματα τοῦ ἤχου, τὰ προσόμοια τῆς ἡμέρας. Ἀναγινώσκεται δέ, εἰ τύχῃ βίος ἢ μαρτύριον τοῦ ἁγίου, εἰ δὲ μή γε, ἐκ τοῦ προκειμένου βιβλίου τοῖς σαββασι καὶ ταῖς κυριακαῖς. Ὁ Ν'. καὶ κανόνες γ'. δύο

ἁγίων, ἀνα δ'. καὶ τὸν νεκρώσιμον τοῦ ἤχου. Ἀπὸ γ'. ᾠδῆς, τὸ κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας, ἀπὸ ς'. τοῦ ἑτέρου ἁγίου. Εἰς τὴν ς'. ᾠδήν, καταλιμπάνεται ὁ νεκρώσιμος κανὼν καὶ ψάλλομεν τὰ τετραῴδια, ἀνὰ δ'. μετὰ τῶν κανόνων τῶν ἁγίων, οἳ καὶ προηγοῦνται· στιχολογοῦμεν δὲ καὶ τὴν ζ'. ᾠδήν. Ἐξαποστειλάριον τοῦ ἤχου· Πρεσβείαις τῶν ἀθλοφόρων. Εἰς τοὺς αἴνους, τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, τὰ προσόμοια νεκρώσιμα τοῦ ἤχου, Δόξα καὶ νῦν, τὸ αὐτῶν θεοτοκίον. Ἀπολυτίκιον οὐδέν. Ἡ α'. ὥρα μετὰ ἀναγνώσεως ἐν τῷ τέλει. Εἰς τὴν λειτουργίαν, πᾶσα ἡ ἀκολουθία τοῦ σαββάτου.

Τῷ σαββάτῳ ἑσπέρας, ἡ στιχολογία, Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ γ'. ἀναστάσιμα τοῦ ἤχου, δευτεροῦντες τὸ α'. καὶ τοῦ ἁγίου ἕτερα γ'. δευτεροῦντες καὶ ἐξ αὐτῶν τὸ α'. Δόξα καὶ νῦν, θεοτοκίον τοῦ ἤχου, τὸ ἀναστάσιμον τοῦ στίχου, καὶ β'. τοῦ ἀλφαβήτου καὶ τὸ θεοτοκίον, ἀπολυτίκιον. Εἰς δὲ τὸ ἀπόδειπνον, τὸ ἀναστάσιμον.

Εἰς τὴν παννυχίδα, κανὼν ἐν τῷ Τριῳδίῳ, ἦχος πλ. δ'. Τῷ Σωτῆρι Θεῷ. Εἰς τὸν περιπεσόντα εἰς τοὺς ληστάς· καὶ ἑτέρους β'. τῶν προψαλλομένων ἁγίων τῆς τεσσαρακοστῆς, ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα ἑνὸς τῶν προψαλλομένων ἁγίων, ἀπὸ ς'. τὸ κοντάκιον τῆς (**π. 138**] Θεοτόκου, ἡ ἐν τῷ Πραξαποστόλῳ ἀνάγνωσις, καὶ ὁ ὄρθρος.

Τῇ κυριακῇ, εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα καὶ νῦν, θεοτοκίον. Αἱ στιχολογίαι, καθίσματα ἀναστάσιμα, ὁ πολυέλεος καὶ ἡ ὑπακοὴ τοῦ ἤχου, ἀναγνώσεις, ἐκ τοῦ προκειμένου βιβλίου τοῖς σάββασι καὶ ταῖς κυριακαῖς, καὶ λόγος τοῦ Χρυσοστόμου εἰς τὸ Πανηγυρικόν, εἰς δόσεις β'. οὗ ἡ ἀρχή· Πάντοτε μὲν ὁ θεῖος ἀπόστολος. Μετὰ τὸν πολυέλεον, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου, Πᾶσα πνοή, καὶ εὐαγγέλιον ἑωθινόν, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. καὶ κανόνες γ'. ὁ α'. ἀναστάσιμος τοῦ ἤχου, εἰς ς'. ὁ β'. εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου καὶ ἀνάγνωσις, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ τοῦ εἰρημένου λόγου, ἀπὸ ς'. ᾠδῆς, εἰ οὐκ ἔχει ὁ ἅγιος κοντάκιον, ψάλλομεν κάθισμα ἀναστάσιμον τοῦ ἤχου, ἢ κοντάκιον ἀναστάσιμον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἦχος α'. Δεῦτε ἐργασώμεθα, Δόξα, τοῦ ἑωθινοῦ εὐαγγελίου τὸ στιχηρόν, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον ἀναστάσιμον, οἷον λάχῃ, καὶ ἡ α'. ὥρα.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι τοῦ ἤχου, τροπάριον τὸ ἀναστάσιμον καὶ θεοτοκίον. Προκείμενον καὶ ἀλληλούια τοῦ

ἤχου ἄμνημον, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε. Κοινωνικόν· Αἰνεῖτε, καὶ ἐξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου.

Τῇ κυριακῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς'. ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ ἤχου, τὰ δ'. καὶ β'. τῆς β'. τὰ τοῦ κυροῦ Ἰωσήφ, ἦχος γ'. Δόξα καὶ νῦν, θεοτοκίον· Πῶς μὴ θαυμάσωμεν. Εἴσοδος, καὶ τὸ προκείμενον· Μὴ ἀποστρέψῃς, στίχος· Ἡ σωτηρία σου, ὁ Θεός. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον, ἦχος βαρύς· Ὁ τὸν ἀμπελῶνα φυτεύσας, καὶ ἕτερον, ἦχος πλ. β'. Λῃσταῖς λογισμοῖς, πρὸς μίαν ἀμφότερα καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε.

Εἰς τὴν παννυχίδα συνημμένως, κανὼν τοῦ ἁγίου, ἀπὸ ς'. ᾠδῆς, τὸ κάθισμα αὐτοῦ, τὸ ἀπόδειπνον λιτῶς ἐν τῷ νάρθηκι μετὰ μετανοιῶν.

Τῇ β'. τῆς ε'. ἑβδομάδος, πᾶσα ἡ ἀκολουθία, ὡς σύνηθες, εἴς τε τὸν ὄρθρον, εἰς τὰς ὥρας, καὶ εἰς τὸν ἑσπερινόν.

Τῇ δ'. τῆς αὐτῆς ἑβδομάδος, εἰς τὴν θ'. ὥραν οὐκ ἀναγινώσκομεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἦχος πλ. δ'. Τοῖς τῶν ἐμῶν λογισμῶν, ἰδίᾳ καὶ χωρὶς ἕκαστος χορός, καὶ ἕτερα ἑπτὰ στιχηρὰ μετὰ τοῦ Δόξα, τοῦ μεγάλου κανόνος, ἦχος δ'. πρὸς τὸ Ἤθελον δάκρυσιν, εἰς τὸ καὶ νῦν, ἐξ αὐτῶν τὸ κβ'. Χεῖρά μοι ἔκτεινον. Εἴσοδος, καὶ ἡ λειτουργία τῶν προηγιασμένων. (οϛ.] Οὔτε δὲ οἴνῳ χρώμεθα, οὔτε ἐλαίῳ, μετὰ δὲ τὸ γεύσασθαι εὐθέως ἀναπαυόμεθα. Ἀρχομένης δὲ τῆς νυκτός, κρουομένου τοῦ μικροῦ σημαντῆρος, συναγόμενοι ψάλλομεν τὸ ἀπόδειπνον λιτῶς καὶ οὐ μετὰ ἤχου, τὰς δὲ μετανοίας ποιοῦμεν· ἀκολουθίαν δὲ ἐν τοῖς κελλίοις τῇ ἑσπέρᾳ ταύτῃ οὐ ψάλλομεν, ἀλλ' εὐθὺς μετὰ τὸ ἀπόδειπνον, εἰσερχόμενοι ἐν τῷ ναῷ, ψάλλομεν τὴν παννυχίδα. Κανόνα τὸν κατανυκτικὸν τῆς ἡμέρας, εἰς ς'. χωρὶς τῶν εἱρμῶν, καὶ ἕτερον τῆς ὁσίας Μαρίας, ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ, εἰς δ'. ποίημα Συμεὼν Λογοθέτου· ψάλλομεν δὲ καὶ τὰ τριῴδια τῆς ἡμέρας, εἰς τὰς ᾠδὰς αὐτῶν, ἀνὰ δ'. Ἀπὸ γ'. κάθισμα κατανυκτικὸν τοῦ ἤχου καὶ θεοτοκίον, ἀπὸ ς'. κάθισμα τῆς ὁσίας, Δόξα καὶ νῦν, θεοτοκίον. Μετὰ τὴν ἀπόλυσιν, ἡ ἀνάγνωσις τοῦ Πραξαποστόλου, εἶτα σημαίνει καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, ἀλληλούια, καὶ τὰ τριαδικὰ τοῦ ἤχου. Αἱ στιχολογίαι, καθίσματα γ'. ὡς σύνηθες, καὶ λέγομεν καθίσματα τοῦ Τριῳδίου καὶ μαρτυρικὸν τοῦ ἤχου. Ἀνάγνωσις ἀπὸ τοῦ α'. καθίσματος, εἰς τὸ βιβλίον

τὸ ἀναγινωσκόμενον ταῖς κυριακαῖς· ἀπὸ τοῦ β'. καθίσματος, ἐκ τοῦ βίου τῆς ὁσίας Μαρίας, εἰς δ'. γὰρ δόσεις γίνεται, ἀπὸ τοῦ β'. καθίσματος καὶ γ'. καὶ ἀπὸ γ'. καὶ ς'. ᾠδῆς. Μετὰ τὰς στιχολογίας, ὁ Ν'. εἶτα ἄρχεται ὁ κανών· λέγομεν δὲ Τῷ Κυρίῳ ᾄσωμεν, καὶ εὐθὺς ἱστῶμεν καὶ ψάλλομεν τὰ τροπάρια ὅλα, πρὸς μίαν, ὁμοίως καὶ εἰς πάσας τὰς ᾠδὰς προαρχόμεθα τῆς ᾠδῆς, καὶ ὅσαι μὲν ᾠδαὶ οὐ σώζουσι, μετὰ τὸ πληρῶσαι πάλιν ἀναλαμβάνομεν στίχους πρὸς τὰ λείποντα τροπάρια καὶ δευτεροῦμεν αὐτούς, τὴν δὲ β'. ᾠδὴν καὶ τὴν δ'. καὶ τὴν ζ'. στιχολογοῦμεν ἕως οὗ στῆσαι θέλομεν, ποιοῦμεν δὲ μετανοίας ὁ καθεὶς χορὸς κατὰ τροπάριον, ἀνὰ γ'. ψάλλοντος τοῦ ἑτέρου χοροῦ, εἰς δὲ τὸ τριαδικὸν καὶ θεοτοκίον, οὐχί. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικὸν τῆς Ὀκτωήχου, ἦχος πλ. β'. Ἐννοῶ τὴν ἡμέραν τὴν φοβεράν, Δόξα καὶ νῦν, θεοτοκίον. Καὶ ἀναγινώσκομεν, ὡς εἴρηται. Ἀπὸ ς'. ᾠδῆς, κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ οἶκον· εἰ ἔχει ἡ α'. καὶ ἡ ἀνάγνωσις. Μετὰ δὲ τὴν ἀνάγνωσιν, ψάλλομεν τοὺς μακαρισμοὺς τοῦ μεγάλου κανόνος, καὶ οὕτως τὴν ζ'. ᾠδὴν καὶ τὰς λοιπάς. Ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ τοῦ μεγάλου κανόνος η'. ἐξ ὧν καὶ τῇ ἑσπέρᾳ ἐψάλλομεν, ἦχος δ'. πρὸς τὸ Ἤθελον δάκρυσιν, ἀρχόμενοι ἀπὸ τοῦ Θῆρές με ἄγριοι, Δόξα, ἐξ αὐτῶν τὸ κγ'. ψάλλοντες· Δέξαι με, καὶ νῦν, Ὦ τῆς ἀφάτου σου εὐσπλαγχνίας, ὁμοῦ ι'. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον τῆς ἡμέρας ἐκ β'. (σ. 139) ἦχος πλ. δ'. Ταῖς ληστρικαῖς ἐφόδοις, μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, τὸ δ'. καὶ θεοτοκίον. Τὴν α'. ὥραν συνημμένως μετὰ στιχολογίας καὶ ἀναγνώσεως· ὁμοίως καὶ τὰς λοιπὰς εἰς τοὺς ἰδίους καιροὺς μετὰ καὶ στιχολογιῶν καὶ μετανοιῶν· καὶ ἀναγινώσκομεν δέ, πλὴν ταχύτερον μικρόν, διὰ τὸν κόπον. Τὸ δὲ ἑσπερινόν, ὡς πάντοτε, καὶ τὸ ἀπόδειπνον μετὰ τοῦ κανόνος τῆς ἡμέρας.

Τῇ παρασκευῇ τῆς αὐτῆς ε'. ἑβδομάδος ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἰδίως, ἦχος πλ. β'. Ὡς ἐξ Ἱερουσαλήμ, καὶ β'.. εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ὅλην ἀποθέμενοι, τῆς Θεοτόκου τοῦ Εὐαγγελισμοῦ, εἶτα τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς Θεοτόκου, ἦχος δ'. Ἰδοὺ ἡ ἀνάκλησις νῦν ἐπέφανεν ἡμῖν. Εἴσοδος, καὶ ἡ λειτουργία τῶν προηγιασμένων.

Εἰς τὸ ἀπόδειπνον, τροπάριον· Ἀπόστολοι, μάρτυρες, καὶ τὰ λοιπά, καὶ κανὼν νεκρώσιμος· ψάλλεται δὲ εἰς τοὺς τάφους λιτῶς, πλὴν ψάλλομεν τὸ ἀπόδειπνον ταχύ, [κ]αὶ πλήρωμα δ'. ὥρας τῆς νυκτὸς ἐγειρόμεθα,

καὶ μετὰ τὸ Εὐλογεῖτε ἅγιοι, εὐθὺς ἅπτονται αἱ κανδύλαι, καὶ σημαίνει τὸ μέγα, καὶ ἀρχόμεθα τοῦ ὄρθρου· ἀκολουθίαν γὰρ ἐν τοῖς κελλίοις σήμερον οὐ ψάλλομεν.

Μετὰ δὲ τὸ ἐξάψαλμον, ἀλληλούια, ἦχος α'. τροπάριον τῆς Θεοτόκου· Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, παρθένε, τὸ χαῖρε, τὸ αὐτὸ ἐκ γ'. Ἡ στιχολογία, κάθισμα ἓν· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Κανὼν τῆς Θεοτόκου, ἦχος πλ. δ'. εἰς τὴν Ὀκτώηχον, ὁ ψάλτης καὶ ὁ λαός· Τὸ προσταχθὲν μυστικῶς, Δόξα καὶ νῦν, θεοτοκίον· Σὲ τὸ ἀπόρθητον τεῖχος. Ἀνάγνωσις, ἐκ τοῦ λόγου εἰς τὸν ἀκάθιστον, τὸ ἥμισυ, καὶ εὐθὺς ὁ Ν'. καὶ οἱ κανόνες· τῆς Θεοτόκου, ἦχος δ'. Χριστοῦ βίβλον ἔμψυχον, εἰς ς'. σὺν τῷ εἱρμῷ, καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. ἱστῶμεν γὰρ ι'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς Θεοτόκου εἰς τὴν Ὀκτώηχον ὁ ψάλτης καὶ ὁ λαός· Χαριστήριον αἶνον χρεωστικῶς, Δόξα καὶ νῦν, Ἐπὶ σοὶ χαίρει· οὐκ ἀναγινώσκομεν δε'. Εἰς τὴν ς'. ᾠδήν, προστίθενται καὶ τὰ τετραῴδια εἰς τοὺς κανόνας, ἀνὰ δ'. προηγοῦνται δὲ οἱ κανόνες. Ἀπὸ ς'. ᾠδῆς, ψάλλομεν τὸ κοντάκιον τῆς Θεοτόκου, ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ, ἱσταμένων πάντων, καὶ τοὺς οἴκους, κατὰ δὲ δ'. οἴκους ἄρχεται ὁ ψάλτης τὸ κοντάκιον καὶ ψάλλει αὐτὸ καὶ ὁ λαός, καὶ τότε εἰ ἀλλαχθῆναι δέει τὸν ψάλτην, ἀλλάσσεται, καὶ ψάλτης ἄλλος οἶκον. Καὶ ὅτε τελειωθῶσιν οἱ κδ'. οἶκοι καὶ τὸ κοντάκιον, εὐθὺς ἀναγινώσκομεν τὸ λεῖπον τοῦ λόγου τῆς ἡμέρας, εἶτα ψάλλομεν καὶ τὰς λοιπὰς ᾠδάς, τὴν δὲ ζ'. σήμερον οὐ στιχολογοῦμεν. Ἐξαποστειλάριον· Ἅγιος Κύριος τοῦ ἤχου. Εἰς τοὺς αἴνους, τὰ δ'. μαρτυρικὰ καὶ θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων ταγμάτων, γ'. τοῦ Εὐαγγελισμοῦ, Δόξα καὶ νῦν, (οδ.] τὸ αὐτὸ θεοτοκίον, Τῶν οὐρανίων ταγμάτων. Ἀπολυτίκιον· Τοῦ Γαβριὴλ φθεγξαμένου, καὶ ἡ α'. ὥρα μετὰ ἀναγνώσεως ἐν τῷ τέλει.

Δεῖ δὲ εἰδέναι, ὡς, εἰ τύχῃ ἐν ταύτῃ καὶ ἡ μνήμη τῶν ἁγίων τεσσαράκοντα, ψάλλομεν εἰς τὸ Κύριε ἐκέκραξα τὰ προειρημένα στιχηρά, ὕστερον δὲ, ἀντὶ τῶν μαρτυρικῶν, λέγομεν στιχηρὰ τῶν ἁγίων· εἰς τὸ Δόξα καὶ νῦν, τῆς Θεοτόκου τὸ ἰδιόμελον. Εἰς δὲ τὸν ὄρθρον, Θεὸς Κύριος, καὶ τῆς Θεοτόκου β'. εἰς δὲ τὸ Δόξα, τῶν ἁγίων, καὶ νῦν, πάλιν τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους, τὰ στιχηρὰ τῶν ἁγίων τεσσαράκοντα.

Εἰς τὴν λειτοὸργίαν, τὰ τυπικά, καὶ ἀντὶ μακαρισμῶν, ᾠδὴ τοῦ κανόνος τῆς Θετοτόκου τῆς ἡμέρας ἡ γ'. Δόξα καὶ νῦν, τὸ κοντάκιον· Τῇ ὑπερμάχῳ. Ὠδὴ τῆς Θεοτόκου, προκείμενον· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, στίχος· Ὅτι ἐπέβλεψεν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελ-

φοί, οὐκ εἰς χειροποίητα ἅγια. Ἀλληλούια, ἦχος πλ. δ'. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς. Κοινωνικόν· Ποτήριον.

Κυριακῇ τῆς ε'. ἑβδομάδος τῶν νηστειῶν. Τῷ σαββάτῳ ἑσπέρας ἡ στιχολογία, Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ'. δευτεροῦντες τὸ α'. καὶ τῆς ὁσίας Μαρίας στιχηρὰ δ'. ἦχος πλ. β'. Δόξα καὶ νῦν, τὸ α'. θεοτοκίον τοῦ ἤχου· ἀεὶ γὰρ τῇ ε'. κυριακῇ τῶν νηστειῶν ψάλλομεν τὴν ἀκολουθίαν τῆς ὁσίας Μαρίας. Εἴσοδος. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον τοῦ στίχου, καὶ ἓν ἐκ τῶν τοῦ ἁλφαβήτου, εἶτα τῆς ὁσίας ἰδιόμελον, ἦχος β'. Τὰ τῆς ψυχῆς θηράματα, Δόξα καὶ νῦν, θεοτοκίον· Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου. Ἀπολυτίκιον. Εἰς τὸ ἀπόδειπνον, τὸ ἀναστάσιμον.

Εἰς τὴν παννυχίδα, κανόνες γ'. τοῦ Τριῳδίου εἰς τὸν πλούσιον καὶ τὸν Λάζαρον, κανών, ἦχος πλ. β'. κατὰ ἁλφάβητον, καὶ β'. ἁγίων τῶν προψαλλομένων, ἀνὰ δ'. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ τῶν ἁγίων καθίσματα.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ ἀναστάσιμον τροπάριον β'. Δόξα καὶ νῦν, θεοτοκίον, εἶτα αἱ στιχολογίαι, ὡς σύνηθες, καὶ καθίσματα ἀναστάσιμα, ἀνάγνωσις ἐκ τοῦ προκειμένου βιβλίου ταῖς κυριακαῖς. Εἰς τὸν πολυέλεον, ἡ ὑπακοὴ τοῦ ἤχου, καὶ ἀνάγνωσις εἰς τὸ Πανηγυρικόν, λόγος τοῦ Χρυσοστόμου περὶ μετανοίας, καὶ εἰς τὸν Ἀχαάβ, οὗ ἡ ἀρχή· Εἴδετε τῇ προτέρᾳ κυριακῇ. Οἱ Ἀναβαθμοί, καὶ προκείμενον τοῦ ἤχου, Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινόν, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. καὶ οἱ κανόνες· ὁ α'. ἀναστάσιμος εἰς ς'. ὁ β'. εἰς δ'. καὶ τῆς ὁσίας Μαρίας εἰς δ'. ἦχος β'. ἢ πλ. δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ὁσίας, ἀνάγνωσις· λόγος Ἀναστασίου τοῦ Σιναΐτου περὶ τῆς ἁγίας συνάξεως, οὗ ἡ ἀρχή· Ἀεὶ μὲν ἡ τοῦ ἁγίου πνεύματος. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ὁσίας, ἀνάγνωσις· (**σ. 140**] λόγος τοῦ Χρυσοστόμου εἰς τὸν πλούσιον καὶ τὸν Λάζαρον, οὗ ἡ ἀρχή· Μέγιστόν ἐστι διδασκαλεῖον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας, ἐκ β'. ἦχος α'. Οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, Δόξα, τὸ στιχηρὸν τοῦ ἑωθινοῦ εὐαγγελίου, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, ἡ α'. ὥρα καὶ ἡ Κατήχησις.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι τὸ τροπάριον καὶ θεοτοκίον ὁμοίως, προκείμενον καὶ ἀλληλούια ἄμνημα τοῦ ἤχου, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, Χριστὸς παραγενόμενος,

εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τοὺς ιβ'. μαθητάς. Κοινωνικόν· Αἰνεῖτε.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τοῦ ἤχου δ'. καὶ β'. τῆς β'. τοῦ κυροῦ Ἰωσήφ, ἦχος α'. Δόξα καὶ νῦν, θεοτοκίον· Νεφέλην σε φωτός. Εἴσοδος. Προκείμενον· Ἔδωκας κληρονομίαν, στίχος α'. Ἀπὸ τῶν περάτων τῆς γῆς. Εἰς τὸν στίχον, τὸ ἰδιόμελον ἐκ β'. ἦχος α'. Θαυμαστὴ τοῦ Σωτῆρος, καὶ μαρτυρικὸν τὸ α'. τοῦ αὐτοῦ ἤχου, Δοξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Θεοτόκε παρθένε. Εἰς τὴν παννυχίδα συνημμένως κανὼν ἁγίου. Ἀπὸ ς'. τὸ κάθισμα αὐτοῦ. Τὸ ἀπόδειπνον ἔξωθεν ἐν τῷ νάρθηκι λιτῶς, τὸ Μεθ' ἡμῶν καὶ τὰ τροπάρια· ποιοῦμεν δὲ τὰς μετανοίας.

Τῇ β'. τῆς ς'. ἑβδομάδος, ὡς σύνηθες πᾶσα ἡ ἀκολουθία, εἴς τε τὸν ὄρθρον εἰς τὰς ὥρας καὶ εἰς τὸ λυχνικόν.

Τῇ δ'. τῆς αὐτῆς ς'. ἑβδομάδος, εἰς τὸν ὄρθρον καταλιμπάνομεν τὸν ἅγιον Ἐφραὶμ καὶ ἀναγινώσκομεν ἐκ τοῦ κατὰ Ἰωάννην ἑρμηνείαν τοῦ Χρυσοστόμου, εἰς τὴν περικοπὴν τοῦ Λαζάρου· Ἦν τις ἀσθενῶν Λάζαρος. Λόγος ΞΒ'. εἰς δόσεις β'. καὶ ΞΓ'. εἰς δόσιν μίαν τὸ ἥμισυ, ὁμοίως καὶ τῇ ε'. ἐξ αὐτῶν ἀναγινώσκομεν τὸν ΞΔ'. λόγον, εἰς δόσεις β'. καὶ ἕτερον λόγον τοῦ αὐτοῦ ἐν τῷ Πανηγυρικῷ εἰς τὸν Λάζαρον, εἰς δόσιν μίαν· εἰς δὲ τὰς ὥρας, τὸν ἅγιον Ἐφραὶμ καὶ τὴν λοιπὴν πᾶσαν ἀκολουθίαν, ὡς σύνηθες.

Τῇ ε'. τῆς ς'. ἑβδομάδος εἰς τὸν ἑσπερινόν, μαρτυρικὰ στιχηρὰ οὐ ψάλλομεν, ἀλλὰ μετὰ τὸ ἰδιόμελον τῆς ἡμέρας, Δόξα καὶ νῦν, ἦχος πλ. β'. ἰδιόμελον τοῦ Λαζάρου· Κύριε, πιστῶσαι θέλων.

Τῇ ε'. δὲ παρασκευῇ εἰς τὸν ὄρθρον, ἀναγινώσκομεν κατήχησιν τοῦ Χρυσοστόμου περὶ μνησικακίας, οὗ ἡ ἀρχή· Πρὸς τὸ τέλος ἡμῖν λοιπόν, εἰς δόσεις γ'. Εἰς τὴν γ'. καθίσματα τῶν στιχολογιῶν, εἰς δὲ τὸν στίχον τῶν αἴνων, μαρτυρικὸν οὐ λέγομεν, ἀλλὰ τὸ ἰδιόμελον τῆς ἡμέρας β'. εἶτα ἕτερον ἰδιόμελον, ἦχος πλ. δ'. Τὴν ψυχωφελῆ πληρώσαντες τεσσαρακοστήν, βοήσωμεν χαίροις, ἤγουν τὸ μέγα, Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον τοῦ Λαζάρου· Λάζαρον τεθνεῶτα. Εἰς τὴν α'. ὥραν ἡ κατήχησις μετὰ στιχολογίας, εἰς δὲ τὴν γ'. ὥραν, ἀπόδειπνα καὶ ὁ ἅγιος Ἐφραίμ, εἰς γὰρ τὴν θ'. σήμερον οὐκ ἀναγινώσκομεν. (οβ.]

Χρὴ εἰδέναι, ὅτι ἀπὸ τῆς σήμερον μαρτυρικὸν στιχηρὸν ἢ θεοτοκίον τῆς Ὀκτωήχου οὐ ψάλλεται.

Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες η'. ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας β'. ἦχος πλ. δ'. Τὴν ψυχωφελῆ πλη-

ρώσαντες τεσσαρακοστὴν καὶ τὴν ἁγίαν ἑβδομάδα, εἶτα τοῦ Λαζάρου στιχηρὰ γ'. ἐκ β'. ἦχος πλ. α'. Κύριε, Λαζάρου θέλων τάφον ἰδεῖν. Κύριε, ἐπὶ τὸν τάφον τοῦ τετραημέρου. Κύριε, ἡ φωνή σου κατέλυσε, Δόξα καὶ νῦν, ἦχος α'. Τῆς θεότητός σου, Χριστέ. Εἴσοδος καὶ ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων.

Εἰς τὸ ἀπόδειπνον, τροπάριον· Τὴν κοινὴν ἀνάστασιν, καὶ κανὼν τοῦ κυροῦ Ἀνδρέου, ἦχος α'. εἰς ς'. πλὴν ἐν τῷ νάρθηκι ἔξω, χωρὶς μετανοιῶν καὶ λιτῶς τὸ ἀπόδειπνον. Ἀπὸ γ'. ᾠδῆς, οὐδέν, ἀπὸ ς'. τὸ κοντάκιον· Ἡ πάντων χαρά, καὶ τὰ λοιπά.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος α'. καὶ τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Τὴν κοινὴν ἀνάστασιν. Αἱ στιχολογίαι, καθίσματα β'. Ἅμωμος μετὰ τῶν ἀλληλουιαρίων, καθίσματα τοῦ Λαζάρου, εἰς τὸ Δόξα καὶ νῦν, τὰ αὐτά. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Ἀνδρέου εἰς τὸν Λάζαρον, εἰς δόσεις γ'. οὗ ἡ ἀρχή· Λάζαρον τὸν παρόντα συγκεκρότηκε. Ζήτει εἰς τὸ τέλος τοῦ β'. βιβλίου τῆς Μεταφράσεως τοῦ Ἰανουαρίου μηνός. Εὐαγγέλιον ἑωθινὸν οὐ λέγομεν, ἀλλὰ μετὰ τὸ τέλος τῆς β'. ἀναγνώσεως λέγομεν τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ τὸ Ν'. Κανόνες β'. ἦχος πλ. δ'. ἀνὰ ς. μέχρι τῆς ς'. ᾠδῆς· ἀπὸ δὲ ταύτης ἀρχόμεθα ἀργῶς ψάλλειν τὰ τετραῴδια τοῦ κυροῦ Κοσμᾶ καὶ τοῦ κυροῦ Ἰωάννου, τοὺς μὲν α'. εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ γ'. Ζήτει εἰς τὴν ἀρχὴν τοῦ Τριῳδίου κάθισμα, ἦχος δ'. πρὸς τὸ Κατεπλάγη Ἰωσήφ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ Λαζάρου, Δόξα καὶ νῦν, τὸ αὐτό, ἀπὸ ς'. τὸ κοντάκιον· Ἡ πάντων χαρά. Ἐξαποστειλάριον· Ἅγιος Κύριος τοῦ ἤχου. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. εἰς ἦχον α'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα γ'. ἐκ β'. Ἀνάστασις καὶ ζωή. Μαρία καὶ Μάρθα. Λάζαρον τεθνεῶτα. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ἐπιστὰς τῷ μνήματι. Δοξολογία μεγάλη. Τροπάριον· Τὴν κοινὴν ἀνάστασιν, ἡ ἐκτενὴς καὶ ἡ συναπτή, ὡς ἐν ταῖς κυριακαῖς ἡ α'. ὥρα, καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν, ἐν τῷ ναῷ τυπικά. Εἰς τὴν εἴσοδον, τὸ Δεῦτε προσκυνήσωμεν, εἰς ἦχον α'. καὶ τροπάριον· Τὴν κοινὴν ἀνάστασιν, Δόξα καὶ νῦν, ἦχος β'. Ἡ πάντων χαρά. Ἀντὶ δὲ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, ἦχος γ'. Κύριος φωτισμός μου καὶ Σωτήρ μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, βασιλείαν ἀσάλευτον. Ἀλληλούια. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν, ἕως τοῦ· καὶ περιεζώσατο. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν Λάζαρος. Κοινωνικόν· Αἰνεῖτε, καὶ τὸ Ἐκ στόματος. (π. 141]

Κυριακὴ τῶν Βαΐων. Τῷ σαββάτῳ ἑσπέρας, ἡ στιχολογία, Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, ἦχος πλ. β'. Σήμερον ἡ χάρις, λέγομεν β'. Ἄλλο· Εἰσερχομένου σου, Κύριε, λέγομεν γ'. Ἄλλο· Δόξα σοι, Χριστέ. Καὶ τοῦτο λέγομεν γ'. Δόξα καὶ νῦν, τὸ α'. Σήμερον ἡ χάρις. Χρὴ δὲ εἰδέναι, ὅτι εἰς τὰ β'. στιχηρὰ τὸ Εἰσερχομένου σου, Κύριε, καὶ τὸ Δόξα σοι, Χριστέ· ἀρχόμεθα μὲν τοὺς στίχους πλ. β'. λήγομεν δὲ εἰς ἦχον β'. καὶ οὕτως ὑπερβαίνομεν αὐτά, διὰ τὸ εἶναι τὸν ἦχον αὐτῶν, μέσον πλ. β'. καὶ ἦχον β'. Εἴσοδος καὶ προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Ἀνάγνωσμα, τὸ α'. Γενέσεως· Ἐκάλεσεν Ἰακώβ. τὸ β'. Σοφονίου· Τάδε λέγει Κύριος· χαῖρε, εὐφραίνου. τὸ γ'. Ζαχαρίου· Τάδε λέγει Κύριος· χαῖρε καὶ εὐφραίνου. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, ἦχος πλ. δ'. Χαῖρε καὶ εὐφραίνου. Στίχος α'. Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου. Ἄλλο· Ἦλθεν ὁ Σωτὴρ σήμερον. Στίχος β'. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων. Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, τὰ γ'. πρὸς μίαν. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Ὁ ἔχων θρόνον οὐρανόν. Ἀπολυτίκιον, ἦχος δ'. Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος. Τὸ αὐτὸ καὶ εἰς τὸ ἀπόδειπνον.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας ψάλλομεν κανόνα ποίημα Γαβριὴλ μοναχοῦ, εἰς ι'. ἦχος δ'. πρὸς τὸ Ὤφθησαν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, οἷον θέλομεν, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ τὸν οἶκον. Μετὰ τὸ τέλος τῆς παννυχίδος, ἀνάγνωσις ἐν τῷ Πανηγυρικῷ λόγος τοῦ Χρυσοστόμου εἰς τὴν ἑορτήν· οὔτε γὰρ Πραξαπόστολον ἀναγινώσκομεν, οὔτε ἀναστάσιμόν τι ψάλλομεν.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος α'. τροπάριον· Τὴν κοινὴν ἀνάστασιν, β'. Δόξα καὶ νῦν, ἦχος δ'. Συνταφέντες. Αἱ στιχολογίαι. Ἀπὸ τοῦ α'. καθίσματος, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· λόγος β'. τοῦ Χρυσοστόμου εἰς τὴν αὐτὴν ἑορτήν. Ἀπὸ β'. στιχολογίας, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ κυροῦ Ἀνδρέου, οὗ ἡ ἀρχὴ· Χθὲς ἡμᾶς, εἰς δόσεις β'. εἶτα τὸν πολυέλεον, καὶ κάθισμα τῆς ἑορτῆς ὁμοίως, Δόξα καὶ νῦν, τὸ αὐτό. Ζήτει εἰς τὴν ἀρχὴν τοῦ Τριῳδίου κάθισμα, ἦχος δ'. πρὸς τὸ Κατεπλάγη, καὶ ἕτερον πρὸς τὸ Ἀγγελικαὶ δυνάμεις, ἦχος πλ. β'. Ἀνάγνωσις, τὸ ὑπολειφθὲν τοῦ ῥηθέντος λόγου. Εἶτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου, ἀντίφωνον γ'. προκείμενον, ἦχος δ'. Ἐκ στόματος νηπίων. Στίχος· Κύριε, ὁ Κύριος ἡμῶν. Πᾶσα πνοή, ἦχος ὁ αὐτός. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, εἶτα ὁ Ν'. τὸ γὰρ Ἀνά-

στασιν Χριστοῦ οὐ λέγομεν, καὶ εὐθὺς ἀρχόμεθα τοῦ κανόνος. Τῷ γὰρ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν, ψάλλομεν δὲ τοὺς εἱρμοὺς ἐκ β'. (οδ.] τὰ δὲ τροπάρια, ἔνθα εἰσὶ β'. ἀνὰ ς'. ἔνθα δέ εἰσι τρία τροπάρια ἀνὰ δ'. ὡς γίνεσθαι ἑκάστην ᾠδὴν, ἀνὰ ιδ'. ἦχος δ'. Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου. Λέγομεν (;) δὲ καὶ ἔσχατον τοὺς εἱρμοὺς ἀμφότεροι οἱ χοροὶ ἅπαξ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, ἦχος δ'. Μετὰ κλάδων, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· λόγος εἰς τὸ κατὰ Ἰωάννην ΞΕ'. Εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας. Ἀπὸ ς'. τὸ κοντάκιον· Τῷ θρόνῳ ἐν οὐρανῷ, καὶ εἰ ἔχει ἡ ὥρα, ἀνάγνωσις εἰς τὸν αὐτὸν κατὰ Ἰωάννην, λογος Ξς'. Ἀρχὴ δὲ τῆς θ'. ᾠδῆς, ἣ καὶ μικρὸν ὄπισθεν, παρέχει τὰ βαΐα καὶ τοὺς κηροὺς τοῖς ἀδελφοῖς ὁ ἐκκλησιάρχης, ἀρχόμενος ἀπὸ τοῦ προεστῶτος μέχρι τοῦ ἐσχάτου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, εἰς τὸν ἦχον. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. εἰς ἦχον δ'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα γ'. ἐκ β'. Μέλλοντός σου εἰσιέναι. Ἄλλο· Ὁ πλεῖστος ὄχλος. Ἕτερον· Ἐξέλθετε ἔθνη. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα. Δοξολογία μεγάλη. Ἀπολυτίκιον· Τὴν κοινὴν ἀνάστασιν. Καὶ εὐθὺς ἐξέρχεται ἡ λιτή, καὶ ἀνερχόμεθα εἰς τὸν Σωτῆρα ψάλλοντες· Τὴν κοινὴν ἀνάστασιν, ἐκ γ'. εἶτα Συνταφέντες σοι, καὶ αὐτὸ ἐκ γ'. εἶτα τὸ κοντάκιον, ὁμοίως καὶ εἰς τὴν ὑποστροφήν, ποιοῦντες δὲ ἐκεῖ ἐκτενῆ εὐθὺς ὑποστρέφομεν, καὶ πάλιν ἐν τῷ ναῷ εἰσελθόντες ποιοῦμεν ἐκτενῆ μεγάλην, καὶ εὐθὺς ἀρχόμεθα ψάλλειν τὴν α'. ὥραν. Ἀνάγνωσις δὲ οὐ γίνεται, τοὺς δὲ κηροὺς ἅμα τῷ ὑποτρέψαι, ἀναλαμβανόμενος ὁ παρεκκλησιάρχης, φυλάττει αὐτούς, παρέχων αὐτοὺς πάσι τοῖς ἀδελφοῖς, ἔν τε τῷ νιπτῆρι καὶ τοῖς εὐαγγελίοις τῶν ἁγίων παθῶν.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοί, ἦχος δ'. Διὰ ξύλου ὁ Ἀδάμ. Εἰς τὴν εἴσοδον, στίχος εἰς ἦχον α'. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, καὶ εὐθὺς τροπάριον· Τὴν κοινὴν ἀνάστασιν, Δόξα καὶ νῦν, ἦχος πλ. β'. τὸ κοντάκιον· Τῷ θρόνῳ ἐν οὐρανῷ. Τὸ Τρισάγιον. Προκείμενον, ἦχος δ'. Εὐλογημένος ὁ ἐρχόμενος. Στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Ὁ ἀπόστολος πρὸς Φιλιππισίους· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ. Ἀλληλούια, ἦχος α'. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος. Στίχος β'. Εἶδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, καὶ ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικόν· Αἰνεῖτε, καὶ Εὐλογημένος ὁ ἐρχόμενος.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρας οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἐκ β'. ἦχος βαρύς· Συνα-

γωγὴ πονηρὰ (π. 142] καὶ ἕτερα β'. ὅμοια αὐτῷ, Δόξα καὶ νῦν, ἦχος β'. Ἐκ βαΐων καὶ κλάδων. Εἴσοδος. Προκείμενον· Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Στίχος· Οἱ ἑστῶντες ἐν οἴκῳ Κυρίου. Εἰς τὸν στίχον, στιχηρά, ἦχος α'. Ἐρχόμενος ὁ Κύριος, ἑκ β'. Ἄλλο· ἦχος πλ. α'. Φθάσαντες πιστοί, ἅπαξ. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Τῆς ξηρανθείσης συκῆς. Ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά.

Ἡ παννυχὶς συνημμένως καὶ ψάλλομεν τὸ τοῦ κυροῦ Ἀνδρέου τῆς μεγάλης β'. τριῴδια, ἦχος πλ. δ'. Τῷ συντρίψαντι, εἰς η'. εἶτα ἐκτενής, καὶ ἡ λοιπὴ ἀκολουθία.

Τὸ ἀπόδειπνον ἔξω ἐν τῷ νάρθηκι, λιτῶς τὸ Μεθ' ἡμῶν καὶ τὰ συνήθη τροπάρια, τὰς δὲ μετανοίας ποιοῦμεν, καὶ ἐξῆς πᾶσα ἀκολουθία.

Τῇ ἁγίᾳ μεγάλῃ β'. εἰς τὸν ὄρθρον ἐγειρόμεθα ἀπὸ τῆς σήμερον ὥρα ς'. καὶ ψάλλομεν ἀλληλούια, ἦχος πλ. δ'. τροπάριον· Ἰδοὺ ὁ νυμφίος. Τὸ αὐτὸ ἑκ γ'. στιχολογοῦμεν καθίσματα γ'. καὶ λέγομεν καθίσματα τοῦ Τριῳδίου, Δόξα καὶ νῦν τὰ αὐτά, καὶ ἕτερον κάθισμα τοῦ Τριῳδίου, ἦχος α'. πρὸς τὸ Τὸν τάφον σου Σωτήρ. Ἀπὸ τῆς γ'. στιχολογίας, τὸ κοντάκιον τῆς ἡμέρας, καὶ οἶκον, ἦχος πλ. δ'. Ἀνάγνωσις· λόγος τοῦ Χρυσοστόμου εἰς τὸ Πανηγυρικὸν περὶ τῆς μεγάλης ἑβδομάδος, δι' ἣν αἰτίαν καλεῖται μεγάλη ἑβδομάς, οὗ ἡ ἀρχή· Διηνύσαμεν τῆς νηστείας, εἰς δόσεις β'. καὶ ἕτερον λόγον τοῦ αὐτοῦ εἰς τὴν ξηρανθεῖσαν συκήν. Εἶτα ὁ Ν'. καὶ εὐθὺς τὸ τριῴδιον. Τῷ γὰρ Κυρίῳ ᾄσωμεν, οὐ λέγομεν, ἀρχόμενοι δὲ τὰς ᾠδάς, ἱστῶμεν ιδ'. τούς μὲν εἱρμοὺς ἑκ β'. τὰ δὲ τροπάρια ἀνὰ ς'. ἔνθα δὲ εἰσὶ γ'. ἀνὰ δ'. ἔσχατον δὲ πάλιν ὁμοῦ τοὺς εἱρμοὺς ἅπαξ, ἀμφοτέρους, ἦχος β'. ᾠδὴ α'. Τῷ τὴν ἄβατον, καὶ η'. καὶ θ'. Ἐξαποστειλάριον, ψάλλεται δὲ παρὰ τοῦ ψάλτου καὶ ἡμῶν· Τὸν νυμφῶνα σου βλέπω. Εἰς τοὺς αἴνους, οὐδέν, εἰς δὲ τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἦχος, πλ. α'. Κύριε, ἐρχόμενος πρὸς τὸ πάθος. Κύριε, πρὸς τὸ μυστήριον. Κύριε, τὰ τελεώτατα φρονεῖν, τὰ γ'. πρὸς μίαν, Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Δευτέραν Εὖαν τὴν Αἰγυπτίαν. Τρισάγιον, καὶ τὴν α'. ὥραν μετὰ στιχολογίας. Εἰ δὲ βραδύτερον ἀπολύει ὁ ὄρθρος, ψάλλομεν αὐτὴν τρίψαλμον χωρὶς στιχολογίας, καὶ στιχολογοῦμεν εἰς τὴν θ'. ὥραν. Εἰ γὰρ γένηται εἰς τὴν α'. ὥραν στιχολογία, εἰς τὴν θ'. ὥραν οὐ στιχολογοῦμεν. Τὸ προκείμενον μετὰ ἤχου· Τὸ πρωὶ εἰσάκουσον τῆς φωνῆς μου, Δόξα καὶ νῦν, Τί σε καλέσωμεν. Εἶτα ἱσταμένου τοῦ ἀναλογίου μετὰ βλαττίου εἰς τὸν τόπον τῶν ψαλτῶν ἔμπροσθεν τοῦ ἁγίου βήματος μετὰ καὶ δύο κηρῶν ἔνθεν καὶ ἔνθεν, ἀναγινώσκεται τὸ χῦμα τοῦ τετραευαγγελίου παρὰ τῶν ἱερέων καὶ

διακόνων, ἑκάστης ἡμέρας εὐαγγελιστής εἷς· τῇ β'. ὁ Ματθαῖος ὅλος εἰς δόσεις δ'. ἤγουν εἰς τὴν α'. ὥραν καὶ εἰς τὴν γ'. (οδ.] καὶ ς'. μετὰ τὸ β'. προκείμενον τῆς προφητείας, πάντων ἱσταμένων, καὶ εἰς τὴν θ'. ὥραν, εἶτα μετὰ τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου, Τὰ διαβήματά μου, Τρισάγιον, Κύριε ἐλέησον με'. αἱ μετάνοιαι, αἱ εὐχαί, καὶ ἀπόλυσις. Οὕτως ἐν πάσαις ταῖς ὥραις, εἰς δὲ τὴν θ'. ὥραν οὐ στιχολογοῦμέν, εἴ γε οὐ κατελείφθη ἡ τῆς α'. ὥρας στιχολογία.

Τῇ αὐτῇ μεγάλῃ β'. ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, ἦχος α'. Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, ἐκ β'. Ἄλλο, ἦχος β'. Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ, ἐκ β'. Ἕτερον εἰς τὸν αὐτὸν ἦχον· Καθαρίσωμεν ἑαυτοὺς ἀδελφοί, καὶ τοῦτο ἐκ β'. Δόξα καὶ νῦν, ἦχος δ'. Τοῦ κρύψαντος τὸ τάλαντον. Εἴσοδος μετὰ εὐαγγελίου, τὸ προκείμενον καὶ αἱ προφητεῖαι, εἶτα τὸ Κατευθυνθήτω, καὶ εὐθύς· Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Ὁ διάκονος· Ἐκ τοῦ κατὰ Ματθαῖον, καὶ ἀναγινώσκει τὸ εὐαγγέλιον· Τῷ καιρῷ ἐκείνῳ, καθημένου τοῦ Ἰησοῦ ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν, καὶ ἑξῆς ἡ τῶν προηγιασμένων λειτουργία. Εἰς γὰρ τὸν ὄρθρον εὐαγγέλιον οὐ λέγεται, καθὼς ἔθος τοῖς ἐν κόσμῳ.

Εἰς δὲ τὸ ἀπόδειπνον, τὸ Μεθ' ἡμῶν ὁ Θεός, καὶ τὰ συνήθη τροπάρια μετὰ ἤχου ἔνδοθεν τοῦ ναοῦ, ψάλλομεν καὶ τὸ τῆς μεγάλης γ'. τριῴδιον τοῦ κυροῦ Ἀνδρέου, εἰς η'. ἦχος πλ. δ'. Ἴδετε ἴδετε.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ γ'. ὄρθρος, ἡ αὐτὴ ὥρα ς'. Ἀλληλούια, ἦχος πλ. δ'. τροπάριον· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐκ γ'. Αἱ στιχολογίαι, καθίσματα γ'. καθίσματα τοῦ Τριῳδίου τῆς ἡμέρας, Δόξα καὶ νῦν, τὰ αὐτά, ὁ ψάλτης καὶ ὁ λαὸς ὅλα. Ἀπὸ τοῦ γ'. καθίσματος τῆς στιχολογίας, τὸ κοντάκιον τῆς μεγάλης γ'. ἦχος β'. καὶ οἶκον. Ἀνάγνωσις, ἐν τῷ Πανηγυρικῷ λόγους β'. τοῦ Χρυσοστόμου εἰς τὰς δέκα παρθένους· τὸν μὲν α'. ἀπὸ τοῦ μέσου, τὴν γὰρ ἀρχὴν τοῦ λόγου καταλιμπάνομεν, τὸν δὲ β'. ὅλον, καὶ ἕτερον λόγον εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου· καὶ ἐξέλθετε φησὶν οἱ Φαρισαῖοι, ἀπὸ τὸ μέσον, εἶτα ὁ Ν'. καὶ εὐθὺς ἀρχόμεθα τὴν η'. ᾠδήν· Τῷ δόγματι, ἱστῶμεν ιδ'. τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ δ'. ἄρχεται δὲ αὐτό, ὁ ἀρχόμενος κατὰ τὴν ἡμέραν χορὸς διὰ τὴν ἰσότητα, δύο γὰρ ᾠδὰς μόνον ψάλλομεν, ὁμοίως καὶ τὴν θ'. τὸν μὲν εἱρμὸν β'. τὰ τροπάρια ἀνὰ ς'. καὶ ἔσχατον πάλιν τοὺς εἱρμοὺς ὁμοῦ ἅπαξ. Ἐξαποστειλάριον· Τὸν νυμφῶνά σου βλέπω. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἰδιόμελα, ἦχος πλ. β'. Δεῦτε, πιστοί, ἐπεργασώμεθα. Ἄλλο· Ὁ νυμφίος ὁ κάλλει ὡραῖος. Ἄλλο· Ὅταν ἔλθῃς ἐν δόξῃ, πρὸς μίαν

ἀμφότερα. Δόξα καὶ νῦν, ἦχος γ'. Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Εἰς τὴν α'. ὥραν ἡ στιχολογία καὶ ἀνάγνωσις, τὸ κατὰ Μάρκον εὐαγγέλιον, εἰς δόσεις γ'. εἰς δὲ τὴν θ'. ὥραν οὐ στιχολογοῦμεν, ἀναγινώσκεται δὲ (σ. **143**] τὸ ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγέλιον· εἰς γὰρ ε'. δόσεις ποιοῦμεν αὐτό.

Ἑσπέρας δὲ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, ἦχος α'. Τὸ πολυτίμητον μῦρον, ἐκ β'. Ἄλλο· Ὅτε ἡ ἁμαρτωλός, ἐκ β'. Ἕτερον· Ὢ τῆς Ἰούδα ἀθλιότητος, μίαν, καὶ ἄλλο· Σὲ τὸν τῆς παρθένου Υἱόν, μίαν. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις. Εἴσοδος μετὰ εὐαγγελίου, τὸ προκείμενον καὶ αἱ προφητεῖαι, τὸ Κατευθυνθήτω, καὶ εὐθὺς εὐαγγέλιον, τὸ κατὰ Ματθαῖον· Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, καὶ ἐξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Εἰς τὸ ἀπόδειπνον, τὸ τριῴδιον τῆς μεγάλης δ'. εἰς η'.

Τῇ ἁγίᾳ μεγάλῃ δ'. ὄρθρος, ἡ αὐτὴ ὥρα ς'. Ἀλληλούια, τροπάριον· Ἰδοὺ ὁ νυμφίος, ἐκ γ'. ἡ στιχολογία, καθίσματα β'. τὸ Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, καὶ ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου, καθίσματα τοῦ Τριῳδίου ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν τὰ αὐτά, κοντάκιον σήμερον οὐ λέγομεν. Ἀνάγνωσις, εἰς τὸ αὐτὸ βιβλίον, λόγος τοῦ Χρυσοστόμου εἰς τὴν πόρνην, καὶ ἕτερος τοῦ ἁγίου Ἐφραίμ, εἶτα ὁ Ν'. καὶ τὸ τριῴδιον, ἱστῶμεν ιδ'. ὡς καὶ ἐν ταῖς λοιπαῖς, τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ ς'. ἐν αἷς δὲ εἰσὶ γ'. ἀνὰ δ'. καὶ ἔσχατον τοὺς εἱρμοὺς ὁμοῦ. Ἐξαποστειλάριον· Τὸν νυμφῶνά σου. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρά, ἦχος πλ. β'. Ἡ ἀπεγνωσμένη, καὶ ἕτερα β'. ὅμοια αὐτοῦ. Ἡ βεβυθισμένη. Ἡ ἐσκοτισμένη, πρὸς μίαν. Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον· Ἥπλωσεν ἡ πόρνη. Εἰς τὴν α'. ὥραν στιχολογοῦμεν τὰ πρὸς Κύριον, καὶ ἀνάγνωσις, τὸ κατὰ Λουκᾶν εὐαγγέλιον· ὁμοίως καὶ εἰς τὰς λοιπὰς ὥρας. Εἰς τὴν γ'. ὥραν στιχολογοῦμεν τὸν πολυέλεον, εἰς ἦχον πλ. β'. εἰς τὴν ς'. τὸ Εὐλογητὸς Κύριος ὁ Θεός μου, καὶ τελειοῦμεν τὸ Ψαλτήριον, εἰς δὲ τὴν θ'. ὥραν, οὐ στιχολογοῦμεν, τὰ δὲ λοιπὰ καὶ αἱ μετάνοιαι, ὡς σύνηθες.

Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, ἦχος πλ. β'. Σήμερον ὁ Χριστὸς παραγίνεται, β'. Ἄλλο· Προσῆλθε γυνή, ἐκ β'. Ἄλλο· Γέννημα ἐχιδνῶν, ἐκ β'. Δόξα καὶ νῦν, ἦχος β'. Συντρέχει λοιπόν. Εἴσοδος μετὰ εὐαγγελίου. Προκείμενον καὶ αἱ προφητεῖαι, Φῶς Χριστοῦ φαίνει πᾶσιν, ἐν ᾧ καὶ ἀποδίδονται, ὁμοίως καὶ τὸ Κατευθυνθήτω, καὶ λέγομεν τοὺς γ'. στίχους· Κύριε ἐκέκραξα. Θεοῦ Κύριε. Μὴ ἐκκλίνῃς· τὰς γὰρ ἄλλας οὐ ψάλλονται οἱ τρεῖς, ἀλλ' ἡ

εἷς ἢ δύο. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τοῦ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, καὶ ἑξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Εἰς τὸ ἀπόδειπνον, ὡς σύνηθες, μετὰ ἤχου τὸ Μεθ' ἡμῶν καὶ τὰ ἐξ ἔθους τροπάρια, τὸ δὲ τριῴδιον τοῦ κυροῦ Ἀνδρέου τῆς μεγάλης ε'. ἦχος πλ. β'. Ἀκήκοεν ὁ προφήτης, (οδ.] ἀνὰ η'. τὰς γ'. ᾠδάς, αἱ μετάνοιαι, ὡς σύνηθες καὶ τὰ λοιπά.

Χρὴ γινώσκειν, ὅτι τῇ ἁγίᾳ μεγάλῃ δ'. ἑσπέρας ἀποδίδονται αἱ ἐν τῷ μέσῳ μετάνοιαι, αἵ τε τῶν ὡρῶν στιχολογίαι, καὶ τὰ μετὰ ἦχον ἀπόδειπνα, ὁμοίως καὶ τὰ τούτων τροπάρια, καὶ Δόξα σοι ὁ Θεός.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ ε'. εἰς τὸν ὄρθρον, ἐγειρόμεθα ὥρα ς'. καὶ ψάλλομεν ἀλληλούια, ἦχος πλ. δ'. τροπάριον· Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἐκ γ'. Στιχολογία, κάθισμα ἓν· Ἐλέησόν με ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος, κάθισμα τοῦ Τριῳδίου ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν τὸ αὐτό, ἕτερον κάθισμα, ἦχος δ'. πρὸς τὸ Ἐπεφάνης σήμερον. Ἀνάγνωσις, λόγος τοῦ Χρυσοστόμου εἰς τὴν προδοσίαν, οὗ ἀρχή· Ὀλίγα ἀνάγκη σήμερον εἰπεῖν, εἰς δόσεις β'. ὁ Ν'. καὶ ἀρχόμεθα Τῷ Κυρίῳ ᾄσωμεν, ἦχος πλ. β'. καὶ ἱστῶμεν ιδ'. καὶ λέγομεν τοὺς εἱρμοὺς τοῦ κανόνος, ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ ς'. ἐν αἷς δὲ ᾠδαῖς εἰσι τρία τροπάρια, ἀνὰ δ'. καὶ ἔσχατον ὁμοῦ τοὺς εἱρμούς· Τμηθείσῃ τμᾶται πόντος ἐρυθρός. Ἀπὸ γ'. ᾠδῆς κάθισμα τῆς ἡμέρας, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις, ἡ β'. τοῦ εἰρημένου λόγου· ἀπὸ ς'. κοντάκιον, ἦχος β'. Τὸν ἄρτον λαβών. Ἐξαποστειλάριον· Τὸν νυμφῶνά σου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἰδιόμελα, ἦχος β'. Ἰούδας ὁ παράνομος, Κύριε. Ἄλλο· Ἰούδας ὁ προδότης. Ἄλλο· Ἰούδας ὁ δοῦλος καὶ δόλιος, πρὸς μίαν. Δόξα καὶ νῦν, ἦχος πλ. α'. Μυσταγωγῶν σου, Κύριε. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, Τρισάγιον, ἐκτενής, καὶ εὐθὺς ἡ α'. ὥρα τρίψαλμος, τροπάριον λιτῶς· Ὅτε οἱ ἔνδοξοι μαθηταί, Δόξα καὶ νῦν, Τί σε καλέσωμεν, καὶ εὐθὺς ἡ α'. ἀνάγνωσις τοῦ κατὰ Ἰωάννην εὐαγγελίου· γίνεται γὰρ εἰς δόσεις δ'. μέχρι τῆς Διαθήκης, ἀπ' ἐκεῖ δὲ καταλιμπάνεται. Τὰ διαβήματά μου, Τρισάγιον, Κύριε ἐλέησον με'. προσκυνήσεις μεγάλαι γ'. αἱ εὐχαὶ καὶ ἀπόλυσις. Οὕτως τοίνυν καὶ εἰς τὰς λοιπὰς ὥρας ἐκτὸς στιχολογίας, πλὴν ταχύτερον, ὥστε συμφθάσαι ταύτας πρὸς ἀρχὴν ὥρας ς'. ὥρα δὲ ε'. σημαίνει τὴν θ'. ὥραν καὶ συναγόμενοι ψάλλομεν καὶ ταύτην, ὡς ἔθος τρίψαλμον, τὸ τροπάριον· Ὅτε οἱ ἔνδοξοι, λιτῶς, ὡς καὶ εἰς τὰς λοιπὰς ὥρας, Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθείς, καὶ εὐθὺς ἡ δ'. ἀνάγνωσις τοῦ εὐαγγελίου. Μὴ δὴ παραδῴης ἡμᾶς, Τρισάγιον, προσκυνήσεις μεγάλαι γ'. ἡ εὐχὴ καὶ τὰ λοιπὰ συνημμένως, ὡς σύνηθες, τὸ Μνήσθητί μου, καὶ

τὰ ἄλλα, καὶ μετὰ τὸ τέλος αὐτῶν γίνεται ἀπόλυσις. Εἴ γε μέλλει γενέσθαι ὁ νιπτήρ, καὶ ἀρχὴ ὥρας ς'. πάλιν κρουομένου τοῦ ξύλου, συναγόμεθα (π. **144**] καὶ ποιοῦμεν τὸν νιπτῆρα, ὡς δηλοθήσεται· εἰ δέ γε οὐ μέλλει γενέσθαι ὁ νιπτήρ, ὥρα ς'. ψάλλομεν τὴν θ'. καὶ μετὰ τὸ τέλος τῶν τυπικῶν, εὐθὺς ἀρχόμεθα συνημμένως τοῦ ἑσπερινοῦ καὶ τῆς λειτουργίας, ὡς ἔθος ἡμῖν ποιεῖν πάσῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ.

Ἡ δὲ ἀκολουθία τοῦ νιπτῆρος γίνεται οὕτως· ὥρα ς'. πάντων τῶν ἀδελφῶν εἰσερχομένων ἐν τῇ ἐκκλησίᾳ, ἤδη τελεσθείσης τῆς τῶν ὡρῶν ἀκολουθίας, γίνεται ἡ ἔναρξις παρὰ τοῦ ἱερέως, λέγοντος οὕτως· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, καὶ ἵστανται οἱ ἀδελφοί, οἱ μὲν ἔσωθεν τῆς ἐκκλησίας, οἱ δὲ ἐν τῷ δεξιῷ παραπτερύγῳ τῆς ἐκκλησίας, καὶ εὐθὺς ἄρχονται ψάλλειν στιχηρά, ἦχος α'. Ἐπὶ τὸ πάθος τὸ ἑκούσιον παραγενόμενος ὁ Σωτὴρ ἡμῶν, ὑπόδειγμα δεικνὺς ταπεινώσεως, ἀντὶ πορφύρας λέντιον περιεζώσατο, καὶ ἔνιψε τοὺς πόδας τῶν μαθητῶν ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον. Καὶ λέγομεν στίχους ἐκ τοῦ Ἀμώμου. [Σ]τίχος α'. Μακάριοι οἱ ἄμωμοι. Ἕτερον στιχηρόν, ἦχος β'. Ἐν τῷ νιπτῆρί σου, Χριστὲ ὁ Θεός, τοῖς μαθηταῖς σου προέλεγες. Στίχος β'. Μακάριοι οἱ ἐξερευνῶντες. Μεγάλης εὐεργεσίας, ἀπολαβεῖν μέλλοντες οἱ πιστοί. (**οδ.**] Στίχος· Οὐ γὰρ οἱ ἐργαζόμενοι. Ὁ Πέτρος ηὐλαβεῖτο νίψασθαι πόδας ἐκ τῶν ἀχράντων χειρῶν, Δόξα καὶ νῦν, θεοτοκίον· Ἀδιόδευτε πύλη. Ἀντίφωνον, β'. πρὸς τὸ Ὃν στρατιαί, ἦχος πλ. β'. Ταπεινωθεὶς δι' ἡμᾶς ὁ πλούσιος, τοῦ δείπνου ἐξανεστάς, λέντιον, Χριστέ, τότε περιεζώσω, καὶ κλίνας τὸν αὐχένα ἔνιψας τοὺς πόδας τῶν μαθητῶν καὶ τοῦ προδότου. Στίχος α'. Σὺ ἐνετείλω τὰς ἐντολάς σου. Τῆς ὑπὲρ νοῦν καὶ ἀφράστου γνώσεως τὸ ὕψος σου, Ἰησοῦ, τίς μὴ ἐκπλαγῇ, ὅτι πηλῷ παρέστης, ὁ πλάστης τῶν ἁπάντων, νίπτων μὲν τοὺς πόδας, ἐκμάσσων δὲ καὶ τῷ λεντίῳ. Στίχος β'. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι. Ἄλλο, πρὸς τὸ Ἀσπόρου συλλήψεως. Πιπράσκεις τριάκοντα ἀργυρίοις τὸν Κύριον, καὶ οὐ λογίζῃ, Ἰούδα παράνομε, τοῦ δείπνου τὴν μύησιν ἢ τοῦ σεπτοῦ νιπτῆρος, ὦ πῶς εἰς τέλος τοῦ φωτὸς ὀλισθήσας πτῶμα ἦλθες, τὴν ἀγχόνην ἀσπασάμενος. Δόξα καὶ νῦν, θεοτοκίον· Μεγάλων χαρισμάτων ἁγνὴ παρθένε. Ἀντίφωνον γ'. ἦχος πλ. δ'. πρὸς τὸ Τὸν ζόφον τῆς ψυχῆς μου. Ἐγείρεται τοῦ δείπνου (π. **145**] καὶ λεντίῳ ζώννυται θέλων Χριστὸς τὴν ὀσφύν, καὶ ὑποκλίνει αὐχένα τῷ Πέτρῳ ἐκβοῶντι· οὐ μή μου νίψῃς ποτέ, ὁ ποιητής μου, τοὺς πόδας, ἀλλ' ὅμως ἐνίψατο. Στίχος α'. Τὰ δικαιώματά σου φύ[λαξον]. Ἐδέξατο τὸν ἄρτον εἰς τὰς χεῖρας, αἷς καὶ τὴν πρᾶσιν εἰργάσατό σου, εἰς προδοσίαν τοὺς πό-

δας ἐξέτεινεν Ἰούδας, ὁ δόλιος μαθητής, οὕσπερ αὐτὸς ἀπονίψας, λεντίῳ ἐξέμαξας. Στίχος· Ἐν τίνι κατορθώσει νεώτερος· πρὸς τὸ Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα. Ὁ περιβάλλων τοῖς νέφεσι τὸν οὐρανὸν Ἰησοῦς, ὁ ἐν θρόνῳ δόξης συμβασιλεύων τῷ ἀφθάρτῳ Πατρί, σὺ λαβὼν λέντιον, τοῦτο περιεζώσω πρὸς τὸ νίψαι, πόδας τῶν πηλίνων, ὅλος πῦρ ὑπάρχων, Λόγε, κἂν ἐσαρκώθης. Στίχος γ'. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα. Τῆς ὑψηλῆς ταπεινώσεως τὴν εὐσπλαγχνίαν ἰδών, ὁ θερμὸς ἐβόα Πέτρος τῷ Κτίστῃ· οὐ μὴ νίψῃς με σύ· ταῦτα δὲ λέγοντος ὁ Χριστὸς ἀπεκρίθη· ἄφες, Πέτρε, σὲ γὰρ ἂν μὴ νίψω, μέρος μετ' ἐμοῦ οὐκ ἔχεις εἰς τοὺς αἰῶνας, Δόξα καὶ νῦν, θεοτοκίον· Τὰ οὐράνια ὑμνεῖ σε κεχαριτωμένη. Καὶ εὐθὺς λέγεται εὐαγγέλιον κατὰ Ἰωάννην· Πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα. Ζήτει εἰς τὸ ἑωθινόν. Χρὴ δὲ γινώσκειν, ὅτι λεγομένου τοῦ εὐαγγελίου, ὅταν εἴπῃ· Καὶ ἔβαλεν ὕδωρ εἰς τὸν νιπτῆρα, αὐτῇ τῇ ὥρᾳ αἴρει τὸ μεγαρικὸν ὁ ἡγούμενος, καὶ βάλλει ὕδωρ ὀλίγον εἰς τὴν λεκάνην, καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, βάλλει καὶ τὸ ἕτερον ὕδωρ, εἶτα γινομένης συναπτῆς, λέγει ὁ ἱερεὺς τὴν εὐχήν. Γίνεται γὰρ συναπτὴ ὑπὸ τοῦ διακόνου καὶ ἐπεύχεται ὁ ἱερεύς, καὶ μετὰ τὸ πληρῶσαι τὰς εὐχάς, ζώννυται τὸ λέντιον ὁ ἡγούμενος, καὶ ἄρχονται πάντες ψάλλειν τροπάριον, ἦχος α'. Ὁ λεντίῳ ζωσάμενος. (οϐ.] Καὶ εὐθὺς στίχος· Μακάριος ὁ συνιών. Εἶτα ἐκ γ'. λέγομεν τὸ αὐτὸ τροπάριον, Δόξα καὶ νῦν, θεοτοκίον· Χαίροις παρ' ἡμῶν, ἁγία Θεοτόκε παρθένε. Καὶ οὕτως ὁ ἡγούμενος ἄρχεται νίπτειν τοὺς πόδας τῶν μαθητῶν, πάντων ψαλλόντων ταῦτα τὰ στιχηρά, ἦχος πλ. β'. Ὁ νίψας τοὺς πόδας τῶν ἁγίων μαθητῶν, καὶ ἡμᾶς καθάρισον ἐκ τῶν ἀνομιῶν ἡμῶν. Στίχος· Ἐν τοῖς χειλεσί μου ἐξήγγειλα· Ὁ δείξας τῷ Πέτρῳ ἐκ σοῦ μὴ χωρίζεσθαι, καὶ ἡμῶν ἀσάλευτον τὴν πίστιν διαφύλαξον. Στίχος· Ἐν τοῖς δικαιώμασί σου μελετήσω. Τῇ ὥρᾳ ταύτῃ ἀοράτως, Κύριε, μέσον στὰς τῶν δούλων σου, εὐλόγησον πάντας ἡμᾶς. Στίχος· Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου. Τὸ ὕδωρ τοῦτο πταισμάτων καθάρσιον νιπτομένοις, Κύριε, γενέσθω τοῖς δούλοις σου. Καὶ μετὰ τούτων συμπλήρωσιν ἐν τῷ ἀκμὴν νίπτεσθαι τοὺς ἀδελφούς, ψάλλεται καὶ ἡ ε'. ᾠδὴ τοῦ κανόνος, ἦχος πλ. β'. Κοσμᾶ μοναχοῦ· Τῷ συνδέσμῳ τῆς ἀγάπης. Στίχος· Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. Ἡ τὸ ἄσχετον κρατοῦσα καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ. Στίχος· Τὰ διαβήματά μου. Μαθηταῖς ὑποδεικνύει ταπεινώσεως ὁ Δεσπότης τύπον. Δοξα, Πρὸς σὲ ὀρθρίζω. Ῥυφθέντες πόδας, καὶ προκαθαρθέντες (л. 146] μυστηρίου μεθέξει. Καὶ νῦν, θεοτοκίον· Ἐκ σοῦ. Καὶ μετὰ τὴν συμπλήρωσιν τῶν νιπτομένων, λέγει ὁ ἱερεὺς τὴν γ'.

εὐχήν, καὶ μετὰ τὸ τέλος τῆς εὐχῆς, λέγει ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς, καὶ λέγει εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. Ζήτει εἰς τὸ ἑωθινὸν εὐαγγέλιον. Καὶ λεγομένου τοῦ εὐαγγελίου, ψάλλομεν στιχηρά, εἰς ἦχον πλ. δ'. Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ. Δόξα καὶ νῦν, θεοτοκίον· Ἡ σκέπη σου, Θεοτόκε παρθένε. Εἶθ' οὕτως γίνεται ὑπὸ τοῦ διακόνου ἐκτενής, καὶ λέγοντος παντὸς τοῦ λαοῦ τὸ Κύριε ἐλέησον, ἐκφωνεῖ ὁ ἱερεὺς λέγων· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ ἀπόλυσις. Ταῦτα δὲ πάντα ἐν τῷ παραπτερύγῳ τῆς ἐκκλησίας τελεῖται, καὶ αἱ ψαλμῳδίαι καὶ αἱ εὐχαί, αἱ γενόμεναι παρὰ τοῦ ἱερέως, ὡσαύτως καὶ τὰ εὐαγγέλια. Τῆς γὰρ θείας εἰκόνος κρεμαμένης, ἔμπροσθεν ταύτης καὶ ἡ λεκάνη καὶ τὸ σκαμνίον ἵστανται, πρὸς δὲ καὶ οἱ ψάλλοντες, σὺν αὐτοῖς καὶ οἱ μέλλοντες καθαρθῆναι καὶ ὁ ἡγούμενος. Ὅτε δὲ τελεσθῶσι καὶ λεχθῶσιν, ὥσπερ εἰρήκαμεν ἄνωθεν, καὶ λάβῃ ἀπόλυσιν παρὰ τοῦ ἱερέως, ἀναπαύονται μικρόν, καὶ οἱ ἱερεῖς ἑτοιμάζονται, καὶ ἄρχονται πάλιν τοῦ τε ἑσπερινοῦ καὶ τῶν ἀναγνωσμάτων καὶ τῆς θείας λειτουργίας, καὶ μετὰ τὸ τελέσαι ταῦτα, εἰσέρχονται εἰς τὴν τράπεζαν, καὶ ἐσθίουσι θείαν καὶ ὑπερθαύμαστον τροφήν, ἐξερχόμενοι δὲ ἐκεῖθεν, ἀπέρχονται εἰς τὰ κελλία αὐτῶν.

Αἱ εὐχαὶ τοῦ ἁγίου νιπτῆρος, αἱ γενόμεναι ἐν τοῖς μοναστηρίοις. Γινομένης συναπτῆς ὑπὸ τοῦ διακόνου, ὁ ἱερεὺς ἐπεύχεται λέγων. (οδ.] Θεὲ ὑπεράγαθε, ὁ ἀπρόσιτος τῇ θεότητι. Goar. Εὐχολόγ pag. 592. Ὅτι πρέπει σοι πᾶσα δόξα τιμὴ καὶ προσκύνησις. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνομεν. Καὶ ὁ ἱερεὺς ἐπεύχεται, λέγων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ὑποδείξας ἡμῖν μέτρον ταπεινώσεως. Ibid. p. 592 (π. 147] Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. Καὶ μετὰ τὸν νιπτῆρα πάλιν τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, Ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολὺ ἔλεός σου κενώσας ἑαυτόν. Ibid. pag. 594 Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ ε'. ἑσπέρας, σημαίνει τὸ ἑσπερινόν, ὥρᾳ ἀρχῇ η'. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶντες η'. ψάλλομεν στιχηρὰ γ'. ἰδιόμελα ἐκ β'. ἦχος πλ. δ'. Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρόν. Ἄλλο· Σήμερον ὁ Ἰούδας τὸ τῆς φιλοπτωχίας. (οδ.] Ἕτερον· Ὁ τρόπος σου δολιότητος γέμει. Δόξα καὶ νῦν, Μηδείς, ὦ πιστοί. Εἴσοδος μετὰ ἱερέων πλειόνων καὶ τοῦ εὐαγγελίου. Προκείμενον, καὶ τὰ ἀναγνώσματα τὰ γ'. Μετὰ δὲ τὸ τέλος τῆς γ'. προφητείας Ἡσαΐου, εὐθὺς γίνεται συναπτὴ τοῦ Τρισαγίου ὑπὸ τοῦ διακόνου, καὶ λέγεται ὁ Τρισάγιος. Προ-

κείμενον τοῦ ἀποστόλου· Οἱ ἄρχοντες συνήχθησαν, στίχος· Ἵνα τί ἐφρύαξαν. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου. Ἀλληλούια, ἦχος πλ. β΄. Μακάριος ὁ συνιών, στίχος β΄. Οἱ ἐχθροί μου εἶπον κακά μοι, ἕως τοῦ: καὶ γὰρ ἄνθρωπος τῆς εἰρήνης, στίχος γ΄. Ὁ ἐσθίων ἄρτους μου, ἕως τοῦ: καὶ ἀνάστησόν με καὶ ἀνταπόδος. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται, καὶ ἐξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ χερουβικοῦ λέγομεν Τοῦ δείπνου σου τοῦ μυστικοῦ, ἐκ γ΄. εἰς ἦχον δ΄. Τὸ αὐτὸ δὲ καὶ ἀντὶ κοινωνικοῦ, εἰς δὲ τὴν ὑποστροφὴν τῶν ἁγίων, λέγομεν τὸ Πληρωθήτω τὸ στόμα ἡμῶν, εἶτα ὁ στίχος τῆς τραπέζης. Ἐσθίομεν δὲ καὶ ἔλαιον, καὶ οἴνῳ χρώμεθα, καὶ εὐθὺς ἅμα τοῦ γεύσασθαι, ἀναπαυόμεθα.

Ἀρχὴ δὲ ὥρας β΄. τῆς νυκτός, κρουομένου τοῦ ξύλου, συναγόμεθα ἐν τῷ ναῷ, καὶ ψάλλομεν τὸ ἀπόδειπνον ἔνδοθεν τοῦ ναοῦ, πλὴν λιτῶς. Τροπάριον· Ὅτε οἱ ἔνδοξοι μαθηταί, προσκυνήσεις γ΄. μεγάλαι, καὶ τὰ λοιπά, ὡς σύνηθες· ψάλλομεν δὲ καὶ τριῴδιον τοῦ κυροῦ Ἀνδρέου, εἰ ἐστίν, εἰς ἦχον πλ. δ΄. ᾠδὴ ε΄. Τὸν ζόφον τῆς ψυχῆς μου, ἀνὰ η΄. Ψαλλόντων δὲ ἡμῶν τὸ ἀπόδειπνον, ἅπτονται καὶ αἱ κανδῖλαι τοῦ ναοῦ, καὶ ἅμα τῇ ἀπολύσει, σημαίνοντος τοῦ μεγάλου σημαντῆρος, ἀρχόμεθα τοῦ ὄρθρου.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ. Εἰς τὸν ὄρθρον, ἀλληλούια, ἦχος πλ. δ΄. Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἐκ γ΄. καὶ εὐθὺς ἀναγινώσκεται ἡ Διαθήκη, τὸ α΄. εὐαγγέλιον κατὰ Ἰωάννην, καὶ μετὰ τὴν τούτου πλήρωσιν, ἀρχόμεθα τὰ ἅγια πάθη· τὰ μὲν τροπάρια πάντα, ἐκ β΄. εἰς δὲ τὸ Δόξα καὶ νῦν, θεοτοκίον, ἅπαξ, ἔνθα λάχῃ, τὰ δὲ καθίσματα ὁμοῦ ἀμφότερα, Δόξα καὶ νῦν, πάλιν τὰ αὐτά. Εἶτα Ὑπὲρ τοῦ καταξιωθῆναι, καὶ τὸ εὐαγγέλιον, καὶ εὐθὺς ἀρχόμεθα πάλιν τὸ ἕτερον ἀντίφωνον. Οὕτως καθ' ἕκαστον εὐαγγέλιον. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ιε΄. ἀντιφώνων, ἀναγινώσκεται εὐαγγέλιον ς΄. καὶ εὐθὺς γίνεται συναπτή, εἶτα ψάλλομεν τὸ κοντάκιον· Τὸν δι' ἡμᾶς σταυρωθέντα, καὶ οἶκον, καὶ εὐθὺς ἀναγινώσκεται λόγος Γεωργίου Νικομηδείας εἰς τὸν θρῆνον τῆς Θεοτόκου πρὸς τὴν ὥραν. Καὶ μετὰ τὴν ἀνάγνωσιν, εὐθὺς οἱ (π. 148] μακαρισμοί, ἦχος δ΄. Ἀρχόμενοι δὲ τὸ Ἐν τῇ βασιλείᾳ σου, ἱστῶμεν η΄. εἰς τὸ Μακάριοι οἱ πραεῖς. Μετὰ τοὺς μακαρισμούς, προκείμενον, ἦχος δ΄. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, στίχος· Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι, καὶ εὐαγγέλιον ζ΄. εἶτα ὁ Ν΄. καὶ πάλιν εὐθὺς εὐαγγέλιον η΄. εἶτα ἀρχόμεθα τῆς ε΄. ᾠδῆς τοῦ τριῴδίου ἐκ τοῦ εἱρμοῦ· Πρὸς σὲ ὀρθρίζω, μὴ λέγον-

τες τὸ Κύριε ὁ Θεὸς ἡμῶν· τὸν μὲν εἱρμὸν ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ ς'. καὶ πάλιν ἔσχατον τὸν εἱρμὸν ὁμοῦ· Τὴν δὲ η'. καὶ θ'. ᾠδήν, τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ δ'. καὶ πάλιν ὁμοῦ τοὺς εἱρμούς, εἶτα συναπτὴν καὶ τὸ ἐξαποστειλάριον, ἦχος γ'. Τὸν ληστὴν αὐθημερόν, λεγόμενον παρὰ τοῦ ψάλτου καὶ ἡμῶν γ'. καὶ εὐθὺς εὐαγγέλιον θ'. Εἶτα ἀρχόμεθα τοὺς αἴνους, εἰς ἦχον α'. καὶ ἱστῶντες ς'. ψάλλομεν στιχηρὰ ἰδιόμελα γ'. ἐκ β'. ἦχος α'. Πᾶσα ἡ κτίσις. Ἄλλο, ἦχος β'. Λαὸς δυσσεβὴς καὶ παράνομος. Ἄλλο, ἦχος γ'. Δύο καὶ πονηρά, Δόξα καὶ νῦν, ἦχος πλ. α'. Ὁρῶσά σε ἡ κτίσις, εἶτα εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον ι'. ἔπειτα τὸ Δόξα ἐν ὑψίστοις, συναπτὴ καὶ τὸ Πληρώσωμεν τὴν ἐωθινὴν δέησιν καὶ τὰ λοιπά. Ἔπειτα στιχηρὰ εἰς τὸν στίχον τῶν αἴνων, ἰδιόμελον, ἦχος πλ. β'. Τὸν νῶτόν μου ἔδωκα, μίαν. Στίχος α'. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ στιχηρόν· Ἐξέδυσάν με τὰ ἱμάτιά μου, ἅπαξ. Στίχος β'. εἰς ἦχον πλ. δ'. Ἔθεντό με ἐν λάκκῳ. Στιχηρόν· Ἤδη βάπτεται κάλαμος ἀποφάσεως, Δόξα καὶ νῦν, ἦχος ὁ αὐτός· Σήμερον ὁ Δεσπότης τῆς κτίσεως, εἶτα εὐαγγέλιον ια'. καὶ εὐθὺς Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, ἀπολυτίκιον, ἦχος α'. Σταυρωθέντος σου, Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, εἶτα ἐκτενής, καὶ ψάλλομεν τὴν α'. ὥραν τρίψαλμον, ὡς σύνηθες. Τὸ γὰρ ιβ'. εὐαγγέλιον, Τῇ ἐπαύριον, ἀναγινώσκεται ἐν τῷ ὄρθρῳ. Ἀντὶ δὲ προκειμένου, ἤγουν τοῦ Τὸ πρωὶ εἰσάκουσον, λέγει τροπάριον ὁ ψάλτης, ἦχος πλ. β'. Κύριε, κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ. Εἶτα ὁ λαὸς τὸ αὐτὸ μετὰ ἤχου. Στίχος α'. Ἐκβαλόντες με νυνί. Ὁ λαός· Ἀλλ' ἐκὼν ὑπέμεινας. Στίχος β'. Οἱ ἐχθροί μου εἶπον κακά με· πότε... Ὁ λαός· Ἀλλ' ἐκὼν ὑπέμεινας. (οδ.] Δόξα καὶ νῦν. Τί σε καλέσωμεν, ὦ κεχαριτωμένη. Τὰ διαβήματά μου. Τρισάγιον, προσκυνήσεις ἀργαὶ γ'. αἱ εὐχαί, ἡ ἐξ ἔθους ἀνάγνωσις, καὶ ἀπόλυσις.

Πρὸς δὲ ἀρχὴν ὥρας γ'. κρουομένου τοῦ ξύλου, συναγόμεθα πάντες ἐν τῷ ναῷ, καὶ ψάλλομεν τὴν γ'. ὥραν τρίψαλμον, ὡς σύνηθες, ἀντὶ δὲ προκειμένου, ἤγουν τοῦ Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα, λέγει ὁ ψάλτης τροπάριον, ἦχος πλ. β'. Μόνον ἐπάγη τὸ ξύλον, Χριστέ, τοῦ σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου, Κύριε, ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ, ἔδειξας ἡμῖν τὸ σωτήριόν σου, ἅγιε, καὶ δοξολογοῦμεν σε, Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς. Τὸ αὐτὸ καὶ ὁ λαὸς μετὰ ἤχου. Ὁ ψάλτης στίχον α'. Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με. Ὁ λαός· Καὶ δοξολογοῦμέν σε. Στίχος β'. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ. Ὁ λαός· Καὶ δοξολογοῦμέν σε. Δόξα καὶ νῦν, Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Καὶ εὐθὺς ἀρχόμεθα ψάλλειν τὰ τροπάρια τῶν ἁγίων Παθῶν·

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα, ἀνὰ β'. τὰ γ'. τῆς α'. ὥρας, εἶτα Δόξα καὶ νῦν, καὶ ψάλλομεν τὸ γ'. ὁμοῦ ἀμφότεροι οἱ χοροί, εἶτα λέγει ὁ ἱερεὺς ἢ ὁ διάκονος μικρὰν συναπτήν, εἶτα Σοφία, καὶ εὐθὺς προκείμενον, ἦχος δ'. Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ, καὶ Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Στίχος· Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα. Προφητεία Ζαχαρίου· Τάδε λέγει Κύριος· λήψομαι τὴν ῥάβδον μου. Ζήτει τῇ αὐτῇ ἡμέρᾳ εἰς τὴν ς'. ὥραν. Μετὰ τὴν προφητείαν εὐθὺς ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι. Ζήτει κυριακῇ κβ'. ἀπὸ τὸ μέσον. Εἶτα λέγει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου, καὶ ἀναγινώσκεται ἔσωθεν παρὰ τοῦ ἱερέως, εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν Ἰούδας, ὅτι κατεκρίθη, μεταμεληθείς, ἐπέστρεψε. Μετὰ δὲ τὸ τέλος τοῦ εὐαγγελίου, πάλιν ὁ ἕτερος χορὸς τὸ δ'. τροπάριον, ὁμοῦ πάλιν τὸ ς'. εἶτα γίνεται πάλιν μικρὰ συναπτὴ καὶ εὐθὺς τὸ προκείμενον, ἦχος πλ. δ'. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος. Στίχος· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. Προφητεία Ἡσαΐου· Κύριος δίδωσί μοι γλῶσσαν. Ζήτει τῇ μεγάλῃ ε'. Ἀνάγνωσις γ'. ἐν τῇ λειτουργίᾳ. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ἔτι Χριστὸς ὄντων ἀσθενῶν. Ζήτει κυριακῇ γ'. ἀπὸ τὸ μέσον. Ὁ διάκονος· Σοφία, ὀρθοὶ ἀκούσωμεν. (**π. 149**] Καὶ ἀναγινώσκεται εὐαγγέλιον παρὰ τοῦ ἱερέως τῆς γ'. ὥρας κατὰ Μάρκον, καὶ πάλιν ἄρχεται ὁ ἐναρχόμενος χορός, τὸ ζ'. τροπάριον, ὁμοίως καὶ τὸ η'. καὶ τὸ θ'. καὶ αὐτά, ὡς εἴρηται, ἐκ β'. Δόξα καὶ νῦν, τὸ θ'. ὁμοῦ, καὶ πάλιν μικρὰ συναπτὴ καὶ προκείμενον, ἦχος πλ· β'. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν. Στίχος· Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα. Προφητεία Ἡσαΐου· Ἰδοὺ συνήσει ὁ παῖς μου. Ζήτει τῇ αὐτῇ ἡμέρᾳ ἀνάγνωσιν γ'. τῆς λειτουργίας, καὶ εὐθὺς ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Δεκέμβριῳ κς'. Ὁ διάκονος· Σοφία, ὀρθοὶ ἀκούσωμεν, εὐαγγέλιον κατὰ Λουκᾶν τῆς ς'. ὥρας. Καὶ πάλιν ἄρχεται ὁ ἕτερος χορὸς τὸ ι'. τροπάριον καὶ τὸ ια'. καὶ τὸ ιβ'. ἐκ β'. Δόξα καὶ νῦν, πάλιν τὸ ιβ'. ὁμοῦ ἀμφότεροι οἱ χοροί, ἡ μικρὰ συναπτή, καὶ προκείμενον, ἦχος πλ. δ'. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ. Στίχος· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου. Προφητεία Ἱερεμίου· Κύριε, γνώρισόν μοι. Ζήτει τῇ μεγάλῃ ε'. ὥρα ς'. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες παῤῥησίαν εἰς τὴν εἴσοδον. Ζήτει πρὸ τῆς ς'. τοῦ Νοεμβρίου μηνός. Σοφία, ὀρθοὶ ἀκούσωμεν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται ἀπήγαγον. Καὶ μετὰ τὸ εὐαγγέλιον, εὐθὺς Κύριος ὁ Θεὸς εὐλογητός, Τρισάγιον, εἶτα ἀπολυτίκιον μετὰ

ἤχου, συντόμως δέ· Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, ἔπειτα ἡ ἐκτενής, καὶ εὐθὺς συνημμένως Δεῦτε προσκυνήσωμεν γ'. καὶ ψάλλομεν τὴν ς'. ὥραν τρίψαλμον, ὡς σύνηθες, τὴν γὰρ εὐχὴν τῆς γ'. ὥρας καταλιμπάνομεν. Προκείμενον· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ, καὶ τοὺς συνήθεις στίχους, Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, εἶτα τὸ τροπάριον τῆς ἡμέρας· Σταυρωθέντος σου, Χριστέ, Δόξα καὶ νῦν, τὸ αὐτό. Προκείμενον, ἡ προφητεία, καὶ τὸ ἕτερον προκείμενον· Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, Τρισάγιον, Κύριε ἐλέησον με'. προσκυνήσεις γ'. ἀργαί, ἡ εὐχὴ τῆς ς'. ὥρας καὶ ἀπόλυσις.

Μετὰ δὲ τὴν ἀπόλυσιν, ἑτοιμάζεται ὁ ναὸς τῶν ἁγίων Ἀποστόλων, πρὸς τὸ ἐκεῖ γενέσθαι τὴν θείαν ἱερουργίαν, ὁ δὲ κυριακὸς ναὸς καταπλύνεται. Καὶ μετ' ὀλίγον κρουομένου τοῦ ξύλου, συναγόμεθα ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων καὶ ψάλλομεν τὴν θ'. ὥραν τρίψαλμον, καὶ προκείμενον· Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ, μετὰ ἤχου, καὶ τοὺς συνήθεις στίχους, Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθείς, Μὴ δὴ παραδῷῃς ἡμᾶς εἰς τέλος, Τρισάγιον, προσκυνήσεις γ'. ἀργαί, ἡ εὐχὴ τῆς θ'. ὥρας καὶ εὐθὺς, τὸ Μνήσθητί μου, ὡς καθ' ἡμέραν, ὁμοίως καὶ τὰ λοιπὰ τῶν τυπικῶν.

Σημαίνοντος δὲ τοῦ μεγάλου, ψάλλομεν ἐκεῖ καὶ τὸ ἑσπερινόν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τρία στιχηρὰ ἰδιόμελα ἐκ β'. ἦχος πλ. β'. Ὢ πῶς ἡ παράνομος συναγωγή. Φοβερὸν καὶ παράδοξον μυστήριον. Σήμερον ὁ Δεσπότης καὶ Κύριος. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. (οϐ.] Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ. Ζήτει τῇ μεγάλῃ τεσσαρακοστῇ. Εἴσοδος μετὰ μεγαλείου, καὶ εὐθὺς αἱ γ'. προφητεῖαι, προκείμενον δὲ ἐξ ἀρχῆς οὐ λέγομεν, ἀλλ' εὐθὺς τῆς Ἐξόδου τὸ ἀνάγνωσμα· Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, εἶτα προκείμενον· Δίκασον, Κύριε. Ἀνάγνωσμα β'. Ἰωϐ· Εὐλόγησε Κύριος τὰ ἔσχατα. Καὶ πάλιν προκείμενον, ἦχος δ'. Διεμερίσαντο τὰ ἱμάτιά μου. Προφητεία Ἡσαΐου· Ἰδοὺ συνήσει ὁ παῖς. Εἶτα ἀνίσταται ὁ λαός, καὶ ψάλλομεν προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, στίχος· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ, ὅλος. Ἀλληλούια, ἦχος πλ. α'. Σῶσόν με, ὁ Θεός, ὅτι εἰσῆλθοσαν ὕδατα. Στίχος β'. Ὠνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου. Στίχος γ'. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον πάντες, καὶ τὰ ἑξῆς τῆς θείας λειτουργίας τῶν προηγιασμένων, πλὴν οὔτε Φῶς Χριστοῦ λέγομεν, οὔτε τὸ Κατευθυνθήτω, ταῦτα γὰρ ὡς εἴρηται, τῇ μεγάλῃ δ'. ἀποδίδονται. Μετὰ δὲ τὸ ἀπολύσαι, εἰσέρχεται ὁ συ-

νήθης τῆς τραπέζης ψαλμός, χρώμεθα δὲ λιτῇ καὶ ἴσῃ διαίτῃ, ταῖς παρελθούσαις τῆς ἁγίας ταύτης ἑβδομάδος ἡμέραις, ἤγουν τῇ ἐκ καρύων, ἰσχάδων, καὶ ὀσπρίων βρεκτῶν, πίνομεν δὲ καὶ οἶνον, μετὰ τοῦ μείζωνος κρασοβολίου, εἶτα ἀνιστάμενοι καὶ ποιήσαντες τὴν εὐχαριστίαν, ὡς σύνηθες, εὐθὺς ψάλλομεν τὸ ἀπόδειπνον, τὸ Μεθ' ἡμῶν, λιτῶς, καὶ τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, καὶ κανόνα τὸν θρηνώδη τῆς Θεοτόκου, ἦχος πλ. β'. Κύματι θαλάσσης εἰς ς'. ἀργῶς καὶ μετὰ προσοχῆς· ἔσωθεν δὲ τοῦ ναοῦ ψάλλομεν καὶ τὸ ἀπόδειπνον καὶ τὸν κανόνα· λέγομεν δὲ καὶ τοὺς εἱρμοὺς αὐτοῦ. Ἀπὸ γ'. οὐδέν, ἀπὸ ς'. Πρεσβεία θερμή, καὶ τὰ λοιπά, ὡς σύνηθες, καὶ ἀπόλυσις.

Τῷ μεγάλῳ σαββάτῳ εἰς τὸν ὄρθρον, ἐγειρόμεθα ὥρα ζ'. καὶ λέγομεν Θεὸς Κύριος, εἰς ἦχον β'. τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, β'. Δόξα καὶ νῦν, Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε παρθένε. Καὶ στιχολογοῦμεν τὸν Ἄμωμον μετὰ τῶν ἀλληλουαρίων τοῦ ἤχου, καὶ λέγομεν ἀντὶ καθίσματος, τὸ τροπάριον τῆς προφητείας· Ὁ συνέχων τὰ πέρατα, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀναγινώσκομεν δὲ λόγον Ἐπιφανίου, οὗ ἡ ἀρχή· Τί τοῦτο σήμερον σιγὴ πολλή, εἰς δόσεις β'. εἶτα ὁ Ν'. καὶ ἀρχόμεθα τὰς ᾠδὰς ἱστῶντες ιδ'. Ἐπάγει ὡσεὶ τεῖχος, καὶ ψάλλομεν κανόνα, ἦχος πλ. β'. Κύματι θαλάσσης. Μάρκου μοναχοῦ ἕως τῆς ς'. ᾠδῆς· τοὺς μὲν εἱρμοὺς ἐκ β'. (**π. 150**] τὰ δὲ τροπάρια ἀνὰ δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος α'. Τὸν τάφον σου Σωτήρ, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· ἡ β'. τοῦ ῥηθέντος λόγου. Μετὰ δὲ τὴν ε'. ᾠδήν, ἀρχόμεθα τὸ τετραῴδιον τοῦ κυροῦ Κοσμᾶ, καὶ ψάλλομεν αὐτὸ ὁμοίως τῷ κανόνι· ἔσχατον δὲ λέγομεν ὁμοῦ τοὺς εἱρμοὺς, καὶ εἰς ὅλον τὸν κανόνα οὕτως ποιοῦμεν. Ἀπὸ ς'. ᾠδῆς κοντάκιον· Τὴν ἄβυσσον ὁ κλείσας νεκρὸς ὁρᾶται. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, εἰς ἦχον β'. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. εἰς ἦχον β'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἐκ β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν. Ἄλλο· Ὅτε ἐν τῷ τάφῳ. Ἄλλο· Ὅτε αἱ δυνάμεις, Δόξα, ἦχος πλ. α'. Σὲ τὸν ἀναβαλλόμενον. Καὶ τούτου ψαλλομένου, ἀλλάσσει ὁ ἱερεὺς πᾶσαν τὴν στολὴν αὐτοῦ καὶ διάκονος, καὶ γίνεται εἴσοδος μετὰ μεγαλείου καὶ τῶν μανουαλίων· γίνεται δὲ οὕτως. Καὶ νῦν, ἦχος β'. Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε παρθένε, καὶ γίνεται παρὰ τοῦ ἱερέως ἡ εὐχὴ τῆς εἰσόδου. Μετὰ δὲ τὸ τέλος τοῦ αὐτοῦ τροπαρίου, εὐθὺς ἐκφωνεῖ ὁ διάκονος· Δόξα ἐν ὑψίστοις Θεῷ, μετὰ ἤχου, καὶ ὁ λαὸς τὸ αὐτὸ ψαλτὸν μετὰ ἤχου· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη. Καὶ εἰσοδεύουσι, τούτου ψαλλομένου, εἶτα Τρισάγιον τρανῶς μετὰ ἤχου. Καὶ μετὰ τὸ τέλος τοῦ Τρισαγίου, οὐ λέγεται τροπάριον, ἀλλ' εὐθὺς ὁ διάκονος· Σοφία, καὶ

ψαλμὸς τῷ Δαβίδ, εἶτα προκείμενον, ἦχος δ'. Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν. Στίχος· Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν. Καὶ εὐθὺς ἡ προφητεία, ἱσταμένου τοῦ λαοῦ παντὸς χωρὶς τῶν ἱερέων, εἶτα προκείμενον, ἦχος πλ. β'. Ἀνάστηθι, Κύριε ὁ Θεός μου, στίχος· Ἐξομολογήσομαί σοι, Κύριε, στίχος β'. Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι, ἔπειτα ὁ ἀπόστολος πρὸς Κορινθίους α'. Ἀδελφοί, μικρὰ ζύμη. Ἀλληλούια, ἦχος δ'. Ἀναστήτω, ὁ Θεὸς καὶ διασκορπισθήτωσαν. Ὁ διάκονος· Σοφία, ὀρθοὶ ἀκούσωμεν. Ὁ ἱερεὺς ἀναγινώσκει ἔσωθεν τοῦ βήματος εὐαγγέλιον κατὰ Ματθαῖον· Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν. Ζήτει τὸ ιβ'. τῶν ἁγίων Παθῶν. Ὁ διάκονος· Εἴπομεν πάντες, ἐκτενής· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν, καὶ τὰ ἑξῆς, καὶ εὐθὺς ἡ α'. ὥρα συνημμένως μετὰ καὶ τῆς συνήθους ἀναγνώσεως καὶ ἀπόλυσις. Εἶτα κοσμεῖται ὁ ναὸς ἅπας· τὰς δὲ ὥρας ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν ἕκαστος, ἕως γὰρ ἑσπέρας σήμερον ξύλον οὐ κρούεται.

Τῷ αὐτῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ ἑσπέρας, πλήρωμα ια'. ὥρας, σημαίνει τὸ λυχνικόν, καὶ δὴ ἀλλαξάντων πλειόνων ἱερέων στολὰς λευκάς, τελεῖται ἡ ἀκολουθία οὕτως. Οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. εἰς ἦχον πλ. δ'. καὶ ψάλλομεν στιχηρὰ δ'. ἐκ β'. (ob.) Σήμερον ὁ ᾅδης στένων βοᾷ. Καὶ ἕτερα β'. ὅμοια αὐτῷ. Ἄλλο ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Πορευθέντος σου ἐν πύλαις ᾅδου, Κύριε. Καὶ αὐτὸ β'. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος πλ. β'. Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωσῆς. Εἴσοδος εἰς τὸ Φῶς ἱλαρὸν μετὰ μεγαλείου, καὶ ἡ κάτω καθέδρα, καὶ εὐθὺς προκείμενον τῆς ἡμέρας· Ὁ Κύριος ἐβασίλευσε, στίχος· Ἐνεδύσατο Κύριος δύναμιν. Καὶ εὐθὺς αἱ προφητεῖαι. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ ς'. ἀναγνώσματος, ὅτε εἴπῃ ὁ διάκονος· Σοφία, λέγει ὁ ψάλτης· ᾠδὴ Μωϋσέως, ὁ διάκονος· Πρόσχωμεν, ὁ ψάλτης· Ἄσωμεν τῷ Κυρίῳ, καὶ ὁ λαὸς τὸ αὐτό. Λέγοντος τοῦ ψάλτου τὴν ᾠδὴν πᾶσαν κατὰ στίχον, καὶ τοῦ λαοῦ ἀποκρινομένου· Ἄσωμεν τῷ Κυρίῳ, καὶ πάλιν μετὰ τὴν συμπλήρωσιν τοῦ ιε'. ἀναγνώσματος, λέγει ὁ διάκονος· Σοφία, ὁ ψάλτης· ὕμνος τῶν τριῶν Παίδων, ὁ διάκονος· Πρόσχωμεν, ὁ ψάλτης· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, καὶ ὁ λαὸς τὸ αὐτό, καὶ τὰ ἑξῆς πάσης τῆς ᾠδῆς κατὰ στίχον. Μετὰ δὲ τὸ τέλος, λέγει ὁ ψάλτης· Ὑμνεῖτε, καὶ ὁ λαός· Καὶ ὑπερυψοῦτε, καὶ πάλιν ὁ ψάλτης· Καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, ὅπερ ποιεῖ καὶ εἰς τὸ Ἄσωμεν τῷ Κυρίῳ. Εἶτα γίνεται συναπτὴ τοῦ Τρισαγίου, καὶ ψάλλομεν ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, ἦχος πλ. δ'. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, στίχος· Ἀλαλάξατε τῷ

Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθη[τε]. Καὶ εὐθὺς ὁ ψάλτης ἀντὶ τοῦ Ἀλληλούια, Ἀνάστα ὁ Θεός, ἦχος βαρύς· τὸν γὰρ ψαλμὸν τῷ Δαβὶδ οὐ λέγομεν, ἀλλ' εὐθὺς οὕτως ἄρχεται· Ἀνάστα ὁ Θεός, στίχος· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, στίχος β'. Ἕως πότε κρίνετε ἀδικίαν, ἕως: ὀρφανὸν καὶ πτωχὸν καὶ ταπεινόν, στίχος γ'. Ἐξέλεσθε πένητα καὶ πτωχόν ἕως: ἀποθνήσκετε. Εἶτα πάλιν ὁ ψάλτης· Ἀνάστα ὁ Θεός, ὁ λαός· Κρῖνον τὴν γῆν· πλὴν εἰς τὸ Ἀνάστα ὁ Θεός, ἐπᾶν ψάλλεται παρὰ τοῦ ψάλτου καὶ πρῶτον καὶ ἔσχατον, ἀνίστανται οἱ ἱερεῖς, εἰς δὲ τοὺς στίχους καθέζονται. Εἶτα εὐαγγέλιον κατὰ Ματθαῖον παρὰ τοῦ διακόνου· Ὀψὲ σαββάτων, καὶ ἑξῆς ἡ θεία λειτουργία τοῦ μεγάλου Βασιλείου. Κοινωνικόν· Ἐξηγέρθη, ὡς ὁ ὑπνῶν, Κύριος. Μετὰ δὲ τὸ τέλος τῆς λειτουργίας, γίνεται πάλιν μέγας διακλυσμὸς ἐν τῷ νάρθηκι, ὁμοίως τῇ μεγάλῃ παρασκευῇ· ἄγομεν γὰρ καὶ σήμερον ἀργίαν τῆς τραπέζης. Εἶτα ἐκεῖ καθεζομένων ἡμῶν, ἀναγινώσκεται λόγος Γρηγορίου Ἀντιοχείας, οὗ ἡ ἀρχή· Ἐπαινετὸς καὶ οὗτος. Καὶ μετὰ τὸ τέλος τῆς ἀναγνώσεως, ποιήσαντες εὐχαριστίαν, καὶ τοῦ μικροῦ συμβόλου κρουσθέντος, εἰσερχόμεθα εἰς τὸν ναὸν καὶ ψάλλομεν τὸν Ν'. Ἐλέησόν με, ὁ Θεός, (π. 151] καὶ εὐθὺς κανόνα Γαβριὴλ μοναχοῦ· Κύματι θαλάσσης. Θάμβους ἐπληροῦτο, ἐκ β'. καὶ τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος α'. Τὸν τάφον σου, Σωτήρ, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀπὸ ς'. Τὴν ἄβυσσον ὁ κλείσας. Μετὰ τὸ τέλος τοῦ κανόνος, Τρισάγιον, ἐκτενής, καὶ ἀπόλυσις, εἶτα γίνεται ἀνάγνωσις.

Δεῖ γινώσκειν, ὅτι κάμνει ἀφ' ἑσπέρας τὸ ὡρολόγιον ἐκ παντός, καὶ εἰ μέν ἐστιν ὁ καιρὸς ἔσωθεν τῆς ζ'. ὥρας, γίνονται ἀναγνώσεις ἐν τῇ εἰρημένῃ παννυχίδι, καὶ ἀπὸ γ'. ᾠδῆς καὶ ς'. καὶ ἐν τῷ τέλει αὐτῆς· ἀναγινώσκεται δὲ λόγος ἐκ τῆς ἑρμηνείας τοῦ Χρυσοστόμου εἰς τὸ κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ Λόγος, εἰ δὲ διῆλθεν ἡ ζ'. ὥρα, γίνεται ἐν τῷ τέλει μόνον τοῦ κανόνος μία μεγάλη ἀνάγνωσις, ἁπτόντων καὶ τῶν τοῦ ναοῦ πολυκανδύλων.

Εἶτα ἀρχὴ πρὸς ὥραν η'. ἤ καὶ πρός, σημαίνει τὸ μέγα, καὶ ἐξελθόντων πάντων τῶν ἀδελφῶν ἐν τῷ νάρθηκι, κλείονται αἱ τοῦ ναοῦ πύλαι· ἱσταμένων δὲ πάντων καὶ προσευχομένων ἡσυχῇ, διανέμει αὐτοῖς ὁ ἐκκλησιάρχης τοὺς κηρούς, ἀπὸ τοῦ προεστῶτος μέχρι τοῦ ἐσχάτου, ὁ δὲ ἱερεὺς ἀλλάξας ἅπασαν τὴν στολὴν αὐτοῦ, ἤγουν σὺν στιχαρίῳ ἅμα τῷ διακόνῳ, θυμιᾷ ἔσωθεν τὸ ἅγιον θυσιαστήριον, καὶ ἔξωθεν τὴν ἐκκλησίαν γύροθεν πᾶσαν, προπορευομένου τοῦ διακόνου καὶ λαμπάδα κα-

τέχοντος ἐπὶ χεῖρας, εἶθ' οὕτως ἔξεσι διὰ τοῦ βορείου μέρους, δι' οὗ καὶ αἱ εἴσοδοι γίνονται, καὶ ἀπερχόμενος πρῶτον, θυμιᾷ τὸν προεστῶτα καὶ ἅπαν τὸ δεξιὸν μέρος, εἶτα τὸ ἀριστερὸν μέρος. Ὅταν δὲ ἐξέλθῃ ὁ ἱερεύς, εὐθὺς ἅπτουσι πάντες τοὺς κηροὺς αὐτῶν, ὁμοίως καὶ ἔσωθεν οἱ παρεκκλησιάρχαι πασῶν τῶν εἰκόνων ἅπτουσι τὰ κηρία. Τελειώσας τοίνυν ὁ ἱερεὺς θυμιῶν τὸν λαόν, ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, καὶ σφραγίσας ἐκ γ'. μετὰ τοῦ θυμιατοῦ, λέγει εἰς ἐπήκοον· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι. Καὶ τοῦ λαοῦ τὸ Ἀμὴν ἀποκρινομένου, ἀπάρχεται τὸ τροπάριον ὁ ἱερεὺς μετὰ ἤχου πλ. α'. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Τούτου δὲ λεγομένου, πάντες πίπτουσι χαμαί, δοξάζοντες τὸν ἀναστάντα Χριστόν, εἶτα ἀντιψάλλουσιν αὐτῷ (αὐτός;) οἱ ἀδελφοί, ἐκ τῆς γονυκλησίας ἀνιστάμενοι, ἔπειτα λέγει στίχον ὁ ἱερεὺς εἰς ἐπήκοον πάντων· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τοῖς ἐν τοῖς μνήμασι. (οϐ.] Καὶ ὁ λαός· Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Εἶτα πάλιν λέγει στίχον β'. ὁ ἱερεύς· Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ ὁ λαός· Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Εἶτα πάλιν ὁ ἱερεὺς στίχον γ'. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, [καὶ] εἰσελθὼν ἐν αὐταῖς, Ἐξομολογήσομαι τῷ Κυρίῳ. Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ εὐθὺς ἀνοίγουσιν ἔσω οἱ παρεκκλησιάρχαι ἢ αὐτὸς ὁ ἐκκλησιάρχης, ὁ δὲ λαὸς ψάλλει τὸ Χριστὸς ἀνέστη. Εἰσέρχεται δὲ ὁ ἱερεύς, προπορευομένου τοῦ διακόνου μετὰ τῆς λαμπάδος, καὶ ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, καὶ μικρόν τι πρός, οἱ δὲ ἀδελφοὶ εἰσελθόντες ἵστανται εἰς τὴν πύλην στοιχιδόν, οἱ δεξιοὶ δεξιά, καὶ οἱ ἀριστεροὶ ἀριστερά, ὁ δέ γε προεστὼς εἰς τὸν τόπον αὐτοῦ. Καὶ πάλιν λέγει στίχον ὁ ἱερεύς· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ ὁ λαός· Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Εἶτα ἀνέρχεται ὁ ἱερεὺς μετὰ τοῦ διακόνου καὶ ἵστανται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ λέγει πάλιν στίχον ε'. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σὺ καὶ ὑψώσω σε. Καὶ τοῖς ἐν τοῖς μνήμασι. Τούτου δὲ τοῦ στίχου ψαλλομένου, ἀπέρχονται οἱ ἀδελφοὶ καὶ ἵστανται ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. Εἶτα εἰσέρχεται ὁ ἱερεὺς ἔσωθεν τοῦ ἁγίου θυσιαστηρίου, καὶ λέγει Δόξα καὶ νῦν, Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ ὁ λαός· Χριστὸς ἀνέστη. Δοξάζοντος δὲ τοῦ ἱερέως, θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ βῆμα, εἶτα πάλιν ὁ ἱερεὺς μετὰ ἤχου λέγει· Χρι-

στὸς ἀνέστη ἐκ νεκρῶν θανάτῳ θάνατον πατήσας. Ὁ λαός· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ πάλιν ὁ ἱερεύς· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Εἶτα ποιεῖ ὁ διάκονος συναπτὴν μεγάλην, καὶ οὐκ ἐξέρχεται ἔξω καὶ ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ὡς σύνηθες, ἀλλ' ἔσω τοῦ βήματος. Καὶ εὐθὺς ἀρχόμεθα τοῦ κανόνος Ἰωάννου μοναχοῦ, ἦχος α'. Ἀναστάσεως ἡμέρα· τοὺς μὲν εἱρμοὺς ἀνὰ δ'. τὰ δὲ τροπάρια ἀνὰ ς'. οἵῳ δ' ἂν μέρει λάχῃ ἡ ἔναρξις, ὁ προεστὼς ἄρχεται τοῦ κανόνος καὶ τὸ μέρος αὐτοῦ, ἤγουν τὸ δεξιόν· εἰς δὲ τὴν γ'. ᾠδήν, πάλιν ἰσάζουσιν οἱ χοροὶ κατὰ τὴν τάξιν αὐτῶν. Πληρουμένης δὲ τῆς α'. ᾠδῆς, γίνεται μικρὰ συναπτὴ ἔσωθεν τοῦ βήματος, ὡς εἴρηται, καὶ σβεννύουσι καὶ οἱ ἀδελφοὶ (π. 152] τὰ κηρία ἑαυτῶν. Κατὰ δὲ ᾠδήν, γίνεται συναπτὴ ἔσωθεν τοῦ βήματος πᾶσαν τὴν ἡμέραν ταύτην. Ἀπὸ γ'. ᾠδῆς, ἡ ὑπακοή, ἦχος δ'. Προλαβοῦσαι τὸν ὄρθρον. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου· Ἀναστάσεως ἡμέρα. Ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἶκον, ἀνάγνωσις· λόγος τῆς ἑορτῆς εἰς τὸ Πανηγυρικόν, εἶτα τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ'. τὸν γὰρ Ν'. οὐ λέγομεν.

Δεῖ δὲ γινώσκειν, ὅτι, εἰ ἐστὶ ταχύ, ἀπὸ τῆς ε'. ᾠδῆς γινομένης τῆς συναπτῆς, λέγομεν κάθισμα, ἦχος α'. Γυναῖκες πρὸς τὸ μνῆμα, καὶ γίνεται ἀνάγνωσις εἴτε ἐκ τοῦ Πανηγυρικοῦ, εἴτε ἐκ τῆς ἑρμηνείας τοῦ Ἐν ἀρχῇ ἦν ὁ Λόγος, ὁμοίως καὶ ἀπὸ τῆς η'. ᾠδῆς γίνεται μὲν ἀνάγνωσις, κάθισμα δὲ οὐ λέγεται. Εἰς δὲ τὴν θ'. ᾠδήν, ἀρχομένου τοῦ ἱερέως· Φωτίζου φωτίζου, εὐθὺς ἅπτουσι πάντες τοὺς κηροὺς αὐτῶν μέχρι τῆς ἀπολύσεως. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ὡς θνητός. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. εἰς ἦχον α'. Σήμερον σωτηρία τῷ κόσμῳ. Ἄλλο· Ἀναστάσεως ἡμέρα καρποφορήσωμεν. Ἄλλο· Τῆς λαμπρᾶς καὶ ἐνδόξου, τὰ γ'. ἐκ β'. πλὴν τὰ ἰδιόμελα εὑρίσκονται πανταχοῦ ψαλλόμενα, εἶτα ἑνούμενοι, λέγομεν στίχον εἰς ἦχον πλ. α'. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος β'. Ὡς ἐκλείπει καπνός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν. Ἔπειτα συνημμένως τὸ Χριστὸς ἀνέστη, καὶ οὕτως γίνεται ὁ ἀσπασμὸς τοιουτοτρόπως·

Περὶ τοῦ ἀσπασμοῦ, ὅπως ὀφείλει γίνεσθαι. Ὁ ἱερεύς, κατέχων τὸ ἅγιον εὐαγγέλιον, ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν πρὸς τὸ ἀριστερὸν μέρος, καὶ ἀσπάζεται πρῶτος ὁ διάκονος καὶ ἵσταται πλησίον αὐτοῦ κατέχων τὸ πυρεῖον μετὰ θυμιάματος, εἶτα ὁ προεστὼς ἀσπάζεται πρῶτος τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν ἱερέα, εἶτα τὰν διάκονον, καὶ ἑξῆς τὴν αὐτὴν τάξιν ἅπαντες, ἕως τοῦ ἐσχάτου, κυκλοῦντες τὴν ἐκκλησίαν ἱστάμε-

νοι, καὶ ἀσπάζονται ἀλλήλους ἕως τελειωθῶσι πάντες, ψάλλοντες τὸ Χριστὸς ἀνέστη. Εἶτα ἱσταμένου μέσον τοῦ ἀναλογίου, εἰσέρχεται ὁ προεστὼς καὶ ἀναγινώσκει λόγον τοῦ Χρυσοστόμου εἰς τὸν ἀσπασμόν, οὗ ἡ ἀρχή· Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, καὶ μετὰ τὸ τέλος, γίνεται ἐκτενὴς καὶ ἀπόλυσις.

Ἡ λειτουργία τῆς μεγάλης κυριακῆς. Εἰς τὴν λειτουργίαν ψάλλομεν ἀντίφωνα (что и ныѣ). Εἶτα ὁ διάκονος· Σοφία ὀρθοί καὶ λέγει στίχον ε΄. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Καὶ τούτου λεγομένου, γίνεται ἡ εἴσοδος. Μετὰ δὲ τὴν εἴσοδον, Δόξα καὶ νῦν, τὸ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, καὶ ἡ συναπτὴ τοῦ Τρισαγίου. Ἀντὶ δὲ τοῦ Τρασαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Χρὴ δὲ εἰδέναι, ὅτι τὰ κηρία καὶ τὰ πάντα τοῦ ναοῦ πρὸ τοῦ ἐνάρξασθαι τὴν θείαν λειτουργίαν ἅπτονται, ὁμοίως καὶ ἐν τῷ ὄρθρῳ καὶ τῷ ἑσπερινῷ καὶ πᾶσαν τὴν ἑβδομάδα ταύτην, πρὸ τοῦ ἄρξασθαι τῆς ἀκολουθίας. Προκείμενον, ἦχος πλ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. Στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ ἀπόστολος Πράξεων, Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην. Ἀλληλούια, ἦχος δ΄. Σύ, Κύριε, ἀναστὰς οἰκτειρήσεις τὴν Σιών. Στίχος β΄. Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Ἀναγινώσκεται δὲ (п. 153] ἔσωθεν ὑπὸ τοῦ πρωτοπρεσβυτέρου ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε, ἐκ γ΄.

Ἀπερχόμενοι δὲ ἐν τῇ τραπέζῃ, ψάλλομεν τὸ Χριστὸς ἀνέστη, ἐκ γ΄. καὶ πλεῖον οὐδέν· ψαλμὸν γὰρ οὐ λέγομεν. Μετὰ δὲ τὸ τέλος, λέγομεν τό· Εὐλογητὸς ὁ Θεός, ὁ τρέφων ἡμᾶς, καὶ εὐθὺς ἐπαίρει μετὰ τῶν ἄρτων ὁ τραπεζάριος, λέγων· Χριστὸς ἀνέστη, ὅπερ λέγομεν καὶ ἡμεῖς, ἐκ γ΄. ἀνιστάμενοι, εἶτα Δόξα καὶ νῦν, Εἰ καὶ ἐν τάφῳ, Κύριε ἐλέησον ιε΄. καὶ ἀπόλυσις. Αὕτη ἡ τάξις ἐν πᾶσιν, ὡς εἴρηται, φυλάττεται πᾶσαν τὴν ἑβδομάδα ταύτην.

Τῇ ἁγίᾳ μεγάλῃ κυριακῇ ἑσπέρας, ἀλλάσσει ὁ ἱερεὺς πᾶσαν τὴν στολὴν αὐτοῦ καὶ ὁ διάκονος, καὶ ἑστὼς ἔσωθεν τοῦ θυσιαστηρίου, δοὺς Δόξαν, μετὰ τὸ Ἀμήν, ἀπάρχεται αὐτὸς τὸ Χριστὸς ἀνέστη, εἶτα οἱ ἀδελφοί, ὁ ἱερεύς· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Ὁ λαός· Χριστὸς ἀνέστη, καὶ πάλιν ὁ ἱερεύς· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ καθ' ἑαυτὸν εἰπών· Δόξα καὶ νῦν, ὁ λαός· Χριστὸς ἀνέστη. Εἶτα ὁ ἱερεύς· Χριστὸς ἀνέστη, ὁ λαός·

Καὶ τοῖς ἐν τοῖς μνήμασι, καὶ εὐθὺς γίνεται συναπτὴ μεγάλη ὑπὸ τοῦ διακόνου ἔσωθεν. Εἶτα τὸ Κύριε ἐκέκραξα εἰς ἦχον β΄. ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου δ΄. Τὸν πρὸ αἰώνων, καὶ τὰ λοιπά, καὶ ἕτερα γ΄. τοῦ Τριῳδίου εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, μετὰ τοῦ Δόξα καὶ νῦν. Εἴσοδος μετὰ μεγαλείου. Προκείμενον, ἦχος βαρύς· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν. Στίχος α΄. Καὶ εἶπα· νῦν ἠρξάμην. Στίχος β΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου. Στίχος γ΄. Ἐγνώρισας ἐν τοῖς λαοῖς. Εἶτα ὁ διάκονος· Σοφία, ὀρθοὶ ἀκούσωμεν. Καὶ ἀναγινώσκεται ἐν τῇ ἁγίᾳ τραπέζῃ παρὰ τοῦ ἱερέως εὐαγγέλιον θ΄. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, ἕως τοῦ: οὐ μὴ πιστεύσω. Εἶτα ἡ ἐκτενής, τὸ Καταξίωσον, Κύριε, καὶ τὸ Πληρώ[σωμεν]. Εἰς τὸν στίχον, στιχηρά, ἦχος πλ. α΄. Πάσχα ἱερὸν ἡμῖν. Στίχος α΄. Ἀναστήτω ὁ Θεός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Στίχος β΄. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν. Αἱ μυροφόροι γυναῖκες. Δόξα καὶ νῦν, Πάσχα τὸ τερπνόν. Χριστὸς ἀνέστη, ἐκ γ΄. Σοφία καὶ ἀπόλυσις. Οὕτως ποιοῦμεν πᾶσαν τὴν ἑβδομάδα ταύτην χωρὶς τοῦ εὐαγγελίου. Ἀπὸ γὰρ τῆς σήμερον οὔτε εὐαγγέλιον λέγομεν, οὔτε ἔσωθεν τοῦ βήματος ποιοῦμεν τὰς συναπτάς, ἀλλ' ἔξω, ὡς σύνηθες.

Ἀπόδειπνον δὲ ψάλλομεν ἀπὸ τοῦ Ὁ κατοικῶν, τροπάρια δὲ λέγομεν τὰ ἀναστάσιμα τῶν ἤχων, Δόξα καὶ νῦν, Εἰ καὶ ἐν τάφῳ, τὸ Κύριε παντοκράτορ, καὶ τὰς εὐχάς, ὡς σύνηθες, καὶ ἀπόλυσις. Εἰς δὲ τὰ κελλία κατὰ τὴν πρόσταξιν τοῦ προεστῶτος.

Τῇ β΄. τῆς Διακινησίμου, εἰς τὸν ὄρθρον, ὥρα θ΄. σημαίνει τὸ μικρὸν τῆς ἀκολουθίας, εἶτα ἅπτονται (οδ.] αἱ κανδύλαι τοῦ ναοῦ, ὁμοίως καὶ τὰ κηρία, ἔπειτα σημαίνει τὸ μέγα πρὸς ὥραν ι΄. καὶ ἀλλάξας ὁ ἱερεύς, θυμιᾷ τὴν ἐκκλησίαν πᾶσαν καὶ τοὺς ἀδελφούς, προπορευομένου καὶ διακόνου μετὰ λαμπάδος, εἶτα δοὺς Δόξαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι, εἰσέρχεται ἔσωθεν καὶ μετὰ τὸ Ἀμήν, ἀπάρχεται αὐτὸς τὸ Χριστὸς ἀνέστη, εἶτα ὁ λαός, ὁ ἱερεύς· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Ὁ λαός· Χριστὸς ἀνέστη. Ὁ ἱερεύς· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Ὁ λαός· Χριστὸς ἀνέστη. Ὁ ἱερεύς· Χριστὸς ἀνέστη. Ὁ λαός· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Εἶτα ἐξέρχεται ὁ διάκονος καὶ ποιεῖ συναπτὴν μεγάλην, καὶ ἀπαρχόμεθα τοῦ κανόνος· Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί, καὶ τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια, ἐκ β΄. καὶ ἕτερον κανόνα τοῦ Πάσχα ἐν τῷ Τριῳδίῳ, ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, συναπτὴ ἔξω παρὰ τοῦ διακόνου, καὶ ἡ ὑπακοὴ τοῦ β΄. ἤχου· Μετὰ τὸ πάθος πορευθεῖσαι, ὁ ψάλτης καὶ ὁ λαός, εἶτα ἀνάγνωσις· λόγος τοῦ Θεολόγου εἰς τὸ ἅγιον Πάσχα·

Ἐπὶ τῆς φυλακῆς μου, χωρίζεται δὲ εἰς δόσεις ε'. καὶ ἀναγινώσκεται μέχρι τῆς παρασκευῆς, καθ' ἑκάστην ἀνάγνωσις μία ἀπὸ γ'. ᾠδῆς, ἀπὸ δὲ ς'. τὸ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ, καὶ οἶκον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ'. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ὡς θνητός. Εἰς τοὺς αἴνους ἱστῶμεν δ'. καὶ ψάλλομεν στιχηρὰ τὰ ἐωθινὰ ἀναστάσιμα τοῦ β'. ἤχου, Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις, καὶ τὰ λοιπά. Εἶτα λέγομεν στίχον, εἰς ἦχον πλ. α'. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν. Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται. Στίχος· Ὡς ἐκλείπει καπνός. Δεῦτε ἀπὸ θέας. Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα. Χριστὸς ἀνέστη, ἐκ γ'. καὶ ἐξέρχεται ἡ λιτὴ καὶ ἀνέρχεται εἰς τὸν Σωτῆρα. Εἶτα ὑποστρέψαντες, καὶ περικυκλεύσαντες τὴν ἐκκλησίαν, εἰσερχόμεθα, καὶ γενομένης ἐκτενοῦς, ἀπολύει, τὴν γὰρ α'. ὥραν κοινῶς οὐ ψάλλομεν, ἀλλὰ κατ' ἰδίαν.

Εἰς τὴν λειτουργίαν, τὰ ἀντίφωνα τῆς κυριακῆς. Ἀντὶ δὲ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Ταῦτα γὰρ λέγομεν πᾶσαν τὴν ἑβδομάδα. Προκείμενον, ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν. Στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ὑπέστρεψαν οἱ ἀπόστολοι. Ἀλληλούια, ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Ἰωάννην· Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῇ ἑσπέρᾳ γίνεται ἡ ἔναρξις παρὰ τοῦ ἱερέως καὶ διακόνου, ὡς καὶ τῇ προλαβούσῃ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ γ'. ἤχου τὰ δ'. πρὸς μίαν· Τῷ σῷ Σταυρῷ, Χριστὲ Σωτήρ, εἶτα ἕτερα β'. εἰς τὸν αὐτὸν ἦχον (π. 154] ἐν τῷ Τριῳδίῳ πρὸς τὸ Σταυροφανῶς, Δόξα καὶ νῦν, θεοτοκίον. Πύλας μὲν παρθένος. Εἴσοδος. Προκείμενον, ἦχος βαρύς· Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Στίχος α'. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου. Στίχος β'. Ἡ θάλασσα εἶδε καὶ ἔφυγε. Στίχος γ'. Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες. Ἐκτενής, τὸ Καταξίωσον Κύριε, Πληρώσωμεν τὴν δέησιν, εἶτα στιχηρά· Πάσχα ἱερὸν ἡμῖν. Στίχος· Ἀναστήτω ὁ Θεός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Στίχος· Ὡς ἐκλείπει καπνός. Αἱ μυροφόροι γυναῖκες. Δόξα καὶ νῦν, Πάσχα τὸ τερπνόν, Χριστὸς ἀνέστη, ἐκ γ'. Σοφία καὶ ἀπολύει. Τὸ ἀπόδειπνον, ὡς χθὲς εἴρηται.

Τῇ γ'. τῆς Διακινησίμου εἰς τὸν ὄρθρον, ὡς καὶ τῇ β'. ἡ αὐτὴ ὥρα, ὁ θυμιατός, ἡ ἔναρξις, τὸ Χριστὸς ἀνέστη, καὶ ὁ αὐτὸς κανὼν ἐκ β'. καὶ ἕτερος τῆς ἑορτῆς, ἦχος γ'. Ὁ τὰ ὕδατα πάλαι, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, ἡ ὑπακοὴ τοῦ ἤχου· Ἐκπλήττων. Ἀνάγνωσις, ἡ β'. τοῦ Ἐπὶ

τῆς φυλακῆς. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ΄. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας. Εἰς τοὺς αἴνους ἱστῶμεν δ΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα τοῦ γ΄. ἤχου πρὸς μίαν, εἶτα τὸ Ἀναστήτω ὁ Θεός. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Ὡς ἐκλείπει καπνός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Δόξα καὶ νῦν, ἰδιόμελον. Ἄγγελοι σκιρτήσατε. Χριστὸς ἀνέστη, ἐκ γ΄. Καὶ ἐξέρχεται ἡ λιτὴ καὶ κατερχόμεθα πάντες εἰς τὴν ἀγαθοποιόν. Μετὰ τὴν ὑποστροφὴν ἡ ἐκτενὴς καὶ ἀπόλυσις.

Εἰ δὲ ἐστί ταχύ, γίνεται μετὰ τὸ Χριστὸς ἀνέστη ἐκτενὴς τοῦ ὄρθρου καὶ ἀπολύει, ἐπειδὴ οὐδὲ σήμερον ψάλλομεν κοινῶς τὴν α΄. ὥραν. Εἶτα εἰς τὴν ἁρμόζουσαν ὥραν, κρουομένου τοῦ ξύλου, συναγόμεθα πάντες καὶ ποιοῦμεν λιτήν.

Εἰς τὴν λειτουργίαν, τὰ ἀντίφωνα, τὸ κοντάκιον, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, προκείμενον, ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Στίχος· Ὅτι ἐπέβλεψεν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, σταθεὶς ὁ Πέτρος. Ἀλληλούια, ἦχος πλ. δ΄. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστάς. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. καὶ ψάλλομεν τα δ΄. ἀναστάσιμα τοῦ δ΄. ἤχου, πρὸς μίαν, καὶ γ΄. εἰς τὸ Τριῴδιον, εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, μετὰ τοῦ Δόξα καὶ νῦν, εἴσοδος, προκείμενον, ἦχος πλ. δ΄. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα. Στίχος α΄. Ἐν ἡμέρᾳ θλίψεώς μου. Στίχος β΄. Ἀπηνήνατο παρακληθῆναι. Ἐκτενής, Καταξίωσον, Πληρώσωμεν τὴν δέησιν, εἶτα στιχηρά· Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος· Ἀναστήτω ὁ Θεός. (οδ.] Δεῦτε ἀπὸ θέας γυναῖκες. Ὡς ἐκλείπει καπνός. Πάσχα τὸ τερπνόν. Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα. Χριστὸς ἀνέστη, ἐκ γ΄. Σοφία καὶ ἀπόλυσις. Τὸ ἀπόδειπνον, ὡς εἴρηται, ὅλῃ τῇ ἑβδομάδι.

Τῇ δ΄. τῆς Διακινησίμου. Εἰς τὸν ὄρθρον, ὡς καὶ ἐν ταῖς λοιπαῖς ἡμέραις, ἡ ἔναρξις καὶ ὁ κανών, ὁμοίως καὶ ἕτερος κανών, ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον. Ἀπὸ γ΄. ᾠδῆς, ἡ ὑπακοὴ τῆς ἑορτῆς· Προλαβοῦσαι τὸν ὄρθρον, καὶ ἡ γ΄. ἀνάγνωσις τοῦ Θεολόγου. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον, Ἀνάστασιν Χριστοῦ, ἐκ γ΄. ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας. Εἰς τοὺς αἴνους ἱστῶμεν δ΄. καὶ ψάλλομεν τὰ δ΄. ἑωθινὰ ἀναστάσιμα τοῦ δ΄. ἤχου, εἶτα Ἀναστήτω ὁ Θεός. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν. Δεῦτε ἀπὸ θέας γυναῖκες. Δόξα καὶ νῦν, Αἱ μυροφόροι γυναῖκες. Χριστὸς ἀνέστη, ἐκ γ΄. Ἡ ἐκτενὴς καὶ ἀπόλυσις, καὶ εἰ ἐστὶ λιτή, ποιοῦμεν αὐτήν.

Εἰς τὴν λειτουργίαν, τὰ ἀντίφωνα, Ὅσοι εἰς Χριστόν, προκείμενον, ἦχος πλ β΄. Μνησθήσομαι τοῦ ὀνόματός σου. Στίχος· Ἄκουσον, θύγατερ. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, εἶπε Πέτρος πρὸς τὸν λαόν. Ἀλληλούια, ἦχος β΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Στίχος β΄. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ β΄. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. εἰς ἦχον πλ. α΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα τοῦ αὐτοῦ ἤχου τῆς Ὀκτωήχου, καὶ β΄. προσόμοια τοῦ Τριῳδίου εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, θεοτοκίον· Ναὸς καὶ πύλη ὑπάρχεις. Εἴσοδος. Προκείμενον, ἦχος βαρύς· Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου. Στίχος· Πρόσχες μοι καὶ εἰσάκουσόν μου. Στίχος β΄. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν. Στίχος γ΄. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα. Ἐκτενής, Καταξίωσον Κύριε, Πληρώσωμεν τὴν ἑσπερινήν. Εἰς τὸν στίχον, Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος· Ἀναστήτω ὁ Θεός. Δεῦτε ἀπὸ θέας. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν. Αἱ μυροφόροι γυναῖκες. Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα. Χριστὸς ἀνέστη, ἐκ γ΄. Σοφία καὶ ἀπολύει. Τὸ δὲ ἀπόδειπνον, ὡς εἴρηται.

Τῇ ε΄. εἰς τὸν ὄρθρον, ὡς καὶ ἐν ταῖς λοιπαῖς, ἡ ἔναρξις καὶ ὁ κανων ἀνὰ β΄. τά τε τροπάρια καὶ οἱ εἱρμοί, καὶ ἕτερος κανὼν τοῦ Τριῳδίου, εἰς ἦχον πλ. α΄. πρὸς τὸ Ἵππον εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, ἡ ὑπακοὴ τοῦ πλ. α΄. ἤχου· Ἀγγελικῇ ὁράσει τὸν νοῦν, καὶ εἰς τὸν Θεολόγον ἡ δ΄. ἀνάγνωσις. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. καὶ ψάλλομεν τὰ δ΄. ἑωθινὰ ἀναστάσιμα (σ. 155] τοῦ πλ. α΄. ἤχου, εἶτα Ἀναστήτω ὁ Θεός. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Ὡς ἐκλείπει καπνός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Δόξα καὶ νῦν, Πάσχα τὸ τερπνόν. Χριστὸς ἀνεστη, ἐκ γ΄. ἐκτενὴς καὶ ἡ λιτή.

Εἰς τὴν λειτουργίαν. τὰ αὐτὰ ἀντίφωνα, Ὅσοι εἰς Χριστόν, προκείμενον, ἦχος γ΄. Ψάλατε τῷ Θεῷ ἡμῶν. Στίχος· Πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, εἶπε Πέτρος πρὸς τὸν λαόν. Ἀλληλούια, ἦχος δ΄. Ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις ἦν ἐκ τῶν Φαρισαίων. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα, τοῦ πλ. β΄. ἤχου πρὸς μίαν, καὶ ἕτερα β΄. ἐν τῷ Τριῳδίῳ εἰς τὸν αὐτὸν ἦχον πρὸς τὸ Ὅλην ἀποθέμενοι, Δόξα καὶ νῦν, Τίς.

μὴ μακαρίσῃ σε. Εἴσοδος, προκείμενον, ἦχος βαρύς· Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Στίχος α΄. Ὁ Θεός μου βοηθός μου. Στίχος β΄. Αἰνῶν ἐπεκαλεσάμην τὸν Κύριον. Στίχος γ΄. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς. Ἐκτενής, Καταξίωσον, Κύριε, Πληρώσωμεν τὴν ἑσπερινήν. Εἰς τὸν στίχον, στιχηρά· Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος· Ἀναστήτω ὁ Θεός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Ὡς ἐκλείπει καπνός. Αἱ μυροφόροι γυναῖκες. Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα. Χριστὸς ἀνέστη, ἐκ γ΄. Σοφία καὶ ἀπολύει. Τὸ δὲ ἀπόδειπνον, ὡς εἴρηται.

Τῇ παρασκευῇ τῆς Διακινησίμου εἰς τὸν ὄρθρον ἡ αὐτὴ ὥρα καὶ ἔναρξις, Χριστὸς ἀνέστη, ἡ συναπτή, καὶ ὁ κανών, ἐκ β΄. καὶ ἕτερος κανὼν ἐν τῷ Τριῳδίῳ, εἰς ἦχον πλ. β΄. Τμηθείσῃ τμᾶται, εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, ἡ ὑπακοὴ τοῦ πλ. β΄. ἤχου· Τῷ ἐκουσίῳ. Ἀνάγνωσις, ἡ τελευταία εἰς τὸν Θεολόγον. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ὡς θνητός. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. καὶ ψάλλομεν τὰ δ΄. ἐωθινὰ ἀναστάσιμα τοῦ πλ. β΄. ἤχου, εἶτα στίχος· Ἀναστήτω ὁ Θεός. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν. Δεῦτε ἀπὸ θέας γυναῖκες. Δόξα καὶ νῦν, Αἱ μυροφόροι γυναῖκες. Χριστὸς ἀνέστη, ἐκ γ΄. ἐκτενὴς καὶ ἡ λιτή.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνα τὰ αὐτά, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, ἦχος βαρύς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. Στίχος· Ἐνέγκατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, Πέτρος καὶ Ἰωάννης ἀνέβαινον. Ἀλληλούια, ἦχος πλ. δ΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Εὐαγγέλιον κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, ἦχος πλ. δ΄. Σήμερον ὁ ᾅδης στένων βοᾷ, καὶ ἕτερα β΄. Ζήτει τῷ μεγάλῳ σαββάτῳ ἑσπέρας, τὰ γ΄. ἐκ β΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ὦ Δέσποτα τῶν ἁπάντων. (οδ.] Ζήτει εἰς τὰ κατ' ἀλφάβητον. Εἴσοδος, προκείμενον, ἦχος πλ. δ΄. Ἔδωκας κληρονομίαν. Στίχος· Ἀπὸ τῶν περάτων τῆς γῆς. Στίχος β΄. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ. Στίχος γ΄. Οὕτως ψαλῶ τῷ ὀνόματί σου. Ἐκτενής, Καταξίωσον, Πληρώσωμεν. Εἰς τὸν στίχον, στιχηρά· Πάσχα ἱερὸν ἡμῖν σήμερον. Στίχος· Ἀναστήτω ὁ Θεός. Δεῦτε ἀπὸ θέας γυναῖκες. Ὡς ἐκλείπει καπνός. Πάσχα τὸ τερπνόν. Δόξα καὶ νῦν. Ἄγγελοι σκιρτήσατε. Χριστὸς ἀνέστη γ΄. Τὸ ἀπόδειπνον, ὡς εἴρηται.

Τῷ σαββάτῳ τῆς Διακινησίμου εἰς τὸν ὄρθρον ἡ αὐτὴ ὥρα καὶ τάξις καὶ ἔναρξις, συναπτή, καὶ ὁ κανὼν μόνος τῆς ἑορτῆς· Ἀναστάσεως

ἡμέρα, τοὺς εἱρμοὺς ἐκ β΄. τὰ δὲ τροπάρια, ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, ἡ ὑπακοὴ ἦχος δ΄. Προλαβοῦσαι. Ἀνάγνωσις, εἰς τὴν ἀκολουθίαν τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην, δόσεις δ΄. Ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον, τὸν πρῶτον, Ἀνάστασιν Χριστοῦ, ἐκ γ΄. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. εἰς ἦχον α΄. ἃ καὶ τῇ μεγάλῃ κυριακῇ εἰς τὸν ὄρθρον ἐψάλλομεν, δευτεροῦντες τὸ α΄. εἶτα στίχος· Ἀναστήτω ὁ Θεός. Πάσχα ἱερὸν ἡμῖν σήμερον. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν. Δεῦτε ἀπὸ θέας. Δόξα καὶ νῦν. Ἀναστάσεως ἡμέρα. Χριστὸς ἀνέστη, καὶ ἡ ἐκτενής.

Εἰς τὴν λειτουργίαν, τὰ αὐτὰ ἀντίφωνα, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Ὅσοι εἰς Χριστόν, προκείμενον, ἦχος γ΄. Κύριος φωτισμός μου. Στίχος· Κύριος ὑπερασπιστής. Ὁ ἀπόστολος Πραξέων· Ἐν ταῖς ἡμέραις ἐκείναις, κρατοῦντος τοῦ ἰαθέντος. Ἀλληλούια. ἦχος πλ. α΄. Ὁ Κύριος ἐβασίλευσεν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν. Κοινωνικόν· Σῶμα Χριστοῦ.

Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ πρὸ τοῦ καθεσθῆναι τοὺς ἀδελφούς, κλῶνται οἱ ἄρτοι παρὰ τοῦ ἱερέως καὶ διανέμονται πᾶσι τοῖς ἀδελφοῖς παρὰ τοῦ τραπεζαρίου.

Κυριακὴ τοῦ Ἀντίπασχα. Χρὴ εἰδέναι, ὅτι ἐν ταύτῃ τῇ ἑσπέρᾳ ἀλ[λ]άσσουσιν οἱ χοροὶ τοὺς ἤχους μέχρι πάλιν τῆς ἡμέρας ταύτης.

Τῷ σαββάτῳ τοίνυν ἑσπέρας, δόντος Δόξαν τοῦ ἱερέως, ἀλλαγμένου ὄντος, εὐθὺς ἀρχόμεθα Δεῦτε προσκυνήσωμεν, ἐκ γ΄. καὶ τὸ προοίμιον, ἤγουν τὸν ψαλμόν· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, εἶτα ἡ στιχολογία, Μακάριος ἀνήρ, εἰς ἦχον πλ. δ΄. τὸ δὲ β΄. ἀντίφωνον. εἰς ἦχον α΄. Ἀπὸ γὰρ τῆς σήμερον ἄλλο τὸ Χριστὸς ἀνέστη οὐ ψάλλομεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. εἰς ἦχον πρῶτον, πλὴν οὐδὲν τῆς Ὀκτωήχου ψάλλομεν, ἀλλ' ἰδιόμελα, στιχηρὰ τῆς ἑορτῆς. ἦχος α΄. Μεθ' ἡμέρας ὀκτώ, λέγομεν β΄. Ἄλλο· Τῶν θυρῶν (σ. **156**] κεκλεισμένων, ἐκ γ΄. Θωμᾶς ὁ λεγόμενος Δίδυμος, ἐκ γ΄. Δόξα καὶ νῦν, τὸ α΄. Μεθ' ἡμέρας ὀκτώ. Εἴσοδος, προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς ἰδιόμελα, ἦχος β΄. Μετὰ τὴν ἔγερσίν σου, Κύριε. Στίχος· Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον. Καὶ πάλιν τὸ αὐτό. Μετὰ τὴν ἔγερσίν σου, Κύριε. Στίχος β΄. Ὅτι ἐνίσχυσε τοὺς μοχλούς, ἦχος ὁ αὐτός. Τῶν θυρῶν κεκλεισμένων ἐπιστάς. Δόξα καὶ νῦν, ἦχος πλ. β΄. Τῶν θυρῶν κεκλεισμένων ἐπέστης, Χριστέ, πρὸς τοὺς μαθητάς. Ἀπολυτίκιον, ἦχος βαρύς· Ἐσφραγισμένου. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος καὶ ὅλην

τὴν ἑβδομάδα. Τὸ ἀπόδειπνον μικρόν, ἀπὸ τοῦ Ὁ κατοικῶν, ὡς καὶ τὰς προλαβούσας ἡμέρας.

Εἰς τὴν παννυχίδα, τὸ Τρισάγιον καὶ τὸν Ν'. ψαλμόν· Ἐλέησόν με, ὁ Θεός, ὡς σύνηθες. Κανόνες γ'. τὸν κατανυκτικὸν τοῦ α'. ἤχου, τὸν α'. εἰς δ'. καὶ β'. ἁγίους ἐκ τῶν καταλειφθέντων ἐκ τῆς τεσσαρακοστῆς καὶ τῆς Διακινησίμου, ἀνὰ δ'. Ἀπὸ γ'. καὶ ς'. ᾠδῆς, τὰ τῶν ἁγίων καθίσματα. Ἀνάγνωσις, μετὰ τὸ τέλος τοῦ κανόνος, ἐξ ἀρχῆς αἱ Πράξεις τῶν ἀποστόλων· Τὸν μὲν πρῶτον λόγον, εἶτα σημαίνει καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον, τὸ Δόξα ἐν ὑψίστοις Θεῷ. ἀρχόμεθα καὶ εὐθὺς τὸ ἐξάψαλμον· Θεὸς Κύριος, ἦχος βαρύς, τροπάριον· Ἐσφραγισμένου τοῦ μνήματος. Δόξα καὶ νῦν, τὸ αὐτό· λέγεται γὰρ ἐκ γ'. Αἱ στιχολογίαι· Ἐξομολογήσομαι σοι, καὶ Ἀγαπήσω σε. Καθίσματα τοῦ Τριῳδίου τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὰ αὐτά. Ἀνάγνωσις, ἡ ἀκολουθία τοῦ κατὰ Ἰωάννην, ἔπειτα ὁ πολυέλεος, κάθισμα δὲ, ἦχος πλ. β'. Ὡς ἐν μεσῳ τῶν μαθητῶν σου, ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν θεοτοκίον· Ὁ τὴν εὐλογημένην καλέσας σου. Ἀνάγνωσις, ἐν τῷ Πανηγυρικῷ λόγος τοῦ Χρυσοστόμου εἰς τὴν ἑορτήν, εἶτα οἱ ἀναβαθμοὶ τοῦ α'. ἤχου, ὁμοίως καὶ τὸ προκείμενον τοῦ αὐτοῦ ἤχου, καὶ Πᾶσα πνοή, καὶ εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, τὸ α'. Οἱ ἑνδεκα μαθηταί. Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. καὶ εὐθὺς τους εἱρμοὺς τοῦ κανόνος τοῦ μοναχοῦ κυροῦ Ἰωάννου, ἦχος α'. Ἄσωμεν πάντες λαοί. Τῷ Κυριῳ ᾄσωμεν οὐ λέγεται. Τοὺς μὲν εἱρμους ἐκ β'. τὰ δὲ τροπάρια, ἐν αἷς ᾠδαῖς εἰσι γ'. ἀνὰ δ'. ἐν αἷς δὲ εἰσὶ δ'. ἀνὰ γ'. καὶ πάλιν ὁμοῦ τοὺς εἱρμοὺς ἀμφοτέρους. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα πρὸς τὸ Τοῦ λίθου σφραγισθέντος. Τῷ φόβῳ τῶν Ἑβραίων. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις· λόγος τοῦ Θεολόγου· Ἐγκαίνια τιμᾶσθαι παλαιὸς νόμος. Ἀπὸ ς'. τὸ κοντάκιον, ἦχος πλ. δ'. Τῇ φιλοπράγμονι δεξιᾷ, καὶ οἶκον. Ἐξαποστειλάριον, πρὸς τὸ Τοῖς μαθηταῖς συνέλθωμεν. Συγκεκλεισμένων Δέσποτα. (**οβ**.] Εἰς τοὺς αἴνους, στιχηρὰ εἰς ἦχον δ'. Ὢ τοῦ παραδόξου θαύματος, καὶ ἕτερα β'. ὁμοια αὐτῷ, τὰ γ'. ἐκ β'. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Μεθ' ἡμέρας ὀκτώ. Δοξολογία μεγάλη, τὸ γὰρ Ὑπερευλογημένη ὑπάρχεις οὐ λέγεται. Τροπάριον τῆς ἑορτῆς. Ἡ α'. ὥρα συνημμένως μετὰ ἀναγνώσεως· ἀπολυτίκιον δὲ τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνα, α'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἀντίφωνον β'. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Ἀντίφωνον γ'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Ἐσφραγισμένου τοῦ μνήματος. Δόξα καὶ νῦν, τὸ κοντάκιον. Τῇ φιλοπράγμονι δεξιᾷ. Ὁ Τρισάγιος, προκείμενον, ἦχος γ΄. Μέγας ὁ Κύριος ἡμῶν. Στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς ψαλμός. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, διὰ τῶν χειρῶν τῶν ἀποστόλων. Ἀλληλούια, ἦχος δ΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Στίχος β΄. Ὅτι Θεὸς μέγας Κύριος. Εὐαγγέλιον κατὰ Ἰωάννην· Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ. Κοινωνικόν· Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον. Λέγεται δὲ ἀπὸ τῆς σήμερον καὶ ὁ ἐξ ἔθους ψαλμὸς ἀπερχομένων ἡμῶν εἰς τὴν τράπεζαν, ὁμοίως καὶ μετὰ τὸ ἀναστῆναι ἀπὸ τῆς τραπέζης· ἡ κατὰ συνήθειαν ἀκολουθία.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρας, ἠλλαγμένου τοῦ ἱερέως, Τρισάγιον οὐ λέγομεν, ἀλλ' εὐθὺς τὸ προοίμιον ἤγουν τὸν ψαλμόν. Χρὴ γὰρ εἰδέναι, ὅτι ἐκτὸς σαββάτου ἑσπέρας, εἰς τὸ λυχνικὸν οὐ στιχολογοῦμεν μέχρι τῶν ἁγίων Πάντων. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν ς΄. εἰς ἦχον δ΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. τῆς ἑορτῆς, ἐκ β΄. Ὦ τοῦ παραδόξου θαύματος, καὶ ἕτερα β΄. ὅμοια αὐτῷ, εἰ οὐκ ἔστι μέγας ἅγιος ἑορταζόμενος, εἰ δὲ καὶ ἅγιος, τὰ γ΄. πρὸς μίαν τῆς ἑορτῆς, καὶ γ΄. τοῦ ἁγίου. Δόξα καὶ νῦν, ἦχος πλ. α΄. Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον. Εἴσοδος. Προκείμενον· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν. Στίχον δὲ ζήτει τῇ μεγάλῃ κυριακῇ. Ἐκτενής, τὸ Καταξίωσον Κύριε, Πληρώσωμεν. Εἰς τὸν στίχον; στιχηρὰ τῆς Ὀκτωήχου, τὸ α΄. ἀναστάσιμον· Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, καὶ κατανυκτικὸν ἓν· Ὅτι τὸ πέλαγος πολύ, καὶ μαρτυρικὸν τὸ α΄. Τῇ πρεσβείᾳ, Κύριε. Δόξα καὶ νῦν, ἦχος πλ. δ΄. Ἄψαι Θωμᾶ. Ἀπολυτικιον· (**л. 157**] Ἐσφραγισμένου τοῦ μνήματος. Τὸ αὐτὸ καὶ εἰς τὸ ἀπόδειπνον, καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου, καὶ πᾶσαν τὴν ἑβδομάδα.

Τῇ β΄. τοῦ ἀντίπασχα εἰς τὸν ὄρθρον, ἀρχόμεθα ἀπὸ Τρισαγίου καὶ τοῦ ψαλμοῦ, θυμιῶντος τοῦ ἱερέως, ὡς σύνηθες, εἶτα τὸ ἐξάψαλμον, Θεὸς Κύριος, ἦχος βαρύς. τροπάριον τὸ τῆς ἑορτῆς β΄. Δόξα καὶ νῦν, εἰ ἔχει ὁ ἅγιος, τοῦ ἁγίου, εἰ δ' οὖν, θεοτοκίον· Ὡς τῆς ἡμῶν ἀναστάσεως. Οὕτως μέχρι τοῦ σαββάτου. Ἡ στιχολογία, ἀπὸ τῆς σήμερον κάθισμα ἓν ἐν μόνῳ τῷ ὄρθρῳ· πληροῦμεν δὲ τὸ Ψαλτήριον ἅπαξ ἕως τῆς Μεσοπεντηκοστῆς, ἐκτὸς τῶν σαββατοκυριακῶν. Τοῖς γὰρ σάββασι, τὸν Ἄμωμον στιχολογοῦμεν μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου, ταῖς δὲ κυριακαῖς, τὸ Ἐξομολογήσομαί σοι, τὸ Ἀγαπήσω σε, Κύριε· τοῖς γὰρ λυχνικοῖς, ἐκτὸς σαββάτου, οὐ στιχολογοῦμεν. Μετὰ τὴν στιχολογίαν κάθισμα ἀναστάσιμον τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον τὸ α΄. Ἀνά-

γνωσις, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην μέχρι τῶν ἁγίων Πάντων. Εἰ δὲ τύχῃ ἀνὰ μέσον βίος, ἢ μαρτύριον ἁγίου, ἀναγινώσκονται κἀκεῖνα ἐν ταῖς ἡμέραις αὐτῶν, εἶτα Ἀνάστασιν Χριστοῦ, καὶ τὸν Ν'. Οὕτως γὰρ ποιοῦμεν καθ' ἑκάστην μέχρι τῆς Ἀναληψίμου. Κανόνες β'. τὸν α'. ἀναστάσιμον εἰς ς'. Σοῦ ἡ τροπαιοῦχος, καὶ τὸν κατὰ τὴν ἡμέραν ἅγιον εἰς δ'. καὶ γὰρ ἀπὸ τῆς σήμερον στίχους ὀκτὼ ἱστῶμεν, καὶ Δόξα καὶ νῦν, ὡς γίνεσθαι δέκα. Λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν. Εἰ δὲ τύχῃ μέγας ἅγιος, ὥστε ψάλλειν τὸν κανόνα αὐτοῦ εἰς ς'. ψάλλομεν τὸν μὲν τῆς ἡμέρας εἰς δ'. τὸν δὲ τοῦ ἁγίου εἰς ς'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἐμῶν μελῶν χειρί σου. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον ἑωθινὸν τὸ α'. κατανυκτικὸν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Τῶν θυρῶν κεκλεισμένων, ὁμοῦ καὶ τὴν α'. ὥραν, μετὰ ἀναγνώσεως, ὡς σύνηθες ἡμῖν ἀεί.

Εἰς τὴν λειτουργίαν ἐν τῷ ναῷ μετὰ διακόνου, καὶ ψάλλομεν τυπικά. Ἀντὶ δὲ μακαρισμῶν, λέγομεν τὴν θ'. ᾠδὴν τοῦ Τριῳδίου μέχρι τῶν ἁγίων Πάντων. Μετὰ τὴν εἴσοδον, τροπάριον, τὸ τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Ὁ Τρισάγιος, προκείμενον· Μνησθήσομαι τοῦ ὀνόματός σου. Στίχος· Ἄκουσον, θύγατερ. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, συνιδὼν ὁ Πέτρος. Ἀλληλούια, ἦχος β'. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ γάμος ἐγένετο. Κοινωνικόν· Ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον.

Τῇ αὐτῇ β'. ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν, ἐὰν ἔχωμεν δύο ἁγίους, καὶ γὰρ τοὺς ἐναπομείναντας ἀπὸ τῆς τεσσαρακοστῆς καὶ τῆς Διακινησίμου (**οδ.**] ψάλλομεν αὐτοὺς ἀπὸ τῆς σήμερον καθ' ἑκάστην, ἕως πληρωθῶσι, πλὴν τυποῦνται τὰ στιχηρὰ καὶ οἱ κανόνες αὐτῶν, εἴτε πρὸς τὸν τῆς κυριακῆς ἦχον, εἴτε πρὸς τὸν τοῦ ἁγίου κανόνα, καὶ λέγομεν τῶν ἐνδοξοτέρων ἁγίων τροπάριον ἔσχατον δ'. τοῦ δὲ ἑτέρου ἁγίου τροπάρια β'. καὶ τῆς ἡμέρας εἰς δ'. Μετὰ δὲ τὸ πληρωθῆναι τοὺς περισσοὺς ἁγίους, ψάλλομεν τῆς ἡμέρας πρὸς τὸν ἅγιον. Εἰ μὲν μέγας ἅγιος, εἰς ς'. καθὼς σεσημείωνται ἐν τῷ Μηνολογίῳ, εἰ δὲ μή γε, εἰς δ'. καὶ τῆς ἡμέρας εἰς ς'. ὁμοίως καὶ εἰς τοὺς στίχους ἀμφοτέρους. Ἐν ταύτῃ τῇ ἑσπέρᾳ ἱστῶμεν ς'. ὡς εἴρηται, καὶ ψάλλομεν ἐκ τῶν προσομοίων τῆς ἑορτῆς στιχηρά, ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, καὶ β'. τοῦ ἑνὸς ἁγίου, καὶ ἕτερα β' τοῦ ἄλλου. Εἰ δὲ οὐκ ἔστιν ἅγιος περισσός, τὰ εἰρημένα γ'. τῆς ἑορτῆς καὶ γ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον.

Δεῖ δὲ εἰδέναι, ὅτι θεοτοκια λέγομεν τὰ κρείττονα καὶ δογματικα, ἤγουν τὰ πρῶτα. Προκειμενον τῆς ἡμέρας· Κύριος εἰσακούσεταί μου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον ἓν, κατανυκτικὸν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Μεθ' ἡμέρας ὀκτώ. Ἀπολυτίκιον· Ἐσφραγισμένου τοῦ μνήματος. Τὸ αὐτὸ καὶ εἰς τὸν ὄρθρον.

Εἰς τὴν παννυχίδα συνημμενως τὸ τριῴδιον, τὰς τρεῖς ᾠδάς. τὰ λοιπὰ καὶ ἀπολυσις.

Τῇ γ'. εἰς τὸν ὄρθρον, μετὰ την στιχολογιαν. κάθισμα τῆς ἑορτῆς. ἦχος α'. Τῷ φόβῳ τῶν Ἑβραίων. Δόξα καὶ νῦν. θεοτοκίον. Ἀνάγνωσιν. εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ τοῦ κατὰ Ἰωάννην· δύο γὰρ ἀναγνώσεις ποιοῦμεν καθ' ἑκάστην, ἀπὸ τῆς στιχολογίας, καὶ ἀπὸ γ'. ᾠδῆς. Κανόνες γ'. ἢ δύο· ἱστῶμεν γὰρ δέκα μετὰ τοῦ Δόξα καὶ νῦν, ὡς εἴρηται· τῆς ἑορτῆς, Ἄσωμεν πάντες λαοί, εἰς δ'. καὶ β'. τροπαρια τοῦ ἑνὸς ἁγίου καὶ δ'. τοῦ ἄλλου. Εἰ δὲ εἷς ἅγιος, τῆς ἑορτῆς ὁ κανὼν εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Οὕτως τὴν ἑβδομάδα ὅλην. Εἰ δὲ τυχῃ ἑορταζόμενος ὁ ἅγιος, καταλιμπάνεται ὁ ἕτερος ἅγιος ἐν ἄλλῃ ἡμέρᾳ, καὶ ποιοῦμεν τὸν ἑορταζόμενον εἰς ς'. καὶ τῆς ἑορτῆς εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ τῆς ἡμέρας ἁγίου. Δόξα καὶ νῦν. θεοτοκίον. Ἀνάγνωσις. Ἀπὸ ς'. ᾠδῆς, τὸ κοντάκιον καὶ οἶκον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἐμῶν μελῶν χειρι σου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν ἦχον· Θωμᾶς ὁ λεγόμενος Δίδυμος.

Εἰς τὴν λειτουργίαν, τὴν θ'. ᾠδὴν τοῦ Τριῳδίου, τροπάριον τῆς ἑορτῆς. Δόξα καὶ νῦν, τὸ κοντάκιον, ἢ θεοτοκίον. Προκείμενον, εἰ οὐκ ἔχει ὁ ἅγιος. ἐκ τῶν κυριακῶν τὸ ἄμνημον, ἦχος α'. Γένοιτο, Κύριε. Στίχος· Ἀγαλλιᾶσθε δίκαιοι. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Ἀλληλούια, ἦχος α'. Ὁ Θεός, ὁ διδοὺς ἐκδικήσεις ἐμοι. Κοινωνικόν· Ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον. (л. **158**]

Τῇ αὐτῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β'. εἰς ἦχον α'. πρὸς τὸ Πανεύφημοι μάρτυρες, καὶ β'. τοῦ ἑνὸς ἁγίου καὶ ἕτερα β'. τοῦ ἄλλου. Εἰ δὲ οὐκ ἔστιν ἅγιος περιττός, γ'. τῆς ἑορτῆς τὰ εἰρημένα καὶ γ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας· Τὸ ἔλεός σου, Κύριε. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου. σταυρώσιμον. ἀναστάσιμον καὶ μαρτυρικόν, Δόξα καὶ νῦν. ἰδιόμελον. ἦχος ὁ αὐτός· Τῶν μαθητῶν διισταζόντων.

Χρὴ εἰδέναι, ὅτι τῇ δ'. καὶ τῇ παρασκευῇ, τὰ σταυρώσιμα ψάλλονται πρῶτον, εἶθ' οὕτως τὰ ἀναστάσιμα, εἶτα τὰ μαρτυρικά. Ἀπολυτίκιον· Ἐσφραγισμένου τοῦ μνήματος.

Εἰς τὴν παννυχίδα τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ δ'. εἰς τὸν ὄρθρον, μετὰ τὴν στιχολογίαν, κάθισμα σταυρώσιμον τοῦ ἤχου, Δόξα καὶ νῦν. Θεοτοκίον. Ἀνάγνωσις, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην, εἶτα Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες γ'. τὸν β'. ἀναστάσιμον εἰς δ'. Πικρᾶς δουλείας, καὶ τοῦ ἑνὸς ἁγίου τροπάρια β'. τοῦ δὲ ἄλλου δ'. Εἰ δὲ εἷς ἅγιος, τὸν ἀναστάσιμον εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἶκον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἐμῶν μελῶν χειρί σου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἦχος β'. Τῶν θυρῶν κεκλεισμένων τῶν μαθητῶν.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τροπάριον τῆς ἑορτῆς. Προκείμενον. ἦχος πλ. β'. Σῶσον, Κύριε, τὸν λαόν σου. Στίχος· Πρὸς σέ, Κύριε, κεκραξομαι. Ἀπόστολος καὶ εὐαγγελιον τῆς ἡμέρας. Ἀλληλούια, ἦχος β'. Ἐπακούσαι σου Κυριος. Κοινωνικον· Ἐπαινει Ἱερουσαλὴμ τὸν Κύριον.

Τῇ αὐτῇ ἑσπέρᾳ, εἰς το Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. εἰς ἦχον δ'. Ὦ τοῦ παραδόξου θαύματος, καὶ τὰ προσόμοια αὐτοῦ, καὶ γ'. τοῦ ἁγίου. Εἰ δὲ καὶ ἕτερος ἅγιος, ἀνὰ β'. Δόξα καὶ νῦν, Θεοτοκίον. Προκείμενον τῆς ἡμέρας· Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον τοῦ στίχου, ἀποστολικὸν καὶ μαρτυρικὸν τοῦ στίχου, Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ἆψαι Θωμᾶ. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς την παννυχίδα τὸ τριῴδιον.

Τῇ ε'. εἰς τον ὄρθρον, μετα τὴν στιχολογίαν, κάθισμα ἀποστολικὸν τοῦ ἤχου, Δόξα καὶ νῦν, Θεοτοκίον. Ἀνάγνωσις. Κανόνες· τῆς ἑορτῆς εἰς ς'. Ἄσωμεν πάντες λαοί, καὶ τοῦ ἁγίου εἰς δ'. Εἰ δὲ δύο ἅγιοι, ὡς εἴρηται. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, Δόξα καὶ νῦν, Θεοτοκίον. Ἀνάγνωσις. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον ὁμοίως. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρα τῆς Ὀκτωηχου ὁμοίως τῇ ἑσπέρᾳ, τὰ ἑωθινὰ δέ. Δόξα καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον, τὸ γ'. στιχηρὸν τῶν προσομοίων, πρὸς τὸ Πανεύφημοι μάρτυρες. (**οβ.**]

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν. Στίχος· Οἱ οὐ-

ρανοὶ διηγοῦνται. Ἀλληλούια, ἦχος α'., Ἐξομολογήσονται. Κοινωνικόν· Ἐπαίνει Ἰερουσαλήμ.

Τῇ ἑσπέρᾳ, στιχηρὰ τῆς ἑορτῆς, ἦχος δ'. πρὸς τὸ Ὡς γενναῖον, γ'. καὶ γ'. τοῦ ἁγίου. Εἰ δὲ β'. ἅγιοι, ἀνὰ β'. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας· Ἡ βοήθειά μου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον, καὶ μαρτυρικόν, Δόξα καὶ νῦν ἰδιόμελον, ἦχοςπλ. δ'. Τῶν θυρῶν κεκλεισμένων. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, ἡ στιχολογία, κάθισμα ἀναστάσιμον τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες β'. ἡ α'. καταβασία τοῦ ἀναστασίμου εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Εἰ δὲ β'. ἅγιοι, ὁ ἀναστάσιμος εἰς δ'. καὶ β'. τροπάρια τοῦ ἑνὸς ἁγίου καὶ τοῦ ἑτέρου δ'. Ἀπὸ γ'. ᾠδῆς, ἡ ὑπακοὴ τοῦ ἤχου· Ἡ τοῦ λῃστοῦ μετάνοια, καὶ ἀνάγνωσις. Ἀπὸ ς'. τὸ κάθισμα τοῦ ἁγίου καὶ θεοτοκίον. Ἐξαποστειλάριον· Ἐμῶν μελῶν χειρί σου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος ὁ αὐτός· Τῶν μαθητῶν δισταζόντων. Ἡ α'. ὥρα μετὰ ἀναγνώσεως.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου. τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον, ἦχος δ'. Ὡς ἐμεγαλύνθη. Στίχος· Εὐλόγει ἡ ψυχή [μου]. Ἀλληλούια, ἦχος δ'. Ἔντεινε καὶ κατευοδοῦ. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῇ αὐτῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς ἑκ β'. Μεθ' ἡμέρας ὀκτώ, Τῶν θυρῶν κεκλεισμένων. Θωμᾶς ὁ λεγόμενος Δίδυμος. Δόξα καὶ νῦν, ἦχος πλ. α'. Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον. Προκείμενον τῆς ἡμέρας· Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, ἦχος β'. Μετὰ τὴν ἔγερσίν σου, Κύριε. Στίχος· Ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον. Καὶ πάλιν τὸ αὐτό. Στίχος β'. Ὅτι ἐνίσχυσε τοὺς μοχλούς. Τῶν θυρῶν κεκλεισμένων ἐπιστάς. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Τῶν θυρῶν κεκλεισμένων. Εἰ δὲ τύχῃ ἑορταζόμενος ἅγιος, εἰς τὸ Κύριε ἐκέκραξα τὰ εἰρημένα γ'. τῆς ἑορτῆς πρὸς μίαν, καὶ γ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, Φιλάνθρωπε. Ὁμοίως καὶ εἰς τὸν στίχον τὰ β'. τῆς ἑορτῆς πρὸς μίαν, εἶτα στίχος τοῦ ἁγίου, καὶ στιχηρὸν ἰδιόμελον, Δόξα καὶ νῦν, τὸ τῆς ἑορτῆς. Ἀπολυτίκιον· Ἐσφραγισμένου τοῦ μνήματος.

Ἡ νεκρώσιμος παννυχὶς εἰς τοὺς τάφους τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, ὡς σύνηθες.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, μετὰ τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς ἐκ β'. εἶτα Δόξα καὶ νῦν, θεοτοκίον, εἰ οὐκ ἔχει ὁ ἅγιος. Ἡ στιχολογία, ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου, κάθισμα τῆς ἑορτῆς, ἦχος α'. Τῷ φόβῳ τῶν Ἑβραίων. Ἀνάγνωσις. Κανόνες β'. τῆς ἑορτῆς, Ἄσωμεν πάντες οἱ λαοί, εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἶκον τὸν α'. Ἐξαποστειλάριον· Ἐμὼν μελῶν χειρί σου. Εἰς τοὺς αἴνους, οὐδέν. (π. **159**] Ἄλλο· Τί τὰ μύρα. Στίχους δὲ τοὺς συνήθεις, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Αἱ μυροφόροι γυναῖκες. Ἀπολυτίκιον· Ὁ εὐσχήμων.

Ἡ παννυχὶς εἰς τοὺς τάφους, ὡς σύνηθες· ἀεὶ γὰρ αἵ τε λειτουργίαι καὶ αἱ παννυχίδες τελοῦνται ἐν τῷ κοιμητηρίῳ ἀνυστερήτως, κατὰ τὴν ἐξ ἀρχῆς παράδοσιν.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτό, Δόξα καὶ νῦν, θεοτοκίον· Ὑπερδεδοξασμένη. Ἡ στιχολογία, ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουιαρίων τοῦ ἤχου, κάθισμα ἀναστάσιμον· Ταῖς μυροφόροις γυναιξί, Δόξα καὶ νῦν, θεοτοκίον· Σὲ μεγαλύνομεν, Θεοτόκε, βοῶντες. Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες β'. τῆς ἑορτῆς· Τὴν Μωσέως ᾠδὴν εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος β'. Τῶν μαθητῶν σου ὁ χορός, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Γυναῖκες. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, ἦχος α'. Μυροφόροι γυναῖκες. Μετὰ φόβου ἦλθον. Ἦλθον ἐπὶ τὸ μνημεῖον. Δόξα καὶ νῦν, ἦχος β'. Ἔραναν μύρα. Ἀπολυτίκιον τὸ αὐτό.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ γ'. ᾠδὴ τοῦ κανόνος τῆς ἑορτῆς, τό τε τροπάριον καὶ τὸ κοντάκιον. Προκείμενον· Θαυμαστὸς ὁ Θεός. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ὁ Σαῦλος. Ἀλληλούια τῆς ἑορτῆς. Εὐδόκησας, Κύριε. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι ὑμῖν. Κοινωνικόν· Ἀγαλλιᾶσθε.

Κυριακὴ δ'. τοῦ Παραλύτου. Τῷ σαββάτῳ ἑσπέρας, ἡ στιχολογία, Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἀναστάσιμα, ἦχος γ'. Τῷ σῷ Σταυρῷ, Χριστὲ Σωτήρ, τὰ γ'. ἐκ β'. ἀνατολικὰ ἐκ τῶν κατὰ ἀλφάβητον, Δόξα καὶ νῦν, θεοτοκίον, τὸ α'. Εἰ δὲ ἑορταζόμενος ἅγιος, καταλιμπάνομεν τὰ ἀνατολικὰ καὶ ψάλλομεν β'. τοῦ ἁγίου, Δόξα καὶ νῦν θεοτοκίον τὸ α'. πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον ἅπαξ, καὶ ἔτι β'. τοῦ Παραλύτου, ἦχος πλ. α'. Ἐπὶ τῇ

προβατικῇ κολυμβήθρᾳ. Ἄλλο· Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ἐν τῇ στοᾷ τοῦ Σολομῶντος. Ἀπολυτίκιον, ἀναστάσιμον τοῦ ἤχου, εἰ οὐκ ἔχει ὁ ἅγιος.

Εἰς τὴν παννυχίδα, κανὼν κατανυκτικὸς τοῦ ἤχου εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν. Ἡ ἀνάγνωσις ἐκ τῶν Πράξεων τῶν ἀποστόλων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον ἀναστάσιμον, ἦχος γ'. Εὐφραινέσθω τὰ οὐράνια, Δόξα καὶ νῦν, θεοτοκίον· Σὲ τὴν μεσιτεύσασαν. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, τοῦ ἁγίου. Αἱ στιχολογίαι· Ἐξομολογήσομαί σοι, Κύριε, καὶ Ἀγαπήσω σε, Κύριε, καὶ ὁ πολυέλεος, κάθισμα ἀναστάσιμον. Ἀνάγνωσις, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην, εἰς τὴν περικοπὴν τοῦ εὐαγγελίου λόγοι Γ'. ΛΣ'. ΛΖ'. ΛΗ'. Οἱ ἀναβαθμοί, προκείμενον καὶ Πᾶσα πνοή, τοῦ ἤχου. Εὐαγγέλιον δὲ ἑωθινὸν ζήτει κατὰ Ἰωάννην· Τῇ μιᾷ τῶν σαββάτων, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες β'. ἡ α'. καταβασία τῶν ἀναστασίμων εἰς ς'. καὶ τοῦ Παραλύτου, ἦχος ὁ αὐτὸς εἰς η'. Εἰ δὲ μέγας ἅγιος, (οϐ.] τὸν ἀναστάσιμον εἰς δ'. τοῦ Παραλύτου εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, εἰ ἐστὶ καὶ ἅγιος, τὸ κάθισμα αὐτοῦ, καὶ ἀνάγνωσις τοῦ αὐτοῦ, εἰ ἐστίν· εἰ δ' οὐκ ἔχει, λέγομεν τὴν ὑπακοὴν τοῦ ἤχου· Ἐκπλήττων τῇ ὁράσει, καὶ ἀνάγνωσις τοῦ αὐτοῦ, εἰ ἔστι Παράλυτον, ἐν τῷ Πανηγυρικῷ. Ἀπὸ ς'. τὸ κοντάκιον, ἦχος γ'. πρὸς τὸ Ἡ παρθένος σήμερον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα καὶ β. τοῦ Παραλύτου. ἦχος α'. Ἄταφος νεκρός. Ἕτερον· Ὁ τῇ παλάμῃ τῇ ἀχράντῳ. Δόξα καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε παρθένε.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Προκείμενον, ἦχος γ'. Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε. Στίχος· Πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο Πέτρον. Ἀλληλούια, ἦχος πλ. δ'. Ἐπίβλεψον ἐπ' ἐμέ. Στίχος β'. Τὰ διαβήματά μου. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ ἁγίου, εἰ μὴ εἰσὶ β'. δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου γ'. ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἦχος πλ. α'. Ἐπὶ τῇ προβα-

τικῆ κολυμβήθρᾳ. Ἀπολυτίκιον· Εὐφραινέσθω. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας, ὡς σύνηθες.

Τῇ β'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τὸ ἀναστάσιμον τροπάριον τοῦ ἤχου, Δόξα καὶ νῦν, Σὲ τὴν μεσιτεύσασαν. Ἡ στιχολογία, τὸ τῆς ἀκολουθίας κάθισμα, κάθισμα ἀναστάσιμον τοῦ ἤχου. Ἀνάγνωσις ἐκ τῆς ἀκολουθίας τοῦ κατὰ Ἰωάννην. Κανόνες β'. ὁ σταυροαναστάσιμος, ἤτοι ἡ β'. καταβασία τοῦ ἤχου· Ἅσμα καινόν, εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Εἰ δὲ β'. ἅγιοι, τοῦ ἑνὸς τροπάρια β'. καὶ τοῦ ἑτέρου δ'. καὶ τὸν ἀναστάσιμον εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ὡς σύνηθες, Δόξα καὶ νῦν, ἦχος πλ. α'. Ἀνέβη ὁ Ἰησοῦς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τὸ τροπάριον καὶ τὸ θεοτοκίον. Προκείμενον ἄμνημον, ἦχος πλ. α'. Σύ, Κύριε. φυλάξοις ἡμᾶς. Στίχος· Σῶσόν με, Κύριε. Ἀλληλούια. Τὰ ἐλέη σου, Κύριε. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου.

[Τ]ῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον, προκείμενον τῆς ἡμέρας, εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ἐν τῇ στοᾷ τοῦ Σολομῶντος. Ἀπολυτίκιον τὸ αὐτό. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας, ὡς σύνηθες.

Τῇ γ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Ἡ στιχολογία, κάθισμα ἀναστάσιμον, ἡ ἀνάγνωσις, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. Κανόνες β'. τῆς ἑορτῆς· Θαυμαστὸς ἐν δόξῃ, εἰς ς'. καὶ τοῦ ἁγίου, εἰς δ'. (π. **160**) Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Κύριε τὸν Παράλυτον.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ Τριῳδίου, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον, προκείμενον ἄμνημον, ἦχος βαρύς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. Στίχος· Ἐνέγκατε τῷ Κυρίῳ. Ἀλληλούια, ἦχος πλ. β'. Ὁ κατοικῶν. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Τῇ δ'. τῆς Μεσοπεντηκοστῆς. Τῇ γ'. ἑσπέρας οὐ στιχολογοῦμεν. εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, εἰς ἦχον πλ. δ'. Μεσούσης τῆς ἑορτῆς διδάσκοντός σου. Ἄλλο·

Μεσούσης τῆς ἑορτῆς πρὸ τοῦ πάθους: Ἄλλο· Μεσούσης τῆς ἑορτῆς τοῦ Πάσχα, τὰ γ'. ἐκ β'. Δόξα καὶ νῦν τὸ α'. Εἰ δὲ τύχῃ καὶ μέγας ἅγιος, ἱστῶμεν η'. καὶ ποιοῦμεν τῆς ἑορτῆς εἰς ε'. ψάλλομεν δὲ καὶ τοῦ ἁγίου γ'. Δόξα καὶ νῦν, ἰδιόμελον πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Εἴσοδος. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, ἦχος α'. Πεντηκοστὴ ἐφέστηκεν. Στίχος α'. Μνήσθητι. Κύριε, τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς. Καὶ πάλιν τὸ αὐτὸ στιχηρόν. Στίχος β'. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος, ἐποίησε σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Ἄλλο· Ἐν τῷ ἱερῷ ἐπέστης. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Τῆς ἑορτῆς μεσουσης. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Μεσούσης τῆς ἑορτῆς. Τὸ αὐτὸ καὶ εἰς τὸ ἀπόδειπνον καὶ εἰς τὸν ὄρθρον.

Εἰς τὴ παννυχίδα. κανὼν τῆς Θεοτόκου, ἦχος γ'. εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας. εἰς δ'. εἰ μή ἐστι μέγας καὶ ὀφείλει ψαλθῆναι ἐν τῷ ὄρθρῳ. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Πρεσβεία θερμή. Μετὰ τὴν ἀπόλυσιν, ἀνάγνωσις εἰς τὴν ἀκολουθίαν τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην. εἶτα σημαίνει καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Εἰς τὸν ὄρθρον. Θεὸς Κύριος, ἦχος πλ. δ'. Μεσουσης τῆς ἑορτῆς, ἐκ γ'. μετὰ τοῦ Δόξα καὶ νῦν. Αἱ στιχολογίαι ἐκ τῆς ἀκολουθίας τοῦ Ψαλτήρος καθίσματα τρία, εἴ γε εἰσὶ περισσα. τῇ γὰρ παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος τέλος λομβάνει ἅπαν τὸ Ψαλτήριον. ἀρχόμενον ἀπὸ τῆς β'. τοῦ Ἀντίπασχα, ὡς εἴρηται, ἐκτὸς δηλονότι τῶν σαββατοκυριακῶν. Εἰ δὲ ὀλίγα καθίσματα κατελείφθησαν, στιχολογοῦμεν καθίσματα β'. τῆς ἀκολουθίας, καὶ τὸν πολυέλεον. Ἀνάγνωσις δὲ ἐκ τοῦ κατὰ Ἰωάννην, εἴπερ οὐκ ἔχει ὁ ἅγιος. Ἀπὸ α'. στιχολογίας, κάθισμα σταυρώσιμον τοῦ ἤχου· Τὸ ἀναρίθμητον τῆς ἐξουσίας σου. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ β'. στιχολογιας, κάθισμα ἀναστάσιμον· Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπὸ γ'. στιχολογίας, κάθισμα τῆς ἑορτῆς, ἦχος πλ. δ'. πρὸς τὸ Ἀνέστης ἐκ νεκρῶν. Μεσοῦσης ἀνελθών. Δόξα καὶ νῦν τὸ αὐτό. Ἀνάγνωσις, ἐν τῷ Πανηγυρικῷ. λογος τοῦ Χρυσοστόμου εἰς τὸ Μὴ κρίνετε κατ' ὄψιν, καὶ ἕτερος λόγος συνημμένως εἰς τὴν πεντηκοστήν, τοὺς β'. ὁμοῦ. Εἶτα Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ τὸν Ν'. οὔτε γὰρ (οϐ.] εὐαγγέλιον λέγομεν, οὔτε Πᾶσα πνοή. Τῷ Κυρίῳ ᾄσωμεν, καὶ ἱστῶντες, ιδ'. Ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ψάλλομεν τοὺς β'. κανόνας τῆς ἑορτῆς, τὸν πρῶτον εἰς ἦχον δ'. εἰς ς'. Θαλάσσης τὸ ἐρυθραῖον, ποίημα Θεοφάνους. καὶ τὸν ἕτερον εἰς η'. ἦχος πλ. δ'. Θάλασσαν ἔπηξας, ποίημα τοῦ κυροῦ Ἀνδρέου, ἔσχατον δὲ τοὺς εἱρμοὺς αὐτοῦ.

Εἰ δὲ καὶ μέγας ἅγιος, τὸν ἕνα τῆς ἑορτῆς εἰς δ'. καὶ τὸν πλ. δ'. εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, εἰ οὐκ ἔχει ὁ ἅγιος, κάθισμα τῆς ἑορτῆς, ἦχος πλ. δ'. πρὸς τὸ Τὴν σοφίαν τοῦ λόγου. Ἀνελθὼν ἐν τῷ μέσῳ τοῦ ἱεροῦ. Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις· λόγος Λεοντίου, οὗ ἡ ἀρχή· Τοῖς φιλοῦσι τὸν Κύριον. Εἰ δὲ ἔχει ὁ ἅγιος, τοῦ ἁγίου. Ἀπὸ ς'. τὸ κοντάκιον, ἦχος δ'. Τῆς ἑορτῆς τῆς νομικῆς, καὶ οἶκον. Ἀνάγνωσις, εἰς τὸν κατὰ Ἰωάννην λόγον ΜΘ'. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τῆς ἑορτῆς ἐκ β'. ἦχος δ'. Πάρεστιν ἡ μεσότης ἡμερῶν. Ἄλλο· Ἤγγικεν. Ἕτερον· Ἤκουσε. Δόξα καὶ νῦν, ἦχος β'. Ὅτε τὸ μέσον. Δοξολογία μεγάλη. Ἀπολυτίκιον· Μεσούσης τῆς ἑορτῆς. Ἡ α'. ὥρα μετὰ τὴν ἐξ ἔθους ἀνάγνωσιν καὶ ἀπολύει.

Ἡ λειτουργία ἐν τῷ ναῷ καὶ ἀντίφωνα· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ἀντίφωνον β'. Ὁ Κύριος ἐβασίλευσε. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν. Ἀντίφωνον γ'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, εἰς ἦχον πλ. δ'. Μεσούσης. Μετὰ τὴν εἴσοδον, Δόξα καὶ νῦν, τὸ κοντάκιον, προκείμενον, ἦχος γ'. Μέγας ὁ Κύριος ἡμῶν. Στίχος· Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, κατέφυγον οἱ ἀπόστολοι. Ἀλληλούια ἦχος α'. Μνήσθητι τῆς συναγωγῆς σου. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῆς ἑορτῆς μεσούσης. Κοινωνικόν· Ὁ τρώγων μου.

Τῇ αὐτῇ δ'. ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου. καὶ γ'. τοῦ ἁγίου τῆς ἡμέρας, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἦχος δ'. Φωτισθέντες ἀδελφοί. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας, ὡς σύνηθες.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τὸ τροπάριον τῆς ἑορτῆς, ἐκ γ'. μετα τοῦ Δόξα καὶ νῦν. Οὐ στιχολογοῦμεν δέ, εἰ μὴ ὥσι καθίσματα περισσά, ἀλλ' εὐθὺς Ἀνάστασιν Χριστοῦ, καὶ τὸν Ν'. Κανόνα τῆς ἑορτῆς τὸν εἰς δ'. ἦχον, εἰς ς'. καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου εἰς δ'. εἰ μή ἐστι μέγας. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀνάγνωσις ἐκ τοῦ κατὰ Ἰωάννην, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἶκον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον ἀπο[στολι]κόν, καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἰδιόμελον ἦχος β'. Ὅτε παρεγένου.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τὸ τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Προκείμενον· Εἰς πᾶ-

σαν τὴν γῆν. Ἀλληλούια. Ἐξομολογήσονται οἱ οὐρανοί. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. (π. **161**].

Τῇ ε'. ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς β'. ἦχος πλ. α'. πρὸς τὸ Χαίροις, καὶ β'. τοῦ ἁγίου τῆς ἡμέρας, καὶ β'. τοῦ ἁγίου τοῦ σαββάτου, ἐπειδὴ τῷ σαββάτῳ ἅγιον οὐ ψάλλομεν διὰ τὸ ἀποδιδόναι τὴν ἑορτήν, εἰ μήπου ἐστὶν ἑορταζόμενος. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Μεσούσης τῆς ἑορτῆς. Ἀπολυτίκιον ὁμοίως. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ παρασκευῇ τῆς δ'. ἑβδομάδος εἰς τὸν ὄρθρον, τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Ἡ στιχολογία· Εὐλογητὸς Κύριος ὁ Θεός μου. Ἀπὸ γὰρ τῆς β'. τοῦ Ἀντίπασχα μέχρι τῆς σήμερον τελειοῦται ἅπαξ τὸ Ψαλτήριον· στιχολογούμενον καθ' ἑκάστην ἡμέραν κάθισμα ἓν ἐν τῷ ὄρθρῳ, πάρεξ τῶν σαββατοκυριακῶν· καὶ πάλιν ἀπὸ τῆς αὔριον μέχρι τῶν ἁγίων Πάντων ἅπαξ. Ἀπὸ τῆς στιχολογίας, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις ἐκ τοῦ κατὰ Ἰωάννην, Ἀνάστασιν Χριστοῦ καὶ ὁ Ν'. Κανόνες γ'. τῆς ἑορτῆς, ἦχος πλ. δ'. εἰς δ'. καὶ β'. τροπάρια τοῦ ἑνὸς ἁγίου, καὶ δ'. τοῦ ἑτέρου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Καθαρθῶμεν ἐννοιῶν.

Εἰς τὴν λειτουργίαν, προκείμενον· Σῶσον, Κύριε. Ἀλληλούια, ἦχος α'. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς· Ὁ τρώγων μου τὴν σάρκα.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς'. εἰ οὐκ ἔστι μέγας ἅγιος, λέγομεν στιχηρὰ γ'. τῆς ἑορτῆς ἐκ β'. ἦχος πλ. δ'. Μεσούσης τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ α'. Εἰ δὲ καὶ μέγας ἅγιος, τὰ τοιαῦτα στιχηρὰ τῆς ἑορτῆς τὰ γ'. ἐφ' ἅπαξ, καὶ γ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, τοὺς πρώτους, ὡς καὶ ἐν τῇ ἑορτῇ, μετὰ τῶν αὐτῶν στίχων, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Τῆς ἑορτῆς μεσούσης τῆς σῆς, Χριστέ, ἀναστάσεως. Ἡ παννυχὶς εἰς τοὺς τάφους, κανὼν νεκρώσιμος.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, τὸ αὐτὸ τροπάριον ἐκ γ'. εἶτα ὁ Ἄμωμος μετὰ τῶν ἀλληλουϊαρίων τοῦ ἤχου, κάθισμα τῆς ἑορτῆς· Με-

σούσης ἀνελθών, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσιν ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην, Ἀνάστασιν Χριστοῦ, καὶ τὸν Ν΄. Κανόνας, ἐὰν οὐκ ἔστιν ἑορταζόμενος ἅγιος, τοὺς β΄. τῆς ἑορτῆς, τὸν δ΄. ἦχον εἰς δ΄. καὶ τὸν πλ. δ΄. εἰς ς΄. εἰ δὲ καὶ ἅγιος, τοὺς γ΄. ἀνὰ δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, πρὸς τὸ Τὴν σοφίαν τοῦ λόγου· ἀπὸ ς΄. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς γ΄. πρὸς μίαν, ἦχος δ΄. Πάρεστι, Δόξα καὶ νῦν, ἦχος β΄. Ὅτε τὸ μέσον τῆς ἑορτῆς. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ κανόνος τοῦ δ΄. ἤχου, ἡ γ΄. Προκείμενον καὶ ἀλληλούια τῆς ἑορτῆς, τὰ εἰρημένα. Ὁ ἀπόστολος Πράξεων· Κατ' ἐκεῖνον τὸν καιρόν. (οϐ.] Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. Κοινωνικὸν τῆς ἑορτῆς.

Κυριακὴ τῆς Σαμαρείτιδος. Τῷ σαββάτῳ ἑσπέρας, μετὰ τὴν συνήθη στιχολογίαν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν, ἐὰν οὐκ ἔστιν ἑορταζόμενος ἅγιος, τὰ γ΄. ἀναστάσιμα τοῦ δ΄. ἤχου ἐκ β΄. καὶ δύο ἀνατολικὰ ἐκ τῶν κατὰ ἀλφάβητον, Δόξα καὶ νῦν, Μέγα καὶ παράδοξον· εἰ δὲ καὶ μέγας ἅγιος, τὰ γ΄. ἀναστάσιμα δευτεροῦντες τὸ α΄. ὁμοίως καὶ τὰ τοῦ ἁγίου δ΄. Δόξα καὶ νῦν, θεοτοκίον τὸ εἰρημένον· εἴσοδος. Προκείμενον. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον καὶ τῆς Σαμαρείτιδος, ἰδιόμελον, ἦχος πλ. β΄. Παρὰ τὸ φρέαρ τοῦ Ἰακώβ. Ἄλλο· Ἡ πηγὴ τῆς ζωαρχίας. Δόξα καὶ νῦν, ἦχος πλ. δ΄. Ὡς ὤφθης. Ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, τὸ ἀναστάσιμον τοῦ ἤχου.

Εἰς τὴν παννυχίδα, κανόνα τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς΄. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ΄. εἰ μή ἐστιν ἑορταζόμενος. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν. Μετὰ τὸ τέλος, ἡ ἀνάγνωσις ἐκ τῶν Πράξεων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος δ΄. τροπάριον· Τὸ φαιδρὸν τῆς Ἀναστάσεως, Δόξα καὶ νῦν, θεοτοκίον· Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Εἰ δὲ μέγας ἅγιος, τοῦ ἁγίου. Αἱ στιχολογίαι· Ἐξομολογήσομαί σοι, Κύριε· καὶ Ἀγαπήσω σε, Κύριε· καὶ ὁ πολυέλεος. Καθίσματα ἀναστάσιμα τοῦ ἤχου. Ἀνάγνωσις, εἰς τὸ κατὰ Ἰωάννην· λόγος ΛΑ΄. ΛΒ΄. ΛΓ΄. ΛΔ΄. Οἱ ἀναβαθμοί, τὸ προκείμενον, τὸ Πᾶσα πνοὴ τοῦ ἤχου, εὐαγγέλιον ἑωθινὸν η΄. κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. Κανόνες β΄. ἡ πρώτη καταβασία τῶν ἀναστασίμων τοῦ δ΄. ἤχου εἰς ς΄. Θαλάσσης τὸ ἐρυθραῖον, καὶ τῆς Σαμαρείτιδος, εἰς τὸν αὐτὸν ἦχον εἰς η΄. Ὁ πατάξας Αἴγυπτον. Εἰ δὲ καὶ μέγας ἅγιος, τὸν ἀναστάσιμον εἰς δ΄. τῆς Σαμαρείτιδος εἰς ς΄. καὶ τοῦ

ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, ὑπακοὴ τοῦ ἤχου, εἰ δὲ ἅγιος, τὸ κάθισμα τοῦ ἁγίου, τὴν δὲ ὑπακοὴν λέγομεν εἰς τὸν πολυέλεον. Ἀνάγνωσις, λόγος τοῦ Χρυσοστόμου ἐν τῷ Πανηγυρικῷ εἰς τὴν Σαμαρείτιδα. Ἀπὸ ς'. ᾠδῆς, τὸ κοντάκιον αὐτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα, πρὸς μίαν, καὶ ἰδιόμελον, ἦχος β'. Ἐπὶ τὸ φρέαρ. Ὁ συνάναρχος, Δόξα καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον· Ἀναστὰς ἐκ τοῦ μνήματος.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι τοῦ ἤχου, τὸ τροπάριον καὶ τὸ θεοτοκίον, ὁ Τρισάγιος. Προκείμενον ἄμνημον, ἦχος δ'. Ὡς ἐμεγαλύνθη. Στίχος· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. (**π. 162**] Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, διασπαρέντες οἱ ἀπόστολοι. Ἀλληλούια. Ἔντεινε καὶ κατευοδοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν. Κοινωνικόν· Αἰνεῖτε.

Τῇ ἑσπέρᾳ εἰς τὸ Κύριε ἐκέκραξα τὰ στιχηρὰ τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος πλ. β'. Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι. Ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, Τὸ φαιδρὸν τῆς ἀναστάσεως. Τὸ αὐτὸ πᾶσαν τὴν ἑβδομάδα. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ β'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον ἀναστάσιμον, Δόξα καὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, θεοτοκίον· Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Ἡ στιχολογία πάλιν κατὰ ἀκολουθίαν, τὸ Πρὸς σέ, Κύριε, κάθισμα ἀναστάσιμον τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, εἰς τὸ κατὰ Ἰωάννην, Ἀνάστασιν Χριστοῦ, καὶ τὸν Ν'. Κανόνας β'. τὸν ἀναστάσιμον εἰς ς'. Θαλάσσης, καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου. ἀπο ς'. εἰ οὐκ ἔχει ὁ ἅγιος, κοντάκιον, κάθισμα μαρτυρικὸν τοῦ ἤχου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, πᾶσαν τὴν ἑβδομάδα. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος α'. Ἐπὶ τὴν πηγὴν ἐπέστης.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῴδιου, τροπάριον τὸ ἀναστάσιμον καὶ θεοτοκίον. Προκείμενον ἄμνημον, ἦχος α'. Γένοιτο, Κύριε. Στίχος· Ἀγαλλιᾶσθε δίκαιοι. Ἀλληλούια. Ὁ Θεός, ὁ διδοὺς ἐκδικήσεις ἐμοί. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα τὰ στιχηρὰ τοῦ ἁγίου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος β'. Ἐπὶ τὸ φρέαρ ὡς ἦλθεν ὁ Κύριος.

Τῇ γ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Ἡ στιχολογία, κάθισμα ἀναστάσιμον, ἀνάγνωσις, ἐκ τοῦ κατὰ Ἰωάννην, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανόνες β'. ἡ β'. καταβασία τοῦ ἤχου εἰς ς'. Ἀνοίξω τὸ στόμα μου, καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀνάγνωσις, ἐκ τοῦ κατὰ Ἰωάννην· ἀεὶ γὰρ δεύτερον ὀφείλομεν ἀναγινώσκειν πρὸς ὀλίγον ἀπὸ τῆς στιχολογίας, καὶ ἀπὸ γ'. ᾠδῆς· ἀπὸ ς'. κάθισμα μαρτυρικὸν τοῦ ἤχου· εἰ δὲ μέγας ἅγιος, τὸ κοντάκιον αὐτοῦ. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος β'. Ὁ συνάναρχος. Ἀπολυτίκιον τὸ αὐτό.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου. Προκείμενον· Ψάλατε τῷ Θεῷ ἡμῶν. Στίχος· Πάντα τὰ ἔθνη. Ἀλληλούια, ἦχος β'. Ἐπακούσαι σου Κύριος. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος γ'. ἰδιόμελον· Ἀγαλλιᾶσθε σήμερον φαιδρῶς. (οβ.] Ἀπολυτίκιον· Τὸ φαιδρόν. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον.

Τῇ δ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτό, Δόξα καὶ νῦν, τὸ θεοτοκίον. Ἡ στιχολογία. Κάθισμα σταυρώσιμον τοῦ ἤχου. Ἡ ἀνάγνωσις, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. καὶ κανόνες β'. τῆς κυριακῆς· Ὁ πατάξας Αἴγυπτον εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ τῆς ἑορτῆς κοντάκιον· Πίστει ἐλθοῦσα, ἢ κάθισμα ἀναστάσιμον τοῦ ἤχου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος πλ. β'. Παρὰ τὸ φρέαρ τοῦ Ἰακώβ. Ἀπολυτίκιον· Τὸ φαιδρὸν τῆς ἀναστάσεως.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου. Προκείμενον· Μνησθήσομαι τοῦ ὀνόματός σου. Στίχος· Ἄκουσον, θύγατερ. Ἀλληλούια. Ἀνάστηθι, Κύριε. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ ἁγίου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, ἀποστολικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι.

Τῇ ε'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτό, Δόξα καὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, τὸ θεοτοκίον. Ἡ στιχολογία. Κάθισμα ἀποστολικόν, ἀνάγνωσις, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. καὶ κανόνες β'. τὸν ἀνα-

στάσιμον εἰς ς'. Θαλάσσης τὸ ἐρυθραῖον, καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. κάθισμα ἀναστάσιμον τοῦ ἤχου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος πλ. β'. Ἡ πηγὴ τῆς ζωαρχίας.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τροπάριον τὸ ἀναστάσιμον. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν. Ἀλληλούια. Ἐξομολογήσονται. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ τοῦ ἁγίου. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον, καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ὡς ὤφθης ἐπὶ γῆς, Χριστὲ ὁ Θεός.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον καὶ θεοτοκίον τὰ αὐτά, εἰ οὐκ ἔχει ὁ ἅγιος. Ἡ στιχολογία, κάθισμα σταυρώσιμον τῆς Ὀκτωήχου, Ἀνάστασιν. Κανόνας β'. τὸν σταυροαναστάσιμον εἰς ς'. Ἀνοίξω τὸ στόμα μου, καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. κάθισμα ἀναστάσιμον τοῦ ἤχου. Ἐξαποστειλάριον τοῦ ἤχου· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος γ'. Ἀγαλλιάσθω σήμερον φαιδρῶς.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τροπάριον τὸ αὐτό. Προκείμενον· Σῶσον, Κύριε. Ἀλληλούια. Μνήσθητι τῆς συναγωγῆς σου. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν γ'. μαρτυρικὰ τοῦ ἤχου, (σ. **163**] καὶ γ'. τοῦ ἁγίου τῆς ἡμέρας, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, τοῦ στίχου τὸ μαρτυρικόν, καὶ ἰδιόμελον τῆς ἑορτῆς, ἦχος πλ. β'. Παρὰ τὸ φρέαρ τοῦ Ἰακώβ. Ἄλλο· Ἡ πηγὴ τῆς ζωαρχίας. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ὡς ὤφθης. Ἀπολυτίκιον· Τὸ φαιδρόν. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, δευτερεύοντες τὰ τούτου στιχηρά, καταλιμπάνομεν τὰ μαρτυρικά, ὁμοίως καὶ εἰς τὸν στίχον, ἀντὶ τοῦ μαρτυρικοῦ στιχηροῦ, προστίθεται στιχηρὸν τοῦ ἁγίου, καὶ ἀπολυτίκιον τοῦ αὐτοῦ. Ἡ παννυχὶς εἰς τοὺς τάφους.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον· Τὸ φαιδρόν, Δόξα καὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, τὸ θεοτοκίον. Ἡ στιχολογία, ὁ Ἄμωμος μετὰ τοῦ ἀλληλούια, ἦχος δ'. κάθισμα ἀναστάσιμον, ἀνάγνωσις,

Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. Κανόνες β΄. Ὁ πατάξας Αἴγυπτον εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς΄. τὸ κοντάκιον· Πίστει ἐλθοῦσα, καὶ οἶκον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, τὰ δ΄. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἰδιόμελα, ἦχος β΄. Ἐπὶ τὸ φρέαρ ὡς ἦλθεν. Ἄλλο· Ὁ συνάναρχος. Ἄλλο, ἦχος πλ. β΄. Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι, Δόξα καὶ νῦν, ἦχος α΄. Ἐπὶ τὴν πηγὴν ἐπέστης. Ἀπολυτίκιον τὸ αὐτό.

Εἰς τὴν λειτουργίαν, ἡ θ΄. ᾠδὴ τοῦ τριῳδίου. Προκείμενον καὶ ἀλληλούια τῆς κυριακῆς· Ὡς ἐμεγαλύνθη, καὶ Ἔντεινε καὶ κατευοδοῦ. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, Παῦλος καὶ Βαρνάβας. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· τὰ πρόβατα τὰ ἐμά. Κοινωνικόν· Αἰνεῖτε.

Κυριακὴ τοῦ τυφλοῦ. Τῷ σαββάτῳ ἑσπέρας, μετὰ τὴν συνήθη στιχολογίαν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ γ΄. ἀναστάσιμα τοῦ πλ. α΄. ἤχου ἐκ β΄. καὶ ἐκ τῶν κατὰ ἀλφάβητον ἀνατολικὰ β΄. Δόξα καὶ νῦν, θεοτοκίον, τὸ α΄. Εἴσοδος. Προκείμενον. Εἰ δὲ τύχοι ἑορταζόμενος ἅγιος, τὰ ἀναστάσιμα στιχηρὰ εἰς δ΄. καὶ τοῦ ἁγίου εἰς δ΄. Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον ἅπαξ, καὶ τοῦ τυφλοῦ εἰς τὸν αὐτὸν ἦχον· Κύριε, ποτὲ παράγων ἐν τῇ ὁδῷ. Ἄλλο, ἦχος πλ. δ΄. Τίς λαλήσει τὰς δυναστείας, Δόξα καὶ νῦν, Δικαιοσύνης ἥλιε. Ἀπολυτίκιον, εἰ μὴ ἔχει ὁ ἅγιος, τὸ ἀναστάσιμον τοῦ ἤχου.

Εἰς τὴν παννυχίδα, τὸν κατανυκτικὸν τοῦ ἤχου τὸν α΄. εἰς ς΄. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ αὐτοῦ, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία, ἡ ἀνάγνωσις, ἐκ τῶν Πράξεων τῶν ἀποστόλων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος πλ. α΄. τροπάριον· Τὸν συνάναρχον, Δόξα καὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, θεοτοκίον· Χαῖρε πύλη Κυρίου. Αἱ στιχολογίαι, Ἐξομολογήσομαί σοι, Κύριε, καὶ Ἀγαπήσω σε, Κύριε. Καθίσματα ἀναστάσιμα τοῦ ἤχου. Ἀνάγνωσις, (οβ.) ἐκ τοῦ κατὰ Ἰωάννην· εἰς τὴν περικοπὴν τοῦ εὐαγγελίου τῆς ἡμέρας, λόγος Νς΄. ΝΖ΄. καὶ ΝΗ΄. καὶ τὸν πολυέλεον. Κάθισμα ἀναστάσιμον, εἰ δὲ οὐκ ἔστι καὶ ἅγιος, τὴν ὑπακοὴν τοῦ ἤχου. Ἀνάγνωσις ἐξ αὐτοῦ. Οἱ ἀναβαθμοί, τὸ προκείμενον, καὶ Πᾶσα πνοὴ τοῦ ἤχου. Εὐαγγέλιον ἐωθινὸν ια΄. Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. καὶ κανόνας β΄. τὸν α΄. ἀναστάσιμον τοῦ ἤχου εἰς ς΄.

Ἵππον καὶ ἀναβάτην, καὶ τοῦ τυφλοῦ εἰς ς'. Γῆν, ἐφ' ἣν οὐκ ἔλαμψεν. Εἰ δὲ μέγας ἅγιος, τὸν ἀναστάσιμον εἰς δ'. τοῦ τυφλοῦ εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, ἡ ὑπακοὴ τοῦ ἤχου, εἰ μή ἐστιν ἅγιος, ἀνάγνωσις, λόγος τοῦ Χρυσοστόμου εἰς τὸν τυφλόν. Ἀπὸ ς'. τὸ κοντάκιον, ἦχος δ'. πρὸς τὸ Ἐπεφάνης σήμερον. Ἀνάγνωσις, ἐκ τοῦ προρρηθέντος λόγου. Εἰ δὲ μέγας ἅγιος, τὸ κοντάκιον τοῦ ἁγίου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, τὰ δ'. ἀναστάσιμα πρὸς μίαν, καὶ τοῦ τυφλοῦ ἰδιόμελον, ἦχος β'. Ὁ τυφλὸς γεννηθείς. Ἄλλο· Παράγων ὁ Ἰησοῦς ἐκ τοῦ ἱεροῦ, Δόξα καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον· Σήμερον σωτηρία τῷ κόσμῳ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι τοῦ ἤχου, τὸ αὐτὸ τροπάριον καὶ θεοτοκίον. Προκείμενον ἄμνημον· Σύ, Κύριε, φυλάξαις. Στίχος· Σῶσόν με, Κύριε. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο περευομένων. Ἀλληλούια. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον, προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Τίς λαλήσει τὰς δυναστείας. Ἀπολυτίκιον, εἰ μὴ ἔχει ὁ ἅγιος, τὸ τοῦ ἤχου ἀναστάσιμον. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ β'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον· Τὸν συνάναρχον λόγον, Δόξα καὶ νῦν, Χαῖρε πύλη· εἰ δὲ μέγας ἅγιος, τοῦ ἁγίου. Ἡ στιχολογία κατὰ τὴν ἀκολουθίαν τῆς παρασκευῆς, κάθισμα ἀναστάσιμον, ἀνάγνωσις ἐκ τοῦ κατὰ Ἰωάννην, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. Κανόνας β'. τὸν ἀναστάσιμον τοῦ ἤχου τὸν β'. Τῷ Σωτῆρι Θεῷ, εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας, εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. κάθισμα μαρτυρικὸν τοῦ ἤχου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος δ'. Ὅλον τὸν βίον ὁ τυφλός.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῴδιου, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Προκείμενον ἄμνημον, ἦχος βαρύς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. Στίχος· Ἐνέγκατε τῷ Κυρίῳ. Ἀλληλούια, ἦχος πλ. β'. Ὁ κατοικῶν. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε.

Τῇ ἑσπέρᾳ, δεῖ γινώσκειν, ὅτι ψάλλομεν β'. ἁγίους, τῆς ἡμέρας, καὶ τῆς ε'. εἰ δὲ ἐστὶν (σ. **164**] ἑορταζόμενος τῆς ε'. ὁ ἅγιος, ψάλλομεν τὸν τῆς δ'. τῇ δὲ δ'. τὸν τῆς ε'. τῇ γὰρ ε'. ἅγιος οὐ ψάλλεται,

εἰ μὴ μόνη ἡ ἑορτή. Εἰ τύχοι γενέσθαι τοῦ Θεολόγου, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τοὺς β'. ἁγίους, ὡς εἴρηται, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Κύριε, ποτὲ παράγων ἐν τῇ ὁδῷ. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας, ὡς σύνηθες. Σημειωτέον δέ, ὅτι, εἰ τύχοι μνήμη τινὸς τῶν κεκοιμημένων ἀδελφῶν ἡμῶν, καταλιμπάνομεν τὸ τριῴδιον καὶ ψάλλομεν κανόνα νεκρώσιμον ἐν τῷ κοιμητηρίῳ.

Τῇ γ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτὸ καὶ θεοτοκίον. Ἡ στιχολογία, ἀνάγνωσις, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. καὶ κανόνες γ'. τῆς ἑορτῆς εἰς δ'. Γῆν, ἐφ' ἣν οὐκ ἔλαμψε, καὶ τῶν β'. ἁγίων, ἀνὰ δ'. ἱστῶμεν γὰρ ιβ'. Ἀπέστειλας τὸ πνεῦμά σου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας, ἀπὸ ς'. τοῦ ἑτέρου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀναστάσιμον, κατανυκτικὸν καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος πλ. δ'. Δικαιοσύνης ἥλιε νοητὲ, Χριστὲ ὁ Θεός.

Εἰς τὴν λειτουργίαν, ἡ θ'. ᾠδὴ τοῦ τριῳδίου, τροπάριον τὸ αὐτό, προκείμενον καὶ ἀλληλούια ἄμνημον τοῦ ἤχου τῆς κυριακῆς· Σύ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶντες ς'. ψάλλομεν στιχηρὰ γ'. τῆς Ἀναληψίμου, ἦχος α'. πρὸς τὸ Τῶν οὐρανίων ταγμάτων, καὶ γ'. τοῦ ἁγίου τῆς ἡμέρας, εἰ δὲ μέγας ἅγιος, δύο τῆς ἑορτῆς, καὶ δ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου σταυρώσιμον, ἀναστάσιμον, καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος δ'. Κύριε, τὸ μυστήριον. Ἀπολυτίκιον, Τὸν συνάναρχον λόγον.

Εἰς τὴν παννυχίδα, κανὼν τῆς Θεοτόκου εἰς τὸν ἑνεστῶτα ἦχον.

Τῇ δ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον· Τὸν συνάναρχον λόγον, Δόξα ταὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, θεοτοκίον· Χαῖρε πύλη Κυρίου. Ἡ στιχολογία, κάθισμα τῆς Ἀναληψίμου, ἦχος α'. Ἐπέστη ἀσωμάτων, ἀνάγνωσις, Ἀνάστασιν Χριστοῦ, ὁ Ν'. Κανόνες β'. προεόρτια ἦχος πλ. α'. κατὰ ἀλφάβητον εἰς ς'. καὶ ἕτερος τοῦ ἁγίου εἰς δ'. εἰ δὲ μέγας ἅγιος, καὶ τοῦ ἁγίου εἰς ς'. ἱστῶμεν γὰρ στίχους ιβ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. εἰ οὐκ ἔχει κοντάκιον ὁ ἅγιος, κά-

θισμα ἀναστάσιμον τοῦ ἤχου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμον, ἀναστάσιμον καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος δ'. Ὅτε παραγέγονας.

Εἰς τὴν λειτουργίαν, ἡ γ'. ᾠδὴ τοῦ κανόνος, τροπάριον τὸ αὐτό. Προκείμενον· Μνησθήσομαι τοῦ ὀνόματός σου. Ἀλληλούια. Ἀνάστηθι, Κύριε. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Ποτήριον σωτηρίου. Εἰ δὲ μέγας ἅγιος, πᾶσα ἡ ἀκολουθία τοῦ ἁγίου. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου. (**οδ**.]

Τῇ δ'. ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, ἦχος πλ. β'. Ὁ Κύριος ἀνελήφθη, β'. Ἄλλο· Κύριε, τῇ σῇ ἀναλήψει. γ'. Ἕτερον· Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, γ'. Δόξα καὶ νῦν, τὸ α'. Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Ἀνάγνωσμα τὸ α'. Ἡσαΐου· Τάδε λέγει Κύριος· ἔσται ἐν ταῖς ἐσχάταις· τὸ β'. τοῦ αὐτοῦ· Τάδε λέγει Κύριος· πορεύεσθε· τὸ γ'. Ζαχαρίου· Τάδε λέγει Κύριος· Ἰδοὺ ἡμέρα Κυρίου. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, ἦχος β'. Ἀναλαμβανομένου σου, Χριστέ. Στίχος α'. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ἄλλο· Ἀνελήφθης ἐν δόξῃ. Στίχος β'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Ἄλλο· Ἐτέχθης, ὡς αὐτὸς ἠθέλησας, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Τῶν κόλπων τῶν πατρικῶν. Ἀπολυτίκιον, ἦχος δ'. Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεός.

Εἰς τὴν παννυχίδα τῆς ἀγρυπνίας, κανόνα τὸν προεόρτιον· Ἵππον καὶ ἀναβάτην, εἰς ς'. καὶ τῆς Θεοτόκου ἕτερον εἰς τὸν αὐτὸν ἦχον εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, ἀπὸ ς'. κοντάκιον τῆς Θεοτόκου· Πρεσβεία θερμή. Ἀνάγνωσις ἐκ τοῦ κατὰ Ἰωάννην. Ὁ σημαντὴρ καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Τῇ ε'. τῆς Ἀναληψίμου εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος δ'. τροπάριον τὸ τῆς ἑορτῆς, ἐκ γ'. Αἱ στιχολογίαι, καθίσματα β'. τῆς ἀκολουθίας, καὶ τὸν πολυέλεον, ὡς σύνηθες. Καθίσματα πάντα τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὰ αὐτά. Ἀνάγνωσις, ἀπὸ α'. στιχολογίας, εἰς τὸ κατὰ Ἰωάννην, ἀπὸ β'. εἰς τὸ Πανηγυρικόν, λόγοι β'. τοῦ Χρυσοστόμου εἰς τὴν ἑορτὴν ἐπὶ τὸ αὐτὸ τοὺς β'. ὁμοῦ. Ἀπὸ γ'. στιχολογίας, τοῦ αὐτοῦ εἰς τὴν ἑορτήν, εἰς δόσεις β'. οὗ ἡ ἀρχή· Καὶ ὅτε Σταυροῦ μνείαν ἐπετελοῦμεν. Εἶτα οἱ ἀναβαθμοί, ἀντίφωνον ἓν, ἦχος δ'. Προκείμενον, ἦχος ὁ αὐτός· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Στίχος· Πάντα τὰ ἔθνη. Πᾶσα πνοή. Εὐαγγέλιον ἑωθινὸν γ'. κατὰ Μάρκον· Ἀναστὰς ὁ Ἰησοῦς πρωῒ πρώτῃ σαββάτων, καὶ τὸν Ν'. εἶτα ὁ κανών, τοὺς μὲν εἱρμοὺς ἐκ β'. τὰ δὲ τροπάρια ἀνὰ δ'. ἐν αἷς δὲ ᾠδαῖς εἰσι τροπάρια β'. ἀνὰ ς'. ὕστερον δὲ τοὺς εἱρμοὺς ἅπαξ οἱ χοροί, ἦχος πλ. α'. Τῷ Σωτῆρι Θεῷ. Τῷ Κυρίῳ ᾄσωμεν, οὐ λέγε-

ται. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, ἦχος πλ. δ'. πρὸς τὸ Τὴν σοφίαν τοῦ λόγου, ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις, ἡ β'. τοῦ αὐτοῦ λόγου τῆς ἑορτῆς. Ἀπὸ ς'. τὸ κοντάκιον, ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν, καὶ οἶκον. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων σε. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἰδιόμελα τῆς ἑορτῆς ἐκ β'. ἦχος δ'. Ὅτε παραγέγονας. Τὴν καταβᾶσαν φύσιν. Κύριε, τὸ μυστήριον. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Κύριε, οἱ ἀπόστολοι, ὡς εἶδόν σε. Δοξολογία μεγάλη. Ἀπολυτίκιον τῆς ἑορτῆς. Ἡ α'. ὥρα μετὰ ἀναγνώσεως καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν, ἀντίφωνον α'. Ἐξηρεύξατο ἡ καρδία μου. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου. (σ. **165**] Ἡ γλῶσσά μου κάλαμος γραμματέως. Ταῖς πρεσβείαις. Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Δόξα, Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Καὶ νῦν, Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἀντίφωνον β'. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθείς. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Διὰ τοῦτο οὐ φοβηθησόμεθα. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ. Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱός. Ἀντίφωνον γ'. ἦχος δ'. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεός. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν. Ὅτι Κύριος ὕψιστος, φοβερὸς βασιλεύς. Ἀνελήφθης. Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. Ἀνελήφθης. Στίχος τῆς εἰσόδου· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ἀνελήφθης. Δόξα καὶ νῦν, ἦχος πλ. β'. τὸ κοντάκιον· Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, ὁ Τρισάγιος, προκείμενον, ἦχος βαρύς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεός. Στίχος· Ἑτοίμη ἡ καρδία μου. Ὁ ἀπόστολος Πράξεων· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, ἔως: σαββάτου ἔχον ὁδόν. Ἀλληλούια, ἦχος β'. Πάντα τὰ ἔθνη. Στίχος· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Εὐαγγέλιον, ἑωθινὸν ς'. κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν. Κοινωνικόν· Ἀνέβη ὁ Θεός.

Τῇ ἑσπέρᾳ, ἠλλαγμένου τοῦ ἱερέως, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς γ'. ἦχος δ'. ἐκ β'. Ὅτε ἀνελήφθης ἐν δόξῃ. Ἄλλο· Κύριε, τὸ μυστήριον. Καὶ ἕτερον, ἦχος πλ. α'. Δεῦτε τῶν πιστῶν τὸ σύστημα. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ἀνελήφθης ἐν δόξῃ. Εἰ δὲ ἐστὶ μέγας ἅγιος, τὰ εἰρημένα γ'. πρὸς μίαν,

καὶ τοῦ ἁγίου γ'. εἰς τὸ Δόξα καὶ νῦν, ἰδιόμελον πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Εἴσοδος. Προκείμενον, ἦχος βαρύς· Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Στίχος· Ἐν ἐξόδῳ Ἰσραήλ. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, (οϐ.] ἦχος α'. Ἀνελθὼν εἰς οὐρανούς. Στίχος α'. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. Ἄλλο· Ἀνῆλθες, Χριστέ, πρὸς τὸν ἄναρχον Πατέρα σου. Στίχος β'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Ἄλλο· Οἱ ἄγγελοί σου, Κύριε, τοῖς ἀποστόλοις ἔλεγον. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Εἰ δὲ μέγας ἅγιος, δύο τῶν εἰρημένων τῆς ἑορτῆς, καὶ ἓν τοῦ ἁγίου, Δόξα καὶ νῦν, Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, οὐδέν.

Τῇ παρασκευῇ τῆς ς'. ἑβδομάδος εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος δ'. τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, πάλιν τῆς ἑορτῆς. Οὐ στιχολογοῦμεν, οὐδὲ τὸ Ἀνάστασιν Χριστοῦ λέγομεν ἄλλο ἐν ταῖς καθημεριναῖς, εἰ μὴ μόνον ἐν ταῖς κυριακαῖς, μόνον δὲ τὸν Ν'. Ἐλέησόν με, ὁ Θεός· λέγομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν, καὶ ἱστῶμεν ι'. Ἐξέτεινας τὴν δεξιάν σου, καὶ ψάλλομεν τὸν κανόνα τῆς ἑορτῆς· Τῷ Σωτῆρι Θεῷ, εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. εἰ δὲ μέγας ἅγιος, τῆς ἑορτῆς εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Ἀνάγνωσις, ἐν τῷ Πανηγυρικῷ λόγος τοῦ ἁγίου Ἀθανασίου. Ἀπὸ ς'. κοντάκιον τῆς ἑορτῆς, εἰ μὴ ἔχει ὁ ἅγιος, καὶ οἶκον. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων σε ἀνελήφθης. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς, ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ. Πληρώσας ἀγαθέ. Ἀνῆλθες πρὸς τὸν σόν. Νεφέλη σε φωτός· τοὺς στίχους δὲ λέγομεν τῆς ἑορτῆς, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Κύριε, τῆς οἰκονομίας πληρώσας. Εἰ δὲ μέγας ἅγιος, β'. τῆς ἑορτῆς καὶ ἓν τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ εἰρημένον. Ἀπολυτίκιον· Ἀνελήφθης ἐν δόξῃ, Χριστέ.

Εἰς τὴν λειτουργίαν, τὰ ἀντίφωνα τῆς ἑορτῆς, τὸ τροπάριον καὶ τὸ κοντάκιον, ὁμοίως προκείμενον, ἦχος δ'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Στίχος· Πάντα τὰ ἔθνη. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ. Ἀλληλούια τῆς ἑορτῆς. Πάντα τὰ ἔθνη. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία. Κοινωνικόν· Ἀνέβη ὁ Θεός. Εἰ δὲ μέγας ἅγιος, ἀκολουθία τοῦ ἁγίου. Ἀπόστολον δὲ καὶ εὐαγγέλιον ἀμφοτέρων.

Τῇ ἑσπέρᾳ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. πρὸς τὸ Ἐδωκας σημείωσιν, καὶ γ'. τοῦ ἁγίου τῆς ἡμέρας, Δόξα καὶ νῦν, θεοτοκίον, τὸ προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, τὰ γ'. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν εἰς τὸν αὐτὸν ἦχον· Κύριε, ἀναλαμβανομένου σου. Ἀπολυτίκιον· Ἀνελήφθης ἐν δόξῃ. Εἰς τὴν παννυχίδα, κανὼν νεκρώσιμος εἰς τοὺς τάφους τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν. (л. 166]

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἐκ γ'. Ἡ στιχολογία, ὁ Ἄμωμος μετὰ τοῦ ἀλληλούια, κάθισμα τῆς ἑορτῆς. Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις ἐκ τοῦ κατὰ Ἰωάννην, ὁ Ν'. καὶ κανόνες β'. τῆς ἑορτῆς, ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου, εἰς ς'. καὶ τοῦ ἁγίου, εἰς δ'. εἰ δὲ μέγας ἅγιος, καὶ τοῦ ἁγίου εἰς ς'. καὶ ἱστῶμεν ιβ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἶκον. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων σε. Εἰς τοὺς αἴνους, τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς, ἦχος β'. πρὸς τὸ Οἶκος. Οὐ λείπω ὀρφανούς. Ἄγγελοι τοῖς σοφοῖς κατῆλθον ἐν χαρᾷ. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος βαρύς· Εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἦλθες. Ἀπολυτίκιον· Ἀνελήφθης ἐν δόξῃ.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ᾠδὴ τοῦ δ'. ἤχου ἡ θ'. τροπάριον καὶ κοντάκιον τῆς ἑορτῆς, καὶ προκείμενον· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεός. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, συνηγμένων τῶν μαθητῶν. Ἀλληλούια, ἦχος β'. Ὁ β'. στίχος τῆς ἑορτῆς· Ἀνέβη ὁ Θεός. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῷ σαββάτῳ ἑσπέρας, τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ. Μετὰ τὴν συνήθη στιχολογίαν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ γ'. ἀναστάσιμα στιχηρὰ τοῦ πλ. β'. ἤχου, δευτεροῦντες τὸ ἓν, καὶ γ'. τῶν ἁγίων πατέρων εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ὅλην ἀποθέμενοι, δευτεροῦντες τὸ ἓν. Δόξα καὶ νῦν, Ὁ Κύριος ἀνελήφθη. Εἴσοδος. Προκείμενον. Ἀνάγνωσμα τὸ α'. Γενέσεως· Ἀκούσας Ἄβραμ. τὸ β'. Δευτερονομίου· Εἶπε Κύριος τῷ Μωϋσεῖ. τὸ γ'. τοῦ αὐτοῦ· Εἶπε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραήλ. Ἀπὸ τοῦ στίχου, τὸ ἀναστάσιμον τοῦ στίχου λέγομεν ἅπαξ, καὶ ἕτερον ἐκ τῶν κατὰ ἀλφάβητον ἀνατολικῶν, καὶ ἕτερον τῶν πατέρων εἰς τὸν αὐτὸν ἦχον· Τὰς μυστικὰς σήμερον, Δόξα καὶ νῦν, Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Ἀπολυτίκιον τῶν ἁγίων. ἦχος πλ. δ'. Ὑπερδεδοξασμένος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὴν παννυχίδα, ὁ α΄. κατανυκτικὸς τοῦ ἤχου κανών, εἰς ς΄. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ οἶκος· μετὰ τὸ τέλος, ἡ ἀνάγνωσις ἐκ τῶν Πράξεων, εἶτα ὁ σημαντὴρ καὶ ἀρχόμεθα τοῦ ὄρθρου.

Τῇ κυριακῇ τῶν ἁγίων πατέρων εἰς τὸν ὄρθρον, Θεὸς Κύριος ἦχος πλ. β΄. τροπάριον τὸ ἀναστάσιμον β΄. Δόξα καὶ νῦν, ἦχος πλ. δ΄. Ὑπερδεδοξασμένος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν. Αἱ στιχολογίαι. Ἐξομολογήσομαί σοι, Κύριε, καὶ Ἀγαπήσω σε, Κύριε, καθίσματα ἀναστάσιμα. Ἀνάγνωσις ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην, εἶτα, εἰ ἔχει ἡ ὥρα, ὁ πολυέλεος, καὶ ἡ ὑπακοή, ἡ ἀναστάσιμος τοῦ ἤχου· ἀνάγνωσις, λόγος Γεωργίου εἰς τοὺς ἁγίους πατέρας, οὗ ἡ ἀρχή· Πείθεσθε τοῖς ἡγουμένοις. Ἀναβαθμοὶ (οϐ.] τοῦ ἤχου καὶ προκείμενον καὶ Πᾶσα πνοή, εὐαγγέλιον, ἐωθινὸν τὸ β΄. κατὰ Μάρκον· Διαγενομένου τοῦ σαββάτου, Ἀνάστασιν Χριστοῦ, ὁ Ν΄. καὶ κανόνας β΄. τὸν ἀναστάσιμον τοῦ ἤχου εἰς ς΄. καὶ τῶν ἁγίων πατέρων εἰς τὸν αὐτὸν ἦχον, εἰς η΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων πατέρων, ἦχος πλ. δ΄. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀνάγνωσις, λόγος ἱστορικὸς περὶ τῆς ἁγίας συνόδου, ἐν ᾧ καὶ μερικὴ διήγησις τοῦ βίου τοῦ μεγάλου Κωνσταντίνου. Ἀπὸ ς΄. τὸ κοντάκιον τῶν ἁγίων· Τῶν ἀποστόλων τὸ κήρυγμα, καὶ οἶκον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν η΄. καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα, καὶ ἕτερα δ΄. τῶν ἁγίων πατέρων εἰς τὸν αὐτὸν ἦχον, πρὸς τὸ Ἡ ἀπεγνωσμένη, Δόξα καὶ νῦν, Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, καὶ νῦν, ἦχος β΄. Ὑπερευλογημένη ὑπάρχεις. Ἀπολυτίκιον· Ἀναστὰς ἐκ τοῦ μνήματος. Ἡ α΄. ὥρα μετὰ ἀναγνώσεως.

Εἰς τὴν λειτουργίαν, τυπικά, εἰς δὲ τοὺς μακαρισμοὺς ἱστῶμεν η΄. Μακάριοι οἱ ἐλεήμονες, καὶ λέγομεν ἀναστασίμους μακαρισμούς, τροπάρια δ΄. καὶ τῶν ἁγίων τὴν α΄. ᾠδὴν τοῦ κανόνος. Μετὰ τὴν εἴσοδον, τροπάριον· Ὑπερδεδοξασμένος εἶ, Δόξα καὶ νῦν, τὸ κοντάκιον· Τῶν ἀποστόλων τὸ κήρυγμα. Ὠδὴ τῶν πατέρων, προκείμενον ἦχος δ΄. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεός. Στίχος· Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἔκρινεν ὁ Παῦλος. Ἀλληλούια, ἦχος α΄. Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς. Κοινωνικόν· Αἰνεῖτε, καὶ Ἀγαλλιᾶσθε.

Τῇ κυριακῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἀναληψίμου γ΄. ἦχος α΄. πρὸς τὸ Τῶν οὐρανίων,

καὶ γ΄: τοῦ ἁγίου, Δόξα καὶ νῦν, ἦχος βαρύς· Εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Εἰ δὲ μέγας ἅγιος, τῆς ἑορτῆς β΄. καὶ τοῦ ἁγίου δ΄. Δόξα καὶ νῦν, τὸ αὐτό. Προκείμενον. Ἀπὸ τοῦ στίχου, τῆς ἑορτῆς ἓν εἰς τὸν πλ. β΄. ἦχον· Ὁ Κύριος ἀνελήφθη, καὶ ἓν κατανυκτικὸν μαρτυρικόν, τὸ α΄. τοῦ ἤχου, Δόξα καὶ νῦν, Τίς μὴ μακαρίσῃ σε. Οὕτω γὰρ ψάλλονται τὰ στιχηρὰ μέχρι τῆς ε΄. ἓν τῆς ἑορτῆς καὶ β΄. τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον· τῇ δὲ γ΄. ἑσπέρας καὶ τῇ δ΄. εἰς τὸν ὄρθρον οὐχ οὕτως, ἀλλὰ β΄. σταυρώσιμον καὶ μαρτυρικόν, εἰς δὲ τὸ Δόξα καὶ νῦν, λέγομεν τῆς ἑορτῆς. Εἰς δὲ τὴν παννυχίδα, τὸ τριῴδιον, ὡς σύνηθες.

Τῇ β΄. εἰς τὸν ὄρθρον οὐ στιχολογοῦμεν, ἀλλὰ μετὰ τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς ἐκ γ΄. Ἀνελήφθης ἐν δόξῃ, καὶ εὐθὺς τὸν Ν΄. Κανόνες β΄. τῆς ἑορτῆς τὸν ἦχον πλ. α΄. εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς δ΄. εἰ δὲ μέγας ἅγιος, τὸν ῥηθέντα κανόνα τῆς ἑορτῆς· Τῷ Σωτῆρι Θεῷ, εἰς δ΄. καὶ τοῦ ἁγίου εἰς ς΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου. Ἀνάγνωσις, τὸ κατὰ Ἰωάννην. Ἀπὸ ς΄. ᾠδῆς, τὸ κοντάκιον τῆς ἑορτῆς καὶ οἶκον. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς, ἰδιόμελον· Κύριε, τῇ σῇ ἀναλήψει, καὶ κατανυκτικὸν τῆς Ὀκτωήχου, καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον τῆς ἑορτῆς. (л. **167**]

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ ἡ θ΄. ᾠδὴ τοῦ τριῳδίου, τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον, ἦχος βαρύς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς ὁ Θεός. Στίχος· Ἑτοίμη ἡ καρδία μου. Ὡσαύτως καὶ ἀλληλούια τῆς ἑορτῆς, Πάντα τὰ ἔθνη, καὶ κοινωνικὸν ὁμοίως. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος δ΄. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ τὰ γ΄. τοῦ ἁγίου. Εἰ δὲ μέγας ἅγιος, β΄. τῆς ἑορτῆς καὶ δ΄. τοῦ ἁγίου, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς, α΄. Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Κατανυκτικὸν τοῦ ἤχου καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ γ΄. Θεὸς Κύριος, καὶ τὸ αὐτὸ τροπάριον τῆς ἑορτῆς. Ἡ στιχολογία κατὰ τὴν ἀκολουθίαν καὶ κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις, ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην, ὁ Ν΄. καὶ κανόνες β΄. τῆς ἑορτῆς τὸν δ΄. ἦχον, Ἀνοίξω τὸ στόμα μου, εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων. Εἰς τὸν στίχον τῶν αἴνων,

στιχηρὰ τῆς ἑορτῆς, α΄. Κύριε, οἱ ἀπόστολοι, ὡς εἶδόν σε. Κατανυκτικὸν τῆς Ὀκτωήχου, μαρτυρικὸν καὶ θεοτοκίον. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, ἡ θ΄. ᾠδὴ τοῦ τριῳδίου, τροπάριον καὶ κοντάκιον. Προκείμενον τῆς ἑορτῆς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς. Στίχος· Ἑτοίμη ἡ καρδία μου. Ἀλληλούια, τὸν β΄. στίχον τῆς ἑορτῆς· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, καὶ κοινωνικόν, ὡσαύτως τῆς ἑορτῆς, ἀπόστολος δὲ καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ τῆς ἑορτῆς γ΄. ἦχος δ΄. πρὸς τὸ Ὁ ἐξ Ὑψίστου, καὶ γ΄. τοῦ ἁγίου. Εἰ δὲ μέγας ἅγιος, β΄. τῆς ἑορτῆς καὶ δ΄. τοῦ ἁγίου, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμα β΄. καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, τῆς ἑορτῆς, Ἀνέβη ὁ Θεός. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ δ΄. εἰς τὸν ὄρθρον, τροπάριον τὸ αὐτό. Ἡ στιχολογία, κάθισμα τῆς ἑορτῆς, ἀνάγνωσις, ὁ Ν΄. καὶ κανόνες β΄. τῆς ἑορτῆς, ἦχος πλ. α΄. Τῷ Σωτῆρι Θεῷ, εἰς ς΄. καὶ τοῦ ἁγίου εἰς δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμα β΄. καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, Τῶν κόλπων τῶν πατρικῶν.

Εἰς τὴν λειτουργίαν, ἡ θ΄. ᾠδὴ τοῦ τριῳδίου, προκείμενον καὶ ἀλληλούια τῆς Θεοτόκου. Μεγαλύνει ἡ ψυχή μου, καὶ Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν τοὺς β΄. ἁγίους τῆς ε΄. καὶ τῆς παρασκευῆς, ἀνὰ γ΄. Δόξα καὶ νῦν, τῆς ἑορτῆς πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἑσχάτου ἁγίου. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὸν τῆς ἑορτῆς ἐν πρὸς τὸν ἦχον, Κύριε τῆς οἰκονομίας, καὶ τῆς Ὀκτωήχου β΄. ἀποστολικὸν καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον.

Τῇ ε΄. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τὸ αὐτό. Ἡ στιχολογία, κάθισμα τῆς ἑορτῆς, ἡ ἀνάγνωσις, καὶ ὁ Ν΄ (**οδ**.] Εἰς τοὺς κανόνας ἱστῶμεν ιβ΄. καὶ ψάλλομεν κανόνας γ΄. τῆς ἑορτῆς τὸν δ΄. Ἀνοίξω τὸ στόμα μου, καὶ τοὺς γ΄. ἁγίους ἀνὰ δ΄. Ἀπὸ γ΄. καὶ ς΄. ᾠδῆς, τὰ καθίσματα αὐτῶν. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὸν ἓν τῆς ἑορτῆς· Σήμερον ἐν οὐρανοῖς, καὶ τῆς Ὀκτωήχου ἀποστολικὸν καὶ μαρτυρικὸν θεοτοκίον.

Εἰς τὴν λειτουργίαν, προκείμενον· Εἰς πᾶσαν τὴν γῆν. Ἀλληλούια. Ἐξομολογήσονται οἱ οὐρανοί. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. καὶ β'. Ὁ Κύριος ἀνελήφθη. Ἕτερον· Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, Κύριε, τῇ σῇ ἀναλήψει, Δόξα καὶ νῦν, Τῶν κόλπων τῶν πατρικῶν. Προκείμενον. Εἰς τὸν στίχον, τοὺς β'. Ἀναλαμβανομένου σου, Χριστέ. Στίχος· Πάντα τὰ ἔθνη. Ἄλλο· Ἀνελήφθης ἐν δόξῃ. Στίχος· Ἀνέβη ὁ Θεός. Ἄλλο· Ἐτέχθης, ὡς αὐτὸς ἠθέλησας, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τῆς ἡμέρας.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς, ἡ στιχολογία, κάθισμα τῆς ἑορτῆς, ἀνάγνωσις, εἰς τὸ κατὰ Ἰωάννην, ὁ Ν'. καὶ οἱ β'. κανόνες τῆς ἑορτῆς, ὁ πλ. α'. εἰς ς'. καὶ ὁ δ'. εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, ἦχος πλ. δ'. ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἑορτῆς, καὶ οἶκον τὸν α'. Ἐξαποστειλάριον· Τῶν μαθητῶν ὁρώντων. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ. Πληρώσας ἀγαθέ. Στίχος· Πάντα τὰ ἔθνη. Ἄλλο· Ἀνῆλθες πρὸς τὸν σόν. Στίχος· Ἀνέβη ὁ Θεός. Ἄλλο· Νεφέλη σε φωτός. Ἐγράφη δὲ τῇ παρασκευῇ πρωΐ. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Κύριε, οἱ ἀπόστολοι, ὡς εἶδόν σε ἐν νεφέλαις ἐπαιρόμενον.

Εἰς τὴν λειτουργίαν, ἡ ᾠδὴ τοῦ τριῳδίου, τροπάριον καὶ κοντάκιον τῆς ἑορτῆς, προκείμενον· Ὑψώθητι. Ἀλληλούια τῆς ἑορτῆς. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Τῷ σαββάτῳ πρὸ τῆς Πεντηκοστῆς μνήμην τελοῦμεν τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ πάντων τῶν εὐσεβῶν. Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ γ'. μαρτυρικὰ τοῦ ἤχου, καὶ γ'. τῶν κεκοιμημένων πρὸς τὸ Ὁ ἐν Ἐδὲμ παράδεισος. Ζήτει τῇ Ἀπόκρεω, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον τῆς ἡμέρας. Ἀπὸ τοῦ στίχου, τὸ μαρτυρικὸν τοῦ στίχου καὶ β'. νεκρώσιμα τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον· Ὁ βυθοῖς σοφίας.

Ἡ παννυχὶς εἰς τοὺς τάφους τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ ὁ νεκρώσιμος κανὼν τοῦ πλ. β'. ἤχου· Ὡς ἐν ἠπείρῳ πεζεύσας. Ἀπὸ γ'. ᾠδῆς, Ἀληθῶς ματαιότης, ἀπὸ ς'. τὸ κοντάκιον· Μετὰ τῶν ἁγίων, καὶ οἶκος, εἰς τὴν ἐκτενῆ, τὸ Κύριε ἐλέησον μ'. καὶ ἀπόλυσις.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος πλ. δ'. τροπάριον· Ὁ βυθοῖς σοφίας, Δόξα καὶ νῦν, θεοτοκίον. (σ. **168**] Ἡ στιχολο-

γία, ὁ Ἄμωμος, ἦχος πλ. α'. μετὰ τῶν νεκρωσίμων τροπαρίων αὐτοῦ. κάθισμα· Ἀνάπαυσον, Σωτὴρ ἡμῶν. Ἀνάγνωσις, λόγος τοῦ Χρυσοστόμου εἰς τοὺς κοιμηθέντας, εἶτα τὸν Ν'. καὶ κανόνες β'. τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. καὶ τῆς Ἀπόκρεω εἰς η'. ἦχος πλ. δ'. Ἄσμα. Ἀπὸ γ'. ᾠδῆς, Ἀληθῶς ματαιότης, καὶ θεοτοκίον, ἀπὸ ς'. κοντάκιον· Μετὰ τῶν ἁγίων ἀνάπαυσον, καὶ οἶκον.

Δεῖ γινώσκειν, ὅτι μετὰ τὴν ς'. ᾠδήν, κατέρχεται ὁ ταφιώτης ἢ ὁ παρεκκλησιάρχης καὶ ἑτοιμάζει εἰς τοὺς τάφους, ἤγουν θυμιᾷ καὶ ἅπτει κηροὺς καὶ κανδύλας. Μετὰ δὲ τὴν πλήρωσιν τῶν κανόνων, λέγεται ἐξαποστειλάριον· Ὁ καὶ νεκρῶν καὶ ζώντων, ἐκ γ'. καὶ τούτου λεγομένου. ἐξερχόμεθα διὰ τῶν βασιλικῶν πυλῶν πάντες καὶ κατερχόμεθα εἰς τοὺς τάφους τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ εὐθὺς ψάλλομεν τοὺς αἴνους, ἑστῶμεν δὲ ς'. καὶ ψάλλομεν τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, καὶ β'. τῆς ἑσπέρας, ἦχος πλ. δ'. πρὸς τὸ Ὁ ἐν Ἐδὲμ παράδεισος. Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς τὸν στίχον τὰ γ'. νεκρώσιμα, τὰ προσόμοια τοῦ ἤχου καὶ τὸ αὐτῶν θεοτοκίον, ἀπολυτίκιον· Ὁ βυθοῖς σοφίας.

Ἡ λειτουργία ἐν τῷ ναῷ. Ἀντὶ δὲ μακαρισμῶν, ἡ δ'. ᾠδὴ τοῦ κανόνος τῶν ψυχῶν, ἦχος πλ. δ'. τροπάριον καὶ κοντάκιον τῶν ψυχῶν, καὶ προκείμενον, ἦχος πλ. β'. Αἱ ψυχαὶ αὐτῶν. Στίχος· Πρὸς σέ, Κύριε. Ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, διασωθέντες οἱ περὶ τὸν Παῦλον. Ἀλληλούια, ἦχος πλ. β'. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου. Ἕτερος δὲ πάλιν ἱερεὺς ἱερουργεῖ εἰς τοὺς τάφους, ποιῶν καὶ αὐτὸς λειτουργίαν νεκρώσιμον· λέγεται δὲ καὶ ἀπόστολος καὶ εὐαγγέλιον νεκρώσιμον σὺν πᾶσι τοῖς λοιποῖς.

Τῷ σαββάτῳ ἑσπέρας τῆς ἁγίας Πεντηκοστῆς, μετὰ τὴν συνήθη στιχολογίαν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα ἑστῶντες η'. ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς, ἦχος πλ. β'. Ἀγνοοῦντα τὰ ἔθνη, δεύτερον. Ἄλλο· Κύριε, τοῦ Ἁγίου Πνεύματος, ἐκ γ'. Ἄλλο· Ἐν τοῖς προφήταις ἀνήγγειλας, ἐκ γ'. Δόξα καὶ νῦν, τὸ α'. Εἴσοδος. Προκείμενον, καὶ ἀναγνώσματα, τὸ α'. Ἀριθμῶν· Εἶπε Κύριος πρὸς Μωσῆν· συνάγαγέ μοι. τὸ β'. προφητείας Ἰωήλ· Τάδε λέγει Κύριος· Τὰ τέκνα Σιών. τὸ γ'. Ἰεζεκιήλ· Τάδε λέγει Κύριος· λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν. Ἀπὸ τοῦ στίχου, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, ἦχος α'. Πεντηκοστὴν ἑορτάζομεν. Στίχος· Καρδίαν καθαρὰν κτίσον. Ἄλλο· Γλώσσαις ἀλλογενῶν. Στίχος· Μὴ ἀποῤῥίψῃς με. Ἄλλο· Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον. Δόξα καὶ νῦν, ἦχος πλ. β'. Βασιλεῦ οὐράνιε, παράκλητε. Ἀπολυτίκιον, ἦχος πλ. δ'. Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν· τῆς γὰρ κυριακῆς ἀναστάσιμον οὐδὲν ψάλλομεν.

Εἰς τὴν παννυχίδα, τὸν κατανυκτικὸν κανόνα τοῦ β'. ἦχου, εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας, εἰς δ'. (об.] Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ οἶκον. Ἡ ἀνάγνωσις, τὸ τέλος τῶν Πράξεων.

Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος πλ. δ'. τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ'. Αἱ στιχολογίαι, Ἐξομολογήσομαί σοι, καὶ Ἀγαπήσω σε, εἰς τὸν βαρὺν ἦχον, καθίσματα τῆς ἑορτῆς τῆς Πεντηκοστῆς, Δόξα καὶ νῦν, τὰ αὐτά, οὐδὲν γὰρ ἀναστάσιμον ψάλλομεν. Ἀναγνώσεις· οἱ λόγοι τῆς ἑορτῆς. Εἶτα οἱ ἀναβαθμοί, ἦχος δ'. ἀντίφωνον ἕν, τὸν γὰρ πολυέλεον οὐ στιχολογοῦμεν. Προκείμενον, ἦχος δ'. τῆς ἑορτῆς· Τὸ πνεῦμά σου τὸ ἀγαθόν, Κύριε, ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Στίχος· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. Πᾶσα πνοή. Εὐαγγέλιον ἑωθινὸν θ'. κατὰ Ἰωάννην· Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εὐθὺς τὸν Ν'. τὸ γὰρ Ἀνάστασιν Χριστοῦ οὐ λέγομεν, ψάλλομεν δὲ κανόνας β'. τὸν βαρὺν ἦχον, εἰς ς'. μετὰ τῶν εἱρμῶν, καὶ τὸν ἕτερον, ἦχον δ'. τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια εἰς η'. ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς ἅπαξ οἱ χοροί· Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ αὐτό. Ἀνάγνωσις, λόγος τοῦ Θεολόγου· Περὶ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν, ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἶκον. Ἐξαποστειλάριον, ἦχος βαρύς· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς'. εἰς ἦχον δ'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἐκ β'. Παράδοξα σήμερον, καὶ ἕτερα β'. ὅμοια αὐτῷ, Δόξα καὶ νῦν, ἦχος β'. Ἐτέχθης, ὡς αὐτὸς ἠθέλησας, Δοξολογία μεγάλη. Ἀπολυτίκιον τῆς ἑορτῆς· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν. Ἡ α'. ὥρα μετὰ ἀναγνώσεως καὶ ἀπολύει.

Δεῖ δὲ γινώσκειν, ὅτι περὶ γ'. ὥραν, κρουομένου τοῦ μικροῦ σημαντῆρος, συναγόμεθα ἅπαντες ἐν τῷ ναῷ ἔσω καὶ ψάλλομεν ὁμοῦ τὴν γ'. ὥραν μετὰ τῶν μεσωρίων αὐτῆς, λέγεται καὶ προκείμενον, τὸ Κύριε ὁ τὸ πανάγιόν σου Πνεῦμα, λιτῶς καὶ μετὰ τῶν στίχων αὐτοῦ· εἰς τὸ Δόξα, τροπάριον τῆς ἑορτῆς, καὶ νῦν, Θεοτόκε, σὺ εἶ, ἡ ἄμπελος ἡ ἀληθινή. Εἰς τὴν λειτουργίαν, ἀντίφωνα (что нынѣ). Στίχος τῆς εἰσόδου· Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας. Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν. Δόξα καὶ νῦν, Ὅτε καταβὰς τὰς γλώσσας. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, χωρὶς συναπτῆς. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν. Στίχος· Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ ἀπόστολος Πράξεων· Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν. Ἀλληλούια, ἦχος α'. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. Στίχος β'. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην·

Κοινωνικόν· Τὸ πνεῦμά σου τὸ ἀγαθόν, Κύριε, ὁδηγήσει με. Τὸ αὐτὸ καὶ πᾶσαν τὴν ἑβδομάδα.

Τῇ ἑσπέρᾳ, ἀρχὴ ὥρας η΄. σημαίνει τὸ ἑσπερινόν. Οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ γ΄. τῆς ἑορτῆς, ἦχος δ΄. Παράδοξα σήμερον, καὶ ἕτερα β΄. ὅμοια αὐτῷ, πρὸς μίαν, καὶ γ΄. ἰδιόμελα, ἦχος β΄. πρὸς μίαν. Ἐν τοῖς προφήταις ἀνήγγειλας ἡμῖν. Ἄλλο· Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν. Ἄλλο· Ἐν ταῖς αὐλαῖς σου, Κύριε, οἱ πιστοί. Δόξα καὶ νῦν, ἰδιόμελον εἰς τὸν αὐτὸν ἦχον· Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε. Εἴσοδος. Ἠλλαγμένου τοῦ ἱερέως πᾶσαν τὴν στολὴν αὐτοῦ μετὰ καὶ διακόνου. Προκείμενον· Τίς Θεὸς μέγας. Στίχος α΄. Καὶ εἶπα· νῦν ἠρξάμην. Στίχος β΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου. Στίχος γ΄. Ἐγνώρισας ἐν τοῖς λαοῖς. Εἶτα, μετὰ τὴν πλήρωσιν τοῦ προκειμένου, ἐξελθὼν ὁ διάκονος εὐθὺς λέγει· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Καὶ τῶν ἀδελφῶν γόνυ κλινάντων ἐπὶ γῆς, ἀκατακαλύπτοις ταῖς κεφαλαῖς, ἐπεύχεται ἔσωθεν τοῦ βήματος ὁ ἱερεύς, καὶ αὐτὸς κλίνας τὴν κεφαλὴν ἐπ' ὀλίγον, καὶ εἰς ἐπήκοον πάντων λέγει τὰς εὐχὰς ἀργῶς καὶ μετὰ προσοχῆς. Εὐχὴ α΄. Ἄχραντε, ἀμίαντε. Ὁμοῦ καὶ τὴν ἐπισυνημμένην αὐτῇ· Εὐλογητὸς εἶ, Δέσποτα Θεέ. Εἶτα πρὸς τὸ τέλος τῆς εὐχῆς, λέγει ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἀνάστησον. (οδ.] Καὶ ἐγειρομένων τῶν ἀδελφῶν, πάλιν λέγει· Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης. Ὁ ἱερεὺς ἐκφωνεῖ τὴν ἐκφώνησιν· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν, ὁ Θεὸς ἡμῶν. Καὶ ὁ λαός· Ἀμήν. Καὶ εὐθὺς ὁ διάκονος· Εἴπωμεν πάντες, καὶ τὰ λοιπὰ τῆς συναπτῆς. Ἔπειτα τὴν ἐκτενῆ πᾶσαν, καὶ μετὰ τὴν πλήρωσιν τῆς ἐκτενοῦς λέγει· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Καὶ πάλιν, γόνυ κλινάντων τῶν ἀδελφῶν, ἐπεύχεται ὁ ἱερεὺς οὕτω τὴν β΄. εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην. Ἐπισυνάπτει καὶ τὴν ἑτέραν· Κύριε, Κύριε ὁ ῥυσάμενος ἡμᾶς. Εἶτα μετὰ τὸ τέλος, λέγει ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης. Ὁ ἱερεὺς τὴν ἐκφώνησιν· Εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ. Ὁ λαός· Ἀμήν. Εἶτα λέγομεν τὸ Καταξίωσον, Κύριε, ἀργῶς, καὶ μετὰ τὸ τέλος αὐτοῦ, λέγει ὁ διάκονος· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Καὶ πάλιν, κλινάντων τὸ γόνυ τῶν ἀδελφῶν, ἐπεύχεται ὁ ἱερεὺς τὴν γ΄. εὐχήν· Ἡ ἀεννάως βρύουσα· καὶ τὴν ἑτέραν συνημμένως· Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος. Καὶ μετὰ τὸ τέλος πάλιν λέγει ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογη-

μένης, καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι σὺ εἶ, ὁ Θεὸς ἡμῶν. Αὖθις δὲ πάλιν, ὁ διάκονος· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, ἀργῶς καὶ τὰς λοιπὰς αἰτήσεις, τοῦ ἱερέως λέγοντος καθ' ἑαυτὸν τὴν μυστικὴν εὐχήν· Σὸν γὰρ ὡς ἀληθῶς. Λέγει δὲ ὁ διάκονος τὴν συναπτὴν πᾶσαν β'. ἢ γ'. ἕως οὗ ὁ ἱερεὺς τὴν εὐχὴν τελειώσει, καὶ μετὰ τὸ τέλος αὐτῆς ἐκφωνεῖ ὁ ἱερεὺς τὴν ταύτης ἐκφώνησιν· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. Καὶ εὐθὺς ἀρχόμεθα ψάλλειν τὰ στιχηρά, ἦχος γ'. θυμιῶντος τοῦ διακόνου, οὐχ ὁμοῦ πάντες, ὡς πάντοτε, ἀλλ' ἰδίως οἱ χοροὶ πρὸς μίαν, ἄρχεται δὲ τούτων ὁ ἐναρξάμενος χορός· Νῦν εἰς σημεῖον, ἀργῶς καὶ μετὰ χειρονομίας, εἶτα τὸ αὐτὸ καὶ ὁ ἕτερος χορός, εἶτα λέγει στίχον πάλιν ὁ ἐναρξάμενος χορός. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, εἶτα τὸ β'. Νῦν περιβάλλονται κράτος· Στίχον ὁ ἕτερος χορός· Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ λέγει τὸ αὐτὸ στιχηρόν, καὶ πάλιν στίχον ὁ ἄλλος· Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου. Ἄλλο· Νῦν τὸ παράκλητον Πνεῦμα. Στίχον ὁ ἕτερος χορός· Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Καὶ λέγει τὸ αὐτὸ στιχηρόν. Δόξα καὶ νῦν, ὁμοῦ πάντες ἐνούμενοι, ψάλλομεν στιχηρόν, ἦχος πλ. β'. (π. 170) Βασιλεῦ οὐράνιε. Ἀπολυτίκιον· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἶτα Σοφία, καὶ ἀπόλυσις. Τὴν γὰρ εὐχὴν τοῦ τέλους τοῦ ἑσπερινοῦ οὐ λέγομεν, οὐδὲ παννυχίδα ψάλλομεν, εἰμὴ μόνα τὰ ἀπόδειπνα μετὰ τὸ δειπνῆσαι, καὶ πλέον οὐδέν.

Τῇ β'. εἰς τὸν ὄρθρον τοῦ Ἁγίου Πνεύματος, ἐγειρόμεθα ὥρᾳ η'. Θεὸς Κύριος, ἦχος πλ. δ'. Οὐ στιχολογοῦμεν, ἀλλ' εἰς τὸ Θεὸς Κύριος ψάλλεται τὸ τροπάριον τῆς ἑορτῆς ἑκ γ'. καὶ εὐθὺς ὁ Ν'. καὶ λέγομεν Τῷ Κυρίῳ ᾄσωμεν, καὶ ἱστῶμεν ι'. καὶ ψάλλομεν κανόνας β'. τῆς ἑορτῆς τὸν βαρὺν εἰς δ'. καὶ τοῦ Ἁγίου Πνεύματος εἰς ς'. ἦχος α'. Πικρᾶς δουλείας. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τῆς ἑορτῆς, καὶ ἀνάγνωσις, λόγος εἰς τὸ κατὰ Ἰωάννην ΝΑ'. Ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἀπὸ ς'. τὸ κοντάκιον καὶ οἶκον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, οὐδέν· εἰς τὸν στίχον, στιχηρὰ τῆς ἑορτῆς, ἦχος δ'. Τοὺς ἀγραμμάτους μαθητάς. Στίχος· Καρδίαν καθαράν. Ἄλλο ὅμοιον αὐτῷ. Στίχος· Μὴ ἀποῤῥίψῃς με. Ἕτερον ὅμοιον αὐτῷ, Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος β'. Τριάδα ὁμοούσιον. Ἀπολυτίκιον· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἡ λειτουργία ἐν τῷ ναῷ. Ἀντίφωνον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ κοντάκιον, ὁ Τρισάγιος, προκείμενον, ἦχος πλ. β'. Σῶσον, Κύριε, τὸν λαόν σου. Στίχος· Πρὸς σέ, Κύριε. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε. Ἀλληλούια, ἦχος β'. Ἐλέησόν με,

ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου. Στίχος β'. Μὴ ἀποῤῥίψῃς με. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· ὁρᾶτε μὴ καταφρονήσητε. Κοινωνικόν· Τὸ Πνεῦμά σου τὸ ἀγαθόν.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῶν β'. ἁγίων τῆς β'. καὶ τῆς γ'. ἀνὰ γ'. Δόξα καὶ νῦν, ἰδιόμελον πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἑσχάτου ἁγίου. Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχον, στιχηρά· ἐν τῆς ἑορτῆς, ἦχος βαρύς· Παράκλητον ἔχοντες, καὶ ἐν κατανυκτικὸν τῆς Ὀκτωήχου καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, θεοτοκίον. Ἀπολυτίκιον τῆς ἑορτῆς. Εἰς τὴν παννυχίδα, τὸ τριῴδιον τοῦ κυροῦ Θεοφάνους.

Τῇ γ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς, ἐκ γ'. Ἡ στιχολογία, τὸ λοιπὸν τῆς ἀκολουθίας, κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις, ἐκ τοῦ κατὰ Ἰωάννην μέχρι τῶν ἁγίων Πάντων. Ὁ Ν'. καὶ κανόνες γ'. τῆς ἑορτῆς, τὸν δ'. ἦχον εἰς δ'. καὶ τοῦ ἑνὸς ἁγίου, ἤγουν τῆς β'. τροπάρια δ'. καὶ τοῦ ἑτέρου ἁγίου τῆς ἡμέρας τροπάρια δ'. ἱστῶμεν γὰρ ιβ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας, ἀπὸ ς'. τὸ κοντάκιον τῆς ἡμέρας, ἤγουν τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος, ὅλην τὴν ἑβδομάδα. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρά· ἐν τῆς ἑορτῆς, ἦχος β'. Ἐν τοῖς προφήταις· καὶ ἕτερον τῆς Ὀκτωήχου, κατανυκτικόν, ἦχος βαρὺς καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον· Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εἰς τὴν λειτουργίαν, ἡ ᾠδὴ τοῦ τριῳδίου. Ἀντὶ μακαρισμοῦ, ὡς σύνηθες, τὸ τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον, ἦχος γ'. Μέγας ὁ Κύριος ἡμῶν. Στίχος· Αἰνεῖτε τὸν Κύριον. Ὁ ἀπόστολος τῆς ἡμέρας, πρὸς Ῥωμαίους. Ἀπὸ γὰρ τῆς σήμερον ἄρχεται τὸ χύμα τοῦ ἀποστόλου. Ἀλληλούια τῆς ἑορτῆς. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοί. Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν· Τὸ Πνεῦμά σου τὸ ἀγαθόν. (**οβ**.]

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος δ'. πρὸς τὸ Ἔδωκας σημείωσιν, καὶ γ'. τοῦ ἁγίου τῆς ἡμέρας· εἰ δὲ μέγας ἅγιος, β'. τῆς ἑορτῆς καὶ δ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμα β'. καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς, ἦχος πλ. δ'. Δεῦτε λαοὶ τὴν τρισυπόστατον. Ἀπολυτίκιον τῆς ἑορτῆς. Καὶ τὸ τριῴδιον τοῦ κυροῦ Θεοφάνους.

Τῇ δ'. εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς ἐκ γ'. εἰ δὲ ἔχει ὁ ἅγιος, Δόξα καὶ νῦν, τοῦ ἁγίου. Ἡ στιχολογία, μέχρι γὰρ τῆς παρασκευῆς πληροῦται τὸ Ψαλτήριον, κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις.

Ὁ Ν'. καὶ κανόνες β'. τῆς ἑορτῆς, ἦχος βαρύς, εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. εἰ δὲ μέγας ἅγιος, τῆς ἑορτῆς εἰς δ'. καὶ τοῦ ἁγίου εἰς ς'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. κοντάκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, εἰς τὸν ἦχον, σταυρώσιμα β'. καὶ μαρτυρικόν, Δόξα καὶ νῦν. ἰδιόμελον τῆς ἑορτῆς. ἦχος β'. Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν.

Εἰς τὴν λειτουργίαν, ἀκολουθία, προκείμενον καὶ ἀλληλούια, εἰ οὐκ ἔχει ὁ ἅγιος, τῆς Θεοτόκου, ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ τῆς ἑορτῆς γ'. ἦχος πλ. β'. πρς τὸ Τριήμερος ἀνέστης, Χριστέ, καὶ γ'. τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀποστολικὰ τοῦ ἤχου β'. καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος πλ. δ'. Γλῶσσαι ποτὲ συνεχύθησαν. Ἀπολυτίκιον, εἰ μὴ ἔχει ὁ ἅγιος, τῆς ἑορτῆς, καὶ τὸ τριῴδιον εἰς τὴν παννυχίδα.

Τῇ ε'. εἰς τὸν ὄρθρον, τροπάριον εἰς τὸ Θεὸς Κύριος τῆς ἑορτῆς. Ἡ στιχολογία, κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις, ὁ Ν'. καὶ κανόνες β'. τῆς ἑορτῆς, ἦχος δ'. εἰς ς'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, ἀποστολικὰ β'. καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς, ἦχος β'. Ἐν ταῖς αὐλαῖς σου, Κύριε, οἱ πιστοί.

Εἰς τὴν λειτουργίαν, ἡ ᾠδὴ τοῦ τριῳδίου, τροπάριον καὶ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον· Εἰς πᾶσαν τὴν γῆν. Ἀλληλούια, Ἐξομολογήσονται, ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν β'. ἁγίους, τῆς παρασκευῆς καὶ τοῦ σαββάτου. Εἰ δὲ εἴη ἑορταζόμενος ὁ ἅγιος τῆς ἡμέρας τοῦ σαββάτου, ψάλλομεν τῇ ε'. εἰ δὲ ἐστὶ τοῦ σαββάτου ὁ ἅγιος ἑορταζόμενος, ψάλλομεν αὐτὸν τῷ σαββάτῳ μετὰ τῆς ἑορτῆς, εἰ τοίνυν οὐκ εἰσὶν ἑορταζόμενοι, ψάλλομεν ἑσπέρας τοὺς β'. ἁγίους, Δόξα καὶ νῦν. θεοτοκίον. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμα β'. καὶ μαρτυρικόν. Δόξα καὶ νῦν, ἦχος πλ. δ'. Ὅτε τὸ Πνεῦμά σου.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος καὶ τροπάριον τῆς ἑορτῆς. Ἡ στιχολογία. Σήμερον γὰρ λαμβάνει τέλος τὸ Ψαλτήριον. Κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις. Ὁ Ν'. καὶ κανόνες γ'. τῆς ἑορτῆς, ὁ

α΄. ἦχος τοῦ Ἁγίου Πνεύματος, (π. 171] Πικρᾶς δουλείας εἰς δ΄. καὶ τοῦ ἑνὸς ἁγίου τροπάρια β΄. καὶ τοῦ ἑτέρου δ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τοῦ ἁγίου τῆς ἡμέρας, ἀπὸ ς΄. τὸ κοντάκιον τῆς ἑορτῆς. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, σταυρώσιμα β΄. καὶ μαρτυρικόν, Δόξα καὶ νῦν, ἦχος β΄. Ἐν ταῖς αὐλαῖς σου ὑμνήσω σε.

Εἰς τὴν λειτουργίαν, ἡ ᾠδὴ τοῦ τριῳδίου, τροπάριον καὶ τὸ κοντάκιον τῆς ἑορτῆς. Προκείμενον, ἦχος δ΄. τὸ ἑωθινὸν τῆς ἑορτῆς· Τὸ Πνεῦμά σου τὸ ἀγαθόν. Κύριε. Στίχος· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. Ἀλληλούια, ἦχος β΄. Μὴ ἀποῤῥίψῃς με. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικὸν τῆς ἑορτῆς.

Τῇ ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τὰ καὶ εἰς τὴν ἑορτὴν ἦχος πλ. β΄. Ἀγνοοῦντα τὰ ἔθνη, Κύριε. Κύριε τοῦ Ἁγίου Πνεύματος ἡ ἐπιφοίτησις. Ἐν τοῖς προφήταις, τὰ γ΄. ἐκ β΄. Δόξα καὶ νῦν, τὸ α΄. Προκείμενον. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, ἦχος α΄. Πεντηκοστὴν ἑορτάσωμεν. Στίχος· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός. Γλώσσαις ἀλλογενῶν ἐκαινούργησας. Στίχος· Μὴ ἀποῤῥίψῃς με. Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. Δόξα καὶ νῦν, Βασιλεῦ οὐράνιε. Εἰ δὲ μέγας ἅγιος, εἰς τὸ Κύριε ἐκέκραξα τὰ γ΄. τῆς ἑορτῆς, πρὸς μίαν, καὶ γ΄. τοῦ ἁγίου, Δόξα καὶ νῦν, πρὸς τὸν ἦχον τῶν στιχηρῶν τοῦ ἁγίου, ἰδιόμελον τῆς ἑορτῆς, καὶ εἰς τὸν στίχον, β΄. τῆς ἑορτῆς, καὶ ἓν τοῦ ἁγίου, Δόξα καὶ νῦν, τὸ εἰρημένον. Ἀπολυτίκιον τοῦ ἁγίου.

Τὴν παννυχίδα, εἰς τοὺς τάφους τῶν ἁγίων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ νεκρώσιμον κανόνα τὸν βαρὺν ἦχον, ὡς σύνηθες.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, εἰ οὐκ ἔχει ὁ ἅγιος, πάλιν τὸ αὐτό. Ἡ στιχολογία, ὁ Ἄμωμος μετὰ τοῦ ἀλληλουϊαρίου, ἦχος βαρύς. Κάθισμα τῆς ἑορτῆς. Ἀνάγνωσις, λόγος ΛΔ΄. τοῦ Νύσσης εἰς τὸ Ἅγιον Πνεῦμα, οὗ ἡ ἀρχή· Ἐρωτήσωμεν αὐτούς, εἰ ἄλογον ἡγοῦνται τὸν Θεόν. Ζήτει εἰς τὸ βιβλίον αὐτοῦ. Ὁ Ν΄. τοὺς β΄. κανόνας τῆς ἑορτῆς, τὸν βαρὺν ἦχον εἰς δ΄. καὶ τὸν δ΄. εἰς ς΄. Εἰ δὲ καὶ μέγας ἅγιος, τοὺς β΄. ἀνὰ δ΄. καὶ τοῦ ἁγίου εἰς δ΄. καὶ ἱστῶμεν ιβ΄. Ἀπὸ γ΄. ᾠδῆς, εἰ οὐκ ἔχει ὁ ἅγιος, κάθισμα τῆς ἑορτῆς, ἀπὸ ς΄. τὸ κοντάκιον καὶ οἶκον τοῦ ἁγίου. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, οὐδέν. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς ἑορτῆς, ἦχος δ΄. Παράδοξα σήμερον, καὶ ἕτερα β΄. ὅμοια αὐτῷ. Στίχος τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τῆς ἑορτῆς, ἦχος βαρύς. Παράκλητον ἔχοντες. Ἀπολυτίκιον τῆς ἑορτῆς.

Εις τὴν λειτουργίαν, ἡ ς'. ᾠδὴ τοῦ τετραῳδίου, ἦχος πλ. β'. τὸ τροπάριον, τὸ κοντάκιον, τὸ προκείμενον, τὸ ἀλληλούια, τὸ κοινωνικόν, τῆς ἑορτῆς, ἀπόστολος δὲ τῆς ἡμέρας πρὸς Ῥωμαίους· Χάρις ὑμῖν καὶ εἰρήνη. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τῷ αἰτοῦντί σε δίδου. Κοινωνικόν· Τὸ Πνεῦμά σου τὸ ἀγαθόν. (οϐ.]

Τῷ σαββάτῳ ἑσπέρας, ἤγουν τῶν ἁγίων Πάντων, μετὰ τὴν στιχολογίαν, τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ γ'. ἀναστάσιμα στιχηρά, ἦχος πλ. δ'. δευτεροῦντες τὸ α'. καὶ τῶν ἁγίων Πάντων στιχηρὰ γ'. πρὸς τὸ Ὡς γενναῖον, δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν, θεοτοκίον. Ὁ διὰ σὲ θεοπάτωρ. Εἴσοδος. Προκείμενον, ἀναγνώσματα· τὸ α'. Ἡσαΐου· Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη. τὸ β'. Σοφίας· Δικαίων ψυχαὶ ἐν χειρὶ Κυρίου. τὸ γ'. τοῦ αὐτοῦ· Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. Ἀπὸ τοῦ στίχου, τὸ ἀναστάσιμον ἅπαξ, καὶ τῶν ἁγίων Πάντων ἰδιόμελον, ἦχος πλ. β'. Μαρτύρων θεῖος χορός. Ἄλλο· Δεῦτε πιστοὶ σήμερον χορείαν, Δόξα καὶ νῦν, θεοτοκίον· Τίς μὴ μακαρίσῃ σε, παναγία. Ἀπολυτίκιον· Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων.

Εἰς τὴν παννυχίδα, τὸν κατανυκτικὸν κανόνα τοῦ α'. ἤχου εἰς ς'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς. κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ τὸν οἶκον. Ἀνάγνωσις. τὸ χύμα τοῦ Πραξαποστόλου ἐκ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς· ἡ γὰρ ἀνάγνωσις τῶν παννυχίδων τῶν κυριακῶν ἀεὶ ἐκ τοῦ χύματος τοῦ Πραξαποστόλου γίνεται. ἐπὰν δὲ πληρωθῶσι πᾶσαι αἱ Ἐπιστολαί, πάλιν ἀρχόμεθα αὐτῶν ἐκ τῆς πρὸς Ῥωμαίους· τὰς γὰρ Πράξεις ἐν μόναις ταῖς κυριακαῖς τοῦ Πάσχα λέγομεν μέχρι τῆς ἁγίας Πεντηκοστῆς.

Τῇ κυριακῇ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος. ἦχος πλ. δ'. τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, ἦχος δ'. Τῶν ἐν ὅλῳ τῷ κόσμῳ μαρτύρων σου. Αἱ στιχολογίαι. Ἐξομολογήσομαί σοι, Κύριε. Κάθισμα ἀναστάσιμον. Ἀνάγνωσις· λόγος Κωνσταντίνου, χαρτοφύλακος εἰς τοὺς ἁγίους Πάντας, καὶ ἕτερος λόγος τοῦ Χρυσοστόμου, ἕτερος λόγος τοῦ ἁγίου Ἐφραίμ. Ζήτει δὲ τούτους τὸν μὲν α'. εἰς τὸ μικρὸν Πανηγυρικόν, τὸ α'. τοὺς δὲ ἄλλους δύο ἐν τῷ β'. μεγάλῳ Πανηγυρικῷ. Ἀρχόμεθα δὲ καὶ τῆς ἑρμηνείας τοῦ Χρυσοστόμου εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολήν, καὶ ἐξ αὐτῆς ἀναγινώσκομεν ἀπὸ τῆς σήμερον μέχρι τῆς α'. Σεπτεμβρίου μηνός. Ἐπὰν δὲ ἔχῃ ὁ ἅγιος, τοῦ ἁγίου, ἀπὸ β'. στιχολογίας, τοῦ Ἀγαπήσω σε, Κύριε, ἡ ὑπακοὴ τοῦ ἤχου, εἶτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου, καὶ προκείμενον, καὶ Πᾶσα πνοή, εὐαγγέλιον ἑωθινὸν τὸ α'. Οἱ

ἕνδεκα μαθηταί. Ἀπὸ γὰρ τῆς σήμερον λαμβάνει ἀρχὴν ἀναγινώσκεσθαι ἐνορδίνως τὰ ἑωθινὰ εὐαγγέλια, Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν΄. ψάλλομεν δὲ καὶ κανόνας β΄. τὸν α΄. ἀναστάσιμον τοῦ ἤχου εἰς ς΄. Ἁρματηλάτην Φαραώ, καὶ τῶν ἁγίων Πάντων ὁμοίως εἰς τὸν αὐτὸν ἦχον εἰς ς΄. ἱστῶμεν γὰρ ιβ΄. Ἀπὸ γ΄. ᾠδῆς, κάθισμα τῶν ἁγίων Πάντων, ἦχος δ΄. πρὸς τὸ Ὁ ὑψωθείς. Ὡς στρατιῶται. Ἀπὸ ς΄. τὸ κοντάκιον· Ὡς ἀπαρχάς, καὶ οἶκον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος. Εἰς τοὺς αἴνους, ἱστῶμεν ς΄. (л. 172] καὶ ψάλλομεν τὰ δ΄. ἀναστάσιμα πρὸς μίαν, καὶ β΄. τῶν ἁγίων Πάντων, πρὸς μίαν, ἦχος α΄. πρὸς τὸ Τῶν οὐρανίων, Δόξα, τὸ ἑωθινὸν τοῦ εὐαγγελίου· Εἰς τὸ ὄρος τοῖς μαθηταῖς, καὶ νῦν, Ὑπερευλογημένη, Δοξολογία μεγάλη. Ἀπολυτίκιον· Ἀναστὰς ἐκ τοῦ μνήματος. ἡ α΄. ὥρα.

Εἰς τὴν λειτουργίαν, τυπικὰ καὶ μακαρισμοὶ ἀναστάσιμοι, τροπάρια β΄. καὶ ἐκ τῆς γ΄. ᾠδῆς τοῦ κανόνος τῶν ἁγίων Πάντων τροπάρια β΄. καὶ θεοτοκίον. Μετὰ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῶν ἁγίων, ὁ Τρισάγιος, προκείμενον, ἦχος δ΄. Τοῖς ἁγίοις τοῖς. Στίχος· Προφρώμην τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, οἱ ἅγιοι πάντες. Ἀλληλούια, ἦχος δ΄. Ἐκέκραξαν οἱ δίκαιοι. Στίχος β΄. Πολλαὶ αἱ θλίψεις. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς, ὅστις ὁμολογήσει ἐν ἐμοί. Κοινωνικόν· Αἰνεῖτε, εἶτα, Ἀγαλλιᾶσθε, καὶ τὸ Εἰς μνημόσυνον αἰώνιον.

Περὶ τῆς τεσσαρακοστῆς τῶν ἁγίων ἀποστόλων.

Τῇ κυριακῇ τῶν ἁγίων Πάντων ἑσπέρας, οὐ στιχολογοῦμεν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς΄. εἰ μὲν ἐστὶν ἑορταζόμενος ἅγιος, ἢ δύο καὶ ψάλλομεν τῶν ἁγίων τὰ στιχηρά, Δόξα καὶ νῦν, θεοτοκίον, εἰ δὲ εἷς ἅγιος μὴ ἑορταζόμενος, ἱστῶμεν δ΄. εἰς τὸ Ἀπὸ φυλακῆς πρωΐας, καὶ ψάλλομεν τοῦ ἁγίου τῆς ἡμέρας τὰ στιχηρὰ δευτεροῦντες τὸ α΄. Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον· Ἰδοὺ δὴ εὐλογεῖτε. Ἀπὸ τοῦ στίχου, στιχηρὰ τῆς Ὀκτωήχου κατανυκτικὰ β΄. καὶ μαρτυρικὰ α΄. Δόξα καὶ νῦν, θεοτοκίον· Ἐκ τῶν μεγάλων. Ἀπολυτίκιον, εἰ οὐκ ἔστιν ἑορταζόμενος ὁ ἅγιος, Θεοτόκε παρθένε, λιτῶς, Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, καὶ νῦν, Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν· ἡ ἐκτενὴς καὶ μετανοίας ἀργὰ γ΄. ἡσύχως καὶ ἴσως, εἶτα ἡ εὐχή· Εὐλογητὸς εἶ, Δέσποτα, καὶ ἀπολύει. Ἀφ' ἑσπέρας γὰρ πανυχίδα οὐ ψάλλομεν διὰ τὴν ἑορτήν.

Μετὰ τὸν δεῖπνον δέ, τὸ ἀπόδειπνον, τὸ ἐξάψαλμον, τὸ Μεθ' ἡμῶν ὁ Θεός, καὶ τὰ λοιπά· τροπάριον, εἰ μὴ ἐστὶν ἑορταζόμενος ὁ ἅγιος, Τῶν

ἀοράτων ἐχθρῶν μου, τὸ Κύριε ἐλέησον, με'. εὐχή· Ὁ ἐν παντὶ καιρῷ, προσκυνήσεις ἀργὰ γ'. ἀφ' ἑσπέρας γὰρ διὰ τὴν ἑορτὴν μετανοίας οὐ ποιοῦμεν. Εἰς δὲ τὰς λοιπὰς ἡμέρας, ἐν αἷς ψάλλομεν Ἀλληλούια, μετανοίας ιε'. γ'. ἀργὰ καὶ ιβ'. συντομώτερα, εἶτα εὐχή· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς, καὶ συνημμένως τὸ Κύριε παντοκράτορ, καὶ ἑτέρα εὐχὴ ὑπὲρ τῶν ὁμογενῶν· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν (οδ.), εἶτα Τρισάγιον τῶν κεκοιμημένων, τροπάριον· Μνήσθητι, Κύριε, ὡς ἀγαθός, Δόξα, Ὁ βυθοῖς σοφίας, καὶ νῦν, Μετὰ τῶν ἁγίων, καὶ τὸ Σὲ καὶ τεῖχος καὶ λιμένα, Κύριε ἐλέησον ιε'. καὶ εὐχή· Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι ἀναστάσεως, καὶ ἀπολύει. Οὕτω ψάλλομεν τὰ ἀπόδειπνα ἀεί, ἐπὰν οὐκ ἔστι κανών.

Τῇ β'. εἰς τὸν ὄρθρον, εἰ οὐκ ἔστιν ἑορταζόμενος ὁ ἅγιος, Ἀλληλούια, καὶ τὰ τριῳδικὰ τοῦ ἤχου, ἡ στιχολογία, κάθισμα α'. ἓν γὰρ στιχολογεῖ εἰς τὸν ὄρθρον ἄχρι τῆς Ὑψώσεως τοῦ τιμίου σταυροῦ· καθίσματα τῆς Ὀκτωήχου, κατανυκτικόν, μαρτυρικὸν καὶ Θεοτοκίον, ἀνάγνωσις ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς ἢ τὰ ἠθικὰ τοῦ Χρυσοστόμου, οἷον δόξει προθεῖναι τῷ προεστῶτι. Κανόνες γ'. ἀπὸ γὰρ τῆς σήμερον ἱστῶμεν στίχους ιβ'. Ἀπέστειλας τὸ Πνεῦμά σου, τοῦ κατανυκτικοῦ κανόνος τὸν εἱρμὸν καὶ τὰ β'. κατανυκτικὰ τροπάρια καὶ Θεοτοκίον· τὰ γὰρ μαρτυρικὰ καταλιμπάνομεν, καὶ τῶν ἀσωμάτων εἰς δ'. Εἰ δὲ ἔχει γ'. τῶν ἀσωμάτων, ψάλατε καὶ ἓν μαρτυρικὸν διὰ τὴν ἰσότητα, καὶ τὸ Μηναῖον εἰς δ'. Εἰ δὲ ἐστὶν ἑορταζόμενος ὁ ἅγιος, τοῦ κατανυκτικοῦ εἰς δ'. ὡς εἴρηται, καὶ β'. τροπάρια τῶν ἀσωμάτων καὶ τοῦ ἁγίου εἰς ς'. οὕτως ἀεί, χωρὶς τῶν ἀγρυπνιῶν. Ἀπὸ γ'. ᾠδῆς τὸ κάθισμα τοῦ ἁγίου ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν, Θεοτοκίον· ἀπὸ ς'. κάθισμα, τὸ προσόμοιον τῆς ἡμέρας ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν, Θεοτοκίον, ἐξαποστειλάριον, εἰ οὐκ ἔστιν ἑορταζόμενος ὁ ἅγιος, τοῦ ἤχου. Εἰς τὸν στίχον τῶν αἴνων, στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, Θεοτοκίον, ἐκτενὴς καὶ ἡ ἀπόλυσις. Ὥρα α'. συνημμένως, ὡς σύνηθες, μετὰ ἀναγνώσεως. ἐκτὸς στιχολογίας· οὐ γὰρ στιχολογεῖ εἰς τὴν α'. ὥραν, εἰ μὴ μόνην τὴν μεγάλην τεσσαρακοστήν. Προκείμενον· Τὸ πρωὶ εἰσάκουσον τῆς φωνῆς μου, λιτῶς καὶ τὰ λοιπά, Κύριε ἐλέησον, με'. μετανοίας ιε'. Εἶτα ἡ κατήχησις τοῦ Πατερικοῦ καὶ ἡ εὐχὴ καὶ ἡ ἀπόλυσις. Εἰς δὲ τὰ κελλία, κρουομένου τοῦ ξύλου δίς, ψάλλομεν τὰ μεσώρια, ἤγουν τοὺς ἑξαψάλμους. Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς σήμερον πάλιν, ἐν αἷς ἡμέραις οὐκ ἔστι Θεὸς Κύριος, ψάλλομεν τὰς ὥρας ἐν τῷ μέσῳ κοινῶς ἐν τῷ νάρθηκι τοῦ ναοῦ μετὰ στιχολογίας οὕτως. Ὥραν δευτέραν πρὸς τῷ τέλει

σημαίνει τὴν γ'. ὥραν καὶ συναγόμεθα ἐν τῷ νάρθηκι. ψάλλομεν αὐτὴν γ'. ψαλμόν, ἀρχόμενοι ἀπὸ Τρισάγιον, καὶ εὐθὺς ἡ στιχολογία, ἄρχεται δὲ ταύτης οὐχ ὁ ἀρχόμενος κατὰ τὴν ἡμέραν χορός, ἀλλ' ὁ ἕτερος εἰς ἦχον πλ. β'. τὰ πρῶτα ἀλληλουάρια, προκείμενον· Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα, λιτῶς καὶ οὐ μετὰ ἤχου, Κύριος ὁ Θεὸς εὐλογητός, Τρισάγιον, Κύριε ἐλέησον, με'. καὶ μετανοίας ιε'. ἡ εὐχὴ καὶ ἀπολύει. Τὰ δὲ μεσώρια τῆς γ'. καὶ τῆς ς'. ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν καὶ ἀπὸ τοῦ γεύματος τὰ τῆς θ'. ὥρας.

Ἀρχὴ δὲ ὥρας δ'. σημαίνει τὴν ς'. μετὰ τοῦ μικροῦ σημάντρου καὶ ψάλλομεν καὶ αὐτὴν τρίψαλμον (**π. 173**), εἶτα τὴν στιχολογίαν, ἄρχεται δὲ ὁ κατὰ τὴν ἡμέραν ἀρχόμενος χορὸς εἰς ἦχον β'. τὰ πρῶτα, προκείμενον· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ, λιτῶς καὶ τὰ λοιπά, μετανοίας ιε'. ἡ εὐχὴ καὶ ἀπολύει, καὶ εὐθὺς μετὰ τὴν ἀπόλυσιν σημαίνει τὸ μέγα καὶ ἄρχεται ἡ θεία λειτουργία, προετοιμαζομένου τοῦ τε ναοῦ καὶ τοῦ ἐγκαθέτου ἱερέως, μετὰ τὴν τῆς στιχολογίας συμπλήρωσιν. Ἐπὰν δὲ οὐ γένηται λειτουργία, ψάλλομεν τὰ τυπικὰ μετὰ τὴν θ'.

Δεῖ δὲ γινωσκειν, ὅτι τὰ λοιπὰ μοναστήρια, ὅσα τὸ Τυπικὸν κρατοῦσι τῆς περιωνύμου μονῆς τῶν Στουδίου, οὐ ψάλλουσι τὰ τυπικὰ ἐν ταῖς λειτουργίαις, ἀλλὰ μετὰ τὴν ἀπόλυσιν τῆς θ'. ὥρας, τότε ψάλλουσι τὰ τυπικὰ λαμβάνειν τὸ ἀντίδωρον. Ἡμεῖς δέ, διὰ τὸ καθεκάστην σχεδὸν πάντας μεταλαμβάνειν τῶν θείων μυστηρίων, δέον ἐκρίναμεν ψάλλειν τὰ τυπικὰ ἐν τοῖς κελλίοις αὐτῶν καὶ διακλύεσθαι τοὺς ἀδελφοὺς μετὰ τὴν τῆς θείας ἱερουργίας συμπλήρωσιν, πλὴν συντόμως καὶ ἔπειτα ψάλλειν τὴν θ'. ὥραν, ὡς ἤδη ῥηθήσεται. Ἐν τῇ θείᾳ ἱερουργίᾳ τὰ τυπικά, ὡς συνήθες, οἱ μακαρισμοὶ τῆς ἡμέρας τῆς Ὀκτωήχου, τροπάριον, εἰ οὐκ ἔχει ὁ ἅγιος, τῶν ἀσωμάτων καὶ θεοτοκίον· ὁμοίως καὶ προκείμενον καὶ ἀλληλούια τῶν ἀσωμάτων, εἰ δὲ ἔχει ὁ ἅγιος, τοῦ ἁγίου. ὁμοίως καὶ κοινωνικόν, ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας. Μετὰ τὴν ἀπόλυσιν, δίδοται τὸ ἀντίδωρον, ὡς σύνηθες, καὶ συντόμως μικρὸν ἐπικαθεζομένων ἡμῶν ἐν τῷ νάρθηκι γίνεται ὁ διακλυσμός. Εἶτα τοῦ μικροῦ παντὸς συμβόλου κρουομένου τὸν τῆς θ'. ὥρας καιρὸν ψάλλομεν καὶ ταύτην τρίψαλμον μετὰ τῆς στιχολογίας αὐτῆς, ἀρχομένου τοῦ ἑτέρου χοροῦ εἰς ἦχον πλ. δ'. τὰ πρῶτα· προκείμενον· Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ καὶ τὰ λοιπά, τὸ Κύριε ἐλέησον, με'. μετανοίας ιε'. ἡ εὐχὴ τῆς θ'. ὥρας, καὶ ἀπολύει· καὶ εὐθὺς ὁ στίχος καὶ ἀρχόμενοι τὸ Ὑψώσω σε, ὁ Θεός μου, ἀπερχόμεθα ἐν τῇ τραπέζῃ. Αὕτη ἡ τάξις τῶν ὡρῶν φυλάττεται, ἐπὰν ψάλλωμεν ἀλληλούια, μέχρι τῶν ἁγίων ἀποστόλων· ὅταν δὲ ψάλλωμεν τὸ Θεὸς Κύ-

ριος, ὥρας ἐν τῷ μέσῳ οὐ ψάλλομεν, ἀλλ' ἐν τοῖς κελλίοις ἡμῶν, ὡς σύνηθες. Πρὸς ὥραν θ'. σημαίνει τὸ ἑσπερινὸν καὶ ψάλλομεν αὐτὸ ἀρχόμενοι ἀπὸ Τρισάγιον. Στιχολογοῦμεν δὲ καθεκάστην μέχρι τῶν ἁγίων ἀποστόλων ἐν τοῖς ἑσπερινοῖς τὰ Πρὸς Κύριον· εἰς τὸ Κύριε ἐκέκραξα τὰ στιχηρὰ τοῦ ἁγίου, προκείμενον, ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου, ἀπολυτίκιον· Θεότοκε παρθένε, καὶ τὰ λοιπά, μετανοίας γ'. ἀργὰ καὶ εὐθὺς ἡ εὐχὴ καὶ ἀπολύει.

Δεῖ γινώσκειν, ὅτι τὰς γ'. τεσσαρακοστὰς παννυχίδα οὐ ψάλλομεν συνημμένως τῶν ἑσπερινῶν, ἀλλὰ τὸν κανόνα εἰς τὰ ἀπόδειπνα, μετὰ τὸ δειπνῆσαι, κρουομένου τοῦ ξύλου, ψάλλομεν τὸ ἀπόδειπνον, τὸ ἐξάψαλμον, τὸ Μεθ' ἡμῶν ὁ Θεὸς καὶ τὰ λοιπά, μετανοίας ιε'. (οβ.] καὶ μετὰ τὴν εὐχήν· Κύριε, Κύριε, ὁ ῥυσάμενος, εὐθὺς ὁ Ν'. καὶ ὁ κανὼν τῆς παννυχίδος τοῦ ἤχου, ποσούμενος εἰς τροπάρια ς'. γ'. κατανυκτικὰ καὶ γ'. τῆς Θεοτόκου. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα κατανυκτικὸν τοῦ ἤχου, καὶ θεοτοκίον, ἀπὸ ς'. Προστασία τῶν χριστιανῶν ἢ ἕτερον κοντάκιον, Πρεσβεία θερμή. Ἡ ἐν ἀνάγκαις, ἄλλο· Προστασία ἄμαχε, ἕτερον· Οὐ σιωπήσωμεν ποτέ. Ταῦτα ἓν πρὸς ἕν. Μετὰ τὴν θ'. ᾠδήν, τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐν τῷ τέλει Τρισάγιον, ἐκτενής, εἶτα Δεῦτε προσκυνήσωμεν ἐκ γ'. καὶ ψάλλομεν τὸ Κύριε παντοκράτορ, συνημμένως δὲ καὶ τὴν ὑπὲρ τῶν ὁμογενῶν εὐχήν, τὸ Τρισάγιον, καὶ τροπάριον καὶ τὴν εὐχὴν τῶν κεκοιμημένων καὶ ἀπόλυσις. Καὶ γινομένης τῆς ἐξ ἔθους μετανοίας, ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν καὶ ψάλλομεν τὴν λοιπὴν ἀκολουθίαν τῶν κελλίων ἡμῶν.

Ἀρχὴ δὲ ὥρας ζ'. τῆς νυκτὸς βαλὼν ὁ ἐκκλησιάρχης ἐν τῇ κέλλῃ τοῦ προεστῶτος μετάνοιαν, ὡς καὶ ἐν πάσαις ταῖς ἐν τῷ κοινῷ συνάξεσι, κρούει τὸ ξύλον, λέγων τὸ Εὐλογεῖτε ἅγιοι, μετὰ μέλους ἐν τοῖς δυσὶ μέρεσι τοῦ ναοῦ. Εἶτα διερχόμενος ὁ παρεκκλησιάρχης φῶτα παρέχει τοῖς ἀδελφοῖς καὶ ψάλλομεν τὸν ἄμωμον καὶ τὴν λοιπὴν ἀκολουθίαν ἡμῶν. Εἶτα σημαίνει τὸ μέγα καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, δόντος δὲ δόξαν τοῦ ἱερέως, ἀρχόμεθα ἀπὸ Τρισάγιον καὶ ψάλλομεν τὸ ἔσχατον μεσώριον τῆς θ'. θυμιῶντος τοῦ ἱερέως. Μετὰ δὲ τὴν συμπλήρωσιν, ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων θυρίων ὁ ἱερεύς, θυμιῶν σταυροειδῶς λέγει εἰσερχόμενος Δόξα τῇ ἁγίᾳ καὶ εὐθὺς ἀρχόμενος τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλομεν τὸ ἐξάψαλμον. Εἶτα, εἰ οὐκ ἔστιν ἑορταζόμενος ὁ ἅγιος, ψάλλομεν Ἀλληλούια τοῦ ἤχου καὶ τὰ τριαδικά, εἶτα ἡ στιχολογία, κάθισμα ἓν, καθίσματα τῆς Ὀκτωήχου, κατανυκτικὸν μαρτυρικὸν καὶ θεοτοκίον, ἡ ἀνάγνωσις, ὁ Ν'. κανόνες γ'. τῆς Ὀκτωήχου β'. τὸν κατα-

νυκτικὸν εἰς δ'. χωρὶς τοῦ μαρτυρικοῦ καὶ τοῦ Προδρόμου εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου καὶ ἀνάγνωσις, β'. γὰρ ἀναγνώσεις γίνονται ἀεί· ἀπο ς'. κάθισμα, τὸ προσόμοιον τοῦ ἤχου, ἐξαποστειλάριον τοῦ ἤχου. Εἰς τὸν στίχον, στιχηρὰ τῆς Ὀκτωήχου. Ἡ α'· ὥρα χωρὶς στιχολογίας καὶ τὰ λοιπά, ὡς σύνηθες, αἱ δὲ λοιπαὶ ὧραι μετὰ στιχολογίας, εἰ οὐκ ἔστι Θεὸς Κύριος, καὶ πᾶσα ἡ ἀκολουθία, ὡς εἴρηται.

Ἐν τῇ λειτουργίᾳ, οἱ μακαρισμοὶ καὶ τροπάριον τοῦ Προδρόμου καὶ θεοτοκίον, προκείμενον τοῦ αὐτοῦ· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον ὁ Θεός. Ἀλληλούια. Δίκαιος, ὡς φοῖνιξ, ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας, καὶ κοινωνικόν· Μνήμη δικαίου. Εἰ δὲ ἔχει ὁ ἅγιος, πᾶσα ἡ ἀκολουθία τοῦ ἁγίου. Μετὰ δὲ τὴν λειτουργίαν. ἡ θ'. ὥρα (π. **174**] μετὰ στιχολογίας καὶ εὐθὺς ὁ στίχος τῆς τραπέζης. Ὥρα θ'. τὸ ἑσπερινόν, ὡς εἴρηται, ἡ στιχολογία. τὸ Πρὸς Κύριον, εἰς τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ ἁγίου, προκείμενον, Ἀλληλούια. Εἰς τὸν στίχον, στιχηρα τῆς Ὀκτωήχου, β'. σταυρώσιμα καὶ μαρτυρικὸν καὶ θεοτοκίον, ἀπολυτίκιον· Θεοτόκε παρθένε, καὶ τὰ λοιπά· εἰ δὲ ἐστὶν ἑορταζόμενος ὁ ἅγιος, ψάλλομεν τὸ ἀπολυτίκιον αὐτοῦ καὶ προκειμενον τῆς ἡμέρας. Εἰς τὸ ἀπόδειπνον, τὸν κανόνα, ὡς εἴρηται.

Τῇ δ'. εἰς τὸν ὄρθρον, Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου, εἰ οὐκ ἔστιν ἑορταζόμενος ὁ ἅγιος· ἡ στιχολογία, ἡ ἀνάγνωσις, τὰ καθίσματα, ὡς εἴρηται, κανόνας γ'. τὸν σταυρώσιμον εἰς δ'. χωρὶς τῶν μαρτυρικῶν, καὶ τῆς Θεοτόκου εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. εἰ δ' ἔχει ὁ τῆς Θεοτόκου γ'. προστίθεται καὶ ἓν μαρτυρικὸν ἐκ τῶν τροπαρίων τοῦ σταυρωσίμου, ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου καὶ θεοτοκίον, ἀπο ς'. τὸ προσόμοιον τοῦ ἤχου καὶ τὰ λοιπὰ πάντα, ὡς σύνηθες, μετὰ τῆς στιχολογίας τῶν ὡρῶν.

Δεῖ γινώσκειν, ὅτι ἀναγνώσεις δύο ἐπιτελοῦνται ἐν τῷ ὄρθρῳ, ἀπο τε τῆς στιχολογίας καὶ ἀπὸ γ'. ᾠδῆς, ἀνὰ β'. φύλλων ἢ γ'. εἰ δὲ διὰ μέσον τῆς ἑβδομάδος τύχῃ ἁγίου μνήμη, ἔχοντος μέγα ἀνάγνωσμα, ἀναγινώσκονται ἐξ αὐτοῦ πρὸ β'. ἢ γ'. ἡμερῶν τῆς μνήμης αὐτοῦ, καὶ πᾶν μετὰ τὴν μνήμην αὐτοῦ, ἕως οὗ τελειωθῇ.

Εἰς τὴν λειτουργίαν, τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα καὶ νῦν, θεοτοκίον· Οἱ τὴν σὴν προστασίαν. Τὰ αὐτὰ καὶ τῇ παρασκευῇ. Προκείμενον, ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου. Ἀλληλούια. Ἀνάστηθι, Κύριε, ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας, κοινωνικὸν τῆς

Θεοτόκου· Ποτήριον σωτηρίου. Εἶτα ἡ θ'. ὥρα, καὶ εὐθὺς ὁ στίχος τῆς τραπέζης.

Εἰς τὸ ἑσπερινόν, τὰ στιχηρὰ τοῦ ἁγίου, μετὰ τὸ προκείμενον, τῆς Ὀκτωήχου, καὶ τὸν κανόνα εἰς τὸ ἀπόδειπνον.

Τῇ ε'. εἰς τὸν ὄρθρον, πᾶσα ἡ ἀκολουθία, ὡς εἴρηται, κανόνες γ'. β'. τῆς Ὀκτωήχου, ἤγουν τῆς Θεοτόκου καὶ τῶν ἁγίων ἀποστόλων, καὶ τοῦ ἁγίου ἀνὰ δ'. καὶ τὰ λοιπα, ὡς σύνηθες. Εἰς τὴν λειτουργίαν, εἰ οὐκ ἔχει ὁ ἅγιος, πᾶσα ἡ ἀκολουθία τῶν ἁγίων ἀποστόλων. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας.

Τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, πᾶσα ἡ ἀκολουθία, ὡς τῇ δ'. Εἰς δὲ τὴν λειτουργίαν, προκείμενον, ἦχος βαρύς· Ὑψοῦτε Κύριον. Στίχος· Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν. Ἀλληλούια, ἦχος α'. Μνήσθητι τῆς συναγωγῆς σου. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας, κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

Τῇ παρασκευῇ ἑσπέρας, οὐ στιχολογοῦμεν· οὔτε ταύτην πᾶσαν τὴν ἁγίαν μετὰ τῶν ἁγίων ἀποστόλων, οὔτε τοῦ ἁγίου Φιλίππου τὰς παρασκευὰς ἑσπέρας οὐ στιχολογοῦμεν· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ γ'. μαρτυρικα τοῦ ἤχου, καὶ γ'. τοῦ ἁγίου (**οδ.**], Δόξα καὶ νῦν, θεοτοκίον. Προκείμενον· Ὁ Θεὸς ἀντιλήπτορ μου. Εἰς τὸν στίχον, τὸ μαρτυρικὸν τοῦ στίχου, καὶ β'. νεκρώσιμα, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰ δ' ἐστὶν ἑορταζόμενος ὁ ἅγιος, τὰ στιχηρὰ τοῦ ἁγίου μόνα ἐκ β'. καὶ θεοτοκίον. Εἰς δὲ τὸν στίχον, τῆς Ὀκτωήχου μαρτυρικὸν β'. καὶ ἰδιόμελον τοῦ ἁγίου. Εἰ δὲ οὐκ ἔχει ἰδιόμελον, στιχηρὰ μαρτυρικὰ γ'. εἰς τὸ Δόξα καὶ νῦν, ἓν νεκρώσιμον τοῦ ἤχου καὶ ἓν θεοτοκίον, ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, ἀποστολομαρτυρικὸν καὶ τὰ λοιπά. Ἡ παννυχίς, ἐν τοῖς τάφοις ἀείποτε, εἶτα τὸ ἀπόδειπνον χωρὶς κανόνος.

Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, ἦχος β'. τροπάριον ἀποστολομαρτυρικὸν καὶ προφητολ. καὶ τὰ λοιπά· ἡ στιχολογία, ὁ ἅμωμος μετὰ τῶν νεκρωσίμων τροπαρίων αὐτοῦ, κάθισμα μαρτυρικὸν τοῦ ἤχου β'. καὶ θεοτοκίον. ἀνάγνωσις, ὁ Ν'. καὶ κανόνας γ'. πρῶτον τοῦ ἁγίου τῆς ἡμέρας, εἶτα τὸν ἱεραρχικὸν τοῦ ἤχου, καὶ τὸν νεκρώσιμον, τοὺς γ'. ἀνὰ δ'. Εἰ δὲ μέγας ἅγιος, πρῶτον τοῦ ἁγίου εἰς η'. καὶ τὸν νεκρώσιμον τοῦ ἤχου εἰς δ'. Ἀπὸ γ'. φωῆς, κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὰ προσόμοια καθίσματα τοῦ ἤχου, ἓν ὁ ψάλτης καὶ ἕτερον ὁ λαός, Δοξα καὶ νῦν, τὸ θεοτοκίον. Εἰ δὲ μέγας ἅγιος, τὸ κοντάκιον τοῦ ἁγίου, ἐξαποστειλάριον· Ὁ οὐρανὸν τοῖς ἄστροις. Ὁ καὶ νεκρῶν καὶ ζών-

των· Ὁ γλυκασμὸς τῶν ἀγγέλων. Εἰς τοὺς αἴνους, ἱστῶμεν δ'. καὶ ψάλλομεν τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, Δόξα καὶ νῦν, Θεοτοκίον. Εἰς τὸν στίχον, τὰ προσόμοια γ'. νεκρώσιμον τοῦ ἤχου σὺν τῷ Θεοτοκίῳ αὐτῶν μετὰ τοῦ Δόξα καὶ νῦν. Εἰς τὴν λειτουργίαν, οἱ μακαρισμοὶ τῆς ἡμέρας τοῦ ἤχου, τροπάριον, τὰ αὐτά. προκείμενον· Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι, ὧν ἀφέθησαν. Ἀλληλούια, ἦχος πλ. β'. Μακάριοι, οὓς ἐξελέξω. Ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας, κοινωνικόν· Ἀγαλλιᾶσθε καὶ τὸ νεκρώσιμον. Εἰ δὲ μέγας ἅγιος. πᾶσα ἡ ἀκολουθία τοῦ ἁγίου, ἀπόστολος καὶ εὐαγγέλιον τὰ ἀμφότερα, πρῶτον τοῦ σαββάτου, εἶτα τοῦ ἁγίου.

Τῷ σαββάτῳ ἑσπέρας, μετὰ τὸ τῶν ἁγίων Πάντων, ἡ στιχολογία, τὸ Μακάριος ἀνὴρ, εἰς ἦχον πλ. δ'. τὸ α'. ἀντίφωνον ἀεί, τὰ δὲ ἕτερα β'. Ἐν τῷ ἐπικαλεῖσθαί με, καὶ Κύριε ὁ Θεός μου, εἰς τὸν ἑνεστῶτα ἦχον, ἦχον ἄρτι εἰς ἦχον α'. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν η'. ἀεὶ καὶ ψάλλομεν τὰ γ'. ἀναστάσιμα, δευτεροῦντες τὸ α'. καὶ τοῦ ἁγίου τῆς ἡμέρας δευτεροῦντες τὸ α'. Δόξα καὶ νῦν, τὸ α'. Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος μετὰ θυμιατοῦ καὶ κηρῶν ἀεί. Προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν, εἶτα ἐκτενής, τὸ Καταξίωσον. Κύριε, ἔπειτα τὸ Πληρώσωμεν καὶ αἰτήσεις μετὰ καὶ τῆς εὐχῆς τῆς κεφαλοκλισίας καὶ εὐθὺς τὸ ἀναστάσιμον τοῦ ἤχου, ἤτοι τοῦ στίχου ἅπαξ, καὶ β'. ἐκ τῶν κατὰ ἀλφάβητον Ἰωάννου μοναχοῦ, τοῦ Δαμασκηνοῦ, Δόξα καὶ νῦν, τὸ δευτερόθεοτοκίον. Εἰ δὲ μέγας ἅγιος, ἓν ἐκ τῶν κατὰ ἀλφάβητον καὶ ἓν ἰδιόμελον τοῦ ἁγίου. καὶ Θεοτοκίον. ἀπολυτίκιον, εἰ οὐκ ἔχει ὁ ἅγιος, τὸ ἀναστάσιμον τοῦ ἤχου, αἵ τε τρεῖς προσκυνήσεις καὶ ἡ τοῦ ἑσπερινοῦ εὐχὴ λέγονται ἀεί. Εἰς τὰ ἀπόδειπνα, τὸ ἀναστάσιμον τροπάριον καὶ Θεοτοκίον.

(л. 175] Περὶ τῆς ἀγρυπνίας τῶν κυριακῶν.

Δεῖ γινώσκειν, ὅτι οὕτως γίνονται αἱ τῶν κυριακῶν ἀγρυπνίαι ἀεί. Μετὰ τὸ ἀπόδειπνον ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, τὴν μέντοι ἀκολουθίαν τοῦ κελλίου τῆς ἑσπέρας οὐ ψάλλομεν διὰ τὸν τῆς ἀγρυπνίας κόπον, εἶτα, κρουομένου τοῦ μικροῦ, συναγόμεθα πάντες ἐν τῷ ναῷ καὶ ψάλλομεν τὴν παννυχίδα, ἀρχομένην ἀπὸ Τρισάγιον καὶ τὸν Ν'. Εἶτα κανόνες β'. τὸν κατανυκτικὸν τοῦ ἤχου εἰς ς'. καὶ τὸν β'. εἰς δ'. Ἀπὸ γ'. ᾠδῆς κάθισμα κατανυκτικὸν τοῦ ἤχου, ἀπὸ ς'. κοντάκιον τῆς Θεοτόκου· Προστασία τῶν χριστιανῶν, καὶ οἶκον. Μετὰ δὲ τὸ τέλος, Τρισάγιον μόνον καὶ ἐκτενής, καὶ εὐθὺς ἀπολύει, καὶ γίνεται εἰς τὸν Πραξαπόστολον ἀεὶ ἡ α'. ἀνάγνωσις, ὡσεὶ φύλλα η'. ἐκ τῶν ἐπιστολῶν, ὡς εἴρηται. Εἶτα, σημαίνοντος τοῦ μεγάλου σημάντρου, θυμιᾷ ὁ ἱερεὺς καὶ ἀρχόμεθα τοῦ ὄρθρου ἀπὸ τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, Θεὸς Κύριος, καὶ

τὸ ἀναστάσιμον τοῦ ἤχου τροπάριον β'. Δόξα καὶ νῦν, θεοτοκίον τὸ α'. Εἰ δὲ ἔχει ὁ ἅγιος, τροπάριον τοῦ ἁγίου, ἔπειτα αἱ στιχολογίαι, καθίσματα β'. Ἐξομολογήσομαί σοι, Κύριε, καὶ Ἀγαπήσω σε, Κύριε, ἀνάγνωσις, ἐκ τοῦ προκειμένου βιβλίου. Μετὰ τὴν α'. στιχολογίαν, κάθισμα ἀναστάσιμον, μετὰ τὴν β'. ἡ ὑπακοὴ τοῦ ἤχου, οἱ ἀναβαθμοὶ τοῦ α'. ἤχου, τὸ προκείμενον, τὸ Πᾶσα πνοὴ καὶ εὐαγγέλιον ἑωθινὸν τὸ β'. εἶτα Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν', εἶτα κανόνες γ'. ἱστῶμεν ἀεὶ ιδ'. Ἐπάγη ὡσεὶ τεῖχος· τὸν α'. ἀναστάσιμον εἰς ς'. τὸν β'. εἰς δ'. καὶ τοῦ ἁγίου εἰς δ'. Εἰ δὲ μέγας ἅγιος, τοὺς β'. ἀναστασίμους ἀνὰ δ'. καὶ τοῦ ἁγίου εἰς ς'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα τοῦ ἁγίου καὶ ἀνάγνωσις, εἰ ἔχει, εἰ δὲ μή γε, ἐκ τοῦ συνήθους βιβλίου. Ἀπὸ ς'. εἰ οὐκ ἔχει κοντάκιον ὁ ἅγιος, κάθισμα ἀναστάσιμον, τοῦ ἤχου τὸ κρεῖττον, ὁ ψάλτης καὶ ὁ λαός, Δόξα καὶ νῦν, θεοτοκιον. Δεῖ δὲ εἰδέναι, ὅτι καὶ κοντάκιον εἰ ἔχει ὁ ἅγιος καὶ οὐκ ἔστιν ἑορταζόμενος, οὐ ψάλλομεν αὐτό, οὔτε στιχηρὸν ἰδιόμελον. Ἐξαποστειλάριον· Ἅγιος Κύριος τοῦ ἤχου. Εἰς τοὺς αἴνους, ἱστῶμεν η'. καὶ ψάλλομεν τὰ δ'. ἀναστάσιμα τοῦ ἤχου ἐκ β'. Δόξα, τοῦ ἑωθινοῦ εὐαγγελίου τὸ στιχηρόν, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Εἰ δὲ μέγας ἅγιος, τὰ δ'. ἀναστάσιμα πρὸς μίαν, καὶ δ'. προσόμοια τοῦ ἁγίου, Δόξα, ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν, Ὑπερευλογημένη· καὶ καταλιμπάνομεν τοῦ εὐαγγελίου τὸ στιχηρόν, Δόξα ἐν ὑψίστοις, λιτῶς καὶ ἡσύχως, ὡς σύνηθες. ἀπολυτίκιον τοῦ ἤχου· Σήμερον σωτηρία, ἔπειτα συνημμένως ἡ α'. ὥρα μετὰ τῆς κατηχήσεως καὶ ἀπόλυσις. Οὕτω τελοῦνται αἱ ἀγρυπνίαι τῶν κυριακῶν χωρὶς ἑορτῶν. Ἐπὰν δὲ αὐξήσωσιν αἱ νύκτες, προστίθεται καὶ ὁ πολυέλεος καὶ κάθισμα ἀναστάσιμον, ἦχος πλ. β'. τὸν δὲ χειμῶνα, ὅταν τελείως μεγάλαι γίνωνται, προστίθεται καὶ ὁ ἄμωμος εἰς ἦχον πλ. α'. μετὰ τῶν ἀναστασίμων τροπαρίων αὐτοῦ, καὶ λέγεται μετὰ τὸν ἄμωμον ἡ ὑπακοὴ τοῦ ἤχου, δηλονότι ἐν τῷ τέλει τῶν στιχολογιῶν (**οδ**.].

Εἰς τὴν λειτουργίαν, τὰ τυπικά, μακαρισμοὶ ἀναστάσιμοι τοῦ ἤχου. Μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον τροπάριον καὶ θεοτοκίον, προκείμενον, ἦχος α'. ἄμνημον τοῦ ἤχου· Γένοιτο, Κύριε, στίχος· Ἀγαλλιᾶσθε δίκαιοι, ὁ ἀπόστολος πρὸς Ῥωμαίους, κυριακῇ β'. Ἀλληλούια ἄμνημον ἦχος α'. Ὁ Θεός, ὁ διδοὺς ἐκδικήσεις. Εὐαγγέλιον κατὰ Ματθαῖον, κυριακῇ β'. Κοινωνικόν· Αἰνεῖτε. Εἰ δὲ μέγας ἅγιος, μετὰ τὴν εἴσοδον, τροπάριον τὸ ἀναστάσιμον, Δόξα. τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον, ἀπόστολος καὶ εὐαγγέλιον ἀμφοτέρων, πρῶτον τῆς κυριακῆς εἶτα τοῦ ἁγίου. Ἀλληλούια καὶ προκείμενον τοῦ ἁγίου. Κοινωνικὸν ἀμφοτέρων, τῆς κυριακῆς καὶ τοῦ

ἁγίου. Οὕτως τελεῖται πᾶσα ἡ ἀκολουθία τῶν ἀγρυπνιῶν, καὶ τῶν λοιπῶν ἡμερῶν τῶν ἑβδομάδων, μέχρι τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων.

Μετὰ τὴν παρέλευσιν τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων, δεῖ γινώσκειν, ὅτι καταλιμπάνονται αἱ ἐν τῷ κοινῷ ὧραι μέχρι τῆς ἁγίας μ'. τοῦ ἁγίου Φιλίππου· τὰς γὰρ μόνον τεσσαρακοστὰς ψάλλομεν τὰς ὥρας ἐν τῷ κοινῷ μέχρι καὶ στιχολογίας, τὸ δὲ λοιπὸν ἅπαν τοῦ ὅλου χρόνου ψάλλομεν ταύτας ἐν τῷ κελλίῳ ἡμῶν:

Ἀρχὴ μὲν γ'. ὥρας, κρουομένου τοῦ ξύλου γ'. ἀρχὴ δὲ ε'. ὥρας, σημαίνοντος τοῦ μεγάλου σημάντρου, ψάλλομεν τὴν ς'. ὁμοίως ἐν τοῖς κελλίοις ἡμῶν, ἔπειτα, ἐλθόντος τοῦ ἱερέως καὶ ἁλάξαντος, κρουομένου τοῦ μικροῦ, συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ τελεῖται ἡ θεία λειτουργία, καὶ γευόμεθα. Ἀρχὴ δὲ ὥρας θ'. κρουομένου τοῦ μικροῦ ἔννατον, ψάλλομεν τὴν θ'. ἐν τοῖς κελλίοις ἡμῶν· τὸ γὰρ ξύλον διηνεκῶς παρὰ τοῦ ἐκκλησιάρχου εἰς τὰς τεταγμένας ὥρας ὀφείλει κρούεσθαι καὶ ἐν τοῖς σάββασι καὶ ἐν ταῖς κυριακαῖς καὶ ἑορτῇ ἀεί· τὰς δὲ ὥρας ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν, ἄχρι τῆς μ'. τοῦ ἁγίου Φιλίππου. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἀκολουθίας τῆς θ'. ὥρας, σημαίνοντος τοῦ μεγάλου σημάντρου, συναγόμεθα καὶ ψάλλομεν τὸ ἑσπερινόν, ἀρχόμενοι ἀπὸ Τρισάγιον, εἰ μὴ ἐστὶν ἀγρυπνία. Δεῖ δὲ γινώσκειν, ὅτι καὶ εἰς τὰ ἀπόδειπνα, μετὰ τὴν ἑορτὴν τῶν ἁγίων ἀποστόλων, καταλιμπάνομεν τὸν κανόνα, ψάλλομεν δὲ ἀεὶ μικρὸν τὸ ἀπόδειπνον· ὡς σύνηθες, προστίθεται τῷ ἑσπερινῷ ἡ παννυχὶς ἀπὸ τῆς α'. τοῦ Ἰουλίου μηνός. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ, λέγει Δεῦτε προσκυνήσωμεν ἐκ γ'. καὶ ἐξερχόμεθα ἐν τῷ νάρθηκι, ψάλατε τὸν Ν'. καὶ εὐθὺς τὸν κανόνα τῆς παννυχίδος. Ἀπὸ γ'. ᾠδῆς συναπτὴ καὶ κάθισμα, ἀπὸ ς'. ᾠδῆς, κοντάκιον τῆς Θεοτόκου. Μετὰ δὲ τὸ τέλος τοῦ κανόνος, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ Τρισάγιον, μετανοίας γ'. ἀργά, ἡ εὐχὴ τοῦ ἑσπερινοῦ καὶ ἀπόλυσις. Ἐν δὲ τῷ ὄρθρῳ ἓν στιχολογεῖ μέχρι τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ, καθίσματα δὲ καὶ στιχηρὰ καὶ κανόνες, ὡς εἴρηται, τῆς αὐτοῦ ἁγίου τεσσαρακοστῆς.

(**Π. 176**] Δεῖ γινώσκειν, ὅτι τὰς γ'. μόνας τεσσαροκοστὰς ψάλλομεν τὰς ὥρας ἐν τῷ κοινῷ μετὰ καὶ στιχολογίας, τὴν δέ γε μεγάλην, ἐν τῷ ναῷ μετὰ καὶ ἀναγνώσεως, τὰς δὲ λοιπὰς β'. χωρὶς ἀναγνώσεως καὶ ἐν τῷ νάρθηκι· τὸ δὲ λοιπὸν τοῦ ὅλου χρόνου ἐν τοῖς κελλίοις ἡμῶν, ὁμοίως καὶ τοὺς κανόνας τὰς γ'. τεσσαρακοστὰς εἰς τὸ ἀπό-

δειπνον, τὸ δὲ λοιπὸν τοῦ χρόνου παννυχίδα ποιοῦμεν συνημμένως τῷ ἑσπερινῷ.

Προκείμενα ἀναστάσιμα κατὰ τὸν ἦχον τῶν ἑωθινῶν εὐαγγελίων.

(Тѣже, что и нынѣ).

Προκείμενα ἄμνημα τῆς λειτουργίας τῶν ὀκτὼ ἤχων.

Ἦχ. α'. Γένοιτο, Κύριε, τὸ ἔλεος. Στιχ. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ. Ἦχ. β'. Σῶσον, Κύριε, τὸν λαόν σου καί. Στίχ. Πρὸς Σέ, Κύριε, κεκράξομαι. Ἦχ. γ'. Ψάλατε τῷ Θεῷ ἡμῶν. Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε. Ἦχ. δ'. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου. Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Ἦχ. πλ. α'. Σύ, Κύριε, φυλάξαις ἡμᾶς. Στίχ. Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν. Ἦχ. πλ. β'. Σῶσον, Κύριε, τὸν λαόν σου καί. Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι. Ἦχ. βαρύς· Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ. Στιχ. Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Ἦχ. πλ. δ'. Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ. Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Τὰ ἄμνημα ἀλληλούια τῶν ὀκτὼ ἤχων.

Ἦχ. α'. Ὁ Θεός, ὁ διδοὺς ἐκδικήσεις. Στίχ. Μεγαλύνων τὰς σωτηρίας. Ἦχ. β'. Ἐπακούσαι σου, Κύριος, ἐν ἡ: Στίχ. Σῶσον, Κύριε, τὸν βασιλέα καὶ ἐπάκ: Ἦχος ὁ αὐτός· Ἐπὶ σοί, Κύριε, ἤλπισα μή κα: Στίχ. Γενοῦ μοι εἰς Θεόν ὑπερασπ: Ἦχος δ'. Ἔντεινε καὶ κατευοδοῦ. Στίχ. Ἠγάπησας δικαιοσύνην. Ἦχ. πλ. α'. Τὰ ἐλέη σου, Κύριε, εἰς τοὺς αἰῶνας. Στίχ. Ὅτι εἶπας εἰς τὸν αἰῶνα ἔλεος. (л. 177] Ἦχ. πλ. β'. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου. Στιχ. Ἐρεῖ τῷ Κυρίῳ ἀντιλήπτωρ μου. Ἦχ. πλ. δ'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Στίχ. Τοῦ ἀναγγέλειν τὸ πρωῒ τὸ ἔλεος. Ἦχ. πλ. δ'. Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησον. Στίχ. Τὰ διαβήματά μου κατεύθυνον. Ἦχ. Δεῦτε ἀγαλλιασώμεθα. Στίχ. Προφθάσωμεν τὸ πρόσωπον.

Ἐκ τούτων, τῶν β'. περισσῶν, οἷον θέλεις ψάλλε εἰς τὸν βαρύν, ἐπεὶ αὐτὸς οὐκ ἔχει, ὡς οὐδὲ ὁ γ'. τὸ δὲ παρὰ τοῦ λαοῦ ψαλλόμεν ἀλληλούια εἰς τὸν α'. ἦχον καὶ πλ. α'. ἴσως· ὁμοίως καὶ εἰς τὸν β'. καὶ πλ. β'. ὁμοίως καὶ εἰς τὸν δ'. καὶ πλ. δ'.

Τὰ δὲ καθημερινὰ τῶν λοιπῶν ἡμερῶν, ἐν αἷς ψάλλομεν ἀλληλούια, μὴ ἑορτάζοντες τὸν ἅγιον τῆς ἡμέρας, εἰσὶ τά τε προκείμενα καὶ ἀλληλούια καὶ κοινωνικὰ τῶν λειτουργιῶν ταῦτα:

Τῇ β'. τῶν Ἀσωμάτων, προκείμενον, ἦχ. δ'. Ὁ ποιῶν τοὺς ἀγγέλους, στιχ. Εὐλόγει ἡ ψυχή μου. Ἀλληλούια, ἦχ. β'. Αἰνεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ. Κοινωνικόν· Ὁ ποιῶν τοὺς ἀγγέλους. Τῇ γ'. τοῦ Προδρόμου, προκείμενον, ἦχ. βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχ. Εἰσάκουσον, ὁ Θεός. Ἀλληλούια, ἦχ. δ'. Δίκαιος, ὡς φοῖνιξ. Κοινωνικόν· Μνήμη δικαίου, ἢ Εἰς μνημόσυνον, ἦχ. β'. Τῇ δ'. προκείμενον, ἦχ. γ'. τῆς Ὑπεραγίας Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου, στιχ. Ὅτι ἐπέβλεψεν. Ἀλληλούια, ἦχ. πλ. δ'. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Κοινωνικόν· Ποτήριον σωτηρίου. Τῇ ε'. τῶν ἁγίων ἀποστόλων, προκείμενον, ἦχος πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν, στίχ. Οἱ οὐρανοὶ διηγοῦνται. Ἀλληλούια, ἦχ. α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν. Τῇ παρασκευῇ, σταυρώσιμον προκείμενον, ἦχος βαρύς· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν. Στίχ. Ὁ Κύριος ἐβασίλευσεν ὀρ. Ἀλληλούια, ἦχ. α'. Μνήσθητι τῆς συναγωγῆς. Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον. Τῷ σαββάτῳ, προκείμενον, ἦχ. πλ. β'. Εὐφρανθήτωσαν ἐπὶ Κύριον, στίχ. Μακάριοι, ὧν ἀφέθησαν. Ἀλληλούια, ἦχ. πλ. β'. Μακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου. Κοινωνικόν· Ἀγαλλιᾶσθε καὶ Μακάριοι, οὓς.

Δεῖ γινώσκειν, ὅτι πάσαις ταῖς κυριακαῖς ἑσπέρας οὐ ψάλλομεν πώποτε ἀντὶ προκειμένου ἀλληλούια, ἀλλὰ τὸ προκείμενον· Ἰδοὺ δὴ εὐλογεῖτε· ὁμοίως καὶ ταῖς παρασκευαῖς πάσαις προκείμενον· Ὁ Θεός, ἀντιλήπτωρ μου εἶ· ταῖς δὲ λοιπαῖς ἡμέραις τῆς ἑβδομάδος, εἰ οὐκ ἔχει ὁ κατὰ τὴν ἡμέραν ἅγιος ἀπολυτίκιον, ψάλλομεν τὸ ἀλληλούια εἰς ἦχ. πλ. β'. οὕτως:

Τὰ ἀλληλούια τῶν ἑσπερινῶν. Ἀλληλούια, ἀλληλούια, οἱ στίχοι:

Τῇ β'. ἑσπέρας· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.... παιδεύσῃς με. Τῇ γ'. ἑσπέρας· Ὑψοῦτε Κύριον τὸν Θεὸν καὶ προσκ.... ὅτι ἅγιος ἐστί. Τῇ δ'. ἑσπέρας· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος... τὰ ῥήματα αὐτῶν. (οϐ.] Τῇ ε'. ἑσπέρας· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς... ἡ δεξιά σου. Λέγε καθεκάστην, Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι... τῶν αἰώνων, ἀμήν, τὸ ὕστερον ἀλληλούια. Δεῖ γινώσκειν, ὅτι τὰ τέλη μόνον λέγονται τὰ σεσημαδευμένα.

Δεῖ γινώσκειν, ὅτι πᾶσι τοῖς σάββασιν, ἤγουν ταῖς παρασκευαῖς ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς'. καὶ ψάλλομεν τὰ γ'. μαρτυρικὰ τοῦ ἤχου, εἶτα τὰ γ'. τοῦ ἁγίου. Ἀπὸ δὲ τοῦ προκειμένου, ψάλλομεν τὸ μαρτυρικὸν τοῦ στίχου, καὶ β'. νεκρώσιμον τοῦ ἤχου καὶ θεοτοκίον, τὴν δὲ παννυχίδα εἰς τοὺς τάφους, καὶ ψάλλομεν κανόνα, ὅταν μέν ἐστιν ἦχος α'. τὸν πλ. α'. καὶ ὅταν ἦχος β'. τὸν πλ. β'. καὶ ὅταν ἦχος, γ'. τὸν βαρύν, ὅταν δὲ ἦχος δ'. τὸν πλάγ. δ'. καὶ ὅταν ἦχος πλ. α'. τὸν α'. ἦχον, ὅταν δὲ ἦχος πλ. β'. τὸν β'. ὅτε δε ἦχος βαρύς, τὸν γ'. ὅταν δὲ ἦχος πλ. δ'. τὸν δ'. Ἐν δὲ τοῖς ὄρθροις, εἰς τοὺς αἴνους, τὰ δ'. μαρτυρικὰ καὶ θεοτοκία, εἰς δὲ τὸν στίχον τῶν αἴνων, τὰ γ'. τοῦ ἤχου νεκρώσιμα, τὰ προσόμοια, Δόξα καὶ νῦν, τὸ τούτων θεοτοκίον.

Δεῖ γινώσκειν, ὅτι ὀφείλει ὁ κανονάρχος εἰς τὸ Κύριε ἐκέκραξα ἐκδέχεσθαι τὴν πλήρωσιν τοῦ στιχηροῦ καὶ τότε ποιεῖν μετάνοιαν ἴσως μετὰ τῶν ἀδελφῶν, καὶ ἐν τῷ ἑτέρῳ μέρει ἀπέρχεσθαι κἀκεῖ ποιεῖν ὁμοίως, εἰς δὲ τὸν τελευταῖον στίχον, τὸ Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, εὐθὺς τῷ ἄρξασθαι τὸν στίχον, συνάγονται τὰ δύο μέρη ἐν τῷ μέσῳ ἴσως, μὴ ἑτέρου προβαίνοντος καὶ ἄλλου ἐκδεχομένου, ἢ ἄλλου ποιοῦντος μετάνοιαν, τοῦ δὲ ἑτέρου ἀμερίμνως διάγοντος, ἀλλὰ πάντων συνηγμένων πρὸς τὸ μέσον τοῦ στίχου, καὶ τοῦ κανονάρχου ἀσκεπῶς ἐν τῷ μέσῳ τοῦ ναοῦ ἱσταμένου, ποιεῖν ἅμφω ἴσως καὶ εὐτάκτως ἅπαντας τὴν μετάνοιαν, ὡς ἐξ ἑνὸς σώματος ἐκπεμπομένων, τὸ ἄκρον τῆς χειρὸς τῇ γῇ προσερείδοντας. Δεῖ δὲ τὸν κανονάρχον ἐκδέχεσθαι, μέχρις ἂν ψαλθῇ τὸ θεοτοκίον, καὶ τότε πάλιν πάντας σὺν αὐτῷ ὁμοίως ἐν ἰσότητι βαλόντας (**л. 178**] μετάνοιαν, ἴσως καὶ εὐτάκτως βαδίζοντας, εἰς τοὺς ἰδίους τόπους ἀπέρχεσθαι. Καὶ ὁ τὸ προκείμενον δὲ ψάλλων, ἢ ἀλληλούια, ὀφείλει καὶ αὐτὸς ἐκδέχεσθαι, μέχρις ἂν πληρώσωσι πάντες, καὶ τότε καὶ αὐτὸς σὺν πᾶσιν ἴσως ποιεῖν τὴν μετάνοιαν. Ὁμοίως καὶ μετὰ τὸ προκείμενον δεῖ πάλιν συνάγεσθαι εἰς τὸ μέσον, καὶ βαλόντας ἴσως μετάνοιαν, εἰς τοὺς οἰκείους τόπους ἀναχωρεῖν. Δεῖ δὲ καὶ τὸν κανονάρχον διηνεκῶς ἄσκεπον κανοναρχεῖν, εἰ δὲ τοῦτο ἀδύνατον διὰ τὴν ἀσθένειαν, ὡς ἐν τῷ χειμῶνι, ἀλλ' οὖν ἐπᾶν ἐν τῷ μέσῳ ἵσταται ἄσκεπος ὀφείλει εἶναι διὰ τὴν τάξιν. Δεῖ δὲ καὶ τὸν ἱερέα ἢ τὸν διάκονον οὕτως θυμιᾶν· πρῶτον τὰ θυσιαστήρια ἔσωθέν τε καὶ ἔξωθεν, εἶτα τὰ λοιπὰ μέρη τοῦ ναοῦ, ἔπειτα τὸν καθηγούμενον καὶ μετ' ἐκεῖνον, τὸν προεναρχόμενον χορὸν τοῦ Κύριε ἐκέκραξα, εἶθ' οὕτως τὸν ἕτερον καὶ τὰ λοιπὰ τοῦ ναοῦ, πλὴν μεθ' ὃ θυμιάσῃ τὸν ἕνα χορόν, ἵσταται ἀπέναντι αὐτοῦ εἰς τὸ μέ-

σον, καὶ ἐπιτηρῶν καθ' ὃ ψάλλει ὁ ἕτερος χορός, οὗτος δὲ σιωπᾷ, ποιεῖ σταυροειδῶς μετὰ τοῦ θυμιατοῦ εἰς τὸν χορόν, καὶ ἀνέχων τὸ θυμιατήριον ἐν τῇ δεξιᾷ αὐτοῦ προσκυνεῖ τοῖς ἐν τῷ αὐτῷ χορῷ, τὴν ἀριστερὰν χεῖρα προσερείδων τῷ ἐδάφει, καὶ ἀντιβάλλουσιν αὐτῷ πάντες (**οβ.**] οἱ τοῦ αὐτοῦ χοροῦ μετάνοιαν, καὶ οὕτως μεθιστάμενος ὁ θυμιῶν ἀπέρχεται καὶ θυμιᾷ τὸν ἕτερον χορόν, ποιῶν καὶ ἐν αὐτῷ ὁμοίως. Παρατηρεῖται δὲ καὶ τοῦτο ὑπὸ τοῦ θυμιῶντος, ἐὰν ἐν τῷ θυμιᾶν αὐτὸν εἰς ἕνα τῶν χορῶν τύχῃ τινὰ τῶν τοῦ αὐτοῦ χοροῦ ποιήσασθαι τὴν ἐκφώνησιν τῆς γ'. τυχόν, ἢ τῆς ἕκτης ἢ ἑτέρας ᾠδῆς, ἢ τινος ἑτέρου τῶν ὑποβαλλομένων καὶ ψαλλομένων καὶ ἤδη ψαλθέντος τοῦ προεκφωνηθέντος, μέλλει ὁ ἐναρξάμενος βαλεῖν πρὸς τὸν χορὸν μετάνοιαν, καθὰ δὴ καὶ περὶ τούτου λεχθήσεται. Εἰ μὲν παρὰ τρεῖς ἢ καὶ τέσσαρας τῶν ἐν τῷ αὐτῷ χορῷ ἱσταμένων ἔλθῃ ὁ θυμιῶν τοῦ ἀποπληρῶσαι τὸν χορόν, καταλιμπάνει τοὺς τοιούτους, καὶ ἀπερχόμενος ἵσταται εἰς τὸ μέσον τοῦ χοροῦ, ἔνθα ἐστὶν αὐτῷ ἡ συνήθεια ποιεῖν τὴν μετάνοιαν αὐτοῦ, καὶ βαλόντος τοῦ ἐναρξαμένου τὴν ἐποφειλομένην μετάνοιαν πρὸς τὸν χορόν, βάλλει καὶ οὗτος σὺν αὐτῷ καὶ παντὶ τῷ χορῷ, καὶ οὕτως ὑποστρέφων, θυμιᾷ τοὺς ὑπολειφθέντας, εἰ δὲ πλείονες τῶν τεσσάρων εἰσὶν ὑπολειπόμενοι, ἔρχεται ἀκολούθως καὶ ἀπερικόπως τῆς ἀκολουθίας αὐτοῦ. Ὁ δὲ καὶ ἐκφώνησιν ποιήσας βάλλει μόνον τὴν μετάνοιαν αὐτοῦ πρὸς τὸν χορόν, καὶ ὁ χορὸς πρὸς αὐτόν. Αὐτὸ δὲ τοῦτο ποιεῖ ὁ θυμιῶν, καὶ εἰς τὸν κανονάρχον, εἴπερ εἰς τὸν αὐτὸν χορὸν τύχωσιν ἀμφότεροι, καὶ ὀφείλει βαλεῖν καὶ ὁ κανονάρχος μετάνοιαν. Καὶ αὐτὸς δὲ ὁ θυμιῶν εἴτε προεκπληρώσει θυμιῶν τὸν χορόν, ἐναρ-(**π. 179**] ξαμένου ἤδη, εἴτε τοῦ τὴν προεκφώνησιν ποιουμένου τῆς ᾠδῆς, εἴτε τοῦ κανονάρχου, ἐν τῷ μέσῳ στάς, ἔνθα καὶ ἡ συνήθεια ἔχει βάλλειν αὐτὸν τὴν μετάνοιαν, ἐκδέχεσθαι τῶν ἐναρχθέντων τὴν ἐκπλήρωσιν καὶ οὕτως κοινῶς ἐκτελοῦσι τὴν μετάνοιαν, πρὸς τὸ μὴ συχνοτέρας ποιεῖσθαι τοὺς ἐν τοῖς χοροῖς τὰς ἐπικλήσεις καὶ ἀνακχίσεις(?)· καὶ ὁ κανονάρχος δὲ πρὸ τοῦ ἐνάρξασθαι κανοναρχεῖν βάλλει μετάνοιαν τῷ καθηγουμένῳ, ἢ, τούτου ἀπόντος, τῷ οἰκονόμῳ καὶ τῷ ἐκκλησιάρχῃ, μεθ' ὃ δέ, κανοναρχήσας καὶ ψαλθῇ παρὰ τοῦ προεναρξαμένου χοροῦ τὸ πρῶτον στιχηρὸν ἢ, τυχὸν ἐν τῷ ὄρθρῳ τῆς ᾠδῆς τοῦ κανόνος ὁ εἱρμὸς ὁλοκλήρως, καὶ ἄρξεται ὁ ἕτερος χορὸς ψάλλειν τὸν ἐπιλαγχάνοντα αὐτῷ στίχον, βάλλει μετάνοιαν πρὸς τὸν ψάλλοντα χορὸν καὶ ἀντιβάλλουσιν αὐτῷ οἱ τοῦ χοροῦ, καὶ οὕτως μεθιστάμενος, ἀπέρχεται εἰς τὸν ἕτερον, καὶ μετὰ τὸ καὶ ἐκεῖσε κανοναρχῆσαι τὸ ἐπιλαγχάνον τῷ αὐτῷ χορῷ πρῶτον στιχηρὸν ἢ τροπάριον

ποιεῖ καὶ ἐν αὐτῷ ὁμοίως, εἰς δὲ τὰ μετὰ ταῦτα, οὐκέτι. Καὶ πᾶς δὲ ταχθεὶς παρὰ τοῦ ἐκκλησιαρχοῦντος καὶ ἐναρξάμενος εἴτε ἀλληλουαρίῳ ἐν τῇ στιχολογίᾳ, εἴτε προεκφωνήσει ᾠδῆς εἱρμοῦ, μεθ' ὃ πληρωθῇ αὐτὸ τὸ ἐναρχθέν, ὁ στίχος δηλαδή, ἢ ὁ εἱρμός, ἢ ἕτερόν τι, καὶ ἤδη ἐνάρχεται καὶ ὁ ἕτερος χορὸς ψάλλειν, βάλλει μετάνοιαν καὶ ἀντιβάλλουσιν αὐτῷ καὶ οἱ τοῦ χοροῦ πάντες ἐν ἰσότητι. Ὁμοίως καὶ ἐάν τις διά τινα χρείαν ἐξέλθῃ τῆς ἐκκλησίας, καὶ πάλιν ὑποστρέψῃ, παρατηρεῖ τὸν χορόν, ἐν ᾧ τεταγμένος (**οδ.**] ἐστὶν ἱστασθαι, καὶ εἰ μὲν σιωπὴν ἔχει, ὡς ψάλλοντος τοῦ ἑτέρου χοροῦ, ἢ καὶ ἄρτι πληρωθείσης ᾠδῆς, καὶ διὰ τοῦτο παυσαμένου αὐτοῦ, εἰσέρχεται εἰς τὸν τόπον αὐτοῦ, καὶ ἵσταται καὶ ποιεῖ μετάνοιαν, ποιοῦσι δὲ αὐτῷ καὶ οἱ τοῦ χοροῦ. Εἰ δὲ ψάλλων ἐστὶν ὁ χορός, ἢ οὐκ εἰσέρχεται εἰς τὸν τόπον αὐτοῦ, ἀλλὰ περιμένει, ἕως ἂν παύσηται, καὶ οὕτως εἰσέρχεται καὶ βάλλει μετάνοιαν, ἢ, καὶ ἐὰν εἰσέλθῃ, περιμένει, ἕως ἂν εἰς τέλος ἔλθῃ τὸ ψαλλόμενον, καὶ τότε βάλλει αὐτήν· τὸ αὐτὸ τοῦτο τηρεῖ, καὶ εἴ τις ἀπολειφθεὶς τῆς ἐνάρξεως καὶ ἐσχάτως ἐλθών, ἀναλόγως τῆς οἰκείας ῥᾳθυμίας ἐπιτιμηθῇ παρὰ τοῦ καθηγουμένου καὶ τοῦ ἐκκλησιάρχου, καὶ εἰς τὴν οἰκείαν ἀπολυθῇ στάσιν. Καὶ ἐν πᾶσι τοῦτο παρατηρεῖται, τὸ, ψάλλοντος τοῦ χοροῦ, προσκύρια μὴ γίνεσθαι, ἕως ἂν παύσηται. Ὁμοίως οὐδὲ ἐξέρχεσθαι δεῖ τοῦ ναοῦ, ἕως πληρώσεως ἀμφοτέρων τῶν χορῶν, εἴτε ᾠδῆς τῆς οἱασοῦν, εἴτε στίχου, εἰ τάχα γὰρ καὶ τὸ τῆς εὐαγεστάτης Μονῆς τοῦ Μανουὴλ τυπικὸν ἀπαγορεύει ὅλως εἰσέρχεσθαί τινα ἀπὸ τῶν ἔξω καὶ ἵστασθαι εἰς τοὺς χορούς, ἕως δοξάσῃ, ἀλλ' οὐκ ἔδοξεν εἶναι καλόν. Συμβαίνει γάρ, ἄρτι ἐναρχθείσης τῆς ᾠδῆς, ἐλθεῖν τινα· ψάλλονται δὲ πολλάκις καὶ γ'. καὶ δ'. καθίσματα ἴσως καὶ σχολαίως ἄγαν, ἑορτῆς οὔσης· ἂν οὖν ἵσταταί τις ἔξω, ἕως ἂν πληρωθῇ, ὀλιγωρήσει πάντως καὶ ὑποκλάσει, τάχα δὲ καὶ ἀπονυστάξει ἢ καὶ αὖθις ὑπαναχωρήσει, συμβήσεται δὲ οὐκ εἰς ἕνα πολλάκις τοῦτο, ἀλλὰ καὶ εἰς β'. καὶ γ'. καὶ πλείονας, καὶ λοιπόν, καὶ αὐτοὶ βλαβήσονται, καὶ οἱ ἐντὸς ζημιωθήσονται, καὶ ἀποστερηθήσονται τῆς συμφωνίας καὶ συνεργείας αὐτῶν. Δόξα σοι, ὁ Θεός.

(π. 180] Ο ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΤΥΠΙΚΟΥ.

Ἔκθεσις καὶ ὑποτύπωσις τοῦ βίου τῶν ἐν τῇ μονῇ τῆς ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος μοναχῶν, παραδοθεῖσα παρὰ Τιμοθέου μοναχοῦ, ἱερέως καὶ καθηγουμένου γεγονότος μετὰ τὸν κτήτορα τῆς αὐτῆς μονῆς. Πάτερ, εὐλόγησον.

Α'. Κάλλιστον, ὅτι καὶ Θεῷ εὐαπόδεκτον καὶ πρὸς τὴν ὑμετέραν οὐκ ὀλίγα συντεῖνον ὠφέλειαν, ὦ ἐν Κυρίῳ ἀδελφοὶ καὶ τέκνα μου πνευματικά, τὸ πᾶσαν τὴν ἱερὰν ὑμῶν ἐν ψαλμῳδίαις ἀκολουθίαν, ὅση τέ ἐστι καὶ οἵα, πότε τε καὶ πῶς αὐτὴν ἐκτελεῖσθαι δεῖ παρ' ὑμῶν, ἐν γραφῇ καταθεῖναι, καὶ ὡς περί τινα στάθμην καὶ τύπον οὐ μόνον ὑμῖν, ἀλλὰ καὶ τοῖς μεθ' ὑμᾶς καταλιπεῖν. Οὐ μὴν δέ, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν τοῦ βίου διαγωγήν, τήν τε εἰς αὐτὴν δηλαδὴ τὴν ψυχὴν καὶ τὸ σῶμα πρέπουσαν, ἵν' ἔχοιτε, σὺν Θεῷ πρὸς ταύτην ἀποβλέποντες, ἁπλανῶς τὸν βίον ὑμῶν διεξάγειν τε καὶ διϊθύνειν, καὶ μὴ τῇδε κἀκεῖσε περιπλανώμενοι, τῶν ὀρθῶν εἴητε σκοπῶν διαπίπτοντες, (οϐ.] ἀλλ' ἀκίνητοι πρὸς τῷ καλῷ μένοιτε, μήτε δεξιὰ μήτε ἀριστερά, κατὰ τὸν Σολομῶντα, περιφερόμενοι. Τίνος δὲ ἕνεκεν καὶ διατί τοῦτο βεβούλευμαι, ὑμεῖς μὲν οὐκ ἀγνοεῖτε· ἀναγκαῖον δὲ ἄρα καὶ διὰ τοὺς μετὰ ταῦτα εἰπεῖν.

Περὶ τῆς καθέδρας ταύτης τῆς ἁγίας μονῆς, ἤτοι τοῦ προαστείου τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ πρώτου κτήτορος κυροῦ Παύλου, τοῦ παρ' αὐτοῦ ἐκείνου ἀφιερωθέντος εἰς μοναστήριον.

Β'. Ἡ καθ' ἡμᾶς αὕτη ἁγιωτάτη μονή, ὡς πάντες ἴσασι, προάστειον γέγονε τοῦ ἀοιδίμου καὶ τρισμάκαρος πατρός τε ἡμῶν καὶ κτήτορος, τοῦ μοναχοῦ, φημί, κυροῦ Παύλου, ἐκ γονικῆς αὐτῷ κληρονομίας περιελθόν· ὅπερ ἄρα παντὸς οὐτινοσοῦν ἑτέρου τῶν ἐπὶ γῆς ἀτεχνῶς ἐκείνῳ προτετίμητο, διὰ τὸν πρὸς ἀρετὴν δηλονότι πόθον, καὶ ἣν περικαῶς ἐζήτει, καὶ πάντων εἶχε προτιμοτέραν ἡσυχίαν· ἧς τῷ θερμῷ τρωθεὶς ἔρωτι, τῷ θείῳ τε κινηθεὶς πνεύματι, τὴν βασιλίδα ταύτην εὐθὺς μεγαλόπολιν καὶ ἑαυτοῦ πατρίδα καταλιπών, πρὸς δὲ καὶ γονεῖς καὶ λοιποὺς συγγενεῖς, φίλους τε καὶ συνήθεις καὶ πλοῦτον, τἆλλά τε, ὅσα περὶ τὴν γῆν, καὶ ψυχὴν δουλοῦντα φιλόκοσμον, τοῦτ' κατέλαβε τὸ ἀγρίδιον κατὰ τὸν Ἰούνιον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ πεντη-

κοστοῦ ἕκτου ἔτους, οὗ δὴ κατόπιν, καὶ ὥσπερ αὐτῷ (**π. 181**] ἑπόμενος, ἦλθον κἀγὼ τοῦ Σεπτεμβρίου ἐνισταμένου τῆς τρίτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ πεντηκοστοῦ ἑβδόμου ἔτους.

Περὶ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ ἁγίου πατρὸς ἡμῶν, τοῦ πρώτου κτήτορος, καὶ ὅτι ἐνδιαθήκως οὗτος κατέλιπε τὸ μοναστήριον ἐπὶ μικροῦ σχήματος τῷ ὁσίῳ πατρὶ ἡμῶν κυρῷ Τιμοθέῳ, τῷ δευτέρῳ κτήτορι, καὶ οὗτος ἐπὶ τοῦ νῦν ὄντος μεγαλοπρεποῦς τοῦτο κατεστήσατο σχήματος, καὶ περὶ τῶν ἐπικτηθέντων αὐτῷ.

Γ'. Ἐνταῦθα τοίνυν, ὡς εἴπομεν, ἐξελθὼν ὁ μακάριος καὶ τὸν τόπον ἀφιερώσας εἰς μοναστήριον, μικρά τε κελλία δειμάμενος, καί τινας ὀλίγους σὺν ἐμοὶ ἀποκείρας, τούς τε μεγάλους ἐκείνους καὶ ὑπερφυεῖς ἀγῶνας διηνυκώς, καὶ πέντε μόνους χρόνους ἐπιβιούς, πρὸς τὴν ἀΐδιον μετετέθη μακαριότητα, τῇ ἐκκαιδεκάτῃ τοῦ Ἀπριλίου μηνός, τοῦ ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ ἑξηκοστοῦ δευτέρου ἔτους, ἐνδιαθήκως καταλιπών μοι τὸ μοναστήριον ἐπὶ τοῦ μικροῦ ἐκείνου καὶ εὐτελοῦς σχήματος, εἰς ὅπερ αὐτὸς αὐτὸ κατεστήσατο· ὃ δὴ μικρὸν οὕτω καὶ εὐτελέστατον ἐμοὶ καταλειφθέν, οἷον ἀνθ' οἵου γέγονε ταῖς τῆς Εὐεργέτιδός μου πρεσβείαις καὶ ταῖς ἐκείνου ἁγίαις εὐχαῖς, ὅπως τε ἀπὸ τοῦ ἀφανοῦς καὶ ἀτελοῦς ἐπὶ τὸ μεγαλοπρεπέστατόν τε τοῦτο ἤρθη καὶ διαφανές, ναὶ μὴν ἀλλὰ καὶ ναὸς οἷος τῇ Θεομήτορι (**οβ.**] καὶ Κυρίᾳ ἡμῶν, τῇ Εὐεργέτιδι ἐξ αὐτῶν ἀνηγέρθη τῶν βάθρων, κελλία τε, οἷα πολλῷ τῶν πρώην ὠκοδομήθησαν κρείττονα, βίβλοι τε ὁποῖαι καὶ πόσαι, ὡσαύτως ἱερά τε σκεύη καὶ θεῖαι εἰκόνες, ἀλλὰ δὴ καὶ ἅγια πέπλα καὶ ἔπιπλα, καὶ ἁπλῶς ἄλλη πᾶσα κόσμησις τοῦ πανιέρου ναοῦ, πρὸς δὲ καὶ κτήσεις ἀκίνητοι πρὸς σύστασιν τῆς μονῆς καὶ διαμονὴν ἐπεκτήθησαν, καὶ ὑμεῖς οἴδατε καὶ ἡ ἀλήθεια δείκνυσι, περὶ ὧν ἡμᾶς μὲν λέγειν οὐκ ἀναγκαῖον· ἔξεστι δὲ τῷ βουλομένῳ μαθεῖν, τῷ βρεβίῳ ἐγκύψαντι διδαχθῆναι σαφέστερον, ἡμᾶς δέ, τοῦ προκειμένου ἐχομένους, πρὸς τὴν ἀκολουθίαν τὸν λόγον μετακλιτέον.

Ἀλλ' ὦ Θεὲ καὶ Κύριε τοῦ παντός, καὶ ὦ πανύμνητε Μῆτερ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, γένοιτο ταῦτα ἐνεργά τε καὶ ἔμπρακτα ἡμῖν τε καὶ τοῖς μεθ' ἡμᾶς, ἄχρι τέλους τοῦ παρόντος αἰῶνος ταῖς τιμίαις εὐχαῖς τοῦ ὑμετέρου θεράποντος, ἡμῶν δὲ πατρός τε καὶ κτήτορος. Προσεκτέον τοιγαροῦν ἤδη τοῖς λεγομένοις· ἐπεὶ ἄρξασθαι βουλόμεθα, ὅθεν ἄμεινον, ἄμεινον δέ, ἀπὸ τῆς τὸ φῶς ἡμῖν

ἐφαπλούσης ὥρας, ἥτις ἡ πρώτη τῆς ἡμέρας ἐστί, δεῖν δε οἶμαι πάντως τοὺς περὶ ἔργων ψωτὸς τὴν ἐξήγησιν ποιησομένους ἀκολούθως ἀπὸ ψωτὸς ἄρξασθαι.

Περὶ τῆς ψαλμῳδίας τῆς Α'. ὥρας (π. **182**], καὶ περὶ τῶν εὐχῶν, καὶ περὶ τοῦ ἅμα τελειωθῆναι τὴν ὀρθρινὴν δοξολογίαν καὶ τὴν πρώτην ὥραν ἀπιέναι τοὺς ἀδελφοὺς εἰς τὰ ἑαυτῶν κελλία, καὶ τὴν ὀφειλομένην ψάλλειν ἀκολουθίαν.

Δ'. Χρὴ τοίνυν μετὰ τὴν ὀρθρινὴν δοξολογίαν, συνημμένως ψάλλεσθαι ὑφ' ὑμῶν τὴν πρώτην ὥραν, ὡς σύνηθες· ἐπιλέγεσθαί τε μετὰ τὸ τέλος αὐτῆς καὶ τὴν εὐχὴν ταύτην ἐχόμενα· Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, καὶ τὰ ἑξῆς. Μετὰ δὲ τὴν εὐχήν, γίνεσθαι τὰς εἰθισμένας γονυκλισίας ἀπὸ ψιλοῦ τοῦ ἐδάφους τοῖς δυναμένοις· τοῖς δὲ ἀσθενοῦσι, μικρά τινα εἶναι ὑποστηρίγματα· τούτων δὲ τὰς μὲν τρεῖς, σχολαιότερον τελεῖσθαι κατὰ τοσοῦτον,, καθ' ὅσον ἄρα, ἱσταμένων μὲν ὑμῶν, τρὶς τὸ „Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ" λέγειν ἐν ἑαυτοῖς, ἐκτεταμένας ἐχόντων καὶ τὰς χεῖρας, κλινόντων δὲ τὰ γόνατα καὶ τὰς κεφαλὰς ἕως γῆς, τὸ „Ἡμαρτόνσοι, Κύριε, συγχώρησόν μοι", ἐκ τρίτου ὁμοίως· τὰς δέ γε λοιπὰς δώδεκα σπουδαιότερον, ὡς ἐφ' ἅπαξ ἑκάστῃ γονυκλισίᾳ καὶ στάσει τὰ προειρημένα προφέρειν ἱκετικὰ λόγια, ἐν ἰσότητι γοῦν καὶ τῇ προσηκούσῃ εὐταξίᾳ, καὶ μὴ τῶν μὲν προηγουμένων, τῶν δὲ ὑστεριζόντων. ἀλλ' ὁδηγῷ πάντων χρωμένων τῷ ἐκκλησιάρχῃ ἢ τῷ τὴν ἐφημερίαν ἔχοντι ἱερεῖ, πλησίον τῶν (**οβ.**] ἱερῶν ἱσταμένῳ κιγκλίδων καὶ τὴν τάξιν ὑποδεικνύοντι· ταῦτα δὲ μὴ τοῦ Θεὸς Κύριος ἐν τῷ ὄρθρῳ ψαλλομένου, εἰ δὲ τοῦτο, σχολαστέον τὸ ταύτας ἐν τῷ ναῷ ἐκτελεῖν, τρία δὲ βαθέα προσκυνήματα ποιητέον ἐν τῷ καθ' ἑαυτούς, ὡς εἴρηται, τρισσῶς ἑκάστῳ αὐτῶν τὰ προλεχθέντα ἱκετήρια φάσκειν. Μετὰ τοίνυν ταύτας τὰς γονυκλισίας ἢ τὰ προσκυνήματα, τὴν εὐχὴν ταύτην εἰκὸς ἐκφωνεῖσθαι πᾶσιν ἐν ἐπάρσει τῶν χειρῶν· „Ὁ Θεὸς ὁ αἰώνιος, τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, ὁ πάσης κτίσεως δημιουργός"· τίθεσθαί τε αὐτίκα, μετὰ τὴν εὐχήν, καὶ τὴν ἀπὸ τῶν πατερικῶν λόγων μικρὰν κατήχησιν. τὴν παρὰ τοῦ προεστῶτος ἀναγινωσκομένην, καθὼς παρὰ τοῦ παμμάκαρος πατρὸς ἡμῶν παρελάβομεν. ἣν, εἰ μὴ ἐκ τοῦ Συναξαρίου κωλύοιτο. οὐ χρὴ παραλιμπάνειν ποτέ. Ἐπὶ δὲ τούτοις τὸ τετυπωμένον ἡμῖν Τρισάγιον μετὰ τὴν ἀνάγνωσιν γίνεσθαι, ᾧτινι καὶ ταύτην τὴν εὐχὴν ἐπισυναπτέον· „Ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται". Καὶ τοῦτο δέ. ἀναγι-

νωσκομένης. ὡς δεδήλωται, τῆς κατηχήσεως, εἰ δὲ μή, σχολαστέον μὲν τὸ Τρισάγιον, τὴν δέ τοι εὐχὴν συναπτέον τῇ πρὸ τῆς κατηχήσεως ἑτέρᾳ εὐχῇ καὶ λεκτέον. Τὰς μέντοι πάσας εὐχὰς χερσὶ λέγειν ἀνα-/τεταμέναις (π. **183**] κατὰ τὸ „Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον“· καὶ τὸ „Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή“· καὶ τὸ „Ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν“. Τελειωθείσης δὲ τῆς εἰρημένης εὐχῆς. καὶ τοῦ ἱερέως τὴν ἐξ ἔθους ἐπειπόντος. αὐτίκα πίπτειν ἐπὶ πρόσωπον πάντας, καὶ τοῦ προεστῶτος ἀκούειν οὕτω πῶς εὐχὴν αἰτοῦντος ἡμᾶς· „Εὔξασθε ὑπὲρ ἐμοῦ ἐν Κυρίῳ. ἀδελφοί. ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ“. Καὶ ὑμᾶς ἀποκρίνασθαι· „Ὁ Θεὸς σώσαι σε, τίμιε πάτερ. Εὔξαι καὶ σὺ ὑπὲρ ἡμῶν. πάτερ ἅγιε. ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ“. Εἶτ' αὖθις τὸν καθη-/γούμενον ἐπευχόμενον λέγειν· „Ὁ Θεὸς δι' εὐχῶν τῶν πατερῶν ἡμῶν σώσαι πάντας ὑμᾶς“. Καὶ οὕτως ἀνισταμένους ἐν τοῖς κελλίοις ὑμῶν ἀπιέναι, πάσης ἀφεμένους συνελεύσεώς τε καὶ ματαίας ἀπασχολίας, ἀρ-/γολογίας τε καὶ γέλωτος ἀτάκτου. ἀφ' ὧν τι συμβαίνει τὸ εἰς αἰσχρο-/λογίας δηλονότι παρεκπεσεῖν καὶ λοιδορίας καὶ κατακρίσεις. ὡς ἐντεῦθεν. τὸν νοῦν χαυνωθέντας, λήθην τε λαμβάνειν τῶν ὄντως καλῶν. καὶ νωθεῖς καὶ ῥᾳθύμους πρὸς τὰς ἑαυτῶν ἀπαντήσαντας κέλλας τῷ τῆς ἀκηδίας ὕπνῳ εὐθέως καταβυθίζεσθαι, καὶ σχεδὸν (**οβ.**] πᾶσαν τὴν ἡμέραν ἀργοὺς καὶ ἀμετόχους τῆς οἰασοῦν ὠφελείας ἐς ἅπαν ἀποκαθίστασθαι, καθὰ φησὶ καὶ ὁ μέγας Βασίλειος· „Τὸ τοίνυν ἐκπεσεῖν τῆς ἁρμοζούσης αὐτῶν κα-/ταστάσεως εὔκολον, τῆς ψυχῆς πρὸς γέλωτα χεομένης. καὶ τὸ διαλυθῆ-/ναι τὴν τοῦ καλοῦ μέριμναν καὶ εἰς αἰσχρολογίας παρεκπεσεῖν εὐκολω-/τερον“. Ὃ μὴ εἴη τοῖς ἐμοῖς πατράσι καὶ ἀδελφοῖς, ἀλλ' ἅπιοι πρὸς τὴν ἑαυτοῦ κέλλαν ἕκαστος νηφάλεός τε ὁμοῦ καὶ γρηγορώτατος καὶ τὰ τῷ Θεῷ φίλα διαπραττόμενος πάντοτε. Εἰ δέ τινες ἴσως εὑρίσκοιντο τῷ τοιούτῳ ἀλώσιμοι, κἂν νέοι εἶεν, κἂν γέροντες, κἂν προωδευκότες ἐν τῷ σχήματι, κἂν ἀρχάριοι, ἀγάπης νόμοις νουθετείσθωσαν παρὰ τοῦ ἐπιστη-/μονάρχου. οἱ μὴ διορθούμενοι, καὶ ἐπιτιμάσθωσαν· οὐ γὰρ τοὺς ἀρχαρί-/ους ἀμελῶς ἔχοντας ἐπιτιμᾶσθαι ἀρμόδιον, ἀλλὰ δὴ καὶ τοὺς πολλοὺς μὲν ἀνύσαντας χρόνους ἐν τῷ σχήματι, ἀμελῶς δὲ καὶ ῥᾳθύμως διάγον-/τας, καθά που περὶ τούτου φησὶν ὁ τῆς Κλίμακος. Ἅπιόντας δὲ ἐν τοῖς κελλίοις ὑμῶν, τὴν ὀφειλομένην ἐκτελεῖν πᾶσαν ἀκολουθίαν, μετὰ τῶν συνήθων εὐχῶν καὶ γονυκλισιῶν, κατὰ τὸν ἀνωτέρω ῥηθέντα τύπον, τοὺς ἓξ, φημί. ψαλμούς, τὴν τρίτην ὥραν καὶ τὴν ἕκτην,

κρυσμένων τῶν συμβόλων (σ. 184] κατὰ τὸ εἰθος· τὰς γάρ τοι γονυκλισίας ἐν τῷ ναῷ μόνῳ παραφυλακτέον. ὅτε δὴ τὸ Θεὸς Κύριος ψάλλεται, καθὼς εἰρηκαμεν. Ἐπὶ τοινυν τοῖς κελλίοις ὁμῶν ἀεὶ τὸ γονυκλιτέον εὐχομένους. φυλαξόμεθα δὲ τοῦτο κἂν τοῖς κελλίοις, ὅταν ἀγρυπνια ᾖ διὰ τὸν ἐξ ἐκείνης κόπον, πρὸς δὲ κατὰ τὸ δωδεκαήμερον τῶν Χριστουγέννων καὶ τὴν Διακινήσιμον ἑβδομάδα· ἔτι γε μὴν καὶ τὰς μεθεόρτους ἐννέα ἡμέρας τῆς Κοιμήσεως τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν καὶ Εὐεργέτιδος τῆς Θεοτόκου. Τὰ μὲν οὖν περὶ τῆς τρίτης καὶ ἕκτης ὥρας καὶ πρώτης ἐν ταῖς ἀπολελυμέναις ἡμέραις τοῦ ἐνιαυτοῦ ὧδέ πως ἐχέτω.

Περὶ τῆς ἁγίας λειτουργίας. καὶ τοῦ χωρὶς προτροπῆς τοῦ προεστῶτος μὴ κοινωνεῖν τινά. μήτε πάλιν ἑαυτὸν ἡγεῖσθαι ἀκοινώνητον. χωρὶς τῆς τούτου εἰδήσεως.

Ε'. Ῥητέον δὲ ἄρα καὶ περὶ τῆς θείας μυσταγωγίας, ἥτις χρεωστικῶς καθεκάστην ὀφείλει τελεῖσθαι ἐν τῷ ναῷ. Πλὴν ἀλλ' ἐν ταύτῃ προσεκτέον ὑμῖν ἑαυτοῖς. ἀδελφοί, ἀσφαλῶς, ὅτι τε θεῖα τὰ ἐν αὐτῇ τελούμενα καὶ φρικώδη. καὶ ὅτι ταυτῃ μᾶλλον τῶν ἄλλων τὸ φρικτὸν καὶ ὑπέρμεγα τῆς ὀρθοδόξου ἡμῶν πίστεως τελεσιουργεῖται μυστήριον, ἡ θειοτάτη, φημί. καὶ ὑπέρτιμος ἱερούργησις τοῦ παναχράντου σώματός τε καὶ αἵματος τοῦ Κυρίου καὶ Θεοῦ (οβ.] καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐν αὐτῇ γοῦν. ὡς εἴρηται, προσεκτέον ὑμῖν ἑαυτοῖς ἀκριβῶς ὅτι μάλιστα, καὶ πάντα λογισμὸν ζιζανιώδη καὶ ἀκάθαρτον καὶ ἀνάξιον τῆς φρικτῆς ἐκείνης τελεσιουργίας ἀφ' ὑμῶν ἐκδιωκτέον. καὶ παντὶ τρόπῳ ἑαυτοὺς καθαρτέον· οὕτω τε τῶν θείων ἁγιασμάτων μεταληπτέον τούς. ὅσοις ἄρα καὶ μεταλαμβάνειν παρὰ τοῦ προεστῶτος συγκεχώρητο. Οὐδὲ γὰρ ἐξέσται ὑμῶν τινι ἀδεῶς οὕτω καὶ ἀκρίτως, οὐδὲ καθεκάστην μεταλαμβάνειν. Ἐβουλόμεθα μὲν δὴ τοῦτο· τὸ γὰρ πολλαχῶς τῶν θείων μετεχειν ἁγιασμάτων. πολλαχῶς ἐστι μετέχειν καὶ τῆς ζωῆς, καθὰ φησὶ καὶ αὐτὸς ὁ Χριστός· „Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ", καὶ πάλιν· „Ἐὰν μὴ φάγητέ μου τὴν σάρκα καὶ πίητέ μου τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς". Καὶ ὁ θεῖος Ἀπόστολος· „Ὁ προσκολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμα ἐστίν", ὥσπερ καὶ τοὐναντίον· „Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται". Δαβιὸ φησὶν ὁ πραότατος. Ἐβουλόμεθα μὲν οὖν, ὡς εἴρηται, τοῦτο, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ τὸ τοῦ πράγματος δυσχερές οὐκ ἐπι-

τρέπομεν· „Ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου, ἔνοχος ἐστὶ (л. 185] τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος“, φησὶν ὁ θεῖος πνευματορρήτωρ καὶ πρῶτος τῶν ἀποστόλων Παῦλος. Φοβερόν, ἀδελφοί μου, τὸ ῥῆμα, καὶ τρέμειν τὴν μετάληψιν οὐ μόνον τοὺς κατ' ἐμὲ ἁμαρτωλούς, ἀλλὰ καὶ τοὺς λίαν ἑαυτοῖς θαῤῥοῦντας πείθει. Ἐκείνους τοιγαροῦν τρὶς τῆς ἑβδομάδος μεταληπτέον, ὅσοιπερ ἑαυτοὺς ἴσασι καθαρεύοντας τῶν αἰσχρῶν λογισμῶν, καὶ τῆς τούτων συγκαταθέσεως, ὀργῆς τε μὴν καὶ γογγυσμοῦ, λύπης καὶ καταλαλιᾶς, ψεύδους καὶ γέλωτος ἀτάκτου, ἔτι τε μνησικακίας μᾶλλον καὶ θυμοῦ, αἰσχρολογίας τε καὶ τῶν ὁμοίων. Τοὺς δέ γε τοῖς εἰρημένοις περιπίπτοντας πάθεσι, δι' ἐξαγορεύσεως δὲ καὶ μετανοίας πρὸς τὴν τούτων σπεύδοντας ἀποχήν, ἅπαξ τῆς ἑβδομάδος μεταληπτέον, ἢ οὐδ' ὅλως κατὰ τὴν τοῦ προεστῶτος δηλονότι διάκρισιν, ἐκείνῳ γὰρ φροντιστέον περὶ τῶν τοιούτων. Ἀκοινώνητον δέ τινα ἑαυτὸν ἡγεῖσθαι, ἄνευ τῆς ἐκείνου εἰδήσεως οὐκ ἐπαινετόν, ὁ γὰρ οὕτω ποιῶν, ὡς ἴδιον πληρῶν θέλημα κατακριθήσεται. Τοὺς μεταλαμβάνειν ὀφείλοντας ἐνδεχόμενόν ἐστι τὴν τετυπωμένην ἐπὶ τῇ μεταλήψει ψάλλειν ἀκολουθίαν, κοινήν τε κοινῶς γονυκλισίαν ἀλλήλοις ποιοῦντας (об.] διδόναι συγχώρησιν, καὶ οὕτω τῶν ζωοποιῶν εὐχαρίστως μεταλαμβάνειν ἁγιασμάτων. Ἴτω δὴ οὖν καὶ ταῦτα τοῦτον ἔχοντα τὸν τρόπον.

Διάταξις περὶ τῆς ἐννάτης ὥρας, τοῦ ἑσπερινοῦ, καὶ τῆς παννυχίδος, εἶτα καθεξῆς περὶ τῶν μεσονυκτικῶν καὶ τοῦ ὄρθρου.

ϛ'. Τὴν δὲ ἐννάτην κατὰ τὰς προλαβούσας ὥρας ψάλλεσθαι χρή, τοῦ συμβολικοῦ κρούσματος ἐπὶ ταύτην ἡμᾶς καλοῦντος, ὡς ἔθος. Καὶ τὸν ἑσπερινὸν δὲ ὕμνον ἡ τοῦ Συναξαρίου διάταξις, ὅπως ὀφείλει γίνεσθαι, ἀριδήλως παρίστησιν· αὐτήν τε τὴν παννυχίδα καθεξῆς συνημμένως, ὡς καὶ τὰ ἀπόδειπνα μετὰ τὸ δεῖπνον, ἐν οἷς καὶ γονυκλιτέον, ὁπότε μὴ ἑορταστέον, ἑορτὴν δὲ λέγομεν τὴν Θεὸς Κύριος κατὰ τὸν ὄρθρον ἔχουσαν. Καὶ τοῦ ἀποδείπνου δὲ ψαλέντος, τοῦ τε ἱερέως τὴν συνήθη ἐπειπόντος εὐχήν, πίπτειν ὑμᾶς ἐπὶ γόνυ, καθάπερ ἐν τῷ τέλει τῆς πρώτης ὥρας, καὶ τῷ προεστῶτι τὸ οὖς ὑποκλίνειν καλὸν λέγοντι· „Συγχωρήσατέ μοι ἐν Κυρίῳ, ἀδελφοί, ἥμαρτον γὰρ καὶ λόγῳ καὶ ἔργῳ, καὶ κατὰ διάνοιαν“. Καὶ ὑμᾶς διδόναι αὐτῷ τὴν συγχώρησιν λέγοντας· „Ὁ Θεὸς συγχωρήσαι σοι, πάτερ“. Ἀλλὰ καὶ ἐξαιτεῖν αὐτίκα ταύτην παρ' ἐκείνου προστιθέντας τὸ „Συγχώρησον καὶ ἡμῖν αὐτός, τίμιε πάτερ, (л. 186] ἡμάρτομεν γὰρ καὶ ἐν ἔργῳ καὶ ἐν λόγῳ καὶ κατὰ διάνοιαν“. Εἶτ' αὖθις

ἐπεύχεσθαί τε ὑμῖν ἐκεῖνον καὶ λέγειν· „Ὁ Θεὸς δι' εὐχῶν τῶν πατέρων ἡμῶν συγχωρήσαι πᾶσιν ὑμῖν". Οὕτω τε ἀνισταμένους καὶ τὴν προσήκουσαν προσκύνησιν αὐτῷ ἀπονέμοντας, ἐν τοῖς κελλίοις ἀπιέναι, τὴν νυκτερινὴν ὑμῶν ἀκολουθίαν κατὰ τὸν τύπον ἐκτελοῦντας. Καὶ οὕτως, ὅλους εὐχαριστίας γινομένους καὶ εὐφροσύνης πνευματικῆς, ἐφ' ὕπνον τρέπεσθαι, ἄχρις ἂν ὁ τοῦ ὡρολογίου φροντίζων τὴν ἁρμόζουσαν ἐκεῖθεν ὥραν μαθών. τῷ τε προεστῶτι προσελθών, καὶ τὴν προσήκουσαν ἐξ ἐκείνου λαβὼν εὐχήν, εἶτα καὶ γεγωνοτέρᾳ φωνῇ τὸ „Εὐλογεῖτε, ἅγιοι". εὐρύθμως ἐκκεκραγώς, κρούσας τε τηνικαῦτα κατὰ τὸ ἔθος τὸ σύμβολον. καὶ φῶτα πᾶσι διαδούς, ἐξεγερεῖ πρὸς λειτουργίαν ὑμᾶς τῆς μεσονυκτίου ἀκολουθίας, ἣν δὴ καὶ αὐτὸς ψαλεῖται πάντως, ποιῶν καὶ τὴν ὀφειλομένην τοῦ ναοῦ φωταψίαν· καὶ οὕτω, τὸν μέγα σημαντῆρα διασημάνας, πρὸς δὲ καὶ τὸν χαλκοῦν, καλέσῃ πάντας ὑμᾶς πρὸς τὴν ἑωθινὴν δοξολογίαν, ἥσπερ τὴν ἔναρξιν οὕτω δέον ποιεῖν. Μετὰ γάρ τοι τὴν τοῦ χαλκοῦ σημαντῆρος ἐπίκρουσιν, εὐλογεῖσθαι τὸν Θεὸν παρὰ τοῦ τὴν ἐφημέριαν ἔχοντος ἱερέως, αὐτίκα (**οβ.**] τὸν τύπον τοῦ τιμίου Σταυροῦ ἔμπροσθεν τῆς ἁγίας τραπέζης ἅμα τῇ τοῦ Θεοῦ αἰνέσει μετὰ τοῦ θυμιατηρίου ἐπισφραγίζοντος, ὑμᾶς δὲ τὸ „Ἀμὴν" ἐκδεχομένους Τρισάγιον ψάλλειν εὐθέως μετὰ τοῦ ἐννεακαιδεκάτου καὶ εἰκοστοῦ ψαλμοῦ, καὶ τῶν συνήθων τροπαρίων καὶ τοῦ Κύριε ἐλέησον, προσέχοντας ἐξισοῦν, ἐφ' ὅσον εἰκός, τούτων ψαλλομένων, αὐτὸν τὸν ἱερέα περιϊέναι τε τὸν θεῖον ναὸν ἅπαντα, καὶ πάντας θυμιᾶν, καὶ τηνικαῦτα τῶν ἁγίων ἐπίπροσθεν στάντα κιγκλίδων, καὶ τὸν τύπον αὖθις τοῦ τιμίου Σταυροῦ τῷ θυμιατηρίῳ σφραγίσαντα, ἅμα τῇ σφραγῖδι δόξαν ἀναπέμπειν τῇ παναγίᾳ Τριάδι, οὕτωσὶ λέγοντα εἰς ἐπήκοον· „Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν". Ἀφ' οὗ, τὸ Ἀμὴν ἐκδεχόμενον τὸν ἐκκλησιάρχην, τοῦ ἐξαψάλμου εὐθέως ἀπάρχεσθαι σχολαίως τε καὶ ἡσύχως καὶ προσεκτικῶς, μικρὸν ἄγαν ὑποφωνοῦντα τὰ ῥητὰ τῶν ψαλμῶν, ἵν' ἐντεῦθεν ἔχοιεν ἅπαντες ἀπροσκόπως καὶ ἁπλανῶς αὐτὰ διεξέρχεσθαι, καὶ οὕτω, μετὰ τὴν τοῦ ἐξαψάλμου συμπλήρωσιν, ἀκολούθως τὴν πᾶσαν ἐκτελεῖσθαι τοῦ ὄρθρου ἀκολουθίαν, καθὼς τὸ Συναξάριον (π. **187**] διέξεισιν. Οὕτω μὲν ἡ περὶ τῆς ἡμερονύκτου ἀκολουθίας ὑμῶν ὑποτύπωσις.

Περὶ τῆς ψυχοσώστιδος ἐξαγορεύσεως.

Ζ'. Λεκτέον δὲ ἡμῖν καὶ περὶ τῆς ψυχοσώστου ἐξαγορεύσεως, ὁ δὲ περὶ τῆς τραπέζης λόγος τέως ἀναμεινάτω. Δέον τοίνυν τὸν προε-

στῶτα δὶς τῆς ἡμέρας ἐν ἰδιάζοντι καθῆσθαι τόπῳ. καὶ παντὸς ὑτινοσοῦν ἀφέμενον ἑτέρου ἔργου, καὶ πάσης οἰκονομικῆς ὀχλήσεώς τε καὶ διατάξεως, φροντίδα ποιεῖσθαι ἐπιμελεστάτην, ἀκροᾶσθαι τῶν βουλομένων ἐξομολογεῖσθαι, καὶ ἑκάστῳ ἁρμοδίαν τὴν ἰατρείαν ἐπιτιθέναι. Εἶναι δὲ τὸν ἕνα καιρὸν ἐπιτρέπομεν μετὰ τὸ ἄρξασθαι τῆς ὁρθρινῆς στιχολογίας, ἐν ᾧ τοὺς διηνεκῶς διάγοντας ἐν τῇ μονῇ καὶ μή τισι διακονίαις ἀπασχολουμένους θεραπεύσαι· μετὰ δὲ τὰ ἀπόδειπνα, τοὺς ἔξω τε καὶ ἔσω διακονητὰς ἰατρεύσαι παρόντας. Ἐφείσθω δὲ τούτῳ, μὴ ἀδιάζοντι ἴσως, ἐπεὶ καὶ ἡ ἀδελφότης πεπλήθυνται, προτρέπειν καὶ οἷς ἂν βούλοιτο τῶν ἱερέων τε καὶ διακόνων, ἔτι δὲ καὶ τισι τῶν εὐλαβεστέρων ἀδελφῶν, τῶν πλειόνων καὶ ἀγροικοτέρων τοὺς λογισμοὺς δέχεσθαι, λογισμοὺς δὲ τοὺς ὀσημέραι καὶ ὥραι ἡμᾶς ἐνοχλοῦντας, οὓς δεῖ παντὸς τῶν εὐδιαλύτων ὄντας. (οϐ.] καὶ μὴ τὴν ὄχλησιν στερροτέραν πεποιημένους. καὶ ἀφιέναι τούτοις καὶ συγχωρεῖν. Τοὺς δέ γε ἰατρείας τινὸς δεομένους καὶ ἐπιμελείας, πρὸς τὸν προεστῶτα τοὺς δεχομένους ἀναφέρειν, κἀκεῖνος κατάλληλον τὴν θεραπείαν ἐργάσαιτο. Οἱ τοίνυν ἐξομολογούμενοι οὐδὲν ἀποκρύψουσιν ἐνδοιάζοντες ἴσως, εἰ τοὺς σφῶν λογισμοὺς ἐπιμελείας δεομένους εἰδεῖεν, ἀλλὰ πάντα καθαρῶς πρὸς τὸν λαχόντα ἐκκαλύψουσι, πλὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς εἰπεῖν τὰ εἰκότα ἡμᾶς καλόν. Τοιγαροῦν καὶ ὑμεῖς, ἀδελφοί, τὸν προεστῶτα βλέποντες πρὸς τὸ καλὸν τοῦτο καὶ λίαν ψυχωφελὲς διακόνημα σπεύδοντα, τρέχοιτε καὶ αὐτοὶ τρέχοιτε, καὶ τὸν γαληνότατον τοῦτον καὶ ψυχοσώστην λιμένα σπουδαίως καταλαμβάνοιτε, καὶ πᾶν τοῦ νοὸς ὑμῶν κίνημα καὶ ψυχοβλαβὲς ἐνθύμιον καθαρῶς καὶ ἀπερικαλύπτως ἀποκαλύπτοιτε, ὡς εἰς ἐνώπιον Θεοῦ καὶ οὐκ ἀνθρώπου ποιοῦντες τὴν ἐξομολόγησιν. Θεῷ δὲ πάντως ὁ σπουδάζων ψεύδεσθαι δίκην ἀπαιτηθήσεται· „Ἀπολεῖς γάρ, φησὶν ὁ Ψαλμῳδός, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος“. Ἀδόλως τοίνυν ἐξομολογούμενοι καὶ πάσης γνωσιμαχίας, πάσης ἀκαθαρσίας, πάσης ταραχῆς καὶ ὀχλήσεως τὰς (π. 188] ἑαυτῶν διανοίας ἀπαλάττοντες, χαίροντες εἴητέ μοι καὶ ἀγαλλόμενοι, τοῦτο εὐελπι κομισάμενοι, τὸ μὴ ἀστοχῆσαι τῆς σωτηρίας. Ἐξομολογήσεσθε δὲ μὴ ἀλλήλους αἰτιώμενοι, παροξυσμοῦ τυχὸν παρεμπίπτοντος ἤ τινος ἑτέρας ἀμφιβολίας, ἑαυτοὺς δὲ ἀναιτίους τιθέμενοι, καὶ κρίσεις μᾶλλον ζητοῦντες, οὐκ ἐξαγορεύοντες, μηδὲ περὶ τῶν συμπιπτόντων ὑμῖν χρειῶν λέγοιτε τῶν σωματικῶν· τούτων γὰρ ἅπας καιρός, νυνὶ δὲ καιρὸς ἐξαγορεύσεως καὶ ἰατρείας τῶν ψυχικῶν ὑμῶν παθῶν. Καὶ εἰ μὲν περί τινος παροξυσμοῦ λέγειν ὀφείλετε, πᾶσαν τὴν μέμψιν καὶ τὰς αἰτίας τοῦ σφάλματος, ὁποῖον ἂν καὶ εἴη, ἑαυτοῖς ἐπιγράφειν σπουδάζετε καὶ ἐπιῤῥίπτειν, εἰ δὲ περί τινων

ἄλλων παθῶν, καὶ ταῦτα καθαρῶς ἐκπομπεύοιτε, ἵν' ἔχοιτε καρποῦσθαι καὶ τὴν ἐντεῦθεν διττὴν ὠφέλειαν, τῷ τε πρὸς καθαρὰν τῆς ψυχῆς εἶναι ὑγείαν, καὶ τῷ τὴν ὑψηλοτέρων ταπείνωσιν περιβάλλεσθαι, ἣν ἔχοντες, ὁμοιοι ὄντως ἐσόμεθα τῷ Θεῷ, τῷ „Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ" λέγοντι. Τί δ' ἂν ἄλλο εἴη τεκμήριον ἐναργέστερον τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ, ἢ δηλονότι τὸ φέρειν πᾶσαν ὕβριν γενναίως καὶ ἑαυτῷ ἐν παντὶ ἐπιμέμφεσθαι; Τοσούτων ἄρα καλῶν αἰτία ἡ ἀληθὴς καθέστηκεν ἐξαγόρευσις, ἧς ἄνευ [об.] οὐκ οἶμαι τινὰ σωτηρίας τυχεῖν. Τὸν τοίνυν οὐκ ἐξαγορεύοντα ἀκοινώνητον εἶναι ἀπὸ Κυρίου Θεοῦ παντοκράτορας ἐντελλόμεθα, ἕως ἂν ἑαυτοῦ γενόμενος καὶ τοῦ κρείττονος, πάντα τὰ σφαλερά τε καὶ βλαβερὰ ἐξομολογήσοιτο μελετήματα. Ἶδει μὲν οὖν τοῦτον καὶ τῆς μονῆς ἐξωθεῖν, καὶ οἷόν τι σεσηπὸς ἀποκόπτειν μέλος, καὶ ὥσπερ τραῦμα δυσίατον ἢ παντελῶς ἀνίατον ἐξαίρειν τε καὶ ἀπορρίπτειν. ἀλλ' ἡ τοῦ μέλλοντος ἀθηλία καὶ τοῦ ἴσως ποτὲ ἐπιγνῶναι ἑαυτὸν προσδοκία τὸ τοιοῦτου βουλήματος ἡμᾶς ἀνεχαίτισεν. Ὑποκεῖσθαι μέντοι αὐτὸν τῷ τῶν ἀκοινωνήτων ἐπιτιμίῳ, καὶ λίαν ἐπωφελές, ὡς ἀνυσιμώτατον· ποῖον γὰρ αὐτῷ κέρδος τῆς ἐνταῦθα διατριβῆς; τί δὲ καὶ τὸ ὄφελος ἐκ τοῦ μὴ ἐξαγορεύειν; ἢ οὐχὶ μᾶλλον βλάβη καὶ ὄλεθρος καὶ διηνεκὴς τοῦ κακοῦ μελέτη καὶ πάνδεινον τῇ ψυχῇ φέρον ἀπώλειαν ἐπιγίνεται; Ὡς τοίνυν ἀῤῥωστοῦντά τινα ἢ τραύματα ἔχοντα, κρύπτοντά τε ταῦτα τῷ ἰατρῷ, δύσκολον πρὸς ὑγείαν ἐπανελθεῖν, οὕτω δὴ καὶ πολλῷ μᾶλλον χαλεπώτερον τὴν τῆς ψυχῆς ὑγείαν λήψεσθαί ποτε τὸν μὴ ἐξαγορεύοντα, καὶ τούτου μάρτυς ὁ θεῖος Βασίλειος, οὕτω πως λέγων· „Χρὴ τὸν ὑποταττόμενον, εἴγε μέλλοι ἁρμόζουσαν προκοπὴν ἐπιδείξασθαι, καὶ εἰς ἕξιν γενέσθαι τῆς κατὰ πρόσταγμα [л. 189] τοῦ Κυρίου ζωῆς, μηδὲν φυλάσσειν ἀπόκρυφον κίνημα τῆς ψυχῆς, ἀλλὰ γυμνὰ πάντα παριστὰν τὰ κρυπτὰ τῆς καρδίας τῷ προεστῶτι αὐτοῦ". Οὕτω γοῦν ποιοῦντες, ἀδελφοί, οὐ μόνον τῶν οἰκείων σφαλμάτων ἀπολυτρούμεθα, ἀλλὰ καὶ τὸ ἐξῆς βεβαιότερον ἕξομεν. Φησὶ γὰρ ὁ τῆς Κλίμακος· „Μώλωπες θεραπευόμενοι οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον", καὶ αὖθις· „Ψυχὴ ἐξαγόρευσιν ἐννοουμένη, ὡς ὑπὸ χαλινοῦ ὑπ' αὐτῆς κατέχεται μὴ ἐξαμαρτάνειν". Οὕτως ἄγαν ὠφέλιμος ἡ τῶν ἰδίων σφαλμάτων φανέρωσις. Λοιπόν, πρόθυμοι, προθύμως ἅπαντες ἐπ' αὐτὴν τρέχωμεν. Τὴν μὲν οὖν καθημερινὴν ἐξαγόρευσιν οὕτω διατάττομεθα γίνεσθαι, αὐτῷ τε δηλονότι τῷ προεστῶτι, καὶ τοῖς, ὅσοι αὐτῷ ἐπιτηδειοι πρὸς τὸ δέχεσθαι λογισμούς ὀξαιεν, τὴν δέ γε πρώτην καὶ μεγάλην ἐξαγόρευσιν, ἣν ἄρα τὴν κοσμικὴν ἀποβαλλόμενοι τρίχα ἐξαγορεῦσαι

ὀφείλομεν, τῷ προεστῶτι μόνῳ καὶ μή τινι ἄλλῳ ἀναθετέον, ἵν' ἔχοι πάντας αὐτὸς εἰδέναι, καὶ ἁρμοδίως τὰ φάρμακα χεραννύειν ἑκάστῳ. Καὶ ταῦτα μὲν δὴ οὕτω.

Περὶ τῶν ἀγρυπνιῶν, πότε ὀφείλουσι γίνεσθαι.

Ι΄. Περὶ δὲ τῆς τῶν ἁγίων νηστειῶν ἀκολουθίας τὸ Συναξάριον ὑμῖν ἀκριβέστατα ὑποθήσει, καθὸ καὶ ποιητέον ἐν αὐταῖς πάντοτε. (οϐ.] Καὶ τὰς ἀγρυπνίας δὲ κατὰ τὸν τύπον ὀφειλόμενον γίνεσθαι, ἔν τε πάσῃ κυριακῇ καὶ δεσποτικῇ ἑορτῇ, καὶ ἐν λοιπῶν ἁγίων μνήμαις, ἃς ἐκ τοῦ Συναξαρίου μαθησόμεθα.

Περὶ τῆς τραπέζης καὶ τῆς διαίτης.

Θ΄. Καιρὸς δ' ἂν εἴη, λοιπόν, καὶ τραπέζης ἐπιμνησθῆναι καὶ βρώσεως, καὶ τῶν λοιπῶν, ὅσα περ τὴν σύστασιν τῷ σώματι ταμιεύονται. Ὥσπερ γὰρ ἡμεῖς ἐκ δύο συγκείμεθα, ψυχῆς λέγω καὶ σώματος, οὕτω δὴ καὶ τὰ τῆς μονῆς. Καὶ ψυχὴ μὲν αὐτῆς, εἰκότως ἂν νομίζοιτο ἡ ἐν ψαλμῳδίαις πᾶσα θεοπρεπὴς ἀκολουθία. σῶμα δέ, αὐτή τε ἡ μονὴ καὶ ὅσα τοῖς ἡμῶν λυσιτελεῖ σώμασιν. Ἐπεὶ τοίνυν ἀρκούντως ἤδη σὺν Θεῷ περὶ τῆς ψυχῆς αὐτῆς εἴπομεν. πρέπον ἐστὶ καὶ περὶ τῶν τῷ σώματι ταύτης διαφερόντων εἰπεῖν, τήν τε τῶν τροφῶν δίαιταν διατυπώσασθαι. καὶ τὰ ἄλλα, ὅσα τὴν τῆς μονῆς σύστασιν διαρκεστέραν περιμνηστεύονται, ἀκριβέστερον ἐκθέσθαι ὑμῖν, ὧν οὐκ ἔλαττον φροντίζειν χρεὼν τὸν αὐξάνειν ἐθέλοντα τὴν οἰκείαν μονήν. Λεγέσθω τοίνυν καὶ ταῦτα, καὶ τοῖς ἐμοῖς ποθουμένοις πατράσι καὶ ἀδελφοῖς εἰκότως παραδεδόσθω.

Μετὰ τὸ γενέσθαι τὸν συνήθη διακοσμὸν ἐν τῷ νάρθηκι, τῆς θείας ἤδη περαιωθείσης ἱερουργίας, δέον ἅπαντας συνηγμένους ἐνταυθοῖ (π. 190] καθῆσθαι, ἐκδεχομένους τὴν ἐν τῇ τραπέζῃ πρόσκλησιν, τὴν διὰ τοῦ χρούσματος τοῦ τραπεζικοῦ συμβόλου γινομένην. Κρουσθέντος δὲ τοῦ συμβόλου, εὐθὺς ἅμα τῷ ἱερουργήσαντι ἱερεῖ ἐξιόντας, προσκύνησιν τῷ προεστῶτι ποιεῖν, καὶ οὕτω, τοῦ συνήθους ψαλμοῦ ἀρξαμένους εἰς ἐπήκοον, βαδίζειν ἐπὶ τὴν τράπεζαν· αὐτόν τε δηλαδὴ τὸν ἡγούμενον καὶ πάντας, ὅσοι κατὰ τὴν πρώτην ἑστίασιν ἐν τῇ τραπέζῃ καθῆσθαι τετάχανται ἀπαραλείπτως. Οὕτω τε τὸ ἀριστήριον εἰσιόντας, καὶ τὸν ῥηθέντα ψαλμὸν μετὰ τῆς σὺν αὐτῷ μικρᾶς εὐχῆς ἐκπεράναντας, καθιεῖσθαί τε κατὰ τάξιν τὴν παρὰ τοῦ προεστῶτος διωρισμένην, καὶ τῶν παρατεθειμένων εὐχαρίστως μεταλαμβάνειν. Τὸν τοίνυν τοῦ ψαλμοῦ καὶ τῆς εὐχα-

ριστίας ὑστερίσαντα, προσαγγέλεσθαι παρὰ τοῦ τραπεζαρίου τῷ προεστῶτι, ἔρεσθαί τε αὐτὸν τὴν αἰτίαν τῆς ὑστερήσεως· καὶ εἰ μὲν εὔλογος δόξειε, συρχωρεῖν, εἰ δ' οὖν, ἀλλὰ γονυκλισίας ποιεῖν, ὅσας ὁ προεστὼς βούλοιτο. Γίνεσθαι μέντοι καὶ τὴν ἐξ ἔθους ἀνάγνωσιν ἐν ταῖς ἑστιάσεσιν ἀναγκαῖον, κατὰ τὸ σύνηθες, μὴ θορυβοῦντός τινος, μὴ ταράττοντος, μὴ συγχέοντος τὴν ἐκεῖθεν ὠφέλειαν ταῖς κοσμικαῖς ὁμιλίαις καὶ ἀργολογίαις (**οβ.**], μόνου δὲ τοῦ προεστῶτος εἴ τι βούλοιτο λέγοντος φειδομένως, καὶ τοῦ ἴσως ἐρωτωμένου παρ' αὐτοῦ τὴν ἀπόκρισιν ὁμοίως ποιουμένου, εἰ δυνατόν, ἐν ὀλίγοις τισὶ καὶ συντετμημένοις τοῖς ῥήμασιν. Εἰ δέ τις εἴη ταράττων καὶ ταραττόμενος, θορυβῶν τε καὶ θορυβούμενος, τὴν ἀνάγνωσίν τε συγχέων ἐκ τῆς ἀκαίρου καὶ ἀπρεποῦς ὁμιλίας, κατασιγαζέσθω παρὰ τοῦ τραπεζαρίου. Εἰ δ' ὅπερ ἀπείη, μὴ δ' αὐτοῦ τοῦ σιγάζοντος λόγον ποιεῖτο ὁ θορυβούμενος, τῆς τραπέζης καὶ ἄκων ἐξεγειρέσθω, καὶ τῷ τῆς ἁβρωσίας ἐπιτιμίῳ ὑποβεβλήσθω, ἢ καὶ ἑτέρως σωφρονιζέσθω, καθὼς ὁ προεστὼς βούλοιτο. Καθέδρας οὖν ἕνεκεν οὐδ' ὅλως εἶπεῖν ἀνεχόμεθα, ποῦ γὰρ ἂν καὶ εἴη τοῦτο δεκτόν, ἄνδρας κατὰ Θεὸν ζῶντας, ὅλως ἐρίζειν περὶ καθέδρας, ἐπίσης τοῖς κατὰ κόσμον ἐντεῦθεν ἑαυτοὺς τῶν ἄλλων ὑπερέχοντας ἀποδεικνύναι σπουδάζουσιν, οἷα περὶ τὴν ματαίαν δόξαν καὶ τῷ Θεῷ μεμισημένην ἐπτοημένοις. „Βδέλυγμα γὰρ παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος", φησὶν ἡ θεία Γραφή, καὶ „Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν". Οὐκ ἔσται οὖν ἐν ὑμῖν τοῦτο, οὐκ ἔσται· οὐ γὰρ ἂν ποτε, σώας ἔχοντες τὰς φρένας, (**л. 191**] προκρίνοιτε τὸ βδέλυγμα ἔσεσθαι Κυρίῳ τοῦ λαμβάνειν χάριν παρ' αὐτοῦ, καὶ ἐγγὺς ὑμῶν ἔχειν αὐτὸν, ὡς τὴν καρδίαν συντετριμμένων, ἢ τἀληθὲς εἰπεῖν, οἴκους αὐτοῦ εἶναι καὶ ἐπεράστους. Εἰ δὲ καί τις ὑμῶν, φεῦ'. εὐρεθείη τούτου χάριν διαπληκτιζόμενος, χρόνους τυχὸν ἢ ἐνέργειαν προβαλλόμενος, καὶ οὐκ ἐμμένει τῇ προστάξει τοῦ προεστῶτος, καὶ τὸν ἀποκληρωθέντα τόπον αὐτῷ (οὐ) στέργοι, ἐντέλλομαι ἐν Κυρίῳ τὸν ἔσχατον αὐτῷ τόπον ἀποκληροῦν, καὶ διδάσκειν τῷ κόσμῳ τὰ τοῦ κόσμου καταλιμπάνειν. Εἰ δ', ὅπερ ἀπευκταῖον πάντῃ καὶ ἄκοσμον, ἔτι τε διενίσταται καὶ ἀμφιβάλλοι, καὶ μετὰ δευτέραν καὶ τρίτην παραίνεσιν ἀδιόρθωτος ὅλως μείνοι καὶ πάμπαν ἀνίατος, ἐκδιώκειν τοῦτον καὶ τῆς μονῆς, καὶ καθαπερεί τινα φαγέδαιναν ἔξω που καὶ μακρὰν ἀφ' ὑμῶν ἐκρίπτειν, ὡς ἂν μὴ καὶ τοῖς λοιποῖς ὑμῶν τῆς ἑαυτοῦ μεταδοίη λύμης· ῥᾷον γὰρ κακίας μᾶλλον ἢ ἀρετῆς μεταλαμβάνειν, ὡς τις ἔφη σοφός. Καὶ ἀριστοῦντας δὲ ὑμᾶς οὐ μεταδοτέον ἀλλήλοις βρώματός τινος ἢ πόματος, ἄχρι γοῦν καὶ μικρᾶς ῥανίδος εἰς ψύξιν κράματος, ἀλλὰ τὸν χρείαν πολλάκις

ἔχοντα τούτων τινός ὑπανίστασθαι μικρὸν μάλα σεμνῶς, καὶ μετ' εὐλαβείας (об.] αἰτεῖσθαι τὸν προεστῶτα οὕτω πως λέγοντα· Εὐλόγησον πάτερ, χρεία μοι ἐστὶ τοῦδε. Ἂν μὲν οὖν ἐκεῖνος προστάξειε, λαμβάνειν καλῶς τὸ χρειῶδες, ἂν δὲ μή, συστέλλειν αὖθις ἑαυτόν, καὶ σιωπῇ καθῆσθαι εὐχαριστοῦντα. Τοῦτο δὲ ποιοῦμεν οὐ φειδοῦς ἕνεκέν τινος, ὡς τινες οἴονται, καὶ σκνιφότητος· μὴ δὲ γὰρ ἔσται ἡμῖν τοσοῦτον περιέχεσθαι τῶν ῥεόντων, ὡς προκρίνειν αὐτὰ τῆς τῶν ἀδελφῶν ἡμῶν ἀναπαύσεως, τίνος γὰρ ἂν καὶ χάριν ταῦτα κτᾶσθαι σπουδάζωμεν, μὴ πρὸς τὴν ὑμῶν τυγχάνοντα θεραπείαν, ὡς εἴρηται, ἀδελφοί μου; ἀλλὰ τὸ εὐλαβὲς κἀντεῦτῳ καὶ εὔτακτον ὑμῖν μνηστευόμενοι, ἵνα μὴ χώραν ἐντεῦθεν ἡ τῶν πολλῶν ῥᾳθυμία λαβοῦσα, τὴν ὅλην τῆς τραπέζης τάξιν συγχέοι, καὶ οὐδέν τι τῶν ἀπαιδεύτων καὶ ἀνευλαβῶν ἐσόμεθα διαφέροντες, οἳ ἐν τῷ πίνειν ἀλλήλους φιλοτιμοῦνται δεξιούμενοι ταῖς προπόσεσί τε καὶ ἀντιπόσεσιν. Οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ θελήματος περικόπτομεν πρόκρισιν· πρὸς τούτοις δὲ καὶ τὴν τῶν πολλῶν ἐκριζοῦμεν ἀκρασίαν, καὶ διδάσκομεν ὀλίγοις ἀρκεῖσθαι καὶ τοῖς ἀναγκαίοις, ἅμα δὲ καὶ τοὺς τῆς ἐγκρατείας πλέκομεν ὑμῖν ἐντεῦθεν στεφάνους. Ἀλλὰ καὶ τοῦ λάθρα γινομένου σκοτώδους ἔργου καὶ ἀφανοῦς, ἵνα μὴ λέγω καὶ κλοπιμαίου, (л. **193** [1])] ὑμᾶς ἀπάγομεν· τί δαί; οὐ σκότους ἔργον τὸ κρυφῇ γινόμενον; παντί που δῆλον, καὶ τοῦτο καὶ τὸ κατὰ Ἰωάννην θεῖον διατρανοῖ Εὐαγγέλιον, οὕτως ἔχον· „Πᾶς, ὁ φαῦλα πράσσων οὐκ ἔρχεται εἰς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ ὑπὸ τοῦ φωτὸς τὰ ἔργα αὐτοῦ τα πονηρά", καὶ ὁ Ἀπόστολος· „Πᾶν τὸ φανερούμενον φῶς ἐστιν, ὡς δηλοῦντος τοῦ λόγου, ὅτι τὸ μὴ φανερούμενον σκότος ἄντικρυς. Τίνος οὖν χάριν, ἀδελφέ μου, τὸ τοῦ φωτὸς ἀφεὶς ἔργον, τὸ τοῦ σκότους ποιεῖς; Αἰδοῦμαι φησὶν αἰτῶν. Τοὐναντίον μὲν οὖν ποιῶν, καὶ ὃ μισεῖ ὁ Θεὸς οὐκ αἰδοῖ, καὶ ὑπὲρ τοῦ καλοῦ ἐπιδοιάζεις; Μὴ σύ γε παρακαλῶ, ἀλλὰ τοῦτο πολλοὺς οἶδα ποιοῦντας, καὶ τὴν ἑαυτῶν πατοῦντας συνείδησιν καὶ λανθάνειν δοκοῦντας, ὅπερ μου καὶ μέσης αὐτῆς ἅπτεται τῆς καρδίας, καὶ θρηνεῖν αὐτοὺς οὐ παραιτοῦμαι, ὅτι περ οὕτω κακῶς ἔχοντες, ἀναισθητοῦσιν, οἴμοι, καὶ οὐδὲ τὸ πάθος ἀποκαλύπτουσιν· οἷς ἵλεως γένοιτο Κύριος, καὶ πρὸς τὸ συμφέρον, ὡς συμφερόντως τὰ πάντα οἰκονομῶν, αὐτοὺς ὁδηγήσοι, ἡμῖν δὲ ἰτέον, ὅθεν ἐξέβημεν. Ἀριστήσαντας οὖν, καὶ τὴν ἐξ ἔθους εὐχαριστίαν

---

[1]) По ошибкѣ въ счетѣ листовъ послѣ 191 прямо слѣдуетъ листъ 193.

εἰπόντας καὶ ἀναστάντας, ψάλλειν τὴν κατὰ τύπον ἀκολουθίαν μετὰ τῆς εὐχῆς, καὶ οὕτως πρὸς τὰς ἑαυτῶν ἀπιέναι κέλλας. Καὶ κατὰ τὸ δεῖπνον δέ, εἴ τις, βουλόμενος δειπνῆσαι, ὑστερίσει τῆς εὐχαριστίας, τῷ ὁμοίῳ (οϐ.] ὑποπεσεῖται ἐπιτιμίῳ τοῦ κατὰ τὸ ἄριστον ὑστερίσαντος, ἐρωτώμενος δηλαδὴ καὶ τὴν αἰτίαν οὐκ ἔχων εὔλογον· ὁ μέντοι δι' ἐγκράτειαν μὴ εἰσιὼν ἐν τῷ δείπνῳ ἀνένοχος. Ἄρτος τοίνυν ὑμῖν δειπνοῦσι παρατεθήσεται μόνος, καὶ οὗτος βραχύς, ἂν δέ τινες καὶ μικραὶ ὀπῶραι, κατὰ γνώμην τοῦ προεστῶτος, καὶ τούτων εὐχαρίστως μεταληπτέον. Τὸ δέ τοι πόμα μετὰ τοῦ μείζονος δοθήσεται κρασοβολίου κατὰ τὸν τύπον. Εἰ μὲν οὖν ἄρα τις ἑορτὴ παρά τινος τῶν ἀδελφῶν ἑορταζομένη τύχοι εἰδήσει τοῦ προεστῶτος, οὐ τοῦτον φυλακτέον ἐν τῷ δείπνῳ τὸν κανόνα, ἀλλ' ὡς ἔσται τῷ ἑορτάζοντι βουλητόν, οὕτω δὴ καὶ ποιεῖν. Εἰσιέναι τὸν ἐπιστημονάρχην ἐν ταῖς δευτέραις ἑστιάσεσι καὶ ἐρευνᾶν, εἴ τινες ὀφείλοντες ἐν ταῖς πρώταις ἑστιαθῆναι παρελείφθησαν, ὅτου χάριν ἡ παράλειψις· καὶ εἰ μὲν ἡ πρόφασις εὔλογος, ἀναίτιοι, εἰ δὲ παράλογος, μὴ ἐὰν αὐτοὺς ἐσθίειν ἐντελλόμεθα· οὐδὲ γὰρ τοῦτο ἐπαινετόν, τὸ ἄνευ εὐλόγου αἰτίας ὑστερίζειν ἐν ταῖς ἑστιάσεσι, τοῦτό τοι καὶ κολαστέον αὐτό, καὶ ἀποτρεπτέον εἰς δύναμιν πάντοτε. Ταῦτα μὲν οὖν ἐν ταῖς λιταῖς ἡμέραις τοῦ ἐνιαυτοῦ.

Περὶ τῶν ἁγίων νηστειῶν.

ΙΑ'. Ἐν δέ τοι ταῖς τῶν ἁγίων νηστειῶν οὐχ' οὕτως, καὶ πρόγε τῶν ἄλλων ἐν τῇ πρώτῃ καὶ (π. 194] μεγίστῃ, ἧς κατὰ τὴν πρώτην ἡμέραν, ἤγουν τὴν δευτέραν τῆς πρώτης ἑβδομάδος, μήθ' ἱερουργητέον, μήτε τραπέζης φροντιστέον ἢ βρώσεως· ταῖς μέντοι ἑξῆς ἡμέραις τῆς αὐτῆς ἑβδομάδος, καὶ τραπέζης ἐπιμελητέον, καὶ βρώσεως τὸν αἱρούμενον μεταληπτέον, ἥτις δὴ ἔσται ἐξ ὀσπρίων διαβρόχων ὕδατι, καὶ ὠμῶν τινων ἴσως λαχάνων καὶ ὀπωρῶν, τὸ δὲ πόμα, θερμὸν ὕδωρ κυμίνῳ συνηρτυμένον. Ταῦτα δὲ ἄχρι τῆς παρασκευῆς. Ἐν ταύτῃ δὲ ἑψητά τινα βρωτέον ὑμῖν ἐδέσματα δύο, ἐλαίου ἀμέτοχα· οἶνόν τε ποτέον κρείττονα, μετὰ τοῦ μείζονος ἐξαγίου δεδόμενον διὰ τὴν ἑορτὴν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, ἣν ὁ προεστὼς ὀφείλει ἐπιτελεῖν χρεωστικῶς καὶ παρακαλεῖν ὑμᾶς. Εἰ δέ τις ἕτερος ὑμῶν ἑορτάζειν ταύτην βούλοιτο, τούτῳ διδόαμεν ἄδειαν καὶ ὀστρακοδέρμοις τισὶ κατὰ τὴν τοῦ σαββάτου ἡμέραν τὴν ἀδελφότητα ἑστιᾶν, ἰχθῦσι δὲ οὔκουν χρησώμεθα. Ἡ μὲν

δὴ πρώτη ἑβδομὰς τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς οὕτως ὑμῖν ἀνυέσθω.

Τοῖς δὲ σαββάτοις πᾶσι καὶ ταῖς κυριακαῖς τῆς αὐτῆς ἁγίας νηστείας δύο παρατιθέσθωσαν ὑμῖν ἐδέσματα μαγειρευτά, μετέχοντα καὶ ἐλαίου, (σϐ.] διδόσθω δὲ καὶ εἰς πόσιν τὸ σύνηθες μέγα κρασοβόλιον, τὸ δ' αὐτὸ γινέσθω κἂν τῇ τετράδι τῆς μεσονηστίμου, καὶ τῇ πέμπτῃ τοῦ μεγάλου κανόνος· ταῖς δέ γε τρίταις καὶ πέμπταις ἄλλαις, δύο μὲν ἐδέσματα παρατεθήσονται ὑμῖν μαγειρευτά, οὐ μὴν δὲ καὶ ἀμφότερα ἐλαίου μέτοχα, ἀλλ' ἢ μόνον τὸ ἓν· καὶ οἶνος δέ. τῷ ἐλάττονι ἐξαγίῳ μετρούμενος, ὅπερ ἐστὶ τοῦ μείζονος τὸ ἥμισυ, τὰς τοίνυν ἄλλας ἡμέρας, δευτέρας φημὶ καὶ τετράδας καὶ παρασκευάς, οὔκουν ὑμᾶς μαγειρευτοῦ τινος, οὔτε οἴνου μεταληπτέον, ἀλλ' ἢ μόνων κυάμων ἐφθῶν καί τινων μικρῶν ὀπωρῶν, εἴπερ εἰσί, καὶ τοῦ κυμινάτου θερμοῦ ὕδατος· ἂν δὲ τούτων μιᾷ τύχοι τὴν μνήμην συνδραμεῖν τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου ἢ τῶν ἁγίων τεσσαράκοντα, καταλυτέον, καὶ δύο ἐδέσμασιν ἐλαίου μετόχοις ἑστιατέον, καὶ οἴνου μεταληπτέον τῷ μείζονι μετρουμένου ἐξαγίῳ.

Περὶ ἰχθύων βρώσεως τῆς ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ καὶ τοῦ Εὐαγγελισμοῦ.

Καὶ ἰχθύων δέ, εἴπερ τις ἐκ φιλοχρίστων πεμφθείη παράκλησις, ἀπογευστέον, οὐ μέντοι οἴκοθεν ὀψωνητέον ἐξεπίτηδες· καὶ ἐν μιᾷ δὲ τῶν τῆς πρώτης ἑβδομάδος ἡμερῶν, μίαν τούτων τῶν μνημονευθεισῶν ἑορτῶν φθάσασαν τελεσθῆναι, τιμητέον καὶ παρακλητέον ὑμᾶς, οὐ κατὰ τὰς (σ. 195] προλεχθείσας ἡμέρας, ἀλλ' ἢ μόνῳ οἴνῳ, τῷ διὰ τοῦ μείζονος ἐξαγίου, καὶ γρούτῃ· τὰς δ' ἄλλας τοίνυν πάσας ἡμέρας τῆς ἁγίας ταύτης τεσσαρακοστῆς οὐκ ἐξέσται ὑμῖν ἰχθυοφαγῆσαι τὸ σύνολον, οὐδ' ἂν παράκλησις ἴσως πεμφθείη παρά τινος· ἂν τοίνυν αὐτὸς ἐκεῖνος ὁ παρακαλῶν ὑμᾶς μεθ' ὑμῶν ἑστιαθησόμενος ἵκοιτο, τότε δὴ καὶ τοῦτο καταλυτέον διὰ τὴν διάκρισιν, ἵνα μὴ φανῶμεν τοῖς ἀνθρώποις νηστεύοντες.

Περὶ τοῦ Εὐαγγελισμοῦ καὶ τῆς ἑορτῆς.

Τῆς ἑορτῆς δὲ τοῦ Εὐαγγελισμοῦ ἐνστάσης, λαμπρῶς ἑορταστέον εἰς δύναμιν, καὶ ἰχθύων μεταληπτέον οἴκοθεν ὠψωνισμένων, καὶ οἴνου ποτέον διὰ τοῦ μείζονος κρασοβολίου, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν αὔριον

εἶτι λείψανον τῆς χθεσινῆς τραπέζης βρωτέον ὑμῖν, καὶ οἴνου ποτέον ὁμοίως, καὶ ἰχθύων δὲ μὴ παραλειφθέντων, τὰ ἐλαιώδη δύο ἐδέσματα, τὸ τῆς ἑορτῆς ἐκπληρωτέον κατὰ τὰς λοιπὰς ἀπολελυμένας ἡμέρας. Ἰχθυοφαγήσομεν δὲ ἐν τῇ ἁγίᾳ ταύτῃ ἑορτῇ, ὡς εἴρηται, ἂν μὴ τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι συνδράμοι. τότε γάρ τοῖς ὀστρακοδέρμοις χρησόμεθα μόνοις, μᾶλλον δὲ παρακληθησόμεθα διὰ τὴν ἑορτήν, ἐπεὶ τὰς τρεῖς ἡμέρας ταύτης τῆς ἑβδομάδος, ἤγουν δευτέραν, τρίτην (**οβ.**] καὶ τετράδα, ἐπίσης ταῖς τῆς πρώτης ἑβδομάδος διάγειν εἰκός, ὀσπρίοις τισὶ διαβρόχοις, καὶ λαχάνοις ὠμοῖς, καὶ ὀπώραις ταῖς παρατυχούσαις ἀρκούμενοι, καὶ τῷ κυμινάτῳ θερμῷ πόματι. Εἰ δὲ ἡ προδηλωθεῖσα ἁγία ἑορτὴ ταύταις συνδράμοι τῶν ὀστρακοδέρμων, ὡς ἔφημεν, καὶ οὐκ ἰχθύων μεταληψόμεθα, οἴνου τε πιόμεθα τῷ μείζονι ἐξαγίῳ, καὶ τὰ εἰκότα τῇ ἑορτῇ πάντα ποιήσομεν, κἂν τῇ μεγάλῃ πέμπτῃ συνδράμοι, κἂν τῇ μεγάλῃ παρασκευῇ, κἂν αὐτῷ τῷ μόνῳ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Τῇ τοίνυν ἁγίᾳ πέμπτῃ, κατὰ τὰς ἀπολελυμένας ἡμέρας τῆς τεσσαρακοστῆς, ἡ ἑστίασις ὑμῖν ἔσται ἔν τε τοῖς ἐδέσμασι καὶ τῷ οἴνῳ· τῇ μέντοι ἁγίᾳ παρασκευῇ οὐδ' ὅλως μαγειρευτέον, λαχάνων δέ τινων ὠμῶν καὶ ὀπωρῶν καὶ οἴνου μεταληπτέον, τῷ μείζονι διδομένου ἐξαγίῳ διὰ τὸν ἐκ τῆς ἀγρυπνίας κόπον, ἐν δὲ τῷ ἁγίῳ σαββάτῳ, ἀπέστω πᾶσα μέριμνα περισπασμὸν ἐμποιοῦσα, μόνος δὲ διακλυσμὸς γινέσθω κατὰ τὸ ἔθος. Τοῦτον μὲν δὴ τὸν τρόπον ἡ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ δίαιτα τῶν τροφῶν ὑμῶν ἐχέτω, τῆς περὶ τῶν ἀσθενούντων φροντίδος τῇ διακρίσει τοῦ προεστῶτος ἀνατεθείσης.

Περὶ τῶν μικρῶν (**λ. 197**] δύο τεσσαρακοστῶν, τῶν ἁγίων Ἀποστόλων καὶ τῶν Χριστοῦ γέννων.

Ἀμέλει γοῦν τὰ δὲ τῆς τῶν ἁγίων Ἀποστόλων αὐτίκα δὴ καὶ τυπωθήσεται. Μετὰ δὲ τὸ τελεσθῆναι τὴν πᾶσαν ἀκολουθίαν τῶν τε ὡρῶν καὶ τῆς θείας ἱερουργίας, ὡς τὸ Συναξάριον διέξεισι, καλείτω ὑμᾶς ἡ τράπεζα, κατὰ τὸν ἀνωτέρω διαταγέντα τύπον, ἑβδομης ὥρας ἐνισταμένης, ἐν ᾗ καὶ δύο ἐδέσματα σὺν ἐλαίῳ ἑψητὰ ὑμῖν ἐσθιέσθω, καὶ οἶνος πινέσθω ὁ διὰ τοῦ μείζονος ἐξαγίου. Ἀλλὰ καὶ δεῖπνος παρατιθέσθω, ἄρτου μικρόν τι τρύφος, καὶ οἶνος ὁμοίως ὁ τοῦ μείζοντος ἐξαγίου διὰ τὸ καυσῶδες καὶ ξηραντικὸν τοῦ καιροῦ, οὐ μέντοι καὶ ἰχθυοφαγήσομεν οἴκοθεν· ἂν δέ τις ἴοι παράκλησις, μεταληπτέον εὐχαριστοῦντας, ἐν γὰρ ταῖς δυσὶ ταύταις ἥττοσι τεσσαρακοσταῖς τοῦτο κωλύειν

οὐ δίκαιον. Καὶ ἡ τῶν ἁγίων δὲ Χριστοῦ γέννων τεσσαρακοστὴ ὁμοία ἔσται τῇ τῶν ἁγίων Ἀποστόλων ἐν ταῖς βρώσεσί τε καὶ πόσεσι, μετὰ δὲ τὸ πληρωθῆναι δηλαδὴ τὴν πᾶσαν ἀκολουθίαν κατὰ τὸ Συναξάριον, δύο τούτοις μόνοις παραλάττουσα, τῷ τε μὴ καθεκάστην ἱερουργεῖν, ὁπότε καὶ νηστεία ἄγοιτο· οὐ γὰρ ἀρκεῖ ἡ ἡμέρα, μικρά τις οὖσα, καὶ τῷ ἅπαξ ἑστιᾶσθαι, ἐννάτῃ γὰρ (σϐ.] ὥρᾳ τὴν ἑστίασιν ὑμῖν παραθήσοι, νηστείας ἀγομένης, ὡς εἴρηται· νηστεία δὲ εἴη πάντως, ὁπότε μὴ Θεὸς Κύριος ἐν τῷ ὄρθρῳ, ἀλλ' Ἀλληλούια ψάλλοιτο. Οὕτως οὖν καὶ ταῦτα ἐχέτω.

Περὶ τοῦ πῶς δεῖ ἑορτάζεσθαι τὰς δεσποτικὰς ἑορτὰς καὶ τῆς ὑπεραγίας Θεοτόκου.

ΙΑ΄. Πᾶσαι μὲν οὖν αἱ θεῖαί τε καὶ δεσποτικαὶ ἑορταί, αἵ τε τῆς ὑπεραγίας Δεσποίνης καὶ Εὐεργέτιδος ἡμῶν τῆς Θεοτόκου, ἑορταζέσθωσαν ὑμῖν τῶν ἄλλων παρεκβατικώτερον, ἔν τε ψαλμῳδίαις φημὶ καὶ φωταψίαις καὶ αὐταῖς δὴ ταῖς ὑμῶν ἑστιάσεσιν· ἡ δέ γε τῆς ἁγίας αὐτῆς Μεταστάσεως ἑορτή, ἣν δὴ καὶ Κοίμησιν λέγομεν, λαμπρῶς ὑμῖν ἑορταζέσθω, λαμπρῶς καὶ πολυτελῶς, ἑορτὴ γὰρ ἑορτῶν, καὶ πανήγυρις πανηγύρεων ἔσται, ἐν ᾗ καὶ διάδοσιν ἐν τῷ πυλῶνι γίνεσθαι ἐντελλόμεθα, καθόσον ἄρα δυνάμεθα, καὶ ἡ χεὶρ ὑμῶν εὐπορίᾳ. Ἀρκούντως ἤδη περὶ τούτων διαλεχθέντες, καὶ περὶ τῶν λοιπῶν ἀναγκαίως μνημονεύσομεν.

Περὶ τοῦ ἐλευθέραν εἶναι τὴν μονὴν καὶ αὐτοδέσποτον.

ΙΒ΄. Ἐντελλόμεθα οὖν πᾶσιν, ἀπὸ Κυρίου Θεοῦ παντοκράτορος, ἐλευθέραν εἶναι τὴν ἁγίαν ταύτην μονὴν ἀπὸ πάντων, αὐτοδέσποτόν τε καὶ ἰδιοδέσποτον, καὶ μηδέ τισιν ὑποκειμένην δικαίοις, βασιλικοῖς τυχὸν ἢ ἐκκλησιαστικοῖς, ἢ προσωπικοῖς, (σ. 198] ἀλλ' ὑπὸ μόνης τῆς παννυμνήτου Θεοτόκου καὶ Εὐεργέτιδος, καὶ τῆς τοῦ παμμάκαρος καὶ ἁγίου πατρὸς ἡμῶν εὐχῆς, καὶ τοῦ καθηγουμενεύοντος ἐν αὐτῇ, ἐφορᾶσθαί τε καὶ διϊθύνεσθαι, καὶ κυβερνᾶσθαι καὶ ἄγεσθαι, ἔτι γε μὴν καὶ τοῖς χρυσοβούλλοις τῶν ἀοιδίμων βασιλέων, οἷς τὸ ἐλεύθερον καὶ πάσῃ ἐξουσίᾳ ἀκατασδούλωτον ὑμῖν ἐμπεδοῦται στερρότερον, ἀπερικλόνητον τὴν ἐλευθερίαν καὶ τὸ ὅλον ἀπαρασάλευτόν τε καὶ ἀπαράτρεπτον ἔξετε. Εἰ δὲ καί τις βουληθείη ποτὲ ἐν οἱῳδήποτε χρόνῳ, καθ' οἱονδήτινα τρόπον, κατα-

δουλώσασθαι ταύτην ἢ ὑπαγαγέσθαι ἢ ὑπὸ ἐξουσίαν τινὸς ποιήσασθαι, κἂν βασιλεὺς ᾖ, κἂν πατριάρχης, κἂν ἄλλος τις τῶν ἐκκλησιαστικῶν ἢ συγκλητικῶν, κἂν αὐτὸς ὁ ταύτης προεστὼς, ἢ ὁ οἰκονομῶν, ἢ τίς ἁπλῶς τῶν ἐν ταύτῃ ἀδελφῶν ἐξ ἐπηρείας δαιμονικῆς παρακεκινημένος, οὐ μόνον ἔνοχος ἔσται τῷ θείῳ σώματι καὶ αἵματι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ Θεομήτορι καὶ Δεσποίνῃ ἡμῶν τῇ Εὐεργέτιδι, ἀλλὰ καὶ ἀνάθεμα ἔστω, καθὼς φησὶν ὁ θεῖος Ἀπόστολος, καὶ τῆς ἀρᾶς τῶν τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων κληρονόμος γένοιτο, καὶ τῷ προδότῃ σύγκληρος Ἰούδᾳ, καὶ τοῖς Ἄρον ἆρον σταύρωσον αὐτόν, καὶ Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν, κραυγάσασι συναρίθμιος, (οϐ.] ὅτι τὸ πολλοῖς ἱδρῶσι καὶ κόποις ἐξ ἀγριδίου εἰς μοναστήριον ἀποκαταστάν, καὶ παρ' αὐτῶν τῶν συστησαμένων ἐλευθέρως ἔχειν διαταγέν, αὐτὸς κακοτρόπῳ γνώμῃ καὶ δολερᾷ ὑπὸ ἐξουσίαν ἀνθρώπων, ἴσως διεφθαρμένων καὶ πονηρῶν, καὶ πρὸς οὐδὲν ἄλλο βλεπόντων ἢ κέρδος ὀλέθριον, ἀθλίως ὁ ἄθλιος πεποιήκει. Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τοὺς τῶν ἀοιδίμων βασιλέων σταυρούς, οὓς ἐκεῖνοι φιλοθέῳ γνώμῃ τοῖς ἑαυτῶν ἐνεχάραξαν χρυσοβούλλοις τὴν ἐλευθερίαν ἐπιβραβεύοντες τῇ μονῇ, ὁ τρισάθλιος ἐκεῖνος καὶ τρισκατάρατος, ὅς ἂν καὶ εἴη, καταπεπατήκοι τε καὶ τὸ μηδὲν ἐλογίσατο· ὑπὲρ ὧν τί ἂν καὶ διαπραξάμενος ὕστερον οὐκ ἔσται ὑπεύθυνος; Ἴτω γοῦν καὶ ταῦτα τουτονὶ τὸν τρόπον διωρισμένα.

Περὶ τῆς χειροτονίας τοῦ ἡγουμένου καὶ τοῦ οἰκονόμου, καὶ περὶ τοῦ μὴ ἐξεῖναι τῷ ἡγουμένῳ εἰς τὴν πόλιν ἰέναι ἢ ἀλλαχοῦ που μακράν, ὡς τε τῆς μονῆς ἔξω κοιτάζεσθαι, ἄνευ τῶν ἀναταττομένων ἐνταῦθα τριῶν αἰτιῶν [1]).

ΙΓ'. Χρήσιμον δ' ἂν ἔσται λοιπὸν καὶ περὶ τῆς χειροτονίας τῶν διακονητῶν ἐπιμνησθῆναι, ὧν πάντως πρώτη ἡ πρώτη ἔσται, ἡ τοῦ ἡγουμένου φημί, πλὴν ἀλλὰ μικρόν τι περὶ τούτου πρὸς τὴν ὑμετέραν ἀπολογητέον ἀγάπην. Ἐγὼ μὲν ἐν Κυρίῳ μου, ἀδελφοί, δεῖν ἔκρινα πρότερον δύο (π. 199] εἶναι τοὺς ἡγουμένους, ἕνα μὲν ἔγκλειστον, ἕτερον δὲ ἄνετον· θνήσκοντος δέ γε τοῦ ἐγκλείστου, τὸν ἄνετον εἰσιέναι τὸ ἔγκλειστρον, ἄλλον δὲ ἀντ' αὐτοῦ πάλιν ἄνετον παρ' ὑμῶν καὶ τοῦ ἐγκλείστου ἀποκαθί-

[1]) Ἡ τοῦ ἡγουμένου καὶ τοῦ οἰκονόμου αὕτη ὑπόθεσις ἐν ἑπτὰ φύλλοις διαλαμβάνεται.

στασθαι, καὶ ἵν' οὕτως ἔχοι, αὐτὸς ἐγὼ πεποίηκα τὴν ἀρχήν, ὡς δήπερ ἴστε καὶ αὐτοί. Ἀλλὰ τὸ ὑπὸ τὴν ἑκάστου προαίρεσιν κεῖσθαι τὸ ἀγαθὸν ἐπιστάμενος, οὐ βίαν ἐπενεγκεῖν δέον ἐλογισάμην τοῖς μετ' ἐμέ, τὸ γὰρ ἐξ ἐντολῆς ἔχειν τὸν ἄνετον ἡγούμενον ἄκοντα εἰσιέναι τὸ ἔγκλειστρον μετὰ θάνατον τοῦ ἐγκλείστου βία τις ἀντίκρους καὶ ζυγὸς ὁ βαρύτατος, ἀλλ' οὐδὲ τῷ κοινοβίῳ συντεῖνον ἐς τὰ πολλὰ τὸ πρᾶγμα σκοπούμενον εὑρηται. Διά τοι ταῦτα, κρεῖττόν τι, ὡς οἶομαι, προβλεψάμενος, ἕνα τῶν [τὸν] ἡγούμενον εἶναι κέκρινα μετὰ τὴν ἐμὴν ἀποβίωσιν. Ἔστω οὖν εἷς, εἰ μὲν βούλοιτο, ἔγκλειστος· οὐδὲ γὰρ οὐδὲ τοῦτο καταλυτέον εἰς ἅπαν, εἰ δὲ μὴ βούλοιτο, ἄνετος καὶ πάντοτε συνὼν ὑμῖν ἀχωρίστως.

Οὐδὲ γὰρ ἐξέσται αὐτῷ πρός τε τὴν πόλιν ἰέναι καὶ ἀλλαχόσε μακράν· οὐ πρὸς συγγενοὺς ἐπίσκεψιν, οὐ πρὸς φίλου, οὐδέ τινος τῶν συνήθων, οὐκ ἄρχοντος, οὐχ' ἑτέρου τοῦ οἱουδήπερ προσώπου ἀρρωστοῦντος ἢ ἀποθνήσκοντος, οὐ χάριν ἄλλης τινὸς αἰτίας εὐλόγου ἢ ἀλόγου ἢ καὶ ἀναγκαιοτάτης, ἀλλ' ἐξελεύσεται ἔν τε τῇ περιοχῇ τῆς μονῆς, (σδ.] ἔν τε τοῖς πλησιάζουσιν αὐτῇ προαστείοις ἡμῶν, ἀφ' ὧν συντόμως ὅτι πάλιν ὑποστρέφων, μὴ ἔξω που ταύτης κοιταζόμενος φωραθῇ. Ἐξελεύσεται δὲ καὶ βασιλέως τυχὸν ἢ πατριάρχου προσκεκληκότων αὐτόν, ἐπιδρομῆς τε γινομένης τινῶν πολεμίων, ὁπότε καὶ ἄκοντες πάντες μεταναστεύομεν. Ταύταις μόναις ταῖς αἰτίαις ἔξει ἀκωλύτως τῆς ἐπὶ τὴν πόλιν προόδου, ὡς τῆς ἀκηδίας χάριν, ἐπὶ τὰ δηλωθέντα προάστεια. δεσμὸς γὰρ τούτῳ ἐπικείσεται ἄλυτος, καὶ τεῖχος ἀνυπέρβατον, κατὰ τὸν θεῖον Δαβίδ, λογισθήσεται, καὶ ὥς τις αὐτῷ θύρα ἐπιζυγωθήσεται τῆς ἐντεῦθεν ἐπὶ τὴν πόλιν προόδου καὶ τῆς ἀλλαχόθι κοιτάσεως, ἡ ἐν Κυρίῳ Θεῷ παντοκρατορι ἡμῶν ἐντολή, ἣν, εἰ παραβαίη ποτέ, ἀντ' οὐδενὸς λογισάμενος, ἀκοινώνητος ἔσται. Ταῦτα μὲν ὡς ἂν μηδέποτε τῆς μονῆς ἐξέρχοιτο ὁ προεστώς· χρεὼν δὲ ἄρα καὶ πῶς αὐτὸν δεῖ χειροτονεῖσθαι διαγράψαι. Μετὰ τὸ ἐμὲ τὴν πρόσκαιρον ταύτην ἐκμετρῆσαι ζωήν, συνδιασκεψάμενος ὁ ὑπ' ἐμοῦ καταλειφθεὶς προεστὼς μετ' ὀλίγων τινῶν ἐξ ὑμῶν, ὧν δήπου πάντως ὑπάρχει τὸ τῶν ἄλλων προέχειν ἔν τε βίῳ καὶ τρόπῳ καὶ λόγῳ καὶ ἤθει καὶ τάξει, καὶ τῇ πνευματικῇ καταστάσει καὶ διαγωγῇ, ἐκλεγέσθω τὸν πάντων προέχοντα ἐν πᾶσι τούτοις, καὶ εἰς οἰκονόμον προχειριζέτω, (π. 200] προχειριζέτω δὲ τρόπον τοιόνδε. Μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου καὶ τὴν συνήθη τοῦ ἱερέως εὐχήν, Τρισαγίου παρὰ πάντων γινομένου, ποιείτω τρεῖς βαθείας γονυκλισίας ἔμπροσθεν καὶ πλησίον τοῦ θείου βήματος ὁ ἐκλελεγμένος, εἶτα καὶ αὐτὰ τὰ ἱερὰ καὶ θεῖα εἰκονι-

σματα καὶ σεβάσμια τοῦ τε Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ αὐτῆς τῆς ὑπεραγίας Θεοτόκου καὶ κοινῆς Εὐεργέτιδος εὐλαβῶς ἀσπαζέσθω. Μετὰ δὲ ταῦτα τῷ προεστῶτι τὴν προσήκουσαν ἀπονεμέτω προσκύνησιν, εἶθ' οὕτως ὑποκλινῇ τὴν ἑαυτοῦ κεφαλὴν ἐκείνῳ διδότω καὶ ἀπερικάλυπτον, κἀκεῖνος, τῷ τιμίῳ ταύτην σφραγίζων σταυρῷ, οὕτω πως εὐλαβῶς λεγέτω· „Ἡ πρεσβεία τῆς ὑπεραγίας μου Θεοτόκου, διὰ τῶν εὐχῶν τῶν ἁγίων πατέρων, προχειρίζεταί σε οἰκονόμον τῆς μονῆς". Ἔπειτα, τὸν ἐν Κυρίῳ δοὺς αὐτῷ ἀσπασμόν, εἰς τὸν ἁρμόζοντα τόπον ἱστάτω. Καθεξῆς οὖν ἅπαντες ὁμοθυμαδὸν ἀσπαζέσθωσαν, μετὰ δὲ καὶ τὸν ἀσπασμόν, δόξα μὲν τῷ Θεῷ ἀναφερέσθω καὶ ἀπόλυσις ἐπέσθω τῇ συνήθει τοῦ ἱερέως εὐχῇ. Τοῦτον τὸν οἰκονόμον ἀπτώτως τὴν διακονίαν αὐτοῦ τελοῦντα, καὶ Θεῷ καὶ ὑμῖν δόκιμον ἀποφανθέντα, κρινόμενόν τε παρ' ὑμῶν εἰς ἡγουμενείαν ἐπιτήδειον, εἰ μὲν προγνοίη ὁ προεστὼς τὴν ἐντεῦθεν ἑαυτοῦ πρὸς Κύριον ἐκδημίαν, εἰς προστασιαν ὑμῶν ἀντικαταστήσοι, ἀρκούσης ἤδη τῆς ἐν τῇ οἰκονομίᾳ (об.] ἀδιαπτώτου ἐνεργείας αὐτοῦ εἰς δοκιμασίαν τε καὶ πρόκρισιν, καὶ τῆς πνευματικῆς ἐν πᾶσιν, ὡς δεδήλωται, αὐτοῦ ἀναστροφῆς· εἰ δὲ μὴ προγνοὺς ὁ ἡγούμενος τελευτοίη, ἀλλ' ὑμεῖς, οἱ πρόκριτοι τῶν ἄλλων δηλονότι καὶ εὐλαβέστεροι, τῇ ἁγίᾳ τραπέζῃ τοῦτο δὴ τὸ τυπικὸν ἐπιτιθέντες, προσερείσαντές τε καὶ τὴν βακτηρίαν αὐτῇ, προτρέποιτε τὸν προκριθέντα, εἰσελθόντα τὸ ἅγιον βῆμα, μετὰ τὸ ὀφειλόμενον Τρισάγιον καὶ τὰ τροπάρια ταῦτα· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ ἐπίσκεψαι. Δόξα καὶ νῦν, Μονογενές, ὁμοούσιε τῷ Πατρί σου καὶ τῷ Πνεύματι, καὶ τὰ τριάκοντα Κύριε ἐλέησον, ποιήσαντά τε βαθείας γονυκλισίας τρεῖς ἐπὶ τῆς ἁγίας τραπέζης, λαμβάνειν ἐκεῖθεν τὸ τυπικὸν καὶ τὴν βακτηρίαν, ἐπιφωνούντων πάντων τὸ Ἄξιος, καὶ ἐξιόντα ἵστασθαι εἰς τὸν ἁρμόδιον τόπον, καὶ ὑπὸ πάντων ἀσπάζεσθαι, καὶ τὸ ἑξῆς εἶναι ὑμῶν ἡγούμενον θεοχειροτόνητον. Εἶτ' αὖθις αὐτόν τε καὶ ὑμᾶς τὸν πάντων ἐκλέγεσθαι κατ' ἀρετὴν ὑμῶν διαφέροντα, καὶ εἰς οἰκονόμον ἀποκαθιστᾶν, κατὰ τὴν ἄνωθεν εἰρημένην διάταξιν. Ταῦτα μὲν οὕτω.

Τὰ δ' ἑξῆς οὐκ ἐβουλόμην γραφῇ παραδοῦναι, οὐδὲ γὰρ ἔδει τὸν ἅπαξ εἰς τοῦτο προκεκριμένον τῆς αὐτοῦ στάσεώς τε (л. 201] καὶ τάξεως μεθιστᾶν, ἀλλ' ἦν μὲν ἦν, ἀρεστὸν τοῦτο καὶ ἀπόδεκτον, εἴπερ καὶ αὐτοὶ ἄτρεπτοί τε καὶ τὸ παντελὲς ἀναλλοίωτοι πρὸς τὰ καλὰ διεμένομεν, ἐπεὶ δὲ τοῦτο οὐκ ἔστι, τρεπόμεθα γὰρ πολλάκις καὶ ἀλλοιούμεθα, οἷα τὰ ἀνθρώπινα, καὶ τιμῆς ἀξιούμενοι πρὸς τὴν τῶν καλῶν ἐργασίαν μᾶλλον χαυνούμεθα, εἴτε ῥᾳθυμίᾳ εἴκοντες τὰ πολλά, ὡς φι-

λούσης τῆς ἀρχῆς τοὺς εἰς αὐτὴν ἀνηγμένους ὑποχαυνοῦν, ὁπότε πλείω τὸν ἀγῶνα καὶ τὴν προσοχὴν ἀσκεῖν ἔδει, εἴτε καὶ τὴν ἀρετὴν ἐκ πρώτης μὲν ὑποκρινόμενοι διὰ τὴν ὄρεξιν τῆς ἀρχῆς καὶ τὴν ἐπιτυχίαν, τυχόντες δὲ ταύτης, εὐθὺς εὑρισκόμεθα μένοντες ὅπερ ἦμεν κατὰ τοὺς πολύποδας, οἳ, παρὰ μειζόνων ἰχθύων διωκόμενοι, τῶν παρακειμένων πετρῶν ἁπρὶξ δρασσόμενοι, τοῦτ' αὐτὸ πέτρα τυγχάνειν ἀτεχνῶς ὑποκρίνονται. ἡνίκα δὲ τὸν κίνδυνον διαδράσουσι, πολύποδες αὖθις, ὅπερ ἦσαν, γνωρίζωνται. Διὰ ταῦτα καὶ γραφῇ δοτέον τὸ πρᾶγμα, καὶ κολαστέον εἰς δύναμιν.

Περὶ τοῦ δι' ἃς ἀνετάξατο αἰτίας ὁ κτήτωρ τὸν οἰκονόμον μεθιστὰν καὶ ἄλλον τὸν ἄξιον καθιστάν.

ΙΔ'. Εἰ μὲν οὖν ἄτρεπτος μείνοι ὁ οἰκονόμος, τῆς ἀρετῆς ἐπιεικῶς ἀντεχόμενος, δι' ἣν καὶ ταύτης (**οδ.**| ἠξιώθη τῆς τάξεως, ἀμετακίνητος ἔσται τῆς διακονίας καὶ ἀδιάπτωτος, μᾶλλον μὲν οὖν καὶ τῆς ἡγουμενείας ὡς ἄξιος ἐπιβήσεται, εἰ δ' ἀδόκιμόν τε καὶ ἀσύμφορον ὁ χρόνος αὐτὸν ἀπελέγξῃ, ὡς εἴτε τῆς διακονίας ἀμελῶς τε καὶ καταφρονητικῶς ἐχόμενον, εἴτε τοῖς ἑαυτοῦ συγγενέσι χαριζόμενον, εἴτε τι τῶν τῆς μονῆς νοσφιζόμενον, εἴτε ταραχώδη τινὰ καὶ στασιαστὴν ἀποδεικνύμενον, καὶ πρὸς τὰς τοῦ προεστῶτος εὐλόγους διατάξεις ἀντιλέγοντα, εἴτε τὰ τῆς μονῆς ὑποτιθέντα τινὶ καὶ καταπροδιδοῦντα, εἴτε τι τῶν τοῦ τυπικοῦ διαταγμάτων παραθραύοντα ὅλως, καὶ τοῖς ἑαυτοῦ στοιχοῦντα θελήμασιν, ἢ καὶ σωματικοῖς τισι πάθεσι προφανῶς συμφυρόμενον, ἢ ἀλόγῳ προσπαθείᾳ τινὸς παρὰ τὴν λοιπὴν συνδούμενον ἀδελφότητα καὶ διὰ ταῦτα καὶ πρὸς κυβέρνησιν ψυχῶν ἀνεπιτήδειον ἐλεγχόμενον, εἴη τε ἄλλος, ὁ πᾶσι κομῶν τοῖς καλοῖς, καὶ τὴν ἀρετὴν ἐκείνου κρείττων καὶ ἀδιάβλητος, αὐτὸς ἐκείνου πάντως προτιμηθήσεται, καὶ εἰς τὴν οἰκονομίαν προβήσεται, ἢ καὶ ἡγουμενείαν, οὗτος δὲ μεταστήσεται, καὶ πάλιν ὑποταγήσεται. Ταῦτα γοῦν, ζῶντος τοῦ ἡγουμένου καὶ ἀταράχως τὴν ὑμῶν ἀγάπην διακυβερνῶντος, εἰ δέ γε προαπέλθοι μὲν ὁ ἡγούμενος, τὸν κακὸν (**π. 202**] τοῦτον οἰκονόμον μὴ μεταστήσας, ἔστι δὲ ὁ τούτου ὑπερτερῶν ἐν τοῖς κατορθώμασι, καὶ τοῖς προκρίτοις ὑμῖν, οἷς καὶ τὸν ἡγούμενον χρᾶσθαι συμβούλοις εἰρήκαμεν, ἀρέσκων, ὁμογνωμονεῖτέ τε καὶ ὑμεῖς ἐπ' αὐτῷ καὶ σύμφωνοι γίνεσθε πάντες, προκρινέσθω παρ' ὑμῶν καὶ εἰς τὴν ἡγουμενείαν ἀπεντεῦθεν προβεβλήσθω, καὶ μετ' αὐτοῦ φροντιστέον ὑμῖν ἑτέρου οἰκονόμου τοῦ κρείττονος. Εἰ δ', ὃ μὴ δῴη Θεός, πρός τι-

νὰς καὶ ὑμεῖς· αὐτοὶ διὰ διαστάσεις καὶ διαφωνίας χωρήσεται, αὐτὸς ἔσται ὑμῶν προεστώς, ὁ κακὸς οἰκονόμος, διὰ τὸ ἀθόρυβόν τε καὶ ἀστασίαστον· δύο γὰρ κακῶν προκειμένων, τὸ μὴ χεῖρον βέλτιον, καὶ κρεῖσσον μικρόν τι παραβλαβῆναι ἐπὶ τῇ τοῦ ἀδοκίμου τούτου προστασίᾳ, ἢ παντελῶς ἀχρειωθῆναι ὑμᾶς, ἐπὶ στάσεις ἐκτραπέντας καὶ μάχας, ἢ καὶ μνησικακίας· εἰρηνευόντων γὰρ ὑμῶν καὶ τὴν εὐνομίαν φυλαττόντων, οὐκ ἔστιν οὐδὲ μικράν τινα βλάβην ὑμῖν ἐγγενέσθαι παρὰ τῆς τοῦ ἀδοκίμου τούτου προστασίας, στασιαζόντων δὲ καὶ διαπληκτιζομένων, πάντα ἕψεται τὰ κακά. Ἵνα δὲ μὴ κἀκεῖνος τῆς ἐφέσεως, ὥσπερ καὶ τῆς ἐξουσίας, ὀρᾳξάμενος ἀπεριμερίμνως τε ἔξοι, καὶ ἀδιόρθωτος ὅλως μείνοι καὶ πάμπαν ἀνίατος, οὐδὲ τοῦτο παριδεῖν ἄξιον. (об.] Εἰ μὲν οὖν ἑαυτοῦ ποτὲ γενόμενος, τῶν τε προφανῶν κακῶν ἀπόσχοιτο, τῆς τε πρὸς τὰ κρείττονα καὶ σωτηριώδη φερούσης ἅπτοιτο, ἔστω καὶ ἡγουμενευέτω, κἂν εἰ καὶ μικρὸν οὐκ εὐδοκιμῇ. Εἰ δ' ὁ αὐτὸς εἴη ἔτι μὴ τῶν κακῶν ἀποσχόμενος, εἰ μὴ καὶ μᾶλλον αὐτοῖς ἐπεκτεινόμενος, ὑμεῖς δὲ εἰς ἕνα συνίοιτε καὶ ὁμογνωμονοῖτε, τὸν κρείττονα δηλονότι, τηνικαῦτα ἐκεῖνον μὲν τὸν ἀδόκιμον μετατιθέναι ἐντελλόμεθα τῆς προστασίας ὑμῶν, τὸν δὲ παρ' ὑμῶν ἐκλεγέντα προβιβασθῆναι εἰς ἡγούμενον, καὶ τὸν ἀπόβλητον, εἰ βούλοιτο, καθῆσθαι μὲν εἰς κελλίον τῆς μονῆς, δευτέρας δὲ ἀξιοῦσθαι στάσεώς τε καὶ ἕδρας τῷ ἡγουμένῳ, ἔν τε τῇ τραπέζῃ, φημί, καὶ ταῖς λοιπαῖς συνελεύσεσι, βρώσει τε καὶ πόσει καὶ λοιπῇ πάσῃ διαίτῃ τοῦ κοινοβίου ἀρκούμενον· ἐξιέναι μέντοι τῆς μονῆς καὶ ᾗ βουλητὸν αὐτῷ ἰέναι ἰδίῳ θελήματι οὐκ ἐπιτρέπομεν, μελήσει δὲ ἄρα καὶ ἐπὶ τούτῳ τῷ προεστῶτι. Εἶεν. Ἀλλὰ παρακαλῶ [1]), τέκνα μου ἐν Κυρίῳ ποθούμενα, παρακαλῶ, μᾶλλον δὲ καὶ ἐντέλλομαι, καὶ μάρτυρα τοῦ λόγου τὸν Θεὸν ἐπικέκλημαι, ὡς καὶ τοῦ πράγματος ἔφορον, τῆς τῶν προεστώτων ἢ καὶ τῶν οἰκονόμων δοκιμασίας τε καὶ προκρίσεως παρ' ὑμῶν γινομένης, πρὸς ὑμᾶς γάρ μου καὶ πάλιν ὁ λόγος, οἵτινες ἂν εἰς τοῦτο κριθείητε, ἀπέστω (л. 203] ἔρις, ἀπέστω φθόνος, ἀπέστω πᾶσα ματαία προσπάθεια καὶ χάρις ἀλόγιστος, κρίσις δέ τοι ὀρθὴ καὶ στοχασμὸς ἀκριβής, καὶ στάθμη δικαιοσύνης, καὶ ἀληθείας ἀκρίβεια συνιέτωσαν, καὶ ὡς αὐτοῦ ἐφορῶντος τοῦ τὰ πάντα βλέποντος ὀφθαλμοῦ, καρδίας τε καὶ νεφροὺς ἐξετάζοντος, οὕτω παρ' ὑμῶν ἡ κρίσις τε καὶ ἡ δοκιμασία γινέσθω· εἰ γὰρ καί τι ἀνθρώπινον ὑμεῖς νοσήσαντες, τὴν κρίσιν ἐσφαλμένην ἐξάξοιτε, σκοπητέον ὅποι προβῇ τὸ κακόν, καὶ πόσα τὰ παρέποντα βλαβερὰ λογιστέον,

[1]) На поляхъ киноварью замѣчено: Ὅρα φοβερόν.

ὧν τὸν λόγον εἰ δικαίως ὁ δίκαιος καὶ ἀπαραλόγιστος δικαστὴς εἰς πραττόμενος ἔσται ἀφ' ὑμῶν, οὐκ οἶμαι, τίνα ἂν τὸν ἀπόλογον ποιησάμενοι, τὴν κατάκρισιν ἐκφυγεῖν δυνήσαισθε, οἵ γε, φεῦ! κακῷ καὶ ὀλεθρίῳ προκρίματι τὸν ἀνάξιον προκεκρίκατε, καὶ τοσαύτην ἐνήκατε τὴν βλάβην οὐ μόνον ἐκείνῳ, ἀλλὰ δὴ καὶ σφίσιν αὐτοῖς, καὶ τοῖς σὺν ὑμῖν πᾶσι λοιποῖς, ὡς αὐτῷ τε τούτῳ καὶ ἑαυτοῖς τὴν ἀπώλειαν μετὰ τῶν ἄλλων προυξενηκότες· οὐ χωρήσεται τοίνυν εἰς διαμάχας καὶ ἀμφιγνωμοσύνας προκρίνοντες, ἀλλ' ἐν ὁμογνωμοσύνῃ καὶ συμφροσύνῃ τὸν ἐκλελεγμένον ἐκλέγοισθε· ἀμέλει καὶ τοῦ προεστῶτος δὲ ζῶντος, μέλλοντες (об.] ἐπιλέγεσθαι τὸν ἐπίλεκτον, ἂν μὲν πρὸς μίαν δράμοιτε συμφωνίαν καὶ βούλησιν, οὐκ ἀντιτεθήσεται ὑμῖν ὁ ἡγούμενος, ἑπόμενος δὲ μᾶλλον ἕψεται τῇ συνδρόμῳ ὑμῶν γνώμῃ καὶ ὁμοβούλλῳ, καὶ τον παρ' ὑμῶν ἐκλελεγμένον προχειριεῖται, εἰ δ', ὅπερ ἀπεύχομαι, τοὐναντίον διχογνωμονεῖτέ τε καὶ ἀμφιῤῥέποιτε, ἐκεῖνος ὑμῶν μηδένα λόγον ποιούμενος, ὃν ἂν αἱροῖτο, προτιμήσεται.

Περὶ τοῦ τῷ προεστῶτι τοὺς ἀδελφοὺς ἐξαγορεύειν, καὶ μηδένα τούτων ἄλλον ἔχειν πατέρα πνευματικόν, κἀκείνῳ τοὺς οἰκείους προσανατιθέναι λογισμούς.

ΙΕ΄. Ὑποτίθημι δὲ καὶ πᾶσιν ἁπλῶς, ἀδελφοί, ἅμα τῷ προχειρισθῆναι ὑμῖν τὸν ἡγούμενον σπεύδειν τὰ τῶν ψυχῶν αὐτῷ ἀνατιθέναι κινήματα πάντα, καὶ τοὺς λογισμοὺς ὑμῶν τοὺς ψυχοβλαβεῖς ἐξομολογεῖσθαι, ἵν' ἐντεῦθεν αὐτίκα τὴν πρὸς αὐτὸν σχέσιν τε ὑμῶν καὶ διάθεσιν, ὁποία, χαρακτηρίζοιτο, λογισμοὺς δέ, οὐ τοὺς προεξαγορευθέντας τοῖς προλαβοῦσι, φαμέν, ἀλλὰ τοὺς ὁσημέραι καὶ ὥραι παρενοχλοῦντας ὑμᾶς· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, ἀνθρώπους ὄντας ὑμᾶς, μὴ καὶ λογίζεσθαί τι πονηρὸν ποτέ, καὶ μὴ ἀναβολῇ τὸ καλὸν ἤτε διδόντες, ὅπερ οὐ δεῖ, ἀλλὰ σὺν προθυμίᾳ πάσῃ καὶ σπουδῇ πρὸς τοῦτο τρέχοιτε, ὡς ἂν ἓν ἦτε πάντες, τὸ αὐτὸ φρονοῦντες, τὸ αὐτὸ λογιζόμενοι, ὑφ' ἑνὶ καὶ τῷ αὐτῷ ποιμένι (л. 204] ποιμαινόμενοί τε καὶ ὁδηγούμενοι, καὶ καθαπερεί τις χρυσῆ σειρὰ ἀλλήλοις συνδούμενοι, ἀλλήλων τε περιέχοισθε, καὶ εἰς ἓν συναρμολογοῖσθε σῶμα ὑπὸ μιᾷ κεφαλῇ, κατὰ τὸν θεῖον ἀπόστολον, τῇ ἀρχιτεκτονίᾳ τοῦ Πνεύματος· εἰ δέ τις, ὢν ἀκαμπὴς καὶ ἀμείλικτος, ἀτεράμων τε καὶ ἀνένδοτος, τῷ ἑαυτοῦ τε στοιχῶν θελήματι, μὴ βούλοιτο τὴν πρὸς τὸν προεστῶτα ἐξομολόγησιν ποιεῖσθαι, ἀλλ' ἄλλον ἑαυτοῦ καὶ οὐ τοῦτον πνευματικὸν ἐπιγράφοιτο πατέρα, κἀκείνῳ τοὺς λογισμοὺς προσανατιθέναι διατείνοιτο, ἔξω που καὶ μακρὰν τῆς ἡμετέρας ποι-

μνης γινέσθω, παρευθὺ διωκόμενος καὶ μηδὲ ψειδὼ λαμβάνων μὴ ὁ ἔλεον, ἀλλ᾽ ὡς ἑαυτὸν ἀλλοτριῶν, οἷς ἄρα κακῶς, ὦ Θεοῦ πάντα βλέποντες ὀφθαλμοί, κακῶς καὶ λίαν ἐπικινδύνως βεβούλευτο, ἀποσκορακιζέσθω τῆς μονῆς καὶ ἀλλοτριούσθω, καὶ ξένος τῆς ἡμετέρας ἤτω μερίδος καὶ συναυλίας, διαίτης τε καὶ ὁμιλίας, ὡς διασπασμοῦ καὶ διαστάσεως, καὶ πάσης ἄλλης ἀκαταστασίας, καὶ ταραχῆς, καὶ βλάβης αἴτιος οὐ τῆς τυχούσης. Οὕτως μὲν δὴ οὗτος.

Παραίνεσις πρὸς τοὺς ἀδελφοὺς περὶ τῆς πρὸς τὸν προεστῶτα τιμῆς καὶ εὐλαβείας καὶ εὐπειθείας.

ΙΣ΄. Ὑμεῖς δέ, ἵνα πρὸς ὑμᾶς καὶ πάλιν τρέψωμαι, εἴητέ μοι πᾶσαν τιμήν, πᾶσαν εὔνοιαν, πᾶσαν εὐλάβειαν, πᾶσαν ὑποταγὴν [οβ.] ἀδιάκριτον, πᾶσαν εὐπείθειαν τῷ ἡγουμένῳ ὑμῶν ἀποσώζοντες, καθάπερ τινὶ τῶν θείων πατέρων εἴρηται, φησὶ γάρ· „Εἰ γὰρ ὑπὲρ ὑμῶν οἱ ὑμῶν ἐπιμελλούμενοι λόγον ἀποδοῦναι μέλλουσι, πῶς οὐχὶ κατὰ πάντα τούτοις ὑποταγησόμεθα, καὶ ὡς κεφαλῇ τὰ λοιπὰ μέρη τοῦ σώματος ὑπακούσομέν τε καὶ ἐξυπηρετήσομεν“: Καὶ ὁ θεῖος δὲ καὶ μέγας ἀπόστολος Παῦλος οὕτως ἐν τῇ πρὸς Ἑβραίους αὐτοῦ ἐπιστολῇ φάσκει· „Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες.“ Ἀλλὰ καὶ πρὸς ἀλλήλους ἀγάπην, εἰρήνην, ὁμόνοιαν φυλάττοντες, εἴητέ μοι, ἀλλήλων ὑπερκαιόμενοι ἐκ φιλοστόργου γνώμης, ἀλλήλους ὑποστηρίζοντες, νουθετοῦντες, παρακαλοῦντες, ἀνεχόμενοι, κατανοοῦντες ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, καὶ ἁπλῶς εἰπεῖν, πᾶν εἴ τι χρηστόν, εἴ τι σωτήριον, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, σπεύδοντες κατορθοῦν εἰς δύναμιν, φησὶ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· „Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς κἀγὼ ὑμᾶς ἠγάπησα“, καὶ πάλιν· „Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταὶ ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους“. Ὁρᾶτε, τίνος ἐσόμεθα μαθηταί, ταῦτα φυλάττοντες; ὁρᾶτε, [π. 205] οἵας δόξης καὶ μακαριότητος καὶ ἀγαλλιάσεως τυχεῖν μέλλομεν τῷ φιλανθρώπῳ Δεσπότῃ μαθητευόμενοι; Τοιγαροῦν, πάσῃ σπουδῇ, πάσῃ δυνάμει, πάσῃ προθυμίᾳ τῶν ἐντολῶν αὐτοῦ περιεχώμεθα.

Παραίνεσις πρὸς τὸν προεστῶτα.

ΙΖ΄. Καὶ σὺ δέ, ὦ πάτερ πνευματικέ, τῆς ἱερᾶς ταύτης ποίμνης καὶ ὁδηγέ, μέτριος ἔσο τοῖς ἀδελφοῖς, κηδεμονικός, καὶ τὸ ὅλον πατρικὴν αὐτοῖς ἀποσώζων τὴν εὔνοιαν. Ναὶ παρακαλῶ· πάντων κήδου,

πάντων φρόντιζε, ἀνέχου πάντων, ἀντέχου, νουθετῶν, παραινῶν, διδάσκων, παρακαλῶν, νοσοῦντας ὑγιάζων, ἀσθενοῦντας ὑποστηρίζων, ὀλιγοψυχοῦντας παραμυθούμενος, ἁμαρτάνοντας ἐπιστρέφων, ἑβδομηκοντάκις ἑπτὰ συγχωρῶν κατὰ τὴν τοῦ Κυρίου φωνήν· συμφέρει γάρ, αὐτὸν μιμουμένους τὸν Κύριον, συγκαταβατικοὺς ἡμᾶς κριθῆναι καί τι τῶν δεόντων παραλιμπάνοντας, ἢ τὴν ἄκραν φυλάττοντας δικαιοσύνην, ὡς ἀσυμπαθεῖς καὶ μισαδέλφους κατακριθῆναι, καί, ἵνα τἄλλα παρῶ, φησὶν ὁ ἅγιος Βασίλειος· „Καὶ αὐτὸς δὲ ὁ καθηγούμενος, ὡς πατὴρ παίδων γνησίων ἐπιμελούμενος, ἐπισκέψεται τὴν καθ' ἑνὸς ἑκάστου χρείαν, καὶ τὴν ἁρμόζουσαν κατὰ τὸ δυνατὸν εἰσάξει θεραπείαν καὶ ἐπιμέλειαν, καὶ τὸ κατ' ἀλήθειαν ἀσθενοῦν μέλος, (**οβ.**] εἴτε σωματικῶς, εἴτε ψυχικῶς, μετὰ ἀγάπης καὶ τῆς πατρικῆς εὐνοίας διαβαστάσει". Οὕτω δὲ πάντως ὑμῶν ἐχόντων, οὐκ ἔσται ὁ τῷ ἡγουμενεύειν, ἢ ὁ τῷ οἰκονομεῖν ἀναξίως ἐπιπηδῶν, χρόνους τυχὸν προβαλλόμενος, ἢ ἐνέργειαν, ἢ εὐγένειαν, ἢ ἀξιώμα, ἢ προσαγωγὴν κτημάτων τινῶν, ἢ χρημάτων, ἀλλ' ἐκεῖνος ἔσται προτιμητέος ἐν τούτοις, ὁ παρὰ πάντων ὑμῶν τῶν εἰς συμβουλὴν καὶ διάσκεψιν τῷ ἡγουμένῳ προκεκριμένων, καὶ αὐτοῦ δὴ τοῦ προεστῶτος ἐκλελεγμένος, κἂν ἐκ νέου τύχοι ἀποκαρείς, κἂν ἰδιώτης καὶ τοῖς ἔξω πράγμασιν ἀφελής· οὐδὲ μία γὰρ παρὰ τοῦτο βλάβη τῇ μονῇ προσγενήσεται, „δύναται γὰρ ὁ Θεὸς καὶ ἀπὸ λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ", καὶ τυφλοῖς διδόναι σοφίαν, καὶ λόγον ἀλόγοις ἐπιχορηγεῖν, ὅς γε καὶ πλέον ἐν τούτοις ἐπευδοκεῖ, ἢ τοῖς ἐγκαυχωμένοις τῇ ἑαυτῶν σοφίᾳ τε καὶ δυνάμει καὶ πλούτῳ· καὶ τούτου μάρτυς ὁ θεῖος ὄντως καὶ μέγας ἀπόστολος, ὁ ἅγιος Παῦλος, οὕτως διαρρήδην βοῶν· „Τὰ μωρὰ τοῦ κόσμου καὶ τὰ ἀσθενῆ καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καὶ δυνατοὺς καὶ ὑψηλοὺς καταισχύνῃ, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ". Ταῦτα δὴ καὶ τὰ περὶ χειροτονίας τῶν ἡγουμένων τε καὶ οἰκονόμων· μικρὸν δέ τι καὶ ἕτερον προσθήσω (**π. 206**] τοῖς εἰρημένοις καὶ λίαν χρήσιμόν τε καὶ ἀναγκαιότατον.

Περὶ τοῦ ὅτι οὐκ ἀνακρινοῦσιν οἱ ἀδελφοὶ τοὺς ἡγουμένους ἐφ' οἷς εἰσοδιάζουσι καὶ ἐξοδιάζουσιν, ἀλλ' οὐδὲ αὐτοὶ οἱ καθηγούμενοι, τοῖς συγγενέσι καὶ φίλοις ἑαυτῶν χαριζόμενοι, τὰ τῆς μονῆς ἀναλώσουσιν.

ΙΗ'. Οὐκ ἀνακρινοῦσιν οἱ ἀδελφοὶ τοὺς ἡγουμένους, οὐδὲ λόγον ποτὲ ἀπαιτήσουσιν ἐφ' οἷς εἰσοδιάζουσί τε καὶ ἐξοδιάζουσιν· ἀνάξιον γὰρ τοῦτο καὶ βλαπτικόν, καὶ οὐκ ὀλίγην ἀποτίκτον τὴν ἀπιστίαν, διχόνοιάν

τε καὶ ἀκαταστασίαν, καὶ εἴ τι ἕτερον σκάνδαλον ἐμποιοῦν· ἀλλ' οὐδὲ αὐτοὶ οἱ καθηγούμενοι, τοῖς συγγενέσι καὶ φίλοις ἑαυτῶν χαριζόμενοι, τὰ τῆς μονῆς ἀναλώσουσιν, ἔσονται γὰρ οὕτω ποιοῦντες τῶν θείων ἀμέτοχοι μυστηρίων ἐν Ἁγίῳ Πνεύματι. Εἰ γὰρ καὶ τοῖς ἀδελφοῖς μὴ ὑπάγεσθαι ἐν ἐξετάσει τῶν πραττομένων αὐτοὺς κεκρίκαμεν, ἀλλὰ τὸν ἀπαραλόγιστον δικαστὴν καὶ τὸν τῆς συνειδήσεως ἔλεγχον ὄντως οὐκ ἐκφεύξονται, διὸ καὶ προσεκτέον αὐτοὺς μὴ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· κἂν γὰρ ἡμεῖς οὐχ' ἱκανῶμεν ἰσόρροπον αὐτοῖς ἐπιθεῖναι τὸ ἐπιτίμιον τῆς ἄνευ λόγου καὶ μὴ δεούσης ἐξόδου καὶ καινοτομίας τῶν τῆς μονῆς πραγμάτων τε καὶ χρημάτων, ἀλλὰ τὴν τοῦ Θεοῦ φρικτὴν κρίσιν οὐ διαφεύξονται. ἣν καὶ ἐπιψηφιζόμενοι τούτοις ταῦτα γράφομεν. (об.| Εἰ δὲ τοσοῦτον ἀδεεῖς ὀφθεῖεν καὶ ἀναιδέστατοι. ὡς μηδὲ τὸ τοῦ Θεοῦ δεδιέναι κρῖμα, ἀλλ' ἀπρεπῶς τὰ τῆς μονῆς ἀναλίσκοιεν, ἀκοινώνητοι ἔσονται, ἕως ἂν τοῦ τοιούτου ἀπόσχωνται. Καὶ ταῦτα τοῖς εἰρημένοις προστεθῆναι ἀναγκαιότατον.

Περὶ τοῦ ἀνεκποίητα εἶναι τὰ ἱερά, τὰς ἁγίας εἰκόνας. καὶ τὰ ἀκίνητα· εἰρμὴ που συμβαίη τὰ ἐνταῦθα ἀναταττόμενα αἴτια.

ΙΘ'. Ἀνεκποίητα εἶναι βουλόμεθα τὰ ἐπικτηθέντα ἡμῖν ἱερά τε σκεύη καὶ ἔπιπλα, θείας τε εἰκόνας καὶ βίβλους. Περὶ γὰρ τῶν ἀκινήτων περιττόν ἐστι καὶ λέγειν, οὐ μόνον δὲ ἀνεκποίητα, ἀλλὰ καὶ παντελῶς ἀναφαίρετα, καὶ παρὰ μηδενός ποτε τὸ σύνολον ὑφαιρούμενα, ὅτι τε κόπῳ πολλῷ καὶ μόχθῳ προσεπεκτήθησαν. καὶ ὡς ἀναθήματα τῇ Κυρίᾳ ἡμῶν καὶ Δεσποίνῃ, τῇ ὑπεραγίᾳ Θεοτόκῳ καὶ Εὐεργέτιδι, ἀφιερώθησαν· καὶ ὁ τούτων τι ἀποκτησόμενος, ἢ ὑφαιρησόμενος διὰ πρόφασιν τὴν οἱανοῦν. τῷ τῆς ἱεροσυλίας ὑποπεσεῖται ἐγκλήματι, καὶ ταῖς ἐπὶ τούτῳ νομίμοις εὐθύναις ὑπόδικος ἔσται· ἑτέραν γὰρ εὔλογον πρόφασιν τοῦ ὑφαιρεσίν τινα τούτων ποιήσασθαι, ἢ ἀπόκτησιν. οὔθ' ἡμεῖς, οὔτ' ἄλλος τις εὖ φρονῶν ὁρίσαιτο, εἰ μὴ τὴν ἐκ τυχηρᾶς συμβάσεως περίστασιν, τὴν ἐξ ἐμπρησμοῦ τυχὸν γενομένην, ἢ ἐπιδρομῆς τινων πολεμίων, τὴν μονὴν ἴσως τεφρωσάντων, (л. 207] ἢ καὶ ἀπὸ βάθρων καταῤῥιψάντων, ἢ καὶ τὴν ἀπὸ σεισμοῦ κατάπτωσιν, καὶ τηνικαῦτα πολλῆς ὅτι δέοιντο τῆς ἐξόδου εἰς περιποίησιν, ἢ καὶ ἀνέγερσιν· τότε γὰρ εὐλόγως ὑφαιρεθήσονται, ἢ καὶ ἀποκτηθήσονται· ὑφαιρεθήσονται δέ, νομισμάτων ἴσως μὴ ὄντων τῶν εἰς περιποίησιν τοῦ δέοντος ἀρκετῶν. οὐ τοῦτο δὲ μόνον, ἀλλ' οὐδὲ λαθραίως, ἢ ὑφ' ἑνὸς καὶ ἀνωΐστι, ἀλλ' ἐς προῦπτον καὶ ἀριδήλως, συνιόντων

ἐπὶ τὸ αὐτὸ τοῦ προεστῶτος, τοῦ οἰκονόμου, τοῦ ἐκκλησιάρχου, καὶ τῶν λοιπῶν προκρίτων διακονητῶν, καὶ παρουσίᾳ τούτων πάντων τὴν τῶν δεόντων ὑφαίρεσιν ποιεῖσθαι, τοῦ βρεβίου ἐπὶ μέσον κειμένου, καὶ παρὰ τοῦ ἡγουμένου σημειουμένου τῶν ἀφαιρουμένων ἑκάστου· οὐ μὴν ἀλλὰ καὶ πρακτικὸν τῆς τῶν ἀφαιρεθέντων χάριν προτρέπομεν γίνεσθαι δηλώσεως, ὑπογεγραμμένων παρὰ τούτων πάντων τῶν συνιόντων, καὶ ἀριδήλως παριστῶν τά τε ἀφαιρεθέντα εἴδη, καὶ τὴν αἰτίαν, δι' ἣν ἀφῃρέθησαν, ὅπερ καὶ ἀποθετέον ἐν τῷ σκευοφυλακίῳ εἰς δήλωσιν τοῖς μετέπειτα. Τί ἔτι;

Περὶ τοῦ τὸν ὀοχειάριον τῶν νομισμάτων τὰς εἰσοδοεξόδους ἀκριβῶς ἀναγράφεσθαι εἰς πληροφορίαν πάντων.

Κ΄. Τὸν τὰς εἰσόδους τε καὶ ἐξόδους τῆς μονῆς [об.] διακονοῦντα καταλεπτὸν ἀπογράφεσθαι ἐντελλόμεθα τάς τε εἰσόδους, ὅθεν καὶ πότε, καὶ τὰς ἐξόδους, ὅθεν καὶ ποῦ. εἰ μέλλοι ἑαυτῷ τε τὸ ἄμεπτον περιποιεῖσθαι καὶ πάντας πληροφορεῖν. Εἴρηται μὲν δὴ καὶ ταῦτα προσφόρως, καὶ ὡς ἦν δυνατόν· λοιπόν, καὶ πρὸς τὰ ἄλλα τὸν λόγον ἰτέον, καὶ λεκτέον καὶ περὶ ἐκείνων ἐνδεχομένως.

Περὶ τοῦ τοὺς ματαιολογοῦντας καὶ ἀργολογοῦντας νουθετεῖσθαι παρὰ τοῦ κρείττονος.

ΚΑ΄. Εἴπερ τινὲς ὑμῶν ἐν ἐργοχείρῳ τινί, ἢ καὶ ἄλλῃ διακονίᾳ συνέρχοιντο, καὶ ματαίαις ἀπασχολοῖντο ταῖς ὁμιλίαις· εἴωθε γὰρ τοῦτο ταῖς συνελεύσεσιν· εἶτα καὶ εἰς ἀργολογίας ἐκτρέποιντο. ἐκ πολυλογίας γὰρ φησὶν οὐκ ἐκφεύξῃ ἁμαρτίαν, νουθετεῖσθαι παρὰ τοῦ κρείττονος μὴ παραιτείσθωσαν· ἐντελλόμεθα γὰρ αὐτῷ τοῦτο ποιεῖν ἐξ ἀγάπης, καὶ πείθειν τῶν ψυχοβλαβῶν ἀφεμένους, ἀπὸ τῶν θείων Γραφῶν, ὡς ψυχοφελῶν, διαλέγεσθαι, ἢ σιγᾶν· „φειδόμενος γὰρ χειλέων, νοήμων ἔσῃ καὶ φρόνιμος“, φησὶν ὁ Παροιμιαστής. Καὶ ἐν ὁδῷ δὲ τυγχάνοντες, καὶ τὸ αὐτὸ νοσοῦντες, τῷ αὐτῷ θεραπευέσθωσαν· χρὴ γὰρ οὐχ ἥκιστα τούτους τηνικαῦτα ἐγρηγορέναι περὶ τὴν τοῦ νοὸς τήρησιν, εἰδότας, ὡς εὔκολον [л. 208] δήπου τῷ ἀντικειμένῳ ῥᾳδίως αὐτοῖς ἐπιβῆναι καὶ πρὸς πτῶσιν καταγαγεῖν, ὃ μὴ γένοιτο, οἷα καὶ τῆς μάνδρας, καὶ τῆς ποίμνης, καὶ τοῦ ποιμένος ἀπῳκισμένους. Πρὸς τούτοις, μηδὲ πρὸς ὕβρεις ἀλλήλων χωρεῖν ἢ διαπληκτισμούς· ὁ γὰρ τοιοῦτο ποιῶν ἀφορισμῷ ὑποπε

σεῖται, μὴ μετανοῶν δὲ καὶ τὴν συγχώρησιν ἐξαιτούμενος ἐν συντετριμμένῃ καρδίᾳ, καὶ ἐπιτιμηθήσεται· εἰρήνην γὰρ καὶ ἀγάπην ἔχειν αἱρούμεθα πρὸς ἀλλήλους ὑμᾶς πάντοτε, καί, ἀντὶ τοῦ παροξύνοντος, μεταμαθεῖν τὸ „Εὐλόγησον καὶ συγχώρησον, ἀδελφέ“, καὶ οἱ συνελεύσεις δὲ ματαίας ποιοῦντες, καὶ παραβάλλοντες ἀνευλόγως ἀλλήλοις καὶ χωρὶς τινὸς χρειώδους αἰτίας καὶ τῆς τοῦ προεστῶτος εἰδήσεως, νουθετούμενοι, καὶ μὴ τοῦ κακοῦ ἀπεχόμενοι, ἐπιτιμηθήσονται.

Περὶ τοῦ μὴ ἐπικτήσεις τινὰς ἔχειν παρὰ τὸν κανόνα τῆς μονῆς, καὶ περὶ τοῦ μὴ λαθροφαγοποτεῖν, καὶ λοιπῶν.

ΚΒ΄. Καὶ οἱ ἐπικτήσεις τινὰς ἐπικτώμενοι παρὰ τὸν κανόνα τοῦ μοναστηρίου, ἄχρι καὶ ὀβολοῦ ἢ ὀπώρας, μὴ εἰδότος τοῦ προεστῶτος, τῷ ἐπιτιμίῳ ὑποπεσοῦνται, παραπλησίως δὲ τούτοις καὶ ὁ λαθροφαγοποτῶν, εἰ μὴ ἐξομολογοῖτο, καὶ ὁ μηνύματα δεχόμενος ἐκ φίλων καὶ συγγενῶν, καὶ ἀντιγράφων αὐτοῖς· ὁ δέ τι νοσφιζόμενος ἀπὸ τῆς μονῆς, μὴ διορθούμενος δέ, ἐκδιωχθήσεται ἐξάπαντος.

Περὶ τοῦ μὴ ἀριθμὸν εἶναι ἐν τοῖς ἀδελφοῖς, ἀλλὰ τοὺς ἀρκετῶς ἔχοντας τῆς διατροφῆς, καὶ τοὺς εὐλαβεῖς, καὶ μὴ τοὺς ἀτάκτους καὶ ἀπειθεῖς, εἶναι ἐν τῇ μονῇ.

ΚΓ΄. Προσκείσθω καὶ τοῦτο τοῖς εἰρημένοις, ἀριθμὸν ἐν ὑμῖν οὐ βουλόμεθα εἶναι, τοσοῦτοι δὲ ἔσεσθε, ὁπόσων ἀρκετῶς ἔξετε τῆς διατροφῆς, καὶ ὅσοι τὴν εὐλάβειαν καὶ τὴν ἀγάπην καὶ τὴν ὁμόνοιαν τῶν ἄλλων πάντων ἡγοῦνται προτιμητέοι, καὶ τοῖς προεστῶσιν αὐτῶν ἐν πάσῃ ὑπομονῇ καὶ ταπεινώσει καρδίας ὑπείκουσι, καὶ τὰ παρ' ἐκείνων ἐντελλόμενα φιλοθέως ἐκπληροῦν σπουδάζουσιν, οἱ δ' ἄλλοι ἀποπεμπέσθωσαν, κἂν εἰς ὀλίγους δέοι περιστῆναι ὑμᾶς· κρεῖσσων γὰρ εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι.

Περὶ τοῦ μὴ ἐξεῖναι τοῖς ἀδελφοῖς ἔχειν ὑπουργούς.

ΚΔ΄. Ὑπουργοὺς οὐκ ἐξέσται ὑμῖν ἔχειν. εἶναι δὲ σὺν δύο ἐν τοῖς κελλίοις καὶ μάλα χρηστόν· εἶναι δὲ ἓν καὶ τὸ αὐτό, πνέοντας ἀγάπης νόμῳ πνευματικῇ, τὸ αὐτὸ φρονοῦντας, καὶ ὡς ὁμοψύχους ἀδελφοὺς τῷ ὄντι συνδιάγοντας, τὸν αὐτόν τε ζυγὸν τοῦ Κυρίου ἕλκοντας ὁμοψύχως,

καὶ ἀλλήλοις ἐν εἰρήνῃ καὶ τῇ δεούσῃ ἐπιμελείᾳ καὶ εὐλαβείᾳ ὑποτατ-τομένους, ἵνα καὶ ἐν (π. 209) ὑμῖν χώραν ἔξῃ τὸ τοῦ Δαβὶδ πληροῦ-σθαι ῥητόν, τὸ „Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό"; Δέον δὲ κἂν τούτῳ τὴν διάκρισιν ποιῆσαι τὸ ἴδι-ον, ὡς ὑπείκειν δηλαδὴ τὸν ἀρχαρέστερον τῷ προωδευκότι, τὸν ἰδιωτι-κώτερον τῷ λογιωτέρῳ, τὸν ἀγροικότερον τῷ ἐμπειροτέρῳ, καὶ τὸν νεώ-τερον τῷ γηραιοτέρῳ· εἰ δέ τινας καὶ μόνους εἶναι ἐν τοῖς κελλίοις κρί-νοι ὁ προεστώς, αὐτὸς ἂν εἰδείη τὸν τρόπον.

Περὶ τοῦ προεξωνεῖσθαι ἱμάτια καὶ τῷ δοχείῳ ἐναποτίθεσθαι.

ΚΕ'. Ἱμάτια ὠνεῖσθαι καὶ τῷ δοχείῳ ἀποτίθεσθαι ἐπιτρέπομεν, ὡς ἂν, ὅτε χρήζοιτε, λαμβάνητε, περιποεῖσθαί τε καὶ τὰ παλαιὰ κατὰ δύναμιν, καὶ χρᾶσθαι τούτοις καλόν· μόνην γὰρ τὴν ἀναγκαίαν ζητητέον χρείαν, τὸ δὲ περισσόν, ὡς τοῦ ἐναντίου, μισητέον. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν μανδύων, καὶ τῶν περιστηθίων, καὶ τῶν ὑποδημάτων, καὶ πάντων ἁπλῶς τῶν χρειωδῶν λέγομεν. Ὅταν γοῦν σχοίη τις ἀναγκαίως καινό-τερόν τι τούτων ἀπολαβεῖν, τὸ παλαιὸν κομιστέον ἄρα ἐν τῷ δοχείῳ. δοτέον τε αὐτὸ τοῦτο, καὶ ἕτερον ἀποληπτέον εἰδήσει τοῦ προεστῶ-τος· ἄλλως γάρ, εἰ μὴ τὰ παλαιὰ κομίζοιτε διδόναι ὑμῖν οὐκ ἐντελλό-μεθα. (οδ.]

Περὶ τοῦ πάντας τῇ αὐτῇ βρώσει καὶ πόσει καὶ ἐνδυμασίᾳ χρᾶσθαι, ἐκτὸς τῶν προφανῶν ἀῤῥώστων.

ΚS'. Ἐπὶ δὴ τούτοις, καὶ τοῦτο ὑμῖν ἐνώπιον τοῦ Θεοῦ καὶ αὐτῆς τῆς Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἠὐεργέτιδος παραγγέλλομεν, ὡς ἂν εἴη πᾶσιν ὑμῖν ἡ αὐτὴ τροφή τε καὶ πόσις, ἔνδυσίς τε καὶ ὑπόδυσις, καὶ μὴ διαφορά τις τούτων ποτὲ ἐν ὑμῖν γένοιτο, ἀλλὰ τοῖς αὐτοῖς χρή-σεσθε πάντες, φημὶ δὴ ὁ ἡγούμενος, ὁ οἰκονόμος, ὁ ἐκκλησιάρχης, οἱ προὔχοντες τῷ χρόνῳ καὶ τῇ ἀρετῇ καὶ τῇ τοῦ βίου περιφανείᾳ, καὶ οἱ τούτων κατὰ ταῦτα λειπόμενοι· μόνους γὰρ ἐκείνους θεραπευτέον ἐν ἅπασι καὶ χειραγωγητέον, ὅσοι δὴ προφανεῖς ἀῤῥωστίας περίκεινται, καὶ διὰ τοῦτο δέονται τυχὸν κρείττονος βρώσεώς τε καὶ πόσεως πρὸς σύστα-σιν τοῦ ταλαιπώρου αὐτῶν σώματος· τοῦτο γὰρ καὶ διακρίσεως οἶμαι, καὶ τὴν συνείδησιν τῶν λοιπῶν διατηροῦν ἀσκανδάλιστον.

Περὶ τοῦ καθ' ἕκαστον μῆνα ἐπισκέπτεσθαι τὸν ἡγούμενον τὰ κελλία τῶν ἀδελφῶν, καὶ εἴ τι πλεῖον εὑρίσκει τῶν αὐτοῖς ἀναγκαίων, τοῦτο ἀναλαμβάνειν.

ΚΖ'. Καὶ τοῦτο δὲ ποιεῖν τὸν ἡγούμενον ἀναγκαῖον, εἰσιέναι ἐν τοῖς κελλίοις ὑμῶν τοῦ μηνός, ὁπότε καὶ βούλοιτο, καὶ τὰ περιττά, εἴπερ εἰσί (**π. 210**] τινες ἔχοντες, ἐκφορεῖν καὶ τῷ δοχείῳ ἀποτιθέναι, ἢ τοῖς ἐνδεῶς ἔχουσιν ἐπιχορηγεῖν.

Περὶ τοῦ ἕνεκεν τῶν ἀῤῥώστων εἶναι καὶ ἅπτειν τὸ λουτρόν, ἕνεκεν δὲ τῶν ὑγιαινόντων ἀδελφῶν τρὶς καὶ μόνον ἅπτειν τοῦ ἐνιαυτοῦ.

ΚΗ'. Καὶ ἄλουτοι δὲ τὸ παράπαν διάγοιτε, εἰ γὰρ καὶ λουτρὸν προσῳκοδομήκαμεν τῇ μονῇ, ἀλλ' οὐχ ὥστε ζῆν ὑμᾶς θρυπτικῶς, εὐεκτοῦντας καὶ λουομένους, ἀλλ' ὥστε τοὺς ἀῤῥωστοῦντας, εἰ δέοι παραμυθεῖσθαι· τοὺς μέντοι ὑγιῶς ἔχοντας τρὶς παραχωροῦμεν τοῦ ἐνιαυτοῦ λούεσθαι, ἔν τε τῇ τῶν ἁγίων Χριστουγέννων ἑορτῇ, καὶ τῇ τοῦ θείου Πάσχα, καὶ τρίτον, τῆς ἐκ τῶν περιγείων ἐνσωμάτου μεταστάσεως τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πλέον δὲ εἰ δεῖ, τῇ τοῦ προεστῶτος διακρίσει παραχωρητέον. Ἤρκει μὲν οὖν ταῦτα τῇ ὑμῶν ἀρετῇ, ἀλλ' ἵνα μὴ καὶ περὶ τῶν ἄλλων ἐριστικῶς ἔχοιτε, δέον καὶ περὶ ἐκείνων διαλαβεῖν.

Περὶ τοῦ τοὺς διακονητὰς χειροτονεῖν κατὰ τὴν τοῦ οἰκονόμου προχείρισιν.

ΚΘ'. Αἱ χειροτονίαι τῶν διακονητῶν κατὰ τὴν τοῦ οἰκονόμου προχείρισιν ὀφείλουσι γίνεσθαι, τῶν κλειδίων δηλαδὴ ἐνώπιον τιθεμένων τοῦ Χριστοῦ ἢ τῆς Θεοτόκου, καὶ Τρισαγίου γινομένου, καὶ αὐτοῦ δὴ τοῦ (**οδ.**] προχειριζομένου μετὰ τὰς δεούσας τρεῖς γονυκλισίας, τὰς κλεῖς ἐκεῖθεν λαμβάνοντος αὐτοχείρως, εἶτα, τῷ προεστῶτι τὸν ἑαυτοῦ ὑποκλίνοντος αὐχένα, καὶ τὴν ἀνωτέρω ῥηθεῖσαν εὐλόγησιν παρ' ἐκείνου ἐκδεχομένου· ταῖς μέντοι μὴ ἐχούσαις κλειδία, ὁ τῆς θείας εἰκόνος ἀσπασμός, καὶ ἡ τοῦ ἡγουμένου σφραγίς, ἀρκέσουσιν εἰς προχείρησιν.

Περὶ τοῦ εἶναι σκευοφύλακα ἐν τῇ μονῇ, καὶ δοχειάριον τῶν νομισμάτων, καὶ δοχειάριον τῶν πανίων.

Λ΄. Πρέπον οὖν τρεῖς εἶναι δοχειαρίους, ὧν τὸν μὲν ἕνα, τὰ τῆς μονῆς ἱερὰ σκεύη καὶ ἔπιπλα, καὶ ἁπλῶς εἴτι κρεῖττον ἐστὶ παραφυλάττειν, ὃν δὴ καὶ σκευοφύλακα ἐπικλητέον, τὸν δὲ ἕτερον, τὰ τῆς μονῆς νομίσματα κατέχειν, τὸν δ' ἄλλον, τοῖς ἀδελφοῖς διανέμειν τὰ χρειώδη ἀπὸ τοῦ δοχείου, ἐνδύματα λέγω καὶ ὑποδήματα καὶ τὰ λοιπά, ποιεῖν τε καὶ τὴν τῶν παραβαλλόντων ἀδελφῶν ἀνάπαυσιν ἐνδεχομένως ἐν τοῖς κοιτῶσιν, ὧν ἄρα τὴν ἐπὶ βρώσει χρείαν ἡ κοινὴ τράπεζα παραθήσοι πρός τε τὸν καιρὸν καὶ τὸ πρόσωπον.

Περὶ τοῦ εἶναι ἐπιστημονάρχην καὶ τραπεζάριον.

ΛΑ΄. Ὡς δέον εἶναι καὶ ἐπιστημονάρχην, ἔν τε ταῖς τῶν ψαλμῳδιῶν εἰς τὸν ναὸν εἰσελεύσεσι, καὶ ἐν ταῖς τῶν ἑστιάσεων ἐπιτηροῦντα (**π. 211**] τοὺς ἀδελφούς, ὡσαύτως καὶ κατὰ πᾶσαν ὥραν, καὶ συγκαθημένους ἀνευλόγως, ἢ ἀργολογοῦντας, ἢ ἀργοῦντας. εἴτε τι ἀπρεπὲς καὶ ἀνόνητον ποιοῦντας ἀδελφικῶς παραινοῦντα καὶ διορθούμενον, πείθοντά τε ταῖς αὐτῶν προσιέναι κέλλαις, τῇ εὐχῇ καὶ τῷ ἐργοχείρῳ προσανέχοντας, ἀλλὰ μὴν καὶ τραπεζάριον, διακονοῦντα μὲν καὶ ἐφ' οἷς ὁ κελλαρίτης αὐτῷ ἐπιτρέψειε. περιιόντα δὲ καὶ τὴν τράπεζαν ἐν τοῖς καιροῖς τῶν ἑστιάσεων, καὶ τοὺς ἀδελφοὺς ὀγλοῦντας ἴσως, ἢ ψιθυρίζοντας, ὑπομιμνήσκοντα τὴν σιωπὴν καὶ τὸν πεντηκοστὸν κατὰ νοῦν ψάλλειν ἕκαστον, ἔτι γε μήν, καὶ τοὺς παραβάλλοντας ἀνερευνᾶν, καὶ ὡς εἰκὸς καθίζειν εἰς τὴν τράπεζαν, παρατηρεῖσθαί τε καὶ τὴν τῶν ἀδελφῶν εἰσέλευσιν ἐν τῇ τραπέζῃ, καὶ σημειοῦσθαι τίς μὲν αὐτῶν ἀπέλειψεν ἐν τῇ εὐχαριστίᾳ, τίς δὲ καὶ εἰς τὴν ἑστίασιν, καὶ προσαγγέλλειν τούτους τῷ προεστῶτι· μὴ γὰρ οὕτω ποιῶν, ὡς μὴ ὀλοψύχως διακονῶν, ἐπιτιμηθήσεται.

Περὶ τοῦ τοὺς κατὰ Θεὸν διακονοῦντας καὶ μετ' ἐπιμελείας τὰς διακονίας αὐτῶν ἐὰν ἐν αὐταῖς ἀμετακινήτους, τοὺς δὲ δολερῶς καὶ ἀμελῶς μετερχομένους αὐτάς, μεθιστᾶν καὶ ἄλλους ἀποκαθιστᾶν, καὶ ἀρὰ τοῦ κτήτορος (**οβ.**] κατὰ τῶν νοσφιζομένων τι ἀπὸ τῶν διακονιῶν αὐτῶν.

ΛΒ΄. Ἀμέλει τοὺς ἐφ' ἑκάστην τῶν διακονιῶν προκεχειρισμένους, προσεκτικῶς μὲν καὶ θεοφόβως αὐτὰς μετιόντας, ἐὰν ἀμετακινήτους δι-

καιον, ἀμελοῦντας δὲ αὐτῶν καὶ καταφρονοῦντας, ἴσως δὲ καὶ δολιευομένους ἐν αὐταῖς, μεθιστὰν καὶ ἑτέρους ἀποκαθιστᾶν· εἴ τις δὲ τούτων νόσφιζόμενος εἴη τι, ἄχρι καὶ τοῦ τυχόντος, ὑπόδικος ἔσται τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τῇ παναχράντῳ αὐτοῦ Μητρί, καὶ κοινῇ Εὐεργέτιδι, ἀφ' ὧν ἄρα τὰς κλεῖς παρέλαβεν ὑποσχόμενος ἀδόλως καὶ ἐκθύμως διακονῆσαι.

Παραίνεσις πρὸς πάντας τοὺς διακονητὰς, τούς τε ἔνδον τῆς μονῆς καὶ τοὺς ἔξω.

ΛΓ'. Παρακαλῶ οὖν τοὺς κελλαρίτας, τοὺς ἀρτοποιούς, τοὺς ὀψοποιούς, τοὺς ἐπιμελητὰς τῶν ἡμιόνων, τοὺς μετοχειαρίους, τοὺς οἰκονομοῦντας ἐν τοῖς τῆς μονῆς κτήμασι, τοὺς ἐν τῇ πόλει στελλομένους, τοὺς ἄλλοσέ που ἀπιόντας ἐκ προτροπῆς τῶν προεστώτων, καὶ ἁπλῶς πάντας τοὺς διακονοῦντας, ὁλοψύχως τῶν διακονιῶν αὐτῶν ἔχεσθαι, ὡς οὐ μικρὰν ἐντεῦθεν ἐλπίζοντας τὴν ἀντάμειψιν, ὧν τοῖς μὲν ἀγραμμάτοις ἀρκέσει πάντως εἰς ἀπολογίαν καὶ Θεῷ καὶ ἡμῖν ἡ περὶ τὴν διακονίαν προσοχή τε καὶ ἐπιμέλεια, τοὺς δέ γε εἰδότας μὲν (π. 212] γράμματα, κωλυομένους δὲ ἴσως διὰ τὸ τῆς διακονίας πολύοχλον, τὴν ἐν ταῖς εὐχαῖς αὐτῶν ἀκολουθίαν ἐκτελεῖν καὶ τοῦ συνιέναι τοῖς ἀδελφοῖς κατὰ τὰς συνάξεις, παραινοῦμεν μὴ ὀλιγωρεῖν, ἢ ἀπογινώσκειν, ὡς δὴ τὴν ἑαυτῶν ἀπολωλεκότας ὠφέλειαν, ἀλλ' εὐθύμως τε μᾶλλον ἔχειν καὶ χαρμοσύνως, ὅτι ἐνίσχυσεν αὐτοὺς ὁ Κύριος τοῖς ἑαυτῶν ἀδελφοῖς κατὰ μίμησιν ἐκείνου διακονῆσαι, ὃς φησίν· „οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχήν μου λύτρον ἀντὶ πολλῶν". Ὁρᾶτε, ἀδελφοί μου, ποῖον αὐτοὶ ἔργον ἀποπληροῦτε, ὁρᾶτε τίνα μιμεῖσθε; Βλέπετε, ὅτι τὸ κεφάλαιον παντὸς ἀγαθοῦ τὴν ἀγάπην μετέρχεσθε; τί οὖν λυπεῖσθε καὶ κατηφιᾶτε τῆς συνάξεως ἀπολειπόμενοι; οὐκ ἐννοεῖτε, ὅτι τὰς ἑαυτῶν ψυχὰς τίθεσθε ἀντὶ πολλῶν, ὡς ὁ ἐμὸς Δεσπότης Χριστός, ἵνα δηλαδὴ τοὺς ἀδελφοὺς ὑμῶν ἀναπαύσητε; Χαίρειν μὲν οὖν δεῖ καὶ σκιρτᾶν ὑμᾶς, ὅτι ὁ μόλις δύναιντ' ἂν κατορθῶσαι οἱ τῇ εὐχῇ προσανέχοντες, ἔργῳ καθεκάστην αὐτοὶ ἐκπληροῦτε, μακάριοι ἐστὲ τῆς ἐντεῦθεν ἀπασχολίας καὶ ζηλωτοί· καλὴ μὲν γὰρ καὶ ἡ προσευχὴ καὶ σφόδρα καλή, Θεῷ προσομιλεῖν ἡμᾶς ποιοῦσα, καὶ ἀπὸ γῆς εἰς οὐρανὸν ἡμᾶς (οβ.] αἴρουσα, κρεῖσσον δὲ ἄρα καὶ μείζων πολλῷ πλέον (ἡ) ἀγάπη· ἐκείνη μὲν γὰρ μέρος ἀρετῆς, καὶ τοῦ ὅλου σώματος τῆς τελειωτικῆς τελειότητος ἀπότμημά τι καὶ μόριον, ἡ δὲ ἀγάπη κεφαλὴ καὶ ἀπαρτισμός· καὶ γὰρ καὶ

τὴν ὑποποιὸν ταπείνωσιν συνεζευγμένην ἑαυτῇ δείκνυσι, καὶ τὴν ἐλεημοσύνην καὶ τὴν φιλανθρωπίαν, δι' ἃ καὶ μᾶλλον ὁ Θεὸς γέγονεν ἄνθρωπος, καὶ ἃ καλεῖται Θεός, καὶ δι' ὧν ὁ ἄνθρωπος Θεὸς ἀποδείκνυται καὶ τῷ οὐρανίῳ Πατρὶ ὅμοιος, ἵνα τί γοῦν, τὸν θησαυρὸν τούτων πάντων τῶν ἀγαθῶν ἀφέντες καὶ τὴν κεφαλήν, ἐπὶ τὰ κάτω καὶ πρὸς ἑνὸς ἐπίκτησιν τρέχετε; δέον τὴν κεφαλὴν οὕτω φθάσαντας εὐπετῶς κατέχειν τε ἀσφαλῶς καὶ πάντα ποιεῖν, ὥστε μὴ ταύτης ἐκπεσεῖν· δεδοίκαμεν, φασί, διὰ τὴν τοῦ κανόνος ὑστέρησιν, ἀλλὰ μὴ δεδίατε· ἡ γὰρ καθαρὰ ἐξαγόρευσις τὸ ὑστέρημα ταύτης ἀναπληρώσει ὑμῖν, τὴν συγχώρησιν δικαίως ἐπιβραβεύσασα, μόνον μὴ ῥᾳθυμίας ᾖ τὸ ὑστέρημα, τοῦτο φοβεῖσθε, τοῦτο προσέχετε· ἂν δὲ τοῦτο μὴ εἴη, χαίρετέ μοι τῶν διακονιῶν προθύμως ἐχόμενοι. Οἱ μὲν δὴ διακονηταὶ οὕτως ἱκανῶς νουθετηθέντες, ὅλοι τοῦ διακονεῖν ἔσονται καλῶς (π. 213] ποιοῦντες, ἐγὼ δὲ ὅ με μικροῦ παρέδραμε, τοῦτο δὴ προσθήσω τῷ λόγῳ.

Περὶ τοῦ ὁποίους δεῖ εἶναι τοὺς ἀποστελλομένους προνοητὰς ἐν τοῖς κτήμασιν.

ΛΔ'. Ἐπεὶ τοίνυν τῇ ἀσθενείᾳ ἡμῶν συνεπόμενοι, καὶ κτήσεις μικράς τινας ἀκινήτους ἐπεκτησάμεθα, καὶ δεῖ καὶ τούτων φροντίζειν τὸν προεστῶτα, παρατηρητέον αὐτῷ τὰ εἰς δύναμιν ὁποίους εἶναι τοὺς εἰς τὴν τούτων πρόνοιαν πεμπομένους, εὐλαβεῖς δηλονότι καὶ σώφρονας καὶ γηραιοὺς εἰς ἅπαν, εἰ δυνατόν, καὶ πρὸς τὰ πάθη νεκροὺς διὰ τὰς ἐκ τοῦ Βελίαρ ἐπιβουλάς. Ἀρκούντως ἤδη περὶ τῶν τῇ μονῇ ἁρμοδίων καὶ ὡς εἰκὸς διαθέμενοι, περὶ τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τοιγαροῦν διαληψόμεθα.

Περὶ τῆς ἁγίας μνήμης τοῦ ἁγίου πατρὸς ἡμῶν κυροῦ Παύλου, τοῦ πρώτου κτήτορος.

ΛΕ'. Προσήκει τοίνυν λαμπρῶς καὶ μεθ' ὁλονύκτου ψαλμῳδίας ἑορτάζειν ὑμᾶς τὴν μνήμην τοῦ τρισμάκαρος καὶ ἀοιδίμου πατρὸς ἡμῶν καὶ κτήτορος, κυροῦ Παύλου, ἥτις κατὰ τὴν ἐκκαιδεκάτην τοῦ Ἀπριλλίου μηνὸς τυγχάνουσα, ἐπεὶ πολλάκις ἔσωθεν τῆς μεγάλης ἑβδομάδος εὑρίσκεται, καὶ τῶν πασχαλίων τῆς Διακινησίμου ἡμερῶν, μιᾷ πάντως τῆς μετὰ τὴν Διακινήσιμον ἑβδομάδος ἡμέρᾳ (οσ.] ἑορτασθήσεται ἀνεορτάστῳ. Εἰ δ' ἔξω τούτων καὶ ἀπόλυτος ἐπιστῇ, κατ'αὐτὴν δήπου ἀνυπερθέτως τελεσθήσεται, ἐν ᾗ καὶ συνδράμοι, εἰ μή τις εἴη κυριακή.

Περὶ τῶν μνημοσύνων τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν, καὶ τῶν ποιησάντων τι μνήμης ἄξιον τῇ μονῇ, καὶ τῆς ὑπερ αὐτῶν ἐν τῷ πυλῶνι διαδόσεως.

ΛΣ'. Ναὶ μὴν ἀλλὰ καὶ τῶν ὅσοι τι μνήμης ἄξιον τῇ μονῇ περιεποιήσαντο καὶ μνημονεύεσθαι παρ' ἡμῶν τετυπώκασιν, ἐτησίως τὰ μνημόσυνα γένοιντο, καὶ τῶν ἀδελφῶν δὲ ὁμοίως, ὧν δὴ καὶ τὰ ὀνόματα τοῖς διπτύχοις ἐνεγράφησάν τε καὶ ἐγγραφήσονται· οὐ μόνον δέ, ἀλλὰ καὶ τοῦ νεωστὶ τελευτήσοντος, καθεκάστην ἀνὰ πᾶσαν σύναξιν ὄρθρου τε, φημί, καὶ λειτουργίας καὶ ἑσπερινοῦ, τὴν ἀνάμνησιν γίνεσθαι ἐν ταῖς ἐκτενέσι δεήσεσιν ἄχρι τῶν τεσσαρακοστῶν αὐτοῦ, ἐν οἷς ὁσημέραι καὶ προσφορὰ ὑπὲρ αὐτοῦ προσκομισθήσεται, σὺν τούτοις δέ, ἀλλὰ καὶ τὰς μνήμας ἑκάστου τῶν θνησκόντων σημειωτέον τὸν ἐκκλησιάρχην, ἵν' ἔχοιεν ὑμῖν αὗται ἀνεπιλήστως καὶ τελῶνται ἀπαραλείπτως, πλὴν ἀλλ' ἐνταῦθα δεῖ τι καὶ οἰκονομικώτερον διορίσασθαι· ἐπειδὴ γὰρ ἐνδέχεται πληθυνομένων τῶν θνησκόντων ἀδελφῶν, πολλάκις ἐν τῇ (π. 214] αὐτῇ ἑβδομάδι τριῶν ἢ τεττάρων μνήμας συνδραμεῖν ἢ καὶ πλειόνων, καὶ ἀνάγκη πάντως μέλλοντας ἑκάστου μνήμην τελεῖν ἐν ταῖς παννυχίσι, καταλιμπάνειν τοὺς ἀφωρισμένους κανόνας ἐπὶ ταῖς παννυχίσι ταῖς καθ' ἡμέραν ὑμῖν χρεωστικῶς ὀφειλομέναις, καὶ τὸν ἐπὶ τῷ προαπελθόντι ψάλλειν, ἵνα μὴ τοῦτο γένοιτο, ἐντελλόμεθα, ὡς εἰ μέν τινες τῶν ἀδελφῶν ἀπιέναι καὶ ψάλλειν τὸν νεκρώσιμον αἱροῖντο, οἱ δὲ λοιποὶ τὸν τετυπωμένον τῆς παρακλητικῆς παννυχίδος, ἔστω καὶ τελείσθω, καὶ εὐαπόδεκτον ἡμῖν, οἶμαι δὲ καὶ τῷ Θεῷ, εἰ δὲ διὰ χειμῶνα ἴσως, ἢ καὶ ἀσθένειαν, ἵνα μὴ λέγω καὶ ῥᾳθυμίαν οὐ βούλοισθε τοῦτο, ἀλλὰ παρατηρητέον, καὶ ὅσων ἂν εἰδῆτε μνήμας ἐν μιᾷ καὶ τῇ αὐτῇ ἑβδομάδι συνδραμούσας, πάσας ὁμοῦ τῶν πάντων διὰ μιᾶς τελευτέον παννυχίδος διὰ πάντων, εἰ μή τις εἴη μνήμη τινὸς ἡγουμένου ὑμῶν γεγονότος· τούτου γὰρ ἡ μνήμη ἰδίᾳ τελεῖσθαι ὀφείλει, ὡς ὑπὲρ πάντων ἀπολογησομένου ὑμῶν, καὶ οὕτως ἐστὲ τοῖς τε ἀδελφοῖς ὑμῶν τὸ χρέος τῆς μνήμης ἀφοσιούμενοι, καὶ τοῦ κανόνος ὑμῶν μὴ ἐκπίπτοντες, καὶ ἐν μὲν ταῖς παννυχίσιν οὕτως, ἐν δὲ ταῖς ὑπὲρ αὐτῶν λειτουργίαις καὶ τοῦτο καλόν, τὸ ὁμοῦ πάντων (66.] διὰ μιᾶς γίνεσθαι τὰς μνήμας, προσφορῶν ὑπὲρ ἑκάστου κομιζομένων. Ἐπεὶ δὲ ὁ τῶν τάφων λειτουργὸς ἀφωρισμένος τετύπωται, ὡς βουλητὸν αὐτῷ ποιείτω, μᾶλλον δὲ ὡς δυνατόν· καὶ τὰ ἐν τῷ πυλῶνι δὲ διδόμενα ὑπέρ τινων, οἷον, φέρε εἰπεῖν τοῦ Προμοτηνοῦ,

τοῦ κατὰ Φλῶρον, καὶ ἁπλῶς παντὸς οὐτινοσοῦν μνήμης τι ἄξιον, ὡς εἴρηται, τῇ μονῇ καταλείψαντος ἢ καταλείφοντος, καὶ δίδοσθαί τι ταῖς μνήμαις αὐτῶν συμπεφωνήκασιν ἢ συμφωνήσαιεν, παρέχεσθαι προτρεπόμεθα ἀνεγκρατήτως. Τὰ μέντοι δίπτυχα ἐντελλόμεθα ἐν Κυρίῳ τοῖς τε ἱερεῦσιν αὐτοῖς καὶ τοῖς διακόνοις κατὰ πᾶσαν ἐπιέναι λειτουργίαν εἰς ἀνάμνησιν τῶν ἐν αὐτοῖς ἀπογεγραμμένων, ἵνα μὴ αὐτοὶ τὸ κρῖμα βαστάσωσι τῆς ἐκείνων ἀμνηστίας τε καὶ ὑστερήσεως. Εἴρηται μὲν δὴ καὶ περὶ τούτων δεόντως.

Περὶ τῶν ἀποχειρομένων.

ΛΖ΄. Ῥητέον δὲ καὶ περὶ τῶν ἀποχειρομένων, οἵ γε εἴ τινες εἶεν περιφανεῖς ἢ τῶν ἀνέκαθεν ὑμῖν γνωρίμων, καὶ σχεδὸν εἰδότων τὴν ἡμετέραν δίαιταν, ἀποχειρέσθωσαν καὶ ἔσωθεν τοῦ νενομισμένου καιροῦ, ἀξιοῦντες καὶ αὐτοὶ τοῦτο ἴσως καὶ ἀποδεχόμενοι, εἰ δὲ τῶν τυχόντων εἶεν καὶ ἄγνωστοι. μετὰ παρέλευσιν (**π. 215**] ἑπτὰ ἡμερῶν τῆς ἐνταυθοῖ τούτων ἀφίξεως, ἐνδυέσθωσαν τὰ ῥάκη καὶ τὰς μοναχικὰς περιβεβλήσθωσαν περικεφαλαίας, ἐπιταττέσθωσάν τε ταῖς κατὰ δύναμιν διακονίαις καὶ ἐπιτηρήσθωσαν, εἰ μεθ' ὑπομονῆς ταύτας καὶ ταπεινώσεως ἐκτελοῖεν, ἂν μέντοι οὕτως ἔχοντες διακαρτεροῖεν ἄχρι μηνῶν ὁλοκλήρων ἕξ, τοῖς ἀδελφοῖς τηνικαῦτα συνταττέσθωσαν ἀποχειρόμενοι, καὶ τὸν ἀῤῥαβῶνα τοῦ θείου καὶ ἀγγελικοῦ λαμβανέτωσαν σχήματος. Εἰ δ' ὀκλάσαντες τυχὸν φανεῖεν, γογγύζοντές τε καὶ καταῤῥαθυμοῦντες τῶν ἐντεταλμένων, τῷ προεστῶτι μελήσει περὶ τοῦ εἴ τε δεῖ τούτους εἰσδέχεσθαι, εἴ τε καὶ μή, πρὸς δὲ τούτῳ φροντιστέον καὶ τῶν ἀπὸ ξένης ἐρχομένων μοναχῶν. Τοὺς τοίνυν εἰσδεχθῆναι κριθέντας οὐ καταναγκαστέον περί τινος ἀποταγῆς τε καὶ προσενέξεως· οὐ γὰρ τὴν τοῦ Θεοῦ χάριν καπηλεύειν χρεὼν ἢ χρήμασι πιπράσκειν, μήπου τις ἐντεῦθεν αἰσχύνῃ καὶ ὄνειδος προστριβῇ τοῖς προῖκα ἐν ἡμῖν ἀποκαρεῖσι, καὶ τὸ κακὸν καὶ ἐπάρατον τοῦτο ῥῆμα παρεισαχθῇ, τὸ ἐμὸν δηλονότι καὶ τὸ σόν, καὶ τὸ μεῖζον καὶ τὸ ἧττον, καὶ τὸ κρείττονα οἴεσθαι τὸν προσενέγκαντα τοῦ μὴ προσενέγκαντος, μὴ γένοιτο (**οβ.**] τοῦθ' ἡμῖν εἰς τὸν αἰῶνα μὴ γένοιτο. Εἰ δέ τι αὐτὸς ἑκὼν ὁ ἀποκαρησόμενος προσενεγκεῖν αἱροῖτο, δεκτέον· προαιρετικὸν γὰρ τοῦτο καὶ ἀβίαστον καὶ γνώμης ἔργον θεοφιλοῦς, καὶ ἐλεημοσύνης τάξιν ἐπέχον καὶ εὐποιίας, καὶ ὑπὲρ τῆς θεόθεν ἀντιμισθίας γινόμενον εἰς ἐξίλασμα τῶν πεπλημμεληκότων αὐτῷ, μᾶλλον δέ, ἵνα τ' ἀληθὲς εἴπωμεν, ἀνάθημα προσφέρεται τῷ Θεῷ καὶ τῇ παναχράντῳ αὐτοῦ Μητρί, καὶ Εὐεργέτιδι· ἄλλο μὲν γὰρ ἀποταγὴ καὶ προ-

σένεξις, καὶ ἕτερον δῶρον, ἢ ἐλεημοσύνης ἀπόδομα ἢ ἀνάθημα, ἐκεῖνο μὲν γάρ, ἐντεῦθεν ἔχει τὴν τῆς ἐλπίδος ἀντάμειψιν, καὶ ὥσπερ τι ὤνιον τῶν χρειωδῶν προκαταβάλλεται ἐπί τισιν ἴσως ῥηταῖς συμφωνίαις καὶ ἀνταλλάξεσι, τὸ δέον προῖκα καὶ οὐρανίαις ἐλπίσι καὶ ἀνταμείψεσιν ἀποκείμενον, τῷ τοι μὴ δὲ πρόκρισίν τινα διὰ τοῦτο τῶν λοιπῶν ἀδελφῶν ὁ διδοὺς ὑπολαμβανέτω, ἀλλ' ἐπίσης εἶναι τοῖς πᾶσι καὶ κατὰ τὸν κρατήσαντα τύπον τῆς μονῆς, ἂν δέ γε ποτὲ πειρασθεὶς ἐκ δαιμόνων, ὁ δοὺς οἷα πολλὰ τὰ τῆς ἀβουλίας ἐκστῆναι μὲν τῆς μονῆς πειραθῇ, βούλοιτο δὲ καὶ τὸ δεδωρημένον ἀποκομίσασθαι, ἀλλὰ μὴ δοτέον αὐτῷ τοῦτο (**π. 216**] κἂν ὅτι τύχοιεν ὄν· τὸ γὰρ ἅπαξ Θεῷ ἀφιερωθὲν ἀναφαίρετον, καὶ ὁ ἀφαιρούμενος ἱερόσυλος, ὁποῖον δὲ τὸ ἱεροσυλεῖν ἔχει τὸ ἐπιτίμιον πάντες ἴσασι κἂν ἡμεῖς μὴ λέγωμεν. Τοῦτο μὲν δὴ τοιοῦτον καὶ οὕτως ἔχον.

Περὶ τῆς ἐν τῷ πυλῶνι καθ' ἡμερινῆς διαδόσεως, καὶ τῆς ἐν τῷ ξενοδοχείῳ τῶν ξένων καὶ ἀσθενῶν ὑποδοχῆς.

ΛΗ'. Τὸ δὲ δὴ ῥηθησόμενον καὶ λίαν ὑμῖν φυλακτέον, οὐκ ὀλίγην ὠφέλειαν καὶ σωτηρίαν ὑμῖν ἐπιδαψιλευόμενον· ποῖον δὴ τοῦτο; ἡ ἐν τῷ πυλῶνι διάδοσις, καὶ ἡ τῶν ξένων καὶ ἀσθενῶν ἀνάπαυσίς τε καὶ ἐπίσκεψις, δι' οὓς καὶ τὸ ξενοδοχεῖον ἐκ φιλοχρίστου τινὸς τὸν τόπον ἐξαιτησάμενοι ἀνηγείραμεν, ἐφ' ᾧ καὶ παρεγγυώμεθα τοὺς ξένους τε ἀναπαύειν ἀδελφούς, καὶ τοὺς ἀσθενοῦντας αὐτῶν ἀνακλινομένους, τῆς κατὰ δύναμιν ἐπιμελείας ἀξιοῦσθαι, γυμνιτεύοντάς τε καὶ ἀνυποδετοῦντας ἐνδιδύσκειν τε καὶ ὑποδύειν τοῖς παλαιοῖς ὑμῶν χιτῶσι καὶ ὑποδήμασιν, οὔκουν οὐ παρ' ὑμῶν αὐτῶν διδομένοις, τοῦτο γὰρ οὐκ ἐπιτρέπομεν, ἀλλὰ παρὰ τοῦ προεστῶτος, τρέφειν τε πεινῶντας καὶ ψυχαγωγεῖν, ὡς ἔφημεν, τῷ τε ἤδη τυπωθέντι ἄρτῳ καὶ οἴνῳ, καὶ ὀσπρίοις τισὶ (**οϐ.**] τοῖς ἐκ τῶν χρειῶν ὑμῶν περιττεύουσιν· ἔδει μὲν γὰρ ἐκ τοῦ ὑστερήματος ὑμῶν ταῦτα γίνεσθαι, ἐπεὶ δὲ οὐκ ἐνόν, ἔστω κἂν ἀπὸ τοῦ περιττεύματος, καὶ Θεῷ γὰρ φίλον τὸ κατὰ δύναμιν. Καὶ ἀποθνήσκοντας δὲ θάπτειν ἐν τῷ ξενοταφίῳ τῷ δι' αὐτοὺς οἰκοδομηθέντι, ἵνα μὴ τὰ ἐλάττω παρ' ὑμῶν περιποιούμενοι, τῷ κρείττονι καὶ καιριωτέρῳ ἀτημελήτως ἔχοντες λάθοιεν· θάπτειν δὲ οὐχ' ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλὰ πρότερον ψαλλομένους τὰ ἐπιτάφια παρ' ὑμῶν, καὶ τῆς ἄλλης ἀξιουμένους ἐπιμελείας, καὶ ἁπαξαπλῶς, τὸ παράπαν ἱλαρωτάτως τὴν πρὸς τοὺς ξένους ἡμῶν ἀδελφοὺς ἱλαρότητα διαδείκνυσθαι, ἵνα καὶ ὑμεῖς ἱλαρόν τε καὶ δαψιλὲς

τὸ ὑπὲρ αὐτῶν ἔλεος ἐκ Θεοῦ ἀπολάβωμεν, οὐ δέ τινα γὰρ ἐκ τοῦ πυλῶνος ἡμῶν κενὸν ἀποστρέφειν βουλόμεθα, εἰ μή τις εἴη γυνή· ταύταις γὰρ οὐ μεταδοτέον, οὐ μισοῦντας τὸ συγγενές, ἄπαγε, ἀλλὰ τὴν ἐκεῖθεν βλάβην ὑφορωμένους, ὡς μὴ συνηθείας κρατησάσης, πυκνότερον τῷ πυλῶνι παραβάλλειν αὐτάς, καὶ κακῶν αἰτίας μᾶλλον ἢ ἀγαθῶν, τοῖς διακονοῦσιν εὑρίσκεσθαι, εἰ μέντοι καθολικὴ διάδοσίς ἐστιν, ὡς ἐν τῇ ἑορτῇ τῆς Κοιμήσεως τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν τῆς Θεοτόκου, ἔν τε διαφόροις (**π. 217**] μνημοσύναις τῶν προκεκοιμημένων, διδόναι καὶ ταύταις οὐ κωλυτέον, σπάνιον γὰρ τοῦτο καὶ βλάβην οὐδὲ μίαν ἡμῖν ἐμποιοῦν.

Περὶ τοῦ ἄβατον εἶναι τὴν μονὴν γυναιξὶν ἄνευ τῶν περιφανῶν τε καὶ ὑψηλῶν.

ΛΘ′. Καὶ τὴν μονὴν δὲ ἄβατόν τε καὶ παντελῶς ἀδιόδευτον γυναιξὶν ἐβουλόμεθα μὲν εἶναι καὶ ἀποδεχόμεθα, ἡ δὲ τῶν πολλῶν περιφάνεια, καὶ τὸ μὴ δύνασθαι ταύτας ἀποπέμπεσθαι ῥαδίως, οὐκ εἴασεν ἡμᾶς τοῦτο δὴ καὶ προτρέψασθαι· διά τοι ταῦτα, εἰσιέτωσαν μέν, ὅσαι βίῳ καὶ ἀρετῇ, εὐγενείᾳ τε καὶ περιφανείᾳ διαβόητοι, σπανίως δὲ ἄγαν καὶ ἐπιτετηρημένως, καί, εἰ δυνατόν, ἀνωϊστί, ἵν' οὕτως ἔχοιμεν τό τε εὐλαβὲς ἐπ' αὐταῖς συντηρεῖν, καὶ τὸ ἀβλαβὲς ἑαυτοῖς περιφυλάττειν. Καὶ ἑτέρας δὲ διακονίας, αἷς καὶ τὰ λοιπὰ μοναστήρια χρῶνται συνήθως, καιροῦ καλοῦντος καὶ χρείας κατεπειγούσης, προχειρίζεσθαι ἐν τῇ μονῇ βούλομαι· ἔσονται γὰρ λυσιτελοῦσαι καὶ πρὸς τὴν τῆς μονῆς συντείνουσαι σύστασιν.

Τοῦ κτήτορος παραίνεσις πρὸς πάντας, ἤγουν τόν τε ἡγούμενον, τὸν οἰκονόμον καὶ τοὺς ἀδελφούς, τοῦ ἀπαράθραυστα φυλάξαι πάντα τὰ ἐν τῷ παρόντι αὐτοῦ Τυπικῷ διατεταγμένα.

Μ′. Παρακαλῶ δὲ πάντας ὑμᾶς, ἀδελφοὶ καὶ τέκνα μου ἐν Κυρίῳ ποθούμενα, τηρῆσαι ἀπαράθραυστον (**οδ.**] καὶ ἀμετακίνητον τὴν ἐπὶ πᾶσι τοῖς ἄνωθεν διατεταγμένοις ὑμῖν ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ πατρὸς ὑμῶν θέλησίν μου καὶ ἀποδοχὴν καὶ συμβουλὴν καὶ διάταξιν, εἰς συμφέρον ὑμῖν οὖσαν καὶ σωτηρίαν ψυχικὴν καὶ ἀσφάλειαν, καὶ πάντων ἀνάπαυσιν, ἵν' εἴπω καὶ τοῦ ἐμοῦ πνεύματος ἐν προσώπῳ Κυρίου καύχημα καὶ ὡράϊσμα· διὰ γὰρ τοῦτο καὶ πᾶσαν σκανδάλου ἀφορμὴν κατὰ

τὸ ἐνὸν ἡμῖν ἐν τῷ παρόντι Τυπικῷ, καὶ ἀνεταξάμεθα προφανῶς καὶ ἀνεπικαλύπτως, καὶ περιελεῖν ἐσπουδάσαμεν, ἵν' ὅπως μὴ μετὰ τὴν ἡμετέραν ἐκδημίαν χώραν εὑρών, ὅπερ ἀπεύχομαι, Δέσποινά μου καὶ Κυρία πανύμνητε Εὐεργέτις, ὁ ἐχθρὸς τῶν ψυχῶν ἡμῶν Σατάν, διασαλεύσῃ ὑμᾶς τοῦ ὀρθοῦ λογισμοῦ καὶ τὴν οἰκείαν ἐλέπολιν ἐπιστήσῃ, καὶ καταβάλῃ τὰ μετὰ πολλῶν ἱδρώτων καὶ κόπων ὑπὸ τοῦ Θεοῦ καλῶς ἡδρασμένα, καὶ εἰς τοῦθ' ὅ νῦν ὁρᾶται κάλλος τεθεμελιωμένα, ὅπου γε καὶ μετὰ τὴν τοσαύτην ἡμῶν ἀσφάλειαν καὶ ὡς δυνατὸν ἀκρίβειαν, οἶδα ὡς οὐ μὴ τῇ κακίᾳ ἐπιλήψειέ ποτε κακίας ἀφορμή, καὶ τῷ πονηρῷ θηρὶ καὶ σκολιῷ, σκολιότητος καὶ λοξότητος ἀφορμαὶ καὶ ὑποβολαί, ἀλλὰ ὑμεῖς σχεδὸν ἅπαντες διὰ τὴν τοῦ Χριστοῦ χάριν πεφωτισμένοι τυγχάνοντες, καὶ τὰς αὐτοῦ μηχανουργίας, καὶ ὅπως ταύτας ὀφείλετε ἀποκρούεσθαι μὴ ἀγνοοῦντες, ἀπό τε τῆς τῶν θείων (**л. 218**] Γραφῶν καὶ τῶν κατηχήσεων συνεχοῦς ἀναγνώσεως, ἀπό τε τῆς πείρας αὐτῆς, καὶ ὧν αὐτοὶ ἐν πείρᾳ δοκιμασθέντες γεγόνατε, ἀντίστητε τῇ κακίᾳ στερεοί, συμμαχίαν μεγάλην καὶ ἀῤῥαγῆ ἔχοντες τὴν τοῦ **Θεοῦ** διὰ τῶν θερμῶν πρεσβειῶν τῆς ὑπεραμώμου καὶ ὑπεραγίας Δεσποίνης ἡμῶν καὶ κυρίας τῆς **Θεοτόκου** καὶ δι' εὐχῶν τοῦ μακαρίτου καὶ ἁγίου ἡμῶν πατρός, προσθήσω δὲ καὶ τὴν εὐχήν ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ διδασκέσθω μὲν ἀδελφικῶς, καὶ ὑποτιθέσθω τὸ δέον ὁ ἀγνοῶν ὑπὸ τοῦ καλῶς τοῦτο ἐπισταμένου, ἐπιτιμάσθω δ' αὖ ὁ ἀπαίδευτος καὶ ἀσύνετος παρὰ τοῦ συνετωτέρου, καὶ οὕτως ἐν Ἁγίῳ Πνεύματι καὶ ἀγάπῃ ὁ εἷς ὑπὸ τοῦ ἑνὸς ὑποστηριζόμενοι καὶ συναρμολογούμενοι ὡς ἐπὶ παρατάξεως, καὶ τὸ καλὸν καὶ πνευματικὸν καὶ σωτηριῶδες ἐκδιδασκόμενοι, ὡς διείληπται, εὖ οἶδα, καὶ πέποιθα εἰς Χριστὸν τὸν ἀληθινὸν **Θεὸν** ἡμῶν, καὶ τὴν αὐτοῦ ὑπεραγίαν Μητέρα καὶ **Θεοτόκον**, τὴν προστάτιν ἡμῶν καὶ ὑπέρμαχον, ὡς ἀβλαβεῖς ἀεὶ διατηρηθήσεσθε· καὶ οὕτως εὑρίσκων ὡπλισμένους καὶ κατωχυρωμένους ὑμᾶς ὁ ἐχθρὸς καταισχυνθήσεται, καὶ μάτην καὶ διακενῆς χαίνων ἀπελεγχθήσεται, καὶ ἄπρακτος πόῤῥω ὑμῶν ἀποσκορακισθήσεται, ὑμεῖς δὲ σώζοισθε, καὶ μεγαλυνθήσαισθε, καὶ εἰρηνεύσοιτε, (**об.**] καὶ ζηλωτοὶ παρὰ πᾶσιν ἐπὶ τῇ ἀγαθοποιΐᾳ ὑμῶν καὶ σεμνῇ πολιτείᾳ γενήσεσθε, πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν. Ἑνὸς γοῦν ἔτι μνησθείς, καταπαύσω τὸν λόγον.

Περὶ τοῦ νοσοκομείου καὶ τῶν ἀῤῥώστων.

ΜΑ'. Εἴρηταί μοι τοιγαροῦν ἄνωθεν ὀλίγα περὶ τῶν ἀῤῥώστων ἡμῶν ἀδελφῶν, τῇ τοῦ προεστῶτος βουλῇ τὸ πᾶν τῆς αὐτῶν προνοίας

ἀναθέντι, χρὴ δὲ καὶ περὶ ἐκείνων πλατύτερον διαλαβεῖν. Ἐντελλόμεθα οὖν ἀφορισθεῖναι χάριν τῶν ἀῤῥώστων κελλίον, τύπον ἀποσῶζον νοσοκομείου, καὶ κραββάτους ὀκτὼ πρὸς τὴν ἐκείνων ἀνάκλισίν τε καὶ ἀνάπαυσιν, καὶ δύο τινὰς ὑπηρέτας, ὥστε τούτοις ὑπηρετεῖν ἐν πᾶσι, καὶ ἄρουλαν μεγάλην, ἐν ᾗ δέον τὰ τούτων ἕψειν μαγειρεύματα, θερμά τε ποιεῖν, καὶ ἄλλα, τὰ πρὸς τὴν ἐκείνων παράκλησιν· ποιεῖσθαι δὲ τὴν τούτων ἐπιμέλειαν οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸ δυνατὸν ἔν τε βρώσει καὶ πόσει καὶ λοιποῖς χρειώδεσιν, ἐνδέχεται δὲ καὶ τὸν ἰατρόν, εἴπερ ἐστί, μὴ παρέργως μηδὲ σπανίως τῷ νοσοκομείῳ ἐπιφοιτᾶν, ἀλλὰ καθεκάστην καὶ ὁλοψύχως ἐπισκέπτεσθαί τε τοὺς ἀδελφούς, καὶ ἑκάστῳ συνεισφέρειν τὰ πρόσφορα, καὶ οἱ ἀδελφοὶ δὲ ἡμῶν οἱ ἄῤῥωστοι, μὴ τούτῳ τεθαῤῥηκότες ἐκλύωσιν ἑαυτούς, ζητοῦντες περιττά τινα καὶ ἅπερ ἴσως (π. **219**] οὐδ' εἰς ἀκοὴν ποτὲ ἐδέξαντο, μὴ ὅτι γε εἶδον ἢ ἔφαγον, ἀλλὰ συνεχέτωσαν ἑαυτοὺς καὶ συστελλέτωσαν, ἀρκούμενοι ἐκείνοις καὶ μόνοις, οἷς ἄρα ἡ τοῦ καιροῦ καὶ τῆς εὐπορίας τῆς μονῆς περιφορὰ τούτους δεξιοῦται· εἰ γὰρ καὶ ἐπιμελεῖσθαι αὐτῶν διὰ τὴν ἐντολὴν ἐντελλόμεθα, ἀλλ' οὐχὶ καὶ τρυφᾶν αὐτοὺς παραχωροῦμεν, συνεσταλμένως δὲ μᾶλλον ζῆν, καὶ ὡς δεῖ τοὺς μοναχούς, ἵνα καὶ αὐτοὶ τὸν τῆς ὑπομονῆς μισθόν, ὃν ἡ στέρησις τῶν ὀρέξεων, καὶ ἡ τῆς ἀῤῥωστίας δυσχέρεια προξενεῖν αὐτοῖς μέλλοι ἐκ Θεοῦ ἀπολάβωσιν.

Ἑτέρα παραίνεσις τοῦ κτήτορος.

ΜΒ'. Ἔστι μὲν οὖν ταῦτα, ὅσα γε ἡμῖν βουλητὰ καὶ τῷ Θεῷ εὐαπόδεκτα, καὶ τῇ Εὐεργέτιδι, καὶ τῇ ὑμῶν δὲ ὠφελείᾳ οὐκ ὀλίγα λυσιτελοῦντα, ὑμῖν δὲ τὸ ἐξῆς μελήσει φυλάξαι ταυτὶ ἀπαράθραυστά τε καὶ ἀπαραποίητα ἄχρι παντός, λέγω δή, τὸ ἀπαραλείπτως τὴν παραδοθεῖσαν ὑμῖν ἀκολουθίαν ἐκτελεῖν ἐν πάσαις ταῖς συνάξεσι, τὸ φυλάττειν πίστιν καὶ τιμὴν τὴν ἁρμόζουσαν τοῖς προεστῶσιν ὑμῶν, τὸ ἀλλήλους ἀγαπᾶν, καὶ σπουδάζειν ἕκαστον ἑκάστου προέχειν ἐν μετριοφροσύνῃ, συμπονεῖν τε ἀλλήλοις ἐν πᾶσιν, ὡς ἑνὸς μέλη σώματος, καὶ τὰ ἀλλήλων ἀναπληροῦν ὑστερήματα· μὴ πρὸς ἔρεις ὁρμᾶν, (**οϐ**.] μὴ πρὸς φιλίας ἀπρεπεῖς, ἢ παρασυνάξεις καὶ σχίσματα, ἀπέχεσθαι πρωτοκαθεδρίας, καὶ τῶν κοσμικῶν προτιμήσεων, πρὸς ἓν δὲ μόνον ὁρᾶν, τὸ ἐναρέτως ζῆν δηλονότι καὶ πολιτεύεσθαι, καὶ μηδὲν ἄλλο, εἰ δυνατόν, ἀναπνεῖν, ἢ λόγον σωτήριον, καὶ πᾶν τὸ εἰς οἰκοδομὴν ψυχῆς τυγχάνον καὶ ὠφέλειαν. Πρὸς τούτοις ἐξορίζειν ἀφ' ὑμῶν πάντων τῶν κακῶν τὴν πηγήν, τὴν

φιλοχρηματίαν λέγω καὶ φιλαρχίαν, καὶ τὸ παρακερδαίνειν καὶ ὑποκρατεῖν ἀπὸ τῶν τῆς μονῆς, ἢ ἑτέρου τοῦ οἱουδήτινος τρόπου, καὶ ἀποτιθέναι καὶ θησαυρίζειν ἄχρι καὶ τοῦ τυχόντος, ἐν ᾧ μὴ εὐδόκησεν ὁ προεστώς, οὔτε ὁ δοθεὶς ὑμῖν κανὼν „συνεχώρησεν. Οὐ μὴν ἀλλ' οὐδὲ ἐξ ἀμελείας ἢ τινος ἑτέρας καταφρονήσεως ἐᾶν τι τῆς μονῆς παραπόλλυσθαι· ἴσον γὰρ καὶ τοῦτο τοῦ προτέρου, κἂν τι διαφέρειν δοκῇ, καὶ τῆς ἴσης ἐνοχῆς παρὰ τῷ Θεῷ πρόξενον, τὴν παῤῥησίαν ὅση δύναμις ἐκκοπτέον, καὶ ἵνα συνελὼν εἴπω πᾶν ὃ μὴ εἴη πρὸς σωτηρίαν ὁδηγοῦν, ἐκδιωκτέον. Μὴ οὖν, ὦ τέκνα καὶ ἀδελφοί, μηδαμῶς τὰ βλάπτοντα προτιμήσωμεν, τὰ δὲ σώζοντα παραδράμωμεν, οὐδὲ γάρ τι τῶν παραδοθέντων ὑμῖν ἀδύνατον ἢ δυσκατόρθωτον, εἰ δὲ καί τι τούτων ἴσως τοιοῦτον νομίζοιτο τισὶ τῶν (л. 220] ἀσθενεστέρων, ἀλλ' ἀγωνισώμεθα, ἀλλ' ὑπομείνωμεν, ἀλλὰ καρτερήσωμεν, φέρωμεν γενναίως, βιασώμεθα μικρὸν ἑαυτούς· οὐ γὰρ ἀνέσεως ἕνεκα καὶ τρυφῆς τὸν κόσμον κατελίπομεν, ἀλλὰ σπουδῆς καὶ ἀγῶνος τοῦ κατὰ δύναμιν, πρὸς τὸ τυχεῖν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν· „βιασώμεθα οὖν ἑαυτούς. ὡς εἴρηται, βιασώμεθα, βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν“· οὐδεὶς ἀμελῶν ἔστησέ ποτε τρόπαιον, οὐδεὶς ὑπνώττων καὶ ὀνειρώττων τὸν ἑαυτοῦ πολέμιον ἐτροπώσατο, ἐκείνων εἰσὶν οἱ στέφανοι καὶ τὰ τρόπαια, τῶν τρεχόντων καλῶς, τῶν κοπιώντων, τῶν ἀγωνιζομένων, τῶν ὑπομενόντων τὰ ἐκ τῶν ἀγώνων πονήματα. „Διὰ πολλῶν θλίψεων, φησὶν ὁ Κύριος, δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν“. Τοίνυν παρακαλῶ πάντας ὑμᾶς, ἀξίως πορεύθητε τῆς κλήσεως ὑμῶν, παραστήσατε τὰ σώματα ὑμῶν ἅγια τῷ Κυρίῳ, ἀγαπᾶτε ἀλλήλους, καλῶς τρέχετε τὸν προκείμενον ὑμῖν ἀγῶνα. ὅσα καλά, ὅσα θεοφιλῆ, ταῦτα λογίζεσθε· ἃ ἠκούσατε καὶ ἐμάθετε, ταῦτα ποιεῖν μὴ ἀπόσχησθε. Ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος, μνημονεύετε τῶν ψυχῶν ὑμῶν, καὶ τῆς ὑμῶν δὲ εὐτελείας, μὴ ἐπιλανθάνησθε ἐν ταῖς (об.] προσευχαῖς ὑμῶν.

Περὶ τοῦ ἀναγινώσκεσθαι τὸ Τυπικὸν καθ' ἑκάστου μηνὸς ἀρχήν.

ΜΓ'. Τὸ γοῦν παρὸν Τυπικὸν ἐντέλλομαι ὑμῖν ἀναγινώσκειν ἐπὶ ἑκάστου μηνὸς ἀρχῇ, κατὰ τοὺς καιροὺς τῶν ἑστιάσεων ὑμῶν, εἴς τε ἀνάμνησιν τῶν ἐντεταλμένων ὑμῖν, καὶ ὠφέλειαν τῶν ψυχῶν ὑμῶν· οὕτω γὰρ ἔσεσθε, ὑμεῖς μὲν ἐπὶ τῇ σωτηρίᾳ ὑμῶν πεπληροφορημένοι. ὡς καλῶς φυλάξαντες, ἃ παρελάβετε παρὰ τῶν πατέρων ὑμῶν, καὶ

ἐμοὶ δὲ τὰ τροφεῖα τῆς πνευματικῆς ταύτης ἀναγωγῆς καὶ παιδεύσεως ἐν Κυρίῳ ἀποτινύντες. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν, διὰ τὴν πολλὴν αὐτοῦ καὶ ἄφατον ἀγαθότητα, καταρτίσαι ὑμᾶς καὶ στηρίξαι εἰς τὸ ἅγιον θέλημα, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις καὶ μεγαλοπρέπεια νῦν τε καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

(π. 221] Ἐπεὶ τοίνυν ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτῶν ἀεὶ ποιῶν Κύριος τοῖς ἀῤῥήτοις αὐτοῦ κρίμασιν ᾠκονόμησε, τῇ μνήμῃ τοῦ πανοσίου πατρὸς ἡμῶν καὶ πρώτου κτήτορος, κυροῦ Παύλου, συνδραμεῖν καὶ τὴν κοίμησιν τοῦ ἡγιασμένου πατρὸς καὶ δευτέρου κτήτορος κυροῦ Τιμοθέου, κατ' αὐτὴν ἐκείνην ἀποβεβιωκότος τὴν ἡμέραν, καθ' ἣν ἄρα κἀκεῖνος πρὸς Κύριον ἐξεδήμησε, δέον ὠήθημεν ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ συνημμένως τὰς ἑκατέρων μνήμας ἐπιτελεῖν, καθὰ δὴ ἐκεῖνος ἔτι ζῶν, καὶ προεῖπε καὶ ἐπέσκηψεν ἡμῖν, ἥ τις ἑκκαιδεκάτη μέν ἐστι τοῦ Ἀπριλίου μηνός, ὅπως δὲ ὀφείλλει ψάλλεσθαι, δηλοῖ τὸ Συναξάριον. Ἐντελλόμεθα οὖν πᾶσι τοῖς μεθ' ἡμᾶς, ἐν ἁγίῳ Πνεύματι, μηδέποτε διαχωρίσαι τὴν ἐτήσιον μνήμην αὐτῶν, καθ' οἱανδήτινα πρόφασιν ἢ περίστασιν, ἀλλ' οὕτως αὐτὴν ἐπιτελεῖν πάντοτε ἡνωμένως, καθώς περ δὴ καὶ τετύπωται παρ' ἡμῶν καὶ παραδέδοται ἄχρι συστάσεως τοῦδε τοῦ παντός.

Σὺν τούτῳ δὲ καὶ τόδε χρὴ εἰδέναι καὶ φυλάσσειν ὑμᾶς, ὅτι ὁ μακαρίτης καὶ ἅγιος ἡμῶν πατήρ, ὁ μοναχὸς κῦρις Τιμόθεος, μετὰ τῶν ἄλλων, ὧν ἐν τῷ παρόντι Τυπικῷ ἀνετάξατο, ἐνετείλατο καὶ τοῦτο, μὴ οἴνῳ χρᾶσθαι ἡμᾶς τὸ σύνολον ἐν τῇ πρώτῃ (οδ.] ἑβδομάδι τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς ἄχρι τῆς παραμονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, ὡσαύτως δὲ ποιεῖν καὶ ἐν ταῖς λοιπαῖς ἁπάσαις δευτεροτετραδοπαρασκευαῖς τῆς αὐτῆς ἁγίας νηστείας.

Ἀλλ' ἐπεὶ ἔπασχον οἱ ἀσθενεῖς ἀπὸ τῆς τοῦ κυμινάτου θερμοῦ πόσεως, ἤ, μᾶλλον εἰπεῖν, καὶ οἱ ὑγιαίνοντες ἠσθένουν, κατανοήσας τοῦτο ὁ πανσέβαστος σεβαστός, καὶ μέγας δούκας, ὁ μοναχὸς κῦρις Ἀντώνιος, καὶ τοὺς ἀδελφοὺς οἰκτιρήσας τῆς τε ὁλονύκτου στάσεως καὶ ἐπιτεταμένης ψαλμῳδίας καὶ ἀγρυπνίας, πρὸς δὲ καὶ τῆς ἐκ τοῦ κυμινάτου ἐπι-

γινομένης βλάβης αὐτοῖς, δέησιν, ὅτι θερμοτάτην πρὸς ἡμᾶς ἐποιήσατο μετὰ συντετριμμένης καρδίας, τοὺς ἀδελφοὺς οἴνου μεταλαμβάνειν ἀπ' αὐτῆς τετράδος τῆς πρώτης ἑβδομάδος, καὶ εἰς τὸ μετέπειτα, ψηφὶ δὴ τὰς λοιπὰς ἁπάσας δευτεροτετραδοπαρασκευάς· διὸ δή, καὶ μὴ θέλοντες λυπῆσαι τὸν εἰρημένον θεοφιλῆ ἄνδρα, εἴξαμεν τῇ αὐτοῦ παρακλήσει, διά τε τὸ τῆς ἀρετῆς αὐτοῦ αἰδέσιμον, καὶ τὸ τοῦ πράγματος εὐσεβές, καὶ διὰ τὸ πολλὰ μὲν καὶ ἄλλα προενέγκαι τοῦτον τῇ μονῇ, ποιῆσαι δὲ τούτου ἕνεκεν καὶ ἀμπέλιον ἐξ οἰκείων ἐξόδων, τὸ ἔξωθεν ὂν καὶ τῇ μονῇ πλησιάζον, ὑπὲρ (**π. 222**] τῆς τοῦ οἴνου τῶν ἀδελφῶν πόσεως τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς, πρὸς δὲ δωρήσασθαι ἡμῖν καὶ ἐν τῷ κατὰ τὸ βολερὸν διακειμένῳ κτήματι ἡμῶν, καὶ τοῦ Θεοφάνους ὀνομαζομένῳ, παροίκων ἐξ κουσσεΐαν, ζευγαράτων δώδεκα, ὡσαύτως δὲ καὶ ἐν τῷ κατὰ τὸ χορτοκόπιον διακειμένῳ κτήματι ἡμῶν, καὶ τοῦ Ἐπιφανίου ἐπιλεγομένῳ, ἑτέρων δεκαὲξ παροίκων, ζευγαράτων καὶ αὐτῶν· τούτου χάριν καὶ ἐντελλόμεθα ὑμῖν τοῦ οἴνου τε μεταλαμβάνειν εὐχαρίστως, καὶ τοῦ εἰρημένου θεοφιλοῦς ἀνδρὸς ὑπερεύχεσθαι ἀδιαλείπτως, ἑαυτούς τε κατακρίνειν, ὡς τῶν πολλῶν καὶ τοῦ ὕδατος ἐγκρατευομένων δι' ὑπερβολὴν ἀσκήσεως, καὶ μή τινα τῶν μεθ' ἡμὰς ἀπὸ τοῦ νῦν ἐπ' ἀδείας ἔχειν διὰ πρόφασιν τὴν οἰανοῦν, περικόπτειν, τὴν τοιαύτην εὐποιΐαν, εἰς μνήμην τε τοῦ εἰρημένου γινομένην καὶ ἀνάπαυσιν ἁπάσης τῆς ἀδελφότητος.

Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν, διὰ τὴν πολλὴν αὐτοῦ καὶ ἄφατον ἀγαθότητα, καταρτίσαι ὑμᾶς καὶ στηρίξαι εἰς τὸ ἅγιον αὐτοῦ θέλημα, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις καὶ μεγαλοπρέπεια, (**οϐ.**] νῦν τε καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἡδὺς ὁ λιμὴν τοῖς πλέουσι τυγχάνει,
Καὶ τοῖς γραφεῦσι τέρμα τῆς βίβλου πάλιν·
Ἄμφω γὰρ ἀνάπαυλαν εἰσφέρει πόνων.

Приписка позднѣйшей (XVI в.) руки: Τὸ δὲ τὸ τοῦ Τυπικοῦ βιβλίον τῷ θείῳ καὶ βασιλικῷ ναῷ, τῷ ἐπ' ὀνόματι τιμωμένῳ τῆς Παναγίας μου Πετριτζιωτίσσης, ἀφιερώθη ὑπὸ τοῦ κυροῦ Νικηφόρου εἰς μνημόσυνον τῶν ἑαυτοῦ γονέων, τοῦ τε Κωνσταντίνου καὶ Ἑλένης καὶ Νικηφόρου. Καὶ ὅστις τοῦτο ἀφερῇ τοῦ μοναστηρίου ὑπόδικος εἴη τῷ ἀναθέματι τῶν τριακοσίων δέκα καὶ ἑκτὼ θεοφόρων πατέρων, τῶν ἐν Νικαίᾳ [1]).

Е) Типиконъ константинопольскаго Пандократоровскаго монастыря.

(По рукописи 1749 года № 85 библіотеки Халкинской богословской школы въ Константинополѣ).

Начала нѣтъ

(л. **69**] ..... καὶ πάσης ἐνέδρας καὶ μηχανῆς ὑπέρτερον ἀναδείξασα καὶ πρὸς τὸν αὐτοκράτορα ζωστῆρα τῆς πατρικῆς Λυσόνων ἀρχῆς ἀνωδύνως κατὰ καιρὸν ἐμβιβάσασα συνδρόμως ὡς ἂν τις εἴποι τῷ ἐπιτελευτίῳ νεύματι καὶ βουλήματι τῆς θείας ἐκείνης τοῦ τεκόντος ψυχῆς. Εἶτα καὶ μετ' ἐκείνην τὴν ἐξαισίαν ἀνάβασιν, τὰς πολυπλόκους ἐπιβουλὰς τῶν φαινομένων ἐχθρῶν καὶ τῶν ἀφανῶν διαλύσασα, καὶ πάσης ἐπιξελοῦσα παγίδος, καὶ πάντας τοὺς ἐναυτοὺς τοῖς ποσὶν ὑποτάξασα. Πῶς ἂν ἐφεξῆς καταλέξω τὰ κατὰ Περσῶν, καὶ Σκυθῶν, καὶ Δαλματῶν, καὶ Δακῶν, καὶ Παιόνων τῆς θείας δεξιᾶς ἐπ' ἐμοὶ θαυμάσια, τὰς κατὰ πάντων ἀῤῥήτους τροπαιουχίας, ὅσας πολλάκις ἐτερατούργησε μετ' ἐμοῦ, πάντων τῶν ἐπεισπεσόντων ἐχθρῶν κατευμεγεθύνασα, καὶ τοὺς ἐντὸς καὶ τοὺς ἔξωθεν λόχους διατεμοῦσα καὶ διαῤῥήξασα, καὶ τοὺς ἐκ τῶν φίλων καὶ τῶν πλησίον ἀπεναντίας μοι στάντας καὶ ἀπομακρυνθέντας κακῶς τῆς ἀδελφικῆς ὁμονοίας καθελοῦσα καὶ (об.] συμποδίσασα. Τί οὖν ὑπὲρ τῶν τοσούτων χαρισμάτων ἀντεισενέγκω τῷ πανοικτίρμονι; Τί σοι, φιλάγαθε Δέσποτα, τῶν τηλικούτων ὀφλημάτων ἀντιμετρῆσαιμι, ἢ πάντως τὴν ἐπιστροφήν, τὴν πρὸς σὲ καὶ τὴν ὁλόψυχον σύνευσιν, ὑφ' ἧς καὶ ναὸν ἐκ καινῆς δομησάμενος τῇ παντοδυνάμῳ σοφίᾳ σου, καὶ πρὸ τοῦ τεμένους κἂν τοῖς ἀδύτοις εἰκονίσας τὸν ἀπερίγραπτον, σοὶ προσφέρω τὰ σὰ

[1]) Прологъ заключаетъ въ себѣ шесть тетрадей съ отдѣльнымъ счетомъ.

διὰ σοῦ, συγκοινωνὸν τῆς προθέσεως καὶ τῆς προσαγωγῆς καὶ τῆς πράξεως εὑρὼν τὴν τοῦ βίου κοινωνὸν καὶ συλλήπτορα, κἂν πρὸ τῆς ἐντελοῦς τοῦ ἔργου συστάσεως μετέστη τῶν τῇ δὲ τοῖς ἀῤῥήτοις σου κρίμασι, κἀμὲ συναποτεμοῦσα τῇ μεταστάσει καὶ διχότομον ἀποδείξασα. Πλὴν τὸ βάθος τῆς ἀῤῥήτου σοφίας σου, τῆς πρὸς τὸ συμφέρον οἰκονομούσης τὰ καθ' ἡμᾶς, οὐκ ἔχων κατανοεῖν, εὐχαριστῶ τῇ μακροθυμίᾳ σου, καὶ πρὸς τέλος, ὡς δυνατόν, ἐξάγω τὸ ἐπιχείρημα, χορὸν ἀσκητικὸν σοι προσάγων, τίμιον ἄθροισμα ναζιραίων, τῇ μονῇ προσανέχειν ὀφείλοντας, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων ἐξιλεοῦσθαι τὴν σὴν ἀγαθότητα. Τούτοις ἐπισυνάπτω καὶ ἱερὸν κατάλογον ἕτερον, κλῆρον (π. 70] ἐκλελεγμένον, μερίδα τιμίαν, ἀφοσίωμα κάλλιστον, ἱερεῖς καὶ λευίτας, καὶ ὅσον ἐφεξῆς τοῦ ναοῦ καὶ τοῦ βήματος σύνταγμα· συνανιστῶ γὰρ καὶ θεῖον κατοικητήριον ἕτερον τῇ ὑπεράγνῳ Παρθένῳ, τῇ ἀσπόρως τεκούσῃ σε, καὶ τὴν θείαν τούτου δοξολογίαν, διὰ τῆς ἱερᾶς τοῦ κλήρου συντάξεως, κατὰ τὸ πρέπον συνίστημι. Σὺν τούτοις δέ σοι προσάγω τῷ φιλαγάθῳ τοὺς ὁμοδούλους, οὓς ἀδελφοὺς ὁ συμπαθὴς κατωνόμασας, γήρᾳ καὶ πόνοις τετρυχωμένους, καὶ τῇ πενίᾳ συνθλιβομένους, καὶ νόσοις πολυτρόποις ὀδυνωμένους, τοὺς δὲ καὶ αὐτὰ λελωβημένους τὰ σώματα, καὶ τὴν προσήκουσαν δεχομένους ἐφ' ἅπασιν ἐπιμέλειαν· τοὺς μὲν κουφιζομένους τῶν πόνων, καὶ ἀνακτωμένους τῆς ἀσθενείας, καὶ τῶν τραυμάτων δεχομένους συνούλωσιν, τοὺς δὲ τῆς ἐνδείας ἀνιεμένους, καὶ τὴν παράκλησιν ἐφευρίσκοντας ταῖς διατροφαῖς, ταῖς ἀρκούσαις, καὶ τοῖς σκεπάσμασι. Τούτους σοι πρέσβεις ὑπὲρ τῶν ἡμετέρων πλημμεληματῶν προσάγομεν, τούτοις τὴν σὴν εὐμένειαν ἐφελκόμεθα, διὰ τούτων παρακαλοῦμεν τόσον εὐσυμπάθητον· τῆς γὰρ κηδεμονίας καὶ προνοίας καὶ διοικήσεως τῶν τοιούτων ἐμψύχων (οβ.] ὁμοῦ καὶ ἀψύχων ναῶν, κατὰ τὸ προσῆκον τὴν φροντίδα ποιήσαντες, κατὰ μέρος ἐνταῦθα διατυποῦμεν τὰ ἐπ' αὐτοῖς γενησόμενα.

Τὴν μὲν οὖν ἐν τοῖς θείοις ὕμνοις ἀκολουθίαν τῆς εὐαγοῦς ταυτησὶ μονῆς βουλόμεθα προβαίνειν, κατὰ τὸ γεγονὸς παρ' ἡμῶν ἐκκλησιαστικὸν Τυπικόν. Ἡ δὲ ὀρθρίνη σύναξις, κατὰ μὲν τὰς κυριακὰς καὶ τὰς μεγίστας τῶν ἑορτῶν, ἀπ' αὐτῆς τῆς πέμπτης ὥρας τῆς νυκτὸς γενήσεται, ἐν δὲ ταῖς λοιπαῖς ἡμέραις ἁπάσαις πρὸς τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἢ ταχινώτερα τοῦ μεσονυκτίου, ἢ βραδύτερα γενήσεται. Φροντίσει γὰρ ὁ καθηγούμενος συμμέτρως τοῦ ὕπνου τοὺς ἐκκλησιαζομένους μεταλαμβάνειν, ὡς ἂν μετὰ νηφούσης τῆς διανοίας τὴν προσευχὴν καὶ τὴν ψαλμῳδίαν ἐπιτελεῖν ἰσχύωσι, τῆς ἐκ τῶν βρωμάτων παχυτέρας

ἀναθυμιάσεως τῇ συμμέτρῳ τοῦ ὕπνου μεταλήψει διαλυομένης, καὶ οὕτω τοῦ λογισμοῦ προσεκτικωτέραν ποιουμένου τὴν ὑμνῳδίαν καὶ τὴν παράκλησιν. Καταλαβούσης δὲ τῆς ὥρας τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ συνάξεως, οὕτως ἑκάστης ἡμέρας τὰ τῆς ἐκκλησίας τελεσιουργηθήσονται. Ἐγερθήσεται μὲν ὁ ἀφυπνιστής, καὶ πρὸς τὸ τοῦ καθηγουμένου κελλίον ἀπελεύσεται, (π. 71] καὶ βαλὼν μετάνοιαν ἔξωθεν, Εὐλόγησον, εὖξαί μοι, πάτερ, ἐπιφθέγξεται. Ὁ δὲ εὐλογήσει τοῦτον, ἐκ τῶν χειλέων προπέμψας φωνήν, καὶ ὃς ἀπελεύσεται καὶ σημανεῖ τὸ ἀφυπνιστήριον εὐθύς. Εἶτα τῶν ἀδελφῶν μεταξὺ πρὸς τὴν ἐκκλησίαν συναγομένων, σημανεῖ καὶ τὸ συναχτήριον, ὃ καὶ μέγα κατονομάζεται, καὶ οὕτως οἱ μοναχοί, πρὸς τὸν νάρθηκα συναχθέντες, τὴν ἀκολουθίαν τῆς μεσονυκτίου ψαλμῳδίας ἐκτελέσουσιν, ὀφείλοντες μετὰ τοιαύτης ἀκολουθίας ψάλλειν τὸ ἄμωμον, ὡς τε διὰ τριῶν αὐτὸν στάσεων ἐκπληροῦν, ἐφ' ἑκάστῃ δὲ τῶν στάσεων Τρισάγιον λέγειν μετὰ τροπαρίων τριῶν, δύο κατανυκτικῶν, καὶ θεοτοκίου ἑνός, καὶ οὕτω, τοῦ ἀμώμου συμπληρουμένου, καὶ τῶν μοναχῶν ἤδη μελλόντων ἐν τῷ ναῷ εἰσπορεύεσθαι, ὁ τὴν ἐφημερίαν ἔχων ἱερεὺς εἰσελεύσεται σὺν αὐτοῖς, καὶ λήψεται παρὰ τοῦ ἐκκλησιάρχου τὸ θυμιατήριον. Εἶτα πρὸ τοῦ βήματος στήσεται καὶ βαλεῖ μετὰ τῆς συνήθους εὐχῆς μετάνοιαν, καὶ οὕτως σταυροειδῶς θυμιάσας ἔμπροσθεν τῶν κιγκλίδων, ἐφεξῆς ἐν τοῖς ἀὐτοις χωρήσει, καὶ τῆς ἱερᾶς τραπέζης ἐπίπροσθεν ἐκ τρίτου θυμιάσει σταυροειδῶς, εἶτα καὶ εἰς ἕκαστον τῶν (οβ.] ἑτέρων τῆς θείας τραπέζης μερῶν ὁμοίως ποιήσει. Τοῦ δὲ βήματος αὐτὸν ἐκπορευόμενον ἐφεξῆς τῶν ἀναγνωστῶν ὑποδέξεται εἷς, ἀκατακάλυπτον ἔχων κεφαλήν, καὶ μετὰ λαμπάδος προπορευόμενος, ἐφέψεται δὲ ὁ ἱερεύς, καὶ προτοτύπως μὲν ἀπελεύσεται πρὸς τὸ τοῦ Ἀσωμάτου εὐκτήριον, ἐν ᾧ καὶ οἱ ἡμέτεροι τάφοι τυγχάνουσιν. Εἶτα, πρὸς αὐτὴν τὴν εἰκόνα τοῦ Παντοκράτορος ἐπιστάς, θυμιάσει ταύτην σταυροειδῶς, ἐφεξῆς δὲ καὶ πάντας ἁπλῶς τοὺς ἱεροὺς τῆς ἐκκλησίας τόπους, καὶ τὰς ἐν αὐτοῖς πανσέπτους εἰκόνας, καὶ σὺν αὐταῖς τοὺς ἱσταμένους ἅπαντας μοναχούς. Μεταξὺ δὲ τῆς τοῦ θυμιατηρίου διελεύσεως, ψάλλουσιν οἱ μοναχοί, νῦν μέν, τὸ τῆς βασιλείας μου Τρισάγιον καὶ τοὺς προσφόρους ψαλμούς, ἤγουν τὸν ἐννέα καὶ δέκατον, οὗ ἡ ἀρχή· Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ, καὶ τὸν εἰκοστόν, οὗ ἡ ἀρχή· Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. Τροπάρια δὲ ταῦτα· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, καὶ

θεοτοκίον· Τάχυ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς, καὶ τὸ Κυριε ἐλέησον πέντε καὶ δέκα (**π. 72**].

Μετὰ δὲ τὴν τῆς βασιλείας μου μετάστασιν, δύο Τρισάγια κατὰ τὸν αὐτὸν καιρὸν ποιήσουσιν ἀνθ' ἑνός· καὶ τὸ μὲν πρῶτον ὑπὲρ τῶν ζώντων βασιλέων γενήσεται, μετὰ ψαλμοῦ ἑνός, οὗ ἡ ἀρχή· Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, καὶ τῶν προρρηθέντων τροπαρίων καὶ τοῦ θεοτοκίου, τὸ δὲ ἕτερον Τρισάγιον ὑπὲρ τῆς ἡμετέρας μνήμης ἐκτελέσουσιν, ἐν ᾧ ὑπαγορευθήσεται ψαλμὸς ἕκτος, οὗ ἡ ἀρχή· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. Τροπάριον δὲ ψάλλουσιν ἕν, τὸ Μετὰ τῶν ἁγίων ἀνάπαυσον, καὶ θεοτοκίον· Σὲ καὶ τεῖχος καὶ λιμένα, εἶτα καὶ ταύτην ἐπιφθέγξονται τὴν εὐχήν·

Μνήσθητι, Κύριε, τῶν κεκοιμημένων ὀρθοδόξων ἡμῶν βασιλέων καὶ κτητόρων, καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ἐν ἔργῳ, ἢ λόγῳ, ἢ κατὰ διάνοιαν πλημμεληθὲν ὑπ' αὐτῶν· καὶ κατασκήνωσον αὐτοὺς ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ὅθεν ἀπέδρα πᾶσα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου. Καὶ χάρισαι αὐτοῖς τὴν βασιλείαν σου, καὶ τὴν μέθεξιν τῶν ἀφράστων καὶ αἰωνίων ἀγαθῶν, (**οβ.**] καὶ τῆς σῆς ἀπεράντου καὶ μακαρίας ζωῆς. Σὺ γὰρ εἶ ἡ ζωὴ καὶ ἀνάπαυσις τῶν κεκοιμημένων, καὶ σοὶ τὴν δόξαν.

Ἐν τούτοις οὖν καὶ ὁ ἱερεὺς τὸν ὅλον ναὸν θυμιάσας, ὡς προδεδήλωται, αὖθις πρὸς τὰς τοῦ θυσιαστηρίου πύλας ἐλεύσεται καὶ ἐν αὐταῖς σταυροειδῶς θυμιάσας ἐκ τρίτου ἐκφωνήσει τὸ Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Οἱ δὲ μοναχοὶ τὸ Ἀμὴν ἐπειπόντες, εὐθὺς τὴν τοῦ ἑξαψάλμου ποιήσονται ἔναρξιν, οὐ μετὰ κραυγῆς, ἀλλ' ἠρέμα τοῦτο καθ' ἑαυτοὺς ὑποψάλλοντες, καὶ φροντίζοντες τῷ ἐκκλησιάρχῃ συμφωνεῖν, μέσον ἑστῶτι τοῦ ναοῦ, καὶ τρανότερον φθεγγομένῳ πρὸς τὸ ἐξακούεσθαι. Μετὰ δὲ τὴν τοῦ ἑξαψάλμου συμπλήρωσιν, ποτὲ μὲν μελῳδηθήσεται τὸ Θεὸς Κύριος, ἐν ταῖς φαιδροτέραις ἡμέραις δηλαδὴ καὶ ταῖς ἑορταῖς, ποτὲ δὲ τὸ Ἀλληλούια, ἀμφότερα μετά τινος ᾠδῆς ἐπινικίου τε καὶ λαμπρᾶς. Ἡ δὲ στάσις τῶν μοναχῶν οὕτως ἔσεται· οἱ πρεσβύτεροι πρὸ τῶν διακόνων στήσονται, οἱ δὲ διάκονοι μετ' αὐτούς, καὶ οὕτως ἐφεξῆς οἱ λοιποί, καθὼς ἂν ὁ ἐκκλησιάρχης ἑκάστῳ τὴν στάσιν ἀφορίσῃ, νεύμασι τοῦ καθηγουμένου ἑπόμενος. Διάκονοι μέντοι οὐδέποτε μεταξὺ πρεσβυτέρων στήσονται, κἂν οἱανδήτινα τῶν κρειττόνων διακονιῶν ἐγκεχειρισμένοι εἶεν. Ὁ μέντοι οἰκονόμος ὑπεξαιρεθήσεται, καὶ τὴν ἰδίαν

στάσιν ἀεὶ τηρήσει, κἂν μὴ ἱερατικῷ τετίμηται ἀξιώματι. Συναγομένων δὲ ἐν τῇ ἐκκλησίᾳ τῶν μοναχῶν, οὐδεὶς ἐπ' ἀδείας ἔξει πρὸ τῶν τοῦ θυσιαστηρίου κιγκλίδων, ἢ ἐν ἑτέρῳ τόπῳ προσεύχεσθαι, ἀλλ' ἕκαστος, εἰσιέναι μέλλων ἐν τῷ ναῷ, πρὸ τῶν βασιλικῶν πυλῶν βαλεῖ μετάνοιαν, εἶτα εἰσελεύσεται εὐλαβῶς, καὶ στήσεται ἐν τῷ οἰκείῳ τόπῳ, μὴ ποιήσας πρὸς τοὺς μοναχοὺς μετάνοιαν. Ἐνάρξεως δὲ γινομένης στιχολογίας, ἢ ᾠδῆς ἑτέρας, πάντες ἀναμενέτωσαν τὸν ἀρχόμενον, καὶ ἐπειδὰν συμπληρώσῃ τὸν τῆς ἐνάρξεως στίχον, ἐκεῖνος προσκυνείτω χαμαί, συμπροσκυνείτωσαν δὲ πάντες ἰσοταχῶς, μηδεὶς δὲ τολμάτω ποιεῖν τὴν ἔναρξιν, μὴ τασσόμενος παρὰ τοῦ τὴν διακονίαν ταύτην ἔχοντος. Δεῖ δὲ ἕκαστον ἀνέχεσθαι, ὥστε διδαχθῆναι τὸ μέλλον ἀρχθῆναι παρὰ τοῦ ταχθησομένου καὶ ποιησομένου τὴν ἔναρξιν· κἂν ἀκριβῶς τις γινώσκῃ τὴν ἀκολουθίαν ἡσυχάζειν ὀφείλει, καὶ πάντες ἁπλῶς (π. **73**] ἀπὸ πάσης ὁμιλίας ἐν τῷ καιρῷ τῆς ψαλμῳδίας σιγάτωσαν, μόνην ταύτην ἀνὰ στόμα φέροντες. Εἰ δέ τις ἀπορῶν βούλεταί τι μαθεῖν εἰς ὠφελειαν, ἐν τῷ καθίσματι τοῦτο ἡσύχως ἐπερωτάτω, ὑπακοῆς δὲ ψαλλομένης, ἢ ἑτέρου τοιούτου μέλους, ἱστάσθωσαν οἱ ἐπιστήμονες ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ψαλλέτωσαν τοῦτο μετὰ τῆς προσηκούσης τάξεως.

Ἡ δὲ φωταγωγία τοῦ ναοῦ γινέσθω τοιαύτη· κανδῆλαι ἀκοίμητοι ἁπτέσθωσαν ἐν μὲν τῷ βήματι δύο, μία καθιστὴ ἐν τῷ συνθρόνῳ κάτω, καὶ ἄλλη ἐν τῷ τρικανδήλῳ τοῦ βήματος· εἰς τὸν Παντοκράτορα δύο, εἰς τὴν Ἀνάστασιν μίαν, καὶ ἄλλη εἰς τὴν Σταύρωσιν, μία ἐν τῷ τρικανδήλῳ τοῦ τρούλλου, μία εἰς τὴν δεξιὰν ἀψίδα τοῦ βήματος, ἔνθα καὶ ὁ Δεῖπνος ἐστίν, ἑτέρα εἰς τὴν ἀριστερὰν ἀψίδα, ἔνθα ἐστὶν ὁ Νιπτήρ, καὶ ἄλλη πρὸ τῶν ὡραίων πυλῶν, ἔνθα καὶ ἡ Κοίμησις ἐστὶ τῆς Θεοτόκου.

Ἀκοίμητοι δὲ νυκτεριναὶ ἔστωσαν αὗται· τοῦ νάρθηκος μία, τοῦ ἐξωνάρθηκος ἄλλη, καὶ τῶν συνόδων ἑτέρα· ἐν δὲ ταῖς συνάξεσι τοῦ ὄρθρου, τῆς λειτουργίας καὶ τοῦ ἑσπερινοῦ ἁπτέσθωσαν μὲν κύκλῳ τοῦ χοροῦ οἱ κρατῆρες ἅπαντες, ἓξ καὶ δέκα τὸν ἀριθμὸν ὄντες, καὶ αἱ τοῦ τέμπλου κανδῆλαι (**οβ.**] πᾶσαι, καὶ τῶν τρικανδήλων, καὶ τῶν τεσσάρων ἐπιθολίων τέσσαρες, τοῦ νάρθηκος τρεῖς μετὰ τῆς νυκτερινῆς, καὶ τοῦ ἐξωνάρθηκος δύο μετὰ τῆς νυκτερινῆς ὁμοίως. Κηρία δὲ ἁπτέσθωσαν ἀκοίμητα ἓν εἰς τὸν μύακα, δύο εἰς τὸν Παντοκράτορα, ἓν εἰς τὴν Ἀνάστασιν, ἓν εἰς τὴν Σταύρωσιν, ἓν εἰς τὸν Νιπτῆρα, εἰς τὸν Δεῖπνον ἕν, καὶ ἐπάνω τῶν ὡραίων πυλῶν ἕτερον, καὶ τὸ τοῦ τρούλλου ἐπὶ τοῖς ἄλλοις. Κατὰ δὲ τὰς συνάξεις ἔστωσαν ἁπτόμενα ἐν τῷ τέμπλῳ τρία, εἰς τὸ μικρὸν τέμπλον ἕν, καὶ παρὰ τῷ θυσιαστηρίῳ ἕτερον ἕν. εἰς τὸν Παν-

τοκράτορα ἕτερα δύο, εἰς τὰς δύο προσκυνήσεις ἀνὰ ἕτερον ἓν. Ἐν δὲ ταῖς κυριακαῖς κατὰ τοὺς ὄρθρους καὶ ἐν ταῖς ἱερουργίαις, ἔτι δὲ καὶ ἐν τοῖς ἑσπερινοῖς τῶν σαββάτων ἁπτέσθωσαν κατὰ τὸ τέμπλον τὸ μέσον κηρία ἑπτά, καὶ εἰς τὸ δεξιὸν τέμπλον τοῦ μικροῦ βήματος κηρία τρία. Τὰ αὐτὰ δὲ καὶ ἐν ταῖς κοιναῖς ἑορταῖς. Κατὰ δὲ τὰς μείζονας ἑορτὰς ἡ φωταψία τοῦ ναοῦ οὕτω γενήσεται· ἐν αὐτῇ πρώτῃ τῇ Μεταμορφώσει ἀντὶ τῶν κρατήρων κρεμάσθωσαν πολυκάνδηλα, καὶ πάντα λαμπρῶς ἀρτυόμενα ὁλόφωτα ἁπτέσθωσαν, (л. 74| κηρία δὲ πηγνύσθωσαν περὶ τὰ τέμπλα καὶ τὰς προσκυνήσεις ἑξαούγγια. Ἐν δὲ τοῖς δωδεκαφωτίοις, τοῖς ἱσταμένοις ἔμπροσθεν τῆς προκειμένης ἁγίας εἰκόνος τοῦ Σωτῆρος κηρία λιτραῖα, καὶ εἰς τοὺς χοροὺς λαμπάδες ὀκτάλιτροι ἕξ, εἰς τὸν νάρθηκα τρεῖς, καὶ εἰς τὸν ἐξωνάρθηκα μία, ἐν δὲ τοῖς μανουαλίοις τῶν τρικανδήλων τοῦ μύακος καὶ τοῦ τρούλλου τετρασύγγια, καὶ εἰς τὰ λοιπὰ τρικάνδηλα ὁμοίως, ἐν οἷς εἰσὶ κηροπήγια, καὶ ἐν τοῖς διακονικοῖς, παρ' ἑκάτερα δὲ τοῦ σεπτοῦ θυσιαστηρίου λαμπάδες δύο, ῥοδοστάγματα, καὶ ξυλαλόη ἀπὸ τοῦ δοχείου χορηγηθήσεται δι' ἐξωνήσεως, καὶ διάδοσις ἐν τῷ πυλῶνι προβήσεται ψωμίου μοδίων εἰκοσιτεσσάρων, καὶ νουμίων ἢ τεταρτηρῶν νομισμάτων χρυσῶν δύο, τῶν κατὰ τὴν ἡμέραν προτιμωμένων.

Καὶ ὑπὲρ ὀψωνίου τῆς τραπέζης ἰχθύων νεαρῶν φροντισθήσονται μίνσοι τρεῖς, καὶ ἡ ἑορτὴ δὲ τοῦ Πάσχα ὁμοίως ἐν ἅπασι τελεσθήσεται. Κατὰ δὲ τὴν τοῦ Χριστοῦ γέννησιν, τὰ μὲν πολυκάνδηλα ὁμοίως ἀναφθήσονται, κηρία δὲ περὶ μὲν τὰ τέμπλα καὶ τὰς προσκυνήσεις στήσονται τετρασύγγια, ἐν τοῖς δωδεκαφωτίοις ὀκτασύγγια, (об.| εἰς δὲ τοὺς χοροὺς λαμπάδες ἑξάλιτροι ἕξ, καὶ εἰς τὸν νάρθηκα δύο, καὶ ἡ τοῦ πυλῶνος διάδοσις ὁμοία ἔσεται, τὸ δὲ ὀψώνιον τῆς τραπέζης φροντισθήσεται πρὸς μίνσους δύο. Τὰ αὐτὰ καὶ κατὰ τὴν ἑορτὴν τῶν Φώτων καὶ κατὰ τὴν Ὕψωσιν γενήσεται, ἡ δὲ ἐν τῷ πυλῶνι διάδοσις ἡμισευθήσεται. Ἐν δὲ τῇ ἑορτῇ τοῦ Εὐαγγελισμοῦ ἡ φωταψία ἐξ ἡμισείας γενήσεται, καὶ διάδοσις προβήσεται ψωμίου μοδίων ὀκτώ, καὶ νουμίων ἢ τεταρτηρῶν, χρυσοῦ νομίσματος ἑνός, καὶ ὀψώνιον τῶν μοναχῶν τὸ ἀρκοῦν εἰς μίνσον ἕνα, καὶ ἐν τῇ Πεντηκοστῇ τὰ αὐτὰ ὁμοίως γενήσεται, καὶ ἐν τῇ ἑορτῇ τῆς Βαϊοφόρου, καὶ ἐν τῇ ἑορτῇ τῆς Ὑπαπαντῆς καὶ τῆς Γεννήσεως τῆς Θεοτόκου, καὶ τῆς εἰς τὰ Ἅγια τῶν Ἁγίων Εἰσόδου, τῇ δὲ ἑορτῇ τοῦ ἁγίου Βασιλείου, τοῦ Θεολόγου καὶ τοῦ Χρυσοστόμου ἡ μὲν φωταψία καὶ ἔτι ἐλαττωθήσεται, ὡς προστίθεσθαι τῇ τῶν κοινῶν ἑορτῶν φωταψίᾳ δωδεκαφώτιον μόνον ἕν, τὸ μέλλον

ἔμπροσθεν τῆς ἑορταζομένης ἁγίας εἰκόνος ἱστασθαι, τὸ δὲ ὀψώνιον ἔσεται ὁμοίως μίνσου ἑνός. Ἡ δὲ τῶν ἁγίων ἀποστόλων ἑορτὴ τὴν τοῦ Εὐαγγελισμοῦ φωταψίαν ἕξει καὶ τὸ ὀψώνιον, ἡ δὲ τοῦ ἁγίου Φιλίππου μόνον τὸ ὀψώνιον, (π. **75**] κατὰ δὲ τὴν μεγάλην πέμπτην διάδοσις γενήσεται ψωμίου μοδίων εἰκοσιτεσσάρων καὶ νουμίων ἢ τεταρτηρῶν δύο ὁμοίων χρυσῶν νομισμάτων. Ἡ δὲ τῆς Θεομήτορος Κοίμησις ἑορτασθήσεται μὲν ἐν τῇ μονῇ ὁμοίως τῷ Εὐαγγελισμῷ, λαμπρότερον δὲ πανηγυρισθήσεται ἐν τῷ τῆς Ἐλεούσης ναῷ, καθὼς μετὰ ταῦτα δηλωθήσεται, πλὴν καὶ διάδοσις ἐν τῷ πυλῶνι γενήσεται ψωμίου μοδίων εἰκοσιτεσσάρων, καὶ νουμίων ἢ τεταρτηρῶν νομισμάτων δύο ὁμοίων χρυσῶν, δοθήσεται δὲ καὶ ὑπὲρ ὀψωνίου τῆς τραπέζης τὰ ἀρκοῦντα νομίσματα εἰς μίνσους δύο.

Καιρὸς δὲ καὶ περὶ τῶν προσφορῶν τῆς ἁγίας λειτουργίας εἰπεῖν. Γινέσθωσαν ἑκάστης ἡμέρας σεμιδάλεως ἐξάγια τέσσαρα καὶ διὰ τούτων ἀρτοποιείσθωσαν προσφοραί· δύο μὲν μείζονες, ἥτε Δεσποτική, καὶ ἡ τῆς Θεομήτορος, ἑτέρα δὲ ὑπὲρ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, καὶ ἕτεραι τέσσαρες ὑπὲρ τῶν μνημοσύνων τοῦ μακαρίτου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, τῆς μακαριωτάτης μου δεσποίνης καὶ μάμμης, τῆς μακαριωτάτης δεσποίνης καὶ μητρὸς τῆς βασιλείας μου, καὶ τῆς μακαριωτάτης δεσποίνης καὶ συζύγου μου. Ἐξ αὐτῶν δὲ τῶν ἑξαγίων [σ6.] γινέσθω καὶ τὸ τοῦ καθηγουμένου ἡμερήσιον ἀφράτον· αἱ δὲ προσφοραὶ εἰς κλάσματα τεμνόμεναι τοῖς μοναχοῖς ἐπιμεριζέσθωσαν. Ἑκάστῳ δὲ σαββάτῳ καὶ ἕτεραι προσφοραὶ ἐξ ἀλεύρου γινέσθωσαν, ἤγουν τοῦ μακαρίτου πάππου τῆς βασιλείας μου τοῦ Κουροπαλάτου, τῆς μακαρίτιδος μάμμης μου, τῆς πρωτοβεστιαρέας, τοῦ ἀνδρὸς αὐτῆς, τοῦ μακαρίτου θείου τῆς βασιλείας μου, τοῦ σεβαστοκράτορος, τῆς μακαρίτιδος νύμφης τῆς βασιλείας μου, τῆς συμβίου τοῦ περιποθήτου μου υἱοῦ, τοῦ βασιλέως κυροῦ Ἀλεξίου, τοῦ μακαρίτου ἀδελφοῦ μου, τοῦ σεβαστοκράτορος κυροῦ Ἀνδρονίκου, τῆς αὐταδέλφης μου, τῆς μοναχῆς κυρᾶς Εὐδοκίας, τοῦ καίσαρος καὶ γαμβροῦ τῆς βασιλείας μου, τοῦ Βρυενίου, τοῦ ἑτέρου μου γαμβροῦ, τοῦ Ἐφορβηνοῦ, τοῦ θείου τῆς βασιλείας μου, τοῦ μεγάλου Δομεστίκου, τῆς θείας μου τῆς συμβίου αὐτοῦ, τοῦ κυροῦ Μανουήλ, τοῦ θείου τῆς βασιλείας μου, τοῦ καίσαρος, τῶν μακαριτίδων τριῶν θείων τῆς βασιλείας μου, τῆς καισαρίσσης, τῆς πανυπερσεβάστου καὶ τῆς κυρᾶς Ξένης, τοῦ θείου τῆς βασιλείας μου τοῦ πρωτοστράτορος, τοῦ ἑτέρου θείου αὐτῆς (π. **76**] τοῦ μεγάλου δουκός, τοῦ σεβαστοῦ κυροῦ Γεωργίου τοῦ Παλαιολόγου, τῆς θείας μου τῆς παντίμου, καὶ τῆς

ἑτέρας μου θείας τῆς συμβίου τοῦ Παλαιολόγου. Καὶ ὑπὲρ τῶν τελευτησάντων ἐκγόνων μου προσφοραὶ δύο, ὑπὲρ δὲ αὐτοῦ τοῦ ποθεινοτάτου μου ἐκγόνου κυροῦ Ἀλεξίου, τοῦ παιδὸς τοῦ περιποθήτου μου υἱοῦ, τοῦ σεβαστοκράτορος κυροῦ Ἰσαακίου, εἰδικῶς προσφορὰ μία.

Γενέσθωσαν δὲ κοινῶς ὑπὲρ πάντων ὁμοίως κατὰ σάββατον καὶ διὰ κολύβων κανίσκια τρία. Μνημονευθήσονται οὖν διὰ τοῦτο αἱ δηλωθεῖσαι ὀνομασίαι τῶν κεκοιμημένων· κατὰ δὲ τὸ σάββατον τῆς ἀπόκρεω, τὸ σάββατον τῆς τυροφάγου καὶ σάββατον τῆς Πεντηκοστῆς μνημονευθήσονται καὶ οὗτοι· ὁ ἀποιχόμενος ἐκεῖνος εὐνοῦχος Ἰωάννης ὁ Μυστικός, ὁ ἕτερος μυστικὸς ὁ τζυκανιστηριώτης, ὁ σεβαστὸς κὺρις Κωνσταντῖνος ὁ Ῥογέρης, ὁ σεβαστὸς Εὐστάθιος ὁ καμύτζης, ὁ Μιχαηλίτζης ὁ στυπειώτης, ὁ ἰατρὸς Νικήτας ὁ πρῶτος, ὁ Γεώργιος τοῦ δεκανοῦ, καὶ ὁ βεστιαρίτης τῆς βασιλείας μου Θεόδωρος ὁ Βεροΐτης, διδομένης καὶ ὑπὲρ ἑκάστου τούτων προσφορᾶς μιᾶς.

Μετὰ δὲ τὴν ἡμετέραν μετάστασιν, προστεθήσονται ὑπὲρ μνημοσύνων ἑκαστῆς ἡμέρας καὶ αὗται αἱ προσφοραί, ἦγουν ἐμοῦ, τῶν περιποθήτων μου υἱῶν καὶ πορφυρογεννήτων τοῦ βασιλέως κυροῦ Ἀλεξίου, τοῦ σεβαστοκράτορος κυροῦ Ἀνδρονίκου, τοῦ σεβαστοκράτορος κυροῦ Ἰσαακίου καὶ τοῦ σεβαστοκράτορος κυροῦ Μανουήλ, τῶν φιλτάτων μου θυγατέρων. τῆς καισαρίσσης κυρᾶς Μαρίας, τῆς κυρᾶς Ἄννης, τῆς κυρᾶς Θεοδώρας καὶ τῆς κυρᾶς Εὐδοκίας. Γενήσεται δὲ καὶ κανίσκιον ἕτερον ἅπαξ τῆς ἑβδομάδος διὰ κολύβων.

Γραφήσονται δὲ καὶ τὰ ὀνόματα πάντων ἐν τοῖς διπτύχοις καὶ ἐσόμεθα μνημονευόμενοι τηνικαῦθα ἐν τῇ προσκομιδῇ καὶ τοῖς θείοις μυστηρίοις, ἀλλὰ καὶ νῦν ἔσονται γεγραμμένα ἐν τοῖς διπτύχοις τῶν ζώντων τὰ ἡμέτερα ὀνόματα, καὶ μνημονευθήσονται ὁμοίως ἔν τε τῇ προσκομιδῇ καὶ τοῖς θείοις μυστηρίοις.

Ἐπεὶ δὲ καὶ ὁ ἐπ' ἀνεψιᾷ γαμβρὸς τῆς βασιλείας μου, ὁ πανσέβαστος σεβαστὸς κὺρις Ἰωάννης ὁ Ἀρβαντηνός, θελήσας ἐν τῇ τοιαύτῃ τῆς βασιλείας μου ἰδιοκτήτῳ μονῇ ταφῆναι, διάφορα ἀπὸ τῶν οἰκείων ἀκινήτων ταύτῃ ἀφιέρωσεν, (**οβ.**] οἶκόν τε καὶ κτήματα, ἔχοντα προσόδους ἱκανάς, ἐφ' ᾧ γίνεσθαι καθ' ἡμέραν παννυχίδα ὑπὲρ αὐτοῦ καὶ Τρισάγιον ὀρθρινόν τε καὶ ἑσπέριον παρά τινων μοναχῶν ἀπὸ τῆς μονῆς, εἰ μὴ πλειόνων τέως τεσσάρων· πρὸς τούτοις δὲ ἠθέλησεν ὁ αὐτὸς ἀπὸ τῶν προσόδων τῶν αὐτῶν ἀκινήτων δίδοσθαι κατὰ τοὺς καιροὺς τῶν μνημοσύνων αὐτοῦ εἰς ψυχικὰς διαδόσεις τὸ τρίτον μέρος τῶν προσόδων τῶν ἀφιερωθέντων παρ' αὐτοῦ ἀκινήτων, τυποῖ καὶ ἡ βασιλεία μου ταῦτα οὕτω

γίνεσθαι, ὥς τε καὶ Τρισάγιον ὑπὲρ αὐτοῦ ἐκτελεῖσθαι ἑκάστης ἡμέρας παρά τινων μοναχῶν κατὰ δὲ τὸν ὄρθρον, καὶ μετὰ τὸ λυχνικόν, καὶ παννυχίδα ὁμοίως παρ' αὐτῶν ψάλλεσθαι παρακλητικὴν ὑπὲρ αὐτοῦ, καὶ κηρίον ἀκοίμητον καὶ κανδήλαν ὁμοίως ἀκοίμητον ἐν τῷ τάφῳ τούτου διηνεκῶς ἅπτειν, καὶ ψυχικὰς διαδόσεις πρὸ τῶν μνημοσύνων αὐτοῦ καὶ μετὰ τὰ μνημόσυνα γίνεσθαι προσεχῶς, ὡς συμποσοῦσθαι τὰ δι' ἀμφοτέρων διδόμενα εἰς τὸ τρίτον τῶν προσόδων τῶν ἀκινήτων αὐτοῦ, καὶ ταύτην τὴν ἀκολουθίαν οὕτω προβαίνειν ἀναλλοίωτον ἐς ἀεί, διὰ τὸ καὶ τοῦτον ἐπὶ τοιαύτῃ ἐλπίδι ἀφιερῶσαι τὰ διαφέροντα (π. 78] αὐτῷ τῇ τοιαύτῃ μονῇ τῆς βασιλείας μου. Ἐν μέντοι τοῖς τάφοις ἡμῶν, ἤγουν τῆς περιποθήτου μου συζύγου καὶ τῷ τῆς βασιλείας μου, ἀντὶ ἑνὸς ἀκοιμήτου κηρίου, ἀνὰ δύο ἅπτειν ὀφειλοῦσιν.

Καιρὸς δὲ καὶ περὶ τῆς κοινῆς τραπέζης τῶν ἀδελφῶν διαλαβεῖν· κοινὴν ἐχέτωσαν οἱ μονάζοντες τράπεζαν ἐν τῇ τοῦ Παντοκράτορος Σωτῆρος μονῇ, κοινῶν τῶν ἐδεσμάτων ἀπολαβέτωσαν, μὴ λαθροφαγείτω μηδείς· ἐπειδὴ τοῦτο καὶ τοῖς θείοις πατράσιν ἀπηγόρευται, καὶ μεγίστην προξενεῖ τῇ ψυχῇ τὴν ζημίαν, καὶ τὸν κίνδυνον χαλεπώτερον. Ὁ δὲ τῆς τροφῆς καιρὸς οὐ πάντοτε ὁ αὐτός· ὅτε μὲν γὰρ στιχολογία ἐν ταῖς ὥραις ἐστί, νηστίμων οὐσῶν τῶν ἡμερῶν, λέγω δὴ πρὸ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων, ἡ τρίτη ὥρα καὶ ἡ ἕκτη, κατὰ τὸ Τυπικὸν τῆς ἐκκλησίας, στιχολογηθήσεται, καὶ μετὰ τὴν θείαν ἱερουργίαν ἡ ἐννάτη δίχα στιχολογίας ψαλθήσεται. Δοθείσης δὲ τῆς εὐλογίας ἤδη τοῖς μοναχοῖς, καὶ τοῦ ξύλου κρουσθέντος ἐκ τρίτου, ἡ πρὸς τὴν τράπεζαν βάδισις αὐτῶν γενήσεται ἐν τοῖς χείλεσιν ἀδόντων τὸν ψαλμόν, οὗ ἡ ἀρχή· Ὑψώσω σε, ὁ Θεός μου. Ὅτε δὲ οὐ νήστιμοι εἰσὶν αἱ (οδ.] ἡμέραι, ἀλλ' ἑορτάσιμοι καὶ ἐπιφανεῖς, ἡ ἱερὰ μυσταγωγία τελεσθήσεται, καὶ λήψονται τὴν εὐλογίαν οἱ μοναχοί, καθὼς δεδήλωται, καὶ τρὶς τὸ ξύλον κρουσθήσεται, καὶ ἀπελεύσονται πρὸς τὴν τράπεζαν τὸν δηλωθέντα ψαλμὸν ἐπὶ στόματος ἔχοντες. Καὶ ἡ μὲν τοῦ καιροῦ τῆς τροφῆς διαίρεσις ἔσται τοιαύτη, δίχα τῆς μεγάλης τεσσαρακοστῆς καὶ τῆς τοῦ ἁγίου Φιλίππου. Γενήσεται δὲ μετὰ εὐταξίας καὶ ἡ πρὸς τὴν τράπεζαν ἀπέλευσις αὐτῶν, προηγουμένου μὲν ἁπάντων τοῦ λειτουργήσαντος ἱερέως, τοῦ δὲ καθηγουμένου ἐχόμενα τούτου βαδίζοντος, καὶ καθεξῆς τῶν λοιπῶν ἀδελφῶν συνεπομένων. Ὅτε δὲ πλησιάσουσι τῇ τραπέζῃ, γινόμενος ὁ ἱερεὺς ἐν τοῖς ἀνωτέροις δεξιοῖς μέρεσι, πρὸς ἀνατολὰς ὁρῶν, ταύτην λεγέτω καθ' ἑαυτὸν (τὴν) εὐχήν· Κύριε, ὁ Θεός μου, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος, ἡ ἀληθινὴ τροφὴ τοῦ παντὸς κόσμου, καὶ

τὴν παροῦσαν ζωὴν κυβερνῶν, καὶ τῆς μελλούσης τὴν ἀπόλαυσιν ἡμῖν ἐπαγγειλάμενος, αὐτὸς εὐλόγησον τὴν βρῶσιν ἡμῶν καὶ τὴν πόσιν, καὶ ἀκατακρίτως ἡμᾶς μεταλαβεῖν αὐτῶν καταξίωσον, δοξάζοντάς τε καὶ εὐχαριστοῦντας τῷ χορηγῷ πάντων τῶν ἀγαθῶν δωρημάτων.

Εἶτα ὁ (π. 79) καθηγούμενος ἐπὶ τῆς οἰκείας τάξεως στήτω. τῆς ἐν τῇ κεφαλῇ τραπέζης, ὁ δὲ ἱερεὺς τηνικαῦτα τὸν τοῦ σταυροῦ τύπον τῇ τραπέζῃ ἐπιβαλών, ἐκφωνείτω, μετὰ τὴν δειλωθεῖσαν εὐχήν, Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου. Καὶ οὕτως, ἐπειπόντων τῶν ἀδελφῶν τὸ Ἀμήν, καθεζέσθω ὁ καθηγούμενος, καὶ μετὰ τοῦτο οἱ λοιποί, δίχα θορύβου καὶ συγχύσεως, καὶ ἕκαστος ἑκάστῳ τῆς καθέδρας παραχωρείτω· τοῦτο γὰρ καὶ ταπεινώσεως καὶ ἀγάπης ἐστὶ σημεῖον. Πάντων δὲ καθεσθέντων, ὁ ἀναγνῶναι ταχθεὶς ἀρχέσθω τῆς ἀναγνώσεως. ὁ δὲ ἱερουργήσας ἱερεύς, ὄρθιος ἑστὼς, εὐλογείτω, λέγων τὸ Εὐλογητὸς ὁ Θεός.

Καὶ τῶν ἀδελφῶν ἐπειπόντων τὸ Ἀμήν, ὁ περὶ τὴν τράπεζαν διακονῶν σιγὴν πᾶσιν ἐμποιείσθω, καὶ οὕτως ὁ ἀναγινώσκων ἀρχέσθω τῆς ἀναγνώσεως. Τῆς μαγειρίας δὲ παρετεθείσης, ὁ τῆς τραπέζης διακονητὴς μεγαλοφώνως βοάτω· Κύριε ἐλέησον, εὖξαι. Καὶ ὁ λειτουργήσας ἱερεὺς εὐλογείτω τὸ παρατεθειμένον βρῶμα. Εἶτα τοῦ καθηγουμένου τὴν χεῖρα τῷ βρώματι ἐπιβαλόντος, καὶ οἱ λοιποὶ ἐσθίειν ἐπιχειρείτωσαν· (οβ.) ἀδελφοὶ δὲ περιερχέσθωσαν μετὰ ταῦτα χάριν τῆς τοῦ θερμοῦ διαδόσεως, ἤδη τῶν κρασοβολίων προαπονεμηθέντων ἅπασι. Πλὴν ὁ καθηγούμενος πρῶτον ἐν ξυλίνῃ σφύρᾳ μικρᾷ τὸ τῆς τραπέζης ἄκρον ἐκ τρίτου τυπτέτω ἐφ' ἑκάστῳ κεράσματι, τοῦ δὲ πρώτου κρούσματος γενομένου, πάντες ὄρθιοι στήτωσαν, κατέχοντες τὰ ἑαυτῶν κρασοβόλια, καὶ ὁ καθηγούμενος ὁμοίως. Πάντες δὲ οὕτω καινὴν λαβόντες εὐλογίαν, αὖθις καθεζέσθωσαν, καὶ ἕκαστος τὸ ἀπὸ τοῦδε. τὸ οἰκεῖον εὐλογείτω πόμα τῷ τοῦ σταυροῦ διατυπώματι· οὐδεὶς μέντοι παρ' ἑτέρου εὐλογίαν αἰτήσει, παρόντος τοῦ καθηγουμένου. Τούτου δὲ ἀπόντος, ὁ οἰκονόμος ἀντ' αὐτοῦ καὶ τὸ κροῦσμα καὶ τὴν τῶν κρασοβολίων εὐλογίαν ποιείτω· εἰ δὲ μὴ ἱερεὺς εἴη, κρουέτω μὲν αὐτὸς τὸ ξύλον, ἐπετρεπέτω δὲ τῷ πρωτοπαπᾷ. ἢ τῷ λειτουργήσαντι ἱερεῖ, καὶ ποιείτω τὴν εὐλογίαν τοῦ πόματος· ἀπόντος δὲ τοῦ οἰκονόμου, αὐτὸς ὁ τῶν ἱερέων πρῶτος. ἢ ὁ λειτουργήσας ἱερεύς, ποιείτω τὰ παρὰ τοῦ καθηγουμένου γίνεσθαι ὀφείλοντα.

Ἐπὶ δὲ τῆς καθέδρας τοῦ καθηγουμένου καθεζέσθω μηδείς· βρωθείσης δὲ τῆς μαγειρίας, καὶ σιγῆς παρὰ τοῦ διακονοῦντος γινομένης, (π. 80) εἰσαγέσθω ὁ δεύτερος μίνσος, οἷος ἂν καὶ εἴη, καὶ εὐλογείτω

καὶ τοῦτον ὁ ἱερεύς· τοῦτο δὲ γινέσθω ἐφ' ἑκάστῳ βρώματι, εἰ δὲ καὶ παράκλησις ἐστί, καὶ πλείω εἴη τὰ παρατιθέμενα. Παρακλήσεως δὲ οὔσης, καὶ βρωμάτων πλειόνων προτιθεμένων, προσθήκην λαμβανέτωσαν καὶ τὰ κρασοβόλια κατὰ τὴν τοῦ καθηγουμένου διάκρισιν. Τῆς δὲ ἑστιάσεως συμπληρουμένης, καὶ τοῦ ἀναγνώστου παυομένου, προστάξει τοῦ προεστῶτος, ὁ διακονητὴς τῆς τραπέζης κανίσκιον τιθέτω, δεχόμενον τὰ ὀρθομόλια, καὶ ἕτερον, ἐν ᾧ βληθήσονται τὰ κοχλιάρια. Εἶθ' οὕτως ὁ καθηγούμενος ἐπιλεγέτω τὸν στίχον, καὶ πάντες κατὰ τάξιν ὁμοίως, καὶ αὐτίκα τιθέσθω τὸ κανίσκιον εἰς ὑποδοχὴν τῶν περιττευμάτων· καὶ πρῶτος ὁ ἡγούμενος ἐμβαλλέτω τούτῳ τὸν περιττεύσαντα αὐτῷ ἄρτον, εἶτα καὶ πάντες, ψαλλομένου μεταξὺ τοῦ Εὐλογητὸς ὁ Θεός, ὁ τρέφων ἡμᾶς. Τὰ δὲ κλάσματα διδόσθωσαν τοῖς πρὸ τοῦ πυλῶνος ἀδελφοῖς, ὁ δὲ ἱερεὺς ὁ λειτουργήσας, μετὰ τὸ πληρωθῆναι τὸ Εὐλογητὸς ὁ Θεός, ἐπιλεγέτω τὴν εὐχὴν ταύτην· Κύριε, ὁ Θεὸς ἡμῶν, πλήθυνον τὰς περισσείας τῶν δούλων σου, (**οβ.**] καὶ ἡμᾶς ἐλέησον, ὅτι ἅγιος εἶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εἶτα μετὰ τὸ Ἀμὴν ὁ τραπεζάριος νεύματι τοῦ καθηγουμένου σταυρὸν μετὰ τοῦ κανισκίου ποιείτω καὶ λεγέτω μεγάλῃ φωνῇ· Μέγα τὸ ὄνομα. Πάντες δὲ ἀποκρινέσθωσαν· Τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος. Εἶτα ὁ καθηγούμενος ἐπευλογείτω πάντας. Ὁ δὲ περὶ τὴν τράπεζαν διακονῶν ψαλλέτω μεγαλοφώνως τὸ Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, συμψαλλόντων αὐτῷ καὶ τῶν ἀδελφῶν. Εἶτα τοῦ ἱερουργήσαντος ἱερέως εὐχαριστήσαντος μετὰ πάντων τῷ Θεῷ, ἀπαρχέσθω τοῦ ρκα'. ψαλμοῦ· Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, καὶ τοῦ πγ'. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε. Εἶτα ὁ ἱερεὺς εὐχαριστίαν ποιείτω, καὶ οὕτως λεγέτω εὐχήν, καὶ ἀπερχέσθω ἕκαστος εἰς τὸ κελλίον αὐτοῦ. Μετὰ δὲ τὸ ἀναστῆναι τοὺς μοναχοὺς τῆς τραπέζης, ἐσθιέτωσαν οἱ διακονήσαντες. μηδενὶ δὲ ἐξέστω ἢ ἄρτον, ἢ ἕτερόν τι τῶν παρακειμένων λαβεῖν εἰς τὸ κελλίον αὐτοῦ· εἰ δέ τινες τῶν εἰς διακονίας ἀποστελλομένων ἐπὶ τοσοῦτον ἐμβραδύνουσιν, ὡς μὴ φθάσαι τὸν καιρὸν τοῦ ἀρίστου, χρὴ καὶ τούτοις ὁμοίως ἐν τῇ τραπέζῃ (**л. 81**] τὰ αὐτὰ παρατίθεσθαι βρώματα, ἵνα μὴ σκάνδαλον γίνηται, ἀποφερομένων αὐτῶν τὰς τροφὰς ἐν τοῖς κελλίοις αὐτῶν.

Εἰ δέ τις ἐπὶ τοσοῦτον νοσεῖ, ὡς κλινήρης εἶναι καὶ μὴ βαδίζειν δύνασθαι, γινέσθω ἐν τῷ κελλίῳ αὐτοῦ ἡ προσήκουσα ἐπιμέλεια, ἀλλὰ καὶ πάντων ἁπλῶς τῶν νοσούντων ἐπιμελείσθω ὁ καθηγούμενος, ἰατρὸν ἔχων παραβάλλοντα τῇ μονῇ, καὶ ἐπισκευάζοντα τὰ συμβαλλόμενα ἔμπλαστρα καὶ τὰ ἔλαια, ὥς τε ἐναποκεῖσθαι τῷ τρικλίνῳ τῶν νοσοκο-

μουμένων, καὶ αὐτὸς δὲ παραβαλλέτω συχνότερον ἐπισκεπτόμενος τοὺς δεομένους ἐπιμελείας, καὶ προνοούμενος τούτων ἐπὶ πᾶσι τοῖς χρειώδεσιν, ἄρτῳ καθαρῷ, οἴνῳ καλλίστῳ, καὶ τοῖς ἄλλοις, τοῖς δυναμένοις τοὺς ἐν νόσοις παρηγορεῖν. Ἐχέτω δὲ καὶ τὸ τρικλινάριον κλίνας ἐστρωμένας ἓξ, λόγῳ τῶν βουλομένων ἀνακλίνεσθαι, καὶ ἑτέραν, λόγῳ τοῦ ἰατροῦ, μέλλοντος καὶ τούτου παραμένειν τοῖς κάμνουσιν, ὁπότε χρεία κατεπείγῃ. Ἔστωσαν δὲ καὶ τὰ ἐπιτήδεια πρὸς τὸ λούεσθαι διαρκῶς ἐναποτεθειμένα, καδδάρια λέγω, ἐπιχυτάρια καὶ σαπωνάρια, σάβανα, κομοεκμάγια, λέντια καὶ λοιπά, (**οβ.**] ὡς ἐξαρκεῖν ἓξ ἅμα λουομένοις, τούτοις δὲ οὐ μόνον οἱ νοσοῦντες χρήσονται, ἀλλὰ καὶ πάντες ἁπλῶς οἱ ἀδελφοί. Φροντιστέον δὲ μάλιστα, ὥς τε τοὺς ἓξ ὑπηρετουμένους αὐτοῖς χειρὶ πάσῃ καὶ προθυμίᾳ δεικνύειν τὴν εἰς αὐτοὺς ἐπιμέλειαν, πιστεύοντας τῷ εἰπόντι Χριστῷ· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Καὶ περὶ μὲν τῶν νοσούντων ταῦτα.

Διοριστέον δὲ καὶ περὶ τοῦ δείπνου. Μετὰ γὰρ τὸ λυχνικόν, τρὶς κρουομένου τοῦ ξύλου, πρὸς τὴν τράπεζαν οἱ μοναχοὶ εἰσελεύσονται, ψάλλοντες τὸν στίχον, οὗ ἡ ἀρχή· Φάγονται πένητες καὶ ἐμπλησθήσονται, ἕως τοῦ: εἰς αἰῶνα αἰῶνος, καὶ οὕτω καθεζέσθωσαν, καὶ εὐλογήσαντος τοῦ ἱερέως τοὺ ἱερουργήσαντος, ἐσθιέτωσαν ἄρτον καὶ πινέτωσαν οἶνον· καιροῦ δὲ διδόντος, καὶ λάχανα αὐτοῖς παρατεθήσονται, καὶ ὀπῶραί τινες τῷ καιρῷ κατάλληλοι, καὶ ὅσα ἄλλα πρὸς ἑστίασιν ἐν δείπνῳ ἐπιτήδεια, ἐν τοῖς κεράσμασι δὲ τηρηθήσεται ὁ τύπος, οὗ καὶ ἐν τῷ ἀρίστῳ ἐπεμνήσθημεν.

Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς βρώσεως καὶ τῆς πόσεως, τιθέσθω τὸ κανίσκιον, ὡς ἐμβληθῆναι τὰ περιττεύματα ἐν αὐτῷ, καὶ λεγέσθω οὕτως· Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ (**π. 82**] καὶ τῷ Ἁγίῳ Πνεύματι. Εἶτα ἐπευλογείτω ὁ καθηγούμενος, τῶν ἀδελφῶν πρότερον εἰπόντων συνημμένως ἐκ τρίτου τὸ Κύριε, ἐλέησον, καὶ ἐπαγόντων τὸ Κύριε, εὐλόγησον. Καὶ οὕτως ὁ καθηγούμενος ἐπιλεγέτω· Χριστὲ ὁ Θεός, πλήθυνον καὶ τὰ ἐξῆς. Εἶτα ὁ περὶ τὴν τράπεζαν διακονῶν αἰρέτω τὸ κανίσκιον καὶ πρὸς τῷ ἄκρῳ τῆς τραπέζης σταυρὸν μετ' αὐτοῦ ποιείτω καὶ λεγέτω μεγάλῃ τῇ φωνῇ· Παναγία Θεοτόκε, βοήθει ἡμῖν. Ἀρξάμενος δὲ αὖθις ὁ τῇ τραπέζῃ διακονῶν τοὺ στίχου τοὺ λέγοτος· Εὐφρανας ἡμᾶς, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιασόμεθα· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἐχέτω συμψάλλοντας ἅπαντας τὸν τοιοῦτον στίχον ἕως τοῦ: ἐπ' ἐλπίδι κατῴκισάς με. Εἶτα ἀπολυέσθωσαν παρὰ τοῦ καθηγουμένου μετὰ τῆς τελευταίας

φωνὴς, ὁ δὲ ἐκκλησιάρχης εὐθὺς, προστάξει τοῦ καθηγουμένου, σημαινέτω τὰ ἀπόδειπνα. Πλὴν ἐν ταῖς παραμοναῖς τῶν μεγάλων ἑορτασίμων ἡμερῶν, καὶ μάλιστα τοῦ Σταυροῦ, ἐπιμελέστερόν τε καὶ φιλοτιμώτερον αὐτοῖς τὰ πρὸς δεῖπνον ἑτοιμαστέον, ὡς καὶ ἐψητὰ τούτοις παρατίθεσθαι, ἐκ λαχάνων καὶ ὀσπρίων ἐσκευασμένα, καὶ ὀπώρας τὰς (**οϐ.**] τοῦ καιροῦ, πολλάκις δὲ καὶ ἰχθύες καὶ κρασοβόλιον πλεῖον τῆς συνηθείας αὐτοῖς ἐπιδιδόσθωσαν.

Ῥητέον δὲ καὶ πόσα καὶ ὁποῖα τοῖς μοναχοῖς ἑκάστοτε παρατεθήσονται βρώματα. Κατὰ μὲν οὖν τὰς ὅλας τετράδας καὶ παρασκευάς, ἡ τῶν θείων κανόνων παρατήρησις οὐκ ἀμεληθήσεται, οὐ δὲ παροπτέα λογισθήσεται, κείσεται δὲ πάντως ἐπὶ τῇ τοῦ καθηγουμένου διακρίσει πρὸς τὰς τῶν ἀδελφῶν ἀσθενείας ἐναλάττειν τὴν κανονικὴν ἀκρίβειαν. Κατὰ δὲ τὰς δευτέρας τὰς ἀπολύτους, δίχα τῶν τεσσαρακοστῶν, τρία τοῖς ἀδελφοῖς παρατεθήσονται βρώματα, ἐλαίῳ μετὰ παραρτυμάτων καθηδυσμένα, μὴ διὰ λαχάνων καὶ ὀσπρίων μόνον, ἀλλὰ καὶ δι' ὀστρείων καὶ μυδίων ἐσκευασμένα, ὅτε ἔχει ὁ καιρός. Τρίταις δὲ καὶ πέμπταις τυρὸς καὶ ὠὰ βρωθήσονται, σάββασι δὲ καὶ κυριακαῖς καὶ ἰχθύες νεαροὶ παρατεθήσονται, ἀεὶ δὲ τρία τὰ ὄψα γενήσονται, καὶ τὰ μὲν δύο ταῖς δηλωθείσαις τέσσαρσι τῆς ἑβδομάδος ἡμέραις ἀπό τε ἰχθύων ταριχευτῶν καὶ νεαρῶν καὶ τυροῦ καὶ ὠῶν γενήσονται, τὸ δὲ τρίτον ἔσται δι' ὀσπρίου. Αἱ δὲ τεσσαρακοσταὶ τοιαύτην ἔξουσι τὴν διαφοράν, (σ. **83**] ἡ μὲν τῶν ἁγίων ἀποστόλων τοῦ τυροῦ καὶ τῶν ὠῶν τὴν ἀποχὴν ἕξει μόνον πρὸς τὰς ἀπολύτους ἡμέρας παρατηρήσιμον, ἡ δὲ τοῦ ἁγίου Φιλίππου καὶ τῶν ἰχθύων τὴν βρῶσιν κωλύσει, κατὰ τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας. δίχα τοῦ σαββάτου καὶ τῆς κυριακῆς, εἰ μή τις ἐν μιᾷ τῶν πέντε ἑορτάσιμος ἐπιστῇ· παρακληθήσονται γὰρ καὶ ἐν αὐτῇ διὰ τῆς τῶν ἰχθύων βρώσεως. Ἅπαξ δὲ τῆς ἡμέρας ἑστιαθήσονται μετὰ τὴν τοῦ λυχνικοῦ συμπλήρωσιν ἐν τῇ τοιαύτῃ τεσσαρακοστῇ, εἰ καὶ ἡ τῶν ἁγίων ἀποστόλων τεσσαρακοστὴ τὸ δειπνεῖν οὐκ ἐκώλυσε. Παρατεθήσεται δὲ ταῖς δηλωθείσαις πέντε τῆς ἑβδομάδος ἡμέραις ἡ τῶν μοναχῶν τροφή, πῇ μὲν ἐλαίου μετέχουσα πρὸς παράκλησιν αὐτῶν, πῇ δὲ τῆς τοιαύτης ἱλαρότητος ἄμοιρος διὰ τὴν ἀγνότητα τῶν ἡμερῶν. Δεσποτικῆς δὲ ἑορτῆς ἐφισταμένης, ἢ τῆς Θεομήτορος, ἤ τινος τῶν ἐπισήμων ἁγίων, ἔσται τις ἐν ταῖς τοιαύταις ἑορτασίμοις παρακλήσεις τοῖς μονάζουσι, κατὰ τὴν τοῦ καθηγουμένου διάκρισιν· πάσας μέντοι τὰς τραπέζας τῶν μοναχῶν, καὶ τὰς τοῦ γεύματος, καὶ τὰς τοῦ δείπνου κατὰ τὸ τέλος ἐπισφραγιζέτω τὸ σεπτὸν τῆς Θεο-

μήτορος (οβ.] ὄνομα, καὶ μετὰ τῆς τοιαύτης ἐπικλήσεως ὁ τραπεζάριος ἄρτου τρύφος ἀρκοῦν, κελεύσει τοῦ καθηγουμένου, λαμβάνων, σταυροειδῶς εὐλογείτω τοῦτο, καὶ οὕτως οἱ μοναχοὶ πάντες μεταλαμβάνοντες ἐξ αὐτοῦ, καὶ πόμα τελευταῖον ἐπ' ὀνόματι τῆς Θεομήτορος πινέτωσαν, ἵνα καὶ διὰ τῆς τοῦ θείου ταύτης ὀνόματος ἐπικλήσεως, καὶ τῆς ἐπὶ τούτῳ βρώσεώς τε καὶ πόσεως σωματικῶς ὁμοῦ καὶ ψυχικῶς ἁγιάζωνται. Γινέσθω δὲ καὶ ἡ πρὸς τὸν πυλῶνα διάδοσις ἑκάστης ἡμέρας, ψωμίου μοδίων θαλασσίων δύο, καὶ ἡ τοιαύτη παρατήρησις τῆς διαδόσεως ἀπροφασίστως φυλαττέσθω διὰ πάσης ἡμέρας. Ἡ δὲ τυροφάγος ἑβδομὰς ἀφύλακτον ἕξει τὴν τοῦ τυροῦ καὶ τῶν ὠῶν βρῶσιν, ἵνα μὴ δοκῶσι τὰς τῶν ἀπίστων νηστείας παραφυλάττειν οἱ πιστοί, τὴν ἐκείνων νομοθεσίαν αἰδούμενοι. Ἡ δὲ μεγάλη τεσσαρακοστὴ τὸ ἐξαίρετον ἐν ἅπασιν ἔχουσα, οἷά τι καθιέρωμα τῷ Θεῷ παρ' ἡμῶν προσαγομένη, ἀκριβεστέραν ἕξει πάντως καὶ τὴν περὶ τὴν πόσιν καὶ τὴν βρῶσιν παρατήρησιν· ἅπαξ μὲν οὖν ἐσθιέτωσαν ἐν αὐτῇ, κἂν ἑορτή τις ἐπισταίη, δίχα τοῦ σαββάτου καὶ τῆς κυριακῆς. Καὶ τὴν μὲν (π. 84] πρώτην ἑβδομάδα ἄρτος ἐλάττων παρὰ τὸ σύνηθες τεμάχιον παρατεθήσεται, καὶ ὄσπριον βεβρεγμένον, καὶ ἁλμαία δίχα ἐλαίου, καὶ κάρια καὶ ἰσχάδες, μεθέξουσι δὲ καὶ οἴνου διὰ τούτων τῶν ἡμερῶν βραχυτέρου παρὰ τὸ σύνηθες. Εἰ δέ τινες βούλονται τὴν πρώτην ἡμέραν ἀσίτως διάγειν, ὡς ἔθος πολλοῖς, παρὰ τῇ προαιρέσει τούτων ἐαθήσεται. Τῇ δὲ κατὰ τὴν παρασκευὴν ἑσπέρᾳ, διὰ τὴν τοῦ ἁγίου Θεοδώρου παραμονήν, διδόσθω τοῖς ἀδελφοῖς ἀνὰ κρασοβόλιον οἴνου, καὶ εἰς τὴν ἁλμαίαν βαλλέσθω ἔλαιον. Τοῖς σάββασι δὲ καὶ ταῖς κυριακαῖς τρία παρατιθέσθωσαν βρώματα, τὸ ἓν διὰ λαχάνων, καὶ τὸ ἕτερον δι' ὀσπρίου, καὶ τὸ τρίτον ἐξ ὀστρείων καὶ μυδίων, καὶ νεύρων, καὶ κρομμύων, καὶ πάντα ἐλαίῳ ἀρτυμένα, διδόσθω δὲ καὶ τὸ σύνηθες κρασοβόλιον. Ὁμοίως δὲ τῇ πρώτῃ ἑβδομάδι προβήσεται ἡ δίαιτα καὶ κατὰ τὰς δευτέρας, τετράδας τε καὶ παρασκευὰς τῶν ἑφεξῆς ἑβδομάδων τῆς τεσσαρακοστῆς. Ταῖς τρίταις δὲ καὶ ταῖς πέμπταις ὄσπριον καὶ λάχανον τούτοις παρατεθήσεται, ἐπιχεομένου καὶ ἐλαίου μετρίου μετὰ τὴν ἕψησιν· εἰς προθήκην δὲ παρακλήσεως καὶ ὄσπριον αὐτοῖς βρωθήσεται μετὰ μέλιτος ἐσκευασμένον, (οβ.] δοθήσεται δὲ καὶ τὸ σύνηθες κρασοβόλιον. Ὅτι δὲ προσήκει τοὺς ἀγωνιζομένους καὶ ἄνεσιν ἔχειν τινά, παρακαλείσθωσαν οἱ ἀδελφοὶ διὰ τῆς ἁγίας ταύτης τεσσαρακοστῆς, ἰχθυοφαγοῦντες κατὰ τὴν ἑορτὴν τῶν ἁγίων τεσσαράκοντα, εἴπερ μὴ κατὰ τὰς πέντε ἡμέρας τῆς πρώτης ἑβδομάδος ἐπιστῇ· τότε γὰρ ἐλαίῳ μόνῳ παρακληθήσονται. Ὁμοίως δὲ καὶ κατὰ τὴν Βαϊοφόρον ἰχθυοφα-

γήσουσιν. Ἡ μέντοι τετάρτη τῶν νηστειῶν ὅλη ἑβδομὰς τὴν αὐτὴν ἕξει περὶ τὴν τροφὴν παρατήρησιν τῇ πρώτῃ ἑβδομάδι, καὶ ἡ μεγάλη ἑβδομὰς ὁμοίως, μόνης τῆς μεγάλης πέμπτης ἐπιδεχομένης τὴν δι' ἐλαίου παράκλησιν. Τῇ δὲ μεγάλῃ παρασκευῇ καὶ τῷ μεγάλῳ σαββάτῳ γινέσθω πρὸς ἑσπέραν ἡ δίαιτα, ἄρτῳ μόνῳ καὶ ὀσπρίῳ βεβρεγμένῳ, καὶ εὐκράτῳ διὰ κυμίνου ἐσκευασμένῳ. Ἡ δὲ χαρμόσυνος ἡμέρα τοῦ Εὐαγγελισμοῦ, ἐν οἵᾳ ἂν τῶν ἡμερῶν τῆς τεσσαρακοστῆς ἐπιστῇ, δίχα τῶν πέντε τῆς πρώτης καὶ τῆς μεγάλης ἑβδομάδος ἡμερῶν, εἰς βρῶσιν ἰχθύων τοῖς μονάζουσιν ἐκχωρηθήσεται· κατ' αὐτὰς δὲ τὰς πέντε τῶν δύο ἑβδομάδων ἡμέρας ἐπιστᾶσα, οἴνῳ καὶ ἐλαίῳ παρηγορήσει τοὺς μοναχούς, (**π. 85**] λαχούσης δὲ τῆς ἑορτῆς κατὰ τὴν μεγάλην πέμπτην καὶ ἰχθύες αὐτοῖς βρωθήσονται.

Οὐδεὶς μέντοι τῶν μοναχῶν δι' ὅλης τῆς μεγάλης ταύτης τεσσαρακοστῆς λουθῆναι συγχωρηθήσεται, εἰ μή τινος κατεπείγει νοσήματος ἀνάγκη· καὶ οὐδὲ τῆς μονῆς ἐξιέναι συγχωρηθήσεται, ἵνα τὴν ἐν ταῖς προσευχαῖς προσεδρείαν ἀπερίσπαστον ἔχοιεν. Εἰ δὲ χρεία τις ἀναγκαία κατεπείγει τῆς ἐξελεύσεως, ἡ παραπυλὶς ἀνοιγήσεται, καὶ ὁ παρὰ τοῦ καθηγουμένου προσταχθησόμενος, ἐξελεύσεται δι' αὐτῆς. Πάντες δὲ οἱ διακονίας τινὸς ἅψασθαι μέλλοντες, ἢ ἐντὸς τῆς μονῆς, ἢ ἐκτός, πρότερον παρὰ τοῦ καθηγουμένου εὐχὴν λαμβανέτωσαν, εἰ δὲ ἀποδημεῖ ὁ καθηγούμενος, ὁ οἰκονόμος τοῦτο ποιείτω, ἀμφοτέρων δὲ λειπόντων, ὁ πρῶτος τῶν ἱερέων ἀναπληρούτω τὸν τόπον αὐτῶν. Τοσαύτην δὲ πάντες τῷ καθηγουμένῳ τὴν τιμὴν ἀπονεμέτωσαν, ὡς μηδέποτε παρατρέχειν τοῦτον ἀπροσκύνητον, εἰ καὶ κατὰ τὴν ὁδὸν αὐτῷ συναντήσουσιν, ἢ καὶ προκύπτοντα θεάσονται, καὶ ὁ προσκληθεὶς δὲ καὶ ὁ οἴκοθεν πρὸς αὐτὸν ἀφικόμενος, ὁμοίως βαλλέτω μετάνοιαν, καὶ τὰς χεῖρας συνδεσμευέτωσαν ἔμπροσθεν τοῦ καθηγουμένου (**οβ.**] ἱστάμενοι, καὶ πανταχόθεν αὐτῷ τὸ προσῆκον ἀπονεμέτωσαν σέβας, βραβευούσης ἐν ἅπασι τῆς εἰρήνης καὶ τῆς ὑπακοῆς. Ἐπεὶ δὲ καὶ λουτρῷ παρακαλεῖσθαι τοὺς μοναχοὺς προσῆκον, δὶς τοῦ μηνὸς ἅπαντες πρὸς ῥύψιν οἰκείαν λουέσθωσαν, δίχα μέντοι τῶν τεσσαρακοστῶν· κατὰ μὲν γὰρ τὴν μεγάλην, ὡς προείρηται, οὐδόλως λουθήσονται, κατὰ δὲ τὰς λοιπὰς δύο, τοῦ μηνὸς ἅπαξ λουτροῦ μεθέξουσιν. Ὁπηνίκα δὲ προσέλθῃ τις τῇ μονῇ προσδεχθῆναι αἰτῶν, οὐκ ἀβασανίστως εἰσδεχθήσεται, ἀλλὰ μετὰ ἀκριβοῦς ἐξετάσεως· ἀφ' ἑτέρας δὲ μονῆς ὤν, δίχα τῆς τοῦ ἡγουμένου ἐκείνου προτροπῆς, οὐ παραδεχθήσεται, ὡς κωλυούσης τοῦτο καὶ τῆς τῶν κανόνων παρατηρήσεως. Οὐ ζητηθήσεται δὲ ἀποταγὴν οὐδείς, ἵνα μὴ ἐν-

τεῦθεν ἄδεια δοθῇ τοὺς τυχόντας εἰς τὴν μονὴν παραδέχεσθαι· ὁ γὰρ τρόπος ἑκάστου καὶ ἡ παιδεία, καὶ ἡ ἐν τοῖς πράγμασι δεξιότης, καὶ τὸ τῆς ἀρετῆς περιούσιον, ἀντὶ χρυσοῦ καὶ δώρου παντὸς λογισθήσεται. Καὶ ἡ ἀδελφότης πᾶσα ὁμοτίμως βιώσεται. Εἰ δέ τις ἀναγκαῖος ἢ τῇ μονῇ, τῆς τῶν πραγμάτων χρείας ἐπιζητούσης τοὺς κατ' ἐκεῖνον συντελεῖν δυναμένους, ὁ δὲ διά (**π. 86**] τινας προφάσεις δεῖται συγκαταβάσεως τῶν προεχόντων ἐν γένει τυγχάνων, ἢ ἀβροτέρᾳ συντεθραμμένος διαγωγῇ. ἐπὶ τῷ καθηγουμένῳ κείσεται τὰ πρὸς θεραπείαν ἐκείνου ἀναλόγως ἐπινοεῖν, καθὼς ἂν ἄρα συνιδῇ τὴν τῆς μονῆς ὠφέλειαν.

Γυναῖκες εἰς τὴν μονὴν οὐκ εἰσελεύσονται· ἄβατος δὲ αὐταῖς ἔσται ἡ μονή, κἂν τινες τῶν περιφανῶν εἶεν, καὶ βίῳ σεμνῷ κεκόσμηνται, καὶ τῇ ἐκ γένους λαμπρότητι· εἰ δέ τινες ἴσως ἕνεκεν ταφῆς τῶν ᾠκειωμένων αὐταῖς, ἢ μνημοσύνων χάριν ἀναγκαῖον ἔχουσιν εἰσελθεῖν, οὐκ ἀπὸ τῆς πύλης τῆς μονῆς εἰσελεύσονται, ἀλλ' ἀπὸ τῆς πύλης τοῦ ναοῦ τῆς Ἐλεούσης.

Ἐπεὶ δὲ καὶ περὶ τοῦ ἀριθμοῦ τῶν μοναχῶν προσῆκον διαλαβεῖν, ἔσονται μονάζοντες οἱ πάντες οὐκ ἐλάττους τῶν ὀγδοήκοντα· πλὴν οἱ μὲν ἐκκλησιαζόμενοι ἄχρι τῶν πεντήκοντα περιστήσονται, καὶ τῇ θείᾳ δοξολογίᾳ προσκαρτερήσουσι, καὶ τοῖς ἱεροῖς ὕμνοις ἀδιασπάστως παραμενοῦσιν, οἱ δὲ λοιποὶ ταῖς ὑπηρετικαῖς διακονίαις καταμερισθήσονται. Οἱ μέντοι ἐκκλησιάζοντες ἔσονται σεμνοὶ τὸ ἔθος, κόσμιοι τὴν ἀρετήν, σπουδαῖοι πρὸς τὰς ἐμπεπιστευμένας αὐτοῖς (**οβ.**] διακονίας, τὴν φρόνησιν πολιοί, φροντίζοντες μηδέν τι τῶν τῆς μονῆς ἐξ ἀμελείας ἀπόλλυσθαι. Ἀπὸ δὲ τῶν δουλευτῶν οὐκ ἀρτοποιοὶ καὶ κηπουροί, καὶ μάγειροι μόνον γενήσονται, ἀλλὰ καὶ παρεκκλησιάρχαι καὶ παροικονόμοι καὶ ἕτεροι τοιοῦτοι. Ὁ μέντοι ἐκκλησιάρχης καὶ οἱ σκευοφύλακες, καὶ οἱ χαρτοφύλακες, καὶ ὁ νοσοκόμος, καὶ ὁ ξενοδόχος ἀπὸ τῶν ἀφωρισμένων τῇ ἐκκλησίᾳ γινέσθωσαν· ὁμοίως δὲ καὶ οἱ δοχειάριοι καὶ οἱ ὡρειάριοι. Δομέστικοι δύο, ἱερεῖς ἕξ, διάκονοι ἕξ, εἰ δὲ καὶ πλείονες εἶναι δυνήσονται ἱερεῖς ἢ διάκονοι, οὐδὲν ἀπὸ τῆς τοιαύτης γραφῆς τῷ ἡγουμένῳ ἔσται κώλυμα· κανονάρχαι δύο, παραδομέστικοι δύο καὶ ὁ ὡρολόγος. Ἀπὸ δὲ τῆς τῶν δουλευτῶν μοίρας καὶ τέσσαρες ἔσονται πᾶσι τοῖς ἀδελφοῖς κοινῶς ὑπηρετοῦντες πρὸς τὰς ἐσχάτας διακονίας, ἢ μᾶλλον τὰς πρώτας καὶ ἰσοθέους, εἴπερ ἀληθὴς ὁ λέγων· ὅτι πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Οὗτοι γοῦν καὶ τοὺς χιτῶνας καὶ τὰ ἱμάτια αὐτῶν ἐκπλυνοῦσι, καὶ τὰ σώματα ῥύψουσι τῷ λουτρῷ καὶ νοσηλευομένοις προθύμως ἐκδουλεύσουσι. καὶ ξέστας καὶ πίνακας καὶ χύτρας αὐτὰς ἀποσμήξουσιν. Ἐπιστα-

τήσει δὲ τούτοις ἅπασιν ὁ προεστὼς ἀπὸ (π. 87] τῶν πρώτων μέχρι καὶ τῶν ἐσχάτων, καὶ λογοπραγήσει πάντας ἐφ' αἷς ἐνεργοῦσι διακονίαις, καὶ τοὺς μὲν διακονοῦντας ὀρθῶς τῆς προσηκούσης αἰδοῦς καὶ τιμῆς ἀξιώσει, τοὺς δὲ ἐναντίως ἀναστρεφομένους μετακινήσει πάντως ἐπὶ συμφέροντι. Κτημάτων μέντοι προστασίαν, καὶ ὅσαι τῶν διακονιῶν ἀπαιτοῦσι τὴν ἔξωθεν τῆς μονῆς διατριβήν, οὐδεὶς τῶν μοναχῶν ἐμπιστευθήσεται, ἵνα μὴ τὴν ψυχικὴν βλάβην μείζονα τῆς προσδοκωμένης ὠφελείας ἐπὶ πράγμασι τῆς μονῆς ἐκεῖνοι προσκτήσωνται· ψυχῆς γὰρ μιᾶς οὐδ' αὐτὸς ὁ κόσμος ὅλος ἐστὶν ἰσοστάσιος. Τὰς μέντοι ἐντὸς τῆς μονῆς ἁπάσας διακονίας οἱ μοναχοὶ διοικήσουσι, καὶ οὐδεὶς τῶν κοσμικῶν ἔνδον οἰκήσει τῆς μονῆς, ἀλλ' αὐτοὶ μόνοι τὸν οἰκεῖον παράδεισον κατοικήσουσι, καὶ τοῦτον ἐπιμελῶς γεωργήσουσι καὶ φυτεύσουσιν, ὁ μὲν εἰς τριάκοντα, ὁ δὲ εἰς ἑξήκοντα, καὶ ἄλλος εἰς ἑκατόν, ὁ τὸ μέτρον φθάσας τῆς τελειώσεως, καὶ οὐδὲν μεταξὺ τούτων κοσμικὸν ζιζάνιον ἐκφυήσεται· ὥσπερ αὖθις τὰς ἐν τοῖς κτήμασι τῆς μονῆς ὑπηρεσίας κοσμικοὶ διοικήσουσι, καὶ ταῖς προσηκούσαις εὐθήναις ὑποπεσεῖται ἕκαστος.

Ἀλλ' οὐδὲ ἔξω τῆς μονῆς παραχωρηθήσονταί τινες τῶν (οδ.] ἐκκλησιαζόντων μοναχῶν ἀπέρχεσθαι χάριν ψαλμῳδίας, οἵα ἂν εἴη ἡ τελουμένη παρά τινος ἑορτή, καὶ εἴ τε μοναστήριον ἕτερόν ἐστι τὸ ταύτην τελοῦν, εἴτε τινὲς τῶν κοσμικῶν, δυσχερὲς γὰρ καὶ ἐπιβλαβὲς τὸ τοιοῦτον ἐπιχείρημα παντοίως γινήσεται τοῖς ἐν τῇ μονῇ μονάζουσι, πρὸς τῷ καὶ τῇ μονῇ ἐπιφέρειν καὶ τῷ προεστῶτι ταύτης αἰσχύνην, διὰ τὸ περὶ τοὺς ὑπ' αὐτὸν ἀνεπιτήρητόν τε καὶ ἀπρονόητον.

Ἐπεὶ δὲ κοινὰ τὰ μοναχῶν ἅπαντα ὁ λόγος ἀνωτέρω διετυπώσατο, τὴν μέθεξιν τῆς τραπέζης, τὴν ἔνδον τῆς μονῆς κατοικίαν, τὴν ἐν τῷ ναῷ προσεδρείαν, τὴν ἀρέμβαστον προσευχήν, κοινὴν αὐτοῖς καὶ τὴν πρὸς τὸν καθηγούμενον ἐξαγγελίαν τῶν ἐπταισμένων εἶναι διορίζεται, καὶ πάντας ὁμοίως προτρέπειν προθύμως ἀνακαλύπτειν αὐτῷ τοὺς ἐπισφαλεῖς λογισμοὺς καὶ τὰ τῆς ψυχῆς κινήματα ἅπαντα, ἵν' οὕτω καταισχυνόμενος ὁ ἐγκεκρυμμένος πολέμιος ἀποδιδράσκῃ τάχιστα τῶν διανοιῶν αὐτῶν. Ἐντεῦθεν οὖν καὶ ἡ τῶν περιβόλων τῆς μονῆς πρόσοδος οὐχ ἕξει παῤῥησίαν ἐν τοῖς μονάζουσι, πρόφασιν ἐφευρίσκουσα εἰς τὸ ἐξιέναι τῆς μονῆς τὴν τῶν λογισμῶν ἐξαγόρευσιν, ἵνα μὴ λάθωσιν ἀντὶ φαρμάκου (π. 88) σωτηρίας, βέλος θανατηφόρον δεχόμενοι, καὶ ἀντὶ τῆς ἐπιζητουμένης θεραπείας, διὰ τῶν θυρίδων αὐτῶν τιτρωσκόμενοι, πινέτωσαν δὲ τὰ ἐκ τῆς οἰκείας πηγῆς ποτιμώτατα νάματα, καὶ ἀπὸ τῆς πρὸς τὸν καθηγούμενον ἐξαγορείας ἕκαστος ὑποδεχέσθω τὸ κατάλ-

ληλον ἴαμα, εἰ δέ τις ἴσως ἐπὶ τοσοῦτον ἀπιστίας χωρήσει, καὶ δυσαρεστῶν φανεῖται τῇ πρὸς τὸν καθηγούμενον ἐξαγορεύσει, φροντίσει καὶ τοῦτον, ὡς δυνατόν, ἐκεῖνος κερδῆσαι, καὶ τῇ ἀσθενείᾳ τούτου συγκαταβήσεται, καὶ ἐπιτρέψει τινὶ τῶν ἐν τῇ μονῇ γερόντων σεμνῷ, δυναμένῳ καὶ λογισμοὺς διακρίνειν, καὶ τοὺς τοῦ τοιούτου ἀδελφοῦ λογισμοὺς ἀναδέξασθαι. Πάντως δὲ καὶ ὁ καθηγούμενος, καὶ ὁ παρὰ τούτου δεξόμενος τὴν ἐκχώρησιν τῆς τῶν λογισμῶν ἀναδοχῆς, κατὰ τὴν τῶν θείων κανόνων ἀκολουθίαν, πρότερον ἐκχωρηθήσονται διὰ τῆς ἀρχιερατικῆς σφραγίδος τοὺς τῶν ἀδελφῶν λογισμοὺς ἀναδέχεσθαι, καὶ τὴν τοῦ δεσμεῖν καὶ λύειν ἐξουσίαν πνευματικῶς καὶ φιλοθέως κομίσονται παρὰ τῶν ἐκ Θεοῦ ταύτην κομισαμένων. Οὐ παραχωρηθήσεται μέντοι τῶν μοναχῶν οὐδὲ εἷς ἔξω ποτὲ τῆς μονῆς διανυκτερεῦσαι· σπουδάσει γὰρ πάντως ἕκαστος τῶν μετὰ προτροπῆς τοῦ καθηγουμένου (οβ.] ἐξερχομένων πρὸ τῶν τοῦ ἡλίου δυσμῶν ἐν τῇ πύλῃ τῆς μονῆς εἰσελθεῖν· ἐπιβλαβὴς γὰρ καὶ ὀλεθρία τοῖς ἔξω τῆς μάνδρας ἀπολιμπανομένοις τῆς ποίμνης προβάτοις ἡ πρὸς ἑσπέραν μόνωσις, καὶ τοῖς λύκοις ἐπίχαρτος, ὁ μὴ γένοιτό τινι τῶν τῆς ἱερᾶς ταύτης μάνδρας ἐπισυμβῆναι, τῇ παντοκρατορικῇ τοῦ Σωτῆρος περισωζομένων ἁπάντων χειρί.

Ἐπεὶ δὲ χρεία τοῖς ἀδελφοῖς καὶ περιβλημάτων ἀρκούντων, ἑτοιμασθήσεται ἑκάστῳ αὐτῶν κατὰ τὸν τῆς πασχαλίας καιρὸν ὑποκάμισα δύο, ἱμάτιον βαμβακηρὸν ἕν, ἔχον βαμβάκιον λίτρας τέσσαρας, καὶ καλίγια ζυγὰς δύο καὶ κατὰ χρόνους δύο μανδύας εἷς καὶ ἐπιστήθιον ἕν, καὶ αὐτὸ κατὰ διετίαν· ταῦτα δὲ λήψονται οἱ μοναχοί, τὰ παλαιὰ πρότερον τῷ καθηγουμένῳ ἐμφανίζοντες, ὡς τε οἰκονομεῖσθαι ταῦτα παρ' αὐτοῦ, καθὼς ἄρα καὶ βούλεται.

Ταῦτα μὲν οὖν ἡ βασιλεία μου περὶ τῆς ἀκολουθίας τῆς μονῆς διετάξατο· εἰ δέ τι πολλάκις ἢ ἐπὶ τῇ διαίτῃ τῶν μοναχῶν, ἢ ἐπὶ τῇ τῆς ἐκκλησίας ἀκολουθίᾳ, συνίδῃ ὁ κατὰ καιροὺς καθηγούμενος δέον εἶναι προσθήκην ἢ ὑφαίρεσιν δέξασθαι, ἢ διά τινας τῶν μοναχῶν ἀσθενείας, ἢ καὶ δι' οἰκονομίαν ἑτέραν εὔλογον, κείσεται τοῦτο ἐπὶ τῇ διακρίσει αὐτοῦ.

(π. 89] Καιρὸς δὲ λοιπὸν καὶ περὶ τῆς τοῦ ἡγουμένου προχειρίσεως εἰπεῖν. Ἐπεὶ γοῦν ἐν ταῖς ἐκλογαῖς τῶν ἡγουμένων εἰώθασι διενέξεις καὶ στάσεις τοῖς ἀδελφοῖς ἐπιγίνεσθαι, τῶν μὲν τοῦτον, τῶν δὲ ἐκεῖνον προαιρουμένων, βούλομαι τὸν μετὰ τὴν ἐμὴν τελευτὴν καθηγουμενεύοντα τρεῖς τῶν ἀδελφῶν ἐπιλέγεσθαι καθ' ἑαυτὸν ἀπὸ πάντων τῶν μοναχῶν, τῶν τε ἐν τῇ κυρίᾳ μονῇ τοῦ Παντοκράτορος καὶ τῶν ἐν τοῖς

συνημμένοις ταύτῃ μοναστηρίοις ἢ καὶ μετοχίοις· οὐδὲ γὰρ οὐδὲ τούτους ἀποπέμψασθαι, εἴπερ εὕρῃ τινὰ τῆς τοιαύτης προστασίας ἄξιον ἔν τινι τῶν τοιούτων μοναστηρίων ἢ μετοχίων· συναθροίσας δὲ τοὺς μοναχοὺς τὰ τῶν ἐπιλεγέντων ὀνόματα εἰς χάρτην ἐγγράψεται ἐπ' ὄψεσι τούτων, καὶ οὕτως ἐπισημήνεται καὶ σφραγίσει τοῦτον τὸν χάρτην, καὶ ἐναποθήσει τῷ σκευοφυλακίῳ, καὶ τηρηθήσεται μέχρι τῆς αὐτοῦ μεταστάσεως, τὰ δὲ ἐγγεγραμμένα ὀνόματα οὐδενὶ τῶν ἀδελφῶν γνωστὰ ἔσονται. Εἶτα χηρευσάσης τῆς ἡγουμενείας, ἐξενεχθήσεται μὲν ὁ χάρτης, πάντων τῶν ἀδελφῶν συνελθόντων, καὶ προτεθήσεται μέσον, καὶ ἀποσφραγισθήσεται· καὶ εἰ μὲν ἀρέσκονται πάντες ὁμοῦ ἐφ' ἑνὶ τῶν τριῶν, τῶν ἐγγεγραμμένων, ὡς προδήλως τῶν ἑτέρων (σδ.] προέχοντι, αὐτίκα τὸν τοιοῦτον εἰς προστασίαν, δίχα τινὸς ἐνδοιασμοῦ, παραδέξονται· εἰ δὲ διαφέρονται ἐπὶ τοῖς τρισί, καὶ ἄλλοι ἄλλον ἐξ αὐτῶν ἐπιλέγονται, κοινὴν ἡ ἀδελφότης ἅπασα θερμοτάτην ἱκεσίαν πρὸς Θεὸν ποιήσονται, συνόντων τῇ πρωτοτύπῳ μονῇ καὶ τῶν ἄλλων μοναστηρίων, καὶ μετὰ δακρύων ἐκλιπαρήσουσιν ἀναδειχθῆναι αὐτοῖς τὸν τῆς προστασίας ἄξιον. Εἶτα ἐν τρισὶ τμήμασι χαρτίων τὰ ὀνόματα ἐγγραφέτωσαν, καὶ τῇ θείᾳ τραπέζῃ ταῦτα προσφερέτω τις τῶν μὴ εἰδότων γράμματα, καὶ ὑπὸ κάτω τῶν θείων ταύτης ἐπίπλων τιθέτω, καὶ οὕτως ἐπὶ τρεῖς ἡμέρας γινομένων παννυχίδων, ἑσπερινῶν καὶ λειτουργιῶν, συντελουμένης τῆς κατὰ τὴν τρίτην ἡμέραν μυσταγωγίας, ἕτερός τις, καὶ αὐτὸς γράμματα μὴ εἰδώς, παρὰ τῆς ἀδελφότητος προτρεπόμενος εἰσερχέσθω πρὸς τὰ ἄδυτα, καὶ τῇ θείᾳ τραπέζῃ τὴν χεῖρα ἐπιβάλλων, καὶ ἓν τῶν χαρτίων λαμβάνων, πᾶσιν ὑποδεικνύτω, καὶ ὁ ἐν αὐτῷ γεγραμμένος λογιζέσθω πᾶσι παρὰ Θεοῦ κριθῆναι τῆς προστασίας ἄξιος. Εἰ δέ ποτε, τῶν παρὰ τοῦ καθηγουμένου γεγραμμένων ὀνομάτων ἀναπτυσσομένων, εὑρεθῇ τις ἀπολειφθεὶς τῆς τοιαύτης γραφῆς, καθ' ὑπεροχὴν τῶν γεγραμμένων (π. 90] διαφέρων, καὶ διαλάμπων προδήλως ἐπὶ τῇ τοῦ βίου διαγωγῇ, καὶ εἰς προστασίαν τῶν ἄλλων ὑπερτερῶν, καὶ μαρτυροῦσι τοῦτο οἱ πλείους τῶν μοναχῶν, λέγω δὴ τὸ διπλάσιον μέρος τῆς ὅλης ἀδελφότητος, ἐξέσται τούτοις τηνικαῦτα διά τινος τῶν οἰκειοτάτων τῷ βασιλεῖ ὑπομιμνήσκειν τὸ θεῖον κράτος αὐτοῦ, καὶ τοῦ γινομένου ζητεῖν διόρθωσιν, ἵνα μὴ λάθῃ ὁ τῶν ἄλλων κρείττων διά τι πάθος ἀνθρώπινον, οἷα πολλὰ πολλάκις συμβαίνειν εἴωθεν, ἀπὸ τῆς ἐπὶ τῇ προστασίᾳ ψήφου μὴ δεόντως ἀπολειφθείς.

Τὸν οὖν κατὰ τὴν δηλωθεῖσαν παρατήρησιν εἰς ἡγουμενείαν ἐπιλεγησόμενον, εἷς τῶν κατὰ τὴν μεγαλούπολιν παρατυχόντων ἀρχιερέων,

ἐξ αἰτήσεως τῶν μοναχῶν διὰ πιττακίου πατριαρχικοῦ τὴν θείαν τελέσαι μυσταγωγίαν προτρεπόμενος, χειροτονείτω καθηγούμενον. ἵνα καὶ ἡ τοῦ κανόνος ἀκρίβεια φιλαχθῇ, καὶ ἡ τῆς μονῆς ἐλευθερία μηδὲν ἀπὸ τῆς τοῦ ἡγουμένου σφραγίδος κατασισθῇ. Εἶτα καὶ τὴν ποιμαντικὴν ῥάβδον ὁ χειροτονούμενος ἀπ' αὐτῆς τῆς τοῦ Παντοκράτορος εἰκόνος μετὰ πολλῆς τῆς εὐλαβείας ὑποδέξεται, λόγους πάντως ἐκείνῳ ποιήσων τῆς οἰκείας ἀρχῆς ἐν ἡμέρᾳ κρίσεως. Δέξεται δὲ τὸν προβληθησόμενον ἡ (οϐ.] ἀδελφότης, ὡς ἄν τις εἴποι, θεοκρίτως οὕτω καὶ θεοπροβλήτως μετὰ πολλῆς τῆς περιχαρείας, ὑπτίαις τὸ τοῦ λόγου χερσί, καὶ πᾶσαν εὔνοιαν καὶ ὑποταγὴν καὶ εὐλάβειαν καὶ εὐπείθειαν πρὸς αὐτὸν ἐνδείξεται· ὁ δὲ καὶ αὐτὸς αὖθις, ὡς τέκνων ἀγαπητῶν, αὐτῶν ἀντιλήψεται, καὶ ὑπὲρ ἑκάστου μεμεριμνημένην φροντίδα ποιήσεται, νουθετῶν, ὑπαλείφων, ἐπιστηρίζων, παρακαλῶν, ἐπιστύφων, πρὸς ἐπιστροφὴν ἐκκαλούμενος, πάντα ποιῶν πρὸς τὸ κερδῆσαι πάντας κατὰ τὸν ἀπόστολον. Οὗτος οὖν ὁ καθηγούμενος, ἐπειδὴ πλείονας τῶν ἄλλων φροντίδας καὶ πόνους ἔχειν ὀφείλει, διὰ ταῦτα καὶ κατὰ τὴν δίαιταν ἕξει τῶν λοιπῶν τὸ ἐξαίρετον, καὶ οὐ φθόνος ἔσται τινὶ τῆς ἐξηλλαγμένης ἐκείνου διαίτης, ἑκάστου συλλογιζομένου καθ' ἑαυτὸν τὴν εἰς προστασίαν ἐκείνου ἐπιλογήν, καὶ τὸ τῶν φροντίδων πολὺ καὶ ποικίλον παρακλήσεώς τινος ἐπιδεόμενον. Βρωθήσεται μὲν οὖν αὐτῷ ἑκάστης ἡμέρας τὸ μνημονευθὲν ἀφράτον, ὃ χάριν αὐτοῦ ἀρτοποιεῖσθαι προσετάξαμεν, καὶ οἶνος δὲ κρείττων ποθήσεται, καὶ ὀψώνιον ἀπὸ τοῦ δοχείου δοθήσεται, ἐν αἷς τῶν ἡμερῶν καὶ οἱ ἀδελφοὶ ἰχθυοφαγεῖν ἐκκεχώρηνται. Διατάττομαι δὲ τὸν εὐλαβέστατον καθηγούμενον οὕτω μετὰ τὴν ἐμὴν (μ. 91] τελευτὴν τῶν πραγμάτων ἀντιληψόμενον, καὶ φιλοθέως καὶ πνευματικῶς, κατὰ τὴν τοῦ Τυπικοῦ περίληψιν, πολιτευόμενον, ὑπὸ μηδενὸς ἀνακρίνεσθαι, ἢ λόγον ἀπαιτεῖσθαί τινα, μόνῳ τῷ Παντοκράτορι τὰς εὐθύνας ἐν τῷ καιρῷ τῆς δικαιοκρισίας ὑφέξοντα.

Ἐπεὶ δὲ καὶ ἕτερα μοναστήρια παρὰ τῆς βασιλείας μου προσηνώθησαν τῇ τοιαύτῃ μονῇ, ἤγουν ἡ μονὴ τῶν Νοσσιῶν, ἡ μονὴ τῆς Μονοκαστάνου, ἡ μονὴ τῶν Ἀνθεμίου, ἡ πέραθεν ἀντικρὺ τῆς πόλεως μονὴ τοῦ Μηδικαρίου, ἡ μονὴ τῶν Γαλακρηνῶν, καὶ ἡ μονὴ τοῦ Σατύρου, κατὰ τὴν γενομένην ἐπ' αὐτῇ πατριαρχικὴν οἰκονομίαν, μετὰ πάντων δηλαδὴ τῶν διαφερόντων αὐταῖς ἔν τε τῇ πόλει καὶ ἐν ταῖς ἔξωθεν, βούλομαι γίνεσθαι πρότερον ἀπὸ τῶν προσόδων αὐτῶν τὴν πᾶσαν οἰκονομίαν καὶ πρόνοιαν, καὶ διοίκησιν αὐτῶν τε τῶν μοναχῶν, καὶ τῶν ἐν ταῖς μοναῖς ἐκκλησιῶν, καὶ τὰς συνήθεις ἑορτάς, καὶ τὰ μνημόσυνα,

καὶ τὰ ἄλλως ἑκάστῃ τῶν μονῶν ἀναγκαῖα· καὶ οὕτω, μετὰ πάσας τὰς εὐλόγους καὶ ἀπαραιτήτους ἐξόδους, τὸ περιττεῦον εἰς τὴν κυρίαν μονὴν τοῦ Παντοκράτορος περιελεύσεσθαι, ὥσπερ αὖθις κατά τινα τῶν πραγμάτων (**ϭϭ.**] ἀνωμαλίαν, τινὸς τῶν τοιούτων μοναστηρίων ἐρχομένου εἰς ἔνδειαν, τὰ χρειώδη αὐτῷ παρασχεθήσεται. Ἔξει δὲ ἡ μὲν τῶν Νοσσιῶν μονὴ κοινοβιακὴν δίαιταν, κατὰ τὸ Τυπικὸν αὐτῆς, αἱ δὲ λοιπαὶ κελλιωτικὴν διαγωγὴν ἔξουσι, καθὼς μέχρι τοῦ νῦν. Ἐπεὶ δὲ ἑκάστη τῶν τοιούτων μονῶν ἀδιαφόρως ἔσχε μέχρι τοῦ νῦν ἐσωμονίτας τινὰς καὶ ἐξωμονίτας κατὰ τὸ δόξαν τοῖς ἐπιτηροῦσιν αὐτάς, μήτε τῆς κανονικῆς ἀκριβείας, μήτε τῆς μοναχικῆς καταστάσεως ἐν ταύταις φυλαττομένης, τῶν μὲν εὑρεθέντων νῦν προσετάξαμεν γενέσθαι κατάστιχον καὶ ἐπιδοθῆναι τῷ καθηγουμένῳ, ὥστε συντηρηθῆναι τούτους ἀδιασείστους, ἀπὸ τοῦ νῦν δὲ οὔτε ἐσωμονίτης, οὔτε ἐξωμονίτης ἔν τινι τῶν τοιούτων μονῶν ταγήσεται, ἄχρις ἂν ἡ τῶν ἐν ἑκάστῃ τούτων μοναζόντων ποσότης περιστῇ εἰς τὸν ἐνταῦθα δηλούμενον ἀριθμόν. Βουλόμεθα γὰρ τὴν μὲν τῶν Νοσσιῶν μονὴν ἔχειν μοναχοὺς κοινοβιακῶς ζῶντας δυοκαίδεκα, καὶ διακονητὰς ἑτέρους ἕξ, πᾶσαν τὴν τῆς μονῆς ἀναγκαίαν ὑπηρεσίαν ἀναπληροῦντας, ἡ δὲ διαγωγὴ τούτων ἔσεται, κατὰ τὴν ἀκολουθίαν τῆς κυρίας μονῆς τοῦ Παντοκράτορος. Τὴν δὲ τῆς Μονοκαστάνου μονὴν βουλόμεθα μοναχοὺς (**π. 92**] ἐσωμονίτας κελλιώτας ἔχειν δεκαέξ, καὶ λήψονται οἱ τοιοῦτοι μοναχοὶ εἴ τι καὶ μέχρι τοῦ νῦν ἑκάστῳ τούτων ἐδίδετο, κατὰ τὴν περίληψιν οὗ ἔχουσι Τυπικοῦ, καὶ τὸ παρακολουθῆσαν ἐπ' αὐτοῖς ἄχρι τοῦ νῦν ἔθος. Ἐν τῇ μονῇ τῶν Ἀνθεμίου ἔσονται μοναχοὶ κελλιῶται δώδεκα, καὶ λήψονται καὶ αὐτοὶ εἴτι καὶ μέχρι τοῦ νῦν ἐλάμβανον, κατὰ τὸν παρακολουθήσαντα ἐπ' αὐτοῖς τύπον. Ἐν τῇ μονῇ τοῦ Μηδικαρίου ἔσονται μοναχοὶ ἐσωμονίται κελλιῶται ἕξ, καὶ λήψονται καὶ αὐτοὶ ὁμοίως. Ἐν τῇ μονῇ τῶν Γαλακρηνῶν ἔσονται μοναχοὶ ὁμοίως κελλιῶται ἕξ, τὴν αὐτὴν ἀκολουθίαν τοῖς λοιποῖς κελλιώταις ἔχοντες. Ἐν τῇ μονῇ τοῦ Σατύρου ἔσονται ὡσαύτως μοναχοί, κελλιωτικῶς ζῶντες, δεκαοκτώ, καὶ λήψεται ἕκαστος τούτων εἴ τι καὶ μέχρι τοῦ νῦν ἐλάμβανεν. Ἡγούμενος δὲ ἐπ' οὐδεμιᾷ τῶν τοιούτων μονῶν ἔσεται, ἀλλὰ δι' οἰκονόμων ἐνεργηθήσονται τὰ ἐν αὐταῖς, συναριθμεῖσθαι καὶ συνυσάγεσθαι ὀφειλόντων τῷ δηλωθέντι ποσῷ τῶν ἀδελφῶν ἐφ' ἑκάστῃ μονῇ. Πᾶσαι δὲ ὁμοίως ὑπὸ τὸν καθηγούμενον τῆς τοῦ Παντοκράτορος μονῆς ἔσονται, καὶ ὡς ἓν σῶμα, διαφόροις (**οϭ.**] συναρμολογούμενον μέλεσιν, ὑπὸ μίαν ταχθήσονται κεφαλήν, τὸν δηλωθέντα καθηγούμενον.

Ἐπεὶ δὲ καὶ ναὸν ἠθέλησεν ἡ βασιλεία μου οἰκοδομηθῆναι πλησίον τῆς τοιαύτης μονῆς, ἐπ' ὀνόματι τῆς ὑπεραγίας μου Δεσποίνης καὶ Θεοτόκου τῆς Ἐλεούσης, καὶ μεταξὺ τοῦ τοιούτου ναοῦ καὶ τῆς μονῆς ἕτερον εὐκτήριον ἐν σχήματι Ἡρῴου, ἐπ' ὀνόματι τοῦ ἀρχιστρατήγου Μιχαήλ, ἐν ᾧ καὶ τοὺς τάφους ἡμῶν τεθῆναι διετυπωσάμην, ἰδοὺ καὶ τὰ περὶ τῆς ἀκολουθίας τῶν τοιούτων δύο ναῶν ἐνταῦθα διαληπτέον. Βούλομαι γὰρ τὴν μὲν φωταψίαν τοῦ ναοῦ τῆς Ἐλεούσης οὕτω γίνεσθαι· εἰς τὸν μύακα ἅπτειν κανδήλαν ἀκοίμητον μίαν, εἰς τὰς δύο προσκυνήσεις ἀνὰ μίαν, ἐν δὲ τῷ σίγνῳ τῆς ἁγίας εἰκόνος τῆς Ἐλεούσης κανδήλας τρεῖς, καὶ ἐν τῷ τρούλλῳ μίαν. Ταύτας μὲν οὖν ἀκοιμήτους εἶναι διορίζομαι, αἱ δὲ ἁπτόμεναι ἐν ταῖς συνάξεσι, καὶ αὖθις μετὰ τὴν συμπλήρωσιν σβεννύμεναι, οὕτως ἔσονται· τῶν τριῶν ἀψίδων τοῦ ναοῦ ἀνὰ μία, οἱ πέριξ τοῦ χοροῦ κρατῆρες ἅπαντες, εἰς τὸ μέσον τοῦ τέμπλου κανδῆλαι ἑπτά, εἰς τὰ μικρὰ δύο τέμπλα ἀνὰ (π. **93**] τρεῖς, εἰς τὴν ἁγίαν εἰκόνα τῆς Ἐλεούσης ἕτερον τρικάνδηλον ἕν, εἰς τὰ τέσσαρα φουρνικὰ ἀνὰ κανδήλαν μίαν, καὶ εἰς τὸν νάρθηκα κανδῆλαι τρεῖς. Κηρίον ἀκοίμητον ἔμπροσθεν τοῦ σίγνου ἀναφθήσεται ἕν, εἰς τὰς δύο προσκυνήσεις ἀνὰ ἕν, εἰς τὸν τροῦλλον ἕν. καὶ εἰς τὸν μύακα ἕτερον, ἁπτόμενα δὲ καὶ σβεννύμενα ἐν μὲν τῷ σίγνῳ ἔσονται ἕτερα τρία, εἰς τὰς δύο προσκυνήσεις ἀνὰ ἕν, εἰς τὸ μέσον τέμπλον τρία, εἰς τὰ μικρὰ ἀνὰ ἕν, ἐν τῷ συνθρόνῳ ἕν, καὶ τῶν τριῶν ἀψίδων ἀνὰ ἕν, καὶ ἐν τῷ νάρθηκι, ἐν τῇ διὰ μουσείου εἰκόνι τῆς Ἐλεούσης ἕν. Ἐπειδὴ δὲ καὶ κατὰ τὴν τῆς παρασκευῆς ἑσπέραν ἑκάστης ἑβδομάδος ἐτυπώθη παρ' ἡμῶν τὸ τῆς πρεσβείας σίγνον μετὰ τῶν λοιπῶν ἁγίων εἰκόνων, τῶν συνεπομένων αὐτῷ, παρεκνεύειν, καὶ ἐν τοῖς ἡμετέροις τάφοις διέρχεσθαι, καὶ ἐκτενῆ δέησιν ποιεῖσθαι ὑπὲρ ἡμῶν, ἰδοὺ καὶ περὶ τῆς φωταψίας τῆς μελλούσης κατὰ τὴν αὐτὴν ἑσπέραν γίνεσθαι ταῦτα διατυποῦμεν. Εἰς γὰρ τὴν Ὑπαντὴν τῶν ἁγίων σίγνων ἀναφθήσονται λαμπάδες τέσσαρες, εἰς τοὺς ἐμβόλους, τοὺς παρακειμένους τῷ δημοσίῳ ἐμβόλῳ, καὶ πρὸς τὴν ἄνοδον ὁμοῦ καὶ τὴν κάθοδον (**οβ.**] τῶν τοιούτων ἁγίων εἰκόνων χρηματίζοντας, ἀναφθήσονται ὁμοίως κατὰ τὴν αὐτὴν ἑσπέραν κανδῆλαι ἀνὰ δέκα, ἐντὸς φαναρίων ἅπτειν ὀφείλουσαι. Εἰς τὴν φιάλην, ἐν ᾗ ὀφείλει τὸ ὕδωρ καταῤῥέειν εἰς ψυχαγωγίαν τινὰ τῶν ἀπὸ τῆς ὁδοῦ ταλαιπορούντων, ἑτέρα μετὰ φαναρίου κανδήλα μία, ἐν τῷ ἐξωτερικῷ τοῦ ναοῦ πλαγίῳ, τῷ μετὰ τὴν τοιαύτην εἰσοδοέξοδον παρακειμένῳ, κανδῆλαι ἕξ. Ἐν τῇ εἰσοδοεξόδῳ, τῇ πρὸ τοῦ νάρθηκος τοῦ ναοῦ κειμένῃ, ἕτεραι κανδῆλαι δύο, καὶ εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ, τὴν πρὸ τῆς πύλης τοῦ νάρθηκος κανδήλα καθιστὴ μία, καὶ κηρίον ἕν. Ἐν

τῷ αὐτῷ δέ, τῷ νάρθηκι, ἕτεραι κανδῆλαι τρεῖς, ἐν τῷ Προδρόμῳ, τῷ ἄνωθεν τῆς πύλης τοῦ νάρθηκος, κανδήλα καθιστὴ μία καὶ κηρίον ἕν, καὶ εἰς τὴν διὰ μουσείου εἰκόνα τῆς Θεοτόκου, τῆς ἀντικρύ, κηρίον ἕν, ἔξωθεν δὲ τῆς ἑτέρας φιάλης, ἐν ᾗ ὁμοίως ἕτερον ὕδωρ καταῤῥέει πρὸς παρηγορίαν τοῦ λαοῦ, κανδήλα μία μετὰ φαναρίου. Ἐντὸς τοῦ ναοῦ λαμπάδες τέσσαρες, ἕτερα κηρία ἑπτά, καθ' ἑκάστην δηλονότι εἰκόνα τὴν ἱσταμένην ἐπάνω τῶν ἐν τῷ ναῷ διαφόρων πυλῶν, κηρίον ἕν, καὶ τὰ λοιπὰ κηρία τὰ συνήθως ἁπτόμενα. Εἰς τὴν (σ. **94**] εἰσοδοέξοδον τοῦ Ἡρῴου λαμπὰς μία, ἐν αὐτῷ τῷ Ἡρῴῳ πρὸ τῆς εἰκόνος τοῦ Χριστοῦ, τῆς ἱσταμένης ἄνωθεν τῆς εἰσοδοεξόδου τῶν ἡμετέρων τάφων, κηρία δύο, γύροθεν τοῦ Ἡρῴου, ἵνα ἅπτωσιν οἱ ὅλοι κρατῆρες ἢ τὰ πολυκάνδηλα, ὅτε ταῦτα ἀντὶ τῶν κρατήρων κρέμανται. Εἰς τὰς δύο τοῦ Ἡρῴου ἀψίδας, ἤγουν εἰς τὴν Σταύρωσιν καὶ εἰς τὴν Ἀνάστασιν ἀνὰ κηρίον ἕν, καὶ εἰς τὴν ἑτέραν ἀψίδα, ἐπὶ μὲν τὸν ἅγιον τάφον κηρίον ἕν, ἐπὶ δὲ τὸν Χριστόν, ταῖς Μαρίαις ἐπιφαινόμενον ἕτερον κηρίον ἕν.

Τυποῦμεν δὲ τοὺς κληρικοὺς τοῦ ναοῦ εἶναι πάντας πεντήκοντα, ἤγουν πρεσβυτέρους ὀκτώ, ἀφ' ὧν οἱ δύο, ἕκαστος τῆς ἰδίας ἑβδομάδος προτεύσει τῶν λοιπῶν, ὄντες ἀξιολογώτεροι, ὥσπερ δὴ καὶ οἱ διάκονοι, διακόνους δέκα, δομεστίκους δύο, λαοσυνάκτας ἑτέρους δύο, ψάλτας δεκαέξ, κανονάρχας τέσσαρας καὶ ὀρφανούς, ἤτοι κανδηλάπτας ὀκτώ, καὶ περισσοὺς ἑτέρους ὀρφανοὺς τέσσαρας, ὀφείλοντας ἐπιδέχεσθαι προκοπὴν κατὰ ἀκολουθίαν, ὁπότε ὁ ἀριθμὸς τῶν ἐμβάθμων ὀρφανῶν ἐλλιπὴς γένηται.

Πρὸς τούτοις τυποῦμεν καὶ γυναῖκας σεμνὰς καὶ κοσμίας, (**οδ**.] καὶ τῇ ἡλικίᾳ καὶ τῷ ἤθει πενιλιωμένας, ὡς ἐν τάξει γραπτῶν τέσσαρας, ὀφειλούσας καὶ αὐτὰς ἐκδουλεύειν, τὰς μὲν δύο τὴν μίαν ἑβδομάδα, τὰς δὲ ἑτέρας δύο τὴν ἑτέραν, κατὰ δὲ τὴν τῆς παρασκευῆς ἑσπέραν καὶ τὰς τέσσαρας προσμένειν καὶ ἐπιτηρεῖν τὸν ναὸν καὶ τὰ περὶ αὐτόν. Διὰ τοῦτο γὰρ καὶ τοὺς τοιούτους ὀρφανοὺς καὶ τὰς γραπτὰς τετυπώκαμεν εἶναι, διὰ τὸ καὶ τὴν ἀκολουθίαν τῆς Ὑπαντῆς τῶν ἁγίων σίγνων καθ' ἑκάστην ἑβδομάδα παρ' αὐτῶν ὀφείλειν γίνεσθαι, καὶ τὴν εἰς τοὺς συνερχομένους ἀδελφοὺς ὑπηρεσίαν, ἐπὶ τῇ διὰ τοῦ ὕδατος τούτων ψυχαγωγίᾳ καὶ τὴν ἐπιτήρησιν τοῦ ναοῦ καὶ τῶν περὶ αὐτόν.

Ὀφείλουσι δὲ οἱ τοιοῦτοι κληρικοὶ δύο ἑβδομάδας ἔχειν, καὶ οἱ μὲν ἡμίσεις ἵνα ψάλλωσι κατὰ τὴν μίαν ἑβδομάδα, οἱ δὲ ἡμίσεις κατὰ τὴν ἑτέραν. Ὀφείλει δὲ ψάλλεσθαι παρ' αὐτῶν ἡ ἀκολουθία τοῦ Ἁγιοπολίτου, κατὰ τὸν τύπον τοῦ ἐν τῷ παλατίῳ μεγάλου

ναοῦ. Ἑκάστης δὲ ἑβδομάδος ὀφείλει κατὰ τὴν παρασκευὴν ἀγρυπνία μετὰ παννυχίδος γίνεσθαι, ὅτε δὴ καὶ τὸ τῆς πρεσβείας σίγνον μετὰ τῶν λοιπῶν τῶν σὺν αὐτῷ προοδευόντων καὶ ἑπομένων, ἔτι δὲ καὶ τοῦ κλήρου παντὸς καὶ τοῦ λαοῦ, μετακληθήσεται κατὰ (π. 95] τὴν ὁδὸν παρὰ τῶν ἐν τῷ κλήρῳ τῆς Ἐλεούσης, καὶ ὑπαντηθήσεται μετ' εὐλαβείας ἁπάσης καὶ τῆς προσηκούσης τιμῆς, καὶ πρὸς τὸν ναὸν μετὰ πίστεως εἰσαχθήσεται, καὶ πάντες καὶ πᾶσαι, ὅσοι δηλαδὴ τοῖς τοιούτοις σεβασμίοις σίγνοις συνέπονται, ποιήσουσι κατὰ τὴν προσήκουσαν τάξιν, τὰ δὲ σίγνα καὶ ὁ λαὸς ἐκτενῆ δέησιν· Ὑπὲρ ἀφέσεως καὶ λύτρου τῶν ἡμετέρων πλημμελημάτων, ἐκφωνηθήσεται δὲ παρ' ἑκάστου σίγνου τὸ Κύριε ἐλέησον πεντεκαίδεκα, καὶ οὕτως αὖθις ἀπελεύσονται ἐπὶ τὰ ἔμπροσθεν πρὸς τὴν ἁγίαν σορόν.

Λήψονται δὲ τηνικαῦτα οἱ ἀκολουθοῦντες ὑπὲρ μερικῆς αὐτῶν παρακλήσεως νομίσματα ὑπέρπυρα δώδεκα, προβήσεται δὲ ἡ τοιαύτη ἀκολουθία καθ' ἑκάστην ἑβδομάδα καὶ ἡ δόσις ὁμοίως, ἅμα τῇ ἀπὸ τοῦ ναοῦ ἐξελεύσει τῶν σίγνων. Τυποῦμεν δὲ τοὺς κληρικοὺς τοῦ τοιούτου ναοῦ λαμβάνειν ὑπὲρ ῥόγας καὶ ἀννόνας αὐτῶν ταῦτα, τοὺς μὲν πρώτους τῶν ἱερέων ἀνὰ νομίσματα ὑπέρπυρα δεκαπέντε, καὶ ἀνὰ σίτου μοδίους θαλασσίους εἰκοσιπέντε, τοὺς ἑτέρους ἐξ ἱερεῖς ὑπὲρ ὁμοίως ἀνὰ νομίσματα ὑπέρπυρα δεκατέσσαρα, καὶ ἀνὰ σίτου μοδίους (οβ.] θαλασσίους εἰκοσιπέντε, τοὺς δέκα διακόνους ἀνὰ νομίσματα ὅμοια δεκατρία, καὶ ἀνὰ σίτου μοδίους θαλασσίους εἰκοσιτέσσαρας, τοὺς δύο δομεστίκους, τὰ αὐτὰ τοῖς διακόνοις, τοὺς δύο λαοσυνάκτας, καὶ τοὺς δεκαὲξ ψάλτας ἀνὰ νομίσματα τὰ ὅμοια δώδεκα καὶ ἀνὰ σίτου μοδίους θαλασσίους εἴκοσι, τοὺς τέσσαρας κανονάρχας ἀνὰ νομίσματα ὅμοια ἓξ καὶ ἀνὰ σίτου μοδίους ὁμοίους δεκαπέντε, τοὺς ὀκτὼ ὀρφανούς, ἤτοι κανδηλάπτας τὰ αὐτά, τὰς τέσσαρας γραπτὰς ἀνὰ νομίσματα ὁμοια τέσσαρα καὶ ἀνὰ σίτου μοδίους θαλασσίους δώδεκα. Ἡ δὲ δόσις προβήσεται κατὰ τοὺς καιροὺς καθ' οὓς παρηκολούθησεν ἐξ ἀρχῆς γίνεσθαι, δίδοσθαι δὲ καὶ ἑβδομαδικὸν τοῖς δουλευταῖς ἑκάστης ἑβδομάδος, νόμισμα ὑπέρπυρον ἕν, καὶ ὑπὲρ τῆς ἀγρυπνίας τῆς παρασκευῆς ἑκάστης ἑβδόμαδος τοῖς αὐτοῖς ἕτερον νόμισμα ὅμοιον ἕν. Ἐν δὲ ταῖς δυσὶν ἑορταῖς τῆς Θεοτόκου, ἤγουν τοῦ Εὐαγγελισμοῦ καὶ τῆς Ὑπαπαντῆς, λαμβάνειν τοὺς ὅλους ἑκάστῃ τούτων ἑορτῇ νομίσματα ὑπέρπυρα δύο, εἰς τὰ μνημόσυνα τοῦ μακαρίτου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου νομίσματα ὑπέρπυρα τρία. Εἰς τὰ μνημόσυνα τῆς βασιλείας μου τὰ αὐτά, εἰς τὰ μνημόσυνα τῆς (π. 96] μακαρίτιδος δεσποίνης καὶ περιποθήτου συζύγου μου τὰ αὐτά, εἰς τὰ

μνημόσυνα τῆς μακαρίτιδος δεσποίνης καὶ μητρὸς τῆς βασιλείας μου νομίσματα ὑπέρπυρα δύο, εἰς τὰ μνημόσυνα τῆς μακαρίτιδος δεσποίνης καὶ μάμμης τῆς βασιλείας μου τὰ αὐτά.

Ἐπεὶ δὲ καὶ περὶ τοῦ περιποθήτου μου υἱοῦ, τοῦ πορφυρογεννήτου καὶ βασιλέως κυροῦ Ἀλεξίου ἐλπίζει ἡ βασιλεία μου, ὅτι καθὼς ὑπέσχετό μοι, ἵνα θελήσῃ τεθῆναι ἐν τῷ αὐτῷ τάφῳ μετ' ἐμοῦ, λήψονται καὶ εἰς τὰ μνημόσυνα τούτου εἴτι καὶ ἐν τοῖς μνημοσύνοις τῆς βασιλείας μου.

Αἱ μέντοι ἑορταὶ τῆς ὑπεραγίας μου Δεσποίνης καὶ Θεομήτορος οὕτω γενήσονται· ἡ μὲν ἑορτὴ τῆς ἁγίας αὐτῆς Μεταστάσεως διὰ ἀγρυπνίας γενήσεται, συνερχομένων τῶν ὅλων κληρικῶν, καὶ τὴν ἀκολουθίαν ἅπασαν μετὰ τῆς προσηκούσης ἐπιμελείας ἐκπληρούντων, οἱ καὶ λήψονται ὑπὲρ ψαλτικοῦ νομίσματα ὑπέρπυρα δεκατέσσαρα. Πλὴν εἴ τινες ἀπὸ τούτων τῆς τοιαύτης ἑορτῆς ἀπολείπουσι καὶ οὐχὶ σπουδάζουσιν ἐκπληροῦν τὴν ἀκολουθίαν πᾶσαν μετὰ τῆς προσηκούσης ἐπιμελείας, οὗτοι οὐ μόνον οὐκ ὀφείλουσι τοῖς λοιποῖς συμμερίζεσθαι τὰ ὑπὲρ τῆς (οδ.] τοιαύτης ἑορτῆς διδόμενα, ἀλλὰ καὶ ὑπὲρ ποινῆς ζημιωθήσεται ἕκαστος ἀπὸ τῶν ἀνηκόντων αὐτῷ νομίσματα ὑπέρπυρα δύο. Ἡ δὲ τοῦ ναοῦ φωταγωγία τελεσθήσεται λαμπρότερον κατὰ τὴν ἄνωθεν τυπωθεῖσαν ἀκολουθίαν ἐν τῇ μονῇ ὑπὲρ τῆς ἑορτῆς τῆς Μεταμορφώσεως. Ἡ δὲ ἑορτὴ τῆς εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσόδου τὴν μὲν φωταγωγίαν μετά τινος ἐλαττώσεως ἐπιδέξεται, ἡ δὲ ψαλμῳδία τῆς ἑορτῆς παρὰ παντὸς τοῦ κλήρου ἐκτελεσθήσεται. Ἡ αὐτὴ δὲ ἀκολουθία κρατήσει καὶ ἐν τῇ ἑορτῇ τῆς τῆς Θεοτόκου γεννήσεως. Χορηγηθήσονται μέντοι καθ' ἑκάστην ἐν τῷ ναῷ ἀπὸ τοῦ τῆς μονῆς ἀρτοκοποίου μία μὲν ἀπὸ σεμιδάλεως προσφορὰ δίλιτρος καὶ ἕτεραι δύο ἀπὸ ἀλεύρου καθαρωτάτου, δίλιτροι καὶ αὐταί· καὶ ἡ μὲν ἐκ σεμιδάλεως ἔσεται δεσποτική, αἱ δὲ ἐξ ἀλεύρου ὑπὲρ τῶν μνημοσύνων ἡμῶν, καὶ νάμα χορηγηθήσεται καθ' ἑκάστην ἑβδομάδα ἀπὸ τῆς μονῆς, μέτρου θαλασσίου τὸ ἥμισυ, καὶ θυμίαμα δοθήσεται ἀπὸ τῆς μονῆς ὁμοίως ἐφ' ἑκάστῃ ἑβδομάδι λίτρας τὸ ἥμισυ. Καὶ ταῦτα μὲν ἐν τῷ τῆς Ἐλεούσης ναῷ διορίζομαι. (π. 97]

Εἰς δὲ τὸν τοῦ Ἀσωμάτου ναόν, εἰς μὲν τὸν μύακα κηρίον ἀκοιμητον ἓν ἀναφθήσεται, εἰς δὲ τὸν τάφον τῆς περιποθήτου μου συζύγου καὶ αὐτῆς τῆς βασιλείας μου ἀνὰ ἕτερον ἕν. Ἐν δὲ ταῖς συνάξεσι κατά τε τὸν ὄρθρον καὶ τὴν λειτουργίαν καὶ τὸ ἑσπερινόν, εἰς μὲν τὴν ἀντικρὺ τοῦ Σωτῆρος προσκύνησιν τὸν Ἀσώματον, κηρίον ἕν, εἰς τὸ τέμπλον

τὸ μέσον κηρία τρία, εἰς τὸ ἅγιον βῆμα ἕτερον ἕν, καὶ εἰς τοὺς τάφους ἡμῶν ἀνὰ ἕτερον ἕν. Κανδῆλαι ἁπτέσθωσαν ἀκοίμητοι εἰς τὸν μύακα μία, εἰς τὸν Ἀσώματον τρικάνδηλον, εἰς τὸν τροῦλλον τοῦ Ἀσωμάτου ἑτέρα κανδήλα μία καὶ εἰς τὸ Ἡρῷον, τὸ ἔξωθεν, κατὰ τὸ μέσον μία· ἰδίᾳ δὲ ἁπτέσθωσαν καὶ ἐν τοῖς τάφοις, τοῖς ἔχουσι λείψανα, ἀνὰ μία ἀκοίμητος, καὶ κατὰ τὰς συνάξεις τῆς ἀγρυπνίας τῆς παρασκευῆς ἀνὰ κηρίον ἕν. Ἡ δὲ τοῦ τοιούτου ναοῦ πᾶσα ψαλμῳδία καὶ ἡ λοιπὴ ἀκολουθία, ἵνα γένηται διόλου ἀπὸ τοῦ μέρους τῆς μονῆς.

Ἀπὸ δὲ τοῦ κλήρου, ἔξωθεν ἱσταμένου, ἵνα τελῆται τὸ ἐπὶ τοῖς τάφοις Τρισάγιον, καὶ ἡ καθ' ἑκάστην ἑσπέραν παννυχὶς ὁμοίως, ἵνα δὲ ἐπιτηρῇ ὁ τῆς μονῆς (οδ.] ἐκκλησιάρχης καὶ τὴν τοῦ ναοῦ τοῦ Ἀσωμάτου φωταγωγίαν, καὶ αὐτῶν τῶν τάφων, καὶ ἵνα φροντίζῃ γίνεσθαι ταύτην κατὰ τὸ ἐνδεχόμενον· αὐτῷ γὰρ ὀφείλει χορηγεῖσθαι καὶ τὸ ἔλαιον καὶ ὁ κηρὸς τῆς τοιαύτης ἐκκλησίας ἀπὸ τῆς μονῆς κατὰ τὸ ἀναστέρητον. Ἵνα δὲ γένηται καὶ λειτουργία ἐν τῷ τοιούτῳ ναῷ τρισσάκις τῆς ἑβδομάδος, ἤγουν τρίτην, πέμπτην καὶ σάββατον, διδομένων ἐφ' ἑκάστῃ λειτουργίᾳ προσφορῶν δικίτρων τριῶν ἀπὸ τῆς μονῆς, ἐξ ἀλεύρου καθαρωτάτου, μετὰ καὶ τοῦ ἀρκοῦντος νάματος. Τὰ δὲ περὶ τῶν μνημοσύνων ἡμῶν γενήσονται, καθὼς ἐν ἑτέρῳ μυστικωτέρῳ χαρτίῳ ἡ βασιλεία μου διετάξατο.

Τὴν μέντοι θείαν εἰκόνα τῆς ὑπεράγνου Δεσποίνης καὶ Θεοτόκου μου, τῆς Ὁδηγητρίας, βούλομαι καταλαμβάνειν ἐν τῇ μονῇ κατὰ τὰς ἡμέρας τῶν μνημοσύνων ἡμῶν, ἤγουν τῆς περιποθήτου συζύγου τῆς βασιλείας μου, καὶ αὐτῆς τῆς βασιλείας μου, καὶ τοῦ περιποθήτου μου υἱοῦ καὶ βασιλέως κυροῦ Ἀλεξίου, εἴπερ κἀκεῖνος θελήσει ταφῆναι σὺν ἐμοί, καὶ ἅμα τῷ καταλαβεῖν τὴν ἁγίαν ταύτης εἰκόνα, γίνεσθαι ἐκτενῆ δέησιν ὑπὲρ ἡμῶν παρὰ πάντων τῶν ἀκολουθούντων, καὶ ἐκφωνεῖσθαι τὸ Κύριε ἐλέησον λ'. (π. 98] εἶτα προσμένειν ἐν τῷ τοῦ Ἀσωμάτου ναῷ τὴν τοιαύτην ἁγίαν εἰκόνα, πλησίον τῶν τάφων ἡμῶν, καὶ γίνεσθαι κατὰ τὰς αὐτὰς νύκτας ἀγρυπνίας παρά τε τῶν μοναχῶν καὶ τῶν κληρικῶν, τῇ δὲ ἐπαύριον τελεῖσθαι τὴν θείαν ἱερουργίαν, ἐν τῷ παρεῖναι τὴν ἁγίαν εἰκόνα. Καὶ μετὰ τὴν ἀπόλυσιν αὖθις ἐκτενῆ δέησιν ὑπὲρ ἡμῶν γίνεσθαι, παρουσίᾳ καὶ τοῦ συναθροιζομένου λαοῦ παντός. Λαμβάνειν δὲ αὐτοὺς ἐν τῷ ὑποχωρεῖν καθ' ἑκάστην ἔλευσιν τῆς Θεοτόκου νομίσματα ὑπέρπυρα ν'. καὶ γινέσθω ὁ μερισμὸς αὐτῶν οὕτως· λόγῳ μὲν τῆς ἁγίας εἰκόνος, νομίσματα ὑπέρπυρα ἓξ, εἰς τὰς δώδεκα κούδας νομίσματα ὑπέρπυρα εἰκοσιτέσσαρα, εἰς τοὺς βασταγαρίους καὶ λοιποὺς δουλευτὰς

τῆς ἁγίας εἰκόνος νομίσματα ὅμοια δύο, τὰ δὲ λοιπὰ ὑπαλλαττέσθωσαν εἰς ἁγιογεωργάτα νομίσματα, καὶ διδόσθωσαν ταῦτα εἰς τὰ σίγνα. Ὁ μέντοι καθηγούμενος καὶ οἱ σὺν αὐτῷ οἰκονομοῦντες τὰ περὶ τὴν μονὴν καὶ τὸν ναὸν φροντίσουσι πάντως τοῦ εἶναι τοὺς κληρικοὺς ἀξιολόγους, τοὺς μέλλοντας τάσσεσθαι εἰς τὸν ναόν. (οδ.]

Ἐπεὶ δὲ καὶ ξενὼν ἀφωρίσθη παρὰ τῆς βασιλείας μου, ἔχειν ὀφείλων ἀνακεκλιμένους ἀῤῥώστους πεντήκοντα, βούλομαι καὶ διατυπῶ κλίνας μὲν εἶναι τοσαύτας εἰς ἀνάπαυσιν τῶν τοιούτων ἀῤῥώστων· ἔσονται δὲ ἀπὸ τούτων τῶν πεντήκοντα, δέκα μὲν λόγῳ τῶν ἐνοχλουμένων τραύμασιν ἢ καὶ κεκλασμένων, λόγῳ δὲ τῶν ὀφθαλμιώντων, καὶ κοιλιακῷ κατεχομένων νοσήματι, καὶ ἑτέροις τισὶν ὀξυτάτοις ἐπωδύνοις ἑτέρας ὀκτώ. Ταῖς δὲ γυναιξί, ταῖς νοσούσαις, ἀφορισθήσονται κλίναι δώδεκα, καὶ αἱ λοιπαὶ τοῖς ἁπλῶς νοσοῦσιν ὑπολειφθήσονται· εἰ δὲ πολλάκις ἐπιλείπουσιν ἢ ἀπὸ τῶν τραυματικῶν τινες, ἢ ἀπὸ τῶν ὀφθαλμιώντων καὶ λοιποῖς ὀξυτάτοις κατεχομένων νοσήμασιν, ἀναπληρωθήσεται ὁ ἀριθμὸς δι' ἑτέρων ἀῤῥώστων, τῶν ἁπλῶς οἱαδήτινι νόσῳ κατεχομένων. Ἑκάστη δὲ κλίνη ἐχέτω τζόλιον ἕν, πιλωτὸν μετὰ προσκεφαλαίου καὶ ἐφάπλωμα, κατὰ δὲ τὸν χειμῶνα καὶ λοδνίκια δύο. Ἐπεὶ οὖν αἱ τοιαῦται πεντήκοντα κλίναι εἰς πέντε ὀρδίνους διῄρηνται, ἔσεται ἐφ' ἑκάστῳ ὀρδίνῳ καὶ παρακράββατον ἕν, ἐν ᾧ τεθήσεται εἴ τις τῶν (π. 99] νοσούντων ἀναγκαῖος μὲν ἐστὶ διὰ τὸ κατεπεῖγον τῆς νόσου ἀνακλιθῆναι, διὰ δὲ τὸ πλῆρες τῶν κραββάτων οὐχ' εὑρίσκει τόπον ἔμβαθμον ἀνακλίσεως· πάρεξ δὲ τῶν τοιούτων κραββάτων, καὶ ἕτεραι κλίναι ἀφορισθήσονται περισσαὶ ἕξ, ἔχουσαι πιλωτὰ κατὰ τὸ μέσον τετρυπημένα, λόγῳ τῶν μὴ δυναμένων ὅλως μετακινεῖσθαι, ἢ διὰ τὸ τῶν νοσημάτων ὀξύ, ἢ διὰ τὴν τῆς δυνάμεως ἄκραν ἀσθένειαν, ἢ πολλάκις καὶ διὰ τὸ τῶν ἐπισυμβαινόντων τραυμάτων ἐπώδυνον· ὀφείλουσι δὲ φυλάττεσθαι διηνεκῶς λόγῳ τῶν ἀπορωτέρων ἀῤῥώστων, ἢ καὶ δεινοτέροις συνεχομένων νοσήμασιν ὑποκάμισα καὶ ἱμάτια ἄχρι τῶν πεντεκαίδεκα ἢ καὶ εἴκοσιν, ὡς ἂν ὁπηνίκα ἀνακλίνωνται ἀλλάσσωσι ταῦτα, τὰ δὲ ἱμάτια αὐτῶν ἵνα πλύνωνται καὶ φυλάττωνται αὐτοῖς, ὥστε ἐνδύεσθαι ταῦτα ὁπηνίκα τῆς νόσου ἀπαλλαττόμενοι ὑποχωρεῖν μέλλουσι. Καθ' ἕκαστον δὲ χρόνον ἀπὸ τῶν τοιούτων ἐγκοίτων καὶ τῶν λοιπῶν ἐνδυμάτων, ἵνα ὑπαλλάττωνται ὁπόσα παντελῶς ἀχρηστεύουσι, τὰ δὲ πιλωτοπροσκέφαλα ἵνα ἀποῤῥάπτωνται καὶ ἀναξαίνηται τὸ μαλλίον, καὶ τὰ διεῤῥηγμένα (οδ.] πανία ἀλλάττωνται καὶ αὖθις ἀναῤῥάπτωνται, πρὸς τὴν τῶν ἀνακλινομένων ἀνάπαυσιν. Τὰ

μέντοι ὑπαλλαττώμενα παλαιὰ ἐνδύματα καὶ τὰ ἔγκοιτα, ὅσα μὲν εἰσὶ χρειώδη λόγῳ τῶν ἀῤῥώστων, ὑποκρατηθήσονται παρὰ τοῦ νοσοκόμου, τὰ δὲ λοιπὰ διαδοθήσονται πένησιν. Ἐπεὶ δὲ πέντε ὄρδινοι ταῖς τοιαύταις πεντήκοντα κλίναις ἀφωρίσθησαν, ἐκδουλεύσουσιν ἑκάστῳ ὀρδίνῳ ἰατροὶ δύο, ὑπουργοὶ ἔμβαθμοι τρεῖς, καὶ περισσοὶ ὑπουργοὶ δύο, καὶ ὑπηρέται δύο· ἀπὸ μέντοι τῶν ὑπουργῶν ἑκάστη ἑσπέρᾳ παραμενοῦσι τοῖς νοσοῦσιν ὑπουργοὶ τέσσαρες καὶ ὑπούργισσα μία, ἤγουν εἰς ἕκαστον ὄρδινον εἷς, οἳ καὶ ἐξκουβήτορες καλοῦνται. Τῷ δὲ τῶν γυναικῶν ὀρδίνῳ ἰατροὶ μὲν ἔσονται δύο, παρακολουθήσει δὲ καὶ ἰάτραινα μία, καὶ ὑπούργισσαι ἔμβαθμοι τέσσαρες, καὶ περισσαὶ δύο, καὶ ὑπηρέτριαι δύο· ἀπὸ δὲ τῶν τοιούτων ἰατρῶν, τῶν εἰς τοὺς ὀρδίνους κατατεταγμένων, οἱ μὲν δύο, οἱ πρῶτοι, καὶ πρωτομηνίται ὀνομασθήσονται, ἔσονται δὲ καὶ δύο ἐπέκεινα τῶν ἐν τοῖς ὀρδίνοις ἰατρῶν, πριμμικήριοι κς'. διδάσκαλος εἷς, εἰς τὸ διδάσκειν τὰ τῆς ἰατρικῆς (σ. 100] τέχνης, καὶ ὀπτίωνες δύο, λόγῳ δὲ τῶν ἔξωθεν ἐρχομένων ἀῤῥώστων ἔσονται ἰατροὶ περισσοὶ τέσσαρες, ἀφ' ὧν οἱ δύο μὲν ἔσονται διαιτητικοί, οἱ δὲ δύο τραυματικοί· οἱ δὲ τοιοῦτοι δύο τραυματικοὶ καὶ εἰς τὸ γυναικεῖον δουλεύουσιν, ὁπηνίκα τύχῃ τινὰ τῶν γυναικῶν τραυματικὸν ἔχειν νόσημα· τούτοις δὲ τοῖς τέσσαρσιν ἰατροῖς, τοῖς ἀφωρισμένοις λόγῳ τῶν ἔξωθεν ἐρχομένων ἀῤῥώστων, παρακολουθήσουσι καὶ ὑπουργοὶ τέσσαρες ἔμβαθμοι καὶ περισσοὶ ἕτεροι τέσσαρες, ἀφ' ὧν οἱ δύο καὶ εἰς τὸ μοναστήριον ἐκδουλεύσουσιν ἐναλλὰξ κατὰ μῆνα.

Οὗτοι γοῦν ἅπαντες οἱ ἰατροὶ μερισθήσονται εἰς δύο, καὶ οἱ μὲν ἡμίσεις τὸν ἕνα μῆνα δουλεύσουσιν, οἱ δὲ ἕτεροι ἡμίσεις τὸν ἕτερον, ὁμοίως δὲ καὶ οἱ δύο πριμμικήριοι· καὶ προελεύσονται εἰς τὸν ξενῶνα καθ' ἑκάστην ἡμέραν ἀδιακόπως, ἀπ' ἀρχῆς δὲ τοῦ μαΐου καὶ μέχρι τοῦ Σταυροῦ, καὶ μετὰ τὰ δειλινὰ προελεύσονται, καὶ μετὰ τὴν συνήθη ψαλμῳδίαν, ἐπισκέψωνται τοὺς νοσοῦντας ἐπιμελῶς, καὶ τὴν νόσον ἑκάστου μετὰ πολυπραγμοσύνης ἀκριβοῦς ἐξετάσουσι, καὶ ἰατρίαις προσφόροις ἕκαστον θεραπεύσουσι, καὶ τὰ εἰκότα περὶ πάντων διατάξονται, (σ6.] καὶ τῆς ἐπιμελείας ἁπάντων μετὰ πολλῆς φροντίσουσιν ἐπιτάσεως, ὡς λόγον ὑπὲρ τούτων ποιῆσαι τῷ Παντοκράτορι μέλλοντες.

Ἀλλὰ καὶ τῶν πριμμικηρίων ἕκαστος ἐναλλὰξ κατὰ μῆνα ἰδιαζόντως τὰς κλίνας ἁπάσας περιελεύσεται ἑκάστῃ ἡμέρᾳ, καὶ ἐρωτήσει τῶν ἀῤῥώστων ἕκαστον, ὅπως τε ἰατρεύεται, καὶ εἰ μετὰ τῆς προσηκούσης ἐπιμελείας καὶ σπουδῆς ἐκδουλεύεται παρὰ τῶν εἰς τοῦτο τεταγμένων· καὶ σπουδάσει τὸ κακῶς γινόμενον διορθώσασθαι, καὶ ἐπιστίψει τὸν ἀμελοῦντα, καὶ μετὰ σφοδρότητος ἐκκόψει τὸ παρὰ τὸ προσῆκον τελού-

μενον· ἐπιτηρήσει δὲ καὶ τὸ διδόμενον τοῖς ἀῤῥώστοις ψωμίον, καὶ εἴ τι ἄλλο τούτοις ἡμερησίως τετύπωται δίδοσθαι, καὶ πάντα μετ' ἐπιμελείας κατασκοπήσει, καὶ τῆς δεούσης ἀξιώσει φροντίδος καὶ διορθώσεως ἕκαστον· διὰ τοῦτο γὰρ οὐδὲ ὄρδινον ὀφείλει ἔχειν, ὡς μόνης τῆς ἐπιτηρήσεως ἀντὶ παντὸς ἔργου τούτῳ ἀνακειμένης. Ἀπὸ δὲ τῶν ἐρχομένων ἔξω τοῦ ξενῶνος ἀῤῥώστων, εἴ τινα δυσιάτως εὕρει νοσοῦντα ὁ τεταγμένος ἐκεῖσε ἰατρός, ἀναδιδάξει περὶ τούτων τὸν πριμμικήριον, καὶ κατὰ κέλευσιν ἐκείνου ἀπελεύσεται καὶ ἕτερος ἰατρὸς πρὸς ἐπίσκεψιν τοῦ κάμνοντος, ὁ τῶν λοιπῶν ἐμπειρότερος, καὶ ἐπιμεληθήσεται προσηκόντως (π. 101] αὐτοῦ πρὸς τὸ τυχεῖν τῆς ἰάσεως· ἐπέκεινα δὲ τῶν προδιαληφθέντων ἰατρῶν, καὶ νοσοκόμος ἔσται καὶ μειζότερος, καὶ λήψονται πάντα τὰ χρειώδη κατὰ τὸ αὔταρκες, καὶ ἐπιχορηγήσουσι δαψιλῶς οὐχ' ὑπὲρ τῶν ἐντὸς ἀνακεκλιμένων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἔξωθεν ἀῤῥώστων, ὡς εἴρηται. Οὗτοι δὲ καὶ ἀλογαρίαστοι ὑπὲρ τούτων ἔσονται πρὸς τὸ ποιεῖν ἀνελλιπῆ τὴν πρόνοιαν ἁπάντων· κοινῶς δὲ ταύτην τὴν παραγγελίαν πρὸς πάντας ποιούμεθα, τούς τε ἰατροὺς καὶ τοὺς ἐπιτηροῦντας αὐτούς, καὶ τοὺς ὑπουργούς, καὶ τοὺς λοιπούς, ὡς ἂν πρὸς αὐτὸν ἀποβλέπωσιν ἅπαντες τὸν Παντοκράτορα, καὶ μὴ καταφρονῶσι τῆς τῶν ἀῤῥώστων ἐπιμελοῦς ἐπισκέψεως, εἰδότες ὁπόσον ἔχει τὸν μισθὸν ἡ τοιαύτη ἐργασία, προσηκόντως γινομένη, καὶ οἷον αὖθις ἐπάγει τὸν κίνδυνον, καταφρονουμένη καὶ τοῦ προσήκοντος ἀποπίπτουσα· οἰκειοῦται γὰρ ὁ ἡμέτερος Δεσπότης τὰ ἐφ' ἑκάστῳ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐλαχίστων γινόμενα, καὶ ἀντιμετρεῖ τὰς ἀμοιβὰς ἀναλόγους ταῖς εὐεργεσίαις ἡμῶν. Οὕτω γοῦν ἅπαντες περὶ τοὺς τοιούτους ἀδελφοὺς ἡμῶν διατεθησόμεθα, ὡς τὸν ἀκοίμητον ὀφθαλμὸν τὸ Θεοῦ λαθεῖν μὴ δυνάμενοι, (οδ.] καὶ τὸ ἐμπεσεῖν εἰς χεῖρας ἐκείνου μετὰ πολλῆς τῆς φρίκης ὑφορώμενοι. Τῷ δηλωθέντι τάγματι τῶν ἰατρῶν καὶ λοιπῶν προστεθήσονται καὶ οὗτοι· ὠθιστήκων(?) εἷς, πημεντάριοι ἔμβαθμοι τρεῖς, καὶ περισσοὶ δύο, ὀστιάριος εἷς, σαπωνίστριαι πέντε, λεβητάριος εἷς, μάγειροι δύο, στράτωρ εἷς, ὁ μέλλων ἐκδουλεύειν τοῖς μυλωνικοῖς ἀλόγοις, παραλαμβάνειν δὲ καὶ ἐπιβλέπειν κατὰ τὸν καιρὸν τοῦ ἰατρείου καὶ τὰ ἄλογα τῶν ἰατρῶν, πυλωρὸς καὶ ὁλωνιάτωρ ἕτερος, ἱερεῖς τῶν ἐκκλησιῶν δύο, ἀναγνῶσται δύο· εἷς μέντοι τῶν ἱερέων καὶ ἀρχιερατικὴν σφραγίδα κομίσεται πρὸς τὸ ἀναδέχεσθαι τοὺς λογισμοὺς τῶν καταπεπονημένων ἀῤῥώστων, ἵνα μὴ καὶ τὸν ψυχικὸν τῷ ὄντι καὶ ὀλέθριον θάνατον θνήσκωσιν οὗτοι, ἀνεξομολογήτως τῶν τῇ δὲ μεθιστάμενοι. Μάγκισσαι δύο, νεκροθάπται τέσσαρες, ἱερεὺς τῆς κηδείας εἷς, κανκλοπλύτης εἷς, καὶ μυλοχαράκτης εἷς· οὗτοι, δὲ πάντες

κατὰ τοὺς καιροὺς τῶν μνημοσύνων τοῦ μακαρίτου αὐθέντου καὶ πατρὸς τῆς βασιλείας μου, καὶ τῆς μακαρίτιδος δεσποίνης καὶ περιποθήτου συζύγου μου, πρὸς δὲ (π. **102**] καὶ αὐτῆς τῆς βασιλείας μου, καὶ τοῦ περιποθήτου μου υἱοῦ καὶ βασιλέως κυροῦ Ἀλεξίου, εἴπερ κἀκεῖνος θελήσει ταφῆναι ἐν τῷ αὐτῷ τάφῳ μετ' ἐμοῦ, ὡς πολλάκις εἴρηται, συνελεύσονται εἰς τὸν τῆς ὑπεραμώμου Δεσποίνης καὶ Θεοτόκου ναὸν μετὰ καὶ τῶν δυναμένων μετακινεῖσθαι ἀῤῥώστων, ποιοῦντες λιτὴν καὶ ψάλλοντες τὸ Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ τὸ Μετὰ τῶν ἁγίων ἀνάπαυσον, καὶ τὸ Πρεσβεία θερμή, εἶθ' οὕτως, ἵνα ποιῶσιν ἐκτενῆ δέησιν, καὶ λέγωσι τὸ Κύριε ἐλέησον τεσσαράκοντα, καὶ τὸ Μακαρίσει ὁ Θεὸς τοὺς κτήτορας, καὶ ἵνα διακλύωνται καὶ ὑποτρέφωσι, διδομένων ὑπὲρ τῶν τοῦ διακλυσμοῦ προσφορῶν μοδίων θαλασσίων τεσσάρων, καὶ οἴνου μέτρων ὁμοίων τεσσάρων, ἵνα δὲ λαμβάνωσιν ὑποστρέφοντες, οἱ μὲν ἰατροὶ μετὰ τῶν λοιπῶν δουλευτῶν τοῦ ξενῶνος, νομίσματα ὑπέρπυρα τέσσαρα, οἱ δὲ πεντήκοντα ἄῤῥωστοι ἀνὰ τραχὺ νόμισμα ἕν, ἐφ' ἑκάστῃ δηλονότι τῶν τοιούτων μνημοσύνων λιτῇ, διδομένων καὶ φατλίων μεγάλων ὑπὲρ τῶν λιτῶν τῷ ὅλου χρόνου δεκαέξ, ὥστε ἔχειν ταῦτα τοὺς πριμμικηρίους (**οβ.**] πρὸς τὸ ἀνάπτεσθαι κατὰ τοὺς καιροὺς τῶν λιτῶν. Πρὸς τούτοις τυποῦμεν δίδοσθαι καὶ λόγῳ προσφορῶν καὶ κολύβων, τῶν καθ' ἑκάστην ἀρχιμηνίαν γινομένων καὶ παρεχομένων τοῖς ἰατροῖς, ὑπουργοῖς καὶ λοιποῖς δουλευταῖς τοῦ ξενῶνος, σίτου μοδίους μοναστηριακοὺς ἑβδομήκοντα καὶ δύο, ἤγουν ἑκάστῳ μηνὶ σίτου μόδια ἕξ, ὡσαύτως καὶ λόγῳ προσφορῶν καὶ κολύβων, τῶν μελλόντων γίνεσθαι κατὰ τὸ σάββατον τῆς ἀπόκρεω, τῆς τυροφάγου καὶ τῆς Πεντηκοστῆς, χάριν μνήμης τῶν τελευτώντων ἀδελφῶν εἰς τὸν αὐτὸν ξενῶνα, σίτου μοδίους ὁμοίους δεκαπέντε, καὶ ὑπὲρ γραμμιδίων ἑνὸς ἑκάστου τῶν τοιούτων κανισκίων φόλλεις τεσσαράκοντα, λαμβάνειν δὲ καὶ τοὺς ἰατροὺς καὶ λοιποὺς δουλευτὰς ἑκάστῳ τῶν τοιούτων τριῶν σαββάτων φόλλεις διακοσίους πεντήκοντα. Τυποῦμεν δὲ λαμβάνειν τοὺς πεντήκοντα ἀῤῥώστους ἑκάστῃ ἡμέρᾳ ἅμα τοῖς τέσσαρσιν ὑπουργοῖς, τοῖς καὶ ἐξκουβήτορσι, καὶ τοῖς τέσσαρσιν ὑπηρέταις, καὶ τῇ μιᾷ ὑπουργίσσῃ, καὶ τῇ ὑπηρετρίᾳ καὶ τῷ λεβηταρίῳ ἀνὰ ψωμίον ἓν καθαρόν, ἐκ τῶν πεντεκαίδεκα τῷ θαλασσίῳ μοδίῳ, ὑπὲρ προσφαγίου κοινῶς (π. **103**] δίδοσθαι πᾶσι φάβατος μόδιον ὅμοιον ἕνα, καὶ ἑτέρου ὀσπρίου μόδιον ἕτερον· εἰ δὲ πίστος ἐστὶ τὸ διδόμενον, ἀντὶ μοδίου δοθήσεται δίμοιρον, καὶ κρόμμυα ὑπὲρ τῶν δύο τούτων βρωμάτων κεφάλια ἑκατόν, πολλάκις δὲ

ἀντὶ τοῦ ἑνὸς ὀσπρίου, λάχανα δοθήσονται, καὶ ὑπὲρ ἀρτύσεως τῶν δύο τούτων μίνσων, δοθήσεται παρὰ τοῦ μειζοτέρου τὸ ἀρκοῦν ἔλαιον, ὑπὲρ δὲ οἴνου καὶ λοιπῆς παρακλήσεως οἱ πεντήκοντα λήψονται ἀνὰ τραχὺ νόμισμα ἕν, ἢ ἱκανωθήσεται τοῖς πεντήκοντα ἑκάστης ἡμέρας διὰ τεταρτηρῶν ἢ νουμίων, τὸ κατὰ τὴν ἡμέραν προτιμώμενον χρυσοῦν νόμισμα, καὶ ἕκαστος τούτων ἑκάστῃ κυριακῇ ὑπὲρ σαπωνίου λήψεται φόλλεις τρεῖς, ἔσεται δὲ καὶ μαγκιπεῖον, ἐν ᾧ γενήσεται τὸ ψωμίον τῶν ἐν Χριστῷ ἡμῶν ἀδελφῶν τῶν ξενωνιτῶν καὶ τῶν γηρωκομιτῶν, ὀφεῖλον ἔχειν μυλιστὰ ἐργαστήρια δύο καὶ ἄλογα τρία.

Ἐπεὶ δὲ καὶ λουτροῦ χρεία τοῖς νοσοῦσι, λυθήσονται δὶς τῆς ἑβδομάδος ὁπόσοι παρὰ τῶν ἰατρῶν προτραπήσονται μετὰ τῶν ἀρκούντων ὑπουργῶν τε καὶ ὑπηρετῶν ἐν τῷ λουτρῷ τοῦ ξενῶνος. Εἰ δέ τις διὰ περίστασιν συχνοτέρως δέοιτο (οϐ.] τῆς ἀπὸ τοῦ λουτροῦ θεραπείας, ἔξει ἐπ' ἀδείας ὁ τῷ οὕτω κάμνοντι παρακολουθῶν ἰατρὸς εἰσάγειν αὐτὸν ὁπηνίκα βούλεται ἐν τῷ βαλανίῳ παρὰ μηδενὸς κωλυόμενος. Ἔσονται δὲ καὶ λέντια διηνεκῶς ἐν τῷ ξενῶνι δέκα, καὶ σάβανα τοσαῦτα, καὶ κομοεκμάγια τὰ αὐτά, λεκάναι τρεῖς, καὶ καδδάρια χαλκᾶ τέσσαρα καὶ ὠθιχυτάρια(?) τέσσαρα παρὰ τοῦ νοσοκόμου φυλαττόμενα λόγῳ τῶν μελλόντων λούεσθαι. Ἀποκείσονται δὲ καὶ τρουλλία χαλκᾶ, καὶ κακάβια τοῦ μαγειρείου, καὶ ἕτερα μικρὰ τῶν σκευασιῶν, καὶ μοχλία, καὶ ὅλμοι εἰς τὴν τοῦ ξενῶνος χρείαν, καὶ λέβης μέγας εἷς καὶ μικρὸς ἕτερος.

Τυποῦμεν δὲ εἶναι καὶ ἑτέρους δύο ἰατροὺς περισσοὺς ἐπὶ τῷ δουλεύειν εἰς τὴν μονὴν μῆνα παρὰ μῆνα, καὶ ἐπιμελεῖσθαι παντοίως τῶν ἐν ταύτῃ νοσούτων, λαμβάνοντας ἀπὸ τοῦ νοσοκομείου τὰς καταλλήλους τοῖς νοσοῦσιν ἰατρείας, βοηθήματά τε καὶ ἔμπλαστρα, καὶ ἕτερα εἴδη τὰ χρειώδη, οἵτινες ὀφείλουσιν εἰσάγεσθαι εἰς τὸ μοναστήριον ἀπὸ τῶν ἐμβαθμιωτέρων περισσῶν τοῦ ξενῶνος, ὡς μέλλοντες ἐκεῖθεν εἰς τὸν ξενῶνα προκοπὴν ἐπιδέχεσθαι· καὶ πρῶτα μὲν εἰσελεύσονται (π. 104] εἰς τὸν τόπον τῶν λειψάντων ἐν τῷ ἰατρείῳ τῶν γυναικῶν, εἶτα καὶ ἐν τοῖς ἑξῆς κατὰ προκοπήν, ὡς εἴρηται. Ἀντὶ δὲ τῶν προκοπτόντων περισσῶν εἰς ἐμβάθμους, ἐξ ἀνάγκης εἰσάγεσθαι περισσοὺς ἑτέρους, τοὺς ὀφείλοντας, ὡς προείρηται, τὴν τοῦ ξενῶνος ὑπηρεσίαν καὶ τῆς μονῆς ἐκπληροῦν. Ἵνα δὲ μηδὲ ὁ νοσοκόμος ἔχῃ πρόφασίν τινα εἰς τὸ διδόναι μετὰ φειδοῦς τὰ χρειώδη εἰς τὴν μονήν, ἔσεται καὶ οὗτος λαμβάνων ἐτησίως ὑπὲρ τῶν ὀφειλόντων δίδοσθαι εἰς τὴν μονὴν ἐπέκεινα τῶν ὑπὲρ τοῦ ξενῶνος τυπωμένων αὐτῷ νομίσματα ὑπέρπυρα εἴκοσιν. Ἐπεὶ δὲ εἰς τὸ ἡμερήσιον ψωμίον καὶ εἰς τὸ προσφάγιον τῶν ἐν τῷ ξενῶνι ἀῤῥώστων

εἰσήχθησαν καὶ τέσσαρες ὑπηρέται, καὶ μία ὑπηρέτρια, εἰσὶ δὲ κατὰ ὅρδινον ὑπηρέται δύο, λήψονται τὴν τοιαύτην ἡμερησίαν δόσιν οἱ ὑπηρέται· οἱ μὲν ἡμίσεις τὴν μίαν ἡμέραν, οἱ δὲ ἡμίσεις τὴν ἑτέραν. Ὡσαύτως καὶ αἱ ὑπηρέτριαι, ὡς ἂν ἐκτελῶσι τὴν δουλείαν ταύτην προθυμοτέραν, παραδοθήσονται δὲ τῷ νοσοκόμῳ λόγῳ ποιήσεως τῶν ὅλων ἀλοιφῶν, καὶ ὑπὲρ σκευασίας τῶν ἐμπλάστρων. ἔτι δὲ καὶ ὑπὲρ τῶν ἀκοιμήτων δύο κανδηλῶν, τῶν ἐν (σϐ.] ταῖς ἐκκλησίαις τοῦ ξενῶνος. καὶ ὑπὲρ ἑτέρων ὀκτὼ κανδηλῶν, τῶν ὀφειλουσῶν ἅπτειν ἐν ταῖς ἐκκλησίαις κατὰ τὸν ὄρθρον καὶ τὴν λειτουργίαν καὶ τὸν ἑσπερινόν, καὶ ὑπὲρ τῶν πέντε κανδηλῶν, τῶν ἐν τοῖς ὀρδίνοις τῶν ἀῤῥώστων ἅπτειν μελλουσῶν. σὺν τῇ μιᾷ κανδήλᾳ τοῦ πορτίκου, καὶ ταῖς δυσὶ τῶν χρειῶν, καὶ τῷ τρικανδήλῳ, τῷ ὀφείλοντι ἅπτειν εἰς τὴν καθέδραν τῶν ἰατρῶν, καὶ ὑπὲρ ἑτέρας ἁπάσης δι' ἐλαίου ἐξόδου, τῆς παρ' αὐτοῦ μελλούσης γίνεσθαι, ἐλαίου μέτρα θαλάσσια ἑξήκοντα ἕξ, ἀφ' ὧν δύο μέτρα ἔσονται ἐλαίου παλαιοῦ, καὶ ἕτερα δύο ἐλαίου ὀμφακίνου. Ὡσαύτως δοθήσεται τῷ νοσοκόμῳ λόγῳ τῶν βοηθημάτων καὶ τῶν ὑδροροσάτων, καὶ τοῦ ὀξυμέλιτος σὺν τῷ ὑγρῷ διοσπολίτῃ καὶ τῷ ὀμφακομέλιτι. καὶ ὑπὲρ πάσης ἑτέρας ἐξόδου, τῆς παρ' αὐτοῦ γινομένης διὰ μέλιτος, σὺν τοῖς χυλαρίοις τοῖς μέλλουσι δίδοσθαι κατὰ τὴν ἑορτὴν τοῦ Σωτῆρος, καὶ κατὰ τὴν ἐν τῇ πρώτῃ νοεμβρίου μηνὸς τελουμένην ἑορτὴν τῶν ἁγίων Ἀναργύρων, μέλιτος μέτρα θαλάσσια πεντήκοντα· δοθήσεται δὲ αὐτῷ καὶ ὄξους μέτρα τεσσαράκοντα, ὑπὲρ τῶν γινομένων παρ' αὐτοῦ παντοίων ἐξόδων, ὡς εἴρηται, καὶ ξυλῆς καυσίμης, πεῖσας εἴκοσιν, (σ. 105] ὑπὲρ ἑψήσεως τῶν χρειωδῶν ἰατρικῶν σὺν τῇ ἑψήσει τῶν χυλῶν καὶ τῶν κολύβων.

Λήψεται δὲ καὶ ὑπὲρ θυμιάματος τῶν ἐκκλησιῶν σὺν τῷ διδομένῳ εἰς τὰς εὐχρας καὶ ὑπὲρ κηρίου τῶν ἐκκλησιῶν σὺν τῷ διδομένῳ ὁμοίως κηροῦ ἀκαμάτου λίτρας μετὰ τοῦ καμπανοῦ ἑκατὸν καὶ νομίσματα ὑπέρπυρα δύο, ὑπὲρ οἰνανθίου, θεοτοκία τρία ὑπὲρ ἀγορᾶς καυκοπινακίων, νομίσματα τραχέα δέκα, ὑπὲρ ψυχοκαυτήρων, θεοτοκία δύο, ὑπὲρ ἀγορᾶς κανδηλῶν, θεοτοκίον ἕν, ὑπὲρ σεμιδάλεως λήψεται ἑκάστῳ μηνὶ μοναστηριακοὺς μοδίους πέντε, σάκχαρος τῷ ὅλῳ χρόνῳ λίτρας ζυγικὰς ἑκατόν, ςαφυλῶν βυτία τρία, ῥοιῶν βουτία δύο, καὶ λόγῳ σταφυλοζώμου ἀγριοσταφυλῶν βουτία τέσσαρα, ὑπὲρ τοῦ χυλοῦ τῶν δύο ἑορτῶν, ἀνὰ κριθῆς μοδίους θαλασσίους τέσσαρας, λόγῳ τοῦ ἀρτομέλιτος καὶ τοῦ διὰ ζύμης, ἑκάστῃ ἡμέρᾳ ψωμίον ἕν, λόγῳ ἀγορᾶς κηρίων, χάριν τῶν ἀῤῥώστων, τῶν ἰατρῶν, τῶν ὑπουργῶν, τῶν ὑπηρετῶν καὶ λοιπῶν

κατὰ τὴν ἑορτὴν τῶν Βαΐων, καὶ τὴν μεγάλην ἑβδομάδα, λήψεται νομίσματα ὑπέρπυρα δύο, (οδ.] ὑπὲρ ἐψωνήσεως τῶν ἰατρικῶν εἰδῶν, τῶν βοηθημάτων, τῶν ἐμπλάστρων, καὶ λοιπῶν σκευασιῶν τοῦ ξενῶνος, ἄνευ τῆς θηριακῆς καὶ τῆς μιθριδάτης κατὰ τὴν ἀρχὴν τοῦ ἔαρος, λίτρας ὑπερπύρους δύο. Ὡσαύτως λήψεται καὶ ὑπὲρ τῶν δύο ἐκκλησιῶν τοῦ ξενῶνος, τῆς τε τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, λόγῳ προσφορᾶς καὶ νάματος ἐτησίως σίτου μοδίους θαλασσίους δέκα, καὶ οἴνου μέτρα ὅμοια δέκα. Ὁ δὲ μειζότερος, ἐπειδὴ καὶ τὴν τοῦ κελλαρίου θυλείαν ὀφείλει ἐκπληροῦν, λήψεται καὶ αὐτὸς λόγῳ μὲν τῆς ἀρτύσεως τῶν καθ' ἡμέραν μελλόντων δίδοσθαι τοῖς ξενωνίταις δύο μίνσους, ἔτι δὲ καὶ λόγῳ τῶν πυριῶν, καὶ τῶν κλυστήρων, καὶ λοιπῆς ἁπάσης ἑτέρας ἐξόδου παρ' αὐτοῦ δι' ἐλαίου μελλούσης γίνεσθαι, μέτρα θαλάσσια τριάκοντα ἕξ, ὑπὲρ δὲ χυλαρίων καταπλασμάτων, ἐλιγμάτων καὶ λοιπῶν, μέλιτος μέτρα θαλάσσια πεντήκοντα καὶ ἐψήματος μέτρα ὅμοια τεσσαράκοντα ὀκτώ, καὶ ὄξους μέτρα ὅμοια τριάκοντα, ὑπὲρ οἰνοκόλλης καὶ πυριῶν καὶ καταπλασμάτων οἴνου μέτρα τριάκοντα ἕξ, λινοκόκκου μοδίους τριάκοντα, ἅλατος (π. 106] μοδίους τριάκοντα, ὀρύζης μοδίους ὀκτώ, ζειᾶς μοδίους ὀκτώ, ἀμυγδάλου μοδίους δεκαοκτώ, τὰ ὅλα μετὰ τοῦ μοναστηριακοῦ μοδίου καὶ μέτρου· ὑπὲρ ἀγορᾶς μαστιχίου, σμύρνης, λιβάνου, ἀμμωνιακοῦ, καὶ λοιπῶν ἁπλῶν ἰατρικῶν εἰδῶν, πρὸς δὲ καὶ φοινίκων, δαμασκηνῶν, ὠῶν, στυππείων καὶ λοιπῶν ἑκάστῳ μηνὶ νομίσματα ὑπέρπυρα τρία, ὑπὲρ καταζατοῦ καὶ τρεμούσης ἐτησίως μοδίους τρεῖς, ὑπὲρ ἀγορᾶς σεύτλων σὺν τοῖς ἀνήκουσιν ἀρτύμασι χάριν ἁλμαίας, νόμισμα ὑπέρπυρον ἕν, ὑπὲρ δὲ τῶν δύο λεβήτων τῶν μελλόντων ἅπτειν διηνεκῶς ἐν τῷ ξενῶνι, τῶ μὲν ἑνὸς μεγάλου, τοῦ δὲ ἑτέρου μικροῦ, δοθήσονται καθ' ἕκαστον μῆνα σὺν τῷ μαγειρείῳ, ξυλῆς καυσίμης, πεῖσας θαλασσίας τεσσαράκοντα, λήψεται δὲ καὶ ὁ μειζότερος καθ' ἕκαστον μῆνα, καὶ δαδίου κορμίον ἕν, καὶ ὑπὲρ χυλοῦ πτισάνης καὶ τῶν ξηρῶν πυριῶν καὶ κριθαλεύρου καὶ γυμνοκρίθου καὶ λοιπῶν, ἑκάστῳ μηνὶ κριθῆς μοδίους μοναστηριακοὺς δώδεκα, σιταλεύρου μόδιον ὅμοιον ἕνα, φαβατίνου ἀλεύρου μοδίου τὸ ἥμισυ, ἐρεβίνθου μοδίου τὸ ἥμισυ, φακῆς μοδίου (οδ.] τὸ ἥμισυ, κέγχρου μοδίου τὸ ἥμισυ, καὶ ὀροβίνου μοδίου τὸ τέταρτον· ὑπὲρ ἀγορᾶς τυρίου προβατείου, χοιρείου καὶ χηνείου, μυελοῦ ἐλάφων καὶ λοιπῶν τοιούτων ἐτησίως νόμισμα ὑπέρπυρον ἕν, ὑπὲρ ἐλαιῶν κολυμβάδων καὶ θλαστῶν ἐτησίως μόδια δύο, σαφίδων ἐτησίως μοδίους τέσσαρας, καὶ ἰσχάδας μόδια δώδεκα, ῥοδοστάγματος ἐτησίως λίτρας πεντήκοντα ὑπὲρ κλοκίων τρουλλίων, θωρακιστηρίων, τζυκαλίων, ξυλοσελλίων, σπογγαρίων, πρίσματος, πιτύρος, πα-

νίων, κτενίων καὶ λοιπῶν ἐτησίως νομίσματα ὑπέρπυρα τέσσαρα, καὶ ὑπὲρ ἀγορᾶς χουσπῶν καὶ ἐκπλύσεως τοῦ τρικλίνου, τῆς ὀφειλούσης γίνεσθαι δὶς τοῦ μηνὸς παρὰ τῶν ὑπηρετῶν, ἐτησίως νομίσματος ὑπερπύρου τὸ ἥμισυ. Ἔσεται δὲ εἰς τὸν ξενῶνα ἄρουρα μεγάλη μία, εἰς τὸ τραῦμα μικρὰ μία, καὶ εἰς τὸ γυναικεῖον ἑτέρα ὁμοία, καὶ χορηγηθήσονται καὶ ὑπὲρ αὐτῶν ἐτησίως καρβωνίου ἅμαξαι εἴκοσι. Γενήσονται δὲ ἑκάστῃ ἑβδομάδι ἐν τῷ ξενῶνι λειτουργίαι τέσσαρες· τετράδι, παρασκευῇ, σαββάτῳ καὶ κυριακῇ· ὑπέρ τε τῆς δεσποτικῆς δοξολογίας, καὶ ὑπὲρ τῆς μνήμης ἡμῶν, ἐκτὸς τῶν παρεμπιπτουσῶν εἰς τὴν ἑβδομάδα δεσποτικῶν ἑορτῶν, καὶ (π. **107**] λοιπῶν ἐπισήμων· ἰδιαζόντως γὰρ καὶ ἡ ἐν ἐκείναις θεία μυσταγωγία τελεσθήσεται.

Τὰ δὲ μνημόσυνα τῶν τελευτώντων ἀῤῥώστων, ἵνα γίνωνται τρισσάκις τοῦ ἐνιαυτοῦ, ὡς ἄνωθεν εἴρηται, ἤγουν κατὰ τὴν ἀπόκρεω, κατὰ τὴν τυροφάγον καὶ κατὰ τὴν Πεντηκοστήν. Ὑπὲρ κηρίου καὶ θυμιάματος ἑκάστῳ τῶν τελευτώντων ἀῤῥώστων δοθήσεσαι τῷ ἱερεῖ τῆς κηδείας νομίσματα τραχέα ἄσπρα δύο, ἢ τοῦ κατὰ τὴν ἡμέραν προτιμωμένου χρυσοῦ νομίσματος μέρος εἰκοστὸν τέταρτον.

Ὁ δὲ νιπτὴρ τῶν ἀῤῥώστων γενήσεται παρὰ τοῦ καθηγουμένου κατὰ τὴν μεγάλην πέμπτην, καὶ λήψονται οἱ πεντήκοντα ἀνὰ τριχέφαλον νόμισμα ἕν, ὑπὲρ ἀγορᾶς δὲ κηρίου δοθήσονται κατὰ τὴν αὐτὴν ἡμέραν λόγῳ τοῦ νιπτῆρος, ὥστε διανεμηθῆναι τῷ ἰατρείῳ παντί, νομίσματα ὑπέρπυρα τρία.

Ἐν τῷ ξενῶνι οὐκ ἀνακλιθήσεται ὑπουργὸς τοῦ μοναστηρίου, ἢ δοῦλοι, ἢ ἑτέρου τινὸς τῶν ἐνεργούντων δουλείαν τινὰ τῆς μονῆς, καὶ τῶν ὑπ' αὐτήν· ἐλεύθεραι γὰρ ἔσονται αἱ πεντήκονται κλίναι λόγῳ τῶν ἐν Χριστῷ ἡμῶν ἀδελφῶν, τῶν δὲ ἀῤῥώστων τῆς μονῆς ἐν τῇ μονῇ γενήσεται πρόνοια, ὡς ἀνωτέρω δεδήλωται. (οβ.] Οἱ καθάρσιον πόμα πίνοντες, μετὰ τῶν ὀφθαλμιώντων καὶ κοιλιακῷ κατεχομένων νοσήματι, ἀνακλιθήσονται καὶ αὐτοί, ἵνα μὴ διὰ τῶν συνεχῶν ἐπαναστάσεων καὶ τῶν ἐπιγινομένων αὐτοῖς ἐντεῦθεν ὀδυνῶν, ἐπικόπτωσι τοῖς λοιποῖς ἀῤῥώστοις τὸν ὕπνον καὶ τὴν ἀνάπαυσιν αὐτῶν. Τοὺς ξενωνίτας ἅπαντας, τοὺς ταχθέντας ἐκδουλεύειν τοῖς ἀῤῥώστοις, τυποῦμεν λαμβάνειν ταῦτα· τοὺς δύο πριμμικηρίους ὑπὲρ ῥόγας ἀνὰ νομίσματα χρυσᾶ, τὰ κατὰ τὴν ἡμέραν προτιμώμενα πάντων, ἑπτὰ ἥμισυ, ὑπὲρ προσφαγίου ἀνὰ νομίσματος ὁμοίᾳ τὸ ἥμισυ, καὶ ὑπὲρ ἀννόνας ἀνὰ σίτου μοδίους ἀννονικοὺς τεσσαράκοντα πέντε· τοὺς δύο πρώτους ἰατρούς, τοὺς καὶ πρωτομηνίτας ὀνομάζεσθαι τυπωθέντας, ἀνὰ νομίσματα ὅμοια

ἑπτά, ὑπὲρ προσφαγίου ἀνὰ νομίσματος τὸ ἥμισυ, καὶ ὑπὲρ ἀννόνας ἀνὰ σίτου μοδίους τριάκοντα ὀκτώ· τοὺς δύο πρώτους τραυματικοὺς ὁμοίως ἐν πᾶσι, τοὺς ἑτέρους τέσσαρας, τοὺς μετ' αὐτούς, ἀνὰ νομίσματα ὅμοια (л. **108**] ἕξ, ὑπὲρ προσφαγίου ἀνὰ τρίτον καὶ ἀνὰ σίτου μοδίους τριάκοντα ἕξ· τοὺς δύο ἰατροὺς τοῦ γυναικείου ἀνὰ νομίσματα ὅμοια ἕξ, ὑπὲρ προσφαγίου ἀνὰ τρίτον καὶ ἀνὰ σίτου μοδίους τριάκοντα ἕξ· τοὺς δύο ἰατροὺς τῆς μονῆς ἀνὰ νομίσματα ὅμοια τέσσαρα. ὑπὲρ προσφαγίου ἀνὰ νομίσματος ὁμοίου τέταρτον καὶ ἀνὰ σίτου μοδίους τριάκοντα· τοὺς δύο διαιτητικοὺς ἰατροὺς τῶν ἔξωθεν ἐρχομένων ἀῤῥώστων, καὶ τοὺς δύο τραυματικούς, καὶ ὡς περισσοὺς ταχθέντας, ἀνὰ νομίσματα ὅμοια τέσσαρα, ὑπὲρ προσφαγίου ἀνὰ τέταρτον καὶ ἀνὰ σίτου μοδίους τριάκοντα· τὸν νοσοκόμον νομίσματα ὅμοια ὀκτώ, ὑπὲρ προσφαγίου νομίσματος ὁμοίου δίμοιρον, σίτου μοδίους πεντήκοντα, κριθῆς μοδίους ἑξήκοντα καὶ χόρτου χιλιάδα μίαν· τὴν ἰάτραιναν νομίσματα ὅμοια τρία σὺν τῷ προσφαγίῳ καὶ σίτου μοδίους εἰκοσιέξ· τοὺς δύο ὀπτίωνας ἀνὰ νομίσματα ὅμοια τρία, ὑπὲρ προσφαγίου ἀνὰ νομίσματος ἕκτον, καὶ ἀνὰ σίτου μοδίους εἰκοσιοκτώ. Τὸν μειζότερον, μέλλοντα καὶ εἰς τὴν τοῦ κελλαρίου δουλείαν ὑπουργεῖν, νομίσματα ὅμοια τέσσαρα, ὑπὲρ προσφαγίου τρίτον, καὶ σίτου μοδίους τριάκοντα ἕξ· τὸν ἐπιστήκοντα τοῦ πημέντου νομίσματα ὅμοια τρία ἥμισυ τριτον. ὑπὲρ προσφαγίου νομίσματος ὁμοίου (**об.**] τρίτον, καὶ λόγῳ οἴνου καὶ προσφαγίου τῶν πημενταρίων, ὅτε τὰς σκευασίας ποιοῦσι, νομίσματα τραγέα εἴκοσι πέντε, σίτου μοδίους ἀννονικοὺς τεσσαράκοντα δύο. ὑπὲρ κοσκίνων θεοτοκίον νόμισμα ἕν, καὶ κατὰ τὸν μάϊον μῆνα λόγῳ τοῦ βοτανολογίου νομίσματα ὑπέρπυρα παλαιὰ ἕξ, καὶ σίτου μοδίους ὁμοίους ἐννέα. Τοὺς δεκαὲξ ἐμβάθμους ὑπουργοὺς σὺν ταῖς τέσσαρσιν ὑπουργίσσαις ἀνὰ νομίσματα καινούργια, τὰ κατὰ τὴν ἡμέραν προτιμώμενα, δύο ἥμισυ. ὑπὲρ προσφαγίου ἀνὰ ἕκτον, καὶ ἀνὰ σίτου μοδίους εἰκοσιτέσσαρας· τοὺς ὀκτὼ περισσοὺς ὑπουργοὺς σὺν ταῖς ὑπουργίσσαις ἀνὰ νομίσματα ὅμοια δύο, ὑπὲρ προσφαγίου ἀνὰ δωδέκατον καὶ ἀνὰ σίτου μοδίους εἴκοσι· τοὺς τρεῖς ἐμβάθμους πημενταρίους ἀνὰ νομίσματα ὅμοια τρία τρίτον, ὑπὲρ προσφαγίου ἀνὰ νομίσματος ἕκτον καὶ ἀνὰ σίτου μοδίους εἰκοσιτέσσαρας· τοὺς δύο περισσοὺς πημενταρίους ἀνὰ νομίσματα ὅμοια δύο ἥμισυ, ὑπὲρ προσφαγίου ἀνὰ δωδέκατον καὶ ἀνὰ σίτου μοδίους εἴκοσι· τὰ αὐτὰ δὲ ἵνα λαμβάνωσι καὶ οἱ τοῖς ἔξωθεν ἀφωρισμένοι καὶ τῇ μονῇ τέσσαρες περισσοὶ ὑπουργοί, τοὺς ὀκτὼ (л. **109**] ὑπηρέτας σὺν ταῖς τρισὶν ὑπηρετρίαις ἀνὰ νομίσματα ὅμοια τέσσαρα, ὑπὲρ προσφαγίου ἀνὰ τέταρτον, ἀνὰ σίτου μοδίους τριάκοντα, καὶ ὑπὲρ

μηναίου αὐτῶν ἑκάστῳ μηνὶ ἀνὰ τραχέα ὀκτώ· τοὺς δύο πρεσβυτέρους σὺν τῷ προσφαγίῳ ἀνὰ νομίσματα ὅμοια ἓξ, ἀνὰ σίτου μοδίους θαλασσίους εἰκοσιτέσσαρας, ἀνὰ οἴνου μέτρα δεκαοκτὼ ὅμοια, καὶ ὑπὲρ μηναίου ἕκαστον τούτων ἑκάστῳ μηνὶ νομίσματα ὅμοια τραχέα τέσσαρα· τοὺς δύο ἀναγνώστας σὺν τῷ προσφαγίῳ ἀνὰ νομίσματα ὑπέρπυρα καινούργια ὅμοια τρία, ἀνὰ σίτου μοδίους θαλασσίους δώδεκα, ἀνὰ οἴνου μέτρα ἐννέα, καὶ ὑπὲρ μηναίου ἀνὰ νομίσματα τέσσαρα ἑκάστῳ μηνί· τὸν ὀστιάριον ὑπὲρ ῥόγας σὺν τῷ προσφαγίῳ νομίσματα ὅμοια καινούργια τρία, σίτου μοδίους ἀννονικοὺς εἴκοσι πρὸς τοῖς τέσσαρσι, καὶ ὑπὲρ μηναίου ἑκάστῳ μηνὶ νομίσματα τραχέα τέσσαρα· τὸν λεβητάριον ὑπὲρ ῥόγας νομίσματα ὅμοια τρία, ὑπὲρ προσφαγίου τέταρτον, σίτου μοδίους ὁμοίους τριάκοντα, καὶ μηναῖον ἑκάστῳ μηνὶ νομίσματα τραχέα τέσσαρα· τοὺς δύο (σϐ.] μαγείρους σὺν τῷ ὀψωνιάτορι ἀνὰ νομίσματα ὅμοια τρία σὺν τῷ προσφαγίῳ, ἀνὰ σίτου μοδίους ὁμοίους τριάκοντα, καὶ ἑκάστῳ μηνὶ ἀνὰ τραχέα τέσσαρα· τὰς πέντε σαπωνιστρίας ἀνὰ νόμισμα ὅμοιον ἓν πρὸς τὸ ἥμισυ, ἀνὰ σίτου μοδίους ὁμοίους δώδεκα, ὑπὲρ μηναίου αὐτῶν ἑκάστῳ μηνὶ ἀνὰ νομίσματα τέσσαρα, καὶ ἑκάστῃ κυριακῇ ὑπὲρ σαπωνίου χάριν ἐκπλύνσεως τῶν ἱματίων τῶν ἀνακεκλιμένων ἀῤῥώστων ἀνὰ φόλλεις δώδεκα· τὸν ἱερέα τῆς κηδείας σὺν τῷ προσφαγίῳ νομίσματα καινούργια τρία, σίτου μοδίους εἴκοσι, καὶ ἑκάστῳ μηνὶ νομίσματα τραχέα τέσσαρα· τοὺς τέσσαρας νεκροθάπτας ἀνὰ νομίσματα ὅμοια δύο, καὶ ἀνὰ σίτου μοδίους δώδεκα· τὸν πυλωρὸν νομίσματα ὑπέρπυρα καινούργια δύο τρίτον, ὑπὲρ προσφαγίου ἕκτον, καὶ σίτου μοδίους ἀννονικοὺς δεκαπέντε· τοὺς δύο μάγκιπας ὑπὲρ ῥόγας ἀνὰ νομίσματα ὑπέρπυρα ὅμοια τέσσαρα, ὑπὲρ προσφαγίου ἀνὰ νόμισμα ὅμοιον ἕν, καὶ ὑπὲρ ἀννόνας ἀνὰ σίτου μοδίους ὁμοίους τριάκοντα· τὸν στράτορα, τὸν μέλλοντα ἐκδουλεύειν τοῖς μυλωνικοῖς ἀλόγοις, τὸν καὶ τὰ τῶν ἰατρῶν ἄλογα ὀφείλοντα κρατεῖν (π. 110] κατὰ τὸν καιρὸν τοῦ ἰατρείου, νομίσματα ὑπέρπυρα ὅμοια τέσσαρα, καὶ σίτου μοδίους ὁμοίους εἰκοσιτέσσαρας. Ὑπὲρ διοικήσεως τῶν τοιούτων τριῶν μυλωνικῶν ἀλόγων, δοθήσονται κριθῆς μόδιοι ἀννονικοὶ πεντακόσιοι τεσσαράκοντα ἑπτά, χόρτου χιλιάδες τρεῖς, καὶ ἄχυρον τὸ ἀρκοῦν· ὑπὲρ ἐψήσεως τοῦ ψωμίου τῶν ἐν τῷ ξενῶνι ἀῤῥώστων, καὶ τῶν γηρωκομιτῶν ἀδελφῶν, ξυλῆς καυσίμης πείσας θαλασσίας ἑκάστῳ ἐνιαυτῷ ἑκατὸν ὀγδοήκοντα, ὑπὲρ κοσκίνων λόγῳ τοῦ μαγκιπείου ἑκάστῳ ἐνιαυτῷ θεοτοκία νομίσματα δύο, καὶ ὑπὲρ σκαφιδίων καὶ σκεπασμάτων λινῶν καὶ λοιπῆς ἁπάσης ἀκολουθίας νομίσματα ἕτερα θεοτοκία τρία. Ἔσεται δὲ καὶ μυλοχαράκτης, ὀφείλων λαμβάνειν, εἴπερ εἰσὶ δύο μυλικὰ ἐργαστήρια, νο-

μίσματα ὑπέρπυρα δύο, καὶ σίτου μοδίους ἀννονικοὺς δεκαέξ, εἰ δὲ ἐστὶν ἕν, τὸ ἥμισυ τούτων, καὶ καναλοπλύτης, ὃς λήψεται ὑπὲρ ῥόγας νομίσματα ὑπέρπυρα καινούργια δύο, ὑπὲρ προσφαγίου νομίσματος ὁμοίου ἕκτον, καὶ σίτου μοδίους μοναστηριακοὺς δεκαπέντε· πρὸς τούτοις καὶ ἀκονητὴς ἔσεται, (σελ.) ὀφείλων ἀνακαθαίρειν τὰ ἰατρικὰ ἐργαλεῖα, ὁπόσα τῷ ξενῶνι ἀνακεῖσθαι μέλλουσι καὶ φλεβοτομεῖν τοὺς ἀῤῥώστους· ἐναποκεῖσθαι γὰρ ἐν αὐτῷ τῷ ξενῶνι διόλου φλεβότομα, σίδηρα καυτηριῶν, καθετήρ, ὀδοντάγρα, στομαχικὰ ἐργαλεῖα, καὶ κεφαλικά, καὶ ἁπλῶς τὰ χρειώδη τοῖς ὅλοις· ἀλλὰ καὶ χερνιβόξεστα χαλκᾶ ἔσονται διόλου καθ' ἕκαστον ὄρδινον ἕν, πρὸς τὸ ἀπονίπτεσθαι τοὺς ἰατροὺς μετὰ τὸ ἐκτελέσαι ἐπὶ τοῖς ἀῤῥώστοις ὁπόσα ἑκάστῳ πρὸς θεραπείαν συμβάλλεται. Καὶ λήψεται ὁ ἀκονητὴς νόμισμα ὑπέρπυρον καινούργιον ἓν πρὸς τὸ ἥμισυ, καὶ σίτου μοδίους δώδεκα ἀννονικούς· ἀλλὰ καὶ κηλοτόμου εὐπορήσει πάντως ὁ ξενών, ὃς καὶ λήψεται ὑπὲρ ῥόγας νομίσματα ὑπέρπυρα καινούργια ὅμοια τρία τρίτον, ὑπὲρ προσφαγίου τρίτον, καὶ ὑπὲρ ἀννόνας σίτου μοδίους ὁμοίους τριάκοντα. Ὁ χαλκωματᾶς, καὶ καδδαρᾶς ὀφείλων εἶναι, νομίσματα ὑπέρπυρα ὅμοια δύο, καὶ σίτου μοδίους εἴκοσι λαμβάνων ἔσεται· ὑπὲρ μηναίου λήψονται οἱ ἰατροὶ καὶ οἱ ὑπουργοὶ νομίσματα τρικέφαλα πέντε ἑκάστῳ μηνί, ὡσαύτως καὶ ὁ πρωτομηνίτης, χάριν διαδόσεως τῶν ἔξωθεν ἐρχομένων (σ. 111) ἀῤῥώστων, τρικέφαλον νόμισμα ὅμοιον ἕν, καὶ ὑπὲρ μηναίου δοθήσεται τοῖς ἐξκουβήτορσιν ἑκάστῳ μηνὶ νομίσματα τραχέα τριάκοντα ἕξ.

Πρὸς τοῖς ἄλλοις καὶ ταῦτα τυποῦμεν· κατὰ τὴν λαμπρὰν ἡμέραν τῆς Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δοθήσεται ὑπὲρ ἀρτύσεως τῶν ἐν τῷ ξενῶνι δύο ἐκκλησιῶν καὶ λοιπῶν ἐλαίου μέτρον ἀννονικὸν ἕν. ὑπὲρ προσφορῶν καὶ κολύβων σίτου μόδιοι ἀννονικοὶ δύο, τοῖς πεντήκοντα ἀῤῥώστοις ἀνὰ τραχὺ νόμισμα ἕν, καὶ τοῖς ἰατροῖς, καὶ λοιποῖς δουλευταῖς τοῦ ξενῶνος, νομίσματα τραχέα πεντήκοντα καὶ τεταρτηρὰ ἐννεακόσια εἴκοσιν. Ὡσαύτως καὶ ἐν τῇ κατὰ τὴν πρώτην τοῦ νοεμβρίου μηνὸς τελουμένῃ ἑορτῇ τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων ὑπὲρ ἀρτύσεως τῶν δύο τούτων ἐκκλησιῶν καὶ λοιπῶν δοθήσεται ἐλαίου μέτρον ἀννονικὸν ἕν, καὶ ὑπὲρ προσφορῶν καὶ κολύβων σίτου μόδιος ἀννονικὸς εἷς, καὶ τοῖς ἰατροῖς καὶ λοιποῖς δουλευταῖς τοῦ ξενῶνος νομίσματα τραχέα δεκαπέντε. Ἐν τῇ ἑορτῇ τῆς Ὑπαπαντῆς τοῖς αὐτοῖς τεταρτηρὰ νομίσματα (σελ.) τριακόσια ἐννέα· κατὰ τὴν μεγάλην πέμπτην, καθ' ἣν ὁ νιπτὴρ εἴωθε γίνεσθαι, τοῖς ἰατροῖς καὶ ὑπουργοῖς καὶ λοιποῖς δουλευταῖς τῆ ξενῶνος νομίσματα

τραχέα τεσσάρακοντα δύο. Οὐκ ἐξέσται μέντοι τοῖς ἰατροῖς ἀπέρχεσθαι ἔξω τῆς πόλεως εἰς τὸ ἐξυπηρετεῖν τισι τῶν ἀρχόντων, κἂν τῶν μεγίστων εἶεν καὶ προσφκειωμένων τῷ βασιλεῖ· κοινῶς γὰρ κωλύομεν τὸ διὰ σουπέρων τινὰ τῶν ἰατρῶν ἐκδουλεύειν, μᾶλλον μὲν οὖν καὶ τὸ κατὰ βασιλικὴν ἐπιταγὴν ἀγγαρεύεσθαι τοὺς τοιούτους ἰατρούς, εἰς τὰ κατὰ καιροὺς γινόμενα κοσμικὰ ταξείδια, ἀπείργομεν, πρὸς δὲ καὶ τὸ ἀφαιρεῖσθαι ἀπὸ τοῦ ξενῶνος ἰατρικά τινα εἴδη λόγῳ τῶν τοιούτων ταξειδίων. οἷόν τινα παράκλησιν τὴν παροῦσαν ἡμῶν γραφὴν τοῖς μεθ' ἡμᾶς βασιλεῦσι ποιούμενοι. Ἀλλὰ καὶ διδάσκαλον εἶναι τυποῦμεν, ὀφείλοντα διδάσκειν τὰ τῆς ἰατρικῆς ἐπιστήμης, ὅστις καὶ λήψεται τὰ αὐτὰ τῷ νοσοκόμῳ ἐν ἅπασι. Διὰ τοῦτο δὲ τετύπωνται αὐτῷ τὰ ἀνωτέρω δηλωθέντα σιτηρέσια, ἵνα τοῦ ἔργου τῆς διδασκαλίας ἐπιμελῆται, καὶ ἐκδιδάσκῃ τοὺς παῖδας τῶν ἰατρῶν τοῦ ξενῶνος τὰ τῆς ἰατρικῆς μαθήματα ἐπιμόνως καὶ μετὰ σπουδῆς· οὐ γὰρ ὡς ὀψίκιον τυποῦται παρ' ἡμῶν (π. 112] τὸ διδασκαλίκιον. ὥστε τὰ μὲν σιτηρέσια λαμβάνειν τὸν τῆς τοιαύτης προστασίας ἀξιούμενον, τῆς δὲ διδασκαλίας καταφρονεῖν· ἐπειδὴ ὁ φωραθησόμενος μὴ διακονεῖν τῷ τοιούτῳ λειτουργήματι τῆς τῶν σιτηρεσίων ἀπολήψεως στερηθήσεται, ἄλλου πάντως ἀντεισαχθησομένου, τῷ ἐκπληρώσοντος κατὰ τὰ διατεταγμένα παρ' ἡμῶν τὴν τῶν ἰατρικῶν μαθημάτων διδασκαλίαν.

Ἐπεὶ δὲ ἀπαραίτητόν ἐστι καὶ τὸ θάπτεσθαι τοὺς τελευτῶντας ἔν τε τῷ ξενῶνι καὶ τῷ γηροκομείῳ ἀδελφούς, ἔστι δὲ βαρὺ καὶ ἐπείσακτον τὸ μετακομίζεσθαι τούτους ποτὲ μὲν ἐν τῇ κοινῇ ἀποθέσει τῶν σωμάτων, τῶν ἐν τῷ ἁγίῳ ἀποστόλῳ Λουκᾷ ἀπαγομένων, ἄλλοτε δὲ ἀλλαχοῦ, ἔν τε τοῖς διὰ πόλεως κοιμητηρίοις καὶ ἐν τοῖς πέραθεν, ἀφιεροῦμεν λόγῳ ταφῆς αὐτῶν ἐν τῇ πέραθεν ἡμετέρᾳ μονῇ τοῦ Μηδικαρίου ἀπὸ τῶν δικαίων αὐτῆς τόπον, ὡσεὶ μοδίων δύο, ἐν ᾧ καὶ εὐκτήριον γενήσεται καὶ περιτείχισμα κτισθήσεται διὰ τοίχου ἐμπήλου ὁλοβώβου διόλου τὸν αὐτὸν τόπον περικλείοντος, καὶ ἀφ' ἑνὸς μέρους διὰ πυλῶνος τὴν εἴσοδον τοῖς εἰσιοῦσι παρέχοντος. Ἱερουργείτωσαν δὲ ἐν τῷ αὐτῷ εὐκτηρίῳ ἱερεὺς μοναχὸς (οβ.] ἀπὸ τῶν ἐν τῇ μονῇ τοῦ Μηδικαρίου ἅπαξ τῆς ἑβδομάδος, τῇ ἀφωρισμένῃ δηλονότι ἡμέρᾳ τοῦ σαββάτου λόγῳ τῶν προκεκοιμημένων ἁπάντων ἀδελφῶν· τῇ δὲ πρὸ ταύτης ἡμέρᾳ, ἤτοι τῇ παρασκευῇ, ψαλλέτω ἑσπερινὸν μετὰ παννυχίδος. Διδόσθω δὲ πρὸς τὸ τοιοῦτον εὐκτήριον ἀπὸ τῆς κυρίας μονῆς τοῦ Παντοκράτορος καθ' ἕκαστον χρόνον λόγῳ φωταψίας αὐτοῦ κηρίου λίτραι δώδεκα, ἐλαίου μέτρον ἀννονικὸν ἓν πρὸς τὸ ἥμισυ, θυμιάματος λίτραι ἕξ, ὑπὲρ προσφορῶν καὶ νάματος σίτου μόδιοι μοναστηριακοὶ ἓξ καὶ οἴνου μέτρα ὅμοια ἕξ. Ὁ

αὐτὸς δὲ ἱερεύς, ὁ καὶ μοναχός, μὴ ἀνακρινέσθω παρὰ τῆς λοιπῆς αὐτοῦ ἀδελφότητος περὶ οἱασδηποτοῦν παραμυθίας, ἐπιχορηγουμένης ἴσως αὐτῷ ἀπὸ τῆς τοιαύτης αὐτοῦ διακονίας ἐκ τοῦ μέρους τῶν τελευτώντων καὶ θαπτομένων ἐκεῖσε. Τὰ μέντοι μοναστηριακὰ μόδια καὶ μέτρα ὀφείλουσι ποιεῖν τὰ πέντε θαλάσσια τέσσαρα, τὰ δὲ ἀννονικὰ τὰ τρία θαλάσσια δύο.

Ἐπεὶ δὲ καὶ γηρωκομεῖον εἶναι βούλομαι ἐν τῇ τοιαύτῃ μονῇ, ἔσονται γηρωκομούμενοι ἐν αὐτῷ ἄνδρες εἴκοσι τέσσαρες, πάντες ἀνάπηροι καὶ χωλοὶ καὶ παρειμένοι, (л. 113] καὶ ἄλλως καταπαθεῖς, ὑπηργήσουσι δὲ αὐτοῖς καὶ ὑπηρέται ἕξ. Οὐκ ἐξέσται δὲ ἢ τῷ καθηγουμένῳ, ἢ ἑτέρῳ τινὶ κατατάττειν εἰς τὸν τοιοῦτον ἀριθμὸν τῶν γερόντων ὑγιεῖς τινας ἄνδρας καὶ εὐρώστους, εἴτε ἀπὸ τῆς μονῆς, εἴτε ἀπό τινων ἀρχόντων, ἢ καὶ ἐκκλησιῶν, εἴ τε δούλους, εἴ τε ἑτέρους, δυναμένους ἐκ τῶν ἰδίων ἔργων τὰς τοῦ ζῆν ἀφορμὰς πορίζεσθαι· μεγάλην γὰρ τὴν κατάκρισιν ἐπισείομεν αὐτῷ τε τῷ καθηγουμένῳ καὶ τοῖς λοιποῖς, εἰ τὴν τοιαύτην ἀκολουθίαν παραβῆναι ὅλως ἐπιχειρήσαιεν. Λήψεται δὲ ἕκαστος τῶν γηρωκομιτῶν ψωμία ἐτησίως μοδίων θαλασσίων εἴκοσιν, οἴνου μέτρα θαλάσσια δεκαοκτώ, ὀσπρίου μοδίους θαλασσίους δύο, τυροῦ λίτρας πεντήκοντα, ἐλαίου μέτρον θαλάσσιον ἕν, ξυλῆς καυσίμης πείσας θαλασσίας τρεῖς, καὶ ὑπὲρ ῥόγας καὶ ἐνδυμασίας, νομίσματα ὑπέρπυρα δύο. Ἐν δὲ ταῖς τῶν ἑορτῶν διαδόσεσι, καὶ τῶν μνημοσύνων, λήψονται καὶ αὐτοὶ ἀπὸ τῶν διδομένων ὑπὲρ ψυχικῶν ἀπὸ τῆς μονῆς εἴτι καὶ οἱ ἐν τῷ πυλῶνι ἀδελφοὶ λαμβάνουσι· συνελεύσονται μέντοι καὶ οὗτοι ἐν τοῖς μνημοσύνοις ἡμῶν, καὶ ποιήσουσι τὴν ὑπὲρ ἡμῶν ἱκεσίαν, (об.] ὡς ἀνωτέρω δεδήλωται. Δοθήσονται δὲ λόγῳ τοῦ εὐκτηρίου, ἐν ᾧ μέλλωσιν οὗτοι ἐκκλησιάζειν, ἐτησίως ἐλαίου μέτρα δύο θαλάσσια, ὑπὲρ νάματος οἴνου μέτρα ὅμοια ἕξ, ὑπὲρ προσφορᾶς σίτου μόδιοι ὅμοιοι ἕξ, κηροῦ λίτραι εἰκοσιτέσσαρες, καὶ θυμιάματος λίτραι ἕξ. Τῷ ἱερεῖ τοῦ τοιούτου εὐκτηρίου σὺν τῷ προσφαγίῳ νομίσματα ὑπέρπυρα ἕξ, σίτου μόδιοι θαλάσσιοι εἰκοσιτέσσαρες, οἴνου μέτρα ὅμοια δεκαοκτώ, καὶ τῷ ἀναγνώστῃ τὰ ἡμίσῃ τούτων. Εἰ δέ τινες τῶν γηρωκομητῶν ἀῤῥωστίᾳ τινὶ συσχεθῶσιν, ἑτέρᾳ παρὰ τὴν νόσον, δι' ἣν τοῦ γηρωκομείου ἠξίωνται, ὁ τοῦ γηρωκομείου πρεσβύτερος, ὑπομνήσει τὸν τοῦ ξενῶνος νοσοκόμον, καὶ δοθήσεται εἴδησις τῷ ἰατρείῳ, καὶ ἐπιτρέψουσί τινι τῶν ἰατρῶν, ἢ τῶν ὑπουργῶν, ἐπιμεληθῆναι τοῦ νοσοῦντος, ὡς εἴρηται, ὥστε τὴν ἀπαλλαγὴν τῆς τοιαύτης νόσου τοῦτον εὑρεῖν. Εἰ δὲ βαρυτέρα ἡ νόσος διαγνωσθῇ, καὶ εἰς τὸν ξενῶνα ἀνακληθήσεται, καὶ τῆς

δεούσης ἐπιμελείας καὶ ἰατρείας ἀξιωθήσεται, καὶ αὖθις ἀναῤῥωσθεὶς εἰς τὸ γηρωκομεῖον ἐπανελεύσεται. Λουθήσεται δὲ καὶ δὶς τοῦ μηνὸς ἕκαστος τῶν γηρωκομιτῶν ἐν τῷ λουτρῷ τοῦ ξενῶνος. Ἔσεται (π. **114**] δὲ καὶ κατὰ καιροὺς γηρωκόμος ἀπὸ τῶν ἐν τῇ μονῇ μοναχῶν, ὁ τῶν πολλῶν εὐλαβέστερος, ὃς πᾶσαν ἐπιμέλειαν καὶ σπουδὴν ποιήσεται πρὸς τὸ ἐξυπηρετεῖσθαι καλῶς τοὺς γηρωκομουμένους. Ἀλλὰ καὶ αὐτὸς ὁ καθηγούμενος δι' ἐπιμελείας ποιήσεται τὴν τῶν τοιούτων ἀδελφῶν ἐπιτήρησιν· φροντίσει δὲ κατὰ τὴν μεγάλην πέμπτην καὶ ἀπονίπτειν αὐτούς, ὥσπερ δὴ καὶ τοὺς ἐν τῷ ξενῶνι ἀῤῥώστους. ἐπιδώσει αὐτοῖς μετὰ τὸν νιπτῆρα νομίσματα ὑπέρπυρα τρία, ἤγουν τοῖς ὀκτὼ νόμισμα ἕν· οἱ δὲ ὑπηρέται τούτων, ἓξ ὄντες, λήψεται ἕκαστος ὑπὲρ ῥόγας ἀνὰ ὑπέρπυρα νομίσματα δύο. ἀνὰ σίτου μοδίους θαλασσίους εἴκοσιν. ἀνὰ οἴνου μέτρα ὅμοια δεκαέξ, καὶ ὑπὲρ προσφαγίου ὀσπρίου μόδια θαλάσσια δύο, καὶ τυροῦ λίτρας πεντήκοντα.

Ἐπεὶ δὲ καὶ ἀδελφούς τινας τῶν κατεχομένων τῇ ἱερᾷ νόσῳ ἐβουλόμεθα ἰδιαζόντως ἐν τινι τόπῳ ἀφιερῶσαι καὶ τὴν οἰκονομίαν αὐτῶν, καὶ παντοίαν παράκλησιν, καὶ διοίκησιν, ἀπό τινων προσόδων ἀφορίσαι πρὸς τὸ εἶναι ταύτην αὐτοῖς ἀνενόχλητον, ἔδοξε δέ, τὸ μὲν ἐν τῇ πόλει τὸν τοιοῦτον τόπον τῆς τούτων καταμονῆς καὶ διαγωγῆς ἀφορισθῆναι, διὰ τὸ συγκεχυμένον τῶν οἰκήσεων, τοῖς (**οβ.**] ἐκ γειτόνων οἰκοῦσι φανῆναι δυσχερὲς καὶ δυσπρόσιτον, τὸ δὲ περὶ τὸν τόπον, τὸν ἐξ ἀρχῆς ἀφιερωθέντα τῇ ὅλῃ ταύτῃ συστοιχίᾳ τῶν ἀδελφῶν, γενέσθαι τοῖς παρ' ἡμῶν τασσομένοις τοιούτοις καταπαθέσιν ἀῤῥώστοις ἰδιαιτάτην οἰκονομίαν, ἐφάνη φορτικὸν τῷ τοιούτῳ συστήματι, διὰ τοῦτο πρὸς τὴν τοιαύτην οἰκονομίαν ἀπείδομεν· οἰκοδομῆσαι μὲν ἰδιαιτάτην κατοικίαν σύνεγγυς τῶν ἑτέρων τρικλίνων, ἐν οἷς οἱ ἀδελφοὶ νῦν διάγουσι, καὶ μάλιστα πλησιάζουσαν τῷ γηρωκομείῳ τῶ βασιλέως κυροῦ Ῥωμανοῦ, λόγῳ τῶν παρ' ἡμῶν τασσομένων καταπαθῶν ἀδελφῶν, τὴν δὲ ὑπὲρ αὐτῶν ἀναλίσκεσθαι μέλλουσαν πρόσοδον κοινῶς ἀφιερῶσαι καὶ ἀναθέσθαι μετὰ τῶν ἄλλων προσόδων, ἃς ἔχουσι νῦν οἱ τοιοῦτοι ἐν Χριστῷ ἡμῶν ἀδελφοί, ὡς ἂν γίνηται καὶ ἡ τούτων οἰκονομία κοινῶς παρὰ τοῦ οἰκονομοῦντος τὴν πρόνοιαν καὶ διοίκησιν τῶν ὅλων τούτων καταπαθῶν ἀδελφῶν. Καὶ εἰ μὲν ἰδικωτέρας ἐντεῦθεν ἀξιούμεθα μνήμης παρὰ τοῦ τοιούτου ἱεροῦ καὶ θείου συντάγματος, ὡς περὶ τὰς πρὸς τὸ ζῆν αὐτῶν ἀφορμὰς κοινῶς καὶ αὐτοὶ μετὰ τῶν λοιπῶν φροντιστῶν τῆς τούτων ἐπετηρίας συμφροντίσαντες ἅμα καὶ συμπονήσαντες, (π. **115**] χάρις τῆς περὶ ἡμᾶς εὐγνωμοσύνης αὐτῶν· εἰ δὲ ἴσως κατά τινα τρόπον καταῤῥᾳθυμῆσαι θελήσουσι

τῆς ὑπὲρ ἡμῶν ἰδικωτέρας ἐντεύξεως, καὶ οὕτως θαρροῦμεν τῷ ἀγαθῷ μισθαποδότῃ Θεῷ μὴ στερηθῆναι τοῦ ὑπὲρ τῆς τοιαύτης φροντίδος μισθοῦ.

Ἐπεὶ δὲ τὸ πολὺ τῶν φροντίδων, τῶν ἐντὸς τῆς μονῆς τε καὶ τῶν ἐκτός, καὶ τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ὑποθέσεων, τῶν ἀναφαινομένων ἀπὸ τῶν ἐνταῦθα παρ' ἡμῶν διατυπωθέντων, δίδωσιν εὔλογον ἔννοιαν μὴ δύνασθαι αὐτὸν δι' ἑαυτοῦ τὸν κατὰ τὴν ἡμέραν ἡγουμενεύοντα τῆς μονῆς πᾶσι τοῖς πράγμασιν ἐπιστατεῖν, καὶ πάντα ὁμοίως ἐπιτηρεῖν, ὡς ἀποροῦντα πρὸς τοσαῦτα μερίζεσθαι, διὰ τοῦτο τυποῦμεν καὶ οἰκονόμους διαφόρους γενέσθαι· καὶ τὸν μὲν ἐξ ἀνάγκης ἐν τῇ κυρίᾳ μονῇ προβάλλεσθαι, καὶ τὰς ἀνηκούσας αὐτῷ φροντίδας καὶ διοικήσεις ἐπιμελῶς ἐνεργεῖν, ἕτερον δὲ ἐν τοῖς μοναστηρίοις τοῖς ἄλλοις, τοῖς προσενωθεῖσι τῇ τοιαύτῃ μονῇ προΐστασθαι, καὶ οἰκονομεῖν τὰ ἐν αὐτοῖς μετὰ πολλῆς ὁμοίας ἐπιμελείας καὶ συντεταμένης σπουδῆς, πάντας τοὺς κατὰ μέρος οἰκονόμους τούτων ἐπιτηροῦντα, καὶ ἐπὶ πᾶσι (σϐ.] τὴν προσήκουσαν διόρθωσιν ἐνδεικνύμενον· ἕτερον δὲ τὰ τοῦ ναοῦ τῆς Ἐλεούσης οἰκονομεῖν, καὶ ἄλλον τὰ τοῦ ξενῶνος σὺν τῷ γηρωκομείῳ· πάντας δὲ μετὰ τῆς τοῦ καθηγουμένου προτροπῆς καὶ εἰδήσεως ἐνεργεῖν τὰ παρ' αὐτῶν ἐνεργεῖσθαι ὀφείλοντα. Ναὶ μὴν ἀλλὰ καὶ αὐτὸν τὸν καθηγούμενον ἐν ταῖς ἀναγκαιοτέραις τῶν ὑποθέσεων ἁπάσαις μηδὲν δίχα τῆς συνελεύσεως τούτων ποιεῖν, μήτε λογαριαστάς, ἢ προνοητάς, μήτε ἐκδόσεις ἀκινήτων οἰωνδήτινων, ἢ πακτεύσεις, ἢ ἑτέρας μισθώσεις, ἀλλὰ καὶ ἐπὶ ταῖς τυπώσεσι τῶν μεγαλωτέρων ἐξόδων, καὶ ταῖς ἄλλαις ἀναγκαιοτέραις οἰκονομίαις, παρουσίᾳ καὶ τῶν τοιούτων οἰκονόμων ποιεῖν, ὅπερ ἂν φανῇ ἐνδεχόμενον, ὥσπερ δὴ καὶ ἐπὶ ταῖς προβολαῖς ἑκάστου τῶν τοιούτων οἰκονόμων· ἐν γὰρ τῇ τῶν πλειόνων συνελεύσει καὶ συμβουλῇ κρειττόνως αἱ τῶν τοιούτων ὑποθέσεων οἰκονομίαι γενήσονται. Πάντες δὲ οὗτοι οἱ οἰκονόμοι ἐξ ἀνάγκης ἀπαιτηθήσονται ἐν τῇ κυρίᾳ καταμένειν μονῇ, ὡς καὶ μοναχοὶ τυγχάνειν ὀφείλοντες, καὶ μηδέποτε διά τινα πρόφασιν ἔξω ταύτης τὰς κατοικήσεις ποιεῖσθαι, εἰ μήπου δι' ἀναγκαίαν καὶ ἀπαραίτητον χρείαν εἰς (π. 116] τινα τῶν ἔξω κτημάτων δεήσει τινὰ τούτων ἐξελθεῖν. Εἰ μέντοι πολλάκις καὶ ἀπὸ τῶν κατὰ μέρος μοναστηρίων εὑρήσει τινὰ μοναχὸν ὁ καθηγούμενος ἄξιον προβληθῆναι εἰς τινα τῶν τοιούτων οἰκονομιῶν, καὶ διαγνωσθῇ τοῦτο οὕτως ὀφείλειν γενέσθαι ἐκ κοινῆς τῶν δηλωθέντων μοναχῶν συνελεύσεως καὶ διαγνώσεως, γενήσεται καὶ τοῦτο οὕτως. Οἱ μέντοι κατὰ καιροὺς οἰκονόμοι τῶν μοναστηρίων, ἕκαστος διάξει ἐν τῇ μονῇ, ἧς οἰκονόμος ἐστίν.

Ἐπεὶ δὲ καὶ κτήματα διάφορα ἀφωρίσθησαν τῇ τοιαύτῃ μονῇ παρ' αὐτῆς τε τῆς βασιλείας μου, καὶ παρὰ τῆς μακαριωτάτης δεσποίνης καὶ περιποθήτου συζύγου μου, παρὰ μὲν τῆς βασιλείας μου ἐν τῷ χωρίῳ τῶν Διαβενέτων, τὸ προάστειον τῆ Ἀνθεμιώτου καὶ τὸ προάστειον τοῦ Κοστομύρη· τὸ προάστειον ὁ Κόττταβος σὺν τῷ ξενοδοχείῳ αὐτοῦ, τὸ ἐν τῷ χωρίῳ τῶν Μίντου προάστειον, τὸ λεγόμενον τοῦ Κιβουλίου, καὶ τὸ ἕτερον προάστειον, τὸ λεγόμενον τοῦ Κυκλοβίου, ἤτοι τοῦ Καμύτζη, ἡ εἰς τὸ Δαόνιον ὑπόστασις τοῦ Μονομαχάτου, τὸ προάστειον τούτου, τὸ λεγόμενον τῆ Τορνικίου, καὶ τὸ ἕτερον τούτου προάστειον, τὸ λεγόμενον Λύζιζιν· ὁ κατὰ Ῥαιδεστὸν οἶκος τῆ Σήθ μετὰ καὶ τῶν ἐνοικικῶν αὐτοῦ, ὁ οἶκος τῆ Νεστογίᾳ μετὰ τῶν δύο τούτου ξενοδοχείων καὶ χωραφίων, πρὸς δὲ καὶ ἀμπελώνων, ὧν ἐκέκτητο οὗτος ἔξωθεν τῆ τοιούτῃ κάστρῃ· τὸ προάστειον τῆ Ἀγελάζου, τὸ χωρίον τοῦ Μελάνδρᾳ, τὸ πράστειον τὸ Κρύον νερόν, τὸ προάστειον τοῦ Μωροχαρτζάνη, τὸ ἐξωνηθὲν ἀπὸ τῆς μονῆς τοῦ Κεγχρῆ, τὸ χωρίον αἱ Ἀχνισταί, τὸ εἰς τὸ πετῖτον Παμφίλᾳ προάστειον τοῦ ἐπάρχου, καὶ τὸ προάστειον ὁ ἅγιος Θεόδωρος, καὶ ἔσωθεν τοῦ κάστρου Πανίᾳ δύο αὐλαὶ τοῦ Τριακονταφύλλᾳ, ὧν ἡ μὲν μία εἰς τὴν πόρταν τοῦ Πολυδρίᾳ ἐστίν, ἡ δὲ ἑτέρα εἰς τὸν αἰγιαλόν· τὸ χωρίον τὸ Ψυχρὸν πηγάδιν, τὸ προάστειον τὸ Ζαπηχώνιον, τὸ χωρίον ἡ Μάδυτος, ὃ κατεῖχον οἱ ἀλακασσεῖς, τὸ κατὰ τὸ πετῖτον Ἄπρω προάστειον, ὁ ἅγιος Βλάσιος, τὸ χωρίον τοῦ Μαρμαρᾶ, τὸ χωρίον ἡ Λεύκη, ἡ κατὰ τὸ ἑξαμίλιον ἐν τῷ ἐμπορίῳ τῆ Βραχιονίᾳ προνοία τοῦ ἀποιχομένῃ Συναδηνῆ, τὰ παράλια δίκαια τῆ ἐμπορίᾳ Βραχιονίου μετὰ τῶν ἐποχῶν. τὸ χωρίον τὸ Θρυμβάκιν σὺν τοῖς προσκαθημένοις ἐκεῖσε ἐστρατευμένοις, καὶ τῷ ἐν αὐτῷ προαστείῳ· τὸ προάστειον (л. 117] τὸ Λιμνίν, τὸ προάστειον τὸ Πλατάνιν, τὸ χωρίον τὰ Βούτη, τὸ χωρίον τῆ Γρηγορᾶ, τὸ προάστειον ἡ Κινστέρνα, τὸ χωρίον ἡ Ἀρμούκωμις, αἱ κατὰ χερόννησον ἁλικαὶ πᾶσαι, ἡ κατὰ χερόννησον ἐν τῷ ἐμπορίῳ τῶν Κοίλων, ἅπασα ἑβραϊκή, καὶ ἡ δεκατία τῶν οἰναρίων, τὸ ὅλον ἐμπόριον τῆς Μαδύτου, χωρὶς τῶν στρατειῶν, ἡ ἅπασα ὑπόστασις, ἡ οὖσα ἐν τῷ τοιούτῳ ἐμπορίῳ τοῦ Ἀλεξιάνου, ἤγουν ὁ οἶκος τούτῃ, τὰ ἐνοικικά, τὰ περιβόλια καὶ τὸ λουτρὸν σὺν τοῖς ἐκεῖσε οὖσι χωραφιαίοις τόποις καὶ ἀμπελῶσι, τὸ προάστειον τούτου ὁ ἅγιος Γεώργιος τοῦ Μήλᾳ, τὸ προάστειον ὁ ἅγιος Δημήτριος, τὸ ἕτερον προάστειον αὐτοῦ ἡ Κοχλακέα, καὶ τὸ προάστειον αὐτοῦ ὁ Καρεών, τὸ προάστειον οἱ Σθλάβοι, τὰ ἐστρατευμένα δύο χωρία, ἤγουν τὸ χωρίον ἡ Δάφνη καὶ τὸ χωρίον ὁ Δάμων σὺν τοῖς ἐκεῖσε προσκαθημένοις παροίκοις τῆ Ἀλεξιάνου, ἡ ἐπίσκεψις Δαδούνας καὶ τῆ Τζιβάκᾳ, καθὼς διὰ τοῦ σχιδευμῆ

περιῆλθον εἰς τὸν δημόσιον, ἡ ἐπίσκεψις τῶν Καμινίων, ἡ περιελθοῦσα ἀπὸ ἐνοχῆς δημοσιακῆς εἰς τὸν δημόσιον, καὶ ἐξ ἐκείνου κατὰ ἀνταλλαγὴν (об.] καὶ δωρεὰν μεταβιβασθεῖσα εἰς τὴν μονήν, τὸ χωρίον Λοξάδι, τὸ πλησιάζον αὐτῇ χωρίον τοῦ Κανικλείῳ, τὸ χωρίον τῷ Μεγαλέβου, τὸ χωρίον ἡ Μίξις σὺν τῷ περάματι· τὸ χωρίον τοῦ Δαβροβούλου, τὸ χωρίον Ποὺμδου, ἡ ἐπίσκεψις τῶν Κυψέλλων καὶ αὐτὸ τὸ κάστρον τὰ Κύψελλα, ἡ ἐπίσκεψις Ἰαλούκου σὺν τῷ περάματι τοῦ ποταμοῦ τῆς Μαρίτζας· ἡ ἐπίσκεψις τῶν Παρευρίων, καθὼς περιῆλθε τῇ βασιλείᾳ μου ἀπὸ δωρεᾶς τοῦ σεβαστοῦ τοῦ Βοτανειάτου, καὶ ἀπὸ ἐξωνήσεως τῶν θυγατέρων τῷ σεβαστοῦ καὶ ἐξαδέλφου τῆς βασιλείας μου, τοῦ μοναχοῦ κυρῷ Ἰωάννῃ, τοῦ υἱῷ τοῦ ἀοιδίμου σεβαστοκράτορος, τὸ ἐξωνηθὲν ἀπὸ τοῦ Ἀντζᾶ κτῆμα, ὁ ἅγιος Ἰωάννης τῷ χαλκέως, τὸ ἐξωνηθὲν ἀπὸ τῆς ψυχοσώστιδος κτῆμα τοῦ Μα.....[1]) καὶ τῷ Μάλωνος μετὰ τῶν ἐν τοῖς Κυψέλλοις ξενοδοχείων, τὸ κτῆμα ἡ ἰτέα, τὸ ἐξωνηθὲν ἀπὸ τῷ Κυρτικίου, τὸ προάστειον τῷ Λύκου. τὸ ἐξωνηθὲν ἀπὸ τῷ Συναδηνοῦ, τὸ χωρίον τῷ Κόξη[2])..... Ἐν τῷ πετίτῳ Ποπολίας τὸ χωρίον τὰ Ἀδρειανά, τὸ χωρίον ἡ Τζερκουβίτζανες, το χωρίον ἡ ἄνω (л. 118] καὶ κάτω Βλακίστα σὺν τῷ Νεοχωρίῳ, τὸ προάστειον τῷ Σθλαβοπώλῳ τῆς βασιλείας μου τοῦ Θεοδωρίτζη, τὸ ἐπιλεγομενον Κωδωνείανες μετὰ τῶν ἐν αὐτῷ μυλώνων, τὸ χωρίον Ὀρνίαλες, ὁ οἶκος τοῦ αὐτοῦ Θεοδωρίτζη, ὁ ἐν Χριστουπόλει καὶ τὰ ἀμπέλια αὐτοῦ, τὸ ἐν Χριζουπόλει πλησίον τοῦ αἰγιαλοῦ Πραιτώριον μετὰ τῶν γύροθεν τούτῳ ἐνοικικῶν, τὸ χωρίον Π....[3]) ἤτοι Νεοβολίανες, τὸ ἐξωνηθὲν παρὰ τοῦ δημοσίου διὰ τοῦ σεκρέτου, τοῦ ἐπὶ τῶν οἰκειακῶν, ἀπὸ τοῦ ἐγγόνου τοῦ σεβαστοῦ ἐκείνου Εὐμαθίου μετὰ τῶν ἐν αὐτῷ μυλώνων, τὸ κατέλιον ὁ Πάνακας ἡ κατὰ Θεσσαλονίκην νέα ἐπίσκεψις, καθὼς παρεδόθη παρὰ τῷ Γαλάτωνος καὶ μετὰ τῶν λοιπῶν αὐτῆς δικαίων· τὸ δίκαιον τοῦ ἀπὸ τοῦ Χορταΐτῳ καταῤῥέοντος ὕδατος σὺν τῷ ἀγωγῷ καὶ τοῖς ἐν Θεσσαλονίκῃ ἐνεργοῦσι μύλωσι, τὸ ἐξωνηθὲν ἀπὸ τοῦ μέρους τοῦ Κακοδίκη καὶ τοῦ Καρβέως ἔνδον τοῦ κάστρου Θεσσαλονίκης οἰκοστάσιον, ἡ διακονία τοῦ Κραμβέως μετὰ τῶν δύο αὐτῆς λοετρῶν καὶ ἐνοικικῶν καὶ λοιπῶν δικαίων, τὸ προάστειον ἡ ἁγία Γαλακτερή, τὸ ἀπὸ δωρεᾶς τινων Θεσσαλονικέων (об.] περιελθὸν τῇ μονῇ, ἡ ἐν Βερροίᾳ περιελθοῦσα ἐπίσκεψις τῇ βασιλείᾳ μου ἀπὸ δωρεᾶς τοῦ σεβαστοῦ κυροῦ Μανουὴλ τοῦ Βοτανειάτου. μετὰ τῶν ἐν αὐτῇ πλανηνῶν καὶ λοιπῶν δικαίων.

[1]) Въ рукописи это слово не дописано. [2]) Конца не достаетъ въ рукописи. [3]) Въ рукописи и это слово не дописано.

Τὰ ἐν Μιτυλήνῃ κτήματα τοῦ Μαχηταρίου, τὰ κατὰ τὴν Κῶ κτήματα τοῦ Κάψηκος σὺν τῇ ἐπισκέψει τοῦ Δρόσου καὶ τῶ μοναχοῦ Χριστοδούλου, τὰ τελέσματα τῆς μητροπόλεως Πατρῶν, τὰ τελέσματα τῆς ἐπισκοπῆς Μεθώνης, ἀπὸ τῶν τελεσμάτων τῆς μονῆς τοῦ Μολιβωτοῦ, λίτραι ὑπέρπυροι τέσσαρες· ὁ οἶκος τοῦ Οὐμπερτοπώλου, ὁ οἶκος τοῦ Σαραντηνοῦ, ἡ μονὴ τῶν Νοατῶν, ἡ μονὴ τοῦ Μονοκαστάνου, ἡ μονὴ τοῦ Ἀνθεμίου, ἡ μονὴ τῶ Μηδικαρίου, καὶ μονὴ τοῦ Σατύρου μετὰ πάντων τῶν διαφερόντων αὐταῖς, σωματικῶν τε καὶ ἀσωμάτων δικαίων. Παρὰ δὲ τῆς μακαριωτάτης μου δεσποίνης ἡ ἐπίσκεψις Κωδωνίανες, τὸ ἐν τοῖς Διαβενέτοις κτῆμα τῆς Σκληραίνης μετὰ τῶν δικαίων τῶν ἐν τῷ χωρίῳ Φλωρίῳ καὶ τῶν σκαλῶν, καὶ τῶν παραλίων (л. 119] δικαίων καὶ τῆς ἐποχῆς, ἡ κατὰ τὸ ὀψίκιον μονὴ τῶν Βορδῶν, ἡ μονὴ τῶν Γαλακρηνῶν, καὶ ἡ κατ' ἐπίδοσιν περιελθῆσα αὐτῇ μονὴ τῆς ἁγίας Ὡραιοζήλης μετὰ πάντων τῶν διαφερόντων αὐταῖς σωματικῶν καὶ ἀσωμάτων δικαίων, ὁ οἶκος τοῦ Ῥασύλ...[1]) ὁ οἶκος τοῦ Ἀθηνῶν, τὸ οἰκοστάσιον τοῦ Ῥοδηνοῦ, τὸ οἰκοστάσιον τοῦ ἐργοδότου, τὸ οἰκοστάσιον τοῦ Καμάχωνος, τὰ ἐν τοῖς Σαλιβαρίοις οἰκήματα, καὶ αὐτὴ ἡ πᾶσα περιοχὴ τῆς τῶ Παντοκράτορος Σωτῆρος μονῆς ἀπὸ διαφόρων ἐπικτήσεων οὕτως ἐνωθεῖσα, βούλομαι καὶ ταῦτα πάντα ἀνεκποίητα παρὰ τῇ μονῇ συντηρεῖσθαι ἀεί.

Τὰ μέντοι συνεγγὺς τῆς τοιαύτης μονῆς οἰκοδομηθέντα ἢ καὶ οἰκοδομηθησόμενα κελλία, λόγῳ τῆς ἡμετέρας ἀναπαύσεως καὶ διαίτης, βούλομαι μετὰ τὴν ἐμὴν τελευτήν[2])……

Ἐπεὶ δὲ ἴσως εἰκός ἐστιν ἤ τινα τῶν περιελθόντων μέχρι τῶ νῦν τῇ μονῇ κατά τινα περιπέτειαν ἐπιλησθῆναι ἐν τῇ παρούσῃ γραφῇ, ἢ μεταγενεστέρως εἰς [об.] αὐτὴν περιελευσόμενα μὴ μνημονευθῆναι ἐνταυθοῖ, οὐδὲν κατὰ τοῦτο γενήσεται πρόκριμα τῇ μονῇ εἰς τὸ μὴ κατέχειν ἐνδυνάμως τὰ καλῶς καὶ ἀληθῶς αὐτῇ διαφέροντα. Εἰ μὲν οὖν κατὰ τὸν σκοπὸν τῆς βασιλείας μου διεξάγοιντο τὰ τῆς μονῆς προσηκόντως καὶ ἀνεπιλήπτως, χάρις τῷ Παντοκράτορι Σωτῆρι μου, εὐδοκήσαντι προβαίνειν τὰ τῆς μονῆς εἰς ἐπίδοσιν καὶ τὴν προσήκουσαν βελτίωσιν ἐπιδέχεσθαι· εἰ δὲ τἀναντία ἐπὶ τούτοις ἀποβαίνειν, ὅπερ ἀπεύχομαι, αὐτὸν αὖθις ἡ βασιλεία μου τὸν Παντοκράτορα ἐπικαλέσεται πρὸς τὴν τῶν κακῶς γινομένων διόρθωσιν, καὶ σπουδάσει μετὰ τῆς αὐτοῦ βοηθείας μεταγαγεῖν τὰ χείρω πρὸς τὸ βέλτιον. Ὅτι οὐδὲ ἀνέξεται αὕτη

---

[1]) Слово недописанное. [2]) Текстъ дальнѣйшій не доконченъ.

ἔτι ζῶσα, πρὸ ὀφθαλμῶν αὐτῆς καθορᾶν οὕτω παραμελούμενον, καὶ εἰς κίνδυνον συνωθούμενον τὸ ἡμέτερον σπούδασμα.

Ταῦτα μὲν νῦν κατὰ τὸ δόξαν συμφέρον τῇ μονῇ καὶ τῆς περὶ αὐτὴν καὶ δέδοκται καὶ βεβούλευται, καὶ θέλω τὰ διατυπωθέντα συντηρηθῆναι κατὰ διηνέκειαν, Θεοῦ συνεργοῦντος, ἀμετάπτωτα· εἰ δέ τι πολλάκις τῶν νῦν ἐπικριθέντων ὑπὸ τῆς τῶν πραγμάτων μεταβολῆς ἀλλοιῶσαι μετὰ ταῦτα (σ. 120] δυνηθείην, ἐξέσται μοι τοῦτο κατὰ τὸ βελτιὸν διαπράττεσθαι, καὶ κρατήσουσιν αἱ μεταγενέστεραι διατυπώσεις καὶ μεταβουλεύσεις, ἐγγράφως δηλούμεναι· δίδοται γάρ μοι καὶ παρὰ τῶν θείων πατέρων, καὶ τῶν τῆς ἐκκλησίας θεσμῶν, καὶ τῶν νομικῶν παραγγελμάτων ποιεῖν ἐν τοῖς ἐμοῖς καὶ διατυποῦσθαι ὁπόσα καὶ βούλομαι.

Ἐπεὶ δὲ καὶ ἕτερον χαρτίον γέγονε παρὰ τῆς βασιλείας μου τινὰ τῶν ἐμοὶ βουλητῶν διαλαμβάνον, ὃ καὶ ἠθέλησα ἐναποθῆναι τῷ σκευοφυλακίῳ τῆς μονῆς ἐσφραγισμένον, συντηρηθήσεται οὕτως ἐκεῖσε μέχρις ἂν βούλομαι τοῦτο οὕτω φυλάττεσθαι. Εἰ δὲ πολλάκις συμβῇ πρὸ τῆς ὑποστροφῆς τελευτῆσαί με, οἷα τὰ ἀνθρώπινα, τηνικαῦτα ἀποσφραγισθήσεται τὸ χαρτίον, ἀπὸ τοῦ σκευοφυλακίου ἐξενεχθέν, παρουσίᾳ αὐτοῦ τε τοῦ καθηγουμένου, τοῦ οἰκονόμου, τοῦ ἐκκλησιάρχου, τῶ χαρτοφύλακος, τοῦ μεγάλου ὁρφγγαρίου τῶ Νικηφόρου, τῶ πρωτονοταρίου καὶ τοῦ Νικομηδείας Κωνσταντίνου, διδομένης καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ εἰδήσεως· καὶ μετὰ τὸ ἀποσφραγισθῆναι καὶ ἀναγνωσθῆναι τὸ τοιοῦτον χαρτίον, φροντίσουσι πάντως οἱ ἐν ἐκείνῳ δηλούμενοι ποιῆσαι (σ. 121] κατὰ τὴν ἐκείνου περίληψιν.

Ἔξει δὲ ἡ μονὴ τὸ ἐλεύθερον πάντη καὶ ἀκαταδούλωτον, ὑπὸ μηδεμίαν ἐξουσίαν τελοῦσα, μηδένα τὸν κυριεύοντα ἔχουσα, αὐτοδέσποτος, αὐτεξούσιος, ἑαυτῆς κυριεύουσα καὶ δεσπόζουσα, μὴ ὑπὸ ἐκκλησιαστικὴν ἀρχήν, μὴ ὑπὸ ἀνακτορικὴν ἐξουσίαν, μὴ ὑφ' ἑτέραν ἀρχοντικὴν ἐξουσίαν ταττομένη, μόνῃ τῶν ἑαυτῆς ἀντιποιουμένη, καὶ πάντων ἐξουσιαστικῶς καὶ αὐθεντικῶς καταπολαύουσα, τῆς τοῦ ἀνεκποιήτου διαστήξεως φυλαττομένης ἐπὶ πᾶσι τοῖς ἀνατεθημένοις αὐτῇ, εἴτε κτήματα εἶεν, εἴτε μοναστήρια, εἴτε τινὰ δίκαια σωματικὰ ἢ ἀσώματα. Περιέπεσθαι δὲ ταύτην καὶ διεκδικεῖσθαι βούλομαι, καὶ συγκροτεῖσθαι πρῶτα μὲν παρὰ τοῦ περιποθήτου μου υἱοῦ καὶ βασιλέως κυροῦ Ἀλεξίου, εἶτα καθεξῆς παρὰ τοῦ πρωτεύοντος ἐκ τοῦ γένους ἡμῶν, οὐχ' ἵνα τι τῆς μονῆς ἐκεῖνοι τὸ παράπαν ἀποφέρωνται, ἀλλ' ἵνα τοὺς ἔξωθεν ἐπηρεαστὰς ἀποκρούωνται, τὸν Σωτῆρα πλουτοῦντες ἐπὶ τούτοις ἀνταποδότην φιλότιμον, οὐκ ἐνταῦθα

μόνον αὐτοῖς εὐοδοῦντα τὰ τοῦ βίου διαβήματα, ἀλλὰ καὶ εἰς τὸ μέλλον δικαστήριον (л. 121] ἀντιμετροῦντα πολλαπλασίονα.

Ἀλλ' ὦ Σῶτερ, ὕψιστε Παντοκράτορ, ἐλέους Κύριε, πατρικῆς ἀπαύγασμα δόξης, ὁμότιμε τῷ Πατρὶ καὶ τῷ Πνεύματι σύνθρονε, Λόγε Θεὲ, σοφία καὶ δύναμις, ὁ τὴν ἡμετέραν σάρκα φορέσας ὑπὲρ ἡμῶν, καὶ μέχρι σταυροῦ καὶ θανάτου κενώσας ἑαυτὸν δι' ἡμᾶς, καὶ τῷ τιμίῳ σου αἵματι τὴν ἀπολύτρωσιν ἡμῖν χαρισάμενος, δέξαι μου τὴν μικρὰν ταύτην προσαγωγήν, εἰ καὶ μὴ κατὰ τὴν Ἄβελ θυσίαν καὶ τὴν τοῦ Ἀβραὰμ ὁλοκαύτωσιν, καὶ τὰ τῆς χήρας λεπτά, καὶ ὅσα πρὸ τοῦ νόμου καὶ μετὰ νόμον καθαρὰ καὶ ἄμωμα θύματα, ἀλλ' ὡς τὴν τοῦ τελώνου μετάγνωσιν, καὶ τὴν τοῦ ἀρχιτελώνου τῶν συκοφαντηθέντων πολλαπλῶν ἀνταπόδωσιν, καὶ τὴν τοῦ Μανασσῆ μετὰ συντριβῆς ἐξαγόρευσιν· ἐπικάμφθητι φιλευσπλάγχνως ταῖς κατωδύνοις τῶν ἀδελφῶν ἡμῶν παρακλήσεσι, καὶ ταῖς ἀνομίαις ἡμῶν ἐπιμέτρησον τὴν συγχώρησιν· δέξαι τοὺς ἐν βίῳ νεκρούς, τοὺς ἡμιτόμους τοῖς σώμασι καὶ ἡμιθανεῖς ἱκέτας τῆς σῆς ἀγαθότητος, ὑπὲρ ἡμῶν ἐξιλεσμένους τὸ σὸν εὐσυμπάθητον· οὐ γὰρ θελήσει θέλεις τῶν ἁμαρτωλῶν τὸν θάνατον, ὁ τὴν ἐπιστροφὴν ἡμῶν ἀναμένων καὶ τὴν μετάγνωσιν. (об.] Ἔτι προσάγω σοι πρεσβείαν δεκτὴν ἀκαταίσχυντον, αὐτὴν τὴν τοῦ ἐλέους πηγήν, τὸ καθαρὸν ἱλαστήριον, τὸ τῶν γηγενῶν καταφύγιον· τῷ γὰρ ἀχράντῳ καὶ θείῳ τῆς σῆς μεγαλειότητος οἴκῳ, τὴν ἁγίαν ταύτην συναπαρτίζω σκηνήν· ταύτης τὰς πεπαῤῥησιασμένας ἐντεύξεις ὁ συμπαθὴς προσδεχόμενος, νέμοις ἡμῖν τῶν ὀφλημάτων τὴν ἀπολύτρωσιν, συντηρήσαις τὸ σπούδασμα τῶν χειρῶν ἀκατάλυτον, ἰθύναις τὰς τῶν μοναζόντων ψυχὰς πρὸς τὸ σὸν σωτήριον θέλημα· στηρίξαις αὐτοῖς τὰ τῶν διανοιῶν ὁλισθήματα, καὶ τὰς ὑπὲρ ἑαυτῶν καὶ ἡμῶν κατανενυγμένας οὕτω βδεήσεις ὡς θυμίαμα κατευθύναις δεκτὸν ἐνώπιον τῆς σῆς ἀγαθότητος.

Τί δὲ ὑμεῖς, πατέρες καὶ ἀδελφοί; μικρὰ γὰρ καὶ ὑμῖν ἐνταῦθα προσδιαλέξομαι· μνήσθητε καὶ αὐτοὶ τῶν ἡμετέρων ἐπαγγελιῶν, ἃς ἐνώπιον Θεοῦ καὶ ἀγγέλων ἐπηγγείλασθε, τὰς πρὸς Θεὸν ὑποσχέσεις ἀναλογίσασθε, φρίξατε τὴν ἐπικειμένην δίκην τῆς ἀθετήσεως· ἐννοήσατε τοὺς ἀποτεταμιευμένους τῆς ἐργασίας μισθούς, καὶ ἣν ὑπέσχεσθε νέκρωσιν ἕκαστος τῆς ἀνθρωπίνης ζωῆς ἐπὶ νοῦν λαβόμενοι, πάσης ἐμπαθείας γηΐνης (л. 122] ἀπαλλοτριωθῆναι θελήσατε, πᾶσαν κραυγὴν καὶ βλασφημίαν, καὶ ἔριν, καὶ ζῆλον μακρὰν ἀποθέμενοι, καὶ τὸν καρπὸν τῶ Πνεύματος ἐπικτώμενοι, χαράν, ἀγάπην, εἰρήνην, μακροθυμίαν, ὑπακοήν, ὡς αὐτὸν τὸν Δεσπότην ὑποδεχόμενοι, τὸν ἐξ ἐκείνου τὴν ἡμετέραν προστασίαν δεχόμε-

νον, καὶ ὡς πρόβατα ποιμένι, τῷ τῶν ἡμετέρων ψυχῶν ἡγεμόνι, πρὸς τὰς ζωηφόρους καὶ σωτηρίους νομὰς ἑφεπόμενοι, καὶ τῆς μερίδος τῶν ἐκλεκτῶν τυχεῖν ἐπισπεύδοντες. Μέμνησθε δὲ καὶ τῆς ἡμετέρας ἀθλιότητος, καὶ ὡς δυνατὸν ἱλεῶσθε τὸ θεῖον ὑπὲρ ἡμῶν· ὑπερεύχεσθε δὲ καὶ τῶν ἀοιδίμων αὐθεντῶν καὶ γονέων τῆς βασιλείας μου, καὶ τῶ περιποθήτω μου υἱῶ καὶ βασιλέως κυρὸ Ἀλεξίω, καὶ τῶν πανευτυχῶν σεβαστοκρατόρων, καὶ τῶν λοιπῶν φιλτάτων μου παίδων, καὶ τῶ κόσμου παντός. Καὶ σώζοισθέ μοι τὸ μικρὸν τὸ Σωτῆρος ποίμνιον, καὶ σωζοίμεθα πάντες ἱλέῳ τοῦ Παντοκράτορος νεύματι.

Ὑπεσημάνθη τὸ παρὸν Τυπικὸν τῆς ἰδιοκτήτου μου μονῆς τῶ Παντοκράτορος Χριστοῦ... κατὰ μῆνα ὀκτώβριον, ἰνδικτιῶνος πεντεκαιδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ ἑξακοσιοστῶ τεσσαρακοστοῦ πέμπτου. (об.]

Ἰωάννης ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς πορφυρογέννητος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνός.

F) ΤΥΠΙΚΟΝ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΜΑΝΤΟΣ.

(По той же Халкинской рукописи № 85 1749 г.).

Πρόλογος [1]) περὶ τοῦ μακαρίτου Μυστικῶ καὶ νέου δομήτορος.

Μέγα τι καὶ θεῖον χρῆμα καὶ τίμιον ψυχὴ φιλόθεος καὶ φιλόπτωχος· τῷ ὄντι γὰρ αὕτη πάσας ἐν ἑαυτῇ συλλαβομένη φέρει τὰς ἀρετάς. ὅτι τὸ κεφάλαιον τούτων τὴν ἀγάπην ἐγκυμονεῖ. Τί γὰρ καὶ μεῖζον καὶ ὑψηλότερον τῆς πρὸς τὸν Θεὸν ἀγάπης καὶ τὸν πλησίον; ἐν γὰρ ταὶς δυσὶν ἐντολαῖς ταύταις καὶ ὁ Δεσπότης πάντων τούς τε προφήτας καὶ πάντα τὸν νόμον προαπεφήνατο κρέμασθαι. Μακάριος γοῦν καὶ πολλάκις τῶτο, ὃς τὴν ἑαυτῶ ψυχήν, ὥσπερ τισὶ χρυσοῖς ὁρμίσκοις, ταύταις περιεκάλλυνε· τί γὰρ ὁ τοιοῦτος οὐκ ἐντεῦθεν οἶδεν ἐργάζεσθαι τῶν καλῶν; ποίαν δ' οὐ τέμνειν σωτηρίας ὁδόν, ὥσπερ τις διψητικώτατος ἔλαφος πηγὰς ὑδάτων ἐπιποθῶν, καὶ ὅλον ἑαυτὸν ἐκθύμως ταύταις ἐπιδιδούς;

---

[1]) Прологъ, подписи (съ нѣкоторыми пропусками) и главы 3, 4 и 5 цѣликомъ изъ этого Типикона и съ переводомъ на русскій языкъ изданы проф. Θ. И. Успенскимъ въ брошюрѣ: „Типиконъ монастыря св. Маманта въ Константинополѣ". Одес. 1892 г.

Ὁποίας δή τινος φιλοθέου, καὶ φιλοπτώχου, καὶ ὅλως φιλοκάλου ψυχῆς εὐμοίρησε καὶ ὁ ἀείμνηστος Μυσικὸς ὁ Καππαδόκης κῦρις Γεώργιος, ὃς τῷ τῶν πώποτε βασιλέων εὐγενεστάτῳ καὶ τῶν κατὰ χεῖρα γενναίων ἀνδρῶν ἀνδρικωτάτῳ πορφυρογενεῖ αὐτοκράτορι τῷ Κομνηνῷ κυρῷ Μανουήλ, ἐς νεανίσκους ἄρτι τελοῦντι, παρὰ τοῦ βασιλεύσαντος αὐτὸν ἀοιδίμου βασιλέως καὶ πατρὸς αὐτοῦ εἰς ἐξαίρετον ὑπηρεσίαν ἀπεκεκλήρωτο. Ἐπεὶ δ' εἰς ἄνδρας ὁ πάμμεγας οὗτος αὐτοκράτωρ ἐκ νεανίσκων παρήγγελλε, καὶ ἡ βασίλειος ἀρχή, ἐρασθεῖσα τούτου, ὅλοις ὀφθαλμοῖς αὐτῷ ἐνητένισε, τῶ πατρὸς αὐτοῦ καὶ βασιλέως ἔσχατα μύσαντος, ὁ λαμπρὸς οὗτος ἀνήρ, καὶ τὴν φρένα πυκνὸς ἀρραβῶνα τῆς ἐκεῖθεν λαμπρότητος τὴν ἐν τοῖς βασιλείοις οἴκοις ἔσχε περιωπήν· αὐτὸ δὴ τοῦτο τῶν δημοσίων θησαυρῶν φύλαξ ὁμῶ καὶ οἰκονόμος γενόμενος. Καὶ ἦν γὰρ ὡς ἀληθῶς τῇ πρὸς τὸν αὐτοκράτορα πίστει, καὶ τῷ τῶ φρονήματος ὁραστηρίῳ ἐκ διαμέτρου τοὺς ἄλλους πάντας ὑπερνικῶν καί, ὃ μᾶλλον τῶν ἄλλων αὐτοῦ πλεονεκτημάτων, πολλῶν ὄντων, θαυμάσαι χρή, οὐχ' ὅπως ἐπὶ μέγα δόξης ἀρθείς, καὶ τὰ πρῶτα τυγχάνων παρὰ τῷ κρατίστῳ ἡμῶν αὐτοκράτορι, τῆς ταπεινοφροσύνης κατωφρυώσατο, καὶ τὴν ἐκεῖθεν ἀπαστράπτουσαν χάριν τῷ κενῷ τῆς δόξης ἐζόφωσεν, ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ λαμπροτέραν ταύτην ἐντεῦθεν μᾶλλον εἰργάσατο, οἷά τις ἄριστος ζωγράφος φύσεις χρωμάτων ἐναντίων, ἄριστα ταῦτα καὶ αὐτὸς κερασάμενος. Ἐκόσμει δὲ ἄρα τὸ φιλόθεον τῶ ἀνδρός, καὶ τὸ τῆς δικαιοσύνης καλὸν οὐχ' ἧττον, ἢ τὸ ταπεινὸν τοῦ φρονήματος. Καὶ τί δεῖ τὰ πλεῖστα τῶν ψυχικῶν κατορθωμάτων τούτῳ καταριθμεῖν, ἐξὸν ἑνὶ λόγῳ πάντα περιλαβεῖν; ὃν καὶ τοῦ παντὸς τῶδε λόγου πρυετεινάμεθα, οὐκ ἄδοξόν τινα καὶ ψευδῆ πλασάμενοι πρότασιν, ἀλλὰ παρὰ τοῖς πάντων κειμένην εἰσέτι νῦν στόμασιν, ἣν δὴ καὶ τὸ τοῖς φθάσασι καλοῖς ἐπενεχθὲν αὐτῷ συμπέρασμα μάλιστ' ἂν ἐπαληθεύουσαν δείξειεν. Ἔστι δὲ ἐκεῖνο.

Τὴν γάρ τοι μονὴν τῶ ἐν μάρτυσι καλὸν ἐκλάμψαντος Μάμαντος, ἀκμάσασαν ἦν ὅτε καὶ ἀναθήλασαν, καὶ πολλῶν εὐπορήσασαν κτημάτων τε καὶ πραγμάτων καὶ πανταχόθεν φαινομένην καλήν, καὶ οἷον εἰπεῖν δορυφορουμένην ταῖς χάρισι, τῷ μακρῷ δὲ χρόνῳ γεγηραυῖαν, καὶ ὑποῤῥέουσαν, καὶ τῶτ' αὐτὸ κινδυνεύουσαν ὀνόματι μόνῳ σεμνύνεσθε τῷ τῶ μάρτυρος, παντάπασι τῶν πραγμάτων ἀπολελοιπότων αὐτὴν διὰ τὴν τῶν κατὰ καιροὺς χαριστικαρίων ἀπληστίαν τε καὶ ἀναίδειαν, ὡς λύκων ἐπιχαινόντων αὐτῇ, ὁ θεοφιλὴς ἐκεῖνος ἀνὴρ καὶ φιλόκαλος, ἰδὼν ἐν καλῷ μὲν κειμένην τῶ περιέχοντος, ἄλλως δὲ τῇ ἀκόσμῳ καταστάσει συναχρειοῦσαν καὶ

τοῦ τόπου τὸ ἐπιτήδειον, ἔρωτι θειοτέρῳ κάτοχος γίνεται, καὶ τὴν πρὶν εὐκοσμίαν ἐκ μικρῶν τινων ὑπεμφαινομένην λειψάνων, καὶ οἷον εἰπεῖν ἀμυδρῶς σκιαγραφουμένην ἀποδοῦναι ταύτῃ διαθερμαίνεται. Καὶ δὴ πρόσεισι μὲν τῷ τηνικαῦτα πατριαρχοῦντι τῆς μεγάλης τῆσδε τῶν πόλεων, καὶ τῆς μονῆς τὴν κατάπτωσιν, καὶ ἐρημίαν ἐκτραγῳδεῖ, καὶ δεῖται θερμῶς τὴν οἰκείαν αὐτῇ χεῖρα βοηθὸν αὐτῇ ἐπορέξαι· καὶ τὸ μὲν αὐτὴν ἤδη βαρυνομένην, καὶ γόνυ κάμπτουσαν δι' αὐτῆς ἀνακουφίσαι, καὶ ἀνακτίσασθαι, τὸ δὲ καὶ βάθρων αὐτῶν ἀναγεῖραι τῶν οἰκοδομημάτων τινὰ καὶ φιλοτίμως προσεπικτήσασθαι. Δεινὸν γὰρ ἡγεῖτο, καὶ φιλοθέῳ ψυχῆς ὄντως ἀνάξιον εὐμεγέθη ναόν, καὶ τὸν κατ' αὐτὸν οὐκ ἐλάττω τά γε εἰς οἰκοδομήν, κενὸν οὕτω καὶ ἄλλως ἄκοσμον ἵστασθαι μικρὸν ὅσον κινδυνεύοντα, καὶ αὐτὸ δὴ τοῦτο προσαφαιρεθῆναι, καὶ ὃ φασι ἐπὶ στόμα πεσεῖν· αὐτὸν δὲ ἐκ μακροῦ καὶ ταῦτα ποθοῦντα τὸ ἑαυτῷ φιλόθεον, καὶ φιλότιμον ἐπιδείξασθαι, τούτου ὑπεριδεῖν. Ἔνθεντοι καὶ αἰτήσας, ἢ μᾶλλον εἰπεῖν αἰτηθείς, λαμβάνει τὴν καθ' ἡμᾶς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος σεβασμίαν μονὴν δι' ὑπομνήματος ἐπὶ προσώποις δυσὶ, τῷ εὐαγεῖ σεκρέτῳ τῆς ἐκκλησιαστικῆς μεγάλης σακκέλης τῷ τότε ὑποκειμένην. Εὐθὺς οὖν λαβών, τοῦτο δὴ τὸ ᾀδόμενον, δαλὸς ἦν εἰς πῦρ, ἢ κατὰ πρανὲς ὕδωρ πολλῷ τῷ ῥοίζῳ φερόμενον, καὶ πρῶτα μὲν τῶν τινας διάπαγμα τιθεμένων τὰ τῆς μονῆς μέχρι καὶ χαρτώων δικαιωμάτων αὐτῶν, εἰ καὶ μὴ πάντα ἀφῆκεν ὁ φθόνος, τᾶτο μὲν δώροις, τοῦτο δὲ πειθοῖ, παραμίξας τὸ δύνασθαι, πάντα καταθέσθαι καὶ ἀποδοῦναι τῇ μονῇ, καὶ αὖθις παρέπεισεν, ἔπειτα τοῖς ἔργοις προσχών, οὐκ ἔστιν ὅσην εἰπεῖν εἰσήνεγκε τὴν σπουδήν. Ἀλλὰ τί τὸ ἐντεῦθεν; Ὡς ἑώρα ταύτην δὴ τὴν μονὴν πολλοῖς καὶ μεγίστοις καινουργημένην τοῖς ἀναλώμασιν, ὧν ἦν αὐτὸς χορηγός, οὐ μὴν ἀλλὰ καὶ μείζονος ἔτι δεομένην καὶ ἀφιλονωτέρας καὶ χειρός, καὶ γνώμης, συνιδὼν μή ποτέ τινες κηφῆνες, ἄνθρωποι λυμεῶνες ἀλλοτρίοις πόνοις ἐπιφυόμενοι· καὶ γὰρ ἦν ἀγχίνους εἰ καί τις ἄλλος, κἀκ τοῦ προχείρου τὸ δέον θηρᾶσαι πάντων ὁπωριμώτατος· τᾶτο οὖν βαλλόμενος ἐπὶ νοῦν, μὴ ποτέ τινες μετὰ τὴν τῶν δωρηθέντων αὐτῷ δύο προσώπων παραδρομὴν τῇ φιλοτίμῳ δαψιλείᾳ τῶν τῇ μονῇ προσεπικτηθέντων, καὶ ἀφιερωθέντων ἐπεγκαθίσωσι, καὶ τὸ πᾶν ἐδηδοκότες τοίχους μόνους, ὥφησιν ἡ Γραφή, κεκονιαμένους καταλείψωσιν, ἔπειτα καὶ τούτων ἀπανθρώπως ἐφάψωνται καὶ εἰς τὴν ἀρχαίαν πάλιν κατάπτωσιν κατασπάσωσι τὴν μονήν, τί ποεῖ. ὡς λίαν συνετόν τε καὶ ὑψηλόν; Πρόσεισι καὶ αὖθις τῷ τηνικαῦτα πατριάρχῃ καὶ ἐξαιτεῖται ἐλευθερίαν διηνεκῆ, καὶ μη-

δενί ποτε χρόνῳ περικλειομένην τιμηθῆναι τὴν τοιαύτην μονήν, ὡς ἂν αὐτὴ καθ' ἑαυτὴν εἴη, μηδενί ποτε προσώπῳ κατ' ἐφορίας λόγον, ἢ κατ' ἐπίδοσιν διδομένην, ἢ καθ' ἑτέραν ἡντιναοῦν οἰκονομίαν ὑπὸ χεῖρά τινι γινομένην, ἀλλ' οὐδ' αὐτῷ τῷ εὐαγεῖ τῆς μεγάλης σακέλλης σεκρέτῳ, ᾧ προὐπέκειτο, καθ' οἱονδήτινα τρόπον εὔλογον ἢ παράλογον ὑποποιουμένην, μόνοις δὲ τοῖς ἐν αὐτῇ μοναχοῖς διοικοῖτο καὶ διεξάγοιτο. Ὁ γοῦν ἀρχιερεύς, τὸν σκοπὸν τῆς τοῦ ἀνδρὸς αἰτήσεως βασανίσας παρ' ἑαυτῷ, σύμφωνόν τε τοῖς ἐπὶ τῇ μονῇ μέχρι τότε παρ' ἑαυτοῦ γεγονόσιν εὑρών, καὶ ἄλλως τῷ Θεῷ ἀρεστόν, τὴν τῆς μονῆς ἐλευθερίαν ἐγγράφως ὑπεμνημάτισε· καὶ παριστῶσι ταύτην σαφέστατα ἥτε τηνικαῦτα γεγονυῖα ὑπόμνησις τοῦ μεγαλυπερόχου ἐκείνου ἀνδρός, καὶ ἡ ἐπ' αὐτῇ τοῦ ἁγιωτάτου πατριάρχου λύσις, καὶ τὸ ἐπ' αὐταῖς πατριαρχικὸν ὑπόμνημα, ἔτι δὲ καὶ ὁ ἐπὶ τούτοις ἀπολυθεὶς χρυσόβουλλος λόγος τοῦ θεοστεφοῦς ἡμῶν αὐτοκράτορος καὶ πορφυρογεννήτου, κυρῦ Μανουὴλ τοῦ Κομνηνοῦ, οἷά τις χρυσῆ κορώνη ταῖς προρρηθείσαις ἐπιτεθεῖσα γραφαῖς. Ἆρ' οὖν τὸ πᾶν ἠνυκώς, καὶ χειρὸς ἁπάσης ὑπερτέραν θέμενος τὴν μονήν, ὡς μηδενί ποτε ζυγῷ δουλείας ὑπάγεσθαι, μαλακώτερον ἔσχε πρὸς τὸ ἑξῆς περὶ τὴν αὐτῆς ἐπιμέλειαν, καὶ ἡ χεὶρ αὐτῷ τῇ φειδωλῷ βληθεῖσα νάρκη συνέσταλται; Οὐμενοῦν, οὐδαμῶς· ἀλλ' αὐτὸ δὴ τὸ τοῦ λόγου „πῦρ ἐπὶ πυρὶ προσετίθετο", καὶ ὑπανῆπτε τὸν πόθον. Ἐζήτει δὲ ἄρα ὁ διάπυρος ἐκεῖνος τοῦ κρείττονος ἐραστὴς καὶ τὸν κατὰ πνεῦμα προστησόμενον τῆς μονῆς, καὶ ταύτης ἡγεμονεύσοντα, καὶ εὑρίσκει, οὐκ οἶδ' ὅθεν, καὶ ὅπως εἰς τοῦτο κινηθείς, ἐμέ, τὸν τότε καιροῦ τὴν οἰκονομίαν ἐμπεπιστευμένον τῆς περιωνύμου καὶ βασιλικῆς μονῆς τοῦ Φιλανθρώπου Σωτῆρος, ἐν ᾗ καὶ τέθραμμαι, καὶ ἀποκέκαρμαι, καὶ πεπαίδευμαι.

Ἅμα γοῦν τήν τε προστασίαν καὶ ἐξουσίαν τῆς μονῆς ἐμοὶ ἐνεχείριζε, καὶ εὐθὺς ἡ φιλόθεος ἐκείνη ψυχή, καὶ ἡ διαρκὴς καὶ ἄφθονος χείρ, φιλοτίμως ἔτι μᾶλλον ἢ πρότερον καὶ δαψιλῶς ἐπέρρει τὰ πρὸς τὴν σύστασιν τῆς μονῆς. Καὶ πάντα ἦσαν ὁμοῦ, τὸ δαψιλὲς τῆς ἐπὶ τοῖς οἰκοδομήμασι χορηγίας, τὸ ἐπὶ τούτοις φιλότιμον, τὸ φιλόκαλον, ἡ τῶν μοναχῶν ἄθροισις, ἡ χορηγία τούτοις τῶν ζωαρκειῶν, καὶ ἡ λοιπὴ πᾶσα πρόνοιά τε καὶ διοίκησις, ὡς ἔτυχε τότε σχεδιασθεῖσα· ἑαυτῷ μὲν γὰρ τὴν χορηγίαν, ἐμοὶ δὲ τὴν οἰκονομίαν καὶ ἐξουσίαν ἐπέτρεψεν. Ηὔξανε γὰρ ἡ καθ' ἡμᾶς αὕτη μονὴ καὶ ἐκραταιοῦτο, καὶ τὴν πρὶν αὖθις ἀπελάμβανε κοσμιότητα, ὅσην ἐν ἱεροῖς σκεύεσιν, ἐξ ἀργύρου τοῦ καθαρωτάτου πεποιημένοις, περιχρωσθέντος χρυσῷ, ὅσην ἐν πέπλοις ἱεροῖς, καὶ τούτοις καταστιχθεῖσι χρυσῷ, ὅσην ἐν εἰκόσιν ἁγίαις, καὶ τῷ περὶ αὐτὰς

κόσμῳ φιλοτίμως ἄγαν ἐξησκημένῳ, ὅσην ἐν βίβλοις, οὐκ ἀγενῶς ἔστιν αἷς κοσμηθείσαις, ὅσην ἐν οἰκοδομαῖς, ὁπόσην ἔνδον, ὁπόσην ἔξωθεν. Ἦν οὖν ἰδεῖν χρόνου φοράν, πάλαι κατὰ τῆς μονῆς ἐξισχύσασαν, καὶ γνώμην θεοφιλῆ καὶ φιλότιμον μαχομένας ἀλλήλαις· τῆς μέν, ὅπως ὄκνον ἐμποιήσοι τῷ ἀνδρὶ πρὸς φιλοκαλίαν τῇ συνεχεῖ δαπάνῃ, τῆς δ', ὅπως φιλοτίμως καὶ μεγαλοπρεπῶς ἅπαντα καταπράξαιτο, πόθῳ τῷ πρὸς τὸν Θεὸν ἀντιπραττούσης τε, καὶ βιαζομένης. Καὶ δῆλον ἐντεῦθεν· μήπω γὰρ ὕδατος πηγμαίᾳ, ὀχετηγουμένου πρὸς τὴν μονήν, ὁ μεγαλόφρων ἐκεῖνος ἀνὴρ καὶ φιλότιμος τὴν ἀφθονίαν ἡμῖν παρέσχε τοῦ ὕδατος, πολυχειρίᾳ μὲν τεχνιτῶν, ἀφθονίᾳ δὲ δαπανημάτων, ὡς καὶ τὴν χρείαν ὑπερβαίνειν ἀεννάως ῥέον τὸ ὕδωρ, καὶ ὑπερεκπίπτον ἁπανταχῇ τῆς μονῆς. Καὶ τί δεῖ τὰ πλεῖστα λέγειν, καὶ αὐτὰ ἕκαστα τῶν φιλοτίμων ἔργων καταριθμεῖν; Ἔξεστι τῷ βουλομένῳ, τὸ παρ' ἡμῶν γεγονὸς μετὰ τὴν πρὸς Κύριον ἐκδημίαν ἐκείνου τῆς μονῆς βρέβιον ἐπιόντι, κατὰ μέρος ἐξευρίσκειν τὸν ἐπὶ τῇ μονῇ τοῦ ἀνδρὸς διάπυρον πόθον ἐκ τῆς τῶν ἐγγεγραμμένων τούτῳ προσθέσεως. Εἰ δέ τι καὶ αὐτὸς τῷ τε πόθῳ τῷ ἀνδρὸς καὶ τοῖς πράγμασι συνεισήνεγκα, ἐκείνῳ χάρις τῷ Θεῷ καὶ προσελομένῳ, καὶ συνεργὸν ποιησαμένῳ τῶν ἐγχειρήματος. Ἀλλ' ἡμεν ἐν τούτοις χρόνον οὐχὶ συχνόν, ἐξότου δηλονότι ἑτέρας μὲν ἡ μονὴ πάσης χειρὸς ἀνωτέρα, ὑπὸ δὲ τὴν ἐμὴν αὐτοδέσποτος γέγονε, καὶ ὁ ὑψηλὸς ἐκεῖνος ἀνὴρ καὶ ὅλως ἄνθρωπος τῷ Θεοῦ ἐξ ἀνθρώπων ἐγένετο, καὶ τῆς ἐπὶ τῇ μονῇ ἐφέσεως καὶ ἄκων ἐπαύσατο. Τὰ δ' ἐντεῦθεν ἐγὼ μὲν λέγειν ὀκνῶ, μήποτε ἄρα καὶ περαντολογεῖν δόξαιμι, ἡ δὲ τῶν πραγμάτων ὄψις καὶ κατάστασις, ὅσα καὶ στόμα τοῖς μὴ βασκαίνουσι γίνεται. Εἰ δέ τις ἦν ἄλλος, ἐλευθεροστομεῖν οὐκ ὀκνῶν, θαῤῥούντως ἂν εἶπε, χωρὶς τοῦ εἰς τὴν χορηγίαν πολυτελοῦς, ἀναπληρῶσαι τὸ τοῦ μακαρίου ἀνδρὸς ἔλλειμμα· καὶ γὰρ ἴσασιν οἱ εἰδότες, ὅσην ἐνεδειξάμεθα τὴν σπουδήν, ὥστε παραλαβεῖν τὴν τοιαύτην μονὴν ἀπὸ τῆς ᾗ προὐπέκειτο ἐκκλησιαστικῆς μεγάλης σακέλλης. Εἰ γάρ, καὶ ζῶντος ἔτι τοῦ μακαρίου ἀνδρός, ἐλευθερίᾳ τετίμητο ἡ μονή, ὡς που τὸ πατριαρχικὸν διαλαμβάνει ὑπόμνημα, ἀλλ' οὐχὶ καὶ τὸ ἐνδόσιμον ἀπὸ τῆς παραδόσεως εἴληφεν, ὅπερ ἡμεῖς, Θεοῦ διδόντος εἰς πέρας ἠγάγομεν, ὡς τὸ τηνικαῦτα γεγονὸς βρέβιον παριστᾷ. Ἐπεὶ δὲ μετὰ τῶν ἄλλων ἔδει καὶ Τυπικὸν ἐκθέσθαι, ὡς μὴ φθάσαν ἤδη γενέσθαι περιόντος ἔτι τοῦ θείου ἐκείνου ἀνδρός, κἂν τούτῳ πληρῶν ἐκείνου θέλημα, ἤδη καὶ τοῦτο προσανατάττομαι· ἐπεὶ κἀκεῖνος ὁ εὐσεβὴς ὄντως ἀνήρ, καὶ συνιδεῖν τὸ δέον ὀξύτατος, ἔτι ζῶν, ἐμοὶ προσανετίθει τὴν τοῦ Τυπικοῦ ποίησιν, καί με πρὸς τοῦτο παρώρμα τε καὶ

ἠρέθιζεν, ὅτι καὶ αὐτὴν δὴ τὴν μονήν, καὶ τὰ ὑπ' αὐτὴν πάντα, ἔτι δὲ καὶ τὸν αὐτοῦ χοῦν φέρων ἐμοὶ προσανέθετο, εἰ καὶ αὐτός, τοῦτο μὲν εὐλαβούμενος, τὸ δὲ ἀναβολῇ τὸ πλεῖον διδούς, ὑπερετίθη τὴν τοῦ ἐπιτάγματος ἀποπλήρωσιν. Ἦγουν διὰ τοῦτο δίκαιον ἂν εἴη τὰ τῇ μονῇ συντείνοντα διορίσασθαι, ἢ, ἀλλ' ἀπέστω νέμεσις, διὰ τὸ μικρὸν τῷ θεοφιλεῖ τούτῳ ἔργῳ κἀμὲ συνεισενεγκεῖν, εἰ καὶ τοὺς θεμελίους καὶ μικροῦ τὸ πᾶν ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ κατεβάλλετο. Ὁ γὰν τῶν δύο θείη τις, ἐμοὶ τὸ πᾶν ἐπιτρέψοι ἄν, ἐπεὶ καὶ τὸ προθυμεῖσθαι πολλάκις εἰς ἔργον κρίνεται. Ἀποδεκτέος δὲ ἄρα οὐ μόνον ὁ τοὺς ἄθλους αὐτὸς ἀνύων, ἀλλ' ἤδη καὶ ὁ τὸν ἀγῶνα διατιθείς, καὶ ὑπαλείφων τὸν ἀθλητήν. Πρῶτα μὲν οὖν περὶ τῆς τοῦ καθηγουμένου προχειρίσεως τάδε διαταττόμεθα.

Настоящій Типиконъ состоитъ, кромѣ пролога и подписей, изъ 48 главъ, которыя, за весьма немногими исключеніями, и по надписанію, и по расположенію, и даже по тексту почти буквально сходны съ подобными главами Типикона 1162 г. Богородичнаго монастыря τῶν Ἡλίου Βωμῶν. Такъ какъ этотъ послѣдній Типиконъ мы печатаемъ ниже по подлинной патмосской рукописи цѣликомъ, то въ варіантахъ къ нему и отмѣчаемъ всѣ тѣ особенности, какія представляетъ сравнительно съ нимъ Типиконъ монастыря св. Маманта 1159 г. Исключеніе составляетъ лишь 40 глава Типикона монастыря св. Маманта, которая не только разнится во всемъ отъ 40 главы Типикона монастыря τῶν Ἡλίου Βωμῶν, но даже и отъ подобной по содержанію 49 главы. Въ виду этого мы даемъ ей мѣсто здѣсь цѣликомъ:

κεφ'. μ'. Ἐντολὴ πρὸς τοὺς ἀδελφοὺς καὶ τὸν καθηγούμενον περὶ τοῦ πῶς δεῖ γίνεσθαι τὰ ἐτήσια μνημόσυνα τοῦ μακαρίτου αὐθέντου ἡμῶν τοῦ Μυστικοῦ, καὶ νέου δομήτορος. Ἐπεὶ δὲ ἐν τῷ περὶ τοῦ μακαρίτου αὐθέντου ἡμῶν τοῦ Μυστικοῦ καὶ νέου δομήτορος προοιμιαστικῷ λόγῳ τοῦ παρόντος ἡμῶν Τυπικοῦ τὴν πᾶσαν χάριν καὶ δωρεάν, ἔτι δὲ καὶ τὴν τῆς ἁγίας ταύτης μονῆς σύστασιν, καὶ ἐπίδοσιν τούτῳ ἀποδεδώκαμεν, ἢ μᾶλλον εἰπεῖν, αὐτὸς ἡμῖν φιλοπόνως τὰς χάριτας ἐπιδέδωκε, τὴν παροῦσαν αὐτῷ χρηστότητα ἐνδειξάμενος, καὶ τὸ τῆς ψυχῆς ἱλαρὸν ὁμοῦ καὶ φιλόθεον, δεῖν ἔγνωμεν καὶ αὐτός, κἂν μὴ τῆς ἀξίας ἐφικέσθαι ἰσχύσωμεν, τὴν γοῦν ἐφικτὴν τέως ἀμοιβήν, ὡς οἷόν τε, ἀπονεῖμαι τῷ θεοσεβεῖ ἐκείνῳ ἀνδρί· καὶ τοῦτο γὰρ οὐ μικρόν, ὅτι καὶ αὐτὸς αὐτῷ, ὡς ἐνὸν ἀντιχαρι-

ζόμεθα, ὅσον μὲν ἐξὸν προθύμως ἀποδιδόντες, τῆς δὲ κατ' ἀξίαν ἀνταποδόσεως παραχορροῦντες τῷ κρείττονι, ὃς οἶδε μόνος ἀναλόγως ἀπονέμειν τοῖς ἀξίοις τὰς ἀμοιβάς· διὰ δὴ τοῦτο καὶ πατρικὴν ὑμῖν ἐντολήν, ὡς ἐσχάτην παρακαταθήκην, ἀφίημι, ὦ πατέρες καὶ ἀδελφοί, ὥστε τοῦτον μᾶλλον κυρίως καὶ καθαρῶς κτήτορα τῆς μονῆς λογίζεσθαι, καὶ κατὰ πᾶσαν τυπικὴν ἀκολουθίαν ἐκτενῆ προσάγοντες ὑπὲρ αὐτοῦ ἔντευξιν ἐκφωνεῖτε ἑξάκις τὸ Κύριε ἐλέησον ἔν τε τῷ ἑσπερινῷ, τῷ ὄρθρῳ, καὶ τῇ λειτουργίᾳ. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ, καὶ τοῦ ὄρθρου, κατὰ πᾶσαν ἀπολελυμένην ἡμέραν, ἄνευ τῶν κυριακῶν, καὶ τῶν δεσποτικῶν ἑορτῶν, ψάλλεται ἐν τῷ τάφῳ αὐτοῦ τὸ σύνηθες παραστάσιμον, τὸ Μετὰ πνευμάτων δικαίων καὶ τὰ λοιπά· γίνεται δὲ καὶ ἐκτενὴς δέησις ὑπὲρ αὐτοῦ, λεγομένου τοῦ Κύριε ἐλέησον πεντεκαιδεκάκις, ἑκάστῃ δὲ λειτουργίᾳ μία προσφορὰ προσκομιζέσθω ὑπὲρ αὐτοῦ· καὶ οὕτω μὲν ἐν ταῖς καθημεριναῖς συνάξεσιν. Ἑορταζέσθωσαν δὲ ἐτησίως καὶ τὰ τούτου μνημόσυνα διά τε δωδεκαφωτίων δύο, καὶ λαμπάδων τεσσάρων ἐντὸς τοῦ ναοῦ, γινέσθωσαν δὲ καὶ τὰ τῆς φωταψίας τοῦ ναοῦ τῶν συνήθων δαψιλέστερα, καὶ τὸ ὀψώνιον τῶν μοναχῶν διὰ νεαρῶν ἰχθύων ἄχρι μίνσων τριῶν, διδομένης καὶ τῆς συνήθους εὐλογίας· ἔσται καὶ ἡ κανδήλα τοῦ τάφου αὐτοῦ ἀκοίμητος ἐσαεί, καὶ κηρίον ἅπτον κατὰ πᾶσαν ἀκολουθίαν. Τὰ μέντοι μνημόσυνα τοῦ αὐταδέλφου αὐτοῦ κυροῦ Θεοχαρίστου, καὶ τῆς τούτου συμβίου, κυρὰς Ζωῆς τῆς Δαλασηνῆς, ὀφείλουσι γίνεσθαι, καθὼς αὐτοὶ ἐγγράφως διατάξονται. Ναὶ μὴν ἀλλὰ καὶ τῶν ὅσοι τι μνήμης ἄξιον τῇ μονῇ περιεποιήσαντο, καὶ μνημονεύεσθαι παρ' ἡμῶν τετυπώκασιν, ἐτησίως τὰ τούτων μνημόσυνα γίνεσθαι κατὰ τὰς περιλήψεις τῶν συμφωνιῶν αὐτῶν· καὶ τῶν ἀδελφῶν δὲ πάντων τῆς μονῆς ὁμοίως, ὧν δὴ πάντων ὁμοῦ τὰ ὀνόματα τοῖς διπτύχοις ἐνεγράφησάν τε καὶ ἐγγραφήσονται, δήλης πάντως καὶ τῆς ἑκάστου τούτων γινομένης τελευτῆς ἐκ τῆς εἰς τὸ Συναξάριον γραφῆς· οὐ μόνον δέ, ἀλλὰ καὶ τοῦ νεωστὶ τελευτήσαντος ἀδελφοῦ καθ' ἑκάστην ἀνὰ πᾶσαν σύναξιν τὴν ἀνάμνησιν γίνεσθαι ἐν ταῖς ἐκτενέσι δεήσεσιν ἄχρι τῶν τεσσαρακοστῶν αὐτοῦ, καθὼς ἀνωτέρῳ πλατύτερον διείληπται.

Послѣ 48 главы Типикона слѣдуютъ αἱ ὑπογραφαί:

Τὸ παρὸν Τυπικὸν μετὰ καὶ εἰδήσεως ἡμετέρας προβὰν ἐκ προτροπῆς τοῦ μακαρίτου ἐκείνου αὐθέντου καὶ αὐταδέλφου μου, τοῦ Μυστικοῦ κυροῦ Γεωργίου, παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος, μοναχοῦ κυροῦ Ἀθανασίου τοῦ Φιλανθρωπινοῦ, ὑπεγράφη καὶ παρ' ἐμοῦ, ὡς ἔθος ἔχω

τοῦ ὑπογράφειν, κατὰ μῆνα νοέμβριον, ἰνδικτιῶνος ζ'. ἔτους ,ϛχξζ'. Ὁ δοῦλος τοῦ βασιλέως Θεοχάριστος ὁ Καππαδόκης. Ὁ ταπεινὸς Ἀθανάσιος ὁ Φιλανθρωπινὸς καὶ εὐτελὴς καθηγούμενος τῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος τὸ παρὸν Τυπικὸν ἐκθέμενος κατ' ἐπιταγὴν τοῦ μακαρίτου ἐκείνου μεγαλοδοξοτάτου αὐθέντου ἡμῶν, καὶ νέου δομήτορος τῆς καθ' ἡμᾶς μονῆς, κυροῦ Γεωργίου τοῦ Καππαδόκη, τοῦ διὰ τοῦ μοναχικοῦ σχήματος Γρηγορίου μετονομασθέντος, ἔτι γε μὴν καὶ κατὰ θέλησιν τοῦ νῦν περιόντος μεγαλεπιφανεστάτου αὐταδέλφου ἐκείνου κυροῦ Θεοχαρίστου, τοῦ καὶ ἄνωθεν ἐν τούτῳ οἰκειοχείρως ὑπογράψαντος, ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ [1]), ὑπέγραψα κατὰ μῆνα νοέμβριον, ἰνδικτιῶνος ζ'. ἔτους ,ϛχξζ'. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς εὐτελὴς μοναχὸς Γρηγόριος καὶ οἰκονόμος. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος εὐτελὴς μοναχὸς Θεοδώρητος καὶ ἐκκλησιάρχης. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος Σάββας μοναχὸς καὶ ἱερεύς. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς Καλλίνικος μοναχὸς καὶ ἱερεύς. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς Καλλίνικος ἱερεὺς καὶ μοναχός [2]). Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς Λεόντιος μοναχὸς καὶ ἱερεύς. Ὁ ἀπὸ τῆς ἁγίας μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος Ἀθανάσιος μοναχὸς καὶ εὐτελὴς διάκονος. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς εὐτελὴς μοναχὸς Βασίλειος [3]) καὶ δοχειάριος οἰκειοχείρως ὑπέγραψα. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς Ἡσαΐας μοναχός. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς Ἰωσὴφ μοναχὸς καὶ σκευοφύλαξ. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς τοῦ ἁγίου Μάμαντος Κύριλλος εὐτελὴς μοναχός. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς Κλήμης εὐτελὴς μοναχός. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς εὐτελὴς μοναχὸς Συμεών. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς εὐτελὴς μοναχὸς Νεόφυτος. Ὁ εὐτελὴς μοναχὸς Ἀντώνιος, ὁ ἀπὸ τῆς αὐτῆς μονῆς. Ὁ εὐτελὴς μοναχὸς Νικηφόρος, ὁ ἀπὸ τῆς αὐτῆς μονῆς. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς εὐτελὴς μοναχὸς Γεώργιος.

Οἱ διὰ σιγνογραφίας ὑπογράψαντες [4]). Σίγνον τοῦ μοναχοῦ Λουκᾶ, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον τοῦ μοναχοῦ Ἱλαρίωνος, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον Θεοδοσίου μοναχοῦ, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον Μελετίου μοναχοῦ, τοῦ ἀμπελιργοῦ, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον Βασιλείου μοναχοῦ, τοῦ ἀμπελιργοῦ, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς.

---

[1]) Слова: ἐπὶ τῆς βασιλείας Μανουὴλ τοῦ Κομνηνοῦ опущены проф. Θ. И. Успенскимъ. [2]) У него же эта подпись опущена. [3]) Опущено имя. [4]) Эти лица проф. Θ. И. Успенскимъ лишь перечислены въ примѣчаніи.

Σίγνον Γερασίμου μοναχοῦ, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον Ἰωαννικίου μοναχοῦ, τοῦ στρατέως, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον Μελετίου μοναχοῦ τοῦ Μαγκιπ...[1]), τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον Σάββα μοναχοῦ, τοῦ πορτάρη, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Σίγνον τοῦ μοναχοῦ Ἱλαρίωνος, τοῦ κηπουροῦ, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς. Ὁ ἀπὸ τῆς αὐτῆς μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος εὐτελὴς μοναχὸς Κύριλλος.

Ἔχει καὶ δικαστικὴν ἐπιβεβαίωσιν, οὕτω πως ἔχουσαν. Τὸ παρὸν Τυπικὸν ὀφείλει ἔχειν τὸ ἰσχυρὸν καὶ βέβαιον εἰς τὸν αἰῶνα τὸν ἅπαντα, καὶ μὴ παρά τινος μεταποιεῖσθαι, ἢ ἀθετεῖσθαι, ὡς καὶ σημείωμα ἐπ' αὐτῷ ἡμῶν ποιησάντων. Μηνὶ ἰανουαρίῳ, ἰνδικτιῶνος ιβ'. ἔτους ,ϛχοβ'. Ὁ κοιαίστωρ καὶ νομοφύλαξ Θεόδωρος ὁ Παντεχνής. Ἀπηώρηντο καὶ ἔξωθεν τοῦ βιβλίου, πλαγίως ἐν τῇ τῶν τετραδίων δέσει, βοῦλλαι δύο, περιέχουσαι ὑφ' ἑαυτὰς τὰ ὅλα τετράδια, ὧν ἡ μὲν μία τοῦ τοιούτου ἦν δικαστοῦ γράψασα οὕτω: γραφῶν σφράγισμα Παντεχνῆ Θεοδώρου· ἡ δὲ ἑτέρα τοῦ ἐντὸς δηλωμένου τιμιωτάτου μοναχοῦ, κυροῦ Ἀθανασίου τοῦ Φιλανθρωπινοῦ, καὶ καθηγουμένου τῆς μονῆς, σφραγίζουσα οὕτως: γραφῶν μοναχοῦ σφραγὶς Ἀθανασίου.

Τὸ δὲ τοιοῦτον βιβλίον, ἤτοι τὸ Τυπικόν, ὑπάρχει ἐνδεδυμένον διὰ βλαττίου, ἔχον κομβοθήκην ἀργυρᾶν θ'. ἀμυγδάλων ὀκτώ, καὶ βούλλας στρογγύλας ις'. τὰ ἀμφότερα ἀργυρᾶ. Τὸ δὲ γεγονὸς σημείωμα ἐπὶ τῇ τούτου βεβαιώσει ἔχει οὕτως· μηνὶ ἰανουαρίῳ ε'. ἡμέρᾳ α'. ἰνδικτιῶνος ιβ'. Παρουσίᾳ τοῦ πανεντιμωτάτου ἀρχιμανδρίτου καὶ καθηγουμένου τῆς σεβασμίας μονῆς τῶν Στουδίων, κυροῦ Θεοφυλάκτου, τοῦ μεγαλεπιφανεστάτου γραμματικοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ Ἰωάννου τοῦ αὐθέντου, τοῦ Κουροπαλάτου κυροῦ Ἰωάννου τοῦ Μαυρικ...[2]), τοῦ τιμιωτάτου μοναχοῦ καὶ οἰκονόμου τῆς μονῆς τῶν Στουδίων, κυροῦ Θεοδοσίου, τοῦ μοναχοῦ Παύλου καὶ πρωτοπαπᾶ τῆς σεβασμίας μονῆς τῆς Περιβλέπτου, τοῦ μοναχοῦ Θεοδούλου, τοῦ ἀπὸ τῆς αὐτῆς μονῆς, τῶν ἀπὸ τῆς σεβασμίας μονῆς τοῦ Στουδίου μοναχῶν Ἀκακίου ἱερέως, Βαρνάβα ἱερέως, τοῦ Φιλαρέτου, τοῦ Μιχαὴλ καὶ τοῦ Κυρίλλου, μετακληθέντες τὴν σήμερον εἰς τὴν σεβασμίαν μονὴν τοῦ περιωνύμου ἁγίου μάρτυρος Μάμαντος, τὴν κατάντικρυ μὲν τῆς κοινοβιακῆς γυναικείας μονῆς τῆς Ἀρειστηνῆς διακειμένην, πλησίον δὲ τῆς σεβασμίας μονῆς τοῦ Ἰασίτου, εὑρομεν ἐν τῷ κυριακῷ ἠθροισμένους τόν τε τιμιώ-

[1]) Слово это въ рукописи не дописано. Проф. Θ. И. Успенскій не упоминаетъ объ имени Мелетія монаха. [2]) Не дописано это слово.

τατον μοναχὸν καὶ καθηγούμενον τῆς αὐτῆς μονῆς, κύριον Ἀθανάσιον τὸν Φιλανθρωπινὸν καὶ τοὺς ὑπ' αὐτὸν μοναχούς, τοὺς ἐφεξῆς κατ' ὄνομα δηλωθησομένους. Ἔφασαν οὖν οἱ τῆς ῥηθείσης μονῆς μοναχοί, παρόντος καὶ τοῦ τιμιωτάτου καθηγουμένου αὐτῶν, ὅτι ἡ μονὴ τοῦ ἁγίου Μάμαντος, πρότερον ὑπὸ τὰ πατριαρχικὰ δίκαια οὖσα, παρὰ τῶν κατὰ καιροὺς πατριαρχῶν διαφόροις ἐδίδοτο χαριστικαρίοις, ἀφ' ὧν οἱ πλείους ὡς ἀγρῷ κατεχρῶντο τῷ μοναστηρίῳ, καὶ οὐδὲν ἕτερον ἀνεζήτουν, ἀλλ' ἢ τί μέλλουσι κερδᾶναι ἐξ αὐτοῦ, ἐπιμέλεια δὲ τῆς μονῆς καὶ τῶν περὶ αὐτὴν οὐδεμία ἦν, διὸ καὶ κατήντησε τὰ τῆς τοιαύτης μονῆς εἰς τὸ μηδέν· αἵ τε γὰρ οἰκοδομαὶ πᾶσαι τῶν περὶ τὴν μονὴν εἰς γῆν κατέπεσον, μόνου ὑπολειφθέντος τοῦ ναοῦ, κἀκείνου ἀστέγου, καὶ οἱ μοναχοὶ εἰς δύο περιέστησαν· καὶ οὗτοι μὴ τῷ μοναστηρίῳ περικαθήμενοι, ἀλλὰ περιοδεύοντες, καὶ ἀναζητοῦντες τὰ πρὸς τὴν καθ' ἡμέραν ζωάρκειαν. Τελευταῖον ἀνετέθη ἡ αὐτὴ μονὴ τῷ μακαρίτῃ Μυστικῷ ἐκείνῳ, κυρῷ Γεωργίῳ τῷ Καππαδόκῃ, ὡς χαριστικαρίῳ, παρὰ τοῦ γεγονότος πατριάρχου ἐκείνου κυροῦ Κοσμᾶ. Παραλαβὼν οὖν τὰ τῆς μονῆς ὁ Μυστικός, καὶ ἰδὼν αὐτὴν εἰς παντελῆ ἐρήμωσιν καταντήσασαν, καὶ αὐτὸ τὸ εἶναι μονὴν σχεδὸν ἀπολέσασαν, ζήλῳ θείῳ παρακινηθείς, ἠθέλησεν ἐπανορθῶσαι τὰ τῆς μονῆς, καὶ εἰς τὴν προτέραν ταύτην ἐπαγαγεῖν κατάστασιν, ἢ καὶ κρείττονα. Ὑποπτεύσας δὲ φόβον οὐκ ἄλογον, μή ποτε πάλιν μετὰ τὸν θάνατον αὐτοῦ, ἢ καὶ τοῦ μετ' αὐτὸν τὴν τοιαύτην μονὴν ἀναδεξαμένου, εἰς χεῖρας ἐμπέσῃ χαριστικαρίου κατὰ τοὺς πρότερον, καὶ χρήσηται τῷ μοναστηρίῳ, ὡς ἐκεῖνος, τὰς μὲν τούτου προσόδους ἀναζητῶν, ἐπιμέλειαν δὲ τῆς μονῆς οὐδεμίαν ποιούμενος, καὶ ἀπολέσῃ τὰ παρ' αὐτοῦ γενησόμενα δαπανήματα, προσῆλθε τῷ γεγονότι πατριάρχῃ, κυρῷ Νικολάῳ τῷ Μουζάλλωνι, καὶ ἐζήτησεν ἐλευθερωθῆναι τὴν μονήν, καὶ τῶν πατριαρχικῶν ἀπολυθῆναι δικαίων, ὃ καὶ γέγονε, τῇ τοῦ μεγαλεπιφανεστάτου Μυστικοῦ αἰτήσει, τοῦ πατριάρχου ἐκείνου πειθαρχήσαντος, καὶ γέγονεν ὑπόμνημα ἐπὶ τῇ ἐλευθερίᾳ τῆς τοιαύτης μονῆς. Αὕτη ἡ τῆς ἐλευθερίας ὑπόθεσις διήγειρε τὴν προθυμίαν τοῦ Μυστικοῦ· θαῤῥήσας οὖν ὅτι ἀπὸ τοῦ νῦν οὐκ εἰς μάτην μέλλει δαπανῆσαι, οὐδὲ αἱ παρ' αὐτοῦ γενησόμεναι βελτιώσεις εἰς τὸ μηδὲν μέλλουσι καταντῆσαι, χειρὶ δαψιλεστέρᾳ τὴν τούτου σχεδὸν πᾶσαν περιουσίαν εἰς ἀνόρθωσιν τῆς μονῆς, καὶ τῶν τῆς μονῆς κατεβάλετο, συνεργῷ πρὸς τοῦτο χρησάμενος καὶ τῷ σημερον τιμιωτάτῳ καθηγουμένῳ τῆς αὐτῆς μονῆς. Οὗτος γὰρ τὸ φορτίον ἅπαν ἀναδεξάμενος, οὐκ ἐφείσατο ἑαυτοῦ ἀνενδότοις πόνοις πρὸς τὴν τῆς μονῆς κατεπειγόμενος σύστασιν· καὶ ἡ μὲν δαπάνη ἐχορηγεῖτο

παρὰ τοῦ Μυστικοῦ, ἡ δὲ τῶν πραγμάτων ἐπιμέλεια καὶ ἑκάστη κατὰ μέρος φροντὶς διὰ τοῦ καθηγουμένου ἠνύετο, αὐτοῦ ἐπιστατοῦντος τοῖς πράγμασι, μὴ συγχωροῦντος τὰ δαπανώμενα εἰς κενὸν καταβάλλεσθαι, ἀλλ' ἐφ' ἑκάστου τῶν γινομένων ἀποτελεῖσθαι τὸ κάλλιστον. Τῶν γοῦν οἰκοδομῶν γινομένων, καὶ μήπω τοῦ μοναστηρίου ἀπαρτισθέντος, ἐτελεύτησεν ὁ μακαρίτης ἐκεῖνος Μυστικός, Θεῷ τὴν μονὴν ἀναθέμενος, καὶ τῷ μεγαλεπιφανεστάτῳ ἐκείνῳ αὐταδέλφῳ αὐτοῦ, κυρῷ Θεοχαρίστῳ Καπαδόκῃ, καὶ αὐτῷ τῷ καθηγουμένῳ, καὶ εἰς τὸ ἑξῆς τὴν ταύτης διαγωγὴν καὶ σύστασιν παρακελευσάμενος διὰ τοῦ αὐτοῦ καθηγουμένου γενέσθαι, καὶ τὸ Τυπικὸν τῆς μονῆς, ᾧ ἀκολούθως μέλλουσι τὰ τῆς μονῆς καὶ οἱ ἐν αὐτῇ μοναχοὶ διεξάγεσθαι. Μετὰ γοῦν τὸν τοῦ Μυστικοῦ θάνατον πλείους τῶν προτέρων οἰκοδομαὶ γεγόνασι, καὶ λαμπρότεραι· ἥτε γὰρ τράπεζα ἐκ βάθρων ἀνεγήγερται, λουτρὸν ἐπῳκοδομήθη εἵς τε τὴν τῶν μοναχῶν παρηγορίαν, ἀλλὰ καὶ πρόσοδον τῇ μονῇ περιποιούμενοι, καὶ ἄλλα οὐκ ὀλίγα ἐκ καινῆς γεγόνασιν ἔργα θαύματος ἄξια, καὶ ἀρκοῦντα εἰς παράστασιν, ὅτι προσεδέξατο ὁ Θεὸς τὴν τοῦ μακαρίτου ἐκείνου Μυστικοῦ πρόθεσιν καὶ προσαγωγήν· οὐ γὰρ ἂν τοιούτῳ ἀνδρὶ τὰ ἐκείνου μετὰ τὸν ἐκείνου ἐνεπιστεύσατο θάνατον. Γέγονεν οὖν καὶ τὸ Τυπικὸν κατὰ μῆνα νοέμβριον, ἰνδικτιῶνος ζ'. ἔτους ,ϛχξζ'. ἐν ᾧ ὑπέγραψαν ὅ τε μακαρίτης ἐκεῖνος κῦρις Θεοχάριστος, καὶ αὐτὸς ὁ καθηγούμενος. Ἐνεχειριάσθη οὖν ἡμῖν τὸ τοιοῦτον Τυπικὸν παρὰ τῶν μοναχῶν, παρόντος καὶ αὐτοῦ τοῦ καθηγουμένου, καὶ τὴν οἰκείαν ὑπογραφὴν αὐτοῦ γινώσκοντος [1]). Ἦν δὲ τὸ τοιοῦτον Τυπικόν, οὕτως ἔχον ἐν προοιμίοις: „Μέγα τι καὶ θεῖον χρῆμα ψυχὴ φιλόθεος καὶ φιλόπτωχος", ἐν δὲ τῷ τέλει οὕτως: „Ἀρκεῖ ταῦτα τῇ εὐλαβείᾳ σου, εὔχου δὲ διὰ τὸν Κύριον ὑπὲρ ἐμοῦ τοῦ ἐσκοτισμένου, τοῦ γράψαντος μέν, μὴ πράξαντος δέ· καὶ ἡ χάρις τοῦ Φιλανθρώπου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τῶν πρεσβειῶν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Μάμαντος, εἴη μετὰ σοῦ καὶ ἡμῶν, ἀμήν". Ἦσαν δὲ τὰ ὅλα φύλλα τοῦ Τυπικοῦ ἑξήκοντα πρὸς τῷ ἑνί. Μετὰ δὲ τὸ συμπλήρωμα ἔγραφε ταῦτα: „Τὸ παρὸν Τυπικὸν μετὰ εἰδήσεως ἡμετέρας προβὰν ἐκ προτροπῆς τοῦ μακαρίτου ἐκείνου αὐθέντου καὶ αὐταδέλφου μου, τοῦ Μυστικοῦ κυροῦ Γεωργίου, παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος, μοναχοῦ κυροῦ Ἀθανασίου τοῦ Φιλανθρωπινοῦ, ὑπεγράφη παρ' ἐμοῦ [2]), ὡς ἔθος ἔχω τοῦ

[1]) Проф. Θ. И. Успенскій читаетъ: ἐπιγινώσκοντος. [2]) Тамъ же опущены слова: παρ' ἐμοῦ, ὡς ἔχω τοῦ ὑπογράφειν.

ὑπογράφειν, κατὰ μῆνα νοέμβριον, ἰνδικτιῶνος ἑβδόμης, ἔτους ,ςχξζ'". Ὁ δοῦλος τοῦ βασιλέως Θεοχάριστος ὁ Καππαδόκης, καὶ μετ' αὐτὸν ἡ τοῦ καθηγουμένου ὑπογραφή, οὕτως ἔχουσα: „ὁ ταπεινὸς μοναχὸς Ἀθανάσιος ὁ Φιλανθρωπινός, καὶ εὐτελὴς καθηγούμενος τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος, τὸ παρὸν Τυπικὸν ἐκθέμενος κατ' ἐπιταγὴν τοῦ μακαρίτου μεγαλοδοξοτάτου αὐθέντου ἡμῶν, καὶ νέου δομήτορος τῆς καθ' ἡμᾶς μονῆς, κυροῦ Γεωργίου τοῦ Καππαδόκη, τοῦ διὰ τοῦ μοναχικοῦ σχήματος Γρηγορίου μετονομασθέντος, ἔτι γε μὴν καὶ κατὰ θέλησιν τοῦ νῦν περιόντος μεγαλεπιφανεστάτου αὐταδέλφου ἐκείνου κυροῦ Θεοχαρίστου, τοῦ καὶ ἄνωθεν ἐν τούτῳ οἰκειοχείρως ὑπογράψαντος, ὑπέγραψα, κατὰ μῆνα νοέμβριον, ἰνδικτιῶνος ζ'. ἔτους ,ςχξζ'". Μετ' αὐτοὺς δὲ ὑπέγραψαν οἱ ἀπὸ τῆς αὐτῆς μονῆς μοναχοί [1]: Ὁ μοναχὸς Γρηγόριος καὶ οἰκονόμος, ὁ μοναχὸς Θεοδώρητος καὶ ἐκκλησιάρχης, ὁ μοναχὸς Σάββας καὶ ἱερεύς, ὁ μοναχὸς Καλλίνικος καὶ ἱερεύς, ὁ ἕτερος Καλλίνικος καὶ ἱερεύς, Λεόντιος μοναχὸς καὶ ἱερεύς, Ἀθανάσιος μοναχὸς καὶ διάκονος, Βασίλειος μοναχὸς καὶ δοχειάριος, Ἰωσὴφ μοναχός, ὁ σκευοφύλαξ, Κλήμης μοναχός, Συμεὼν μοναχός, Νεόφυτος μοναχός, Ἀντώνιος μοναχός, Γεώργιος μοναχός. Διὰ σιγνογραφίας δὲ ὑπέγραψαν μοναχοὶ δέκα: ὁ μοναχὸς Λουκᾶς, ὁ μοναχὸς Ἱλαρίων, ὁ μοναχὸς Θεοδόσιος, ὁ μοναχὸς Μελέτιος, ὁ ἀμπελουργός, ὁ μοναχὸς Βασίλειος, ὁ ἀμπελουργός, ὁ μοναχὸς Γεράσιμος, ὁ μοναχὸς Ἰωαννίκιος, ὁ μοναχὸς Μελέτιος, ὁ μοναχὸς Σάββας, ὁ καὶ πορτάρης, ὁ μοναχὸς Ἱλαρίων, ὁ κηπουρός, τελευταῖος δὲ ὑπέγραψεν ὁ μοναχὸς Κύριλλος.

Ἦν δὲ τὸ τοιοῦτον βιβλίον ἐσφραγισμένον διὰ μολυβδίνης βούλλης τοῦ αὐτοῦ καθηγουμένου, ἐχούσης γράμματα ἐν ἑκατέροις τοῖς μέρεσι γράφοντα: „Γραφῶν μοναχοῦ σφραγὶς Ἀθανασίου". Ὁ Τυπικὸν καὶ ἡμεῖς ἐπεσφραγίσαμεν δι' ἡμετέρας μολυβδίνης σφραγίδος, γραφούσης ἐν ἑκατέροις τοῖς μέρεσι: „Γραφῶν σφράγισμα Παντεχνῆ [2]) Θεοδώρου". Ὑπεγράψαμεν δὲ καὶ μετὰ τὴν τοῦ τελευταίου μοναχοῦ ὑπογραφήν, βεβαιώσαντες τὸ τοιοῦτον Τυπικόν, ὡς ἂν ἔχῃ καὶ ἐφεξῆς τὸ αὐτόπιστον, πρὸ τῆς ὑπογραφῆς γράψαντες: „Ὀφείλει τὸ τοιοῦτον Τυπικὸν τὸ ἰσχυρὸν ἔχειν καὶ βέβαιον εἰς τὸν αἰῶνα τὸν ἅπαντα, καὶ μὴ παρά τινος μεταποιεῖσθαι, ἢ ἀθετεῖσθαι, ὡς καὶ

---

[1]) Проф. Ѳ. И. Успенскій объ этихъ подписяхъ замѣтилъ только: „перечень ихъ какъ выше" („Типикъ мон. св Маманта въ Констант." стр. 25 прим. 1), но въ дѣйствительности здѣсь отсутствуютъ имена монаховъ Исаіи и Кирилла, о чемъ ниже (стр. 714) и оговорено прямо. [2]) У Ѳ. И. Успенскаго – Παντεχνοῦς.

σημείωμα ἐπ' αὐτῷ ποιήσαντες". Τὸ τοιοῦτον Τυπικὸν κοινῶς ἅπαντες οἱ μοναχοί, σὺν αὐτῷ τῷ καθηγουμένῳ, ἐφθέγξαντο ἐθέλειν βέβαιον, καὶ ἀμετακίνητον συντηρεῖσθαι κατὰ τὸ διηνεκές, καὶ μέχρις ἂν τό δε τὸ πᾶν συνίσταται, καὶ κατ' αὐτὸ οἰκονομεῖσθαι τὰ τῆς μονῆς, καὶ τοὺς ἑπομένους μέχρι τῆς τοῦ παντὸς συστάσεως ἡγουμένους, οἰκονόμους καὶ λοιποὺς μοναχοὺς ἀκολούθως αὐτῷ πολιτεύεσθαι· τὸν δέ γε ἐπιχειρήσοντα [1]) ἀνατρέψαι τι τῶν τοῦ Τυπικοῦ, καὶ πρὸς ἐναντίωσιν τούτου χωρῆσαι, ἀπεντεῦθεν ἐκδιώκεσθαι τῆς μονῆς, πρὸς μηδεμίαν βοήθειαν καταφεύγοντα, διὰ τὸ ἐναντιοῦσθαι τοῦτον τῷ ὁρισμῷ τῶν κτητόρων [2]); ἅτε τοῦ Τυπικοῦ τοῦ ῥηθέντος μοναχοῦ καὶ καθηγουμένου γεγονότος κατὰ προτροπὴν μὲν τοῦ Μυστικοῦ, ὡς προτρεψαμένου διὰ τοῦ καθηγουμένου τοῦτο γενέσθαι, ἀρεσκείᾳ δὲ καὶ τοῦ μεγαλεπιφανεστάτου κυροῦ Θεοχαρίστου, ὡς ὑπογράψαντος ἐν αὐτῷ, ᾧτινι κυρῷ Θεοχαρίστῳ, καὶ αὐτὸς ὁ μακαρίτης Μυστικὸς τὴν τῆς μονῆς φροντίδα καὶ ἐφορίαν ἀνέθετο. Ἐπεὶ δὲ καὶ ἀπὸ τῶν τῆς τοιαύτης μονῆς μοναχῶν δύο μοναχοὶ ἀπελιμπάνοντο, ὅ τε μοναχὸς Ἡσαΐας, καὶ ὁ μοναχὸς Κύριλλος, εἰάθη τόπος, κατὰ τὸν ἀνήκοντα τούτοις βαθμόν, ὥστε ὑπογράψαι αὐτοὺς μετὰ τὸ ἐπανελθεῖν, καὶ μηδένα ὑπολειφθῆναι τῶν τῆς τοιαύτης μονῆς ἀδελφῶν, μὴ ἐν τῷ τοιούτῳ Τυπικῷ συναινέσαντα, καὶ ὑπογράψαντα. Ταῦτα παρεκβληθέντα, καὶ συνήθως πιστωθέντα, ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις ἔτους ,ςχοζ' [3]).

Ἡ ὑπογραφή:

Ὁ κοιαίστωρ καὶ νομοφύλαξ Θεόδωρος ὁ Παντεχνής, ἀπῃώρητο δὲ καὶ ἡ συνήθης αὐτοῦ μολυβδινὴ βοῦλλα.

Ὁ πρωτονοτάριος καὶ μέγας λογάριος [4]) τὰ παρόντα ἴσα τοῦ τε πρωτοτύπου Τυπικοῦ, καὶ τοῦ γεγονότος σημειώματος, ἐκ θελήσεως τοῦ τε καθηγουμένου, καὶ τῶν λοιπῶν μοναχῶν παρὰ τοῦ μεγαλεπιφανεστάτου κοιαίστορος ἀντιβληθέντα μετὰ τοῦ πρωτοτύπου, ὑπέγραψα.

Ὁ κοιαίστωρ καὶ νομοφύλαξ Θεόδωρος ὁ Παντεχνὴς τὰ παρόντα ἴσα τοῦ τε πρωτοτύπου Τυπικοῦ, καὶ σημειώματος τοῦ παρ' ἐμοῦ γεγονότος, ἀντιβαλών, ὅμοια μετὰ τοῦ πρωτοτύπου καὶ ἰσάζοντα εὑρών, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ βήλου Ἰωάννης ὁ Μανοὺς τὰ παρόντα ἴσα τοῦ τε πρωτοτύπου Τυπικοῦ, καὶ τοῦ γεγονότος σημειώματος, ἐκ θελήσεως τοῦ τε καθηγουμένου, καὶ τῶν λοιπῶν μοναχῶν παρὰ τοῦ μεγαλεπιφανεστάτου κοιαίστορος ἀντιβληθέντα μετὰ τῶν πρωτοτύπων, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ βήλου καὶ ἐπὶ τοῦ ἱπποδρόμου Θωμᾶς ὁ Ἁπλούχης τὰ παρόντα ἴσα τοῦ τε πρωτοτύπου Τυπικοῦ, καὶ τοῦ γεγονότος σημειώ-

[1]) Тамъ же ἐπιχειρηθέντα [2]) κτιστῶν [3]) ἔτει 6672 [4]) λογαριστής.

ματος, ἐκ θελήσεως τοῦ τε τιμιωτάτου [1]) καθηγουμένου, καὶ τῶν λοιπῶν μοναχῶν παρὰ τοῦ μεγαλοδοξοτάτου [2]) κοιαίστορος ἀντιβληθέντα μετὰ τῶν πρωτοτύπων, ὑπέγραψα.

Ὁ κριτὴς τοῦ βήλου καὶ ἐπὶ τοῦ ἱπποδρόμου Λέων ὁ Μοναστηρίτης τὰ παρόντα ἴσα τοῦ τε πρωτοτύπου Τυπικοῦ, καὶ τοῦ γεγονότος σημειώματος, ἐκ θελήσεως τοῦ τε τιμιωτάτου καθηγουμένου, καὶ τῶν λοιπῶν μοναχῶν παρὰ τοῦ μεγαλοδοξοτάτου κοιαίστορος ἀντιβληθέντα μετὰ τῶν πρωτοτύπων, ὑπέγραψα [3]).

G) (л. 4][4]) ΤΥΠΙΚΟΝ τῆς σεβασμίας ΜΟΝΗΣ τῆς ὑπεραγίας ΘΕΟΤΟΚΟΥ ΤΩΝ ΗΛΙΟΥ ΒΩΜΩΝ ΗΤΟΙ ΤΩΝ ΕΛΕΓΜΩΝ, τῆς διακειμένης μὲν ἐν τοῖς μέρεσι τῆς Ἀνατολῆς, ἐν τῷ θέματι Ὀψικίου, ὑπὸ τὴν ἐνορίαν τοῦ Καταβολίου, τῆς ὑπὸ τὴν ἐξουσίαν οὔσης πρότερον τῆς ἁγιωτάτης Μεγάλης Ἐκκλησίας, ἐλευθερωθείσης δὲ δι' ὑπομνήματος πατριαρχικοῦ, τοῦ καὶ ἐπικυρωθέντος ὄπισθεν διὰ τῆς βασιλικῆς καὶ θείας χειρός, καὶ τῇ κηρίνῃ βούλλῃ, ἐκτεθὲν κατὰ θέλησιν καὶ ἀρέσκειαν ἐμοῦ, τοῦ καὶ ἐλευθερώσαντος αὐτὴν Νικηφόρου, τοῦ γεγονότος Μυστικοῦ, ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου, καὶ εὐτυχεστάτου, καὶ ἀνδρικωτάτου, καὶ ἐκ Θεοῦ ἐστεμμένου πορφυρογενοῦς αὐτοκράτορος κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ, φέρον ὑποτύπωσιν τῆς διαγωγῆς τῶν ἐν αὐτῇ μελλόντων διάγειν μοναχῶν, καὶ παντοίαν ἄλλην διαγωγὴν καὶ κατάστασιν· ὥστε κατ' αὐτὸ διακυβερνᾶσθαι καὶ (об.] διεξάγεσθαι αὐτήν τε τὴν πρωτότυπον μονὴν τῶν Ἐλεγμῶν, τό τε ἐν τῇ βασιλευού(σ)ῃ ὂν μετόχιον αὐτῆς, καὶ πάντα τὰ κατ' αὐτήν τε καὶ ὑπ' αὐτήν, γενόμενον κατὰ μῆνα.... ἰνδικτιῶνος... ἐν ἔτει τῷ ϛτχϛ'.

---

[1]) Слово это опущено [2]) μεγαλεπιφανεστάτου. [3]) Въ концѣ Типикона Проф. Θ. И. Успенскій напечаталъ и приложеніе (προσθήκη) къ нему, въ которомъ говорится о передачѣ двухъ экземпляровъ настоящаго Типикона и подлинныхъ актовъ монастыря св. Маманта на храненіе въ обитель Филантропа, и опредѣляются условія, на коихъ монастырь св. Маманта можетъ брать ихъ по нуждѣ для пользованія ими не болѣе, впрочемъ, какъ на три дня. „Типикъ мон. св. Маманта въ Константинополѣ" стр. 27—30. [4]) Первые три листа рукописи содержатъ оглавленіе (πίναξ) Типикона, которое мы опускаемъ въ виду того, что тоже оглавленіе имѣется потомъ на каждой главѣ отдѣльно.

Рукопись № 265 патмосской библіотеки въ 8 долю листа, 74 листа, писана на пергаменѣ красивою и четкою скорописью 1162 года.

Ὅτι μηδὲ τοῦτο τῶν ἀποβλήτων παρὰ Θεῷ, εἴ τις εὐχαριστῶν εὑρίσκεται πρὸ προσώπου αὐτοῦ, καὶ ἄπονον ταύτην ἀντεισάγει δόσιν, ἐφ' οἷς εἰς τοσοῦτον εὖ ἔπαθε τὴν ἀνθομολόγησιν· Ἰδοὺ καὶ αὐτὸς ἐν συντριβῇ καρδίας προσπίπτω αὐτῷ, μεγαλύνω τὰς δυναστείας αὐτοῦ, καὶ ἐκπλήττομαι τὰς ἀβύσσους τῆς εὐσπλαγχνίας· δοξάζω τὴν ἀγαθότητα, ὑμνῶ τὴν μεγαλωσύνην τῆς δόξης, καὶ γνώμην εὐχάριστον, ὑπὲρ ὧν μετ' ἐμοῦ ἐποίησεν ἔλεος ἀντιδίδωμι, καὶ ταύτην θυσίαν ὑπὲρ μόσχον νέον, καὶ ὑπὲρ εἴ τι πᾶν ἄλλο, ὁλοκαυτοῦμαι ἐναντίον αὐτοῦ. Τί γὰρ ἄν τις τῶν ἁπάντων καὶ προσενέγκοι (л. 5] αὐτῷ; ἐπεὶ τῆς αὐτοῦ δεσποτείας τὰ πάντα, καὶ οὐδὲν τὸ μὴ γινώσκων αὐτήν. Εὐγνωμοσύνῃ λοιπὸν ἀπομηχανῶμαι τὸν ἔλεον, καὶ προαιρέσει τὴν αὐτοῦ φιλανθρωπίαν ἀνακαλοῦμαι, καὶ ὧν μοι δέδωκε, τῷ κρείττονι καὶ ἱερωτέρῳ, τὸ ζέον τῆς προθυμίας, ἐνδείκνυμι, τῶν περιελθόντων μοι πάντων τὸ τιμιώτερον ἐκλεξάμενος ἤδη προσαφωδιοῦμαι καὶ ἀνατίθημι τῇ πανυμνήτῳ καὶ ἀειπαρθένῳ Μητρὶ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ· τοῦτο μὲν εἰς διαιωνίζον μνημόσυνον τῶν αὐθεντῶν μου καὶ βασιλέων, τοῦτο δὲ καὶ εἰς ἐξίλασμα καὶ κουφισμὸν τοῦ βάρους τῶν ἐγκλημάτων μου. Ἀλλὰ πρὸς τί ταῦτα; καὶ τί τοῦ λόγου βούλεται τὸ προοίμιον; Τὰ ἑξῆς δηλώσει.

Τὴν γὰρ σεβασμίαν ταύτην μονήν, τὴν ἐπ' ὀνόματι μὲν ἱδρυμένην τῆς ὑπεράγνου Δεσποίνης καὶ (об.] Θεομήτορος, ἐπικεκλημένην δὲ Ἡλίου Βωμῶν, ἤτοι τῶν Ἐλεγμῶν, τὴν περὶ τὸ ἑῷον τοῦτο κλῆμα καὶ τὸ Ὀφίκιον καὶ τὴν τοῦ Καταβολίου ἐνορίαν διακειμένην, τὴν πάλαι μὲν ἐπιφανῆ καὶ ἐπίσημον, τῷ δὲ χρόνῳ γηράσασαν, καὶ αὐτὴν κατὰ γόνυ πτῶσιν μόνον παθεῖν κινδυνεύουσαν, ἀλλὰ καὶ τὴν κατὰ στόμα κατάπτωσιν ὑποστῆναι μέλλουσαν τάχιον, καὶ πληγῆναι πληγὴν ὁλοσώματον· ὡς ἐκ τούτου κινδυνεύειν μὴ μονὸν δυσανάκλητον αὐτῇ τὴν ἀνόρθωσιν ἔσεσθαι, ἀλλὰ μικροῦ προσαποβαλλέσθαι καὶ τὸ ἁπλῶς ὀνομάζεσθαι ἀνδρῶν μοναστῶν οἰκητήριον, καθὼς καὶ τὸ ἐπὶ τῇ παραδόσει ταύτης γεγονὸς βρέβιον παρίστησιν ἀριδηλότερον· ἧς τινος τῇ τοιαύτῃ πτώσει καὶ ἡμεῖς οὐ μικρῶς τὴν ψυχὴν ἀλγήσαντες, πρὸς τὴν ταύτης ἀντίληψιν (л. 6] καὶ ἀνόρθωσιν ὁλοσχερῶς διαναστῆναι ἠρετησάμεθα. Καὶ πρῶτον μέν, ὥσπερ κατωχυρωμένον θεμέλιον, τὴν παντοίαν ἐλευθερίαν αὐτῇ περιεποιησάμεθα δι' ὑπομνήματος τοῦ ἁγιωτάτου ἐκείνου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Κωνσταντίνου τοῦ Χλιαρινοῦ, τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ Μεγάλῃ Ἐκκλησίᾳ πρώην ὑποκειμένῃ· ὃ δὴ ὑπόμνημα καὶ ἡ βασιλικὴ καὶ

θεία χεὶρ ἐπεκύρωσεν ἔξωθεν, τῷ διὰ τῶν ἐρυθρῶν γραμμάτων μηνολογήματι, καὶ τῇ διὰ κηροῦ συνήθη σφραγίδι. Εἶθ' οὕτως τῶν ταύτης κινητῶν τε καὶ ἀκινήτων, ὅσα διάρπαγμα γεγόνασι τοῖς ἁρπάζουσι τὰ ἀλλότρια, ταύτῃ πάλιν ἐπανασώσαντες, (οβ.] τῇ ἀντιλήψει καὶ χαρᾷ τοῦ αὐθέντου μου καὶ βασιλέως· σολεμνίαν τε δόσιν ἐτήσιον τρικεφάλων νομισμάτων ἑκατὸν διὰ βασιλικοῦ καὶ θείου προστάγματος ταύτῃ προσεπεθήκαμεν, καὶ τὰ καταπεσόντα μέρη αὐτῆς ἀνορθώσαμεν, τινὰ δὲ καὶ ὑπεστηρίξαμεν, οὐ μὴν ἀλλὰ καὶ ἕτερα πλεῖστά τε καὶ κάλλιστα ἐκ βάθρων αὐτῶν ἀνηγείραμεν, οὐ μετρίοις τοῖς ἀναλώμασι, καὶ φραγμὸν τῇ πρωτοτύπῳ (π. 7] μονῇ περιεθέμεθα ἀσφαλέστατον, δι' οὗ τὰς εἰς αὐτὴν εὐχερεῖς παρεισόδους ἀπετειχίσαμεν τοῖς ἐπιβούλως δι' αὐτῆς παροδεύειν ἐθέλουσιν· ἀσφαλὲς ἀνδρῶν μοναστῶν καταστήσαντες οἰκητήριον τὴν ἄχρις ἡμῶν ἀοίκητον μονονουχὶ ἱεροῖς ἀνδράσι καὶ τῷ Κυρίῳ δουλεύουσι μένουσαν, τοῖς δὲ βουλομένοις καὶ οἷς οὐκ ἐφεῖται προκειμένην εἰς καταπάτημα. Καὶ τὸ ἐν τῇ βασιλευούσῃ δὲ αὐτῆς μετόχιον περιεποιησάμεθα, καὶ ἁπλῶς τῇ τοῦ Θεοῦ εὐδοκίᾳ πάντα τὰ τῆς μονῆς τὴν ἐπὶ τὸ βέλτιον ἀλλοίωσιν (οβ.] ἠλλοιώθησαν, ἀντὶ παλαιῶν σχεδὸν πάντα καινὰ χρηματίσαντα, τὴν ἐκ τοῦ χρόνου καὶ τῆς ἀμελείας προσγενομένην αὐτοῖς ῥυτίδα ἀποξυσάμενα. Ἐπεὶ δὲ τοῦ πατριαρχικοῦ ἐξεχωρήθημεν ὑπομνήματος, καὶ Τυπικὸν ἐκθῆναι κατὰ τὸ δοκοῦν ἡμῖν, διαλαμβάνον περί τε τῆς ποσότητος τῶν ἐν τῇ τοιαύτῃ μονῇ μελλόντων τὸν μοναδικὸν βίον διαζῆν μοναχῶν, καὶ τῆς προσηκούσης τούτοις οἰκονομίας τε καὶ διοικήσεως, καὶ λοιπῆς ἁπάσης ἀκολουθίας, καὶ ἁπλῶς περὶ πάντων τῶν τῆς μονῆς, ἰδοὺ δηλοῦμεν καὶ τοῦτο, καὶ σαφῶς παριστῶμεν τὴν ἡμετέραν βούλησίν τε καὶ θέλησιν. Ἔχει δὲ οὕτως.

(π. 8] Κεφάλαιον α'. Περὶ προχειρίσεως ἡγουμένου. Περὶ δὲ ἐπιλογῆς ἡγουμένου καὶ προχειρίσεως πρῶτον διαληπτέον. Εἰ μὲν οὖν προσδόκιμος καὶ προεγνωσμένη ἡ τοῦ κατὰ τὴν ἡμέραν ἡγουμενεύοντος γένηται τελευτή, προσέρχεσθαι αὐτῷ πᾶσαν τὴν ἀδελφότητα μετὰ πάσης αἰδοῦς καὶ εὐλαβείας καὶ τοῦ καθήκοντος σχήματος, καὶ ὑπομιμνήσκειν αὐτὸν φροντίσαι τοῦ ὅς τις ἂν ἄρξοιτο μετ' αὐτὸν τῆς μονῆς θεαρέστως· τῷ δὲ μελήσει πάντως, οἷα φιλοστόργῳ πατρί, καταλιπεῖν αὐτοῖς, ὥσπερ κλῆρον πατρικόν, εἰς προστασίαν τὸν ἄξιον, ὡς εἴδησιν ἔχοντι τῆς ἑκάστου τῶν μοναχῶν πολιτείας τε καὶ διαγωγῆς· ἐπιλέξεται γὰρ καθ' αὐτὸν ἀπροσωπολήπτως, καὶ ἀπαθῶς, καὶ ὡς τοῦ Θεοῦ τοῦ ἐτάζοντος καρδίας καὶ νεφροὺς ἀφορῶντος ἀφανῶς τὴν κρίσιν αὐτοῦ, ἀπὸ τῆς ὅλης ἀδελφότητος τρεῖς, τοὺς (οβ.] λόγῳ μᾶλλον τῶν ἄλλων, καὶ ἀρετῇ κε-

κοσμημένους, καὶ εἰς προστασίαν ψυχῶν σοφωτέρους, καὶ ἐμπειροτέρους γνωριζομένους, καὶ ὁμολογουμένους, εἴτε ἀπὸ τῶν διακονητῶν 4πάντων τοιοῦτοί τινες εὑρίσκονται, εἴτε καὶ ἀπὸ τῶν προκριτωτέρων [1]) μοναχῶν· καταγράψαντός τε ἐν χάρτῃ ἰδιοχείρως τὰ τούτων ὀνόματα, καὶ σφραγίσαντος τοῦτον αὐτοῦ μετὰ τῶν προκρίτων τῆς ἀδελφότητος, τῶν ἐκλελεγμένων [2]) μὴ γινωσκόντων, ἀποτεθήσεται ὁ χάρτης ἐν τῷ σκευοφυλακίῳ, ἢ ἐν ἑτέρῳ πεφυλαγμένῳ τόπῳ [3])· καὶ μετὰ τὴν εἰς Κύριον ἐκδημίαν τοῦ ἡγουμενεύοντος ἐκβληθήσεται ὁ χάρτης, καὶ ἀνοιγήσεται, καὶ τῶν ἐπιλεγέντων μοναχῶν ἐπιγνωσθέντων τῇ ἀδελφότητι, γενήσεται ἡ τοῦ ἡγουμενεύοντος προχείρισις, καθὼς ὁ λόγος προϊὼν δηλώσει σαφέστερον. Εἰ δὲ ἀδοκήτως οὕτως συμβῇ τὸν προεστῶτα τὸν βίον καταλιπεῖν, περὶ διαδόχου (л. 9] μηδὲν μήτε σκοπήσαντα, μήτε γνωρίσαντα, τηνικαῦτα πᾶσαν καθ' ἑαυτὴν συναχθεῖσαν τὴν ἀδελφότητα, ποιεῖσθαι τὴν ἐπιλογήν. Καὶ πάντων μὲν συμφωνούντων καὶ ὁμογνωμονούντων εἰς ἕνα, τὸν κρείττονα πάντως κατά τε ἀρετὴν καὶ ἐνέργειαν καὶ ὑπόληψιν, οὐδεμία χρεία τῆς τοῦ ἀντιλαμβανομένου τῆς μονῆς γενήσεται διακρίσεως, ἢ μόνον τοῦ καὶ αὐτὸν τοῦ πράγματος εἴδησιν λαμβάνειν. Καὶ ἀπὸ τῶν τριῶν δέ, τῶν παρὰ τοῦ καθηγουμένου φθασάντων ἐπιλεγῆναι, ὡς ἄνωθεν εἴρηται, ἐὰν εἰς ἕνα ἐξ αὐτῶν οἱ πάντες συνέλθωσι καὶ συναρεσθῶσι, περιττὴ ἡ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ τῶν χαρτίων ἀπόθεσις. Διαστάσεως δὲ ἀναφυομένης, καὶ φιλονεικίας ἐγειρομένης ἐν αὐτοῖς, ὅπερ ἀπεύχομαι, περὶ τὴν ἐκλογήν, ὡς τῶν μὲν τόν δε, τῶν δὲ τόν δε, προβαλλομένων, τότε ἡ περὶ τῶν τριῶν ἐπιλογὴ χώραν ἕξει, καὶ ἡ ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ τῶν χαρτίων ἀπόθεσις, (об.] καὶ ὁ ἀντιλαμβανόμενος τῆς μονῆς ἐπ' ἀδείας ἐχέτω λύειν τὰς ἀμφιβολίας, τὴν κρίσιν προτιμώμενος τοῦ ἀρετῇ καὶ καταστάσει πνευματικῇ ὑπερέχοντος μέρους. Μελήσει δὲ αὐτῷ πάντως τοῦ ἐλευθέρως καὶ ἀπαθῶς ποιεῖσθαι τὴν διάγνωσιν, εἰ μὴ βούλοιτο τὸν πάσης κτίσεως Κριτὴν καὶ Δεσπότην πλαγίως κατ' αὐτοῦ ἰδεῖν φερόμενον, καὶ τὴν [4]) αὐτοῦ πανακήρατον καὶ παναγίαν Μητέρα καὶ ἀειπάρθενον Θεοτόκον ἀντίδικον καὶ ἀντίπαλον, διὰ τὸ καὶ αὐτὸν ἴσως πλαγιάσαι, ὅπερ ἀπεύχομαι, ἐν ἀδίκῳ κρίσει τὸ δίκαιον. Ἡ δὲ τῶν μελλόντων ἐπιλεγῆναι τριῶν πρόκρισίς τε καὶ προχείρισις τοιῷδε τρόπῳ ἐνεργηθήσεται. Γραφήσεται παρὰ τῶν μοναχῶν ἐν χαρτίοις ἴσοις

---

[1]) Варіанты изъ Типикона монастыря св. Маманта 1159 г. Λοιπῶν. [2]) ἐκλελεγέντων. [3]) Нѣтъ—ἢ ἐν ἑτέρῳ πεφυλαγμένῳ τόπῳ. [4]) Καὶ τὸν ἅγιον μεγαλομάρτυρα Μάμαντα ἀντίδικον.

τρισὶ τάδε· Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, καρδιογνῶστα, ταῖς πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν καὶ Θεοτόκου [1]), ἀνάδειξον ἡμῖν τοῖς ἁμαρτωλοῖς, εἰ ἄξιόν ἔκρινας τοῦ τῆς ἡγουμενείας [2]) ἀξιώματος τὸν ἀδελφὸν ἡμῶν (л. 10] τόν δε. Καὶ ἐν ἑτέροις [3]) χαρτίοις τὰ αὐτὰ πάλιν ῥήματα, τῶν ὀνομάτων τῶν τριῶν ἐντιθεμένων, καὶ σφραγίδι ἐνσημανθέντες οἱ χάρται, παρόντος μὲν τοῦ ἀντιλαμβανομένου, τῇ δι' ἐκείνου, παρεῖναι δὲ μὴ βουλομένου, ἢ κωλυομένου κατά τι, τῇ σφραγίδι τοῦ παρ' αὐτοῦ [4]) προτραπέντος δι' ἐνυπογράφου γραφῆς αὐτοῦ, τῇ ἁγίᾳ τραπέζῃ τεθήσονται. Ἐν τῷ ἑσπερινῷ τοῦ σαββάτου, ἢ εἰ φθάσει τότε δεσποτικὴ ἑορτή, ἢ τῆς Θεοτόκου [5]), καὶ ἀγρυπνίας ἐπιτελεσθείσης καὶ ἱκεσίας ὁλοψύχου ἐκ συντετριμμένης καρδίας παρ' ὑμῶν γινομένης, τιμιώτατοί μου πατέρες, ὡς ἀναγκαίου τοῦ πράγματος ὄντος, περὶ οὗ ἡ παράκλησις, δι' οὗ καὶ ἡ σύστασις τῆς μονῆς, ὥσπερ οὖν, ὃ μὴ γένοιτο, καὶ ἡ κατάλυσις, δι' οὗ καὶ ἡ τῆς ἡμῶν σωτηρίας ἐλπίς. Καὶ τῇ ἐπαύριον τῆς θείας λειτουργίας τελεσθείσης, μετὰ τὴν συμπλήρωσιν ταύτης, ἔτι τοῦ ἱερέως τὴν ἱερατικὴν ἐνδεδυμένου στολήν, Τρισάγιον παρ' ὑμῶν γενήσεται, (об.] καὶ τὰ τροπάρια ταῦτα ψαλθήσονται· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς. Δόξα, Κύριε [6]), ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην. καὶ νῦν, Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν. Καὶ ὁ διάκονος ἐκτενῆ αἴτησιν ποιήσεται, ἀναφωνήσας μετὰ τὰς ἄλλας αἰτήσεις καὶ τὸ Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀποκαλύψαι ἡμῖν Κύριον τὸν Θεὸν ἡμῶν τὸν ἄξιον τῆς προστασίας ἡμῶν. Καὶ ὑμεῖς ἐπιφωνήσετε τὸ Κύριε ἐλέησον λ'. καὶ προσκυνήσεις βαθείας ποιήσετε πέντε καὶ δέκα, τοῦτο καὶ ὑμεῖς ἐν τῇ πρὸς Θεὸν ἀνατάσει τῶν χειρῶν ὑμῶν ἐπιφωνοῦντες ἑαυτοῖς· Ὁ Θεός, ὁ καρδιογνώστης, ἀνάδειξον ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸν ἄξιον τῆς προστασίας ἡμῶν. Καὶ μετὰ ταύτας τὰς προσκυνήσεις, ὁ ἱερεύς, τρεῖς καὶ αὐτὸς προσκυνήσεις ὁμοίας ποιήσας ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ἔτι τὴν ἱερατικὴν στολὴν ἐνδεδυμένος, ὡς ἔφημεν, καὶ (л. 11] τὸ αὐτὸ πρόσρημα κἀκεῖνος ἐπιλέγων, ἕνα τῶν τριῶν ἀναλήψεται χάρτην, οὗ δεδομένου παρ' αὐτοῦ τοῦ ἱερέως ἐνώπιον πάσης

---

[1]) Καὶ τοῦ ἐν μάρτυσι περιβοήτου ἁγίου Μάμαντος [2]) прибавлено: ἡμῶν [3]) ἐν τοῖς ἑτέροις [4]) παρὰ τούτου [5]) ἢ τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος. [6]) Этотъ второй тропарь отсутствуетъ, но послѣ Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ, слѣдуютъ: Δόξα, Ἐν τῇ ῥάβδῳ, ἅγιε, τῇ ἐκ Θεοῦ σοι. Καὶ νῦν, Μονογενὲς ὁμοούσιε.

τῆς ἀδελφότητος πρὸς τὸν τὴν οἰκείαν σφραγῖδα αὐτῷ ἐπιθέντα, ἐπιγνώσεται μὲν οὗτος τὸ ἑαυτοῦ ἐκσφράγισμα, ἀνοιγήσεται δέ, πάντων ὁρώντων, ὁ χάρτης· καὶ οὗ τὸ ὄνομα γεγραμμένον φανῇ, εἰσελεύσεται μετὰ τοῦ ἱερέως εἰς τὸ ἅγιον θυσιαστήριον ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καὶ τοῦ παρόντος Τυπικοῦ ἡμῶν, καὶ τῆς βακτηρίας ἐν τῷ πρὸ τοῦ ἁγίου θυσιαστηρίου τόπῳ κειμένων, τρεῖς γονυκλισίας ποιήσας, λήψεται ταῦτα, ἀποσκοπῶν καὶ ἐν ἑαυτῷ λογιζόμενος [1]), ὅθεν ταῦτα λαμβάνει, καὶ τίνι ὑπισχνεῖται φυλάττειν αὐτά, καὶ ὅτι ἄγγελοι τὴν ὑπόσχεσιν ἀπογράφονται, οἵτινες μέλλουσιν αὐτὸν εἰς τὸ φοβερὸν ἐκεῖνο εἰσαγαγεῖν δικαστήριον, λόγους τῆς ἐκπληρώσεως τῶν ὑποσχέσεων (об.] ἀποδώσοντα. Πάσης δὲ τῆς ἀδελφότητος [2]) ἐπιφωνησάσης τὸ Ἄξιος, ἐξιὼν στήσεται εἰς τὸν ἀποκεκληρωμένον τῷ ἡγουμένῳ τόπον, καὶ πάντες αὐτῷ τὸν θεῖον προσάξουσιν ἀσπασμόν, δόξα τε τῷ Θεῷ ἀναπεμφθήσεται, ἡ ἀπόλυσις ἕψεται τῇ συνήθει τοῦ ἱερέως εὐχῇ.

Αὐτὸς δὲ ἔσται ὑμῶν εἰς τὸ ἑξῆς προεστώς, ὃν καὶ ὡς πατέρα σεβάσεσθε, καὶ διάθεσιν καὶ ὑπακοὴν πρὸς αὐτὸν ἕξετε, ὡς θεοχειροτόνητον. Μετὰ δὲ ταῦτα, συμπαραλαμβάνοντες αὐτὸν πάντες οἱ ἀδελφοί, ἀνερχέσθωσαν εἰς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην [3]) τὴν σφραγῖδα καὶ τὴν εὐλογίαν τῆς ἡγουμενείας δεξόμενον παρὰ τῆς ἁγίας ἐκείνου δεξιᾶς, κατὰ τὴν περίληψιν [4]) τοῦ προσόντος τῇ μονῇ ὑπομνήματος, ἐπιβεβαιωθέντος ἔξωθεν καὶ παρὰ τοῦ θεοκινήτου ἡμῶν αὐτοκράτορος. Αὐτὸ γοῦν τοῦτο γινέσθω καὶ ἐπὶ (л. 12] τῷ ἐξ ἁρεσκείας πάντων προβεβλημένῳ. Εὔκταῖον οὖν ἔστι μοι πάντοτε εἶναι ἐν ὑμῖν αὐτοῖς εὐπορίαν τῶν ἀξίων τῆς προστασίας, καὶ μηδέποτε τοιούτους ἄνδρας ἐν τῷ ὑμῶν εὐαγεῖ μοναστηρίῳ ἐπιλιπεῖν, ἀλλ' ὁσάκις ἂν γένηται χρεία προχειρίσεως ἡγουμένου, ἐξ αὐτῶν τῶν ἐν τούτῳ ἀσκουμένων μοναχῶν ἐξεῖναι γίνεσθαι τὴν ἐπιλογήν. Εἰ δ' ὁ πονηρὸς καὶ ἀρχέκακος ἐχθρός, ὁ τὴν σωτηρίαν τῶν ἀνθρώπων βασκαίνων ἀεὶ τοσοῦτον κατισχύσει τῶν ὑμετέρων ψυχῶν, καὶ οὕτως ὑμᾶς ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας παρασκευάσει, ὥστε μηδένα ἐν ὑμῖν εὑρίσκεσθαι ἐπ' ἀρετῇ, καὶ λόγῳ, καὶ πείρᾳ κυβερνήσεως, καὶ προστασίας ψυχῶν μαρτυρούμενον, ὃ πέποιθα ἐπὶ τῷ ἐλέει τοῦ φιλανθρώπου μου Χριστοῦ, καὶ τῆς κυρίως [5]) καὶ ἀληθῶς ὑπεραγίας Δεσποίνης μου Παρθένου καὶ Θεοτόκου ὡς

---

1) Ἀναλογιζόμενος 2) τρὶς 3) ὥς τε 4) κατὰ τὰς περιλήψεις τῶν τῇ μονῇ προσόντων ὑπομνημάτων. Αὐτὸ γοῦν τοῦτο γινέσθω κ. τ. λ. 5) Опущено: καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπεραγίας Δεσποίνης μου Παρθένου καὶ Θεοτόκου.

οὐκ ἄν ποτε γένοιτο, τότε δὴ ἐκχωροῦμεν τῷ κατὰ τὴν ἡμέραν ἀντιλαμβανομένῳ (об.] τῆς μονῆς μεγαλοδοξοτάτῳ [1]) Μυστικῷ, μετὰ τῆς τῶν μοναχῶν προτροπῆς τε καὶ συνέσεως [2]) ἔξωθεν ἐφευρίσκειν τινά, ἐξ ἑτέρου μοναστηρίου, εἴτε ἀπὸ τῶν τοῦ Ὀλύμπου [3]), εἴτε ἀπὸ τῶν ἐν τῷ στενῷ διακειμένων, εἴτε καὶ ἀπ' αὐτῆς τῆς βασιλευούσης τῶν πόλεων, ἄνδρα εὐλαβῆ καὶ δόκιμον εἰς ἡγουμενείαν, καὶ ἐγκαθιστᾶν τοῦτον εἰς τὴν τοιαύτην ἀρχήν. Βουλόμεθα δὲ γίνεσθαι τοῦτον οὕτως. Εἰ μὲν γὰρ δύο εὑρίσκονται μόνοι ἐν τῇ ὅλῃ τῆς μονῆς ἀδελφότητι, ὁποίους δεῖν ἐπιλέγεσθαι εἴρηται, ὁ τρίτος δ' ἐπιλείπει, ἕνα μόνον ἔξωθεν ἐπεισάγεσθαι δέον, καὶ οὕτω τῶν τριῶν ἀπογραφομένων ἐν τοῖς χαρτίοις, καθὼς [4]) ἄνωθεν πλατύτερον ἐδηλώσαμεν, καὶ τῆς εἰρημένης παρατηρήσεως γινομένης, ὃν ἂν ὁ Θεὸς εὐδοκήσῃ καὶ ἀναδείξῃ προκρίνεσθαι. Εἰ δ' εἷς μόνος ἐξ ὅλων ὑμῶν ἄξιος φαίνεται (л. 13] τῆς ἐπιλογῆς, τοὺς ἑτέρους δύο ἑτέρωθεν πάντως εὑρίσκειν προσήκει καὶ ἀπογράφεσθαι, καὶ τὴν αὐτὴν αὖθις προβαίνειν ἀκολουθίαν. Εἰ δὲ καὶ τῶν τριῶν ἐνδεῖ τῇ μονῇ, ὅπερ [5]) μὴ εἴη, ἀναγκαῖον πάντως καὶ τῶν τριῶν ἀφ' ἑτέρων μοναστηρίων ἐπιλεγομένων τε ὁμοίως καὶ ἀπογραφομένων τὰς ὁρισθείσας ἱκεσίας τε καὶ ἐντεύξεις πρὸς τὸν φιλάνθρωπον [6]) Θεόν, καὶ [7]) τὴν αὐτοῦ παναγίαν Μητέρα ποιεῖσθαι ὑμᾶς. καὶ οὕτω τὸν ἐκείνοις [8]) δοκοῦντα ἀναδεικνύμενον ἄξιον εἰς τὴν ἡγουμενείαν προχειρίζεσθαι.

Κεφάλ. β'. Περὶ μετακινήσεως τοῦ μὴ ὡς δεῖ ἡγουμενεύοντος. Καὶ ταῦτα μὲν οὕτως· τὰ δὲ ἑξῆς ῥηθῆναι μέλλοντα περὶ τῶν [9]) μετὰ τὴν ἡμῶν παρέλευσιν ἡγουμενευσόντων εἰς τὴν [10]) ὑφ' ἡμᾶς σεβασμίαν μονὴν τῆς ὑπεραγίας μου Θεοτόκου οὐκ ἐβουλόμην γραφῇ παραδοῦναι· οὐδὲ γὰρ ἔδει τὸν ἅπαξ εἰς τοῦτο κεκριμένον τῆς αὐτοῦ τάξεώς τε καὶ στάσεως μεθιστᾶν, (об.] ἀλλ' ἦν μὲν ἀρεστὸν τοῦτο καὶ ἀποδεκτόν, εἴπερ ἡ φύσις ἡμῶν ἄτρεπτός τε καὶ ἀναλλοίωτος ἦν. Ἐπεὶ δὲ τοῦτο οὐκ ἔστι· τρεπόμεθα γὰρ αὖθις καὶ ἀλλοιούμεθα, οἷα τὰ ἀνθρώπινα, καὶ τιμῆς ἀξιούμενοι, πρὸς τὴν τῶν καλῶν ἐργασίαν μᾶλλον χαυνούμεθα, ῥᾳθυμίᾳ εἴκοντες τὰ πολλά, ὡς φιλούσης τῆς ἀρχῆς τοὺς εἰς αὐτὴν ἀνηγμένους ὑποχαυνοῦν, ὁπότε πλείω τὸν ἀγῶνα καὶ τὴν προ-

---

[1]) Опущены слова: μεγαλοδοξοτάτῳ Μυστικῷ [2]) συναινέσεως [3]) Указанія, откуда должно выбирать игумена, нѣтъ [4]) нѣтъ—καθὼς ἄνωθεν πλατύτερον ἐδηλώσαμεν. [5]) ὅπερ ἀπεύχομαι [6]) Слова этого нѣтъ [7]) καὶ τὸν ἅγιον [8]) ἐκείνῳ [9]) περὶ τοῦ ἡγουμενεύοντος [10]) Слова: εἰς τὴν ὑφ' ἡμᾶς σεβασμίαν μονὴν τῆς ὑπεραγίας μου Θεοτόκου—опущены.

σοχὴν μᾶλλον ἐπιδείκνυσθαι ἔδει· τὴν γὰρ ἀρετὴν ἐκ πρώτης ὑποκρινόμεθα διὰ τὴν ὄρεξιν τῆς ἀρχῆς καὶ ἐπιτυχίαν, τυχόντες δὲ ταύτης, εὑρισκόμεθα μένοντες ὅπερ ἦμεν, κατὰ τοὺς πολύποδας, οἵ, παρὰ μειζόνων ἰχθύων διωκόμενοι, τῶν παρακειμένων πετρῶν ἀπρὶξ δρασσόμενοι, τοῦτ' αὐτὸ πέτρα τυγχάνειν ἀτεχνῶς ὑποκρίνονται· ἡνίκα δὲ τὸν κίνδυνον διαδράσωσι, πολύποδες αὖθις, ὅπερ ἦσαν, γνωρίζονται, διὰ ταῦτα καὶ γραφῇ (л. **14**] δοτέον τὸ πρᾶγμα, καὶ κολαστέον εἰς δύναμιν. Εἰ μὲν ἄτρεπτος μένοι ὁ καθηγούμενος, τῆς ἀρετῆς ἐπιεικῶς ἀντεχόμενος, δι' ἣν καὶ ταύτης ἠξιώθη τῆς τάξεως, ἀμετακίνητος ἔσται τῆς ἀρχῆς ταύτης καὶ ἀδιάδοχος [1]). Εἰ δ' ἀδόκιμον καὶ ἀσύμφορον αὐτὸν ὁ χρόνος ἀπελέγξειεν, ὡς εἴτε τῆς προστασίας τῶν ἀδελφῶν ἀμελῶς τε καὶ καταφρονητικῶς ἐχόμενον, εἴτε τοῖς ἑαυτοῦ συγγενέσι χαριζόμενον, εἴτε τι τῶν τῆς μονῆς ἢ αὐτὸν νοσφιζόμενον, ἢ ἑτέρῳ ὑποτιθέντα τινὶ καὶ καταπροδιδόντα, εἴτε τι τῶν τοῦ παρόντος Τυπικοῦ παραθραύοντα ὅλως διαταγμάτων, καὶ τοῖς ἑαυτοῦ στοιχοῦντα θελήμασιν, ἢ καὶ σωματικοῖς τισι πάθεσι προφανῶς συμφυρόμενον, καὶ διὰ ταῦτα καὶ πρὸς κυβέρνησιν ψυχῶν ἀνεπιτήδιον ἐλεγχόμενον· εἰ μὲν οὖν οὕτως κακῶς ζῶν ἑαυτοῦ ποτε γένοιτο, καὶ τῶν κακῶν ἀπόσχοιτο, τῆς τε πρὸς τὰ κρείττω καὶ σωτηριώδη φερούσης ἅπτοιτο, ἔστω καὶ ἡγουμενευέτω. [об.] Εἰ δ' ὁ αὐτὸς μένοι, μὴ τῶν κακῶν ἀποσχόμενος, εἰ μὴ μᾶλλον αὐτοῖς ἐπεκτεινόμενος, ὁμογνωμονησάντων πάντων ὑμῶν, καὶ τῷ ἀντιλαμβανομένῳ τῆς μονῆς περὶ τούτου κοινολογησαμένων, ἐκεῖνον μὲν τὸν ἀδόκιμον μετατίθεσθαι βουλόμεθα τῆς προστασίας ὑμῶν, ἐκλογὴν δὲ πάλιν καὶ ψῆφον ἑτέραν γίνεσθαι, καὶ προχείρισιν ἑτέρου ἡγουμένου, κατὰ τὰ ἀνωτέρω διατετυπωμένα. Ὁ δὲ ἀποβληθεὶς τῆς ἡγουμενείας, εἰ βούλοιτο καθῆσθαι μὲν ἐν τῇ μονῇ ὡς εἷς τῶν ἀδελφῶν, δευτέρας ἀξιούμενος στάσεώς τε καὶ ἕδρας τῷ ἡγουμένῳ, ἐν τῇ τραπέζῃ, ψημί, καὶ ταῖς κοιναῖς συνελεύσεσι, καὶ τῷ προεστῶτι ἐφ' ἅπασιν ὑποτάσσεσθαι, καὶ μὴ καταλυμαίνεσθαι τὴν τῆς μονῆς εὐταξίαν, ταραττόμενός τε καὶ ταράττων, ἔστω πάλιν ἐν τῇ μονῇ· εἰ δὲ μή, ἐξιέτω ταύτης, καὶ ἀπιέτω ἔνθα καὶ βουλητὸν αὐτῷ, καὶ μᾶλλον εἰ ἀπὸ τῶν ἔξωθεν τυγχάνει, ἵνα μὴ σκανδάλου αἴτιος καὶ τοῖς λοιποῖς γένηται.

Κεφάλαιον γ'. Περὶ τῶν εἰς ἀντίληψιν αὐτῆς τεταγμένων, ἤτοι ἀντιλαμβανομένων. (л. **15**] Ἐπεὶ δὲ τῶν ἀναγκαίων ἐστὶ μετὰ [2]) τὴν ἐμὴν ἀποβίωσιν ἔχειν τὴν μονὴν τὸν αὐτῆς

[1]) Ἀδιάπτωτος. [2]) Нѣтъ словъ: μετὰ τὴν ἐμὴν ἀποβίωσιν.

ἀντιλαμβανόμενον, ἵνα μὴ τοῖς τὰ ἀλλότρια βουλομένοις συλᾶν διάρπαγμα γένηται, οἷα μὴ ὑπὸ σκέπην τινὰ καὶ ἀσφάλειαν φρουρουμένη, ὅπερ δὴ καὶ πρότερον πέπονθε, τοῦτο δὴ καὶ πεποιήκαμεν κατὰ λόγον ἀρίστης οἰκονομίας. Βούλομαι [1]) οὖν μετὰ τὴν ἐμὴν ἀποβίωσιν, ὡς ἔφην· ἄνθρωπος γὰρ ὢν θνητός, πάντως θανεῖν ἀπεκδέχομαι, καὶ τὸ κοινὸν τῆς φύσεως ἀποδοῦναι χρέος· εἰς ἀντίληψιν αὐτῆς καὶ προστασίαν εἶναι τὸν κατὰ καιροὺς μεγαλοδοξότατον Μυστικόν, ὅστις ἂν καὶ εἴη, διὰ ἱκεσίας ὅτι πλείστης τοῦ τε καθηγουμένου καὶ τῶν μοναχῶν τῆς μονῆς εἰς τὸ ψυχωφελὲς τοῦτο προσκαλούμενος διακόνημα προΐκα καὶ ἀμισθί, ψυχικῆς αὐτοῦ ἕνεκεν σωτηρίας καὶ μόνης, ὡς ἔφημεν· τί γὰρ καὶ θελήσει ἐξ αὐτῆς [2]), εἰμὴ μόνον διαιωνίζον μνημόσυνον; Τῇ προφάσει δὲ τούτῃ οὐκ ὀφείλει τις τῶν οἷς τὸ ἀντιλαμβάνεσθαι [3]) (**об.**] παρ' ἡμῶν ἐκκεχώρηται [4]) ἐξουσιάζειν τινὸς τῶν ἐν αὐτῇ, οὐ παραχαράττειν τι τῶν ἐν τῷ Τυπικῷ, εἰς βλάβην αὐτῆς ἀφορῶν, οὐ τὸν ἡγούμενον μεθιστὰν, οὐ μοναχοὺς καταττειν, οὐκ εἰσάγειν, οὐκ ἐξάγειν, οὐκ ἐκλογισμοῖς τισιν ὑποτιθέναι ἢ τὸν ἡγούμενον, ἢ τὸν οἰκονόμον, ἤ τινα τῶν μοναχῶν, ἐφ' οἷς διοικοῦσί τε καὶ προνοοῦνται, οὐ τῶν εἰσοδιαζομένων τε καὶ ἐξοδιαζομένων εἴδησιν

---

[1]) Βουλόμεθα οὖν πρὸ πάντων εἰς ἀντίληψιν αὐτῆς καὶ προστασίαν εἶναι τὸν μεγαλοδοξότατον νωβελλίας μου κῦριν Θεοχάριστον τὸν Καππαδόκην, καὶ γνήσιον αὐτάδελφον τοῦ μακαρίτου αὐθέντου ἡμῶν καὶ νέου δομήτορος, ὥστε περιέπειν αὐτὴν καὶ συγκροτεῖν, καὶ διεκδικεῖν, καὶ ἀποτρέπειν παντοίως τοὺς πειρωμένους ἐπηρεάζειν αὐτήν, καί, ὅτε τι ἴσως τῶν ἐν τῷ παρόντι Τυπικῷ διωρισμένων παραθράύεσθαι κινδυνεύει, κωλύειν, καὶ ἁπλῶς τοιαύτην ἔχειν ἐπὶ τῇ μονῇ τὴν δικαιοδοσίαν, ἔστ' ἂν ἐν τοῖς ζῶσι διάγοι, ὁποίαν ἔσχε καὶ ὁ μακαρίτης ἐκεῖνος αὐθέντης ἡμῶν, ἅτε τὸ ἐκείνου καλῶς ἐπιστάμενος βούλημα, καὶ ἐν πᾶσιν ἀγαθοῖς κατορθώμασιν ἐκείνῳ παρομοιούμενος, καὶ τὴν μονὴν ἐξόχως ποθῶν, καὶ ὡς δυνατὸν αὐτῇ συγκρατῶν καὶ χειραγωγῶν. Ἀλλὰ καὶ εἴτι βουληθῇ ἐν τῷ παρόντι Τυπικῷ προσθεῖναι ἢ καὶ περιελεῖν, ἐχέτω καὶ τούτῳ ἐπ' ἀδείας. Καὶ τί τὰ πολλὰ λέγειν καὶ τὸν λόγον μηκύνεσθαι; Εἴ τι ἂν αὐτῷ δόξειε θεάρεστον πάντως καὶ ἐπωφελὲς τῇ μονῇ, οἰκονομησάτω καὶ στεργέτω, ὡς παρ' ἐκείνου αὐτοῦ τοῦ μακαρίτου αὐθέντου ἡμῶν οἰκονομηθέν. Μετὰ μέντοι τὴν αὐτοῦ πρὸς Κύριον ἐκδημίαν· ἄνθρωπος γὰρ ὢν θανεῖν ἀπεκδέχεται, καὶ τὸ κοινὸν τῆς φύσεως ἀποδοῦναι χρέος· ὁ κατὰ τὴν ἡμέραν μεγαλοδοξότατος Μυστικός, ὅστις ἂν καὶ εἴη, τὴν τῆς μονῆς ἀντίληψιν ἀναδέξεται, δι' ἱκεσίας ὅτι πλείστης κ. τ. λ. [2]) прибавлено: παμπτώχου καὶ ἀπόρου σχεδὸν τυγχανούσης [3]) τῆς μονῆς [4]) ἄνευ μόνου τοῦ εἰρημένου αὐταδέλφου τοῦ μακαρίτου Μυστικοῦ· τούτῳ γὰρ καὶ μόνῳ ἐφεῖται, ὡς ἄνωθεν ἔφημεν, ποιῆσαι εἴτι καὶ βουλητὸν αὐτῷ...

ἀπαιτεῖν, ἢ λαμβάνειν τι ἀπὸ τῆς μονῆς, τὸ σύνολον ἐπιχειρεῖν ἢ νοσφίζεσθαι τὸ οἰονοῦν, μόνα δὲ διορθοῦσθαι ὀφείλει τὰ παρὰ τὴν περίληψιν τοῦ παρόντος[1]) ἡμῶν Τυπικοῦ εἰς βλάβην αὐτῆς ἔστιν ὅτε πραττόμενα. Ἔτι γε μὴν ἀποσβεῖν, ὡς δυνάμεως ἔχει, καὶ τοὺς βουλομένους ἐπηρεαστικόν τι ἐνδείκνυσθαι ἐν αὐτῇ, καὶ τοὺς μοναχοὺς καὶ τὸν καθηγούμενον τυχὸν στασιάζοντας εἰρηνεύειν. Ἀρκέσει δὲ αὐτοῖς τούτων ἕνεκεν τὸ μνημονεύεσθαι καθ' ἑκάστην τρισσῶς ἐν αὐτῇ, καὶ μετὰ θάνατον γράφεσθαι ἐν τοῖς ἱεροῖς διπτύχοις[2]).

(л. 16] Κεφάλ. δ'. Περὶ τοῦ αὐτοδέσποτον εἶναι τὴν μονήν. Ἐπεὶ δὲ δι' ὑπομνήματος πατριαρχικοῦ[3]), τοῦ καὶ ὄπισθεν ἐπικυρωθέντος διὰ τῆς βασιλικῆς θείας χειρός, ἐλευθερίας παντοίας εὐμοίρησεν ἡ μονή, ὀφείλει εἶναι κατὰ τὰς περιλήψεις αὐτῶν ἐλευθέρα καὶ αὐτοδέσποτος, καὶ πάσης χειρὸς καὶ δεσποτείας ἀνωτέρα, καὶ μηδενὶ τῶν ἁπάντων ἐπ' αὐτῇ προεῖναι ὁτιοῦν δίκαιον ἢ προνόμιον, ἀλλὰ παντάπασιν οὖσαν ἐλευθέραν, καὶ αὐτοδέσποτον[4]) μένειν καθ' ἑαυτήν, καὶ ἐφ' ἑαυτῆς διοικεῖσθαι καὶ διεξάγεσθαι, κατὰ τὰ ἐν τῷ παρόντι Τυπικῷ ῥητῶς διατετυπωμένα· μήτε βασιλικοῖς, ἢ ἐκκλησιαστικοῖς, ἢ προσωπικοῖς ὁτεδήποτε ὑποτιθεμένην δικαίοις, μήτε κατὰ δωρεάν, ἢ ἐπίδοσιν, ἢ ἐφορείαν, ἢ οἰκονομίαν, ἢ ἐπιτήρησιν, ἢ ἑτέραν τινὰ πρόφασιν, προσώπῳ οἱῳδήτινι, ἢ μονῇ, ἢ εὐαγεῖ οἴκῳ, ἢ ἑτέρῳ τινὶ σεκρέτῳ κατ' οἰκονομίαν τινὰ ἢ λόγον[5]), ἀλλ' ὑπὸ τὴν ἐξουσίαν μόνου τοῦ φιλανθρώπου Θεοῦ[6]), καὶ τῆς αὐτὸν ἀσπόρως (об.] κυησάσης παναμώμου Δεσποίνης ἡμῶν Παρθένου ἁγίας καὶ Θεομήτορος, ᾗ δὴ καὶ ἀνατέθηται, κεῖσθαι μέλλουσα ἐσαεί, καὶ παρὰ τοῦ κατὰ τὴν ἡμέραν ἡγουμενεύοντος ἐν αὐτῇ κυβερνᾶσθαι, καὶ διεξάγεσθαι, κατὰ τὴν τοῦ παρόντος ἡμῶν Τυπικοῦ διαταγήν· αὐτὴ[7]) ἑαυτῆς κρατοῦσα, καὶ γινώσκουσα Δεσπότην τὴν ἐνδοξοτέραν τῶν χερουβὶμ Παρθένον καὶ Θεομήτορα, μηδόλως ἔχουσα τὸν καταυθεντοῦντα αὐτῆς, αὐτὴ δὲ μᾶλλον ὑπερέχουσα τοῦ ἐν τῇ μεγαλοπόλει ὄντος μετοχίου αὐτῆς τοῦ ἁγίου Βασιανοῦ, καὶ πάντων τῶν κατ' αὐτήν τε καὶ ὑπ' αὐτήν. Εἴ τις δὲ βουληθείη ποτὲ ἐν οἱῳδήποτε χρόνῳ, καθ' οἱονδήτινα τρόπον καταδουλώ-

---

[1]) Нѣтъ—τοῦ παρόντος ἡμῶν [2]) прибавлено: θάπτεσθαι δὲ ἐν αὐτῇ, εἰ βούλοιντο, ἄνευ δόσεως τῆς οἰασοῦν. [3]) Καὶ βασιλικοῦ χρυσοβούλου λόγου ἐλευθερίας παντοίας εὐμοίρησεν ἡ μονὴ κ. τ. λ. [4]) Нѣтъ—καὶ αὐτοδέσποτον [5]) Нѣтъ—κατ' οἰκονομίαν τινὰ ἢ λογον. [6]) прибавлено: Καὶ τοῦ ἁγίου μεγαλομάρτυρος, Μάμαντος ᾧ δὴ καὶ ἀνατέθηται κ. τ. λ. [7]) Отсюда въ Мамантовскомъ Типиконѣ пропускъ до словъ: Εἴ τις δὲ βουληθείη ποτὲ κ. τ. λ.

σασθαι ταύτην, καὶ ὑπὸ ἐξουσίαν ἑτέρου θέσθαι τινός, κἂν βασιλεὺς εἴη, κἂν πατριάρχης, κἂν ἄλλος τις τῶν ἐκκλησιαστικῶν, ἢ συγκλητικῶν· κἂν αὐτὸς ὁ προεστώς, ἢ ὁ οἰκονόμος, ἤ τις ἁπλῶς τῶν ἐν ταύτῃ ἀδελφῶν, ἐξ ἐπηρείας δαιμονικῆς (**π. 17**] παρακεκινημένος, οὐ μόνον ἔνοχος ἔσται τῷ θείῳ σώματι καὶ αἵματι τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλὰ καὶ ἀνάθεμα ἔσται, καθὼς ἔφη ὁ ἀπόστολος, καὶ τῇ ἀρᾷ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων ὑπόδικος γένηται, καὶ τῷ προδότῃ σύγκληρος Ἰούδᾳ, καὶ τοῖς τὸ „ἆρον, ἆρον, σταύρωσον αὐτόν", καὶ„ τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν" κραυγάσασι συναρίθμιος.

Κεφαλ. ε'. Περὶ τοῦ κοινοβιακὴν τὴν διαγωγὴν μετιέναι, καὶ τοῦ ἀριθμοῦ τῶν μοναχῶν, καὶ τοῦ ὡρεὰν ἀποκείρεσθαι, καὶ τοῦ ἀνεκποίητα εἶναι πάντα τὰ τῇ μονῇ κινητὰ καὶ ἀκίνητα, καὶ περὶ τοῦ προσδέχεσθαι τὰ μετὰ θεοφιλοῦς σκοποῦ προσαγόμενα. Περί γε μὴν τῆς διαγωγῆς καὶ τοῦ ἀριθμοῦ τῶν μοναχῶν[1]), καὶ τῆς ὅλης ἐν τῇ μονῇ πολιτείας ἐφεξῆς σαφέστερόν τε καὶ διὰ βραχέων εἰρεῖσθαι καλόν. Ἔσονται μὲν οὖν οἱ μοναχοὶ[2]) ἔν τε τῇ πρωτοτύπῳ μονῇ, τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ὑπερενδόξου (**об.**] Δεσποίνης ἡμῶν καὶ Θεοτόκου, καὶ τῷ ἐν τῇ βασιλευούσῃ μετοχίῳ αὐτῆς, τὸν ἀριθμὸν εἴκοσιν, οἱ τῇ τῆς ἐκκλησίας ὑπηρεσίᾳ καὶ ψαλμῳδίᾳ, καὶ ταῖς ἔσωθεν τῆς μονῆς διακονίαις καὶ ἔξωθεν διηνεκῶς προσανέχειν ὀφείλοντες. Ἐξ αὐτῶν δὲ πρὸς ἀνάγκης ἔστω ἱερεῖς μὲν εἶναι δύο ἢ καὶ τρεῖς, διακόνους δὲ δύο· εἰ δὲ καὶ πλείους, εἶεν, τῷ Θεῷ χάρις· εἰ δ' ὅπερ εὐχόμεθα δῴη Κύριος ὁ Θεὸς πρὸς τὴν μονὴν καὶ ἑτέρους προσδραμεῖν διὰ τὴν τῶν ἐν αὐτῇ ἀσκουμένων ἀρετήν, καὶ τὴν τῆς κοινοβιακῆς καταστάσεως τήρησιν, παράσχοι τε καὶ τὰ πρὸς αὐτάρκειαν ἐπιτήδεια, εἴ τε ἀφ' ὧν[3]) κέκτηται ἡ μονὴ ἐπιμελέστερον περὶ ταῦτα τῶν προεστώτων[4]) διατεθέντων, εἴτε καὶ ἀφ' ὧν φιλόχριστοί τινες ἀναθήσουσιν, ὡς πιστεύομεν, ὡς καὶ εἰς πλείονας ἐξαρκεῖν, ἀκώλυτος ἔσται καὶ ὁ ἐπὶ πλέον τῶν μοναχῶν ἀριθμὸς μέχρις ἂν ὁ προεστὼς βούλοιτο, καὶ χώρησις εἴη ἐν τῇ μονῇ κελλίων. (**π. 18**] Δωρεὰν δὲ προσλαμβάνεσθαι καὶ ἀποκείρεσθαι τοὺς προ-

---

[1]) Моναζόντων [2]) τῆς τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος μονῆς τὸν ἀριθμὸν εἴκοσιν, οἱ τῇ τῆς ἐκκλησίας ὑπηρεσίᾳ κ. τ. λ. [3]) прибавлено: νῦν [4]) τοῦ προεστῶτος διατεθέντος.

σιόντας βουλόμεθα, καὶ τῇ ῥηθείσῃ τῶν μοναχῶν ἐγκαταριθμεῖσθαι ποσότητι, δόσεως ἄνευ τινός. Εἴ τις δὲ ἐξ αὐτῶν οἰκειοθελῶς προσαγαγεῖν βουληθείη τι τῶν ἑαυτοῦ, εἴτε κινητόν, ἢ ἀκίνητον εἴη τὸ προσαγόμενον, προσδεχθήσεται· τὸ γὰρ ὡς ἀνάθημα τῷ Θεῷ, καὶ [1]) τῇ αὐτοῦ παναμώμῳ Μητρὶ ἐκ πίστεως προσαγόμενον, εἰς σύστασιν μὲν τῆς μονῆς, μνήμην δὲ καὶ ψυχῆς ὠφέλειαν τῷ διδόντι ἐσόμενον, οὐκ ἀποπέμπεσθαι χρῆ. Ἂν δέ γέ ποτε πειραθεὶς ἐκ δαιμόνων, οἷα πολλὰ τῆς ἀβουλίας, ἐκστῆναι μὲν τῆς μονῆς πειραθῇ, βούλοιτο δὲ καὶ τὸ δεδωρημένον ἀναλαβεῖν, μὴ δοτέον αὐτῷ τοῦτο, κἂν ὅτι τύχῃ ὄν· τὸ γὰρ ἅπαξ ἀφιερωθὲν τῷ Θεῷ, ἀναφαίρετον, καὶ ὁ ἀφαιρούμενος ἱερόσυλος, ὁποῖον δὲ τὸ ἱεροσυλεῖν ἔχει τὸ ἐπιτίμιον, πάντες ἴσασι, κἂν ἡμεῖς μὴ λέγωμεν. Ὥστε, ὃς ἂν (οβ.] προσάγῃ τὸ οἰκεῖον ἀκίνητον ἢ κινητόν, ἀναγινωσκέτω ταῦτα τὰ ῥήματα πρότερον, καὶ εἴπερ ἐλευθέρῳ σκοπῷ, καὶ θεοφιλεῖ ποιεῖται τὴν τούτου προσαγωγήν, ὡς μή ποτε ἀναληψόμενος ὕστερον, τότε δὴ προσδεχέσθω τὸ δῶρον αὐτοῦ, καὶ τῷ Θεῷ, καὶ [2]) τῇ αὐτοῦ παναχράντῳ Μητρὶ ἀνατιθέσθω, παρ' ὧν καὶ ὁ μισθὸς αὐτῷ τῆς πίστεως πάντως ἀξίως ἀποδοθήσεται. Πάντα δὲ τὰ τῇ μονῇ ἀφορισθέντα, ἢ ἀφορισθησόμενα, ἢ ὁπωσοῦν προσγενησόμενα, οὐκ ἀκίνητα μόνον, ἀλλὰ καὶ κινητά, μένειν ἀνεκποίητα παρ' αὐτῇ, μὴ δωρούμενα, μὴ ἀνταλλαττόμενα, μὴ ὁπωσδηποτοῦν ἀποκτώμενα· ἱεροσυλία γὰρ ἄντικρυς τὸ ποιῆσαί τι τοιοῦτον ἢ γενόμενον καταδέξασθαι, καὶ ὁ τοιοῦτόν τι ποιήσας ἢ ἀνασχόμενος, λόγους ὑφέξει τούτου ἕνεκεν κατὰ (σ. 19] τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως, καὶ αὐτὸν τὸν τῶν ἐκποιουμένων Δεσπότην Χριστὸν ἀσυμπαθῆ καὶ δίκαιον εὑρίσκων Κριτήν [3]), τὴν ὑπερένδοξον Μητέρα αὐτοῦ καὶ Θεοτόκον, φοβερὸν ἀντίδικον ἔν τε τῇ παρούσῃ καὶ τῇ μελλούσῃ ζωῇ, κἂν διπλάσιον, ἢ τριπλάσιον εἴη τὸ ἀντὶ τοῦ ἐκποιουμένου διδόμενον. Οὕτως ἔσται [4]) παντάπασι κεκωλυμένη τῶν ἀφιερωθέντων ἐκποίησις.

Κεφάλαιον ς'. Περὶ τοῦ πῶς δεῖ γίνεσθαι τὰς προχειρίσεις τῶν διακονητῶν. Καὶ πάντων δὲ τῶν τῆς μονῆς διακονητῶν τὴν πρόκρισίν τε καὶ προχείρισιν ὁ καθηγούμενος ἔσται ποιῶν, κατὰ γνώμην οἰκείαν καὶ προκρίνων, καὶ προχειριζόμενος· πάντως γὰρ ἂν τοὺς τῶν ἄλλων προέχοντας προχειριεῖται, κατά τε ἀρετὴν καὶ δε-

[1]) Καὶ τῷ ἁγίῳ μεγαλομάρτυρι Μάμαντι. [2]) Καὶ τῷ ἁγίῳ [3]) καὶ τὸν μεγαλομάρτυρα Μάμαντα [4]) ἔστω.

ξιότητα τοῦ τῆς διακονίας ἀποτελέσματος. Ὁσάκις δ' ἂν δεήσῃ προχειρισθῆναί τινα εἰς ὁποιανοῦν διακονίαν, αἱ κλεῖδες μὲν ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου (об.] τεθήσονται, Τρισαγίου δὲ γινομένου, προελεύσεται ὁ εἰς τὴν διακονίαν ἀφορισθεὶς ἀκατακαλύπτῳ τῇ κεφαλῇ [1]), τρίτον τε γονυκλιτήσας, καὶ τὰς κλεῖς εἰληφώς, γυμνὴν ὑποκλινεῖ τὴν κεφαλὴν τῷ καθηγουμένῳ, ὁ δὲ σφραγίσει τοῦτον εἰπών· „Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τῶν πρεσβειῶν [2]) τῆς ὑπεραγίας Θεοτόκου, προχειρίζεταί σε εἰς τήν δε τὴν διακονίαν". Ἐν μέντοι ταῖς διακονίαις, αἷς οὐ πρόσεισι κλεῖδες, ἀρκέσει μόνον εἰς προχείρισιν ἡ τοῦ καθηγουμένου σφραγίς, καὶ τὰ ταύτῃ ἐπιλεγόμενα ῥήματα, ὡς ἂν εἰδείη, ὅθεν τε ἀναδέχεται τὴν διακονίαν, καὶ ὅπως ὑπισχνεῖται ταύτην διέπειν.

Κεφαλ. ζ'. Περὶ προχειρίσεως οἰκονόμου. Καὶ οἰκονόμος δὲ τῆς μονῆς γενήσεται παρὰ τοῦ καθηγουμένου ὁ κρείττων κατ' ἀρετὴν καὶ ἐνέργειαν καὶ ὑπόληψιν. Ὁ δ', ὡς εἴρηται, προκριθείς, προσελθὼν τῷ καθηγουμένῳ (л. 20] καὶ τὴν προσήκουσαν ἀπονείμας προσκύνησιν, ὑφέξει τούτῳ τὴν κεφαλὴν ἀπερικάλυπτον, κἀκεῖνος τῇ χειρὶ σφραγίσας αὐτὸν καὶ εἰπών· „Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τῶν πρεσβειῶν τῆς [3]) ὑπεραγίας Θεοτόκου, προχειρίζεταί σε οἰκονόμον τῆς αὐτῆς μονῆς". Εἶτα, καὶ φιλήματι ἁγίῳ ἀσπασάμενος, εἰς τὸν τοῦ οἰκονόμου καταστήσει τόπον, καὶ καθ' ἑξῆς ἡ ἀδελφότης ἅπασα τοῦτον ἀσπάσεται· καὶ μετὰ τὸν ἀσπασμόν, τοῦ ἱερέως τὴν συνήθη ἐπειπόντος εὐχήν, ἔσται καὶ ἡ τῆς ἐκκλησίας ἀπόλυσις. Ὁ δέ γε εἰς τὸ οἰκονομεῖν καταστὰς ἐνεργήσει πάντα τὰ τῆς μονῆς, καθὼς ἂν παρὰ τοῦ ἡγουμένου ἐπιτρέποιτο, καὶ χωρὶς εἰδήσεως καὶ προστάξεως αὐτοῦ ἔσται ποιῶν οὐδέν.

Κεφαλ. η'. Περὶ τοῦ ἐκκλησιάρχου. Ὁ μέντοι ἐκκλησιάρχης παρὰ τοῦ καθηγουμένου προχειριζόμενος, ὅστις ἂν αὐτῷ δόξῃ πρὸς τὴν τοιαύτην διακονίαν πρόσφορός τε καὶ (об.] ἐπιτήδειος, παραλαμβάνειν μέλλει ἀπὸ τοῦ σκευοφύλακος τὰ μὲν ἐν τῷ ναῷ ὀφείλοντα ἀεὶ χρησιμεύειν, κατὰ τὸν καιρὸν τῆς προχειρίσεως διὰ πρακτικοῦ, τὰ δ' ἄλλα, τὰ ταῖς ἑορταῖς, ἢ τῇ καθημερινῇ χρήσει πρόσφορα, κατὰ τὸν δέοντα καιρόν. Οὗτος φροντιεῖ τοῦ συνήθους κόσμου τῆς ἐκκλησίας, ποιεῖσθαι δὲ φροντίδα καὶ τῆς ἐκκλησιαστικῆς ἐν τῇ ψαλμῳδίᾳ καταστάσεως, καθὼς ἔθος ἐστὶ τοῖς

---

[1]) Нѣтъ — ἀκατακαλύπτῳ τῇ κεφαλῇ [2]) обращенія къ Богородицѣ нѣтъ. [3]) τοῦ ἁγίου.

ἐκκλησιάρχαις. Ἡ δὲ ἀκολουθία ὀφείλει ψάλλεσθαι, κατὰ[1]) τὸ νῦν ψαλλόμενον Στουδιτικὸν Συναξάριον, ὡς ἡ παρακολουθήσασα συνήθεια κεκράτηκεν. Ὁ αὐτὸς ὀφείλει φυλάσσειν[2]) καὶ τὸ τῆς εἰσόδου καὶ ἐξόδου τῶν νομισμάτων κιβώτιον, ὡς κατωτέρω πλατύτερον δηλωθήσεται.

Κεφαλ. ϑ'. Περὶ προχειρίσεως σκευοφύλακος[3]) καὶ χαρτοφύλακος, καὶ τῆς τούτου[4]) διακονίας. Καὶ σκευοφύλακα εἶναι βούλομαι[5]) ἐν τῇ μονῇ, ὅστις ὀφείλει φυλάττειν (π. 21] τὰ ἱερὰ σκεύη καὶ ἔπιπλα, καὶ παντοίας ἐπιμελείας ἀξιοῦν αὐτά, παραδιδόμενα τούτῳ δι' ἐγγράφου καὶ ἀξιοπίστου τῆς παραδόσεως πρακτικοῦ. Δεῖ δὲ τοῦτον τὰ μὲν τῇ καθημερινῇ χρείᾳ καὶ τὰ ἐν ταῖς ἑορταῖς χρειώδη παραδιδόναι τῷ ἐκκλησιάρχῃ εἰς ὑπηρεσίαν τῆς ἐκκλησίας, ὅτε δὲ καιρός, παραλαμβάνειν ταῦτα ἐξ αὐτοῦ καὶ παραφυλάττειν, τὰ δὲ τῶν χρειωδῶν ἐπέκεινα ἔχειν, ἐν τῷ σκευοφυλακίῳ, ἐγκεκλεισμένα καὶ βεβουλλωμένα παρά τε τοῦ καθηγουμένου καὶ αὐτοῦ, πάντα τὰ τούτῳ ἐμπεπιστευμένα ἀντιπαραδιδόναι ὀφείλοντι, ὁπηνίκα ἂν τῆς τοιαύτης διακονίας μετακινοῖτο κατὰ τὸ γεγονὸς πρὸς αὐτὸν τῆς παραδόσεως πρακτικόν· ἐπ' ἐξουσίας γὰρ ἔσται τῷ καθηγουμένῳ μεθιστᾶν τοὺς διακονοῦντας, καὶ ἐναλλάττειν, καθ' ὃν εἴρηται τρόπον· τοὺς γὰρ ἐφ' ἑκάστῃ τῶν διακονιῶν προκεχειρισμένους, προσεκτικῶς μὲν καὶ θεοφόβως αὐτὰς (οϐ.] μετιόντας, ἐὰν ἀμετακινήτους, δίκαιον, ἀμελοῦντας δὲ αὐτῶν καὶ καταφρονοῦντας, ἴσως δὲ καὶ δολιευομένους ἐν αὐτοῖς, μεθιστᾶν καὶ ἑτέρους ἀποκαθιστᾶν. Εἴ τις δὲ τοῦτων νοσφιζόμενος τύχῃ ἄχρι καὶ τοῦ τυχόντος, ὑπόδικος ἔσται τῷ Θεῷ, καὶ τῇ[6]) αὐτοῦ παναχράντῳ Μητρί, ἀφ' ὧν ἄρα καὶ τὰς τῆς διακονίας κλεῖς παρέλαβεν. Ὁ αὐτὸς δὲ οὐ σκευοφύλαξ μόνον ἔσται, ἀλλὰ καὶ χαρτοφύλαξ, τὰ χαρτῷα πάντα δικαιώματα τῆς μονῆς παραλαμβάνων, καὶ παραφυλάττων ταῦτα, καὶ παντοίας ἐπιμελείας ἀξιῶν. Χρείας δὲ χαρτίου τινός ποτε γινομένης, ὁρισμῷ τοῦ καθηγουμένου ἐξενέγκῃ τὸ ζητούμενον χαρτίον, καὶ ἐπιδώσει· ἡμερῶν δέ τινων μετὰ τοῦτο διελθουσῶν, ὑπομνήσει τὸν καθηγούμενον καὶ ἀνακαλέσεται τὸ ἐκβληθὲν χαρτίον, ὡς

---

[1]) Κατὰ τὸ Εὐεργετινὸν Συναξάριον, κατὰ τὸν παρακολουθήσαντα τύπον καὶ συνήθειαν. Ὀφείλει δὲ ἔχειν ὁ κατὰ καιροὺς ἐκκλησιάρχης καὶ παρεκκλησιάρχην συμπονοῦντα αὐτῷ, καὶ καθυπηρετοῦντα, καὶ συνεργοῦντα εἰς τὴν ἀνακειμένην αὐτῷ διακονίαν. [2]) Κρατεῖν [3]) ἅμα [4]) τούτων [5]) βουλόμεθα [6]) τῆς καθημερινῆς χρείας, καὶ τῷ ἁγίῳ μεγαλομάρτυρι Μάμαντι.

εἴρηται, και οὐκ ἐάσει παραπόλλυσθαι. Ἔνθα[1]) μέντοι ἐναπόκεινται τὰ χαρτῶα δικαιώματα, ὀφείλουσι καὶ ταῦτα ἐγκεκλεισμένα (л. 22] ὑπάρχειν, καὶ βεβουλωμένα παρά τε τοῦ καθηγουμένου καὶ αὐτοῦ, ὡς ἀνωτέρω διείληπται, ὥστε μὴ δύνασθαι θάτερον θατέρου ἄτερ ἀνοίγειν.

Κεφαλ. ι΄. Περὶ τοῦ δοχειαρίου τῶν νομισμάτων. Λεκτέον δὲ ἄρα[2]) καὶ περὶ τῆς τῶν νομισμάτων εἰσόδου τε καὶ ἐξόδου, φυλακῆς τε καὶ ἀπογραφῆς· βούλομαι[3]) γὰρ εἶναι κιβώτιον κατησφαλισμένον, εἰς ὃ[4]) ὀφείλουσιν ἀποκεῖσθαι πάντα[5]) τὰ ὁθενδήποτε εἰσοδιαζομένα νομίσματα, ὁποίας ἂν καὶ εἴη ποιότητος, καὶ οἱ ὑπὲρ τούτων προβαίνοντες τῆς εἰσοδοεξόδου πρόσγραφοι, παρουσίᾳ τοῦ καθηγουμένου, τοῦ οἰκονόμου, τοῦ ἐκκλησιάρχου, καὶ τοῦ σκευοφύλακος· καὶ μετὰ τὴν τούτων ἀπόθεσιν, σφραγίζηται τὸ τοιοῦτον κιβώτιον παρὰ τοῦ καθηγουμένου καὶ τῶν εἰρημένων. Ἐκβαλεῖ δὲ ὁ καθηγούμενος ἐξ αὐτοῦ ποσότητα τῶν νομισμάτων ἐνώπιον τῶν εἰρημένων μοναχῶν, καὶ ἐπιδώσει ταύτην τῷ δοχειαρίῳ χάριν καθημερινῶν ἐξόδων τῆς μονῆς, (об.] προσγράφονται δὲ τὴν τοιαύτην ποσότητα ἐν τῷ κοντακίῳ τῆς ἐξόδου, τοῦ ἐντὸς τοῦ κιβωτίου ὀφείλοντος εἶναι διὰ παντός. Ἕτερον δὲ πρόσγραφον λεπτομερῆ ποιήσεται ὁ δοχειάριος τῆς ἐξόδου τῶν τοιούτων νομισμάτων, ὃς δὴ πρόσγραφος, ὁ παρὰ τοῦ δοχειαρίου δηλονότι προβαίνων, ὀφείλει ἐμφανίζεσθαι δὶς τῆς ἑβδομάδος τῷ καθηγουμένῳ, καὶ σημειοῦσθαι παρ' αὐτοῦ[6]) πρὸς τὸ ἔχειν ἔναυλον τὴν προβαίνουσαν ἔξοδον, μετὰ τὴν ἐκπλήρωσιν τῶν ὧν φθάσει λαβεῖν ὅλων νομισμάτων, ἵνα ἀναγινώσκηται ἐξ ἀρχῆς ἡ πᾶσα ἔξοδος αὐτοῦ, παρουσίᾳ τοῦ καθηγουμένου καὶ τῶν εἰρημένων μοναχῶν, καὶ λογαριάζηται παρὰ τοῦ καθηγουμένου. Εἶθ' οὕτως, ἀνοιγομένου τοῦ κιβωτίου, κατὰ τὴν εἰρημένην παρατήρησιν, παραδοθήσονται αὐτῷ ἕτερα νομίσματα, καὶ οὕτως γενήσεται εἰς τὸ διηνεκές· ἕτερα δὲ οὐκ ἐκβληθήσονται ἀπὸ τοῦ κιβωτίου, (л. 23] εἰ μὴ πρότερον ὁ δοχειάριος δώσει τῆς ἐξόδου τὸ κατάστιχον, καὶ λογαριασθῇ ἐφ' οἷς παρέλαβε καὶ ἐξοδίασεν.

Κεφαλ. ια΄. Περὶ τοῦ τὰ ἐδώδιμα εἰσοδιάζοντος καὶ ἐξοδιάζοντος διακονητοῦ, ἤτοι κελλαρίτου. Ὡσαύτως καὶ

---

[1]) Конецъ слѣдующій: Ἐπεὶ δὲ τῷ λόγῳ φυλακῆς τούτων κατασκευασθὲν ἁρμάριον δυσὶ κλεισὶ κατησφάλισται, τὸ μὲν ἓν τούτων ὀφείλει διὰ παντὸς ἔχειν ὁ καθηγούμενος, τὸ δὲ ἄλλο ὁ σκευοφύλαξ, κηροβουλλιζόντων τῶν ἀμφοτέρων, ὥστε μὴ δύνασθαι θάτερον θατέρου ἄτερ ἀνοίγειν τὸ εἰρημένον ἁρμάριον [2]) нѣтъ этого слова [3]) Βουλόμεθα [4]) ἐν ᾧ [5]) нѣтъ [6]) нѣтъ—παρ' αὐτοῦ.

τὸν τὰ εἰσοδιαζόμενα πάντα τῇ μονῇ βρώσιμά τε καὶ πόσιμα, εἰσοδιάζοντά τε καὶ ἐξοδιάζοντα διακονητήν, ὃν καὶ κελλαρίτην ὀνομάζομεν, ἔτι δὲ καὶ τὰ γενήματα πάντα καὶ τὰ ὄσπρια εἰσοδιάζειν, καὶ τὰς ἐξόδους τούτων ποιεῖσθαι προστάξει τοῦ καθηγουμένου, καὶ παντοίως ἐπιμελεῖσθαι τούτων, ἵνα μὴ ἐξ ἀμελείας τυχὸν ἐξ αὐτῶν τι ἀπόλληται. Ὁ αὐτὸς ὀφείλει φροντίζειν καὶ τὴν τῆς τραπέζης τῶν μοναχῶν ἑτοιμασίαν καὶ ἐπιμέλειαν, ἔτι γε μὴν καὶ τοῦ μαγειρείου, ὀφείλων ἔχειν ὑφ' ἑαυτὸν καὶ ἕτερον [1]), συμπονοῦντα αὐτῷ. Παρατεθήσεται δὲ τοῖς ἀδελφοῖς τὰ ἐδέσματα [2]) πάντα ἐπίσης, ἀπό τε τοῦ πρώτου καὶ μέχρι τοῦ ἐσχάτου· τὸ δὲ ἔλαιον (οϐ.] ὀφείλει λαμβάνειν μηνιαῖον ἀπὸ τοῦ παραφυλάσσοντος αὐτό. Καὶ γὰρ ἀπὸ τῶν διακονητῶν πάντων οὐκ ὀφείλει τις ἀντιποιεῖσθαι, ὡς τῇ διακονίᾳ αὐτοῦ ἀνηκόντων, τοῦ τε ἐλαίου, τοῦ κηροῦ, καὶ τῶν θυμιαμάτων, ἀλλ' ἐκεῖνος ἔσται ὁ δικαιούμενος εἰς τὴν αὐτῶν φυλακήν, ὁποῖον ἂν ὁ καθηγούμενος ἐπιτρέψοιεν, εἴ τε ἀπὸ τῶν διακονητῶν, εἴτε ἀπὸ τῶν ἰδιαζόντων [3]).

Κεφαλ. ιβ'. Περὶ τοῦ πυλωροῦ. Ἀλλὰ καὶ τὸν τὰς κλεῖς τοῦ πυλῶνος ὀφείλοντα κατέχειν, ὃν καὶ πυλωρὸν ὀνομάζομεν, ὁ καθηγούμενος ὀφείλει προχειρίζεσθαι, ᾧ καὶ φροντὶς ἔσται τοῦ μηδόλως, γνώμης ἄτερ τοῦ ἡγουμένου, τὸν πυλῶνα ἀνοίγεσθαι, μήτε μὴν εἰσιέναι τινὰς εἰς τὸ μοναστήριον, ἢ ἐξιέναι, ἄνευ εἰδήσεως τοῦ καθηγουμένου. Εὐλαβὴς μέντοι ὀφείλει εἶναι, καὶ πρὸς γῆρας ἤδη κλίνων ὁ εἰς ταύτην τὴν διακονίαν προβαλλόμενος, καὶ σεμνοῦ βίου, καὶ μεμαρτυρημένος παρὰ πάσης τῆς ἀδελφότητος· (π. 24]ὅστις καθ' ἑκάστην ἑσπέραν εἰσκομίζων ἔσται τὰς κλεῖς τῷ καθηγουμένῳ, καὶ οὐδὲ αὐτὸς τοὺς ἐπὶ θέαν αὐτοῦ ἀφιγμένους ὄψεται, ἄνευ προτροπῆς τοῦ καθηγουμένου, ἐπιτροπῇ δὲ τούτου θεάσηται αὐτούς, καθὼς ἂν ἐπιτραπείη.

Κεφαλ. ιγ'. Περὶ τῶν ἐν τῷ πυλῶνι τῆς μονῆς προσερχομένων πενήτων, μοναχῶν τε καὶ λαϊκῶν. Εἰκὸς δὲ ἐστὶ προσέρχεσθαι τῷ πυλῶνι τῆς μονῆς καί τινας τῶν ἐν Χριστῷ ἡμῶν ἀδελφῶν τῶν πενήτων δι' ἔνδειαν· καὶ ἐπεὶ πάντας εἰσάγεσθαι ἔνδον τοῦ μοναστηρίου ἀδύνατον, ἐχέτω ἐπ' ἀδείας ὁ κατὰ τὴν ἡμέραν πυλωρός, εὐλα-

---

[1]) παρακελλάριόν τε καὶ μάγειρον вмѣсто: συμπονοῦντα αὐτῷ [2]) прибавлено: ἀνὰ πινάκιον ἓν, καὶ ἀνὰ σκουτέλιον ἕν· οὐδὲ γὰρ βουλόμεθα οὖν δύο ἐσθίειν, καὶ μᾶλλον τὰς μαγειρείας καὶ τὰ ὄσπρια δι' οἰκονομίας ἁρμοζούσης· τὸ δέ γε ἔλαιον ὀφείλει λαμβάνειν [3]) прибавлено: Εἰ δὲ καὶ αὐτὸς δι' ἑαυτοῦ κατέχειν βουληθῇ αὐτά, ὁ κωλύων οὐδείς.

βὴς πάντως ὀφείλων εἶναι καὶ ἀδιάβλητος, ὡς ἄνωθεν ἔφημεν, ἀπέρχεσθαι πρὸς τὸν κελλαρίτην, καὶ λαμβάνειν ψωμίον, καὶ διδόναι τῷ ἐπαιτοῦντι ἀόκνως καὶ ἀγογγύστως, ἵνα μὴ αὐτὸς τὸ κρῖμα βαστάσῃ. Εἰ δὲ καὶ μοναχός ἐστιν ὁ ἀπαιτῶν, καὶ οἶνος διδόσθω αὐτῷ, καὶ ἰχθὺς ἢ τυρός, ἢ ἄλλο τι· ἀλλὰ καὶ μετὰ τὸ ἀριστῆσαι (об.] τοὺς ἀδελφούς, τὰ περιττεύσαντα μαγειρευτὰ ἐδέσματα διδόσθωσαν καὶ αὐτὰ παρὰ τοῦ αὐτοῦ πυλωροῦ τοῖς ἐν τῷ πυλῶνι εὑρισκομένοις πένησιν, ὡς ἂν διὰ τῆς πρὸς τοὺς ἀδελφοὺς ἡμῶν ἱλαρᾶς ἐλεημοσύνης καὶ μεταδόσεως, ἱλαρὸν καὶ ὑμεῖς καὶ ὀψιλῆ τὸν ἐκ Θεοῦ ἔλεον ἀπολαύοιτε· οὐδὲ γὰρ ὑποστρέφειν τινὰ ἐπαιτοῦντα κεναῖς χερσὶ τοῦ πυλῶνος αἱρούμεθα· καὶ τοῦτο φυλάττειν τὸν κατὰ τὴν ἡμέραν πυλωρὸν ἄχρι παντὸς[1]) βούλομαι, ἵνα μὴ τὸ κρῖμα, ὡς ἔφην, αὐτὸς βαστάσῃ.

Κεφαλ. ιδ'. Περὶ τοῦ ἔχειν ἐπ' ἀδείας τὸν καθηγούμενον καὶ ἑτέρους προχειρίζεσθαι διακονητάς. Καὶ ἑτέρας δὲ διακονίας, αἷς καὶ τὰ λοιπὰ μοναστήρια χρῶνται συνήθως, καιροῦ καλοῦντος, πλατυνθείσης σὺν Θεῷ τυχὸν τῆς μονῆς, καὶ χρείας κατεπειγούσης, προχειρισθῆναι ἐν τῇ μονῇ βούλομαι[2])· καὶ τὴν ἐπὶ τούτοις ἐμὴν[3]) θέλησιν (л. 25] καὶ ἀποδοχήν, καὶ συμβουλήν, καὶ διάταξιν ἀπαράθραυστον καὶ ἀμετακίνητον, εἰς συμφέρον ὑμῖν οὖσαν, καὶ σωτηρίαν ψυχικὴν καὶ ἀσφάλειαν καὶ πάντων ἀνάπαυσιν[4]).

Κεφαλ. ιε'. Περὶ τοῦ δεῖν πάντα τὰ ἐν τῷ παρόντι Τυπικῷ διηγορευμένα τὸ ἀναλλοίωτον ἔχειν καὶ ἄτρεπτον ἐσαεί. Τὸ γάρ τοι παρὸν Τυπικὸν ἕξει τὸ διαμένον, ἀκλόνητόν τε καὶ ἀπαράτρωτον, μέχρι παντός· μὴ προσθήκην τινὰ δεχόμενον, μὴ ἀφαίρεσιν, μὴ μεταποίησιν· οὐδέποτε γὰρ βούλομαι[5]) τι τῶν ἐν αὐτῷ διωρισμένων ὑμῖν παραβαθῆναι, ἢ τινα ἀλλοίωσιν, ἢ μεταποίησιν δέξασθαι παρ' οὑτινοσοῦν, κἂν πολλῷ κρείττονα διατάγματα καὶ οἰκονομήματα εἴ τε παρὰ τοῦ ἡγουμένου, εἴτε παρὰ τοῦ ἀντιλαμβανομένου τῆς μονῆς εἰσάγοιντο[6]), κἂν καὶ εἰς ὠφέλειαν ἴσως ταύτης δοκῇ ἀφορᾶν.

---

[1]) Далѣе въ Мамантовскомъ Типиконѣ: ἐν ἁγίῳ ἐντελλόμεθα πνεύματι. Καὶ τὰ μὲν τῆς φιλοξενίας καὶ ἐλεημοσύνης οὕτως ἐσαεὶ τηρηθήσονται ἀπαράθραστα καὶ ἀναλλοίωτα [2]) βουλόμεθα. [3]) ἡμῶν [4]) прибавлено: ἵνα εἴπω καὶ τοῦ ἐμοῦ πνεύματος ἐν προσώπῳ Κυρίου καύχημα καὶ ὡράϊσμα [5]) βουλόμεθα [6]) конецъ читается такъ: ἄνευ μόνου τοῦ αὐταδέλφου τοῦ Μυστικοῦ, ὡς ἄνωθεν ἔφημεν· τούτῳ γὰρ καὶ μόνῳ δεδώκαμεν ἄδειαν ποιῆσαι εἴτε καὶ βουλητὸν αὐτῷ, εἰς ὠφέλειαν καὶ συγκρότησιν πάντως τῆς μονῆς ἀφορῶν.

Κεφαλ. ις'. Περὶ τοῦ ἀναγινώσκεσθαι ἐν τῇ τραπέζῃ τὸ παρὸν Τυπικὸν εἰς ἐπήκοον πάντων. (об.] Ἐπὶ πᾶσι καὶ τοῦτο παραφυλακτέον οὐδὲν ἧττον τῶν ἄλλων, εἰ μὴ καὶ μᾶλλον, ὡς ἀρχήν τε καὶ αἰτίαν τῆς ἀμεταπτώτου τῶν διατετυπωμένων τηρήσεως, καὶ τοῦ ὅλου τῆς μονῆς καταρτισμοῦ· ἀναγινωσκέσθω τοίνυν εἰς ἐπήκοον πάντων τῆς μονῆς ἐν τῇ τραπέζῃ ἑξάκις [1]) τοῦ ἐνιαυτοῦ, ἤτοι κατὰ δίμηνον [2]), ἐπέκεινα δὲ τούτων, καὶ ἐν τῇ ἐμῇ μνήμῃ, καθ' ἣν ἡμέραν ἐκδημήσω τοῦ σώματος, ἵνα τῇ συνεχεῖ ἀναγνώσει παράμονα μᾶλλον καὶ ἀνεξάλειπτα εἴη τὰ διατετυπωμένα, ἃ δὴ πάσῃ φυλακῇ τηρεῖν ἀναγκαῖον, οὐχ' ὡς ἡμετέρας νομοθεσίας· ἀλλ' ὡς θείους νόμους, ἀπαραβάτως καὶ ἀναλλοιώτως ἔχοντας, καὶ ταῖς τοιαύταις ὑποθήκαις καὶ εἰσηγήσεσιν οὐ μόνον μὴ ἀθυμεῖν ὑμᾶς, τοὺς ἐν Κυρίῳ [3]) πατέρας μου καὶ ἀδελφούς, μὴ δ' ἄχθεσθαι, ἀλλὰ καὶ χαίρειν καὶ ἀγαλλιᾶσθαι εἰκός, ὅτι πάσης ἀπολελυμένοι φροντίδος, ἓν ἔργον ἀπερίσπαστον ἔξετε, τὴν τῆς (л. 26] ψυχικῆς σωτηρίας φροντίδα καὶ ἐπιμέλειαν.

Κεφαλ. ιζ'. Περὶ τῆς ἐν τῇ τραπέζῃ μελλούσης, γίνεσθαι ἀκολουθίας καὶ καταστάσεως, καὶ περὶ τῆς ἐν ταῖς λιταῖς ἡμέραις τροφῆς τῶν μοναχῶν, καὶ περὶ τῶν τριῶν τεσσαρακοστῶν. Καιρὸς δ' ἂν εἴη καὶ τραπέζης ἐπιμνησθῆναι, καὶ βρώσεως, καὶ τῶν λοιπῶν, ὅσα τὴν σύστασιν τοῦ σώματος παρέχει· οὔτε γὰρ ψυχὴ χωρὶς τῶν ταύτης προσφόρων τροφῶν, προσευχῆς, φημί, καὶ ψαλμῳδίας, καὶ θείων γραφῶν ἀναγνώσεως, εὖ ἕξει ποτέ, οὔτε μὴν σῶμα συστήσεται, καὶ πρὸς τὰ θεῖα ταύτης διακονήματα ὑπουργήσει, δίχα τῶν ἐξ ἀνάγκης αὐτῷ χρειωδῶν. Μετὰ τὸ γενέσθαι τοίνυν τὸν συνήθη διακλυσμὸν ἐν τῇ ἁγίᾳ [4]) ἐκκλησίᾳ, πληρωθείσης τῆς θείας λειτουργίας, δέον ἅπαντας συνηγμένους καθῆσθαι, ἐκδεχομένους τὴν ἐν τῇ τραπέζῃ πρόσκλησιν, τὴν διὰ τοῦ κρούσματος τοῦ (об.] ἐπ' αὐτῇ συμβόλου γινομενήν. Κρουσθέντος δὲ εὐθὺς σὺν τῷ καθηγουμένῳ, τοῦ συνήθους ψαλμοῦ ἀρξαμένους εἰς ἐπήκοον, βαδίζειν ἐπὶ τὴν τράπεζαν,

---

[1]) Тетрáкис [2]) Въ Типиконѣ монастыря св. Маманта: τρίμηνον, ἐπέκεινα δὲ τοῦ τετράκις, ἵνα ἀναγινώσκηται καὶ ἐν τῇ μνήμῃ τοῦ μακαρίτου Μυστικοῦ κατὰ τὴν πεντεκαιδεκάτην τοῦ ἰουλίου μηνός, καὶ ἐν τῇ μνήμῃ τῇ ἐμῇ, καθ' ἣν ἡμέραν ἐκδημήσω τοῦ σώματος, ἔτι τε ἐν τῇ μνήμῃ τοῦ αὐταδέλφου τοῦ Μυστικοῦ, κυροῦ Θεοχαρίστου. [3]) опущены слова: τοὺς ἐν Κυρίῳ πατέρας καὶ ἀδελφούς [4]) нѣтъ словъ: ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, πληρωθείσης τῆς θείας λειτουργίας.

αὐτόν τε δηλαδὴ τὸν ἡγούμενον καὶ πάντας, ὅσοι κατὰ τὴν πρώτην ἑστίασιν ἐν τῇ τραπέζῃ καθῆσθαι ἐτάχθησαν [1]) ἀπαραλείπτως· καὶ οὕτω, τὸ ἀριστητήριον εἰσιόντας, καὶ τὸν ῥηθέντα ψαλμὸν μετὰ τῆς σὺν αὐτῷ μικρᾶς εὐχῆς ἐκπεράναντας, καθῆσθαι κατὰ τάξιν, τὴν παρὰ τοῦ προεστῶτος διωρισμένην, καὶ τῶν παρατιθεμένων εὐχαρίστως μεταλαμβάνειν. Γίνεσθαι μέντοι καὶ ἀνάγνωσιν ἐν ταῖς ἑστιάσεσιν ἀναγκαῖον ἀπό τινος τῶν θείων Γραφῶν, καθὼς ἂν παρὰ τοῦ προεστῶτος διαταγείη, μὴ θορυβοῦντός τινος, μὴ ταράττοντος, μὴ συγχέοντος τὴν ἐκεῖθεν ὠφέλειαν ταῖς κοσμικαῖς ὁμιλίαις καὶ ἀργολογίαις, μόνου (**л. 27**] δὲ τοῦ προεστῶτος ὅτι βούλοιτο φειδομένως λέγοντος, καὶ τοῦ ἴσως ἐρωτωμένου, εἰ δυνατόν, ἐν ὀλίγοις τισὶ καὶ συντετμημένοις ῥήμασι τὴν ἀπόκρισιν ὁμοίως ποιουμένου. Ὅτε δὲ οὐ πάρεστιν ὁ καθηγούμενος, τυχὸν δι' ἀσθένειαν σώματος παρεμποδίσασαν, ἢ καί τινα ἑτέραν αἰτίαν, ὁ οἰκονόμος ἀντ' αὐτοῦ πληρώσει τὰ ὀφειλόμενα παρ' ἐκείνου γίνεσθαι· καὶ τούτου δὲ μὴ παρόντος, ὁ ἐκκλησιάρχης πληρώσει, ἢ ὁ πρῶτος [2]) τῶν ἱερέων. Τοίνυν μετὰ τὸ τοὺς μοναχοὺς ἀναστῆναι τῆς τραπέζης, καὶ ἑστίασις δευτέρα γινέσθω, ἄρτων τε παρατιθεμένων καὶ βρωμάτων, ὅσα καὶ ἐν τῇ πρώτῃ παρατέθηται τραπέζῃ, καὶ ἐσθιάσθωσαν οἱ διακονήσαντες. Ἡ δὲ τροφὴ ὑμῶν ἔσται [3]) ἐν ταῖς λιταῖς ἡμέραις κατὰ τὸ ἄριστον, τρίτῃ μὲν καὶ πέμπτῃ, καὶ σαββάτῳ, καὶ κυριακῇ ἐδέσματα δύο, ἔστι δ' ὅτε καὶ τρία δι' ἰχθύων (**об.**] καὶ τυροῦ καὶ ὀσπρίων, καθὼς ὁ προεστὼς διατάξοιτο· ἐν δὲ τῇ δευτέρᾳ δύο δι' ὀσπρίων ἐψητῶν μετὰ ἐλαίου, τετράδι δὲ καὶ παρασκευῇ, δύο καὶ τότε ἐδέσματα δι' ὀσπρίων ἐψητῶν καὶ αὐτῶν μετὰ ἐλαίου καὶ λαχάνων ὁμοίων, καθὼς ὁ προεστὼς διατάξοιτο. Εἰ δὲ βούλονται φυλάττειν διὰ τὴν τῶν κανόνων ἀκρίβειαν, ξηροφαγείτωσαν τὰς δύο ταύτας ἡμέρας, καὶ μᾶλλον, ἐὰν μὴ τὸ Θεὸς Κύριος, ἀλλὰ τὸ Ἀλληλούια ψάλλοιτο. Οἶνον δὲ πινέτωσαν διὰ τὴν ἀσθένειαν, μετὰ τοῦ συνήθους κρασοβολίου. Εἰ δὲ καὶ ἐν αὐταῖς, τετράδι, ψημί, καὶ παρασκευῇ, ἑορτὴ τύχῃ δεσποτική, ἢ καὶ τῆς ὑπεραγίας [4]) Θεοτόκου, ἐσθίειν καὶ τότε ἰχθύας, εἰ μή τις εἴη παρ' ἑτέρων παράκλησις, αὐτοῦ τοῦ ἡγουμένου τοῦτο φροντίζοντος. Ἡ δὲ πόσις ἡμῶν ἐν πάσαις ταῖς λιταῖς ἡμέραις ἔσται μετὰ τοῦ μείζονος ἐξαγίου· ὅτε δὲ τῷ προεστῶτι δόξει, καὶ μᾶλλον ἐν ταῖς ἑορταῖς, τοῖς μνημοσύνοις, διδόσθω καὶ [5]) (**л. 28**] [ἡ συνήθης

---

[1]) Τετάχαντο. [2]) Опущены слова: ἢ ὁ πρῶτος τῶν ἱερέων, но за то прибавлены: τὰ ὀφειλόμενα [3]) ἔστω ἐν τῇ λιτῇ ἡμέρᾳ [4]) нѣтъ—ἢ καὶ τῆς ὑπεραγίας Θεοτόκου. [5]) Далѣе въ рукописи патмосской библіотеки у четы-

εὐλογία. Κατὰ δὲ τὸν δεῖπνον τῶν αὐτῶν ἡμερῶν παρατεθήσεται ὑμῖν ἄρτος καὶ λάχανα τὰ κατὰ καιρὸν καὶ ὀπῶραι, ἤ τι ἕτερον, ὃ δόξει τῷ προεστῶτι, τὸ δέ τοι πόμα μετὰ τοῦ μείζονος δοθήσεται ἐξαγίου κατὰ τὸν τύπον.

Κεφ. ιη'. Περὶ τῆς ἐν ταῖς τρισὶ τεσσαρακοσταῖς τροφῆς τῶν μοναχῶν. Ταῦτα μὲν ἐν ταῖς λιταῖς ἡμέραις τοῦ ἐνιαυτοῦ, ἐν δέ τοι ταῖς τῶν] ἁγίων νηστειῶν οὐχ οὕτως. Καὶ πρό γε τῶν ἄλλων ἐν τῇ πρώτῃ καὶ μεγίστῃ, ἧς κατὰ τὴν πρώτην ἡμέραν, ἤγουν τὴν δευτέραν τῆς πρώτης ἑβδομάδος μηθ' ἱερουργητέον, μή τε τραπέζης φροντιστέον, ἢ βρώσεως, ταῖς μέντοι ἑξῆς ἡμέραις τῆς αὐτῆς ἑβδομάδος καὶ τραπέζης ἐπιμελητέον, καὶ βρώσεως μεταληπτέον, ἥτις δὴ ἔσται δι' ὀσπρίων διαβρόχων ὕδατι, καὶ ὠμῶν ἴσως λαχάνων καὶ ὀπωρῶν, τὸ δὲ πόμα οἶνος κρασοβολίου τὸ ἥμισυ· ὀλιγοστῶν γὰρ ὄντων (об.] [τῶν ψαλλόντων, καὶ τῆς ἀκολουθίας μεγάλης οὔσης, ἐὰν ὑδροποτῶσιν, οὔτε γεγωνότερον δύνανται ἂν ψάλλειν, οὔτε μὴν τὴν τῶν γονάτων συνεχῆ κλίσιν εὐμαρεστέραν ποιεῖν, καὶ διὰ τοῦτο χρεία μετρίας συγκαταβάσεως, κἂν καὶ παρὰ τὸν ὅρον τῶν θείων κανόνων ἐστί. Ταῦτα δὲ ἄχρι τοῦ σαββάτου· ἐν αὐτῷ γὰρ ἐψητά τινα βρωτέον, καὶ ὀστρακόδερμα, καὶ δὶς τῆς ἡμέρας πίνειν τε μετὰ τοῦ συνήθ]ους μεγάλου κρασοβολίου· εἰ δὲ παρά τινος τῶν φιλοχρίστων παράκλησις γένοιτο[1]), καὶ δι' ἰσχάδων[2]) ἐστιαθήσεσθε. Ἡ μὲν δὴ πρώτη ἑβδομὰς τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς· οὕτως ὑμῖν ἀνυέσθω· τοῖς δὲ σάββασι πᾶσι καὶ ταῖς κυριακαῖς τῆς αὐτῆς ἁγίας νηστείας δύο, ἢ τρία παρατιθέσθω ὑμῖν ἐδέσματα μαγειρευτὰ ματὰ ἐλαίου, διδόσθω δὲ καὶ εἰς πόσιν τὸ σύνηθες μέγα κρασοβόλιον. Τὸ δ' αὐτὸ γινέσθω καὶ τῇ τετράδι τῆς μεσονηστίμου, καὶ τῇ πέμπτῃ τοῦ (л. 29] μεγά[λου κανόνος· ταῖς δέ γε τρίταις κυάμους ἐφθούς, ἐλαίας μαύρας καὶ λοιπὰ τοιαῦτα, ταῖς δὲ πέμπταις δύο ἐδέσματα παρατεθήσονται ὑμῖν μαγειρευτά, ἀμφότερα ἐλαίου μετέχοντα, τὰς δὲ δευτέρας τετράδας τε καὶ τὰς παρασκευὰς δι' ὀσπρίων διαβρόχων ὕδατι καὶ λαχάνων ὠμῶν, ἔτι τε καρύων καὶ ἰσχάδων καὶ λοιπῶν τοιούτων·

рехъ листовъ, содержащихъ въ себѣ 18 главу и конецъ 17, оторваны верхнія половины, а по сему въ текстѣ образовались недочеты, которые мы восполняемъ по рукописи Халкинской библ. № 85 изъ Типикона монастыря св. Маманта, заключивъ дополненія въ большія скобки. Надписаніе же 18 главы взято нами изъ оглавленія къ настоящему Типикону.

[1]) γένηται [2]) ἰχθύων.

τὸ δέ τοι πόμα τὴν πᾶσαν ἑβδομάδα, ἄνευ τοῦ σαββατοκυριάκου, ὀφείλει δίδοσθαι μετὰ τοῦ συνήθους διμοίρου. Εἰ δὲ ἐν τρίτῃ, ἢ πέμπτῃ, ἢ σαββατοκυριάκῳ τύχῃ τὴν μνήμην συνδραμεῖν τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου, ἢ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, καὶ δι' ἰχθύων ἑστιατέον, καὶ οἶνος μεταδοτέον τῷ μείζονι ἑξαγίῳ. Εἰ δὲ τῶν ἁγίων μ'. τὴν μνήμην τύχῃ συνδραμεῖν ἐν ταῖς ῥηθείσαις ἡμέραις, δι' ὀστρακοδέρμων ἑστιαθήσεσθε, καὶ ὁ οἶνος διὰ τοῦ μείζονος (об.) [ἑξαγίου. Τὰς ἄλλας τοίνυν πάσας ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς οὐκ ἐξέσται ὑμῖν ἰχθυοφαγεῖν τὸ σύνολον, εἰ μὴ παράκλησις ἴσως πεμφθείη παρά τινος φιλοχρίστου ἐν σαββάτῳ ἢ κυριακῇ. Τῆς ἑορτῆς δὲ τοῦ Εὐαγελισμοῦ ἐπιστάσης, λαμπρῶς ἑορταστέον εἰς δύναμιν, καὶ ἰχθύων μεταληπτέον οἴκοθεν] ὀψωνιζομένων, καὶ οἶνον ποτέον διὰ τοῦ μείζονος ἑξαγίου· ἰχθυοφαγήσετε δὲ ἐν τῇ τοιαύτῃ ἁγίᾳ [1]) καὶ μεγάλῃ ἑορτῇ, ὡς εἴρηται, ἂν μὴ τῇ μεγάλῃ καὶ ἁγίᾳ ἑβδομάδι συνδράμῃ· τότε γὰρ τοῖς ὀστρακοδέρμοις χρήσεσθε μόνοις, μᾶλλον δὲ παρακληθήσεσθε διὰ τὴν ἑορτήν, ἐπεὶ τὰς τρεῖς ἡμέρας ταύτης τῆς ἑβδομάδος, ἤγουν δευτέραν, τρίτην, καὶ τετράδα διάγειν εἰκὸς ὀσπρίοις τισὶ διαβρόχοις, καὶ λαχάνοις ὠμοῖς, καὶ ὀπώραις, ταῖς παρατυχούσαις, ἀρκουμένους, καὶ τὸ ἥμισυ δὲ τοῦ κρασοβολίου πίεσθε διὰ τὸν κόπον. (л 30) [Εἰ δὲ καὶ ἐν τῇ μεγάλῃ τετράδι καὶ τῇ μεγάλῃ παρασκευῇ, ἢ καὶ αὐτῷ τῷ μεγάλῳ σαββάτῳ, τῇ μὲν τετράδι τῇ μεγάλῃ καὶ τῇ μεγάλῃ παρασκευῇ ὀσπρίοις τισὶ ἑψητοῖς καὶ λαχάνοις σὺν ἐλαίῳ ἀρκεσθήσεσθε, μεταληπτέον δὲ καὶ οἴνου τῷ μείζονι ἑξαγίῳ, ἐν δὲ τῷ ἁγίῳ σαββάτῳ ἀπέστω πᾶσα μέριμνα περισπασ]μὸν ἐμποιοῦσα· οὐ γὰρ διὰ τὴν ἑορτὴν καταλύσετε τὴν τοῦ μεγάλου σαββάτου νηστείαν, ὃ μόνον ἀπὸ πάντων νηστεύειν κανονικῶς παρελάβομεν, ἀλλὰ καὶ μᾶλλον τηρητέον τὰς τῶν θείων πατέρων διατάξεις. Τῇ τοίνυν ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, ὅτε μὴ ἑορτάζομεν τὸν Εὐαγγελισμόν, κατὰ τὰς πέμπτας τῶν λοιπῶν ἑβδομάδων τῆς τεσσαρακοστῆς ἡ ἑστίασις ἔσται ὑμῖν ἐν τοῖς ἐδέσμασιν, ὁ δὲ οἶνος τῷ μείζονι ἑξαγίῳ. Τῇ μέντοι ἁγίᾳ παρασκευῇ, εἰ μὴ ἡ προλεχθεῖσα ἑορτὴ συνδράμῃ, οὐδόλως μαγειρευτέον, λαχάνων δέ τινων ὠμῶν (об.) [καὶ ὀπωρῶν μεταληπτέον, καὶ οἴνου τῷ μείζονι ἑξαγίῳ διὰ τὸν ἐκ τῆς ἀγρυπνίας κόπον. Ἐν δὲ τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ μόνος διακλυσμὸς γινέσθω κατὰ τὸ ἐπακολουθῆσαν ἔθος, ἐν τῇ τραπέζῃ μέντοι εἰσερχομένων διὰ τὸ ἀθόρυβον, κἀκεῖσε διακλυσμένων κατὰ τὸν παρακολουθήσαντα τύπον, κἂν τὴν συνήθειαν], κἂν καὶ

[1]) Нѣтъ словъ: ἁγίᾳ καὶ μεγάλῃ.

ἡ τῆς παναχράντου Δεσποίνης ἡμῶν καὶ Θεοτόκου ἑορτὴ συνδράμῃ. Τοῦτον μὲν δὴ[1]) τὸν τρόπον, ἡ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ μ'. δίαιτα τῶν τροφῶν ὑμῶν ἐχέτω, τῆς περὶ τῶν ἀσθενούντων τροφῆς τῇ διακρίσει τοῦ προεστῶτος ἀνατεθείσης. Ἐν μέντοι τῇ εἰρημένῃ ἁγίᾳ καὶ μεγάλῃ μ'. ἄνευ μεγάλης βίας, οὐδόλως ὀφείλουσιν ἐξέρχεσθαι τῆς μονῆς οἱ μοναχοί, εἰ μὴ μόνοι οἱ διακονηταί. Τὰ δὲ τῆς τῶν ἁγίων ἀποστόλων, αὐτίκα διατυπωθήσεται. Μετὰ τὸ τελεσθῆναι τὴν πᾶσαν ἀκολουθίαν τῶν τε ὡρῶν καὶ τῆς θείας ἱερουργίας, ὡς τὸ (л. **31**) [Συναξάριον διέξεισι, καλείτω ὑμᾶς ἡ τράπεζα, κατὰ τὸν ἄνωθεν διατεταγμένον τύπον ἑβδόμης ὥρας ἐνισταμένης, ἐν ᾗ κατὰ τὴν τρίτην καὶ πέμπτην δύο, ἢ τρία ἐδέσματα] μαγειρευτὰ συν ἐλαίῳ παρατεθήσονται, καὶ οἶνος πινέσθω διὰ τοῦ μείζονος ἑξαγίου, κατὰ δὲ τὰς δευτέρας, τὰς τετράδας, καὶ τὰς παρασκευάς, ξηροφαγήτωσαν, καὶ οἶνος πινέσθω[2]) διὰ τοῦ μείζονος[3]) ἑξαγίου. Ἐχέτω δὲ ἐπ' ἀδείας ὁ προεστὼς ποιεῖν παρακλήσεις καὶ συγκαταβάσεις, ὁπόταν[4]) καὶ βουλητὸν αὐτῷ, τὰ δὲ σάββατα καὶ τὰς κυριακὰς καὶ ἰχθύων μεταληπτέον, οἴκοθεν ὀψωνιζομένων, εἰ μὴ παράκλησις διά τινος γένοιτο· καὶ οἶνος δὲ ἐν ἁπάσαις ταῖς ἡμέραις ταύταις, καὶ ἐν αὐταῖς ταῖς τετράσι καὶ ταῖς παρασκευαῖς διὰ τοῦ μείζονος[5]) ἑξαγίου. Ἀλλὰ καὶ δεῖπνος ἐν ἁπάσαις παρατιθέσθω, ἄρτου [καὶ (об.] λαχάνων ὠμῶν, καὶ ὀπωρῶν τῶν κατὰ καιρόν, καὶ οἶνος ὁ διὰ τοῦ μείζονος ἑξαγίου διὰ τὸ καυσῶδες καὶ ξηραντικὸν τοῦ καιροῦ· ἂν δέ τις εἴη παράκλησις καὶ ἐν ἑτέρᾳ ἡμέρᾳ, ἄνευ τετράδος καὶ παρασκευῆς, μεταληπτέον] καὶ τότε ἰχθύων εὐχαριστοῦντες τῷ Θεῷ. Καὶ ἡ τῶν ἁγίων[6]) τοῦ Χριστοῦ γενεθλίων τεσσαρακοστὴ ὁμοία ἔσται τῇ τῶν ἁγίων Ἀποστόλων, ἔν τε ταῖς βρώσεσι καὶ ταῖς πόσεσι· μετὰ τὸ πληρωθῆναι δηλαδὴ τὴν ἅπασαν ἀκολουθίαν, κατὰ τὸ ἄνωθεν[7]) δηλωθὲν Συναξάριον, ἐνὶ μόνῳ παραλάττουσα ἡ ῥηθεῖσα ἁγία τῶν Χριστοῦ γέννων τεσσαρακοστή, τὸ ἅπαξ ἐστιᾶσθαι· ἐννάτῃ γὰρ ὥρᾳ τὴν ἑστίασιν ὑμῖν παραδήσει, νηστείας ἀγομένης, ὡς εἴρηται, νηστεία δὲ εἴη πάντως ὁπότ' ἂν μὴ Θεὸς Κύριος, ἀλλ' Ἀλληλούϊα ψάλλοιτο ἐν τῷ ὄρθρῳ.

Κεφαλ. ιθ'. Περὶ τοῦ ἐσθίειν ἀπαρατηρήτως κατὰ πᾶσαν τὴν πρωτοαπόκρεω ἑβδομάδα τυρὸν καὶ ὠὰ διὰ τὴν τῶν Ἀρτζιβουρίων (л. **32**) αἵρεσιν, συνεισέρχεσθαι δὲ καθ' ἑκάστην ἐν τῇ τραπέζῃ τῇ πρώτῃ[8]) τοὺς γεωρ-

---

[1]) οὖν [2]) διδόσθω [3]) μεγάλου [4]) ὁπότε [5]) прибавлено: ἔσται [6]) нѣтъ — ἁγίων [7]) κατὰ τὸ τῆς ἐκκλησίας Συναξάριον [8]) нѣтъ — τῇ πρώτῃ τοὺς γεωργούς.

γούς, τοὺς κηπουρούς, τοὺς ἀμπελικοὺς[1]) καὶ πάντας[2]) ἁπλῶς ἄνευ τῶν ἐξ ἔθους παριστα μένων. Ἀλλ', ὅπερ ἡμᾶς μικροῦ[3]) καὶ παρέδραμεν, ἀναγκαῖόν ὄν, καὶ τῆς μυσαρᾶς παραδόσεως τῶν Ἀρτζιβουρίων ἀποδιαιροῦν, καὶ τοῦτο γραφῇ δοτέον· ἐν γὰρ τῇ πρὸ τῆς Ἀπόκρεω ἑβδομάδι τῶν τοιούτων Ἀρτζιβουρίων μὴ ἄλλο τι ἐσθίειν παραλαβόντων[4]) πάρεξ ἄρτου καὶ ὕδατος, ἡμεῖς, ἵνα τῆς τούτων αἱρέσεως ἀποδιῃρημένοι τυγχάνωμεν, καὶ τυρὸν καὶ ὠὰ δι' ὅλης[5]) τῆς ἑβδομάδος ἀνενδοιάστως ἐσθίομεν. Ὡσαύτως καὶ κατὰ τὴν ἑβδομάδα πᾶσαν τῆς τυρινῆς, δι' ἑτέραν αἵρεσιν καὶ τοῦτο παρατηρούμενοι, συνεισέρχεσθαι μέντοι ἐν τῇ πρώτῃ τραπέζῃ καθ' ἑκάστην ἀνυπερθέτως ὀφείλουσι καὶ οἱ γεωργοί[6]), οἵτε τῶν ἀμπελώνων καὶ τῶν κήπων ἐπιμελούμενοι[7]), καὶ οἱ τὴν ἁλιευτικὴν (об.] μετερχόμενοι ἀδελφοί, ὡσαύτως καὶ οἱ λοιποὶ πάντες διακονηταί, ἄνευ τῶν ἐξ ἔθους[8]) παριστα μένων, καὶ κοινῶς ἐπαπολαύειν τῶν τοῦ Θεοῦ δωρεῶν· ἵν οὕτως μὴ ὀνόματι μόνῳ ἡ προσηγορία τῆς ἀδελφότητος λέγοιτο, ἀλλ' ἔργοις αὐτοῖς τὸ ἐνεργὸν ἀποφέρηται. Εἴπερ δέ τινες τῶν ἀδελφῶν εἰς διακονίαν σταλέντες, ἢ καὶ εἰς οἰκείαν τινὰ δουλείαν ἀπελθόντες μετὰ εἰδήσεως πατρικῆς, ἐμβραδύνουσιν, εἶτα μετὰ τὸ ἄριστον ἢ καὶ τὸν δεῖπνον τυχὸν ἐπανέλθωσιν, ἀνυστερήτως καὶ τούτοις δίδοσθαι χρεὼν εἴ τι καὶ τοῖς λοιποῖς ἀδελφοῖς κατὰ τὴν ἡμέραν ἐν τῇ τραπέζῃ διενεμήθη. Παράδοσιν δέ[9]), ὡς μανθάνομεν, ἔχουσιν αἱ μοναί, ἵνα κατὰ τὴν ἁγίαν καὶ σεβάσμιον Κοίμησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐν τῷ ἀριστᾶν τοὺς ἀδελφοὺς ἐν τῇ τραπέζῃ, ἐσθίωσι[10]) καὶ σταφυλὰς εὐλογουμένας πρότερον ἐν τῷ ναῷ παρὰ τοῦ τὴν ἐφημερίαν ἔχοντος (л. 33] ἱερέως. Καὶ δὴ τηρεῖσθαι καὶ τὴν τοιαύτην παράδοσιν. Εἴπερ δέ τις τῶν μοναχῶν[11]) φορᾶθείη πρὸ τῆς τοιαύτης ἑορτῆς ἀπογευσάμενος σταφυλῶν, τῆς παρακοῆς ἐντεῦθεν ἕξει τὸ ἐπιτίμιον, καὶ οὐ μεθέξει τούτων τὸ συνόλον ἄχρι τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ· τῷ αὐτῷ δὲ ὑποπεσεῖται ἐπιτιμίῳ καὶ εἴτις τῶν τοὺς ἀμπελῶνας ἐργαζομένων ἀδελφῶν τὴν τοιαύτην ἀθετήσει ἐντολήν. Ἐπὶ μέντοι τῆς τραπέζης δίς, εἴ τε καὶ τρὶς τῆς ἑβδομάδος μετὰ τὴν ἑορτήν, αἱ σταφυλαὶ προτεθήσονται ἄχρι τῶν τοῦ τρυγητοῦ

---

[1]) ἀμπελουργούς [2]) ἅπαντας [3]) прибавлено: δεῖν [4]) нѣтъ этого слова [5]) δι' ὅλης ταύτης [6]) οἱ γεωργοί—нѣтъ [7]) прибавлено: συνάδελφοι ἡμῶν, καὶ πάντες οἱ λοιποὶ διακονηταὶ [8]) ἐξ ἔθους—нѣтъ [9]) прибавлено: ἔχομεν, ἵνα κατὰ τὴν ἁγίαν καὶ σεβασμίαν Κοίμησιν [10]) ἐσθίειν [11]) τῶν ἀδελφῶν.

καιρῶν, ἐπὶ δέ γε τῶν σύκων, καὶ τῶν πεπωνίων, καὶ τῶν λοιπῶν ὀπωρῶν [1]), καὶ καθ' ἑκάστην σχεδόν, εἰ ἔχουσι, μεταλήψονται.

Κεφαλ. κ'. Περὶ τοῦ μὴ λαθροφαγεῖν τοὺς μοναχούς, καὶ περὶ ἀκτησίας. Ἀλλὰ καὶ περὶ ἀποχῆς λαθραίας βρώσεώς τε καὶ πόσεως εἰσηγοῦμαι [2]) ὑμῖν, καὶ φεύγετε ταύτην ὁπόση δύναμις, ἐκεῖνο διὰ παντὸς φέροντες κατὰ νοῦν, (об.] ὅτι καὶ κατ' ἀρχὰς βρῶσις ἡμᾶς ὑπήγαγε τῷ θανάτῳ παρήκοος, καὶ τῆς ἐν παραδείσῳ διαγωγῆς ἀπεστέρησε, τοῦ πονηροῦ καὶ ἀρχεκάκου δαίμονος αὐτὴν εἰσηγησαμένου, ὅστις ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν οὐ παύεται τοῖς τὸν κατ' αὐτοῦ πόλεμον ἀναδεξαμένοις, ὡς ἀρχαῖον ὅπλον, τὴν λαθραίαν καὶ ἀπηγορευμένην γεῦσιν βρωτοῦ τινος ἢ ποτοῦ προβαλλόμενος, καὶ μὴ μόνον προβαλλόμενος, ἀλλὰ καὶ συνηγορῶν τῇ λαθραίᾳ γεύσει, καὶ κατὰ φύσιν εἶναι τὸ πρᾶγμα λέγων καὶ ἀναιτίατον. Ὑμεῖς δέ, ἀδελφοὶ [3]) καὶ πατέρες μου, μὴ ἀγνοήσητε αὐτοῦ τὰ νοήματα, πρὸς τὸ τέλος ἀφορῶντες τῆς συμβουλῆς, ὅτι παράβασις ἐστὶν ἐντολῆς· ἵνα γοῦν τὴν τοιαύτην παγίδα τοῦ πονηροῦ εὐχερῶς ὑπερβαίνητε, ἀκτησίαν ὑμῖν ἐπιτάττομεν, τὰ μέγιστα συμβάλλεσθαι δυναμένην, ἣν φυλάττοντες, ἀμογητὶ [4]) τὸν τῆς λαθροφαγίας διαδράσετε κίνδυνον· ὁ γὰρ ἔχων μηδὲν τίνος ἂν γεύσοιτο; Ἀκτησίαν οὖν ἀσκήσατε οὐκ ἐν πράγμασι μόνον ἀνηνύτοις καὶ περιττοῖς, (л. 34] ἀλλὰ καὶ ἐν βρώμασί τε καὶ πόμασιν ἄχρι καὶ τοῦ ἐλαχίστου· διὰ γοῦν τοῦτο καὶ τῷ προεστῶτι εἰσηγούμεθα εἰς τὰς κέλλας ὑμῶν εἰσέρχεσθαι, ὁπόταν καὶ βουλητὸν αὐτῷ, καὶ διερευνᾶν αὐτούς, καὶ μηδὲν πλέον ἔχειν ἐᾶν τῶν παρὰ τοῦ κοινοβιακοῦ κανόνος συγχωρουμένων.

Κεφαλ. κα'. Περὶ τοῦ μὴ ἀπολιμπάνεσθαί τινα χωρὶς σωματικῆς ἀῤῥωστίας, ἢ ἑτέρας εὐλόγου αἰτίας τῆς ἐκκλησιαστικῆς ἀκολουθίας. Πρὸ πάντων [5]) δὲ παρακαλῶ ὑμᾶς, τοὺς πνευματικούς μου πατέρας καὶ ἀδελφούς, ὥστε μή τινα τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀπολιμπάνεσθαι, ἢ ἐν ταῖς ἡμεριναῖς καὶ νυκτεριναῖς δοξολογίαις, ἢ ἐν ταῖς συνήθως τελουμέναις ἀγρυπνίαις, ὡς, εἴπερ τις κατὰ ῥᾳθυμίαν καὶ ἀμέλειαν ἀπολειφθείη, καὶ μὴ δι' ἀσθένειαν, ἢ καὶ συγγνώμην οἷδεν ἐφέλκεσθαι, ἴστω ὁ τοιοῦτος, ὡς, εἴ γε μετὰ πρώτην καὶ δευτέραν καὶ τρίτην παραίνεσιν ἐπιμείνει τῇ ῥᾳθυμίᾳ αὐτοῦ, ἔνδικον ἐντεῦθεν ἕξει (об.] τὸ ἐπιτίμιον, τὴν ξηροφαγίαν αὐτὴν καὶ τὸ ὑδροποτεῖν καθ' ἣν ἡμέραν ὑπ' αὐτοῦ τοῦτο πλημμεληθείη. Οἱ μέντοι

[1]) НѢтъ—καὶ τῶν λοιπῶν ὀπωρῶν. [2]) εἰσηγούμεθα [3]) нѣтъ—ἀδελφοὶ καὶ πατέρες μου. [4]) НѢтъ [5]) Ἀλλὰ πρὸ πάντων.

διακονίαις ἴσως τισὶν ἀσχολούμενοι, ἢ σωματικαῖς ἀῤῥωστίαις, ὡς εἴρηται, προσπαλαίοντες, τῷ τοιούτῳ δεσμῷ οὐχ' ὑποβληθήσονται· ταῖς γὰρ ἀσθενείαις τῶν ἀνθρώπων καὶ τοῖς κόποις συγκαταβαίνειν χρεών.

Κεφάλ. κβ'. Περὶ τοῦ πῶς δεῖ ἀποκείρεσθαι τοὺς προσερχομένους, καὶ μετὰ πόσον καιρόν. Ῥητέον δὲ λοιπὸν καὶ περὶ τῶν προσερχομένων τῇ μονῇ ἐπὶ τὸ ἀποκαρῆναι πλατύτερον, εἴγε οἵτινες εἶεν περιφανεῖς, ἢ τῶν ἀνέκαθεν γνωρίμων, καὶ σχεδὸν γινωσκόντων τὴν τῆς μονῆς διαγωγὴν καὶ κατάστασιν, ἀποκειρέσθωσαν διὰ ἑξαμηνιαίου καιροῦ, ἀξιοῦντες καὶ αὐτοὶ τοῦτο ἴσως καὶ ἀποδεχόμενοι. Εἰ δὲ τῶν τυχόντων εἰσίν, ἢ ἄγνωστοι, μετὰ παρέλευσιν ἑπτὰ ἡμερῶν τῆς ἐν τῇ μονῇ τούτων ἀφίξεως, ἐνδυέσθωσαν τὰ ῥάκη, (л. 35] καὶ τὰς μοναχικὰς περικεφαλαίας περιβεβλείσθωσαν, ἐπιταττέσθωσαν δὲ καὶ τὰς καταλλήλους διακονίας, καὶ ἐπιτηρείσθωσαν εἰ μεθ' ὑπομονῆς καὶ προθυμίας καὶ ταπεινώσεως ἐκτελοῖεν ταύτας. Ἂν μέντοι οὕτως ἔχοντες διακαρτεροῖεν ἄχρι διχρονιαίου καιροῦ, τηνικαῦτα καὶ τὸν ἀῤῥαβῶνα τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος, ἤτοι τὸν μανδύαν περιβαλλέσθωσαν· εἰ δ' ὀκλάσαντες τυχὸν φανεῖεν γογγύζοντές τε καὶ καταῤῥᾳθυμοῦντες τῶν ἐντεταλμένων, τῷ προεστῶτι περὶ τούτων μελήσει. Τοὺς τοίνυν εἰσδεχθῆναι κριθέντας οὐκ ἀναγκαστέον περὶ ἀποταγῆς τε καὶ προσενέξεως, εἰ δ' ἴσως αὐτός τε ἐκὼν ὁ ἀποκαρησόμενος τῷ Θεῷ καὶ τῇ παναχράντῳ [1]) αὐτοῦ Μητρὶ προσενεγκεῖν τι αἱροῖτο, δεκτέον τοῦτο, ὡς ἄνωθεν ἔφημεν· ἀλλὰ ταῦτα μὲν τῶν ἀποκειρομένων ἐν τῇ μονῇ, φροντιστέον δὲ καὶ τῶν ἀπὸ ξένης (об.] ἐρχομένων ἐπὶ τὸ βαλεῖν ἀρχὴν ἐν αὐτῇ. Ὁ τοίνυν εἰσδεχθῆναι κριθεὶς τῇ μονῇ μοναστὴς ὀκτὼ καὶ μόνας ἡμέρας διαγέτω ἐν ταύτῃ πρὸς θέαν τῆς αὐτῆς καταστάσεως, καὶ εἴγε δὴ ἀρεσθῇ, γινέσθω μὲν παρ' αὐτοῦ ἐξαγορεία τῷ προεστῶτι, εἶτα, τελουμένου Τρισαγίου ἐν τῇ ἐκκλησίᾳ, ὑποκλινῇ μὲν οὗτος αὐτῷ διδότω [2]) τὴν ἰδίαν κεφαλὴν καὶ ἀπερικάλυπτον, αὐτὸς δὲ τῷ τιμίῳ ταύτην σφραγίζων σταυρῷ, οὕτω πῶς [3]) εὐλαβῶς λεγέτω· Ἡ χάρις τοῦ παναγίου Πνεύματος, ἀδελφέ, δι' εὐχῶν τῶν [4]) πατέρων ἡμῶν, δῴη σοι δύναμιν καὶ ἰσχὺν καλῶς τετελεκέναι καὶ θεαρέστως ἣν ἔβαλας ἀρχήν, εἰς οἰκοδομὴν καὶ σωτηρίαν τῆς σῆς ψυχῆς. Ἔπειτα τὸν ἐν Κυρίῳ δότῳ αὐτῷ ἀσπασμον, καὶ καθ' ἑξῆς ὁμοίως οἱ ἀδελφοὶ πάντες. Οὗτος δὲ ποιείτω μετάνοιαν τοῖς ἀδελφοῖς λέγων· Εὔξασθέ μοι, πατέρες καὶ ἀδελφοί, ἵνα μοι δώσῃ (л. 36] ὁ Θεὸς ὑπομονήν. Καὶ τῶν ἀδελφῶν ἀποκρινομέ-

[1]) Καὶ τῷ ἁγίῳ [2]) δίδωσι [3]) οὑτωσί πως [4]) прибавлено: ἁγίων.

νων· Ὁ Θεὸς δῴη σοι, ἀδελφέ, ὑπομονὴν ἐν παντὶ ἔργῳ ἀγαθῷ, συγκαταλεγέσθω τῇ ἀδελφότητι. Ἄλλως γὰρ οὐ συναριθμηθήσεταί τις τοῖς τῆς καθ' ἡμᾶς μονῆς ἀδελφοῖς, εἰ μὴ [1]) ἡ παροῦσα ἀκολουθία προβῇ.

Κεφαλ. κγ'. Παραίνεσις περὶ τοῦ πάντας τοὺς διακονητὰς ὁλοσχερῶς ἀντέχεσθαι τῶν διακονιῶν αὐτῶν, καὶ μὴ κατά τι καταφρονεῖν αὐτῶν. Παρακαλῶ οὖν ἅπαντας τοὺς τῆς μονῆς διακονητάς, ἀπὸ τοῦ πρώτου ἄχρι καὶ τοῦ ἐσχάτου, ὁλοψύχως τῶν διακονιῶν αὐτῶν ἔχεσθαι, ὡς οὐ μικρὰν ἐντεῦθεν ἐλπίζοντας ἔχειν τὴν ἀντάμειψιν, ὧν τοῖς μὲν ἀγραμμάτοις ἀρκέσει πάντως πρὸς ἀπολογίαν καὶ Θεῷ καὶ ἡμῖν ἡ περὶ τὴν διακονίαν προσοχή τε καὶ ἐπιμέλεια, τοὺς δέ γε εἰδότας γράμματα, καὶ κωλυομένους [2]) ἴσως διὰ τὸ τῆς διακονίας πολυάσχολον τὴν ἐν ταῖς (**об.**] εὐχαῖς αὐτῶν ἀκολουθίαν ἐκτελεῖν, καὶ συνεῖναι τοῖς ἀδελφοῖς κατὰ τὰς συνάξεις, παραινοῦμεν μὴ ὀλιγωρεῖν ἢ ἀπογινώσκειν, ὡς δὴ τὴν ἑαυτῶν ἀπολωλεκότας ὠφέλειαν, ἀλλ' εὐθύμως τε μᾶλλον ἔχειν καὶ χαρμοσύνως, ὅτι ἐνίσχυσεν αὐτοὺς ὁ Θεὸς τοῖς ἀδελφοῖς κατὰ μίμησιν ἐκείνου διακονῆσαι, ὃς ἔφη [3])· „Οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ θεῖναι τὴν ψυχήν μου λύτρον ἀντὶ πολλῶν". Ὁρᾶτε, φίλοι μου [4]), οἷον αὐτοὶ ἔργον ἀποπληροῦτε; Ὁρᾶτε τίνα μιμεῖσθε; Βλέπετε, ὅτι τὸ κεφάλαιον παντὸς ἀγαθοῦ, τὴν ἀγάπην, μετέρχεσθε; Τί οὖν λυπεῖσθε καὶ κατηφιᾶτε τῆς συνάξεως ἀπαλειπόμενοι; Οὐκ ἐννοεῖτε, ὅτι τὰς ἑαυτῶν ψυχὰς τίθεσθε ἀντὶ πολλῶν, ὡς ὁ ἐμὸς Δεσπότης Χριστός, ἵνα τοὺς ἀδελφοὺς ἡμῶν ἀναπαύσητε; Χαίρειν μὲν οὖν ὑμᾶς δεῖ καὶ σκιρτᾶν, ὅτι, ὃ μόλις δύναιντ' ἂν κατορθῶσαι οἱ τῇ εὐχῇ προσανέχοντες, ἔργῳ ἀποπληροῦτε (**л. 37**] καθ' ἑκάστην αὐτοί, „μακάριοι οὖν ἐστὲ τῆς ἐντεῦθεν ἀπασχολίας καὶ ζηλωτοί"· καλὴ μὲν γὰρ καὶ ἡ εὐχή, καὶ σφόδρα καλή, Θεῷ προσομιλεῖν ἡμᾶς ποιοῦσα, καὶ ἀπὸ γῆς εἰς οὐρανοὺς αἴρουσα, κρείσσων δὲ ἄρα καὶ μείζων πολλῷ πλέον ἀγάπη· ἐκείνη μὲν γὰρ μέρος ἀρετῆς, καὶ τοῦ ὅλου σώματος τῆς θεοποιοῦ τελειότητος ἀπότμημά τι καὶ μόριον, ἡ δὲ ἀγάπη κεφαλὴ καὶ ἀπαρτισμός. Καὶ γὰρ καὶ τὴν ὑψοποιὸν ταπείνωσιν συνεζευγμένην ἑαυτῇ δείκνυσι, καὶ τὴν ἐλεημοσύνην, καὶ τὴν φιλανθρωπίαν, δι' ἃ καὶ μᾶλλον ὁ Θεὸς γέγονεν ἄνθρωπος, καὶ δι' ὧν ὁ ἄνθρωπος Θεὸς ἀποδείκνυται· ἵνα τί γοῦν τὸν θησαυρὸν τούτων πάντων ἀφέντες τῶν ἀγαθῶν καὶ τὴν κεφαλήν, ἐπὶ τὰ κάτω τρέχετε; Δέον τὴν κεφαλὴν οὕτω φθάσαντας εὐπετῶς κατέχειν τε

[1]) Конецъ слѣдующій: Εἰ μὴ οὖν τῇ ἐξαγορείᾳ καὶ ἡ παροῦσα ἀκολουθία ἀπαραλλάκτως προβῇ [2]) κωλυομένους δὲ [3]) φησὶν [4]) ἀδελφοί μου.

ἀσφαλῶς, καὶ πάντα ποιεῖν, ὥστε μὴ ταύτης ἐκπεσεῖν [1]). Δεδοίκαμεν, φησί, τὴν τοῦ κανόνος ὑστέρησιν, (об.] ἀλλὰ μὴ δεδίατε· ἡ γὰρ καθαρὰ ἐξαγόρευσις τὸ ὑστέρημα ἀναπληρώσει ὑμῖν, τὴν συγχώρησιν δικαίως ἐπιβραβεύουσα, μόνον μὴ ῥᾳθυμίας ἧ τὸ ὑστέρημα. Τοῦτο φοβεῖσθε, τοῦτο προσέχετε· εἰ δὲ μὴ τοῦτο εἴη, χαίρετέ μοι, τῶν διακονιῶν προθύμως ἐχόμενοι.

Κεφ. κδ'. Περὶ τῆς εἰς τὸν προεστῶτα αἰδοῦς καὶ ὑποχωρήσεως, ἤτοι ὑποπτώσεως. Ὅτε δὲ μέλλῃ τις, ἀναγκαῖα γὰρ καὶ ταῦτα τοῖς ἐν κοινοβίῳ ζῶσι τὰ παραγγέλματα, τῆς μονῆς ὅλως ἐξιέναι, ἢ διακονίας τινὸς χάριν, ἢ δι' οἰκείας ἕνεκεν χρείας, μὴ πρότερον τῆς μονῆς ἐξιέτω, πρὶν ἂν εὐχὴν λάβῃ παρὰ τοῦ καθηγουμένου. Ὡσαύτως μήτε εἰς λουτρὸν ἀπιέτω χωρὶς μετανοίας, μήτε μὴν τὰς τρίχας ἀποκειρέσθω, ἢ φλεβοτομείσθω. Καὶ ὁ μέλλων δὲ σημάναι, καὶ οἱ λαχόντες ἱερουργῆσαι, καὶ οἱ ψάλται, καὶ οἱ κανονάρχοι, καὶ πάντες ἁπλῶς, πρὸ (л. 38] τοῦ ἔργου εὐχὴν παρ' αὐτοῦ λαμβανέτωσαν· δεῖ γὰρ τὸν πειθαρχεῖν τοῖς ἀποστολικοῖς βουλόμενον διατάγμασι μηδέν τι τὸ σύνολον ἄνευ τοῦ καθηγουμένου πράττειν, ἀλλ' ἐν πᾶσι ταῖς ἐκείνου ἕπεσθαι προσταγαῖς· μᾶλλον μὲν οὖν καὶ τὴν προσήκουσαν ἀπονέμειν τιμήν, ὡς μηδέποτε τοῦτον παρατρέχειν ἀπροσκύνητον, κἂν καθ' ὁδὸν τοῦτον [2]) συναντήσοι, κἂν προκύπτοντα θεάσοιτο, κἂν προσκληθῇ παρ' αὐτοῦ, ἢ καὶ οἴκοθεν αὐτὸς πρὸς αὐτὸν ἀπέλθοι ἐρωτήσεως χρείας τινός, προσκύνησιν βαθεῖαν πρότερον ποιείτω, καὶ οὕτως συνδεσμῶν τὰς χεῖρας ἱστάσθω [3]).

Κεφαλ. κε'. Παραίνεσις πλατυτέρα περὶ τοῦ δεῖν κοινοβιακὴν τὴν διαγωγὴν μετιέναι τοὺς ἐν τῇ μονῇ [4]) τῆς ὑπεραγίας μου Θεοτόκου τὸν μονήρη διανύοντας βίον, κἂν εἰς δύο μοναχῶν διάρκειαν περιστῆναι συμβῇ τὴν ὅλην πρόσοδον τῆς μονῆς. (об.] Περί γε μὴν τῆς διαγωγῆς τῶν μοναζόντων [5]), καὶ τῆς ὅλης ἐν τῇ μονῇ πολιτείας, εἴρηται μὲν καὶ ἄνωθεν διὰ βραχέων, ῥηθήσεται δὲ καὶ πάλιν περὶ τούτου, καθὰ τοῖς θείοις πατράσι περὶ τῶν ἀποταξαμένων διηκρίνηταί τε καὶ διηγόρευται· διεγνώκασι γὰρ καὶ νενομοθετήκασι κοινοβιακὴν ὑπεισέρχεσθαι

---

[1]) διεκπεσεῖν [2]) τούτῳ [3]) приóавка: Τῷ αὐτῷ δὲ καὶ ἕκαστον ἑκάστῳ προσήκει σέβας ἀπονέμειν, εἰρήνης οὔσης πανταχοῦ καὶ ὁμονοίας, τὰ πρὸς ἀλλήλους βραβευούσης [4]) τοῦ ἁγίου Μάμαντος [5]) μοναχῶν.

πολιτείαν, καὶ εἰς ὑποταγὴν ἐκδίδοσθαι, ἀρνησαμένους τὸ ἴδιον θέλημα τοὺς ἄρτι τὸν πολυκύμονα φυγόντας κόσμον, καὶ προσπεφευγότας τῷ τοῦ μονήρους βίου ἀκυμάντῳ λιμένι· ἅτε δεομένους κυβερνήτου καὶ ὁδηγοῦ, ὡς τὸ τῆς ψυχῆς ὄμμα τυφλὸν περιφέροντας, καὶ μὴ οἵους τε ὄντας ἑαυτοὺς ἐπαρκεῖν διὰ τὴν τοῦ καλοῦ ἄγνοιαν. Τούτοις οὖν πειθόμενοι, βουλόμεθα ἐν κοινοβιακῇ διαγωγῇ τε καὶ καταστάσει τοὺς ἐν τῇ ὑφ' ἡμᾶς [1]) σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας μου (л. 39] Θεοτόκου μοναχοὺς διαζῆν, καὶ τὸν τῆς τοιαύτης πολιτείας κανόνα ἐσαεὶ κύριον εἶναι παρ' αὐτῇ, ἀναλλοίωτόν τε καὶ ἀπαράθραυστον, κατὰ μηδένα τρόπον παραχαραττόμενον ἢ ἀλλοιούμενον δι' ἠντιναοῦν αἰτίαν, ἢ πρόφασιν, μὴ διὰ πλοῦτον, μὴ διὰ πενίαν, μὴ δι' ἀφορίαν, ἢ εὐφορίαν, μὴ δι' ἄλλην ὁποιανοῦν εὐλογοφανῆ αἰτίαν, ἢ ἀφορμήν, ἀλλὰ πάντῃ τε καὶ πάντως τὴν κοινοβιακὴν φυλάττεσθαι διαγωγὴν καὶ κατάστασιν μέχρι παντὸς ἀπαράθραυστον, κἂν εἰς δύο μοναχῶν διάρκειαν, ὅπερ ἀπεύχομαι, περιστῆναι συμβῇ τὴν ὅλην πρόσοδον τῆς μονῆς. Κἂν μέν τις τῶν ἡγουμένων ἐναντίον βουληθείη, τοὺς μοναχοὺς ἀντιλέγειν· εἰ δ' οἱ μοναχοί, τὸν ἡγούμενον ἀντιπίπτειν· εἰ δὲ καὶ πάντες συμφωνήσαιεν, τὸν τῆς μονῆς ἀντιλαμβανόμενον τὰ παρ' ἡμῶν τετυπωμένα διεκδικεῖν· εἰ δὲ καὶ (об.] οὗτος ἐκείνοις συναπαχθείη, ἄδειαν ἐκχωροῦμεν παντὶ τῷ βουλομένῳ ὑπὲρ εὐσεβοῦς ἀγωνίζεσθαι πράγματος, καὶ δικαστηρίῳ προσιέναι δι' αὐτὸ τὸ καλόν, καὶ τὸν ὑπὲρ τούτου μισθόν, καὶ τὰ παρ' ἡμῶν διηγορευμένα ζητεῖν ἔχειν τὸ ἐνεργόν, καὶ τοὺς πρωταιτίους τῆς τοῦ κοινοβιακῶς ζῆν καταλύσεως ἐξωθεῖν τῆς μονῆς, καὶ μὴ νομίζειν μικρὸν εἶναι τοῦτο κατόρθωμα, ἀλλὰ πάνυ μέγα τε καὶ σωτήριον.

Κεφ. κς'. Περὶ τοῦ μὴ εἶναι κελλιώτας ἐν μονῇ, ἢ καταπεμπτούς. Κελλιώτας δέ, ἢ καταπεμπτούς, ὅλως ἐντὸς τῆς πρωτοτύπου [2]) μονῆς τῆς ὑπεραγίας μου Θεοτόκου εἶναι οὐ βούλομαι [3])· τελείως γὰρ τοῦτο ἀπαγορεύω. Ἀλλὰ καὶ τοὺς νῦν κελλιωτικῶς διαζῶντας ἐν τῷ κατὰ τὴν βασιλεύουσαν μετοχίῳ αὐτῆς, καὶ αὐτοὺς βούλομαι πρὸς τὴν κοινοβιακὴν μεταμειφθῆναι διαγωγὴν διὰ πολλὰ τὰ συντείνοντα. (л. 40] Εἰ δέ τις, ἐκ τοῦ ὑψηλοτέρου βίου ὤν, θελήσει προσελθεῖν τῇ μονῇ, καὶ ἐν αὐτῇ τὴν κοσμικὴν ἀποθέσθαι τρίχα, ἢ ἴσως

---

[1]) Καθ' ἡμᾶς μονῇ τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος. [2]) нѣтъ словъ: πρωτοτύπου и τῆς ὑπεραγίας μου Θεοτόκου [3]) βουλόμεθα, ἀλλὰ τελείως γὰρ τοῦτο ἀπαγορεύομεν. Εἰ δέ τις ἐκ τοῦ ὑψηλοτέρου βίου ὢν κ. τ. λ.

καὶ ἀποκεκαρμένος ὢν εἰσέλθοι, ἐκ δὲ τῆς ἀβροτέρας διαίτης ἐπὶ τὴν σκληροτέραν μεταπεσεῖν αἰφνηδὸν μὴ δύναιτο, ἀλλ' ὑπουργοῦ δέοιτο ἴσως, καί τινος μικρᾶς ἀλλοιώσεως καὶ συγκαταβάσεως, ὥστε μήτε τὴν τοῦ κοινοβίου κατάστασιν παραλύεσθαι εἰς τὸ παντελές, μή τε μὴν τὸν ἐρχόμενον ἀποπέμπεσθαι, ἐξέσται τῷ καθηγουμένῳ, εἰ βουληθείη, συγκαταβαίνειν τῷ προσερχομένῳ, καὶ συγχωρεῖν τούτῳ ἔχειν τε ὑπουργόν, μοναχὸν [1]) καὶ αὐτὸν τυγχάνοντα, καὶ παρηγορίαν, οἵαν ἡ αὐτοῦ συνίδοι ἀγχίνοια, καὶ μᾶλλον εἰ ὁ προσερχόμενος εἰς ὠφέλειαν ἀφορᾷ τῆς μονῆς, ἢ ἀπὸ ἀξιολογότητος, ἢ ἀπὸ προσενέξεως, ἢ καὶ ἀπὸ τῶν ἀμφοτέρων. Κοινοβιακὴν μέντοι καὶ οὗτοι ἔχειν ὀφείλουσιν τὴν διαγωγήν· (об.] κελλιώτου γὰρ κλῆσιν οὐδ' ὁπωσοῦν βουλόμεθα ἐν τῇ μονῇ ὀνομάζεσθαι [2]), κἂν περιφανοῦς τις εἴη τύχης, κἂν περιουσίας εὐποροίη πολλῆς, κἀντεῦθεν προσαγωγήν τινα δαψιλῆ τε καὶ περιττὴν προσφέρει, ἢ ἐπαγγέλλεται ὑπὲρ τοῦ ῥητά τινα κομίζεσθαι σιτηρέσια ἔξωθεν τῆς μονῆς· ἀποτρόπαιον γάρ ἐστι τοῦτο τῶν πατρικῶν διατάξεων, καὶ τοῦ ἡμετέρου βουλήματος, καταπεμπτὸν δὲ εἰς ἐλευθέραν μονήν, καὶ μόνῃ τῇ κραταιᾷ χειρὶ τοῦ Κυρίου δεσποζομένην [3]), καὶ τῆς αὐτὸν ἀῤῥήτως καὶ ὑπὲρ λόγον κυησάσης παναμώμου Μητρός, ἁγίας Παρθένου καὶ Θεομήτορος, ὡς τὸ προσὸν αὐτῇ ἀῤῥαγὲς πατριαρχικὸν ὑπόμνημα, τὸ καὶ διὰ τῆς βασιλικῆς καὶ θείας χειρὸς ἐπιβεβαιωθὲν παριστᾶ. Τίς παραπέμψειε; Μηδεὶς τοίνυν τοῦτο βουληθείη ποτέ, μὴ τοῦτο φρονήσοι κακῶς, ὥστε παραβῆναι τοὺς τῆς ἐλευθερίας αὐτῆς ἐγγράφους ὁρισμούς, (л. 41] εἰ μὴ βούληται πάντως προδήλως ἑαυτῷ ἐκπολεμῶσαι τὸν κραταιὸν ἐν πολέμοις Θεόν.

Κεφαλ. κζ'. Περὶ τοῦ μὴ εἰσέρχεσθαι γυναῖκας ἐν τῇ μονῇ, ἢ κοσμικοὺς οἰκεῖν ἔνδον αὐτῆς. Καὶ τοῦτο [4]) δὲ τῶν ἀναγκαίων ἐστί, τὸ γυναιξὶν ἄβατον εἶναι καθάπαξ τὴν μονήν, εἰ μήπου σπανίως ταφῆς ἕνεκεν, ἢ μνημοσύνων τῶν καθ' αἷμα προσῳκειωμένων [5]) αὐταῖς· καὶ αὗται δὲ ἅμα τῷ ἐκτελέσαι τήν τε κηδείαν, ἢ καὶ τὰ ἐτή-

[1]) Нѣтъ—μοναχὸν καὶ αὐτὸν τυγχάνοντα [2]) прибавлено: ἀλλ' οὔτε ἐξωμονίται [3]) καὶ τοῦ ἐν αὐτῇ τιμωμένου μεγαλομάρτυρος Μάμαντος, ὡς τὰ προσόντα αὐτῇ ἀῤῥαγέστατα ἔγγραφα περιστῶσι, τίς παραπέμψειε; Μηδεὶς τοίνυν τοῦτο βουληθείη κ. τ. λ. [4]) κατὰ τοῦτο [5]) иное изложеніе: τῷ μακαρίτῃ ἐκείνῳ αὐθέντι ἡμῶν καὶ νέῳ δομήτορι, ἢ καὶ ἑτέρων τινῶν μεγιστάνων ἴσως μετὰ ταῦτα ταφησομένων· καὶ αὗται δὲ ἅμα τῷ ἐκτελέσαι τὰ εἰς μνήμην τοῦ τελευτήσαντος, εὐθὺς τῆς μονῆς ἐκχωρήσουσι διὰ τῆς αὐτῆς ἡμέρας. Εἰσιέτωσαν μέντοι καὶ χάριν προσκυνήσεως ὅσαι βίῳ καὶ ἀρετῇ, εὐγενείᾳ τε καὶ περιφανείᾳ διαβόητοι, σπανίως δὲ ἄγαν καὶ ἐπι-

σια μνημόσυνα τοῦ ταφέντος, εὐθὺς τῆς μονῆς ἐκχωρήσουσι διὰ τῆς αὐτῆς ἡμέρας. Ἀλλ' οὔτε μὴν τὰς τῆς πασχαλίας ἡμέρας, οὔτε ἐν ταῖς λοιπαῖς ἑορταῖς τῆς ὑπεραγίας Θεοτόκου, εἰ μὴ μόνον τῆς Κοιμήσεως, καὶ τοῦτο χάριν προσκυνήσεως. Ἀλλ' οὐδέ τινας ὅλως τῶν κοσμικῶν ἔνδον τὰς οἰκήσεις ἔχειν αἱρούμεθα, ἀλλὰ τοῖς ἀσκουμένοις μόνοις, ὡς τινα θεοφύτευτον παράδεισον, τὸν ἔσω τῆς μονῆς (об.] ἀποκληροῦσθαι χῶρον, τῷ μή τινα ἐκεῖθεν αἰτίαν φύεσθαι σκανδάλου.

Κεφ. κη'. Περὶ ἐνδυμενίας τῶν μοναχῶν, καὶ περὶ βαλανικοῦ καὶ σαπωνίου. Περί γε μὴν ἐνδυμενίας καὶ ὑποδήσεως καὶ παντοίας ἄλλης σωματικῆς περιβολῆς τῶν μοναχῶν ἐβουλόμην [1]) δίδοσθαι ἑκάστῳ εἴ τινος χρείαν ἐκέκτητο, κατὰ τὴν ἔκπαλαι παρηκολουθηκυῖαν κοινοβιακὴν ἀκολουθίαν τε καὶ κατάστασιν. Ἐπεὶ δὲ ταῖς τοιαύταις διδόσεσιν ἔρις ὡς τὰ πολλὰ ἐπακολουθεῖ, καὶ τῶν ἐργωδεστάτων ἐστὶν ἑκάστου ἀρέσκειαν καὶ θέλημα ἐκπληροῦν, κρεῖττον ἡγησάμην [2]) διὰ νομισμάτων τὰ τῆς ἐνδυμενίας ἑκάστῳ τῶν ἀδελφῶν ἀναπληροῦσθαι, κἂν τούτῳ τὰς ἔρεις καὶ τοὺς γογγυσμοὺς καταπαύοντες. Δοθήσονται τοίνυν ἑκάστῳ τῶν ἀδελφῶν, ἀπό τε τῶν προκρίτων καὶ μέχρι τῶν ἐσχάτων, τοῖς (л. 42] πᾶσιν ἐπίσης ἄνευ τῶν μὴ κοπιόντων γερόντων· οὗτοι γὰρ τῇ διακρίσει τοῦ προεστῶτος προκεῖσθαι ὀφείλουσι [3])· καθ' ἕκαστον ἑξάμηνον ἀνὰ νομίσματος ἑνὸς (καὶ) ἥμισυ διὰ πάντων ἄνευ τῶν μνημοσύνων· ἐπέκεινα δὲ τούτων ὀφείλουσι δίδοσθαι ἑκάστῳ ἑνιαυτῷ τοῖς διακονηταῖς ἀνὰ προσέργιον χρονὸν ἕν, ἐν οἷς συντάττεσθαι ὀφείλουσι καὶ οἱ τὴν [4]) γεωργικὴν καὶ τὴν ἁλιευτικὴν μετερχόμενοι ἑκάστῳ

τετηρημένως, καὶ εἰ δυνατὸν ἀνοητί, ἵνα οὕτως ἔχοιμεν τό τε εὐλαβὲς ἐπ' αὐταῖς συντηρεῖν, καὶ τὸ ἀβλαβὲς ἑαυτοῖς περιφυλάττειν. Ταῖς δὲ ἄλλαις πάσαις ἄβατος ἔσται παντάπασιν ἡ μονή, κἂν πρόδηλοι συγγενεῖς ὦσι τοῦ τε καθηγουμένου, ἢ καί τινος τῶν μοναχῶν. Ἀλλ' οὔτε μὴν τὰς τῆς πασχαλίας ἡμέρας, οὔτε ἐν τῇ μνήμῃ τοῦ ἁγίου ταύταις ἡ ἐν τῇ μονῇ εἴσοδος παραχωρηθήσεται. Ἀλλ' οὐδέ τινας ὅλως τῶν κοσμικῶν κ. τ. λ.

[1]) ἐβουλόμεθα [2]) ἡγησάμεθα [3]) Вставка: Νῦν μὲν ἀνὰ νομίσματα ὑπέρπυρα δύο, καὶ ἀνὰ τρικέφαλα παλαιὰ δύο, ἤγουν κατὰ μὲν τὴν ἀρχὴν τοῦ σεπτεμβρίου ἀνὰ νόμισμα ὑπέρπυρον ἕν, καὶ ἀνὰ τρικέφαλον ἕν, κατὰ δὲ τὴν ἀρχὴν τοῦ μαρτίου ἀνὰ ὁμοίως. Εἰ δέ γε τοῦ καιροῦ προϊόντος εἰς ἐπίδοσιν ἔλθοι τὸ μοναστήριον, ὡς ἐλπίζω καὶ εὔχομαι, καὶ ἀνὰ τρία ὑπέρπυρα τὸν ὅλον βουλόμεθα ἑνιαυτὸν τούτοις δίδοσθαι, ἐπέκεινα δὲ τούτων ὀφείλουσι περέχεσθαι ἑκάστῳ ἑνιαυτῷ τοῖς διακονηταῖς κ. τ. λ. [4]) Иное изложеніе: οἱ τὴν ἀμπελουργικὴν μετερχόμενοι·

δὲ μηνί, ἵνα δίδωται τοῖς πᾶσι χάριν λουτροῦ ἑνὸς ὑπέρ τε σαπωνίου καὶ βαλανικοῦ ποσὸν τὸ ἀρκοῦν.

Κεφαλ. κθ'. Περὶ ἐξαγορεύσεως τῶν μοναχῶν, καὶ περὶ τοῦ πάντας ἔχειν πατέρα πνευματικὸν τὸν ἡγούμενον. Ὁ μὲν κοινὸς ἡμῶν ἐχθρὸς καὶ πολέμιος, ὅστις, κατὰ τὸν μέγαν ἀπόστολον, περιέρχεται, ὡς λέων, ζητῶν τίνα καταπίῃ, γινώσκων, ὅτιπερ ἐκ μέσου τοῦ αὐτοῦ φάρυγγος ἁφαρπάζει τοὺς καταποθῆναι μέλλοντας ἡ ἐξομολόγησις, πάσας αὐτοῦ κινεῖ τὰς μεθοδείας καὶ μηχανάς, ὥστε γυμνῶσαι οὓς ἂν (об.] δύναιτο τοῦ μεγάλου τούτου καὶ καλοῦ βοηθήματος, ἐντροπὴν ἐντιθεὶς καὶ αἰσχύνην τῷ πράγματι· ἀλλὰ τὴν αἰσχύνην ταύτην μέρος εἶναι, φησὶν ὁ Θεολόγος Γρηγόριος, τῆς ἐκεῖθεν κολάσεως. Ἐπειχθῶμεν τοίνυν, ὅσον ἡμῖν δυνατόν, ὑποσπᾶν τῆς ἐκεῖθεν κολάσεως διὰ τοῦ σωτηριώδους τούτου καὶ καλοῦ βοηθήματος, φημὶ δὴ τῆς ἐξαγορεύσεως· οὐδεὶς γὰρ τῶν πάντων[1]) ἂν ἀγνοήσαιεν ὅσον ἐστὶν ἀλυπώτερον τὸ πρὸς ἕνα, καὶ τοῦτον ποιμένα συμπαθῆ τε καὶ ὁμοιοπαθῆ, ἐξειπεῖν τὰ ἀπόρρητα, τοῦ ἐλεγχθῆναι ἐνώπιον τῶν ἀγγέλων, καὶ παντὸς γένους ἀνθρώπων, καὶ αὐτοῦ τοῦ Θεοῦ. Βουλόμεθα τοίνυν τὴν ὁμήγυριν πᾶσαν τῶν ἀδελφῶν τοὺς ὡς ἀνθρώποις[2]) γεγεννημένους ψυχικοὺς μώλωπας[3]), ἢ ἐγγινομένους ῥυπαροὺς λογισμοὺς τῷ προεστῶτι αὐτοὺς ἀναγγέλειν, καὶ κοινὸν ἅπαντας τοῦτον ἔχειν πατέρα πνευματικόν, κἂν ἀνίερος ἴσως τυγχάνῃ (л. 43], ἔχοντα πάντως τὸ ἐνδόσιμον ἀπὸ τοῦ ἁγιωτάτου[4]) πατριάρχου, δεδυνημένον ἑκάστῳ ἀῤῥωστήματι πρόσφορον ἐπάγειν καὶ τὸ βοήθημα· τραύματα γάρ εἰσιν οἱ λογισμοὶ ψυχικά, παρὰ τοῦ τὴν ζωὴν ἡμῶν ἐνεδρεύοντος πονηροῦ δαίμονος ἐπαγόμενα, τραῦμα δὲ παραχρῆμα φανερούμενον, καὶ προσφυῆ τὴν ἰατρείαν δεχόμενον καὶ κατάλληλον εὐκόλως ἰᾶται· κρυπτόμενον δὲ καὶ χρονίζον σῆψιν ἐργάζεται, καὶ δυσωδίαν ἀπογεννᾷ, καὶ δυσχερὲς καθίσταται πρὸς τὴν ἴασιν. Σφόδρα τοίνυν ὠφέλιμον ἐγγὺς ἔχειν τὸν ἰατρόν· εἰ δέ τινι ἴσως[5]) ἀκαταθύμιον ἐστίν, ὅπερ ἀνεύλογόν μοι δοκεῖ, τὸ τὸν ἴδιον πατέρα ἔχειν καὶ ἰατρόν, λεγέτω ἐν ἀπορρήτῳ τὸν αὐτοῦ σκο-

---

καὶ γὰρ τῶν ἄλλων πάντων οὗτοι μᾶλλον τὰς ἐνδυμενίας αὐτῶν ἀπὸ τοῦ λησγαρίου διαῤῥηγνύουσιν· ἑκάστῳ δὲ μηνὶ ὀφείλει δίδοσθαι τοῖς ὅλοις ἀδελφοῖς λόγῳ λουτροῦ ἑνὸς ὑπέρ τε σαπωνίου καὶ βαλανικοῦ ποσὸν τὸ ἀρκοῦν, εἴ γε μὴ προσεστι τῇ μονῇ λουτρόν.

[1]) ἁπάντων [2]) ἀνθρωπίνοις [3]) нѣтъ—ψυχικοὺς μώλωπας ἢ ἐγγινομένους [4]) καὶ οἰκουμενικοῦ [5]) опущено: ἴσως.

πὸν τῷ πατρί, καὶ αὐτῷ μελήσει τοῦ ἐξαποστεῖλαι αὐτὸν πρὸς ὃν αὐτὸς ὁ προεστὼς βουληθῇ, ἢ καὶ πρὸς ἕνα τῶν τῆς μονῆς ἱερέων, τὸν εὐλαβέστερόν (об.] τε καὶ γηραιότερον. Τοῦτο δὲ γεγράφαμεν κατὰ πολλὴν συγκατάβασιν, ἐπεὶ οὐδέν τι δίκαιον ὁ ὑποτακτικὸς κέκτηται, ὡς μανθάνω [1]) ἀπὸ τῶν πατρικῶν παραδόσεων, τοῦ μὴ ἔχειν πατέρα πνευματικὸν τὸν ἡγούμενον.

Κεφ. λ'. Προτροπὴ εἰς τὸ ἀνενδοιάστως καὶ καθαρῶς ἐξαγορεύειν τοὺς ἀδελφούς. Πλὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς ὑμᾶς τὰ εἰκότα εἰπεῖν καλόν. Τοιγαροῦν καὶ ὑμεῖς, ὦ ἀδελφοὶ καὶ πατέρες [2]) μου, τὸν προεστῶτα ὑμῶν βλέποντες πρὸς τὸ καλὸν τοῦτο καὶ λίαν ψυχωφελὲς διακόνημα σπεύδοντα, τρέχοιτε καὶ αὐτοὶ τρέχοιτε, καὶ τὸν γαληνότατον [3]) τοῦτον λιμένα καὶ ψυχοσώστην σπουδαίως καταλαμβάνοιτε, καὶ πᾶν τοῦ νοὸς ὑμῶν κίνημα καὶ ψυχοβλαβὲς ἐνθύμιον καθαρῶς καὶ ἀπερικαλύπτως ἀποκαλύπτοιτε, ὡς εἰς ἐνώπιον Θεοῦ καὶ οὐκ ἀνθρώπου ποιούμενοι τὴν ἐξομολόγησιν, (л. 44] Θεῷ δὲ πάντως ὁ σπουδάζων ψεύδεσθαι δίκην ἀπαιτηθήσεται. „Ἀπολεῖς γάρ, φησὶν ὁ Μελῳδός, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος". Ἀδόλως τοίνυν ἐξομολογούμενοι, καὶ πάσης γνωσιμαχίας, πάσης ταραχῆς καὶ ὀχλήσεως τὰς ἑαυτῶν διανοίας ἀπαλλάττοντες, χαίροντες εἴη τέ μοι καὶ ἀγαλλιώμενοι, ὡς τὸ εὔελπι κομιζόμενοι τοῦ μὴ ἀστοχῆσαι τῆς σωτηρίας. Ἐξομολογεῖσθε δὲ μὴ ἀλλήλους αἰτιώμενοι, παροξυσμοῦ τυχὸν παρεμπίπτοντος ἤ τινος ἑτέρας ἀμφιβολίας, ἑαυτοὺς δὲ ἀναιτίους τιθέμενοι, καὶ κρίσεις μᾶλλον καὶ ἐκδικήσεις ζητοῦντες, οὐκ ἐξαγορεύοντες. Καὶ εἰ μὲν περί τινος παροξυσμοῦ λέγειν ὀφείλετε, πᾶσαν τὴν μέμψιν καὶ τὴν αἰτίαν τοῦ σφάλματος, ὁποῖον ἂν καὶ εἴη, ἑαυτοῖς ἐπιγράφειν σπουδάζετε, καὶ ἐπιρρίπτειν· εἰ δὲ περὶ τινων ἄλλων παθῶν, καὶ ταῦτα καθαρῶς ἐκπομπεύοιτε, ἵν' ἔχοιτε (об.] καρποῦσθαι καὶ τὴν ἐντεῦθεν διττὴν ὠφέλειαν, τό τε πρὸς καθαρὰν τῆς ψυχῆς ἰέναι ὑγείαν, καὶ τὸ τὴν ὑψοποιὸν ταπείνωσιν περιβάλλεσθαι, ἣν ἔχοντες, ὅμοιοι πάντως ἐσόμεθα τῷ Θεῷ, „Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ", λέγοντι. Τί δ' ἂν ἄλλο εἴη τεκμήριον ἐναργέστερον τοῦ πράου καὶ ταπεινοῦ τῇ καρδίᾳ, ἢ δηλονότι τὸ φέρειν πᾶσαν θλῖψιν γενναίως, καὶ ἑαυτῷ ἐν παντὶ ἐπιμέμφεσθαι; τοσούτων ἄρα καλῶν αἰτία ἡ ἀληθὴς καθέστηκεν ἐξαγόρευσις, ἧς ἄνευ οὐκ οἶμαί τινα σωτηρίας τυχεῖν.

Κεφ. λα'. Περὶ τῆς τρίτης καὶ ἕκτης ὥρας, καὶ τῆς τούτων ἀκολουθίας. Κρουομένου τοίνυν τοῦ συμβόλου κατὰ καιρὸν

---

[1]) Нѣтъ—ὡς μανθάνω [2]) καὶ πατέρες—нѣтъ [3]) γαληνόν.

τὸν προσήκοντα, συνάγεσθαι δεῖ πάντας ἐν τῷ νάρθηκι, κἀκεῖσε[1]) ψάλλειν ὁμοῦ τὴν τρίτην ὥραν καὶ τὴν ἕκτην[2]). Κατὰ μέντοι τὴν (л. 45] ἔναρξιν τῆς ἕκτης[3]) δεῖ ποιεῖν γονυκλισίαν τῷ προεστῶτι τὸν[4]) τὴν ἐφημερίαν ἔχοντα ἱερέα, καὶ εἰσέρχεσθαι εἰς τὸ ἅγιον βῆμα ποιήσοντα τὴν θείαν προσκομιδήν. Καὶ τὰ μὲν τῆς τρίτης καὶ ἕκτης ὥρας ὧδέ πως ἐχέτω.

Κεφαλ. λβ'. Περὶ τῆς θείας μυσταγωγίας, καὶ τίνες τῶν ἀδελφῶν, καὶ πῶς[5]), καὶ πότε ὀφείλουσι μεταλαμβάνειν τῶν θείων[6]) ἁγιασμάτων. Ῥητέον δὲ ἄρα καὶ περὶ τῆς θείας μυσταγωγίας, ἥτις χρεωστικῶς, ἐὰν μὴ καθ' ἑκάστην, ὀφείλει τελεῖσθαι, ἀλλ' οὖν ἀπαραπροθέσμως τετράκις τῆς ἑβδομάδος ἄνευ τῶν δεσποτικῶν ἑορτῶν· πλὴν ἀλλ' ἐν ταύτῃ προσεκτέον, ἀδελφοί μου, ἑαυτοὺς ἀσφαλῶς, ὅτι τε θεῖα τὰ τελούμενα ἐν αὐτῇ φρικώδη, καὶ ὅτι μᾶλλον τῶν ἄλλων ἐν ταύτῃ τὸ φρικτὸν καὶ ὑπέρμεγα τῆς ὀρθοδόξου καὶ θείας ἡμῶν πίστεως τελεσιουργεῖται μυστήριον, ἡ (об.] θειοτάτη, ψημί, καὶ ὑπέρτιμος ἱερούργησις τοῦ παναχράντου σώματός τε καὶ αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐν αὐτῇ γοῦν, ὡς εἴρηται, προσεκτέον ἑαυτοῖς, ἀδελφοί μου, ἀκριβῶς ὅτι μάλιστα, καὶ πάντα λογισμὸν ζιζανιώδη καὶ ἀκάθαρτον, καὶ τῆς φρικτῆς ἐκείνης ἱερουργίας ἀνάξιον ἀφ' ὑμῶν ἐκδιωκτέον, καὶ παντὶ τρόπῳ ἑαυτοὺς καθαρτέον, καὶ οὕτω τῶν θείων ἁγιασμάτων μεταληπτέον τούς, ὅσοις ἄρα καὶ παρὰ τοῦ προεστῶτος συγκεχώρηται· οὐδὲ γὰρ ἐξέσται ὑμῶν τινι ἀδεῶς[7]) καὶ ἀκρίτως, οὐδὲ κατὰ πᾶσαν ἱερουργίαν μεταλαμβάνειν. Ἐβουλόμεθα μὲν δὴ τοῦτο· τὸ γὰρ συνεχῶς μετέχειν τῶν ἁγιασμάτων, συνεχῶς ἐστι μετέχειν καὶ τῆς ζωῆς, καθὰ φησὶ καὶ αὐτὸς ὁ Χριστός· „Ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ", καὶ πάλιν· „Ἐὰν μὴ φάγητε τὴν (л. 46] σάρκα μου, καὶ πίητέ μου τὸ αἷμα οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς". Καὶ ὁ θεῖος ἀπόστολος· „Ὁ κολλώμενος τῷ Θεῷ ἓν σῶμα ἐστίν", ὥσπερ καὶ τὸ ἐναντίον· „Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται", Δαβὶδ φησὶν ὁ θειότατος. Ἐβουλόμεθα μὲν

---

[1]) Καὶ [2]) прибавлено: μετὰ τῶν σὺν αὐταῖς εὐχῶν [3]) ὥρας [4]) Иное изложеніе: τόν τε ἱερέα καὶ τὸν διάκονον, τοὺς τὴν ἐφημερίαν ἔχοντας, καὶ τὸν παρεκκλησιάρχην σὺν αὐτοῖς· καὶ τοὺς μὲν εἰσέρχεσθαι εἰς τὸ ἅγιον βῆμα ποιήσοντας τὴν θείαν προσκομιδήν, τὸν δὲ ἀπέρχεσθαι κρούοντα τὸν μέγαν σημαντῆρα, ἀλλὰ τὰ μὲν τῆς τρίτης καὶ τῆς ἕκτης ὥρας ὧδέ πως ἐχέτω. [5]) Нѣтъ— καὶ πῶς [6]) опущено—θείων [7]) прибавлено: οὕτω.

οὖν, ὡς εἴρηται, τοῦτο, ἀλλὰ διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τοῦ πράγματος δυσχερές, οὐκ ἐπιτρέπομεν· „Ὁ γὰρ ἀναξίως ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου ἔνοχος ἐστὶ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος“, φησὶν ὁ θεῖος[1]) ἀπόστολος. Φοβερόν, ἀδελφοί μου, τὸ ῥῆμα, καὶ τρέμειν ποιεῖ τὴν μετάληψιν οὐ τοὺς κατ' ἐμὲ ἁμαρτωλούς, ἀλλὰ καὶ τοὺς λίαν ἑαυτοῖς θαῤῥοῦντας. Ἐκείνους τοιγαροῦν ἅπαξ τῆς ἑβδομάδος μεταληπτέον, ὅσοιπερ ἑαυτοὺς ἴσασι καθαρεύοντας τῶν αἰσχρῶν λογισμῶν, καὶ τῆς τούτων συγκαταθέσεως, ὀργῆς τε μὴν καὶ γογγυσμοῦ, λύπης καὶ καταλαλιᾶς, ψεύδους καὶ γέλωτος ἀτάκτου, ἔτι τε (об.] μνησικακίας καὶ θυμοῦ, αἰσχρολογίας τε καὶ τῶν ὁμοίων· τοὺς δέ γε τοῖς εἰρημένοις περιπίπτοντας πάθεσι, δι' ἐξαγορεύσεως δὲ καὶ μετανοίας πρὸς τὴν τούτων σπεύδοντας ἀποχήν, ἅπαξ τοῦ μηνός, ἢ καὶ τῶν δύο ἅπαξ μηνῶν, κατὰ τὴν τοῦ προεστῶτος δηλονότι διάκρισιν· ἐκεῖνῳ γὰρ φροντιστέον περὶ τῶν τοιούτων. Ἑαυτὸν δὲ ἡγεῖσθαί τινα ἄνευ τῆς ἐκείνου εἰδήσεως ἀνάξιον οὐκ ἐπαινετόν· „Ὁ γὰρ οὕτω ποιῶν, ὡς ἴδιον πληρῶν θέλημα, δικαίως κατακριθήσεται“. Τοὺς μέντοι μεταλαβεῖν ὀφείλοντας ἐνδεχόμενον ἐστὶ τὰς τετυπωμένας ἐπὶ τῇ ἁγίᾳ μεταλήψει προσεκτικώτερον ἀναγινώσκειν εὐχάς, κοινήν τε κοινῶς γονυκλησίαν ἀλλήλοις ποιοῦντες διδόναι συγχώρησιν, καὶ οὕτω τῶν ζωοποιῶν εὐχαρίστως μεταλαμβάνειν ἁγιασμάτων. Ἴτω δὴ οὖν καὶ ταῦτα τοῦτον ἔχοντα τὸν τρόπον.

Κεφαλ. λγ'.[2]) (л 47] Περὶ τοῦ πάντας τὴν αὐτὴν ἔχειν βρῶσιν καὶ πόσιν ἀκριβὴς παραγγελία, ἐν ᾧ καὶ περὶ τῆς τῶν ἀῤῥώστων ἐπιμελείας, καὶ περὶ τοῦ μὴ ἔχειν ὑπουργοὺς ἢ οἰκέτας. Ἐπὶ τούτοις καὶ τοῦτο ὑμῖν ἐνώπιον Θεοῦ καὶ τῆς[3]) ὑπεραγίας Δεσποίνης καὶ Θεομήτορος παραγγέλλομεν, ὡς ἂν εἴη πᾶσιν ἡ αὐτὴ τροφή τε καὶ πόσις, καὶ μὴ διαφορά τις ἐν μηδενί ποτε ἐν ὑμῖν γένοιτο, ἀλλὰ τοῖς αὐτοῖς χρήσεσθε πάντες, οἱ προὔχοντες τῷ χρόνῳ καὶ τῇ ἀρετῇ καὶ τῇ τοῦ βίου περιφανείᾳ, καὶ οἱ τούτων κατὰ ταῦτα λειπόμενοι· μόνους γὰρ ἐκείνους θεραπευτέον ἐν ἅπασι καὶ χειραγωγητέον εἰς δύναμιν, ὅσοι δὴ προφανεῖς ἀῤῥωστίας περίκεινται, καὶ δέονται τυχὸν διὰ τοῦτο βρώσεώς τε καὶ πόσεως κρείττονος πρὸς σύστασιν τοῦ ἀσθενοῦς αὐτῶν[4]) καὶ ταλαιπώρου (об.] σώματος. Τοῦτο γὰρ[5]) διακρίσεως οἶμαι, καὶ τὴν συνείδησιν τῶν λοιπῶν διατηροῦν

---

[1]) Прибавлено: πνευματοῤῥήτωρ καὶ πρῶτος τῶν ἀποστόλων Παῦλος [2]) κεφ. λδ'. [3]) καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Μάμαντος [4]) ἡμῶν [5]) γὰρ καί.

ἀσκανδάλιστον. Ἐκχωρητέον τοίνυν τοῖς κάμνουσι διὰ τὴν ἐπιπεσοῦσαν ἀσθένειαν, εἰδήσει τοῦ προεστῶτος, ἐν τοῖς κελλίοις αὐτῶν ἐπαναπαύεσθαι, καὶ τροφῆς ἐκεῖσε καταλλήλου καὶ τῇ νόσῳ ἁρμοζούσης μεταλαμβάνειν· οἷς καὶ ὑπηρετήσει ἐν ἅπασι, τῇ τε τροφῇ καὶ τῇ πόσει καὶ τοῖς ἄλλοις ἀναγκαίοις, ὅς ἂν παρὰ τοῦ προεστῶτος ἐπιτραπείη. Καὶ οἱ ἀδελφοὶ δὲ ἡμῶν, οἱ ἄῤῥωστοι, μὴ τούτῳ τεθαῤῥηκότες ἐκλύωσιν ἑαυτούς, ζητοῦντες περιττά τινα [1]), ἀλλὰ συνεχέτωσαν ἑαυτοὺς καὶ συστελλέτωσαν, ἀρκούμενοι ἐν ἐκείνοις καὶ μόνοις, οἷς ἄρα ἡ τοῦ καιροῦ καὶ τῆς εὐπορίας τῆς μονῆς περιφορά, καὶ ἡ τοῦ προεστῶτος ἀνεπαχθὴς διάκρισις τούτους δεξιοῦνται [2]). Εἰ δὲ κραταιὰ [3]) τυγχάνει ἡ νόσος καὶ πολυήμερος, ἐχέτω πρὸς ἀνάγκης (л. 48] ὁ καθηγούμενος προσέρχεσθαι διὰ παρακλήσεως τοῖς ἐν τοῖς ξενῶσι μετέχουσι πρὸς τὸ ἀνακληθῆναι τὸν ἰατρευθῆναι δεόμενον, κἀκεῖσε δὲ τοῦ ἀδελφοῦ ἀνακεκλιμένου τυγχάνοντος καὶ ἰατρευομένου, ἀπὸ τῆς μονῆς γενέσθω ἡ οἰκονομία τῆς διατροφῆς αὐτοῦ, ἵνα μὴ κατά τι στενοχωρούμενος βλασφημῇ, ὡς μὴ ἐξαρκούντων τῶν διδομένων ἐν τῷ ξενῶνι. Ὑπουργοὺς δὲ οὐκ ἐξέσται ὑμῖν ἔχειν, οὐδ' οἰκέτας τοὺς ἐκδουλεύοντας, ἀλλ' ἕκαστος ἑαυτῷ δουλεύσει, καὶ ἀλλήλους ἑκάτεροι· ὁ νέος τῷ προβεβηκότι, καὶ τῷ προϋπεισδύντι τὸ στάδιον ὁ ἀρχάριος, καὶ τῷ ἀσθενεστέρῳ ὁ σθεναρώτερος, ὡς ἂν δηλαδὴ ὁ προεστὼς ἐπιτρέποι· οὕτω" γὰρ ἡ δεσποτικὴ ἐντολὴ πληρωθήσεται, καὶ ὁ τῆς ἀγάπης θεσμὸς ἀπαράτρωτος τηρηθήσεται.

Κεφαλ. λδ'. [4]) Περὶ τοῦ μὴ ἀργολογεῖν τοὺς συνερχομένους ἐν τοῖς ἐργοχείροις, καὶ περὶ τοῦ (об.] μὴ ἔχειν ἐπικτήσεις, καὶ περὶ τοῦ μὴ νοσφίζεσθαί τι ἐκ τῆς μονῆς. Εἴπερ δέ τινες ὑμῶν ἐν ἐργοχείρῳ, ἢ καὶ ἄλλῃ διακονίᾳ συνέρχοιντο, καὶ ματαίαις προσασχολοῖντο ταῖς ὁμιλίαις· εἴωθε γὰρ τοῦτο ἓν ταῖς συνελεύσεσι γίνεσθαι, εἶτα καὶ εἰς αἰσχρολογίας ἐκτρέποιντο, ἐκ

---

[1]) Вставка: καὶ ἅπερ ἴσως οὐδ' εἰς ἀκοήν ποτε ἐδέξαντο, μὴ ὅτι γε εἶδον ἢ ἔφαγον, ἀλλὰ συνεχέτωταν κ. τ. λ. [2]) тоже самое: ἐπεὶ δὲ καὶ ξενῶνες δύο πλησιάζουσιν ἡμῖν, εἰ μὲν οὖν ὡς ἐλπίζω καὶ εὔχομαι δυνηθῇ ποτε ἡ μονή, ὀφείλει φροντίζειν ὁ καθηγούμενός τινα τῶν πλησιαζόντων ἰατρῶν, ὡς ἂν καθ' ἑκάστην ἐπισκέπτηται τοὺς ἀσθενοῦντας ἀδελφούς, καὶ τὰς προσηκούσας ἰατρείας προσφέροι, καὶ παντοίας ἐπιμελείας ἀξιοῖ. Εἰ δ' ἀδυνατεῖ ἡ μονή, (ὅπερ ἀπεύχομαι), ὀφείλει προσέρχεσθαι διὰ παρακλήσεως τοῖς ἐν τοῖς ξενῶσι μετέχουσι κ. τ. λ. [3]) Слова: εἰ δὲ κραταιὰ τυγχάνει ἡ νόσος καὶ πολυήμερος, ἐχέτω πρὸς ἀνάγκης ὁ καθηγούμενος προσέρχεσθαι--опущены [4]) κεφ. λε'.

πολυλογίας γάρ, φησίν, οὐκ ἐκφεύξεται ἁμαρτία, νουθετεῖσθαι παρὰ τοῦ κρείττονος μὴ παραιτείσθωσαν· ἐντελλόμεθα γὰρ αὐτῷ ποιεῖν τοῦτο ἐξ ἀγάπης, καὶ πείθειν τῶν ψυχοβλαβῶν ἀφεμένους ἀπὸ τῶν θείων Γραφῶν διαλέγεσθαι ἢ σιγᾶν[1]). „Φειδόμενος γὰρ χειλέων νοήμων ἔση καὶ φρόνιμος", φησὶν ὁ Παροιμιαστής. Καὶ ἐν ὁδῷ δὲ τυγχάνοντες, ἢ ἐν θαλάσσῃ[2]), καὶ τὸ αὐτὸ νοσοῦντες, τῷ αὐτῷ παρὰ τοῦ αὐτοῦ φαρμάκῳ θεραπευέσθωσαν. Πρὸς τούτοις μηδὲ πρὸς ὕβρεις ἀλλήλων χωρεῖν, ἢ διαπληκτισμούς· ὁ γὰρ (л. 49] τοιοῦτον ποιῶν ἀφορισμῷ ὑποπεσεῖται, μὴ μετανοῶν δὲ καὶ τὴν συγχώρησιν ἐξαιτούμενος ἐν συντετριμμένῃ καρδίᾳ, καὶ αὐστηρότερον ἐπιτιμηθήσεται· εἰρήνην γὰρ αἰρούμεθα καὶ ἀγάπην ἔχειν πρὸς ἀλλήλους ὑμᾶς πάντοτε, καί, ἀντὶ παντὸς παροξύνοντος ῥήματος, μεταμαθεῖν τὸ „Εὐλόγησον, καὶ συγχώρησον, ἀδελφέ". Καὶ οἱ συνελεύσεις δὲ ματαίας ποιοῦντες, καὶ παραβάλλοντες ἀνευλόγως ἀλλήλοις, καὶ χωρίς τινος χρειώδους αἰτίας, καὶ τῆς τοῦ προεστῶτος εἰδήσεως, καὶ μᾶλλον μετὰ τὰ ἀπόδειπνα νουθετούμενοι, καὶ μὴ ἀποσχόμενοι, ἐπιτιμηθήσονται. Καὶ οἱ ἐπικτήσεις δέ τινας ἐπικτώμενοι παρὰ τὸν κανόνα τοῦ μοναστηρίου, μὴ εἰδότος τοῦ προεστῶτος, τῷ ἐπιτιμίῳ ὑποπεσοῦνται. Ὁ δέ τινος νοσφιζόμενος ἀπὸ τῆς μονῆς, καὶ μετὰ πρώτην καὶ δευτέραν καὶ ἄχρι τῆς ἑβδόμης παραίνεσιν μὴ (об.] διορθούμενος, ἐξάπαντος ἐκδιωχθήσεται.

Κεφαλ. λε'.[3]) Περὶ τοῦ μὴ ζητεῖν τινα πρωτοκαθεδρίαν τὸ σύνολον. Καθέδραν δὲ ὑψηλοτέραν, ἢ τὴν ἐπὶ ταύτῃ προτίμησιν, οἴκοθεν ἐπιζητεῖν τινα οὐδὲ ἀκοῦσαί τινα[4]) τὸ σύνολον ἀνεχόμεθα· ποῦ γὰρ ἂν καὶ εἴη τοῦτο δεκτὸν ἄνδρας κατὰ Θεὸν ζῶντας ὅλως ἐρίζειν περὶ καθέδρας ἐπίσης τοῖς κατὰ κόσμον, ἐντεῦθεν ἑαυτοὺς τῶν λοιπῶν ὑπερέχοντας ἀποδεικνῦναι σπουδάζουσιν, οἷα περὶ τὴν ματαίαν δόξαν καὶ Θεῷ μεμισημένην ἐπτοημένοις; Βδέλυγμα γὰρ παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος, φησὶν ἡ Θεία Γραφή, καὶ „Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν". Οὐκ ἔσται οὖν τοῦτο ἐν ὑμῖν, οὐκ ἔσται. Εἰ δὲ καί τις ὑμῶν εὑρεθείη τούτου χάριν διαπληκτιζόμενος, χρόνους τύχον ἢ ἐνέργειαν προβαλλόμενος, καὶ μὴ ἐμμένοι τῇ προστάξει τοῦ (л. 50] προεστῶτος, καὶ τὸν ἀποκληρωθέντα τόπον αὐτῷ στέργοι, διοριζόμεθα[5]) τὸν ἔσχατον αὐτῷ τόπον ἀποκληροῦν, καὶ διδάσκειν τῷ

[1]) σιωπᾶν [2]) нѣтъ—ἢ ἐν θαλάσσῃ. [3]) Κεφ. λς'. [4]) опущено—τινά [5]) ἐντελλόμεθα ἐν Κυρίῳ.

κόσμῳ τὰ τοῦ κόσμου καταλιμπάνειν. Ἀλλὰ προκαθεδοῦνται μὲν τῶν ἁπάντων οἱ τὰς δύο ταύτας πρώτας διακονίας ἐγκεχειρισμένοι, ὅτε οἰκονόμος καὶ ὁ ἐκκλησιάρχης ἐν τῷ ἑνὶ μέρει, ἐν δὲ τῷ ἑτέρῳ οἱ ἱερεῖς κατὰ τὴν τούτων προβαθμιότητα, μετὰ τούτους δὲ πάλιν οἱ διάκονοι, εἴπερ μή τινας, χρόνῳ ἢ γήρᾳ προβεβηκότας, ἢ καὶ τῶν κατὰ κόσμον περιφανῶν, ἀξίους αἰδοῦς καὶ τιμῆς προκαθῆσθαι τούτων, τῶν διακόνων δηλαδή, αἱροῖτο ὁ καθηγούμενος. Μετὰ δὲ τὴν τούτων καθέδραν οὐκ ἔσται ἐν ταύτῃ προτίμησις, ἀλλ' ὡς ἂν τῷ προεστῶτι δοκῇ, ἑκάστῳ προσηκόντως ἡ καθέδρα λοιπὸν ἀποκληρωθήσεται.

Κεφ. λς'.[1]) Περὶ τῶν ἐγγηρασάντων ἐν τῇ μονῇ, (об.] ἢ καὶ λώβην[2]) τινὰ ὑποστάντων. Ἔτι καὶ τοῦτο τυποῦμεν καὶ διαγορεύομεν, καὶ οἶμαι οὐκ ἄνευ λόγου καὶ σκοποῦ κρείττονος· τοὺς ἐγγηράσαντας τῇ μονῇ, ἢ καὶ ἄλλως ταλαιπωρήσαντας, καί τινα λώβην ἢ ἀκρωτηριασμὸν ὑποστάντας τοῦ σώματος, ὡς ἐκ τούτου μὴ δύνασθαι διακονεῖν, εἴ τε γραμματισμένοι εἶεν, εἴτε μὴν καὶ ἀγράμματοι, κἂν τῇ μονῇ μὴ πολὺν χρόνον διάγοντες εὑρεθεῖεν, οὐ μόνον τούτους μὴ ἐκδιώκεσθαι βουλόμεθα ἀπο τῆς μονῆς, ἀλλὰ καὶ μᾶλλον γηροκομεῖσθαι καὶ ἐκδουλεύεσθαι κατὰ τὸ δυνατὸν παρὰ τοῦ τῶν ἐν τῇ μονῇ συναδέλφων, ὃν ἂν προκρίνῃ ὁ ταύτης προεστώς, τῆς τούτων διατροφῆς καὶ πόσεως γίνεσθαι ὀφειλούσης ἐπίσης τῶν νεαζόντων καὶ ὑγιῶς ἐχόντων. Καὶ κατακρίνω ἕνεκεν τοῦ τοιούτου σκοποῦ καὶ τῆς τοιαύτης οἰκονομίας πάντας τοὺς (л. 51] τὰ τῆς μονῆς ὁπωσδήποτε μέλλοντας οἰκονομεῖν, ἡγουμένους τε καὶ λοιπούς, μηδέποτε ἀθετῆσαι ἢ παραθραῦσαι, ἢ ἀλλοιῶσαι τὴν τοιαύτην θεοφιλῆ διάταξιν, ἔστ' ἄν, Θεοῦ διδόντος[3]), ἡ μονὴ συνίσταται, καὶ ἐν αὐτῇ διάγωσι μοναχοί, εἰ μὴ βούλεται ὁ τοιούτῳ τινὶ ἐπιχειρήσων, τὴν „ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε" καθ' ἑαυτοῦ φωνὴν ἐπισπάσασθαι.

Κεφ. λζ'.[4]) Περὶ τοῦ ἀνεκποίητα εἶναι πάντα τὰ ἐν τῷ παρ' ἡμῶν[5]) γεγονότι βρεβίῳ ἐντεταγμένα, ἔτι γε μὴν καὶ τὰ ὁπωσδήποτε καθ' οἱονδήτινα χρόνον ἐπικτηθησόμενα[6]). Ἐπεὶ δὲ καὶ ἱερῶν σκευῶν, ἀναθημάτων τε θείων καὶ

---

[1]) Κεφ. λγ'. [2]) Нѣтъ—ἢ καὶ λώβην τινα [3]) εὐδοκοῦντος. [4]) Эта глава изъ Типикона монастыря св. Маманта напечатана проф. Θ. И. Успенскимъ въ брошюрѣ: «Типикъ монастыря св. Маманта въ Константинополѣ» стр. 19—20 [5]) παρ' ἡμῶν γεγονότι—нѣтъ [6]) ἐπικτηθέντα.

βιβλίων [1]) ἀνέκαθεν εὐμοίρησεν ἡ μονὴ εἴς τε Θεοῦ δοξολογίαν καὶ τῆς Θεομήτορος, καὶ φωτισμὸν τῶν ἐν αὐτῇ ἀσκουμένων, ὅσα ἐν ἀργυρέοις σκεύεσι καὶ σεπταῖς εἰκόσι, καὶ πέπλοις, καὶ βιβλίοις, καὶ (об.] ὅσα ἐν χαλκῷ τεθεώρηνται, καὶ βρέβιον γέγονε παρ' ἡμῶν, ἐν ᾧ ἀνατάττονται πάντα [2]) τά τε ἔκπαλαι τῶν χρόνων προσόντα αὐτῇ [3]), τά τε ἀπὸ τοῦ ἱεροῦ σκευοφυλακίου τῆς μεγάλης ἐκκλησίας ἀφαιρεθέντα δι' ἐμοῦ δικαίῳ τῆς αὐτῆς μονῆς, καὶ ἐναποτεθέντα πάλιν δι' ἐμοῦ χάριν παραφυλακῆς ἐν τῇ σεβασμίᾳ μονῇ [4])..... καὶ τὰ ἐν τῇ πρωτοτύπῳ μονῇ νῦν ὄντα, καὶ τὰ ἐν τῷ μετοχίῳ αὐτῆς· ὃ δὴ βρέβιον καὶ βεβαιωθὲν παρ' ἐμοῦ, διά τε τῆς συνήθους μου ὑπογραφῆς καὶ τοῦ βουλλωτηρίου, ἐναπετέθη σὺν τῷ παρόντι ἡμῶν Τυπικῷ ἐν τῇ σεβασμίᾳ μονῇ [5])..... ἴσα τούτων ὀφείλοντα προβῆναι, καὶ εἶναι διὰ παντὸς παρὰ τῇ μονῇ, τῶν πρωτοτύπων τούτων ἄνευ μεγάλης βίας μὴ ἀναλαμβανομένων, ἀφ' ἧς καὶ ἐναπετέθησαν· χρείας δὲ κατεπειγούσης, λήψονται καὶ ταῦτα δι' ἀποδείξεως (л 52], καὶ πάλιν, ἀντιστραφέντα διὰ τάχους, ἐπαναθήσονται ἀφ' ἧς ἀνελήφθησαν, περὶ ὧν καὶ παρεγγυώμεθα εἶναι εἰς τὸ παντελὲς ἀνεκποίητά τε καὶ ἀναφαίρετα. Καὶ ὁ τολμήσων ἐξ αὐτῶν ἀφελέσθαι τὸ οἱονοῦν, ὡς ἱερόσυλος λογισθήσεται, καὶ σὺν τῷ Ἰούδᾳ ἐν κολάσεσιν αἰωνίοις καταταγήσεται, πρὸ ἐκείνων δὲ καὶ τῆς ἐκείνου ἀγχόνης κληρονόμος γένοιτο. Ἀλλὰ μηδὲ εἰς νοῦν μελετηθείη ποτέ τινι, μὴ δυνάστῃ, μὴ ἄρχοντι, μὴ τῷ ἀντιλαμβανομένῳ, μὴ τοῖς ἐν τῇ μονῇ, ἢ προεστῶτι, ἢ ὑποτασσομένῳ, ἀφελέσθαι, ἢ ἐκποιήσασθαί τι τῶν θείων ἀναθημάτων, ἢ τῶν ἐν αὐτῇ βιβλίων, ἢ μέγα, ἢ μικρόν, ἢ οἱονδηποτοῦν ἕτερον, εἰ μὴ καὶ μᾶλλον διὰ σπουδῆς γινέσθω, προστιθέναι καὶ προσαφιεροῦν εἰς δόξαν Θεοῦ, καὶ αὐτῶν οὐ τὴν τυχοῦσαν ὠφέλειαν. Αὐτὸ δὲ [6]) τοῦτο φυλαττέσθω καὶ ἐπὶ τοῖς ἐπικτηθησομένοις, καθ' οἱονδήτινα χρόνον, κινητοῖς (об.] τε καὶ ἀκινήτοις.

---

[1]) Иное изложеніе: Ἐδέησε τῇ μονῇ εἰς Θεοῦ δοξολογίαν καὶ τοῦ ἁγίου, καὶ φωτισμὸν τῶν ἐν αὐτῇ ἀσκουμένων, ἀφιερώθησαν ταύτῃ ὅσα χρειώδη χάριτι Θεοῦ διὰ πρεσβειῶν τοῦ ἁγίου καὶ διὰ μακαρίας Κοιμήσεως τοῦ πολλαχῶς εἰρημένου αὐθέντου ἡμῶν τοῦ Μυστικοῦ, ὅσα ἐν ἀργυρέοις κ. τ. λ. [2]) πάντα — нѣтъ [3]) Вставка: τῇ μονῇ, καὶ τὰ ἐκ νέου τὰ κατασκευασθέντα, ὃ δὴ βρέβιον καὶ ὑπεγράφη τῇ οἰκείᾳ μου χειρί, περὶ ὧν καὶ παρεγγυόμεθα εἶναι εἰς τὸ παντελὲς ἀνεκποίητά τε καὶ ἀναφαίρετα, κ. τ. λ. [4]) Въ патмосской рукописи нѣтъ имени монастыря [5]) тоже самое [6]) γάρ.

Κεφαλ. λη'. Παράκλησις ἔνορκος πρὸς τὸν κατὰ τὴν ἡμέραν ἀντιλαμβανόμενον τῆς μονῆς. Ἀλλὰ γὰρ ἡ περὶ [1]) τὴν ἐμὴν ταύτην μονὴν τῆς ὑπεραγίας μου Θεοτόκου φροντίς τε καὶ μέριμνα, καὶ τῶν ἐν αὐτῇ διαγόντων μοναχῶν, σφοδροτάτη τις ἀεὶ ἐγκαθημένη μου τῇ ψυχῇ, πάντοθεν αὐτοῖς τὰ πρὸς ὠφέλειαν ἀναπείθει συνερανίζειν. Ἵνα τοίνυν μὴ παρά τινων ἐπηρεαστῶν, ὡς ἔρημοι βοηθείας ἀνθρωπίνης, ἐπηρεάζοιντο, τοὺς κατὰ τὴν ἡμέραν ἀντιλαμβανομένους τῆς μονῆς, ὡς προχείρους εἰς ἀντίληψιν αὐτῆς, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐνορκῶ, ἵνα, εἴπερ οἱ μοναχοὶ προσέλθοιεν τούτοις, καὶ τὴν παροῦσαν εὐτελῆ τυπικὴν διάταξιν ἐμφανίζοιεν, καὶ λέγοιεν ἀδικεῖσθαι παρά τινων [2]), ἐπεξέρχωνται τῇ ἀδικίᾳ, κατὰ τὸ δυνατὸν αὐτοῖς, καὶ ἀναστέλλωσι τὴν ταύτης ὁρμήν, καὶ ἐκ χειρὸς στερεωτέρων τὸ τοῦ Χριστοῦ καὶ τῆς (л. 53] ὑπεραγίας Θεοτόκου ῥύωνται ποίμνιον, καὶ μὴ παραβλέπωνται τοῦτο, ἀλλ' ἀντέχωνται καὶ ὑπερασπιῶσιν αὐτοῦ, κατὰ τὸν εὔνομον λόγον καὶ δίκαιον· ἵν' οὕτω μισθὸν ἑαυτοῖς προξενήσωσι, καὶ τὴν θείαν εὐμένειαν ἕξουσιν, ἀνθ' ὧν εὐμενῶς τὴν μονὴν [3]) καὶ τοὺς μοναχοὺς ὑπεδέξαντο, καὶ χειραγωγίας τῆς προσηκούσης ἠξίωσαν· τούτου γὰρ ἕνεκα καὶ μνημονεύεσθαι τούτους ζῶντας καὶ μετὰ θάνατον τετυπώκαμεν.

Κεφαλ. λ0'. Περὶ τῶν πρὸς Κύριον ἐκδημούντων μοναχῶν. Ἐπεὶ δὲ τῶν μοναχῶν οὐχὶ ζώντων ἡμᾶς μόνον φροντίζειν χρή, ἀλλὰ καὶ πρὸς Κύριον μεθισταμένων, δέον καὶ τὰ περὶ τούτων νῦν διατυπῶσαι. Ἐπὰν οὖν τις τῶν μοναχῶν ἐνθένδε μεταναστάίη, τελείσθωσαν μὲν ἐν τῷ ἐξωνάρθηκι τὰ ἐπὶ τῷ τεθνεῶτι νενομισμένα, ἥ τε ψαλμῳδία, φημί, καὶ ἡ τοῦ λειψάνου πᾶσα ἀμφίεσις. (об.] Ἔπειτα μετακομιζέσθω εἰς τὸ ταφεῖον μετὰ τοῦ κραββάτου καὶ ἀποτιθέσθω ἐν τοῖς τῶν μοναχῶν τάφοις [4]), ἐν οἷς μόνοι οἱ ἀδελφοὶ ὀφείλουσι θάπτεσθαι, μή τινος τῶν ἔξωθεν τούτοις συνθαπτομένου. Τὰ δὲ τρίτα, καὶ τὰ ἔννατα, καὶ τὰ τεσσαρακοστὰ τοῦ ἀποιχομένου ψαλλέσθωσαν ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, γινομένων τηνικαῦτα καὶ κολύβων ὑπὲρ αὐτοῦ· προ-

---

[1]) Вставка: περὶ τῶν ἐμῶν πατέρων καὶ ἀδελφῶν φροντὶς σφοδροτάτη τις ἀεὶ ἐγκαθημένη μου τῇ ψυχῇ κ. τ. λ. [2]) тоже самое: καὶ μᾶλλον ἐπὶ τῇ τοῦ ὕδατος διὰ σωλήνων ἀπὸ τῶν ἔξωθεν εἰσαγωγῇ, ὑπὲρ οὗ πολλὰ καὶ πολλάκις ἐμόχθησα ἐπεξέρχωνται κ. τ. λ. [3]) τὴν μονὴν—опущено [4]) прибавка: ἐν τῷ δεξιῷ δηλονότι μέρει τῆς ἐκκλησίας.

σφορὰ δὲ γινέσθω ἕως τῶν τεσσαρακοστῶν ἑκάστη λειτουργία ὑπὲρ αὐτοῦ καὶ μνημονευέσθω. Ἀλλὰ καὶ ἐν τοῖς ὄρθροις, καὶ τοῖς ἑσπερινοῖς ἄχρι τῶν εἰρημένων τεσσαρακοστῶν μνημονευέσθω, γραφέντος καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τοῖς διπτύχοις, καὶ μνημονευομένου καὶ αὐτοῦ μετὰ τῶν λοιπῶν. Ἵνα δὲ καὶ κοινὴ μνήμη πάντων γίνηται τῶν ἀδελφῶν[1]), καθ' ἑκάστην παρασκευήν, μετὰ τὸ λυχνικόν, εἰ μή τις ἑορτὴ κωλύει, ψαλέτωσαν κανόνα νεκρώσιμον ἐν τῷ ἐξωνάρθηκι, ἢ ἐν (л. 54] τῷ ταφείῳ[2]) καὶ ἐκτενὴς δέησις γινέσθω ὑπὲρ τῶν προαπελθόντων πάντων. Τὰ μέντοι δίπτυχα ἐντελλόμεθα τοῖς τε ἱερεῦσι καὶ τοῖς διακόνοις κατὰ πᾶσαν ἐπιέναι λειτουργίαν εἰς ἀνάμνησιν τῶν ἐν αὐτοῖς ἀπογεγραμμένων, ἵνα μὴ αὐτοὶ τὸ κρῖμα βαστάζωσιν[3]) ἐκ τῆς ἐκείνων ἀμνηστίας τε καὶ ἐλλείψεως. Ἐν μέντοι τῷ σαββάτῳ τῆς ἀπόκρεω, τῷ σαββάτῳ τῆς τυραφάγου, καὶ τῷ σαββάτῳ τῆς Πεντηκοστῆς, γινέσθωσαν καὶ ὑπὲρ αὐτῶν σταυρία, καὶ μνημονευέσθωσαν καθ' ἓν σταυρίον τέσσαρες τῶν προαπελθόντων· εἰ δὲ ἡγούμενοι εἶεν, γινέσθωσαν μοναὶ προσφοραί, καὶ μνημονευέσθωσαν καὶ οὗτοι. Ὡσαύτως καὶ ἐν τοῖς μνημοσύνοις ἑκάστου γινέσθω ὑπὲρ αὐτοῦ λειτουργία καὶ προσφορά, τὰ δὲ τῶν ἡγουμένων μνημόσυνα γινέσθωσαν φιλοτιμώτερον, καὶ μᾶλλον εἰ τύχοιέν τινες τούτων ἀξίως τῆς κλήσεως αὐτῶν πολιτεύσασθαι, ὡς ἀγαθά τινα τοῖς μετ' αὐτοὺς (об.] καταλιπεῖν προτερήματα. Ὀφείλουσι δὲ λαμβάνειν οἱ περιόντες μοναχοὶ ἐν[4]) τοῖς δηλωθεῖσι τρισὶ σάββασιν, ἤγουν τῆς ἀπόκρεω, τῆς τυροφάγου καὶ τῆς Πεντηκοστῆς, καὶ ἀνὰ σταυρίον ἓν ἕκαστος αὐτῶν εἰς μνημόσυνον τῶν οἰκείων γονέων καὶ συγγενῶν, μετὰ δὲ τὸ προσκομισθῆναι, συνάγεσθαι πάλιν παρὰ τοῦ πυλωροῦ καὶ δίδοσθαι ἐν τῷ πυλῶνι.

Κεφαλ. μ'.[5]) Αἰτίαι, δι' ἃς ἡ παροῦσα τυπικὴ ἐξετέθη διάταξις, καὶ εὐχὴ περὶ τοῦ διατηρεῖσθαι τὰ ἐν αὐτῇ ἀπαράθραυστα, καὶ ἀρὰ φρικωδεστάτη κατὰ τοῦ πειράθησομένου χωρῆσαι πρὸς ἀθέτησιν τῆς παρούσης διατάξεως. Ἃ μὲν οὖν τὴν σύστασιν τῆς παρούσης ἡμῶν τυπικῆς διατάξεως ἀναγκαίαν ἡμῖν ἐξειργάσαντο, τὰ προαναπεφωνημένα παρέστησαν ἀριδήλως· τύπος γὰρ καὶ κατάστασις κοινοβίων ἀβασάνιστα

---

[1]) τῶν μοναχῶν [2]) нѣтъ—ἢ ἐν τῷ ταφείῳ [3]) βαστάσωσιν [4]) нѣтъ—ἐν τοῖς δηλωθεῖσι τρισὶ σάββασιν, ἤγουν, но прямо говорится: ἓν τε τῷ σαββάτῳ τῆς ἀπόκρεω, τῷ σαββάτῳ τῆς τυροφάγου καὶ τῷ σαββάτῳ τῆς Πεντηκοστῆς ἀνὰ προσφορὰν σταυρίον ἓν εἰς μνημόσυνον τῶν γονέων αὐτῶν. [5]) κεφ. μα'.

παρεώμενα, καὶ μὴ τῇ πρεπούσῃ τοῦ λόγου ἡνιοχείᾳ περιαγόμενα, οὐκ εἰς μακρὰν ὑποσταῖεν (л. 55] τὴν διάπτωσιν. Καὶ εἴη ἡ Τριάς, ὁ Θεός, ἄχρι τῆς τοῦ παρόντος αἰῶνος συντελείας, ἀπαρεγχείρητα πάντα τὰ διατυπωθέντα φυλάττουσα, ἵν' οὕτω καὶ φῶς εὐαγγελικῶς τὸ τοῦ Χριστοῦ ὀνομάζηται ποίμνιον, καὶ πρὸς οἰκοδομὴν μᾶλλον δι' αὐτοῦ ἐνεχθεῖεν καὶ ἕτεροι. Καὶ εἴη ποίμνιον ἀληθῶς ἐκλεκτόν, τῆς τοῦ καλοῦντος πρὸς ζωὴν ὑπακοῦον φωνῆς, καὶ πολλὰς ἀνθρώπων ψυχὰς τοῖς παρ' ἑαυτοῦ ὑποδείγμασι καταρτίζειν δυνάμενον, ὥσπερ ἀρχέτυπον θαυμαστὸν τὴν ἀκριβῆ τούτου πολιτείαν βλεπούσας. Ὁ δέ γε πρὸς ἀθέτησιν τῆς παρούσης τυπικῆς ψυχοσώστου διατάξεως χωρῆσαι πειραθησόμενος, πρὸς τὸ μὴ εἰσακούεσθαι, καὶ ἀλλότριος ἔστω τῆς τῶν χριστιανῶν ἐλπίδος, ἀνθ' ὧν τὴν ἀπράγμονα ταύτην διάταξιν, καὶ εἰς ὠφέλειαν τῶν ἐμῶν πατέρων (об.] καὶ ἀδελφῶν καθεστηκυῖαν, καταστρέψαι καὶ διασεῖσαι βεβούληται.

Κεφάλ. μα'.[1]) Κατήχησις πρὸς τὸν προεστῶτα, πῶς διακεῖσθαι ὀφείλει περὶ τὴν ἀδελφότητα. Καὶ σὺ δέ, ὦ πάτερ πνευματικὲ τῆς ἱερᾶς τῆς Θεοτόκου[2]) μου ταύτης ποίμνης καὶ ὁδηγέ, μέτριος ἔσω τοῖς ἀδελφοῖς, ἐπιεικής, κηδεμονικός, καὶ τὸ ὅλον πατρικὴν αὐτοῖς ἀποσώζων τὴν εὔνοιαν. Καὶ παρακαλῶ, πάντων κήδου, πάντων φρόντιζε, ἀνέχου πάντων, ἀντέχου νουθετῶν, παραινῶν, διδάσκων, παρακαλῶν, νοσοῦντας ὑγιάζων, ἀσθενοῦντας ὑποστηρίζων[3]), ὀλιγοψιχοῦντας παραμυθούμενος, ἁμαρτάνοντας ἐπιστρέφων, ἑβδομηκοντάκις ἑπτὰ συγχωρῶν, κατὰ τὴν τοῦ Κυρίου φωνήν· συμφέρει γὰρ ὑμῖν, αὐτὸν μιμουμένους τὸν Κύριον, ὡς συγκαταβατικοὺς κριθῆναι καί τι τῶν δεόντων παραλειπόντας, ἢ τὴν ἄκραν φυλάττοντας δικαιοσύνην, (л. 56] ὡς ἀσυμπαθεῖς καὶ μισαδέλφους κατακριθῆναι, καί, ἵνα τἄλλα παρῶ, φησὶν ὁ μέγας Βασίλειος· „Καὶ αὐτὸς δὲ ὁ καθηγούμενος, ὡς πατὴρ παίδων γνησίων ἐπιμελούμενος, ἐπισκείψεται τὴν καθ' ἑνὸς ἑκάστου χρείαν, καὶ τὴν ἁρμόζουσαν κατὰ τὸ δυνατὸν εἰσάξει θεραπείαν, καὶ τὸ κατὰ ἀλήθειαν ἀσθενοῦν μέλος, εἴτε ψυχικῶς, εἴτε σωματικῶς, μετὰ ἀγάπης καὶ πατρικῆς εὐνοίας διαβαστάσει.

Κεφαλ. μβ'.[4]) Ἔνορκος παραγγελία πρὸς τὸν ἀπὸ ξένης μονῆς μέλλοντα ἴσως ἡγουμενεῦσαι. Ἐνορκῶ δέ σε[5]) εἰς Κύριον τὸν Θεὸν καὶ εἰς[6]) τὴν ὑπεραγίαν μου Δέσποιναν καὶ Θεο-

[1]) κεφ. μβ'. [2]) τῆς Θεοτόκου — нѣтъ. [3]) Ἀσθενοῦντας ὑποστηρίζων — нѣтъ [4]) κεφ. μγ'. [5]) σὲ — нѣтъ [6]) καὶ εἰς τὸν μεγαλομάρτυρα Μάμαντα.

τόκον, τὸν ἀπὸ ξένου μοναστηρίου μέλλοντα ἡγουμενεῦσαι, κατὰ τὰ ἀνωτέρω διατεταγμένα, ἐν τῇ ἡμετέρᾳ ταύτῃ μονῇ μὴ πλέον τοῦ ἑνὸς ἀδελφοῦ, καὶ αὐτοῦ ὡς ἐν τάξει μαθητοῦ, εἰσαγαγεῖν ἐν τῇ μονῇ μεθ' ἑαυτοῦ, ἀφ' ὧν ἔχει συνήθων τε καὶ γνωρίμων· ἐὰν γὰρ (οβ.] πλείονας ἐπιφέρηται, πολλὰ τὰ ἄτοπα ἀπὸ τούτου ἀναφυήσονται· συνάγεται γὰρ ἐκ τούτου, οὓς μὲν αὐτὸς ἀπὸ τῶν ἔξω εἰσάξει ἔχειν ὡς γνησίους υἱούς, οὓς δὲ εὑρήσει[1]) ἐν τῇ μονῇ, ἔχειν ὡς νόθους, ὅπερ τῶν ἀτοπωτάτων ἐστίν, ἐξ οὗ ἀρχὴ σκανδάλου καὶ ἀπιστίας ἀφορμή. Ἀλλ' ἐκείνους μᾶλλον ὀφείλει ἔχειν γνησίους καὶ λίαν περιποθήτους, οὓς εὑρήσει ἐν τῇ μονῇ, τοὺς καὶ ὑποδεξομένους αὐτὸν καὶ τιμήσοντας, οὓς χρεωστεῖ καὶ αὐτὸς καὶ τιμῆσαι καὶ ἀναπαῦσαι κατὰ τὸ δυνατὸν αὐτῷ, κἂν καί τινα μικρὰ ἐλαττώματα, ὁποῖα πέφυκε γεννᾶν ἡ μακροχρονία, ἤτοι ἀργολογία, εὐτραπελία, παῤῥησία καὶ λοιπὰ τοιαῦτα, ἴσως ὡς ἄνθρωποι κέκτηνται, ἵνα καὶ ἐπ' αὐτῷ πέρας ἔξει τὸ „Ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου" καὶ τὰ ἑξῆς.

Κεφαλ. μγ'.[2]) Παραίνεσις πρὸς τοὺς μοναχοὺς περὶ τοῦ μὴ ἀνακρίνειν τὸν προεστῶτα ἐν οἷς ποιεῖ, ὡς μέλλοντα (л. 57] τῷ Θεῷ δοῦναι λόγον τῶν παρ' αὐτοῦ τολμωμένων κακῶς, εἶναι δὲ ἀκοινώνητον, μὴ διορθούμενον. Οὕτως οὖν ἔχοντα τὸν καθηγούμεν(ον) ὑμῶν, ἀδελφοί, ὡς ἄνωθεν ἔφημεν, καὶ πατρικῶς περὶ ὑμᾶς διακείμενον καὶ φιλοθέως, καὶ εὐσεβῶς ποιμένοντα τὸ τῆς Θεοτόκου[3]) μου ποίμνιον, οὐκ ἀνακρινεῖτε κατά τινα τρόπον, οὐδὲ λόγον ὧν διαπράττοιτο ἐν τοῖς τῆς μονῆς ἀπαιτήσοιτε· ἀνάξιον γὰρ τοῦτο καὶ βλαπτικόν, καὶ οὐκ ὀλίγην ἀποτίκτον τὴν ἀπιστίαν, διχόνοιάν τε καὶ ἀκαταστασίαν, καὶ εἴ τι ἕτερον σκάνδαλον ἐμποιοῦν. Ἀλλ' οὐδὲ αὐτὸς ὁ καθηγούμενος, τοῖς συγγενέσι καὶ φίλοις αὐτοῦ χαριζόμενος, τὰ τῆς μονῆς ἀναλώσειεν· ἔσεται γάρ, οὕτω ποιῶν, τῶν θείων μυστηρίων ἀμέτοχος ἀπὸ τῶν ἱερῶν κανόνων. Εἰ γὰρ καὶ τοῖς ἀδελφοῖς μὴ ὑπάγεσθαι εἰς ἐξέτασιν τῶν πραττομένων αὐτῷ (οβ.] κεκρίκαμεν, ἀλλὰ τὸν ἀπαραλόγιστον Δικαστὴν καὶ τὸν τῆς συνειδήσεως ἔλεγχον οὗτος οὐ διαφεύξεται, διὸ καὶ προσεκτέον αὐτῷ μὴ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· κἂν γὰρ ἡμεῖς οὐχ ἱκανῶμεν ἰσόῤῥοπον αὐτῷ ἐπιτιθέναι τὸ ἐπιτίμιον τῆς ἄνευ λόγου καὶ μὴ δεούσης ἐξόδου, καὶ καινοτομίας τῶν τῆς μονῆς πραγμάτων, ἀλλὰ τὴν τοῦ Θεοῦ φρικτὴν οὐκ ἐκφεύξεται κρίσιν, ἣν καὶ ἐπιψηφιζόμενοι τούτῳ, ταῦτα γράφομεν. Εἰ δὲ τοσοῦτον ἀπηνὴς ὀφθείη[4]) καὶ ἀναιδέστατος, ὡς μηδὲ τὸ τοῦ Θεοῦ δεδιέναι κρῖμα,

[1]) εὕρῃ [2]) κεφ. μδ'. [3]) τὸ τοῦ Χριστοῦ ποίμνιον [4]) ὀφθῇ.

ἀλλ' ἀπρεπῶς τὰ τῆς[1]) μονῆς ἀναλίσκοι, ἀκοινώνητος ἔσται, κατὰ τοὺς θείους καὶ πατρικοὺς ὁρισμούς[2]), ἕως ἂν τοῦ ἀθέσμου τούτου ἀπόσχηται ἐγχειρήματος, διορθούμενος δέ, συγκεχωρημένος ἔσται ἀπὸ Θεοῦ Παντοκράτορος.

Κεφάλ. μδ'.[3]) Ἑτέρα παραίνεσις πρὸς πάντας τοὺς ἀδελφούς, καὶ πρὸς τὸν ἀντιλαμβανόμενον, (**л. 58**] περὶ τοῦ[4]) κατὰ τίνα τρόπον ἐπίψογον ποιεῖσθαι τὴν τῶν προεστώτων πρόκρισίν τε καὶ ἐπιλογήν, ἐν ᾧ καὶ περὶ τοῦ μὴ ἐπιπηδᾶν τινα τῇ τοιαύτῃ διακονίᾳ κατ' οἰκείαν προπέτειαν καὶ θρασύτητα. Ἀρκούντως οὖν περί τε τοῦ καθηγουμένου καὶ τῶν λοιπῶν πάντων διακονητῶν διαλαβόντες, πρὸς ὑμᾶς, ὦ πατέρες[5]) μου καὶ ἀδελφοὶ ἐν Κυρίῳ ποθούμενοι, καὶ πρὸς τὸν ἀντιλαμβανόμενον τοῦ[6]) τῆς Θεομήτορος ποιμνίου καὶ αὐτῆς τῆς μονῆς, τὸν λόγον τρέπτέον. Παρακαλῶ οὖν ὑμᾶς, μᾶλλον δὲ καὶ ἐντέλλομαι, καὶ μάρτυρα τοῦ λόγου τὸν Θεὸν καὶ τὴν ὑπεραγίαν Θεοτόκον[7]) ἐπικέκλημαι, ὡς καὶ τοῦ πράγματος ἐφόρους[8]), τῆς τῶν προεστώτων ἐκλογῆς καὶ προκρίσεως παρ' ὑμῶν γινομένης, ἀπέστω ἔρις, ἀπέστω φθόνος, ἀπέστω ματαία προσπάθεια καὶ χάρις ἀλόγιστος· κρίσις δέ τοι ὀρθή, καὶ στοχασμὸς ἀκριβής, καὶ (**об.**] στάθμη δικαιοσύνης, καὶ ἀληθείας[9]) ἀκρίβεια συνήτωσαν, καὶ ὡς αὐτοῦ ἐφορῶντος τοῦ τὰ πάντα βλέποντος ὀφθαλμοῦ, καρδίας τε καὶ νεφροὺς ἐξετάζοντος, οὕτω παρ' ὑμῶν γινέσθω ἡ πρόκρισις· εἰ γὰρ καί τι ἀνθρώπινον ὑμεῖς νοσήσαντες τὴν κρίσιν ἐσφαλμένην ἐξάξοιτε, σκοπητέον ὅποι προβῇ τὸ κακόν, καὶ πόσα τὰ παρέποντα βλαβερὰ λογιστέον, ὧν τὸν λόγον εἰ δικαίως ὁ δίκαιος καὶ ἀπαραλόγιστος Δικαστὴς ἔσται εἰσπραττόμενος ἀφ' ὑμῶν, οὐκ οἶδα ἂν τίνα τὸν ἀπόλογον ποιησάμενοι, τὴν κατάκρισιν δυνήσησθε ἐκφυγεῖν, οἵ γε, φεῦ! κακῇ καὶ ὀλεθρίῳ κρίσει τοὺς ἀναξίους προκεκρίκατε, καὶ τοσαύτην ἐνήκατε τὴν βλάβην οὐ μόνον ἐκείνοις, ἀλλὰ δὴ καὶ σφίσιν αὐτοῖς, ὡς αὐτοῖς τε τούτοις καὶ ἑαυτοῖς τὴν ἀπώλειαν προεξενηκότες. (**л. 59**] Οὐ χωρήσετε τοίνυν εἰς διαμάχας καὶ ἀμφιγνωμοσύνας προκρίνοντες, ἀλλ'

---

[1]) Прибавлено: τὰ τῆς παμπτώχου ταύτης μονῆς [2]) слова: κατὰ τοὺς θείους καὶ πατρικοὺς ὁρισμούς—опущены [3]) κεφ. με'. [4]) περὶ τοῦ μὴ κατὰ τρόπον τινὰ [5]) обращеніе: ὦ τέκνα ἐν Κυρίῳ ποθούμενα вмѣсто: ὦ πατέρες [6]) опущены слова: τοῦ τῆς Θεομήτορος ποιμνίου καὶ αὐτῆς τῆς μονῆς [7]) нѣтъ—καὶ τὴν ὑπεραγίαν Θεοτόκον [8]) ἔφορον [9]) ἀληθής.

ἐν ὁμογνωμοσύνῃ καὶ συμφρονήσει τοὺς ἐκλελεγμένους ἐκλέγοισθε, καὶ βουλῇ καὶ γνώμῃ τοῦ ἀντιλαμβανομένου τὴν τούτων ἐπιλογήν τε καὶ πρόκρισιν διαπράξοιτε. Οὕτω δὲ πάντων ὑμῶν ἐχόντων, οὐκ ἐπιπηδήσει τις προπετῶς καὶ οἰκειογνώμως τῇ τοιαύτῃ ἀρχῇ, χρόνους τυχὸν προβαλλόμενος, ἢ γνῶσιν, ἢ ἐνέργειαν, ἢ εὐγένειαν, ἢ ἀξίωμα, ἢ προσαγωγὴν χρημάτων, ἢ κτημάτων, ἀλλ' ἐκεῖνος ἔσται προτιμητέος εἰς ταύτην, ὁ παρ' ὑμῶν προκεκριμένος μετὰ τὴν ἐντελῆ διάκρισιν, κἂν ἐκ νέου τύχῃ ἀποκαρεὶς κἂν ἰδιώτης καὶ τοῖς ἔξω πράγμασιν ἀφελής· οὐδεμία γὰρ παρὰ τούτου βλάβη τῇ μονῇ γενήσεται [1]). „Δύναται γὰρ ὁ Θεὸς καὶ ἐκ [2]) λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ", (οδ.] καὶ „τυφλοῖς διδόναι σοφίαν, καὶ λόγον ἀλόγοις ἐπιχορηγεῖν", ὅς γε καὶ πλέον ἐν τούτοις ἐπευδοκεῖ, ἢ τοῖς ἐγκαυχωμένοις τῇ ἑαυτῶν σοφίᾳ τε καὶ δυνάμει, καὶ πλούτῳ, καὶ εὐγενείᾳ. Καὶ τούτων μάρτυς ὁ θεῖος ὄντως καὶ μέγας ἀπόστολος, οὕτω διαῤῥήδην βοῶν· „Τὰ μωρὰ τοῦ κόσμου καὶ τὰ ἀσθενῆ καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφούς, καὶ δυνατούς, καὶ ὑψηλοὺς καταισχύνῃ, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ".

Κεφαλ. με'. [3]) Κατήχησις πλατυτέρα πρὸς τὴν ἀδελφότητα, πῶς δεῖ αὐτοὺς ἀναστρέφεσθαι. Ἃ μὲν οὖν καὶ ἡμῖν βουλητὰ καὶ τῷ Θεῷ εὐαπόδεκτα, ὡς γε οἶμαι [4]), τῇ τε πανάγνῳ Δεσποίνῃ μου καὶ Θεοτόκῳ, καὶ τῇ ὑμῶν δὲ ὠφελείᾳ οὐκ ὀλίγα συντείνοντα, εἴρηται ἱκανῶς, ὑμῖν δὲ τὸ ἐξῆς μελήσει φυλάξαι ταυτὶ ἀπαράθραυστά (π. 60] τε καὶ ἀπαραποίητα ἄχρι παντός. Λέγω δὴ τὸ ἀπαραλείπτως τὴν παραδοθεῖσαν ὑμῖν ἐκτελεῖν ἐν πάσαις ταῖς συνάξεσιν ἀκολουθίαν, κατὰ τὸ σήμερον παρ' ὑμῖν ἐνεργοῦν Στουδιτικὸν Συναξάριον [5]), τὸ φυλάττειν πίστιν καὶ τιμὴν τὴν ἁρμόζουσαν πρὸς τοὺς προεστῶτας ὑμῶν, τὸ ἀγαπᾶν ἀλλήλους, καὶ σπουδάζειν [6]) ἕκαστον ἑκάστου προέχειν μετριοφροσύνῃ, συμπονεῖν τε ἀλλήλοις ἐν πᾶσιν, ὡς ἑνὸς μέλη σώματος, καὶ τὰ ἀλλήλων ἀναπληροῦν ὑστερήματα· μὴ πρὸς ἔρεις ὁρμᾶν, ἢ πρὸς φιλίας ἀπρεπεῖς, ἢ παρασυνάξεις καὶ σχίσματα, ἀπέχεσθαι πρωτοκαθεδρίας, καὶ τῶν κοσμικῶν προτιμήσεων· πρὸς ἓν δὲ μόνον ὁρᾶν τὸ ἐναρέτως ζῆν δηλονότι καὶ πολιτεύεσθαι, καὶ μηδὲν ἄλλο ἀναπνεῖν, εἰ δυνατόν, ἢ λόγον σωτήριον, καὶ πᾶν τὸ εἰς οἰκοδομὴν ψυχῆς (οδ.] τυγχάνον καὶ ὠφέλειαν. Πρὸς τούτοις

---

[1]) προσγενήσεται [2]) ἀπὸ λίθων [3]) κεφ. μς'. [4]) ὡς γε οἶμαι καὶ τῷ θερμῷ προστάτῃ καὶ ἀντιλήπτορι ἡμῶν τῷ ἁγίῳ μεγαλομάρτυρι Μάμαντι [5]) Εὐεργετινὸν Συναξάριον [6]) прибавлено: παντοίως.

ἐξορίζειν ἀφ' ὑμῶν πάντων τῶν κακῶν τὴν πηγήν, τὴν φιλοχρηματίαν λέγω, καὶ τὸ παρακερδαίνειν ἀπὸ τῶν τῆς μονῆς, ἢ ἑτέρου τοῦ οἱουδήτινος τρόπου, ἐν ᾧ μὴ εὐδόκησεν ὁ προεστώς, οὔτε ὁ δοθεὶς ὑμῖν κανὼν συνεχώρησεν, οὐ μὴν ἀλλ' οὐδ' ἐξ ἀμελείας, ἤ τινος ἑτέρας παροράσεως ἐᾶν τι τῆς μονῆς παραπόλλυσθαι· ἴσον γὰρ καὶ τοῦτο τοῦ προτέρου, κἂν τι διαφέρειν δοκῇ, καὶ τῆς ἴσης ἐνοχῆς παρὰ τῷ Θεῷ πρόξενον· τὴν παῤῥησίαν ὅση δύναμις ἐκκοπτέον, καὶ ἵνα συνελὼν εἴπω πᾶν, ὁ μὴ εἴη πρὸς σωτηρίαν ὁδηγοῦν, ἐκδιωκτέον. Μὴ οὖν, ὦ πατέρες [1]) καὶ ἀδελφοί, μηδαμῶς τὰ βλάπτοντα προτιμήσωμεν, τὰ δὲ σώζοντα παραδράμωμεν· οὐδὲν γὰρ τῶν παραδοθέντων ἡμῖν (л. 61] ἀδύνατον [2]), ἢ δυσκατόρθωτον· εἰ δὲ καί τι τούτων ἴσως τοιοῦτον νομίζοιτο, ἀλλ' ἀγωνισώμεθα, ἀλλ' ὑπομείνωμεν, ἀλλὰ καρτερήσωμεν, φέρωμεν γενναίως, βιασώμεθα μικρὸν ἑαυτούς· οὐ γὰρ ἀνέσεως ἕνεκα καὶ τρυφῆς τὸν κόσμον κατελίπατε [3]), ἀλλὰ σπουδῆς καὶ ἀγῶνος, τοῦ κατὰ δύναμιν, πρὸς τὸ τυχεῖν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν. „Βιασώμεθα οὖν ἑαυτούς, ὡς εἴρηται, βιασώμεθα· „βιαστὴ γὰρ ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν". Οὐδεὶς ἀμελῶν τρόπαιον ἔστησέ ποτε, οὐδεὶς ὑπνώττων καὶ ῥᾳθυμῶν τὸν ἑαυτοῦ πολέμιον ἐτροπώσατο· ἐκείνων εἰσὶν οἱ στέφανοι καὶ τὰ τρόπαια, τῶν τρεχόντων καλῶς, τῶν κοπιώντων, τῶν ἀγωνιζομένων, τῶν ὑπομενόντων τὰ τῶν ἀγώνων πονήματα. „Διὰ πολλῶν (об.] θλίψεων, φησὶν ὁ Κύριος, δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν". Τοίνυν παρακαλῶ πάντας ὑμᾶς, ἀξίως πορεύθητε τῆς κλήσεως ὑμῶν, παραστήσατε τὰ σώματα ὑμῶν ἅγια τῷ Κυρίῳ, ἀγαπᾶτε ἀλλήλους, καλῶς τρέχετε τὸν προκείμενον ὑμῖν ἀγῶνα· ὅσα καλά, ὅσα θεοφιλῆ, ταῦτα λογίζεσθε· ἃ ἠκούσατε καὶ ἐμάθετε ἀγαθά· ταῦτα ποιεῖν μὴ ἀπόσχησθε. Ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος, μνημονεύετε τῶν ψυχῶν ὑμῶν [4])· εὔχεσθε ἐκτενῶς καὶ ὑπὲρ σωτηρίας, κράτους, καὶ διαμονῆς τῶν ἁγίων αὐθεντῶν μου, αὐτοκρατόρων καὶ βασιλέων, καὶ τῆς ἡμῶν δὲ ἐλεεινότητος καὶ εὐτελείας, μὴ ἐπιλανθάνησθε ἐν ταῖς προσευχαῖς ὑμῶν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ καλέσας ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν, διὰ τὴν πολλὴν αὐτοῦ καὶ ἄφατον ἀγαθότητα (л. 62], καταρτίσαι ὑμᾶς καὶ στηρίξαι εἰς τὸ ἅγιον αὐτοῦ θέλημα, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ

---

[1]) ὦ τέκνα [2]) ἀδιόρθωτον [3]) κατελίπομεν [4]) прибавлено: καὶ τῆς ὑμῶν δὲ συντελείας καὶ ταπεινότητος μὴ ἐπιλανθάνησθε ἐν ταῖς προσευχαῖς ὑμῶν.

παναγίου καὶ ζωοποιοῦ Πνεύματος, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κεφαλ. μς'.[1]) Μερικὴ ἐξήγησις περὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ λοιπῆς διαγωγῆς. Καὶ τὰ μὲν προγραφέντα πάντα κεφάλαια στεργέτωσαν ὡς ἐγράφησαν· ἀναγκαῖον δὲ εἰπεῖν διὰ βραχέων καὶ περὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ ἀκολουθίας[2]), ἥτις ὀφείλει τελεῖσθαι, ὡς πολλαχῶς ἐγράψαμεν, κατὰ τὸ νῦν ἐνεργοῦν Στουδιτικὸν Συναξάριον[3]), ἀπαραλείπτως καὶ ἀνακρωτηριάστως. (**об.**] Προσεκτέον οὖν ἤδη τοῖς λεγομένοις, ἐπεὶ ἄρξασθαι βούλομαι[4]), ὅθεν ἄμεινον, ἄμεινον δὲ πάντως ἀπὸ τῆς τὸ φῶς ἡμῖν ἐφαπλούσης ὥρας, ἥτις ἡ πρώτη τῆς ἡμέρας ἐστί, δεῖν δὲ οἶμαι πάντως τοὺς περὶ ἔργα φωτὸς τὴν ἐξήγησιν ποιουμένους ἀκολούθως ἀπὸ φωτὸς ἄρξασθαι. Χρῆ τοίνυν μετὰ τὴν ὀρθρινὴν δοξολογίαν[5]) ψάλλεσθαι τὴν πρώτην ὥραν, ὡς σύνηθες[6]), μετὰ τῶν συνήθων εὐχῶν, γίνεσθαι δὲ καὶ τὰς εἰθισμένας γονυκλισίας ἀπὸ ψιλοῦ τοῦ ἐδάφους τοῖς δυναμένοις. Τούτων δὲ τὰς μὲν τρεῖς σχολαιότερον τελεῖσθαι, κατὰ τοσοῦτον, καθ' ὅσον ἄρα, ἱσταμένων ὑμῶν, τρὶς τὸ „ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ" λέγειν ἐν ἑαυτοῖς, ἐκτεταμένας ἐχόντων τὰς χεῖρας· κλινόντων δὲ τὰ γόνατα (**л. 63**] καὶ τὰς κεφαλὰς ἕως γῆς, τὸ „Ἥμαρτόν σοι, Κύριε, συγχώρησόν μοι" ἅπαξ λέγειν· τὰς δὲ λοιπὰς[7]) σπουδαιότερον, ὡς ἐφ' ἅπαξ ἑκάστῃ γονυκλισίᾳ καὶ στάσει τὰ εἰρημένα[8]) προφέρειν ἱκετικὰ λόγια, ἐν ἰσότητι γοῦν καὶ τῇ προσηκούσῃ εὐταξίᾳ, καὶ μὴ τῶν μὲν προηγουμένων, τῶν δὲ ὑστεριζόντων, ἀλλ' ὁδηγῷ πάντων χρωμένων τῷ ἐκκλησιάρχῃ. Ταῦτα δὲ μὴ τοῦ Θεὸς Κύριος ἐν τῷ ὄρθρῳ ψαλλομένου, εἰ δὲ τοῦτο, σχολαστέον τὸ ταύτας ἐκτελεῖν, τρία δὲ[9]) προσκυνήματα ποιητέον[10]) καὶ τὰς συνήθεις εὐχὰς ἐπιλέγειν. Εἰ δέ γε βουληθείη ὁ προεστώς, προτιθέσθω καὶ ἡ ἀπὸ τῶν πατρικῶν λογίων μικρὰ κατήχησις, καὶ ἀναγινωσκέσθω παρ'

---

[1]) κεφ. μζ'. [2]) καὶ ἀκολουθίας—πᾶτъ [3]) Εὐεργετινὸν Συναξάριον [4]) βουλόμεθα [5]) прибавлено: συνημμένως [6]) Иное изложеніе: ἐπιλέγεσθαί τε μετὰ τὸ τέλος αὐτῆς καὶ τὴν εὐχὴν ταύτην· Ὁ ἐν παντὶ καιρῷ. Μετὰ δὲ τὴν εὐχήν, γίνεσθαι τὰς εἰθισμένας δεκαπέντε γονυκλισίας ἀπὸ ψιλοῦ τοῦ ἐδάφους τοῖς δυναμένοις κ. τ. λ. [7]) прибавлено: δώδεκα [8]) προειρημένα [9]) прибавлено: βαθέα [10]) тоже самое: λέγοντας τὰ προλεχθέντα ἱκετήρια ῥήματα. Μετὰ μέντοι ταῦτας τὰς γονυκλισίας ἢ τὰ προσκυνήματα, τὰς εὐχὰς ταύτας ἐκφωνεῖσθαι ἐν ἐπάρσει χειρῶν· «Ὁ Θεὸς ὁ αἰώνιος», καὶ «Ὁ ἀποστέλλων τὸ φῶς». Εἰ δέ γε βουληθείη ὁ προεστὼς κ. τ. λ.»

αὐτοῦ [1]), ἤτοι μετὰ τὴν συμπλήρωσιν τοῦ τροπαρίου. Τελειωθείσης δὲ τῆς πρώτης ὥρας, ὡς ἔφημεν, καὶ τοῦ ἱερέως τὴν ἐξ ἔθους ἐπειπόντος εὐχήν, αὐτίκα πίπτειν ἐπὶ πρόσωπον πάντας (об.], καὶ τοῦ προεστῶτος ἀκούειν οὕτω πως εὐχὴν αἰτοῦντος ὑμᾶς· „Εὔξασθε ὑπὲρ ἐμοῦ, ἀδελφοί, τῷ Κυρίῳ, ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν, καὶ σκανδάλων τοῦ πονηροῦ". Καὶ ὑμᾶς ἀποκρίνασθαι· „Ὁ Θεὸς σώσαι σε, τίμιε πάτερ". „Εὖξαι καὶ σὺ ὑπὲρ ἡμῶν, πάτερ ἅγιε, ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ". Εἶτ' αὖθις τὸν καθηγούμενον ἐπευχόμενον λέγειν· „Ὁ Θεὸς δι' εὐχῶν τῶν πατέρων ἡμῶν σώσαι πάντας ὑμᾶς". Καὶ οὕτως ἀνισταμένους, οἱ μὲν εἰς τὰς διακονίας ὑμῶν [2]), οἱ δὲ ἐν τοῖς κελλίοις ἀπιέναι, πάσης ἀφεμένους συνελεύσεως καὶ ματαίας ἀπασχολίας, ἀργολογίας τε καὶ γέλωτος ἀτάκτου. Ἀπιέτω οὖν ἕκαστος πρὸς τὴν ἑαυτοῦ κέλλαν, νηφάλιός τε ὁμοῦ καὶ γρηγορώτατος, καὶ τὰ τῷ Θεῷ φίλα διαπραττόμενος. Εἰ δέ τινες ἴσως εὑρίσκοιντο ἀτάκτως διάγοντες, κἂν νέοι εἶεν, κἂν γέροντες, κἂν προωδευκότες ἐν τῷ (л. 64] σχήματι, ἀγάπης νόμῳ νουθετείσθωσαν παρὰ τῶν εὐλαβεστέρων, ἢ καὶ [3]) αὐτοῦ τοῦ προεστῶτος, μὴ διορθούμενοι δέ, καὶ ἐπιτιμάσθωσαν. Ἀπιόντας δὲ ἐν τοῖς κελλίοις ὑμῶν, εἰκὸς τὴν ὀφειλομένην ἐκτελεῖν πᾶσαν ἀκολουθίαν [4])· τὰς γάρ τοι γονυκλισίας ἐν τῷ ναῷ μόνῳ παραφυλακτέον, ὅτε δὴ τὸ Θεὸς Κύριος ψάλλεται, καθὼς προειρήκαμεν. Ἐπὶ μέντοι τοῖς κελλίοις ὑμῶν ἀεὶ γονυκλιτέον εὐχομένους, φυλαξώμεθα δὲ τοῦτο κἂν τοῖς κελλίοις, ὅταν ἀγρυπνία ᾖ διὰ τὸν ἐκ ταύτης κόπον, πρὸς δὲ κατὰ τὸ δωδεκαήμερον τῶν Χριστουγέννων, τὴν διακαινήσιμον ἑβδομάδα, ἢ καὶ ὅλην τὴν πεντηκοστήν· οἱ δὲ προαιρούμενοι, γονυκλιτείτωσαν μετὰ τὴν διακαινήσιμον. Τὰ μὲν οὖν περὶ τῆς πρώτης ὥρας ἐν ταῖς ἀπολελυμέναις ἡμέραις τοῦ ἐνιαυτοῦ ὧδέ πως ἐχέτω· τὰ δὲ τῆς τρίτης καὶ ἕκτης προεγράφη (об.] ἐν τῷ περὶ τῆς θείας μυσταγωγίας κεφαλαίῳ. Ῥητέον δὲ ἄρα καὶ περὶ τῆς ἐννάτης, καὶ τοῦ λυχνικοῦ· τὴν μέντοι ἐννάτην κατὰ τὰς προλαβούσας ὥρας ψάλλεσθαι δεῖ [5]) ἐν τῷ νάρθηκι, τοῦ μικροῦ συμβόλου κρουομένου ἐπὶ ταύτῃ, καὶ καλοῦντος ἡμᾶς, ὡς ἔθος [6]). Τὸν δὲ ἑσπερινὸν

---

[1]) Иное изложеніе: πρὸ τῶν τριῶν εὐχῶν δηλονότι. Τὰς μέντοι πάσας εὐχὰς χερσὶ λέγειν ἀνατεταμέναις, κατὰ τὸ „Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον", καὶ τὸ „Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή", καὶ τὸ „Ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμῶν. Τελειωθείσης δὲ τῆς πρώτης ὥρας κ. τ. λ. [2]) αὐτῶν [3]) καὶ παρ' αὐτοῦ [4]) прибавлено: μετὰ τῶν συνήθων εὐχῶν καὶ γονυκλισιῶν [5]) χρὴ [6]) Вставка:

ὕμνον, ὅπως ὀφείλει γίνεσθαι, ἡ τοῦ Συναξαρίου διάταξις ἀριδήλως παρίστησιν, ὡς καὶ τὰ ἀπόδειπνα μετὰ τὸν δεῖπνον· οὗ δὴ ἀποδείπνου ψαλέντος, τοῦ τε ἱερέως τὴν συνήθη ἐπειπόντος εὐχήν, πίπτειν ὑμᾶς ἐπὶ γόνυ, καθάπερ καὶ ἐν τῷ τέλει τῆς πρώτης ὥρας, καὶ τῷ προεστῶτι τὸ οὖς ὑποκλίνειν λέγοντι· „Συγχωρήσατέ μοι ἐν Κυρίῳ, ἀδελφοί, ἥμαρτον γὰρ καὶ ἔργῳ καὶ λόγῳ, καὶ κατὰ διάνοιαν". Καὶ ὑμᾶς διδόναι αὐτῷ τὴν συγχώρησιν λέγοντας· „Ὁ Θεὸς συγχωρήσαι σοι, πάτερ [1])· συγχώρησον καὶ ἡμῖν αὐτός, (л. 65] τίμιε πάτερ, ἡμάρτομεν γὰρ καὶ ἔργῳ, καὶ λόγῳ καὶ κατὰ διάνοιαν". Εἶτ' αὖθις ἐπεύχεσθαί τε ὑμῖν ἐκεῖνον, καὶ λέγειν· „Ὁ Θεὸς δι' εὐχῶν τῶν πατέρων ἡμῶν συγχωρήσαι πᾶσιν ὑμῖν". Οὕτω τε ἀνισταμένους καὶ τὴν προσήκουσαν αὐτῷ προσκύνησιν ἀπονέμοντας, ἐν τοῖς κελλίοις ἀπιέναι, τὴν νυκτερινὴν ὑμῶν ἀκολουθίαν κατὰ τὸν τύπον ἐκτελοῦντας. Καὶ οὕτως ὅλους εὐχαριστίας γινομένους καὶ εὐφροσύνης πνευματικῆς, ἐφ' ὕπνον τρέπεσθαι, ἄχρις ἂν ὁ τοῦ ὄρθρου [2]) φροντίζων, τὴν ἁρμόζουσαν ὥραν [3]) μαθών, καὶ τῷ προεστῶτι προσελθών, καὶ τὴν προσήκουσαν ἐξ ἐκείνου λαβὼν εὐχήν, κρούσας τε τηνικαῦτα κατὰ τὸ ἔθος τὸ μικρὸν σύμβολον, ἐξεγερεῖ πρὸς λειτουργίαν ὑμᾶς τῆς μεσονυκτίου ἀκολουθίας, τῆς ἐν τῷ νάρθηκι ψαλλομένης [4]). Καὶ οὕτω, τὸν μέγαν σημαντῆρα διασημάνας, πρὸς δὲ καὶ τὸν χαλκοῦν, καλέσει πάντας [5]) (об.] πρὸς τὴν ἑωθινὴν δοξολογίαν, ἥσπερ τὴν ἔναρξιν οὕτω δέον ποιεῖν [6]). Εὐλογεῖσθαι τὸν Θεὸν παρὰ τοῦ τὴν ἐφημερίαν ἔχοντος ἱερέως, αὐτίκα [7]) ἐπισφραγίζοντος μετὰ τοῦ θυμιατηρίου ἅμα τῇ τοῦ Θεοῦ αἰνέσει τὸν τύπον τοῦ τιμίου σταυροῦ ἔμπροσθεν τῆς ἁγίας τραπέζης,

---

ἐνορχῶ δὲ εἰς τὸν ἅγιον μεγαλομάρτυρα Μάμαντα τὸν κατὰ καιροὺς ἐκκλησιάρχην, καὶ τὸν τὴν ἐφημερίαν ἔχοντα ἱερέα, τοῦ μὴ ὑπερτίθεσθαι τὸν καιρὸν τοῦ συμβόλου κρουομένου, τοῦ τε νυκτερινοῦ, φημί, καὶ τοῦ τῆς ἡμέρας, ἀλλὰ ἅμα τῇ τούτου κρούσει εὐθὺς τῆς ὑμνῳδίας ἀπάρχεσθαι· ἡ γὰρ ὑπέρθεσις, ὡς πεπείραμαι, ἔργοις αὐτοῖς πολλὰ εἴωθε κατεργάζεσθαι τὰ ἐπιβλαβῆ.

[1]) Прибавлено: Ἀλλὰ καὶ ἐξαιτεῖν αὐτίκα ταῦτα παρ' ἐκείνου, προστιθέντες τὸ Συγχώρησον κ. τ. λ. [2]) Ὡρολογίου [3]) прибавлено: ἐκεῖθεν [4]) тоже самое ἣν δὴ καὶ αὐτὸς ψαλεῖται πάντως, ποιῶν καὶ τὴν ὀφειλομένην τοῦ ναοῦ φωταψίαν [5]) тоже ὑμᾶς [6]) тоже μετὰ γάρ τοι τὴν τοῦ χαλκοῦ σημαντῆρος ἐπίκρουσιν εὐλογεῖσθαι τὸν Θεὸν κ. τ. λ. [7]) Иное изложеніе: τὸν τύπον τοῦ τιμίου σταυροῦ ἔμπροσθεν τῆς ἁγίας τραπέζης ἅμα τῇ τοῦ Θεοῦ αἰνέσει μετὰ τοῦ θυμιατηρίου ἐπισφραγίζοντος, ὑμᾶς δὲ τὸ Ἀμὴν ἐκδεχομένους, Τρισάγιον εὐθέως μετὰ τοῦ εἰκοστοῦ ψαλμοῦ, καὶ τῶν συνήθων τροπαρίων, καὶ τοῦ Κύριε ἐλέησον,

ὑμᾶς δὲ τὸ „Ἀμὴν“ ἐκδεχομένους, Τρισάγιον ψάλλειν εὐθέως μετὰ τοῦ ἐννέα καὶ δεκάτου ψαλμοῦ καὶ τοῦ εἰκοστοῦ, εἶτα Τρισάγιον, καὶ τὸ τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, καὶ νῦν, Ταχὺ προκατάλαβε, καὶ τὸ Κύριε ἐλέησον ιε'. Αὐτόν τε τὸν ἱερέα περιϊέναι τὸν θεῖον ναόν, καὶ πάντας θυμιᾶν, καὶ τηνικαῦτα τῶν ἁγίων ἐπίπροσθεν στάντα κιγκλίδων, καὶ τὸν τύπον αὖθις τοῦ τιμίου σταυροῦ τῷ θυμιατηρίῳ σφραγίσαντα [1]), δόξαν ἀναπέμπειν τῇ παναγίᾳ Τριάδι, οὕτωσὶ λέγοντα εἰς ἐπήκοον· „Δόξα τῇ ἁγίᾳ (л. **69**] [2]) καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι, πάντοτε νῦν καὶ ἀεί“, ἀφ' οὗ τὸ Ἀμὴν ἐκδεχόμενον τὸν ἐκκλησιάρχην, τοῦ ἐξαψάλμου εὐθέως ἀπάρχεσθαι, σχολαίως τε καὶ ἡσύχως καὶ προσεκτικῶς, μικρὸν ἄγαν ὑποφωνοῦντα τὰ ῥήματα τῶν ψαλμῶν [3]). Καὶ [4]) μετὰ τὴν τούτου [5]) πλήρωσιν, ἀκολούθως τὴν πᾶσαν ἐκτελεῖσθαι τοῦ ὄρθρου ἀκολουθίαν, καθὼς τὸ Συναξάριον διέξεισιν. Οὕτω μὲν οὖν καὶ ἡ περὶ τῆς ἡμερονύκτου [6]) ἀκολουθίας ὡς ἐν συνόψει πρὸς ὑμᾶς ὑποτύπωσις. Αἱ μέντοι ὧραι τῆς μεγάλης τεσσαρακοστῆς ἐντὸς τοῦ ναοῦ ὀφείλουσι ψάλλεσθαι μετὰ μέλους, διὰ τῶν συνήθων Ἀλληλουϊαρίων καὶ τῶν ἀναγνώσεων.

Κεφαλ. μζ'. [7]) Συμβουλία [8]) καὶ ὑποθήκη ψυχωφελὴς πρὸς τὸν κατὰ καιροὺς προεστῶτα. Πνευματικὲ ἡμῶν ἐν Κυρίῳ πάτερ καὶ ἀδελφέ, ὁ τοῦ Θεοῦ Πατρὸς Λόγος πρὸς τοῖς ἄλλοις, οἷς ἡμᾶς εὐηργέτησε, καὶ τοῦτο (**об.**] ὑμῖν ἐχαρίσατο, παρεῖναι τοῖς ζῶσι καὶ μετὰ θάνατον· καὶ κατὰ φύσιν ὄντας θνητούς, ἀθανάτους εἶναι σχεδὸν τῇ δυνάμει τοῦ Πνεύματος, καὶ τοῦτο πάντως τερατουργοῦσι τὰ γράμματα. Οὐκ οὖν καὶ αὐτὸς θνητὸς ὤν, καὶ τὸν κατὰ φύσιν [9]) μέλλων ὑποστήσεσθαι θάνατον, πάρειμί σοι διὰ τοῦδε τοῦ γράμματος, καὶ στόματι τούτῳ κέχρημαι, καὶ τὴν ὀφειλομένην προσάγω φωνήν· οὐδὲ γὰρ ἐᾷ με ὁ παρὰ

προσέχοντας ἐξισοῦν, ἐφ' ὅσον εἰκός, τοὺτων ψαλλομένων, αὐτὸν τὸν ἱερέα περιϊέναι τὸν θεῖον ναὸν ἅπαντα κ τ. λ.

[1]) ἅμα τῇ σφραγίδι [2]) Въ подлинной патмосской рукописи листы перемѣшаны. [3]) Прибавлено: ἵνα ἐντεῦθεν ἔχοιεν ἅπαντες ἀπροσκόπτως καὶ ἁπλανῶς αὐτὰ διεξέρχεσθαι [4]) οὕτω [5]) τοῦ ἐξαψάλμου συμπλήρωσιν [6]) Иное изложеніе: νυκτερινῆς ἀκολουθίας ἡμετέρα πρὸς ὑμᾶς ὑποτύπωσις, ἥτις καὶ ὀφείλει τελεῖσθαι μήτε προσθήκην, μήτε μὴν ὕφεσιν τὴν οἱανοῦν δεχομένην. Αἱ μέντοι ὧραι τῆς μεγάλης κ, τ λ. [7]) κεφ. μη'. [8])прибавлено: καὶ παραίνεσις [9]) иное изложеніе: ἤδη ὑποστὰς σωματικὸν θάνατον, καὶ ὑπὸ πλακός, ὡς ὁρᾷς καλυπτόμενος, πάρειμί σοι κ. τ. λ.

τῇ Γραφῇ ἀδόμενος τῶν ὀστέων σής, διηνεκῶς ὀτρύνων καὶ παραθήγων εἰς τὸ καὶ πάλιν πλατύτερον γράψαι ἀδελφικῶς, καὶ ὑποθεῖναί σοι γνησίως καὶ ἀγαπητικῶς ἔνια τῶν λυσιτελούντων εἰς εὐαρέστησιν τοῦ Θεοῦ. Νύττομαι δὲ πρὸς τὸ γράφειν[1]) οὐχ ὡς ἐμαυτὸν εἰδότα πλέον σοῦ, ὅστις ἂν καὶ εἴη[2]), ἀλλ' ὡς εἰς τοῦτο[3]) ὑπὸ (л. **70**] τῆς πατριαρχικῆς καὶ θείας μεγαλειότητος ἐκκεχωρημένος. Ἀγαπητέ, μέγα ἀληθῶς τὸ τῆς ψυγικῆς ἡγεμονίας ἀξίωμα, καὶ δυσβάστακτον τὸ βάρος τῆς προστασίας τῶν ἀδελφῶν, ὅθεν δεῖ νήφειν καὶ γρηγορέναι διὰ παντὸς τὸν τοῦτο ἐπωμισάμενον, ἵνα μὴ μικρὸν νυστάξας, σὺν αὐτῷ τῷ φόρτῳ κατενεχθῇ, καὶ πρὸς αὐτὸ ῥιφῇ ταχέως τῆς ἀπολείας τὸ βάραθρον· στενὴ γὰρ ἡ τῆς ζωῆς ὁδὸς καὶ ἐπίκρημνος, καὶ ἡ μικρὰ τοῦ μέσου παρέγκλισις ἐλεεινὸν τὸν ὄλεθρον ἀπεργάζεται· παραπεπήγασι γάρ, κατά τινα τῶν σοφῶν, αἱ κακίαι ταῖς ἀρεταῖς, καὶ εἰσί πως ἀγχίθυροι. Καί σε τοίνυν, ἐπείπερ ἡ θεία χάρις εἰς τὴν μεγίστην ταύτην καὶ φοβερὰν καὶ πολύμισθον διακονίαν ἐξελέξατο[4]), καὶ εἰς τὴν προστασίαν τῶν ἀδελφῶν τῆς ἡμετέρας (об.] μονῆς[5]), μᾶλλον δὲ τῆς ἐν αὐτῇ δεσποζούσης παναχράντου ἁγίας Παρθένου καὶ Θεοτόκου μου καλῶς καὶ ἁρμοδίως προεχειρίσατο, διαναστῆναι χρεών, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν τὸ θεῖον ἐκλιπαρεῖν, ὅπως σοι ποιμαντικὴν ἐπιστήμην καὶ ψυχῆς καὶ σώματος ἀπάθειαν χαρίσηται, καὶ θώρακα δικαιοσύνης καὶ ἀληθείας ἐνδύσῃ σε, ἵνα μηδὲν ἐμπαθῶς μήτε λέγοις, μήτε μὴν πράττοις. Δεῖ γάρ σε καὶ ἀοργήτως ὀργίζεσθαι, καὶ ἀπαθῶς τὰ πάθη καθυποκρίνεσθαι διὰ τὴν τῶν ἀσθενουσῶν ψυχῶν βελτίωσιν καὶ ὠφέλειαν· ἀναδέχεσθαί τε εἰς ἑαυτὸν τοὺς ἐκ τοῦ πονηροῦ τοῖς ἀδελφοῖς[6]) ἐπιόντας πολέμους, καὶ μακροθυμεῖν ἐπὶ τῇ μικροψυχίᾳ καὶ ἀσθενείᾳ αὐτῶν, ὑποφέρειν τε γεννικῶς τὰς τούτων παρατροπὰς καὶ τοὺς γογγυσμούς, καὶ μετὰ ἀγάπης καὶ εὐσπλαγχνίας (л. **71**] παρακαλεῖν αὐτοὺς τῶν ψυχολέθρων ἔργων, καὶ τῶν ἀνωμάλων καὶ τῶν ἀπαιδεύτων ἠθῶν ἀπέχεσθαι, μετ' εὐλαβείας δὲ μάλιστα καὶ σωφροσύνης συζῆν. Εἰ δὲ καί τινας θεάσῃ τοῖς σοῖς ἀπειθοῦντας λόγοις, καὶ ἀδιαφόρως ζῆν αἱρουμένους, μὴ ἀναπέσῃς, ἢ καταῤῥᾳθυμήσῃς, ἀλλ' ἔλεγχε

---

[1]) Вставка: ἐγὼ ὁ πάντων ἀνθρώπων ἐλεεινότερος [2]) тоже: τὸ τοῦ Θεοῦ δικαίωμα λογιζόμενος [3]) иное изложеніе: κεκελευσμένος, ἤτοι ἐντεταλμένος, εἰ καὶ ἀνάξιος παρὰ τοῦ πολλαχῶς εἰρημένου αὐθέντου ἡμῶν, τοῦ μακαρίτου ἐκείνου Μυστικοῦ. Ἀγαπητέ, μέγα ἀληθῶς κ. τ. λ. [1]) ἐνεκαλέσατο [5]) τοῦ ἐν μάρτυσι περιβοήτου ἁγίου Μάμαντος καλῶς καὶ ἁρμοδίως κ. τ. λ. [6]) прибавлено: ἀοράτως.

καὶ παρακάλει, καὶ δίδασκε αὐτοὺς τὰ πρὸς σωτηρίαν συντείνοντα, καὶ μὴ ἀνήσῃς γενναίῳ φρονήματι τοὺς μὲν κρυφιομύστως[1]) νουθετῶν, τοὺς δὲ καὶ φανερῶς, καὶ μὴ ὀλιγώρει, ἐφ' οἷς ἴσως ἀντιλέγουσι καὶ ὀργίζονται, παραινοῦντός σου· διπλοῦν γὰρ ἀπολήψῃ τὸν στέφανον, ὑπέρ τε τοῦ διδάσκειν, καὶ συμβουλεύειν τὰ δέοντα, καὶ μέντοι καὶ τοῦ μὴ λυπεῖσθαι καὶ θυμικῶς ἐκταράττεσθαι, ἐφ' οἷς ἐκεῖνοι δεινοπαθοῦσί τε καὶ δυσχεραίνουσιν. Εἰ δέ ποτε καὶ τραχύνεσθαι δεήσει, ἀπαθῶς παιδεύσεις καὶ ἐπιστύψεις, ὁτὲ μὲν δι' ἐπιτιμίων, ὁτὲ δὲ δι' αὐστηροτέρων λόγων, ἐνίοτε δὲ δι' ἐπιπλάστου ἀποστροφῆς καὶ παροράσεως· κατὰ γὰρ τὴν τῶν ἠθῶν[2]) ποικιλίαν καὶ τῶν σφαλμάτων τὸ μέτρον ὀφείλεις ἐπάγειν καὶ τὴν διόρθωσιν, εἰδὼς τοῦτο σαφῶς, ὡς οὔτε πᾶσαι αἱ ἡλικίαι ἴσαι, οὔτε μὴν αἱ γνῶμαι, καὶ αἱ τῶν σωμάτων κράσεις ἢ ἕξεις, ἢ διαθέσεις, οὐχ αἱ αὐταὶ τοῖς πᾶσιν ὡσαύτως ἐνυπάρχουσιν, ἀλλ' οὐδ' οἱ πόλεμοι πάντες ἴσοι· ἀλλ' ὁ μὲν τῶν ἀσκουμένων οὕτως, ὁ δὲ ἑτέρως, ὑπὸ τῶν ἐπιθυμιῶν, ἢ τῶν δαιμόνων πειράζεται, ὡς ἀκριβῶς[3]) ἔγωγε παρὰ πολλῶν ἀκήκοα ἀσκητῶν. Καὶ δεῖ σου τὴν ἀγαθὴν σύνεσιν σπλάγχνα πατρῷα ἐπίσης εἰς πάντας ἐνδείκνυσθαι, καὶ ἐλεεῖν ἅπαντας ζεούσῃ καὶ φιλοίκτῳ ψυχῇ. Πάσης σου πρὸς τοὺς ἀδελφοὺς ἐπιταγῆς καὶ κελεύσεως λύχνος ἡγείσθω διακρίσεως, καὶ (л. 72] πᾶν, ὅπερ οἰκονομεῖν ὀφείλεις καὶ διαπράττεσθαι, καὶ κοινῶς, ἢ ἰδίως θεσμοθετεῖν καὶ παρακελεύεσθαι, διακρίσει κεκοσμημένη ἔστω, καὶ μετὰ δοκιμασίας ἀσφαλοῦς καὶ νοερᾶς μελέτης, καὶ συμβουλευτικῆς ἐπικρίσεως, τὰ τῆς σῆς ψυχῆς ἐργάζου κοινωφελῆ ἐννοήματα, μὴ τῷ ἰδίῳ στοιχῶν θελήματι, ἐκ παντὸς δὲ μᾶλλον τρόπου τὸ κοινῇ συμφέρον ἐπιζητῶν. Εἰ γὰρ συνετὸν ἑαυτὸν καθόλου νομίζεις, καὶ βδελύττῃ συμβουλίαν[4]) φρονίμων ἀνδρῶν, ῥᾳδίως ἀπατηθήσῃ, καὶ ταῖς ἀλλεπαλλήλοις ἀντιπνοίαις τῶν τῆς ἰδιορρυθμίας ὠδινημάτων ὡς δόναξ ὑπὸ σφοδρῶν ἀνέμων ἔσῃ, τῇ δὲ κἀκεῖσε περιφερόμενος. Χρὴ τὴν θεοσέβειάν σου τὰς πρὸς διοίκησιν τῆς μονῆς καὶ τῶν ἀδελφῶν λεπτομερεστέρας δόσεις, ἤτοι ἐξόδους, μὴ ποιεῖσθαι οἰκειοχείρως· ἀνάξιον γὰρ τοῦτο προεστῶτος μοναχῶν, καὶ πνευματικοῦ ψυχῶν ἐπιστάτου. Προσήκει δὲ κατὰ τὴν ἀποστολικὴν παραίνεσιν ἀπροσκόπτους ἡμᾶς τοῖς ἔξωθεν γίνεσθαι, καὶ περιαιρεῖν, ὡς δυνατόν, πᾶσαν πρόφασιν, ἐξ ἧς οἱ μωμοσκόποι λαβὰς ὡς πρὸς διαβολὴν τοῦ ἡμετέρου βίου εὑρίσκειν δύνανται,

[1]) тоже самое: καθ' ἕνα ἕκαστον. [2]) παθῶν [3]) словъ: ὡς ἀκριβῶς παρὰ πολλῶν ἀκήκοα ἀσκητῶν--нѣтъ [4]) συμβουλίας φρονήματα.

οὓς ἀποσοβεῖν διὰ τῆς ἑαυτῶν ἀκαταγνώστου ἀναστροφῆς παντοίως σπουδάσωμεν. Ἐντεῦθεν γὰρ καὶ τὸ ἐν εὐαγγελίοις ὑπὸ τοῦ Κυρίου εἰρημένον πληροῦντες ἀναδειχθείημεν· „Λαμψάτω γάρ, φησί, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων“, τῶν ποιμένων δηλονότι καὶ ἡγουμένων, „ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς“. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἄλλως ἄχραντον διατηρηθῆναι τὴν τοῦ προεστῶτος ὑπόληψιν, εἰ μὴ σπεύδῃ φανερὰν καὶ κοινοσύμβουλον (л. **66**] καὶ δι' ἑτέρων χειρῶν πᾶσαν εἰσαγωγὴν καὶ ἐξαγωγήν, καὶ δόσιν, κατὰ κέλευσιν αὐτοῦ, κατὰ τὸ πρόδηλον γίνεσθαι· διὸ καὶ ὑποτιθέμεθα σοι, μηκέτι διὰ σεαυτοῦ τὰς τῆς μονῆς ἐξόδους ποιεῖσθαι, ἀλλ' ἀριθμεῖν ποσότητα νομισμάτων, καὶ διδόναι τινὶ τῶν εὐλαβεστέρων ἀδελφῶν, ὡς ἂν παρ' ἐκείνου πᾶσα ἔξοδος γίνοιτο, μετὰ καὶ σῆς εἰδήσεως καὶ προστάξεως, ὡς ἐν τῷ περὶ τοῦ δοχειαρίου κεφαλαίῳ πλατύτερον ἐδηλώσαμεν. Ταῦτα ὡς ὁ καιρὸς ἐδίδου τῇ εὐλαβείᾳ σου ὑπεθέμεθα, τῆς πρὸς ὑμᾶς ἀγάπης ἀδελφικῶς ἐξερχόμενοι, καὶ τό τε σὸν ἀκατάγνωστον, τήν τε τῶν ἀδελφῶν εἰρηναίαν κατάστασιν, καὶ πρὸς ἀρετῆς ἐπίδοσιν ἐκ παντὸς τρόπου πραγματευόμενοι. Σὺ δέ, τιμιώτατε πάτερ μου, μικρὰν ὑπόμνησιν ἀφ' ἡμῶν εἰληφώς, τὰ λείποντα παρὰ (об.] σεαυτοῦ πρόστιθι, ὡς [1]) σοφός τε καὶ νουνεχής, πλὴν καταλλήλως ἅμα καὶ ἐχομένως· „Δίδου γάρ, φησί, σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται“, σοφὸν δ' ἐγὼ καλῶ τὸν ἐν καρδίᾳ τὸν τοῦ Θεοῦ φόβον φέροντα [2]), ἐπεὶ καὶ „ἀρχὴ σοφίας φόβος Κυρίου“. Ἀρκεῖ ταῦτα τῇ εὐλαβείᾳ σου. Εὔχεσθε [3]) δέ, διὰ τὸν Κύριον [4]) παρακαλῶ, προηγουμένως μὲν τῶν ἁγίων αὐθεντῶν μου καὶ βασιλέων, τοῦ τε στρατοῦ καὶ τοῦ κόσμου παντός, ἀλλὰ καὶ τῆς ἐμῆς ἀθλιότητος, ἐν ταῖς πρὸς Θεὸν ὑμῶν ἐκτενέσι δεήσεσι· καὶ σώζοισθέ μοι, τὸ μικρὸν τῆς Θεομήτορος ποίμνιον, καὶ σωθείημεν πάντες ταῖς πρὸς Θεὸν αὐτῆς ἀκαταισχύντοις ἐντεύξεσι. Καὶ ἡ χάρις τοῦ φιλανθρώπου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἴη μετὰ σοῦ καὶ ἡμῶν, Ἀμήν.

---

[1]) ὡς σοφός τε καὶ νουνεχής—нѣтъ [2]) ἔχοντα [3]) εὔχου [4]) иное изложеніе: ὑπὲρ ἐμοῦ τοῦ ἐσχοτισμένου, τοῦ γράψαντος μέν, μὴ πράξαντος δέ, καὶ ἡ χάρις τοῦ φιλανθρώπου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τῶν πρεσβειῶν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Μάμαντος εἴη μετὰ σοῦ καὶ ἡμῶν, Ἀμήν. На этомъ Типиконъ Мамантовскаго монастыря и оканчивается. Далѣе слѣдуютъ αἱ ὑπογραφαί. См. выше стр. 708—715.

Κεφ. μη'. Περὶ τῆς ἑορτῆς τῆς Κοιμήσεως τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν καὶ Θεοτόκου. (л. **67**] Ὀφείλει μέν τοί γε ἑορτάζεσθαι κατ' ἐξαίρετον τῶν ἄλλων πασῶν ἑορτῶν τῆς ὑπεραγίας μου Θεοτόκου ἡ ἑορτὴ τῆς ἁγίας Κοιμήσεως αὐτῆς, λαμπρῶς ἄγαν καὶ φιλοτίμως διά τε παντοίας κοσμήσεως τοῦ θείου αὐτῆς ναοῦ, ἤγουν ἱερῶν σκευῶν, βλατίων, φωταψίας ἐξαιρέτου, καὶ πάσης ἄλλης λαμπρότητος, μετὰ ὁλονύκτου ἀγρυπνίας, καὶ εὐφώνων ψαλτῶν· γίνεσθαι δὲ καὶ τὴν τῆς τραπέζης δίαιταν ἁβροτέραν ἀπό τε νεαρῶν ἰχθύων καὶ ταριχευτῶν ἄχρι μίνσων τεσσάρων, ἢ καὶ πλειόνων, ὡς δυνάμεως καὶ προαιρέσεως ἔχει ὁ κατὰ τὴν ἡμέραν προεστώς. Δίδοσθαί τε καὶ εὐλογίας δύο εἰς δόξαν καὶ τιμὴν τῆς ὑπεραγίας μου Θεοτόκου. Ἑστιαθήσονται δὲ ἐπὶ τῇ τοιαύτῃ μνήμῃ τῆς Θεομήτορος, ἐὰν μὴ πάντες οἱ παραβάλοντες, ἀλλ' οὖν ὅσους ἂν ὁ προεστὼς βουληθῇ, ἀλλὰ καὶ γυναῖκες, αἱ παρευρεθεῖσαι, εἰσερχέσθωσαν κατ' αὐτὴν καὶ μόνην (**об.**] τὴν ἡμέραν τῆς ἑορτῆς χάριν προσκυνήσεως, καὶ εὐθὺς ἐξιέτωσαν, καὶ οὐκ ἐν τῇ μονῇ μόνον ἡ τοιαύτη ἑορτή, τῆς Κοιμήσεως δηλονότι τῆς ὑπεραγίας μου Θεοτόκου λαμπρῶς ἑορτασθήσεται, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ μετοχίῳ, ὡς δυνάμεως καὶ προαιρέσεως ἔχει ὁ καθηγούμενος. Οἶμαι δέ, ὅτι οὐ θελήσει παραδραμεῖν τι τῶν ἐνδεχομένων καὶ ἁρμοζόντων εἰς τιμὴν τῆς ὑπεραγίας μου Θεοτόκου. Ἀλλὰ καὶ ἡ ἐτήσιος μνήμη τοῦ ὁσίου Βασιανοῦ ἑορταζέσθω ἐν τῷ μετοχίῳ ἐκ παντός, καθὼς δηλονότι δύναταί τε ὁ προεστὼς καὶ βούλεται, ἵνα μὴ αὐτὸς σχοίη τὸ κρῖμα.

Κεφαλ. μθ'.[1]) Περὶ τῶν μνημοσύνων τοῦ αὐθέντου μου καὶ βασιλέως. Τελείσθωσαν τὰ μνημόσυνα τοῦ αὐθέντου μου καὶ βασιλέως, κυρίου Μανουὴλ τοῦ πορφυρογεννήτου ἐστ' ἄν, Θεοῦ εὐδοκοῦντος, ἐν τοῖς ζῶσιν ἐστὶν κατὰ τὴν παρακολουθήσασαν συνήθειαν. Μετὰ δὲ τὴν (л. **68**] πρὸς Κύριον αὐτοῦ ἐκδημίαν, οὕτως. Ἀφ' ἑσπέρας, γινομένης φωταψίας ἐν τῷ ναῷ, οἵας ἐν ταῖς ἑορταῖς, καὶ παννυχίδος ἐκτενοῦς, λεγομένου τοῦ Κύριε ἐλέησον ἑκατοντάκις· τῇ δὲ ἐπαύριον, λειτουργίας ἰδίας μετὰ καὶ κολύβων γινομένης, καὶ παρακλήσεως λόγῳ τῶν μοναχῶν δι' ἰχθύων νεαρῶν ἄχρι μίνσων τριῶν, καὶ ἐπιβάλματος τοῦ συνήθους, ἤτοι εὐλογίας, διδομένων καὶ ἐν τῷ πυλῶνι ψωμία μοδίων θαλασσίων τριῶν, οἴνου μέτρων ὁμοίων τριῶν, καὶ τεταρτηρῶν νομισμάτων τρικεφάλων δύο· ἀναφέρεσθαι δὲ καθ' ἑκάστην ἔν τε τῷ

[1]) Подобную, но иначе изложенную, 40 главу Типикона монастыря св. Маманта см. выше стр. 707—708.

ὄρθρῳ, τῇ λειτουργίᾳ καὶ τῷ ἑσπερινῷ, καὶ λέγεσθαι τὸ Κύριε ἐλέησον ἀνὰ ξ.

Κεφ. ν'. Περὶ τοῦ πῶς γίνεσθαι ὀφείλουσι τὰ μνημόσυνά μου νῦν τε, καὶ μετὰ τὴν πρὸς Κύριον ἐκδημίαν μου. Ἃ μὲν οὖν δι' ἐμοῦ προεξένηται καὶ κατώρθωται μόχθοις οἰκείοις (об.] καὶ σπουδαῖς ἀνενδότοις πρὸς σύστασιν τῆς πολλάκις ῥηθείσης μονῆς τῆς ὑπεραγίας μου Θεοτόκου ἐν τῷ προοιμιαστικῷ λόγῳ τοῦ παρόντος μου Τυπικοῦ ἀριδηλότερον διηγόρευται· ἐπεὶ δέ, κατὰ τὴν ἐν εὐαγγελίοις θείαν φωνήν, „ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ", καὶ χρὴ τοὺς κοπιῶντας ἐπ' ἀγαθοῖς δεξιοῦσθαι προσηκούσαις ἀνταμοιβαῖς, ἀντιβολῶ κἀγὼ καὶ δέομαι ὑμῶν τε τῶν σήμερον εὑρισκομένων ἐν τῇ μονῇ, καὶ τῶν μεθ' ὑμᾶς, ταύτην μοι χαρίσασθαι τὴν ἀνταμοιβὴν ὑπὲρ ὧν κατὰ τὸ δυνατὸν καὶ ἐμόχθησα, καὶ τὰ πρὸς διάρκειαν ὑμῶν καὶ τὰ πρὸς σύστασιν τῆς μονῆς ἔσπευσα, τὸ ἀκαίρεα καὶ ἀπαρεγχείρητα τὰ ὑποτεταγμένα ποιεῖν. Καὶ νῦν μέν, ἐστ' ἂν ἐν τοῖς ζῶσιν εἰμί, ὀφείλουσι γίνεσθαι οὕτως, ὥς τε (л. 73] κατὰ πᾶσαν τυπικὴν ἀκολουθίαν ἡμέρας τε καὶ νυκτός, ἵνα γίνηται ἐκτενὴς δέησις ὑπὲρ ἐμοῦ, λεγομένου καὶ τοῦ Κύριε ἐλέησον ἀνὰ ξ, ἔν τε τῷ ἑσπερινῷ δηλονότι, τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ. Ἐν δὲ τῷ ὄρθρῳ, μετὰ τὴν συμπλήρωσιν τῆς ς'. ᾠδῆς, γίνηται καὶ Τρισάγιον παρακλητικὸν μετὰ τῶν δε τῶν τροπαρίων· „Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς". Δόξα. „Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν". Καὶ νῦν. „Τῆς εὐσπλαγχνίας τὴν πύλην". Εἶτα παρὰ τοῦ ἱερέως ἐκτενὴς δέησις, καὶ τοῦ Κύριε ἐλέησον παρ' ὑμῶν πεντεκαιδεκάκις λεγομένου. Κατὰ πᾶσαν δὲ ἑσπέραν τῆς κυριακῆς, μετὰ τὴν τοῦ λυχνικοῦ ἀπόλυσιν, ἵνα ψάλληται· κανὼν παρακλητικὸς τῆς ὑπεραγίας Θεοτόκου, καὶ τῇ ἐπαύριον λειτουργία ἰδιαιτάτη. Ἐν πάσαις δὲ ταῖς τελουμέναις λειτουργίαις ἐν τῷ ναῷ ὀφείλει προσκομίζεσθαι μία προσφορὰ ἐπὶ τῷ ὀνόματί μου, (об.] τὰ αὐτὰ δέ, ἵνα γίνωνται καὶ μετὰ τὴν πρὸς Κύριον ἐκδημίαν μου, ἤγουν κατὰ τὸ τέλος τῆς ς'. ᾠδῆς ἑκάστ....[1]) Τρισάγιον, καὶ τὰ νεκρώσιμα συνήθη τροπάρια· „Ὁ βυθοῖς σοφίας φιλανθρώπως". Δόξα. „Μετὰ τῶν ἁγίων ἀνάπαυσον". Καὶ νῦν. „Σὲ καὶ τεῖχος καὶ λιμένα", καὶ ἐκτενής. Ὡσαύτως καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ ἑκάστης κυριακῆς ψάλλεσθαι κανὼν νεκρώσιμος, καὶ τῇ ἐπαύριον ἡ λειτουργία. Ἐν δὲ τῷ καιρῷ τῶν ἐτησίων μου μνημοσύνων, ἵνα

[1]) Въ патмосской рукописи это мѣсто и другія, отмѣченныя точками ниже, испорчены.

γίνηται φωταψία ἐν τῷ ναῷ, ὁποία καὶ ἐν ταῖς ἑορταῖς, καὶ παννυχὶς ἐκτενὴς διά τε δωδεκαφωτίων δύο, καὶ λαμπάδων τεσσάρων, καὶ τῇ ἐπαύριον λειτουργία ἰδιαιτάτως, ὀψωνίζηται δὲ καὶ ἐν τῇ τραπέζῃ διὰ νεαρῶν ἰχθύων μίνσους τρεῖς, διδομένης καὶ τῆς συνήθους εὐλογίας διὰ οἴνου καλλίστου. Ἅμα δὲ τῇ ἀπολύσει τῆς λειτουργίας δίδοται ἑκάστῳ τῶν ἀδελφῶν ἀπαραπροθέσμως χάριν μικρᾶς (**л. 74**] παρακλήσεως ἀνὰ τρικέφαλον[1]) τὸ... τοῖς πᾶσιν ἐπίσης, γένηται δὲ καὶ διάδοσις ἐν τῷ πυλῶνι τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου, τοῖς πένησι, ψωμία μοδίων θαλασσίων τεσσάρων, οἴνου μέτρα ὅμοια δ΄. καὶ τεταρτηρὰ τρικέφαλα[2]) δύο. Ἡ αὐτὴ δὲ ἀκολουθία ὀφείλει τελεῖσθαι ἀπαραλάκτως καὶ ἐν τῷ ἐντὸς τῆς βασιλευούσης ὄντι μετοχίῳ, ἔν τε τῇ ζωῇ μου, καὶ ἐν τῇ πρὸς Κύριον ἐκδημίᾳ μου, ἄνευ τῆς ἐν τῷ πυλῶνι διαδόσεως.

Κεφ. ναʹ. Περὶ τῶν μνημοσύνων τῶν ἀρχαίων κτητόρων. Καὶ τὰ μνημόσυνα δὲ τῶν ἀρχαίων ἐκείνων καὶ μακαρίων κτητόρων ἐκ παντός, καὶ χωρὶς τῆς οἱασοῦν προφάσεως, ἐκτελείσθωσαν, ἔν τε τῇ πρωτοτύπῳ μονῇ, καὶ ἐν τῷ μετοχίῳ, διά τε παννυχίδος, καὶ λειτουργίας, καὶ τῆς κατὰ πᾶσαν ἀκολουθίαν ἀναφορᾶς αὐτῶν, ψαλλομένου καὶ Τρισαγίου καθ' ἑκάστην ἡμέραν ὑπὲρ αὐτῶν, καὶ μνημονευομένων αὐτῶν. (**об.**]

Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ὁ Μυστικὸς Νικηφόρος.

Η) ΤΥΠΙΚΟΝ ΤΗΣ ΕΝ ΤΩ ΠΕΡΙΩΝΥΜΩ ΒΟΥΝΩ ΤΟΥ ΑΥΞΕΝΤΙΟΥ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος βασιλικῆς ΜΟΝΗΣ ΤΟΥ ΑΡΧΙΣΤΡΑΤΗΓΟΥ ΜΙΧΑΗΛ, ἧς κτήτωρ ὁ βασιλεὺς Μιχαὴλ πρῶτος τῶν Παλαιολόγων.

(По рукописи Халкинской библіотеки № 85 1749 г.)

(**л. 198**] Ὁ πρόλογος διήγησιν ἔχων εὐχαριστήριον ὡς ἀπὸ τοῦ βασιλέως πρὸς τὸν Θεόν.

„Τὸν εὐχαριστήριον εὐμενῶς δέχου,
„καὶ τὴν ἀπαρχὴν εὐλόγει Θεοῦ Λόγε".

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. Εὔκαιρον γὰρ ἀρτίως τῇ βασιλείᾳ μου πρὸς Κύριον τὸ τοιοῦτον τοῦ Θεοπάτορος ἀναψαλάξαι ῥητόν, καὶ εἰς εὐπρόσωπον θέσθαι

τῆς παρούσης τυπικῆς συντάξεως ἀπαρχήν· ἐμεγάλυνε γὰρ οὗτος τὰ ἐλέη αὐτοῦ ἐπ' ἐμοί, καὶ τὰ θαυμάσια αὐτοῦ περιφανῶς ἐνεδείξατο, καὶ οὐ πάλαι μόνον καὶ πρότερον, ἀλλὰ δὴ καὶ ὁσημέραι καὶ ὁσῶραι. Ταῦτα μέχρι τοῦ νῦν μεγαλύνει, καὶ μυρίαις καθ' ἑκάστην περιαντλεῖ με προχύσεσι τῶν ἀῤῥήτων αὐτοῦ μεγαλοδωρεῶν· ζῶον γάρ με τὰ πρῶτα δημιουργήσας ὁ βασιλεύς μου, καὶ ὁ Θεός μο , καὶ λόγῳ κοσμήσας, τότε ἡλιακὸν φῶς τοῦτο βλέπειν καταξιώσας, ἀέρος μοι τὴν χύσιν ἐλευθερώσας, ὑδάτων ῥοὰς ἐξαπλώσας, καὶ πᾶν, εἴτι κάλλιστον, ἐν τῇ γῇ μοι δαψιλῶς φιλοτιμησάμενος. Ἀπ' ἀρχῆς γὰρ διὰ τὸν ἄνθρωπον ὁ Φιλάνθρωπος τὸν κόσμον παρήγαγεν, ἵν', ἐξ ὧν οὗτος ἀπολαύει, διά τε τῆς καθέκαστον αἰσθήσεως, (**об.**] διά τε τῆς νοερᾶς τῶν ὄντων, καὶ ὑψηλῆς καταλήψεως, ἀνυμνῇ καὶ δοξάζῃ τὸν Εὐεργέτην, ἐξαιρέτως τοῖς ἄλλοις, καὶ τῇ δε τῇ κατὰ κόσμον εὐγενείᾳ ἐλάμπρυνε. Καὶ γὰρ γονέων με προσελθεῖν εὐδοκήσας, ἀρετῇ τε καὶ ἠθῶν κοσμιότητι περιθρυλλουμένων, καθ' αἷμα καὶ τοῖς πρὸ ἡμῶν περιφανέσιν ἐκείνοις καὶ μεγάλοις βασιλεῦσιν ᾠκείωσε, χρήμασι, κτήμασι, καὶ λοιπαῖς περιουσίαις, ὠλβίωσε, τιμαῖς ταῖς ἐν τοῖς ἀνακτόροις, καιροῖς ἐν διαφόροις, ἀλληλοδιαδόχως ἐδόξασεν. Ἐῤῥύσατό με συχνῶς διὰ τοῦ πρωτοστάτου τῶν ἀύλων αὐτοῦ λειτουργῶν Μιχαήλ, ὃν ἐξ αὐτοῦ καὶ μετ' αὐτὸν ἄγρυπνον φύλακα τῆς ἐμῆς ηὐτύχησα βιοτῆς, κινδύνων πολλῶν, περιστάσεων χαλεπῶν, φόβων, τῶν μὲν ἐνδοτέρων, τῶν δ' αὖγε καὶ ἐξωτερικῶν· ἀντελάβετό μου δὲ αὐτοῦ ἐν καιρῷ πολέμου, καὶ μετὰ δόξης προσλαβών με, νικητὴν τοῖς οἰκείοις πολλάκις καὶ τοῖς ἀλλοτρίοις ἀνέδειξε. Τί μὴ λέγω τὸ μεῖζον; ταῦτα γάρ, εἰ καὶ τὰ παραπλήσια τούτοις, ἂν ἀριθμοίην, ὑπὲρ ἄμμον θαλάσσιον πληθυνθήσονται, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος ὑπερελάσσουσιν· ηὐδόκησέ τι μέγα θαυμασίως καὶ ἐπ' ἐμοὶ τῷ ἐλαχίστῳ, τῷ τῶν ἁπάντων ἐκτρώματι, καὶ τοῦτο πάντως, ἵνα τῇ ἐμῇ ἀσθενείᾳ τὴν ἑαυτοῦ τελειώσῃ ἀπειροδύναμον δύναμιν, (л. **199**] καὶ ἀρκοῦσαν χάριν κἀμοὶ ἐπιδείξειεν, ὡς τῷ μεγάλῳ Παύλῳ, τῷ σκεύει τῆς ἐκλογῆς. Καὶ γὰρ τοῦ χαμαιζήλου με ἀπάρας βαθμοῦ, ἐπὶ τὴν σκοπιὰν ἀνεβίβασε ταυτηνὶ τὴν μετέωρον, ὄνομά τέ μοι ἐχαρίσατο τὸ ὑπὲρ ἄλλο πᾶν ἐγκόσμιον ὄνομα, καὶ τῆς βασιλείου ὁλκάδος ξενοτρόπως, καὶ ὡς αὐτὸς οἶδε μόνος, τοὺς οἴακας ἐνεχείρισεν, οὓς καὶ μέχρι τοῦ νῦν, συμβασιλεύων μοι διιθύνει, καὶ παντὸς κοσμικοῦ σάλου καὶ κλύδωνος ἀκατακλύστους διατηρεῖ. Μέντοι γε, μετέχοις τούτους καὶ εἰς τὸ ἑξῆς κραταιότερον, καὶ διιθύνοις φιλοτιμότερον Βασιλεῦ τῶν βασιλευόντων, καὶ Κύριε τῶν κυριευόντων, Θεέ. Ἀλλὰ πόσας δανεισάμενος γλώσσας ἀξίως διηγησαίμην ὅσα ἐποίησε

τῇ ψυχῇ μου ὁ Κύριος, ἀφοῦ με καὶ εἰς τὸ αὐταρχικόν, εἴτουν αὐτοκρατορικὸν καὶ βασιλικὸν ἀνήγαγεν ἅρμα, μυριοπλάσιον ἰταλῶν ὀφρύν, κἀκείνων πρίγκιψι καὶ κόμησι συνηριθμημένων, εἰς γῆν καταῤῥίψας, Περσῶν ἀλαζόνα δύναμιν καταλύσας, Μυσοὺς τοῖς στενωποῖς τοῦ Αἵμου καὶ μόνον περιορίσας, καὶ πᾶν ἀλλόθρουν καὶ ἀντίξοον τοῖς Ῥωμαίοις φρονοῦν, ὡς σκεύη κεραμέως, συντρίψας, καὶ εἰς χοῦν λεάνας, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Τὸ ξένον καὶ πᾶσαν (**οϐ.**] ἐκπλῆττον ἀκοὴν καὶ διάνοιαν, ὁ πάλαι βασιλεῖς καὶ πατριάρχαι, γερουσία, καὶ δῆμοι ἐπεθύμουν μέν, ἀλλ' ἰδεῖν οὐκ εἶχον, τὴν τῆς περιφανοῦς, λέγω, τῆς δε καὶ βασιλίδος τῶν πόλεων ἐκ τῆς ἰταλικῆς τυραννίδος ἀνάῤῥυσιν, καὶ ἀπὸ ζυγοῦ δουλείας ἐλευθερίαν καὶ ἀπολύτρωσιν, τοῦτ' ἐκεῖνο· ἀλλὰ τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; φθάνει τελεσθῆναι καινοτρόπων πολέμων ἆτερ καὶ μόχθων, αἱμάτων ἄνευθεν καὶ τραυμάτων, χρόνοις τοῖς νῦν, ὅτε καὶ ἡμῖν ἐκ Θεοῦ τὰ τῆς βασιλείας σκῆπτρα ἐνεχειρίσθησαν. Τοίνυν καὶ πάρεστι, τὴν Κωνσταντίνου τήν δε μεγαλόπολιν ὅσα καὶ βασίλισσαν περιβεβλημένην τὸν παλαιὸν ἐκεῖνον καὶ περικαλλῆ στολισμόν, καὶ τὴν νέαν Ἱερουσαλήμ, ᾠκοδομημένην ὡς πόλιν, εὐκαίρως φάναι τὸ ψαλμικόν· „πλήθουσιν ἀγοραὶ ταύτης, ἄμφοδοι, στενωποί τε καὶ ἀγυιαί"· πλὴν οὐ μιξοβαρβάρου λαοῦ τὸ φθέγμα φύρδην προϊεμένου, ἀλλὰ τὸ ὅλον αὐσονικοῦ καὶ ἀκριβῶς ἐξησκημένον διατρανοῦν τὴν ἑλλάδα γλῶτταν, τὴν ὀρθορῥήμονα. Σεμνεῖα καὶ ἀσκητήρια μοναζόντων καὶ μοναζουσῶν περικοσμοῦσι χοροί, καὶ τὸν μοναχικὸν ἐν τούτοις εὐπρεπῶς σταδιεύουσι δίαυλον, τοῖς θείοις ναοῖς ἱερέων ἐνασμενίζουσι σύλλογοι, καὶ τὰς συνήθεις (**π 200**] αὐτοῖς εὐχὰς καὶ ἱεροτελεστίας τῷ Θεῷ μετ' εὐχαριστίας καθ' ἑκάστην προσφέρουσι. Τὸ μεῖζον, ἐν τῷ περιωνύμῳ καὶ τῆς τοῦ Θεοῦ Σοφίας ἐπωνύμῳ ναῷ οὐ προσεδρεύει πατριάρχης ἀλλογενὴς καὶ παρέγραπτος, ἀλλ' ἰθαγενὴς καὶ ὁμόφυλος, τοὺς ἑαυτοῦ γινώσκων, καὶ ὑπὸ τῶν οἰκείων ἔμπαλιν γινωσκόμενος. Τούτων τοίνυν οὕτως ἐχόντων, ὡς ἐπιτροχάδην μὲν εἴρηται τῇ βασιλείᾳ μου καὶ συνωπτικῶς, παρ' ἄλλοις δὲ συγγραφεῦσι φιλοτίμως καὶ πάνυ γε πλατικῶς, διενοεῖτο καθ' ἑκάστην ἡ βασιλεία μου, καὶ φροντίδα βαρεῖαν εἶχε καὶ σύντονον, τί ἂν μετελθοῦσα βραχεῖαν ἀντίχαριν, ἢ καὶ πολλοστὸν ἀντίδωρον ἀπονείμῃ, τῷ τοσαύτας εὐεργεσίας, μεγάλας τε καὶ περιφανεῖς ἐπιδειξαμένῳ ταύτῃ Θεῷ. Τοίνυν καὶ ἀκριβῶς εἰδεῖα, ὡς ἃ τοῖς γνησίοις αὐτοῦ προσφέρει τις λατρευταῖς, ταῦθ' οὗτος ὡς ὑπεράγαθος οἰκειοῦται, καὶ τὴν πρὸς ἐκείνους τιμὴν εἰς ἑαυτὸν ἐπιγράφεται, συνέλαβεν ἡ βασιλεία μου κατὰ νοῦν, ὅπως τὴν εἰς τὸ περιῤῥύλλητον ὄρος καὶ περιώνυμον, ὁ πά-

λαι δεύτερον Πηλούσιον ἢ Νιτρία, ἢ Ταβεννήσιον, ἢ Σκῆτις ἐτύγχανεν ὄν, ἄνδρας φέρον θεοπρεπῶν ἔργων ὡς ἀληθῶς ζηλωτάς, καὶ τῆς τῶν οὐρανῶν βασιλείας περιφανεῖς βιαστάς, καὶ τῇ τοῦ θείου (οδ.] Αὐξεντίου κλήσει ἐνσεμνυνόμενον, ἐνιδρυθεῖσαν περιφανῶς καὶ ὀλβίως σεβασμίαν τήν δε μονὴν παρὰ τοῦ ἀοιδίμου πάππου τῆς βασιλείας μου, τοῦ μεγάλου δουκὸς ἐκείνου κυροῦ Ἀλεξίου, τοῦ διὰ τοῦ θείου μεγάλου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἀντωνίου μοναχοῦ, χρόνῳ, μᾶλλον δὲ ταῖς συχναῖς αὐτοῦ περιπετειαις, καὶ ἀλλεπαλλήλοις περιφοραῖς, καμνοῦσαν, καί, ὅ φασιν, εἰς γόνυ κλιθεῖσαν, ἀνεγείρῃ πάλιν καὶ ἐπὶ τὸ κρεῖττον μεταποιήσῃ, λαμπροτέραν τε ταύτῃ προσθήσει τὴν καλλονήν, καὶ τὸν πρὸς ζωάρκειαν τῶν μοναζότων πορισμὸν ἐπιχορηγήσειε δαψιλέστερον, ἅμα μέν, ὡς εἴρηται, τῷ Θεῷ βραχεῖαν ἀντίχαριν ἐπιφέρουσα, ἅμα δὲ καὶ τοῖς ἑαυτοῖς προγόνοις μικράν τινα χάριν, μᾶλλον δὲ μεγάλην τὴν ὀφειλὴν ἀπονέμουσα. Τοῦτο γοῦν τὸ ἐνθύμιον ὅσα τι σκιαγράφημα ἢ προκέντημα τῇ βασιλείᾳ μου εἰδοποιήσασα, καὶ εἰς ἔργον τελεσφορήσασα, τὴν σεβασμίαν τήν δε μονὴν εἰς ὅπερ ἐστὶ σήμερον, καὶ ἐν οἷς θεωρεῖται σύμπασιν ἀποκαθιστᾶ, καὶ τῷ μεγάλῳ Προστάτῃ αὐτῆς καὶ Πρωτοστάτῃ τῶν ἄνω δυνάμεων, καὶ δι' αὐτοῦ τῷ παντοδυνάμῳ καὶ ὑπεραγάθῳ Θεῷ, ταύτην προσάγει μετ' εὐθυγνωμοσύνης πολλῆς καὶ εὐνοϊκῆς διαθέσεως. Καὶ ταῦτα μὲν ἡ βασιλεία μου. (л. 201] Σοὶ δ' ἂν εἴη, προστάτα μου, βοηθέ μου καὶ ἀντιλήπτορ μου, τῶν οὐρανίων καὶ ἀΰλων στρατιῶν ἀρχηγέ, τὸ τὰ τῆς μονῆς εἰς τὸ κρεῖττον προκόπτειν, καὶ καθ' ἡμέραν ἐπιδιδόναι πρὸς αὔξησιν, καὶ τόν δε τὸν σὸν λαὸν πνευματικῶς καὶ θεοπρεπῶς διεξάγεσθαι, νῦν μὲν παρ' ἀνθρώποις σεμνολογούμενον, καὶ τῆς ἀρετῆς θαυμαζόμενον, ἐν δὲ τῷ μέλλοντι ταῖς τῶν δικαίων σκηναῖς αὐλιζόμενον, καὶ τοῖς τοῦ παραδείσου ἀκηράτοις χώροις ἀναπαυόμενον, ἵνα καὶ ἡ βασιλεία μου ταῖς σαῖς προστασίαις, καὶ ταῖς τοῦδε τοῦ ἱεροῦ παντὸς πολιτεύματος, πρὸς τὸν κοινὸν Δεσπότην καὶ Σωτῆρα πρεσβείαις, συγχωρήσεως τύχῃ τῶν πολλῶν ταύτης ἁμαρτιῶν, τῆς ἐν τῷ μέλλοντι φοβερῷ. καὶ ἀδεκάστῳ δικαστηρίῳ ἐκ δεξιῶν στάσεως, καὶ τῆς μετὰ τῶν σωζομένων ἀποκαταστάσεως· τοῦτο γὰρ ἡ βασιλεία μου ὑπὲρ ἅλλο πᾶν ἐκθύμως θέλει καὶ εὔχεται, καὶ τυχεῖν ἀναμφιβόλως τοῦδε θαῤῥεῖ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Ἀμήν.

Περὶ τοῦ ἐλευθέραν εἶναι καὶ αὐτοδέσποτον τὴν μονήν.

„Εὐαγγελικὸν οἱ φέροντες φορτίον
„μένοιεν ἐκτὸς δουλικῆς ζεύγλης βάρους".

Πρὸ πάντων τοίνυν θέλει καὶ εὔχεται ἡ ἐκ Θεοῦ βασιλεία μου διαμένειν τήν δε τὴν σεβασμίαν μονὴν αὐτεξούσιον καὶ αὐτοδέσποτον, παντὸς ἐλευθέραν ἀρχικοῦ καὶ πράγματος καὶ ὀνόματος, ἤγουν ἐφορείας, ἐπιτηρήσεως, πρὸς ἑτέραν ἑνώσεώς τε καὶ ἐπιδόσεως, καὶ πάσης ἄλλης δυναστείας, σεμνυνομένης τάχα τῷ τῆς κηδεμονίας ὀνόματι, αὐτὴν δὲ κατ' αὐτὴν οἰκονομεῖσθαι καὶ διεξάγεσθαι παρὰ τοῦ κατὰ καιροὺς προεστῶτος, καὶ τῶν λογάδων τῆς πνευματικῆς ἀδελφότητος, χρόνῳ καὶ βίῳ, ἔστι δ' ὃν καὶ λόγῳ τῶν λοιπῶν προεχόντων, ὑπ' οὐδενὸς λογοπραγουμένων, ἢ παρὰ μόνου τοῦ τὰ κρυπτὰ τῶν ἀνθρώπων εἰδότος Θεοῦ, πρὸς ὃν καὶ λόγον ὑφέξουσι τῆς τοιαύτης αὐτῶν προστασίας καὶ διοικήσεως. Ἂν δέ τις κατ' αὐτῆς πρᾶξαί τι πειράσαιτο βίαιον, τὸ αὐτεξούσιον ταύτης ἀνατρέπειν ἐπιχειρῶν, τὸν τοιοῦτον, ὁποῖος ἄρα καὶ εἴη, ὑπόδικον ἡ βασιλεία μου τίθησι ταῖς βαρυτάταις τῶν ἁγίων πατέρων ἀραῖς· μέγα γὰρ ἡ ἐλευθερία, καὶ τοῖς δε νοῦν ἔχουσι τῶν ἄλλων ἁπάντων πέφυκε προὐργιαίτερον, πρᾶγμά τι· τοῦτο καὶ Θεὸς (л 202) αὐτὸς βεβαιοῖ, τὸν ἄνθρωπον πάλαι δημιουργήσας, καὶ τιμήσας τῇ αὐτεξουσιότητι. „Ἐκβάλλεται δέ, φησὶ καὶ ἡ πρέσβα γραφή, ἧς ὑποφήτης ὁ πολὺς τὴν θεοπνευστίαν Μωσῆς, τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας". Τὸ δέ τῆς δουλείας πρᾶγμα καὶ ὄνομα καινοτομία τις δυναστείας, κἀκ τοῦ ἐθνικοῦ νομίμου βιαία τῷ τῇ δε βίῳ παρείσδυσις, ὅθεν ἀφεκτέον μὲν αὐτῆς, τῆς δ' ἐλευθερίας ἀντιληπτέον, ἐπὶ συστάσει τῆς μονῆς, καὶ ἐπὶ τὸ βέλτιον προκοπῇ· τὰ γὰρ τῶν μοναστηρίων αὐτοδέσποτα, τῶν ἄλλων, τῶν προσώποις ὑποκειμένων, εὐθαλέστερά τε καὶ αὐταρκέστερα· τὰ μὲν γὰρ ἀνυστερήτως ὧν ἔχουσιν ἀπολαύουσι, τὰ δ' οὐδὲν ἢ μικρὰ τῶν εἰσόδων ἀπολαμβάνουσι, τὸ πᾶν, ἢ τὰ πλείω τῶν κατεχόντων ὡς ἴδια σφετεριζομένων, καὶ ταῦτα νεμομένων ὡς ἴδια. Τούτων μὲν οὖν ἄλις, ἡ δὲ προσήκουσα τοῖς ἀρχιερεῦσι τιμὴ ἀξίως ἀποδιδόσθω τοῖς ἱεραρχοῦσι κατὰ καιρὸν ἐν τῇ ἁγίᾳ μητροπόλει τῆς Χαλκηδόνος, ὡς ψυχῶν ποιμέσι καὶ φροντισταῖς, ἡ εἰωθυῖα ἐπ' ἐκκλησίας τούτων ἀναφορὰ ἐν ταῖς συνήθεσι γινέσθω συναπταῖς καὶ ἐκτενέσιν εὐχαῖς. Δεῖ γὰρ (об.] εὐχαῖς ἀνταμείβεσθαι, καὶ πνευματικῶν δώρων πνευματικὰς ἀνταπονέμειν τὰς χάριτας. Πλὴν

προσαγέσθωσαν τοῖς τοιούτοις μητροπολίταις κατ' ἔτος καὶ τρία κανίσκια, ἀνὰ ἓν καθὲν ὑπέρπυρον ἀξιούμενα, καὶ κηροῦ λίτρας τρεῖς, καὶ οὐ πλέον, ὃς δὴ καὶ αὐτὸς τοῖς τοιούτοις καὶ μόνοις ἀγαπήσει, καὶ οὐκ εἰς πλείονα δόσιν παραβιάσει τοὺς ἀδελφούς. Ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα, ἀπάρτι δὲ καὶ περὶ τῆς τοῦ προεστῶτος ἐκλογῆς ἀκολούθως ὁ λόγος διεξιέναι μοι βούλεται.

Περὶ τῆς τοῦ προεστῶτος ἐκλογῆς τε καὶ προχειρίσεως.

„Τὴν ἐκλογὴν μὲν τοῖς μονάζουσι νέμω,
„τὴν δὲ πρόβλησιν τοῖς κρατοῦσιν αὐσόνων".

Τί δὲ καὶ περὶ τοῦ καθηγουμένου ἡ βασιλεία μου εὔχεται; Τὰ πρῶτα μὲν πίστιν ἔχειν πρὸ τῶν ἄλλων τὴν εἰς τὸ θεῖον ὀρθήν, ἄμεμπτον βίον, τῷ τῆς ἱερωσύνης κεκοσμημένον σεμνώματι, φρόνησιν σταθεράν, εἴτ' ἐκ παιδείας, ὃ τελεώτερον, εἰ δ' οὖν, φυσικήν, πρὸς διάκρισιν ἀγαθοῦ τε καὶ μὴ καλοῦ, φρόνημα μέτριον, ἦθος μειλίχιον, ζῆλον εὔκαιρον, λόγον πρόσφορον, τρόπον τῇ ἀρίστῃ τῶν ἀρετῶν διακρίσει ἐνσεμνυνόμενον, ἵνα καὶ ὡς λύχνος φαίνῃ ἔμπροσθεν τῶν ἀνθρώπων τῷ περιόντι τῆς ἀρετῆς, καὶ πρὸς αὐτόν, ὡς εἰς ἀρίστην σφραγίδα, τυπούμενος (**π. 203**] τῶν ὑπ' αὐτῶν μοναζόντων ἅπας ὁ σύλλογος, ἐκμαγεῖα γίνοιντο κάλλιστα, τοὺς τῆς ἀρετῆς θεοπρεπεῖς χαρακτῆρας ἀκριβῶς ἐντεῦθεν ἀποματτόμενος· καὶ γὰρ ὅ τοῖς ζωγράφοις ἀρχέτυποι πίνακες, τοῦτο καθηγηταὶ τοῖς μονάζουσι. Τὴν τοῦ καθηγουμένου τοίνυν ἐκλογὴν ἀριστίνδην ἡ βασιλεία μου γίνεσθαι βούλεται, πάσης συνεδριαζούσης τῆς ἀδελφότητος, καὶ ψυχῆς ἐκ μέσης ἰχνηλατούσης τὸν ἐκζητούμενον, καὶ ἀπαθῶς ὅσα καὶ λίθος γνώμων δοκιμαζούσης τὸν προστησόμενον· ἀπέστω τοίνυν ἐντεῦθεν χάρις καὶ φιλία, τυφλοῦσα πρὸς τὸ φιλούμενον· συναπέστω ταύτῃ καὶ σκοπὸς δυσμενής, ἡ δ' ἀλήθεια παῤῥησιαζέσθω καὶ δοκιμαζέτω τὸν ἄξιον· οὐ γὰρ μικρὸν τὸ ἀτύχημα τοῖς ἐνταῦθα δικάζουσι, ψυχῶν προϊεμένοις ὠφέλειαν, ἢ μᾶλλον πραγματευομένοις ἀπώλειαν, ὧν μιᾶς οὐ δ' οὗτος ὁ κόσμος ἅπας πέφυκεν ἰσοστάσιος. Εἰ μὲν οὖν πάντες τῶν ἀδελφῶν ἐφ' ἑνὶ συμφωνοῖεν, τὸν αὐτὸν ὁμοφρόνως αἱρούμενοι, τοῦτο Θεῷ φίλον, τοῦτο καὶ εὐκταῖον τῇ βασιλείᾳ μου, καὶ μεγάλη πρὸς εἰρήνην τὴν ὑπὲρ μέλι καὶ κηρίον γλυκυτέραν ὑπόθεσις· εἰδ', ὅπερ ἡ βασιλεία μου ἀπεύχεται, στάσις ἐν τῇ ἐκλογῇ κινηθῇ, πρὸς ἀλλήλους τῶν ἀδελφῶν ἑτεροζυγούντων, (**οϐ.**] καὶ ἄλλο ἄλλου προτιθεμένου, καὶ μεγαλύνοντος φιλίᾳ ἢ ἄλλῳ τινὶ τρόπῳ οὐκ ἀνεπισφαλεῖ, οἷς τὸ ἀληθὲς πολλάκις εἴωθεν ὑποκλέπτεσθαι,

τό τε δὴ τῷ κατὰ καιροὺς τὰ τῆς βασιλείας σκῆπτρα σὺν Θεῷ διιθύνοντι ἀνατεθήσεται ἡ τοῦ προεστῶτος ἐπιλογή, ὃς ὑπὸ τῶν παρὰ τῆς ἀδελφότητος πάσης ἐγκριθέντων, παρὼν μὲν ἐν τῇ Κωνσταντινουπόλει, δι' ἑαυτοῦ, ἐν ταξειδίῳ δ' ἀποδημῶν, διὰ γράμματος, τὸν κατά τε λόγον καὶ ἀρετὴν διαφορώτερον, καὶ πρὸς λαοῦ κυβέρνησιν δεξιώτερον, ἐκλέξεται, καὶ τὴν προστασίαν ἐμπιστεύσεται τῆς μονῆς, καὶ ὁ ἐκλεγεὶς ἐκ παντὸς ἥξει τῇ ἐπιλογῇ· ἐν γὰρ τοῖς τοιούτοις τὸ ἀδυσώπητον οὐκ ἀκίνδυνον. Εἶτα κατὰ τὴν εἰωθυῖαν τοῖς βασιλεῦσι προχείρισιν, τὴν αὐτὴν παρὰ τοῦ βασιλέως ῥάβδον καὶ βακτηρίαν ἐγχειρισθήσεται, τῇ μὲν πατρικῶς τοὺς φρεσὶ νηπιάζοντας σωφρονίζων καὶ δέει τρέψων πρὸς τὸ εὐθές, τῇ δὲ τοὺς πολιῶντας χρόνῳ ἢ καὶ φρονήματι, καὶ τοῖς ὑπὲρ ἀρετῆς ἐγγεγηρακότας πόνοις, ὑποστηρίζων, καὶ παρακαλέσων ὡς δύναμις, ἢ ὅσα ποιμὴν ἀγαθὸς καὶ οὐ μισθωτός, τὴν μὲν ποίμνην ἐλάσων πρὸς εὔνομον χῶρον καὶ ἔνυδρον, τοὺς δὲ λύκους ἀπελάσων μακράν, ἐπιτροχάδην αὐτοὺς καὶ ἰσχυρῶς ἀμυνόμενος. Μετὰ δὲ τὴν ἐκ τοῦ βασιλέως προχείρισιν, λήψεται ὁ (л. **204**] προεστὼς ἐξ ἀνάγκης καὶ τὴν συνήθη σφραγίδα παρὰ τοῦ τῆς ἁγιωτάτης μητροπόλεως Χαλκηδόνος κατὰ καιροὺς προεδρεύοντος· θέλει γαρ τοῦτο ἡ βασιλεία μου, καὶ ὁλοσχερῶς ἀποδέχεται. Εἶτα τῶν μοναχῶν ἕκαστος, ἀπὸ τοῦ πρώτου ἕως τὸν ἐσχάτου, τὸ γόνυ κάμψας μοναχικῶς, ὡς προεστῶτι τούτῳ δώσει τὸν ἀσπασμόν, καὶ πάντες γνωριοῦσι τὸν κοινὸν ποιμένα, καὶ ταῖς τούτου ὑποπεσοῦνται ἀναμφιβόλως ἐπιταγαῖς. Ἀλλὰ ταῦτα μὲν αὐθιγενοῦς καὶ ἀφ' ἑστίας εὑρεθέντος τοῦ προεστῶτος, ὃ καὶ περὶ πολλοῦ ποιεῖται ἡ βασιλεία μου, εἰδ', ὅπερ ἀπείη, δεήσει θύραθεν ἐκλέξασθαι τὸν ἡγούμενον, εἴτε διὰ τὸ τοὺς τῆς μονῆς ἐποίκους ἀδελφοὺς εὐλαβεῖσθαι ἴσως, καὶ τῇ τοῦ ἀξιώματος ὑπεροχῇ τὴν προστασίαν ἀπαρνεῖσθαι, ἐπείπερ οὐδὲν ἐπιστασίας ψυχῶν ἐργωδέστερον· εἴτε διὰ τὸ τῶν ἀπάντων ἀνίκανον, ἢ παρὰ τὴν οὐκ εὔτονον ἴσως πρὸς τὸ μοναχικὸν ἐπάγγελμα ἐπιμέλειαν, ἢ διὰ τὴν εἰς ἀρετὴν καὶ ἀγωγὴν σπουδαίαν ἀμέλειαν, ἀλλ' ὅτιπερ ἄλλο τι παρὰ ταῦτα, εἰ καὶ ἐν τύποις. τὸ χάρισμα τῆς ἀρχῆς· οὐ γὰρ ὁ δόκιμος στρατιώτης ἐκεῖνος ἄρξοι ἂν καὶ στρατοῦ, οὐ δ' ὁ δεξιὸς ἐρέττειν καὶ κυβερνήτης εἴη ἂν αὐτὸς ἀκριβής. Εἰ τοίνυν δεήσει ξεναγῆσαι καθηγητήν, κατὰ δεύτερον πλοῦν, οὐκ ἀπόβλητον· πλὴν (**об.**] προσεκτέον ἐπιστῆσαι διδάσκαλον ἀρετῆς, μὴ κακίας ἀρχέτυπον, σκοπόν, μὴ πολέμιον, ποιμένα ἀγαθόν, καὶ μὴ λύκον ὠμηστήν· οὐ μόνον γὰρ ἀνυπόκριτος ἀρετὴ περισπούδαστον καὶ πρὸς ἀρχὰς μεγάλας ἐπίλεκτον, ἀλλὰ καὶ σκηνὴ πολιτείας ἐπαινετῆς, ἄλλον τὸν ἐκτὸς ἐπιδεικνύουσα, καὶ τὸν ἔσω ἄνθρωπον

ἕτερον ὑποκρύπτουσα, ὃς καὶ τῷ ἐν εὐαγγελίοις τάφῳ παρεικασθείη ἂν προσφυῶς, ἔξωθεν μὲν κεκονιαμένῳ καὶ ἀπατῶντι τὴν ὄρασιν, λειψάνων δ' ἐντὸς μυδώντων πεπληρωμένῳ, καὶ βαρεῖαν ἐκπεμπομένων καὶ δύσοδμον τὴν ἀποφοράν. Φυλακτέον τοίνυν ἐντεῦθεν τὴν ἐκ προσχήματος ἀπάτης συναρπαγήν· ταὐτὸν γὰρ συμβαίνει τοῖς μὴ ἀκριβῶς καὶ ἐμμελῶς τὰ τοιαῦτα περισκοποῦσιν, ὃ καὶ τοῖς ἰχθύσι συχνά, περιχαίνουσι μὲν ἥδῃ πρὸς βρῶσιν, ὀλέθρῳ δὲ δεινῷ περιπίπτουσι. Δοκιμαζέσθω τοίνυν, ὡς εἴρηται, καὶ ὁ θύραθεν προεστώς, τοῦ τρόπου καὶ τῆς μοναχικῆς πολιτείας σαφὲς παραστήσας ἐχέγγυον· ταύτης γὰρ μὴ προσούσης, ἀνάγκη τοὺς αὐτῷ μαθητευομένους ἕτερα μανθάνειν ἀντ' ἄλλων, ἴσως καὶ τὰ δοκοῦντα μὲν ἀσφαλῆ, ὄντα δέ, μᾶλλον διὰ τὸ τὴν διάγνωσιν ἐπιλείπειν, ὀλέθρια καὶ ἀκροσφαλῆ. Ὁ δέ γε τοιοῦτος καθηγούμενος τὴν συνήθη τάξιν καὶ κατάστασιν τῆς μονῆς ὀφείλει κατέχειν ἀπαραπονήτως (л. 205] πάντῃ καὶ ἀπαραλλάκτως, καθὼς καὶ ἥδε ἡ παρὰ τῆς βασιλείας μου τυπικὴ θεσπίζει διάταξις· φιλεῖ γὰρ πολλάκις ὁ ἐπείσακτος, ἐξουσίας δραξάμενος, μετακινεῖν τοὺς ὅρους ἧς ἂν προσταίῃ μονῆς, καὶ οὓς οἶδεν ἀνέκαθεν ὑποτίθεσθαι, τὴν ἀρχαίαν ἀνατρέπων καὶ συνήθη κατάστασιν. Καὶ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα.

Πρὸς τὸν προεστῶτα.

„Παραίνεσιν δέδεξο τὴν δε προφρόνως,
„Σὺ τῆς μονῆς πρόεδρε, καὶ κράτυνέ μοι".

Ἐνταῦθα δὲ τοῦ λόγου γινομένη ἡ βασιλεία μου καθ' εἰρμὸν καὶ τῆς πρὸς σέ, τὸν προεστῶτα, διαλέξεως δεόντως ἀπάρχεται· χρεὼν γὰρ καὶ σοὶ τὰ ἱκανὰ προσειπεῖν. Οἰκονομίαν τοίνυν εὖ ἴσθι πεπίστευσαι μοναχῶν, καθηγητὰ καὶ διδάσκαλε, καὶ ποιμένειν τὸ ἱερὸν τοῦ Χριστοῦ ποίμνιον ἄνωθεν ἀποτέταξαι. Μή σοι γοῦν ἡ προστασία γένοιτο πρόφασις ἀναπαύσεως, μὴ δ' ἀποκάμῃς πρὸς πόνους σωτηρίους πνευματικούς, ὑπὲρ ὧν μισθός σοι πρὸς τὸ μέλλον ἀπόκειται πολλαπλάσιος· εἰ μὲν γὰρ ἔπαθλον ἀρετῆς ἡ προστασία προέκειτο, ἔδει πάντως τοὺς ἔχοντας ἀναπαύεσθαι, προσγεγονότος τούτοις τοῦ ἀρχικοῦ· εἰ δ' ἀναλογοῦντες τῇ ἀρχῇ προτίθενται καὶ οἱ κάματοι, καὶ ἀρχὴ οὐκ (об.] ἔστιν ἕτερον, εἰ μὴ ἀρετῆς δοκιμή, ἐπιδεικτέον, ὡς ἐν πελάγει, τῷ πνευματικῷ ἐπαγγέλματι, σπουδαίαν καὶ εὐθύπλουν τὴν τῶν ψυχῶν σωτηριώδη κυβέρνησιν, ἣ καὶ πολλῆς τὰ μάλιστα τῆς τοῦ κυβερνήτου δεῖται νήψεως. Καὶ γὰρ ἀγαθοῦ κυβερνήτου κἂν μικρά τις ἀνάπτωσις, μακρὰν τοῖς λοιποῖς πλωτῆρσι

προὐξένησε τὴν κατάπτωσιν. Ἐν μὲν οὖν ἀρχὴ τῷ πράγματι, τῇ δὲ διαφορᾷ τῶν ἀρχομένων πολυσχιδές, καὶ ὁ ταύτην ἀναδεξάμενος ἔχοι πολυωνυμεῖσθαι ἂν προσφυῶς· πότε μὲν πατήρ, ἄλλοτε προεστώς, ἔστιν οὖν ποιμήν, κυβερνήτης, ὁδηγός, σκοπός, διδάσκαλος, ἅλας, λύχνος, καὶ φῶς προσαγορευόμενος. Ὀφείλει γὰρ πατρικῶν τοῖς ἀσθενοῦσι συνασθενεῖν, ἀρχικῶς τοῖς πολεμουμένοις προασπίζειν, ὡς κυβερνήτης τὸ κινδυνεῦον ὑπερανέχειν τοῦ κλύδωνος, ὡς ποιμὴν εἰς τόπον χλόης τὸ ποίμνιον κατασκηνοῦν, καὶ ἐπὶ ὕδωρ ἐκτρέφειν πνευματικῆς ἀναπαύσεως, ὡς σκοπὸς τοῖς ἐπισκοπουμένοις προσημαίνειν τῶν ἐπιβούλων τὴν ἔφοδον, ἐκπαιδεύειν τὸ νηπιάζον τὴν σύνεσιν ὡς διδάσκαλος, ὡς ἅλας ἀρτύειν ταῖς ἀρεταῖς τὸ λειπόμενον πνευματικῆς νοστιμότητος, ἢ στύφειν τὸ χαῦνον, καὶ πρὸς τὸ σήπεσθαι πρόχειρον, ὡς λύχνος καὶ φῶς τὴν τῆς ἀρετῆς πορείαν παρέχειν τοῖς ὑπ' αὐτοῦ ποιμενομένοις ἀπρόσκοπον, καὶ (π. **206**] ἁπλῶς πᾶσι τὰ πάντα γίνεσθαι κατὰ τὸν θεῖον ἀπόστολον· „ὁ δὲ τούτων λειπόμενος ἄρχει μέν, πλὴν οὐ χριστιανικῶς, οὐ πνευματικῶς, οὔμενουν, ἀλλ' ἐθνικῶς, ἀλλὰ σαρκικῶς, βίᾳ κρατῶν μᾶλλον, ἢ ἐπαινουμένῃ πειθοῖ, καὶ ἐναντία τῷ τῶν ἀποστόλων κορυφαίῳ Πέτρῳ, οὕτω πως λέγοντι· „ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μὴ δ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλ' ὡς τύποι τοῦ ποιμνίου γινόμενοι". Ἄρχε τοιγαροῦν οὕτω κατὰ τὴν ἀποστολικὴν ὑποθήκην, ὁ τὴν προστασίαν ἐγχειρισμένος τῶν ἀδελφῶν, τοὺς μὲν καλῶς ἔχοντας ἐπιστηρίζων, τοὺς πίπτοντας ὅση δύναμις ἀνεγείρων, σπλάγχνοις πατρικοῖς ἐπίσης πάντων κηδόμενος, ἑκάστῳ τὰ δέοντα καθ' ἑαυτὸν συμμετρούμενος, πρός τε ἡλικίαν καὶ ἕξιν τοῦ σώματος, καὶ ζωῆς τῆς πάλαι συνήθειαν. Ἐντεῦθεν γάρ, ὃ καὶ παράδοξον, θαυμασία τις ἰσότης ἐξ ἀνισότητος, ὡς κἂν ἄλλοις εὕροι τις ἂν καὶ ἐξ ἰσότητος ἀνισότητα· ποῦ γὰρ ἂν εἴη ἰσότης ἐκ τῆς τοῦ προεστῶτος διακρίσεως, εἰ τοῦ αὐτοῦ ἀπολαύει νέος καὶ γέρων, ἀστικὸς καὶ ἀγροῖκος, ὑγιὴς καὶ νοσῶν; Ἤκουσας πάντως, ὦ τῆς δε καθηγεμὼν τῆς μονῆς, καὶ τοῦ Κυρίου πρὸς τὸν κορυφαῖον εἰπόντος ἀπόστολον· (οβ.] „εἰ φιλεῖς με, Πέτρε, ποίμαινε τὰ πρόβατά μου". Καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ τρίς, τῶν δύο ἐπέκεινα. Σύνες γοῦν τὸν ὄγκον τῆς πνευματικῆς προστασίας, μίμησαι τῆς ἀποστολικῆς ἐκθύμως ποιμάνσεως τὴν ἐκτύπωσιν, καὶ ποίμαινε μετ' ἐπιμελείας τὸ ποίμνιον τοῦ Χριστοῦ, ἵν' οὕτω καταρτίσας λαὸν περιούσιον, εἰς ἡμέραν καυχήσῃ Χριστοῦ, λέγων· „ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός". Ἐπὶ τούτοις πᾶσι περιποιοῦ σαυτῷ τὸ ἀνεπίλη-

πτον πάντοθεν· πᾶσαν μὲν σωματικὴν συγγένειαν παραιτούμενους, μόνοις δὲ τοῖς ἐν Χριστῷ ἀδελφοῖς καὶ τέκνοις προσκείμενος. Ἐνταῦθα δὲ τοῦ λόγου γεγονυῖα ἡ βασιλεία μου, καὶ τοῦτο βούλεται γινώσκειν, ὅτι ἐξ ἀνάγκης πάντα τηρεῖν ὀφείλεις τὰ διατεταγμένα περὶ πάσης μοναχικῆς τάξεως, καὶ ἀρχικῆς καὶ ὑποτακτικῆς καταστάσεως.

Πρὸς τοὺς μοναχοὺς ὁμιλία.

„Τοὺς δὲ κρατοῦντες, ὦ μονασταί, τοὺς ὅρους,
„καλῶς κατευθύνοισθε, καὶ σώζοισθέ μοι".

Καὶ ὑμῖν δὲ τοῖς ἐν Χριστῷ ἀδελφοῖς τοῦτ' ἐκεῖνο ἡ βασιλεία μου εὔχεται, ὃ καὶ περὶ τῶν πιστευσάντων ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι γέγραπται, ὅτι „ἦν αὐτῶν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς τὰ πάντα κοινά". Τοῦτο τῆς ἡμετέρας ἔστω (π. **207**] συνηθείας ἀρχέτυπον, τοῦτο τρόπος τοῦ μοναδικοῦ πολιτεύματος, ὁμοψυχεῖν ἀλλήλοις, καὶ τοὺς διαφόρους τοῖς σώμασι ταῖς καρδίαις οἷον ἑνίζεσθαι, καὶ σὺν ὁμονοίᾳ συντρέχειν ἀγωνιστικῶς ἐν μοναχικοῖς ἀμιλλήμασι, καὶ ταῖς ἀλλήλων μὲν ἐπευφραίνεσθαι πρακοπαῖς τε καὶ ἐπιδόσεσι, λυπεῖσθαι δὲ τοῖς τὸ ἐπάγγελμα ψευδομένοις, καὶ ἀτάκτως τὴν τῆς μοναχικῆς πολιτείας στελλομένοις ὁδόν, μηδέν τι τῶν ἐπὶ γῆς ἐξιδιούμενοι, ἀλλὰ διατροφαῖς καὶ σκεπάσμασι μόνοις ἀρκούμενοι, κατὰ τὸν θεῖον ἀπόστολον, ἐκ πρυτανείου χορηγουμένοις κοινοῦ· μήποτε τῇ τοῦ πλείονος ὀρέξει στραφείς τις, ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον, τὸ τῆς τοῦ Λὼτ γυναικὸς πάθος ἢ τὸ τοῦ εὐαγγελικοῦ ἀροτῆρος, δι' αἰτίαν παλινστροφίας τῆς βασιλείας ἐκπεσόντος τῶν οὐρανῶν· οὐ γὰρ τὸ εὔξασθαι περισπούδαστον, ἀλλὰ τὸ τὰς εὐχὰς ἀποδοῦναι τῷ Θεῷ ἀξιάγαστον· ὅσων γὰρ θεραπεῦσαι τὸ θεῖον καὶ περὶ τοῦ ἐπαγγείλασθαι μισθῶν ἄξιον, τόσης τὸ ὁμολογῆσαι καὶ τὴν ὑπόσχεσιν ψεύσασθαι δίκης ὑπόχρεων. Τοῦτο καὶ ὁ σοφὸς ὑποφαίνεται Σολομών· „κρεῖσσον, εἰπών, μὴ εὔξασθαι, ἢ εὔξασθαι, καὶ μὴ ἀποδοῦναι", καὶ αὖθις· „ἀνδρὶ παγὶς ἰσχυρὰ τὰ ἴδια χείλη". Τὴν μέντοι πρὸς τοὺς προεστῶτας ὑμῶν ὑπακοὴν Παῦλος ὁ κλεινὸς ἀπόστολος ὑποτίθησι· „πείθεσθε γάρ, φησί, τοῖς (**οβ**.] ἡγουμένοις ὑμῶν καὶ ὑπήκετε", καὶ τὴν αἰτίαν εἰς τὸ ἑξῆς προτιθείς, οὕτω πως ἀκολούθως ἐπάγει· „αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες". Ἠκούσατε δὲ καὶ τοῦ Κυρίου μου λέγοντος, ὅτι „καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ

ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός". Διδάχθετε τοίνυν ἐντεῦθεν μέτρον εὐηκοΐας, καὶ ἀκολουθήσατε κατόπιν Χριστοῦ, διὰ Χριστὸν τοῖς ἐν Χριστῷ πατράσιν ὑμῶν ὑπακούοντες· Αὐτὸς γὰρ εἴρηκεν· „ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ", ὃ τοῖς ἀποστόλοις μὲν ἐλέχθη τὰ πρῶτα, μετ' ἐκείνους δὲ καὶ πᾶσι τοῖς ἀποστολικὸν λαχοῦσι διδασκαλίας ἀξίωμα καὶ πολιτείας ἐπάγγελμα. Πάντα λοιπὸν τρόπον τοῖς πατράσιν ὑμῶν ὑποτάγητε, ἢ ὡς υἱοὶ φιλοπάτορες δι' ἀγάπην ἀληθινήν, ἢ διὰ φόβον, ὡς δοῦλοι διὰ Χριστόν, καὶ κοινῇ καὶ ἀεὶ πάντες τὴν πρὸς αὐτοὺς ὑπακοὴν ἐπιδείκνυσθε, μακράν που τὴν παρακοὴν καὶ εἰς ἀφάντωσιν ἀποτρέποντες· ὅσον δ' αὖτη κακὸν καὶ ὁ προπάτωρ μάρτυς αὐτός, παρακοῆς ὑποστὰς δίκην, κἀντεῦθεν ἑαυτῷ καὶ ὑμῖν παραπέμψας τοῦ θείου παραδείσου τὴν στέρησιν, καὶ τὴν ἐν ἱδρῶτι τοῦ προσώπου ποριζομένην μοχθηρὰν ζωὴν καὶ ἐπίπονον.

Ἐὰν πολλάκις, οἷα πολλὰ συμβαίνειν φιλεῖ, λάθῃ τι (π. **208**] τῶν δεόντων τὸν προεστῶτα· τὸ θεῖον γὰρ καὶ μόνον ἀλάθητον, τὸ μὲν πλῆθος ἡσυχαζέτω, καὶ ἔστω, κατὰ τὸν θεῖον φάναι Δαβίδ· „ὡς ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς", οἱ δὲ λόγῳ καὶ ἀρετῇ καὶ τῇ τοῦ χρόνου ἀρχαιότητι διαφέροντες ὑπομιμνησκέτωσαν τῷ προϊσταμένῳ τὸ δεόμενον διορθώσεως, οὐ φιλονείκως, ἀλλ' ἠπίως, οὐκ ἀντιῤῥητικῶς, ἀλλ' εὐνοϊκῶς, ὀφείλοντος καὶ αὐτοῦ τὴν τοιαύτην ὑπόμνησιν ὡς χάριν προσδέχεσθαι, καὶ εὐχαριστεῖν τοῖς τὸ λανθάνον τοῦτο γνωρίσασι, καὶ τοῖς ἔργοις διορθοῦσθαι τὸ ἀπεικὸς καὶ σφαλλόμενον. Εἰ δ'. ὅπερ ἀπεύχεται ἡ βασιλεία μου, στάσις ἐντεῦθεν μέσον τοῦ προεστῶτος ἀναφθῇ καὶ τῶν ἀδελφῶν, τότε τῷ κατὰ καιροὺς βασιλεύοντι τὰ τῆς ὑποθέσεως ἀναχθήσεται, κἀκεῖνος δι' αὐτὸ τὸ καλὸν καὶ τὴν ἡμετέραν χάριν, δι' ἑαυτοῦ, ἢ δι' ἑτέρου τῶν κατὰ πνεῦμα προσωκειομένων αὐτῷ, καὶ τὰ πνευματικὰ διακρίνειν ἐπισταμένων, τὸ διεστὸς συνάξει, τὸ μαχόμενον εἰρηνοποιήσει ἢ καὶ ἄλλως, ὡς θεία κεκασμένος συνέσει, τὸ ἐσφαλμένον διορθώσεται. Ἕκαστος δὲ ὑμῶν ἣν ἔλαχε τάξιν, ἀδελφοί, τῷ τῆς ἀδελφότητος σώματι μὴ πάντως ὑπερβαινέτω, ἀλλὰ τὴν ἐν τῇ συνοδίᾳ συμμέλειαν μετ' εὐχαριστίας στεργέτω, (**οβ.**] καὶ μηδεὶς ὑβριοπαθείτω τοῖς ἄλλοις ἀδελφοῖς, ἀποταχθεὶς ἴσως κατὰ λόγον χειρός, ἢ ὅσα καὶ ποῦς ὑποτεθείς, ἑτέρου γλώττης, ἢ ἀκοῆς, ἢ ὄψεως τόπον ἐπέχοντος· συμφερόντως γὰρ ὁ Θεὸς ἅπασι τὸ κατ' ἀξίαν χαρίζεται, καὶ τοὺς βαθμοὺς παρέχει συμμέτρως ταῖς προαιρέσεσι, καθὼς κἀκ τῆς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις διανομῆς τῶν ταλάντων μανθάνομεν. Ἕκαστος τοίνυν

τῶν ἐλαχίστων ἐκὼν μετριαζέτω, καὶ ὑποχωρείτω τοῖς κρείττοσιν· εἰ δέ τις μὴ σωφρονῶν, παρ' ὃ δεῖ φρονεῖ, καὶ τῶν αὐτῶν ἀξιοῖ πάντας ἀδιαφόρως, ἵν' οὕτω καὶ αὐτός, ἐλάχιστος ὤν, συναριθμῆται τοῖς μείζοσιν, εἰ μὲν ἡσυχάσει, συγγνωμονείσθω, εἰ δ' ἐπιμείνῃ τοῖς αὐτοῖς καὶ μετὰ πλείστην παραίνεσιν, ἐκκοπτέσθω τῆς ἀδελφότητος, καὶ ἐξωθείσθω κἀκ τῆς μονῆς, ἵνα μὴ διαστρέψῃ καὶ τοὺς ἀφελεστέρους, καὶ σύγχυσις ἔνθα γένηται τῷ κοινῷ· „ὁμιλίαι γὰρ κακαὶ φθείρουσιν ἤθη χρηστά“, κατὰ τὸν θεῖον ἀπόστολον, ὡς καὶ λοιμώδης ἐλωβήσατο νόσος τὰ προσπελάζοντα σώματα. Πρὸς τοῖς ἄλλοις κοινῇ καὶ τὰς ἰδιαζούσας φιλίας καὶ ὁμιλίας φιλάξασθε· ταῦτα γὰρ οὐ μόνον σκανδάλων καὶ μεγάλων ὑποψιῶν αἰτία τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ ἄλλως βλαβερὰ καὶ ὀλέθρια. Οἱ διακονοῦντες καί τινων εἰδήμονες τεχνῶν μηδὲν (**π. 209**] τι μηδενὶ παρεχέτωσαν ἄχρι καὶ τοῦ σμικροτάτου παρὰ γνώμην τοῦ προεστῶτος, ἢ καὶ τοῦ οἰκονόμου· εἰ δέ τις ἐπὶ τούτοις ἁλῷ, τὰ πρῶτα μὲν νουθετείσθω δὶς καὶ τρίς, εἶτ' ἐπιτιμάσθω, προσμένων δὲ ἀδιόρθωτος καὶ τῶν αὐτῶν ἀναισχύντως, ἐκδιωκέσθω τῆς μονῆς, ὡς μὴ τῷ ζυγῷ τῆς εὐταξίας, καὶ τῆς εὐπειθείας ὑποταττόμενος.

Περὶ ποσότητος τῶν μοναχῶν.

„Δεκὰς τετραπλῆ τῶν μοναστῶν τὸ στίφος,
„νήστις ἐμὸς **Κύ**ριος ἡμέραις τόσαις“.

Ἀπάρτι δὴ καὶ περὶ τῆς τῶν ἀδελφῶν ποσότητος ἔγνω δεῖν ἡ βασιλεία μου διατάξασθαι. Τοίνυν τοὺς ἐν τῇ δε τῇ μονῇ τὸν μονήρη βίον ἐπανηρημένους εὐλαβεστάτους ἐν Χριστῷ ἀδελφοὺς μηδέποτε τὸν ἀριθμὸν ὑπερβαίνειν, τὸν τεσσαράκοντα, θεσπίζει ἡ βασιλεία μου. Οἱ μὲν οὖν ἐκ τούτων δεκαὲξ διὰ παντὸς προσανέξουσι τῷ ναῷ, καὶ τῆς θείας δοξολογίας κατὰ τὸ ἔθος ἐκθύμως ἐπιμελήσονται, τοῖς δ' ἑτέροις τέσσαρσι πρὸς τοῖς εἴκοσι πᾶν ἔργον ὑποτεθήσεται ὑπηρετικόν, κελλικόν τε καὶ ἀγροικικόν. Ὥστε δεῆσαν ἄλλοτε ἄλλοις σχολάζειν καμάτοις ἐντός τε καὶ ἐκτὸς τῆς μονῆς, καὶ ὅτε, καὶ ἔνθα παρὰ τοῦ προεστῶτος ὁρίζονται διακονεῖν καὶ ἐργάζεσθαι ἰδίᾳ τε καὶ κοινῇ, ὡς ἂν ἡ χρεία τῆς μονῆς ἀπαιτοίη, καὶ ὡς ὁ καθ' ἕνας ἔχῃ τέχνης καὶ ἐπιτηδεύματος. Οὐκ ἀναβαλοῦνται γοῦν οἱ τοιοῦτοι, οὐ γογγυσμὸν ἐκπέμψουσιν, οὐχ ὑπ' ὀδόντα λαλήσουσιν, οὐκ ἀνακρινοῦσι τὴν τοῦ προεστῶτος ἐπίκρισιν, ἀλλ' ἐν πᾶσιν ὑπακούσουσιν, καὶ τὸ συχνῶς τοῖς μοναστᾶις προσαδόμενον „Εὐλόγησον“, προσφωνήσουσιν. Πλὴν οὐδὲ τοὺς δε τοὺς διακονητὰς ἀπολιμπά-

νεσθαι τῆς συνάξεως ἡ βασιλεία μου βούλεται, ὑπηνίκα μὴ καιρὸς καλοίη διακονήματος, ἀλλ' οὐδ' οἱ τῇ ἐκκλησιαστικῇ προσανέχειν ἀφορισθέντες ὑμνολογίᾳ, τὴν ἐκεῖσε προβαλοῦνται σχολήν, ἴσως καὶ τὸ ἐν ψαλμῳδήμασι δόκιμον, ἀλλ' εἴ τινα καὶ τούτων εἰς διακονίαν ὁ προεστὼς ἐγκρινεῖ, καὶ οὗτος τῆς ἐπιταγῆς τοῦ προεστῶτος ἀνυπερθέτως ἀκούσει, καὶ τὸ κελευσθὲν ἑτοίμως ἀποπληρώσει· καὶ γὰρ ὑπακοὴν ἐκπαιδεύεσθαι σύμπαντας ἡ βασιλεία μου βούλεται. Οἷον δὲ τοῖς μονάζουσιν ὑπακοή, μάρτυς ἀκριβὴς τὸ τῆς μοναχικῆς λειμωνίας εὐανθὲς φυτὸν καὶ πολύκαρπον, ὁ ἱερὸς καὶ θεῖος Ἀκάκιος, ὃς οἷς κατώρθωσε καὶ τέκνον τῆς ὑπακοῆς ἀραρότως ἔλαχεν ὀνομάζεσθαι. (л. 210]

Περὶ τῆς τῶν διακονητῶν προχειρίσεως.

„Διακονητῶν ἐνθάδε προχειρίσεις
„σκοπῶν, μονῆς πρόεδρε, σὺν λόγῳ τίθει".

Προχειριζέσθωσαν δὲ παρὰ τοῦ ἡγουμένου κατὰ τὴν συνήθειαν διακονηταὶ σπουδαῖοι καὶ δεξιοὶ τῶν πόνων, τῷ προεστῶτι συμφροντισταί, καὶ τῶν καμάτων συμμερισταί, καὶ ἐντρεχεῖς πρὸς ἀρίστην πρόνοιαν καὶ κυβέρνησιν τῶν τῆς μονῆς ἁπάντων ἀκινήτων καὶ κινητῶν· οὐδὲ γὰρ εἷς ἱκανὸς διαφόροις πράγμασιν ἐξαρκεῖν, περισπασμοῖς πλείοσι κάμνων, καὶ θᾶττον ἐκλυόμενος, κἀντεῦθεν πάντων ὀκνηρότερον ἀντιλαμβανόμενος· καταστήτω τοίνυν πρὸ πάντων πιστὸς καὶ φρόνιμος οἰκονόμος, πραγματικῇ γνώσει τῶν πολλῶν διαφέρων, καὶ πάντα τὰ τῆς μονῆς διέπων πραγματικά, καὶ τῇ πολυσχιδεῖ τῶν πραγμάτων διοικήσει ἐπιμερίζων ἑαυτὸν καὶ τοὺς ὑπ' αὐτῶν, καὶ παντοίως ἀγωνιζόμενος, ὅπως ἂν τὰ ἐν τῇ μονῇ συνεστῶτα, τὰ οὐκ ἐνούστατα, τὰ ἀπρόσφορα, τὰ μὲν ἐπιδοῖεν, τὰ δὲ σύσταῖεν, τὰ δ' ἐνπρόσφορα γένοιντο. Οὗτος, εἰδήσει τοῦ καθηγουμένου καὶ προτροπῇ, γεωργοῖς, ἀμπελουργοῖς, ἐπιτάξει τὰ τοῖς ἔργοις ἀνήκοντα, διεγερεῖ τοὺς βουκόλους, τοὺς τῶν προβάτων νομεῖς πρὸς βελτιώσεις (об.] τῶν ἐπιτεθέντων αὐτοῖς, καὶ ἐπισκέψεται τούτους συχνῶς καὶ ἀνακρινεῖ. Ἐκλέξεται μοναχοὺς ἢ καὶ κοσμικοὺς τὴν ὑπόληψιν ἀκαταγνώστους, καὶ βουλήσει τοῦ προεστῶτος, ἐπιστήσει τούτους τοῖς κτήμασι τῆς μονῆς. Πρὸς τοῦτο καὶ ἐκκλησιάρχης προβαλλέσθω, τῆς ἐκκλησιαστικῆς ἀκολουθίας εἰδήμων καὶ θερμὸς ζηλωτής, ἀρετῆς καὶ γνώσεως μέτοχος, γρήγορος καὶ νηφάλιος, ὥστε τῇ τούτου νήψει καὶ γρηγορότητι καὶ τοὺς λοιποὺς διυπνίζεσθαί τε καὶ διανίστασθαι, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν „ἐν ἐκκλησίαις, ψαλμικῶς εἰπεῖν, εὐλογεῖν τὸν

Θεόν". Οὗτος πρὸς τὰς ἱεροψαλτίας καὶ τὸν ὕπνον παραμετρήσει, τὸν καιρὸν τῆς κρούσεως τοῦ συνακτηρίου ξύλου ἐπιτάξει, μέτρα φωνῶν ἐν δοξολογίαις ῥυθμίσει, τοῦ τῆς προσευχῆς ἀμετεωρίστου καὶ ἀρεμβάστου φροντίσει, τὸ ἐκ βραδυτῆτος ἀσύγχυτον τῇ ψαλμῳδίᾳ ὑποβαλεῖ, καὶ τὴν ἐκ ταχυτῆτος σύγχυσιν ἀποτρέψεται. Προχειριζέσθω σὺν τούτοις καὶ δοχειάριος μεμαρτυρημένος καὶ ἀξιόχρεως, εἰς τὴν τῶν ἐμπιστευθέντων αὐτῷ φυλακὴν καὶ ἀπόδοσιν. Οὗτος πάντα ὑποδέξεται ὁποῖα ἂν καὶ εἴη χρειώδη καὶ λυσιτελῆ τῇ μονῇ, καὶ πᾶν τὸ ὑποτεταγμένον ἐπ' αὐτοῖς παρὰ τοῦ ἡγουμένου ποιήσεται, τὰς ὕλας τῶν ἐργοχείρων ποριεῖ τοῖς περὶ τὰ τοιαῦτα (π. 211] ἔστιν ὅτε σχολάζουσι, πλὴν πάσης ἀπάνευθε χάριτος καὶ πάλιν λήψεται, τὰ ἐργόχειρα ἐξωνήσεται καιροῦ καλοῦντος, καὶ ἀποθήσει πάντως τὰ συνήθη καὶ χρειώδη τῇ ἀδελφότητι, μετὰ καὶ τῆς τοῦ ἡγουμένου προτροπῆς, ὅπως ἐν καιρῷ διανομῆς, ὅτε καὶ καινὰ ξύμπαντες λήψονται, εὑρεθῶσιν ἀνενδεεῖς αἱ ἀμφιάσεις, αἱ ἐπενδύσεις, αἱ ὑποδύσεις τῶν μοναχῶν. Οἷς καὶ ἐτησίως δοθήσεται ἱμάτιον ἓν, χιτῶνες οἱ ἀμέσως τῇ σαρκὶ ὁμιλοῦντες, οὓς ἡ δημώδης γλῶττα καλεῖν εἴωθεν ὑποκάμισα, δύο, κατὰ δὲ παρέλευσιν δύο χρόνων περιστήθιον ἕν, καὶ μανδύον ἕν, πλὴν οὐ πρότερον τὰ καινὰ περιβαλοῦντες, πρὶν ἂν τὰ παλαιὰ τῷ δοχείῳ ἕκαστος ἀποθήσῃ, μέχρι καὶ αὐτῶν ὑποδύσεων, ἃ δῆτα καὶ πρὸς τὸ δέον πάντως ἡ τοῦ προεστῶτος ἐπίκρισις ἀναλώσει· γύμνωσίν τε καὶ πενήτων περιστελεῖ, καὶ τῶν μοναχῶν ἔστιν οἷς ἐπιδώσει, ὅσοις δηλαδὴ τὸ τῆς ὑπηρετικῆς ἐργομοχθίας βάρος ἐπίκειται, ὡς τό γε μετὰ τῶν τὴν χρείαν συμπληρούντων καὶ τὰ περιττὰ συνεπάγεσθαι, φιλοκτημοσύνης ἔννοιαν ὑποβάλλει, καὶ πρὸς βιωτικὴν τὸν μοναχὸν κατάγει προσπάθειαν. Οὕτω γὰρ διοικεῖσθαι θέλει ἡ βασιλεία μου τοὺς μοναχούς, (οβ.] τὴν δ' ὀνομαζομένην ῥόγαν ἐν τούτοις ἐκκόπτει, καὶ μακρὰν ἀποπέμπεται, χρυσομανίαν μᾶλλον ἢ οἰκονομίαν κρίνουσα ταύτην, καὶ πρᾶξιν εἰς μοναχικὴν πολιτείαν ἀπάδουσαν· ἀστατοῦσι γὰρ λογισμοὶ τῇ στασίμῳ κατοχῇ τοῦ χρυσοῦ, καὶ ἡ τούτου χρῆσις εἰς παράχρησιν οἶδεν ἀποβαίνειν τοῖς μοναστᾶις. Τετάχθω καὶ κελλαρίτης ὁ τῶν ἡμερισίων τροφῶν καὶ πόσεων τοῦ μοναδικοῦ συντάγματος φροντιστής, ἐγκρατὴς, καρτερικός, τοῦ ἴσου διανεμητικός, καὶ τῇ διακρίσει τοὺ ἡγουμένου πάντα ποιῶν, τῇ τραπέζῃ ἄρτον ὅμοιον πᾶσι προτιθέμενος καὶ ἰσόποσον, οἶνον ἀπαράλλακτον γεύσει τε καὶ ποσότητι, ἑψητὰ καὶ ἀνέψητα, καθὼς ἂν ἑκάστη ἡμέρα ἀπαιτοίη κοινῇ τὰ αὐτά, εἰ μή πως ἀσθενείᾳ τινὸς συγκαταβαίνων ὁ προεστὼς, ἑτερόν τι προτρέψεται. Συναριθμείσθω τοῖς εἰρημένοις καὶ ὡριάριος, σίτου, οἴνου καὶ ἐλαίου, καὶ τῶν ἄλλων δὲ

ὁ αὐτὸς ἔστω ταμιοῦχος ἐδωδίμων εἰδῶν, ὥστε καιροῦ καλοῦντος, τοῖς κελλαρίταις, τοῖς ἀρτοποιοῖς ἤδη παρέχειν κελλαρικὰ καὶ μαγκιπικά. Μελέτω δὲ τούτῳ μὴ μόνον ταμιεύειν τὰ ἐδώδιμά τε καὶ πότιμα, ἀλλὰ προνοεῖσθαι καὶ τῆς τούτων ἀβλαβοῦς μονιμότητος, δεῆσαι δὲ προσηκόντως ἐξοδιάζειν, καὶ οἷον συμμετρεῖν τῇ χρείᾳ τὴν ἔξοδον· τὸ γὰρ ἐν δαπάναις ἀσύμμετρον, καὶ ἀκαίρως φιλότιμον, εἰς ἀσωτίας ἄντικρυς παρασύρεται. Ταῦτα μὲν οὖν περὶ τῶν πρώτων διακονητῶν, οἳ διακονήσουσι ταῖς ἀνατεθείσαις αὐτοῖς ὑπηρεσίαις, μέχρι καὶ αὐτῆς τῆς ὅλης αὐτῶν βιοτῆς· εἰ μήπως τῆς ἐπὶ τὸ μεῖζον ἄψονται προκοπῆς, ἢ φωραθείη τις κακοῦργος καὶ ὀλερός, ὃς καὶ ἀναντιῤῥήτως μεταστήσεται· τοὺς δ' ἀεὶ πόνοις διακονίαις ἀσχολουμένους καὶ κάμνοντας, οἷον μαγείρους, μάγκιπας, γεωργούς, κηπουρούς τε καὶ πυλωρούς, ἄλλοτε ἄλλοι διαδεχέσθωσαν, ἀλλήλων τὰ βάρη βαστάζοντες, κατὰ τὸν θεῖον ἀπόστολον.

„Ἐκκλησίας ἅπασαν ἀκολουθίαν
„τάξις μοναστῶν διδότω Παλαιστίνης".

Ἀκολουθία δὲ ψαλμῳδίας ἡμερινῆς καὶ νυκτερινῆς ἐκτελείσθω ἡ πάλαι συνήθης τῶν (ἐν) τῇ Παλαιστίνῃ μονῶν, πλὴν τῶν ἐν ταῖς κυριακαῖς παννύχων ἀγρυπνιῶν. Θέλει γὰρ ἡ βασιλεία μου μὴ κατὰ πᾶσαν ἀνάγκην καὶ πρὸς ταῦτα τοὺς μοναχοὺς ἐπεκτείνεσθαι, ἀλλὰ μηδὲν μὲν τῶν κατὰ δύναμιν ἐλλιπεῖν, τὰ δ' αὖ ἐπαχθέστερα παραλιπεῖν· οὐ δὲ γὰρ ἔξεστι μοχθοῦντας διημερεύειν, καὶ ψάλλοντας διανυκτερεύειν, ἀλλ' ἢ [ob.] μεθ' ἡμέραν τὸν τῆς νυκτὸς κόπον, ἢ νύκτωρ διαναπαύειν τὸν τῆς ἡμέρας κάματον ἄξιον· οὐ γὰρ ἀκάμας οὗτος, ὃν περιφέρομεν, χοῦς, οὐδ' ἰσχύει διηνεκῶς, ἀλλ' ἐκ διαλείμματος ἐνεργεῖ. Ἀποδοτέον οὖν διὰ ταῦτα τὰς κατὰ δύναμιν εὐχὰς ἐκ μέσης ψυχῆς τῷ Θεῷ, ἐπεὶ καὶ φίλον τούτῳ τὸ κατὰ δύναμιν, ὅς, καὶ τὴν τῆς ἡμετέρας φύσεως ἀσθένειαν ἐπιστάμενος, μόνῃ προθυμίᾳ καὶ χρηστῇ προαιρέσει δαψιλῆ καὶ πλούσια τὰ ἐλέη αὐτοῦ χορηγεῖ.

Περὶ τῶν εἰσόδων τῆς μονῆς.

„Ἐνταῦθα τύπος τῆς μονῆς τῶν εἰσόδων,
„πλὴν κατὰ μῆνα καὶ λογισμὸς ἐξόδων".

Πρόσοδος πᾶσα τῇ μονῇ συνήθης καὶ κατ' ἔτος συγκομιζομένη, παραληφθήτω ὑπὸ τοῦ προεστῶτος, πλὴν εἰδήσει καὶ τριῶν ἐγκρίτων ἀδελφῶν, εἰ πάρεσιν οἰκονόμος, ἐκκλησιάρχης καὶ δοχειάριος, εἶδ' οὖν,

ἕτερος· καὶ παρ' ἐκείνου μὲν εἰς τὰ δέοντα δαπανεισθῶ, συνίσθωσαν δὲ καὶ οὗτοι τὴν ἔξοδον· ταύτης γὰρ ἀγνοουμένης, ὑπόνοιαι φύονται πονηραί, ψιθυρισμοὶ λεπτολογοῦνται κατὰ τῶν οἰκονομούντων συχνοί. Ἐκ τούτων ἀντιλογίαι κινοῦνται, στάσεις ἀνάπτονται, δίκαι συνάγονται, τὸ δὲ τέλος, σύγχυσις, ἢ δεινὴ σκοτόμαινα (π. 213] διαστάσεως, καὶ ἀνατροπὴ τῆς γαληναίας καὶ ἡσύχου τῶν ἀδελφῶν καταστάσεως· καὶ ἄλλως γὰρ βαρὺ τὸ κοινοῖς πράγμασιν ἕνα κεχρῆσθαί τινα, ἑτέρου μηδενὸς συγγινώσκοντος· δυοῖν γὰρ θάτερον συμβαίνει τοῖς οὕτω πράττουσιν, ἢ νοσφισμοῦ κατηγορία, ἢ πρὸς τοὺς ἀδελφοὺς ὑπεροψία, ἢ καὶ ἄμφω πολλάκις, ἃ καὶ πρὸς ἀσθενεῖς συνειδήσεις σκανδάλου πρόφασις οὐκ ἀνεύλογος· εἰ γὰρ καὶ ἔξεστι διὰ τὴν ἐξουσίαν τῷ προεστῶτι παρὰ τὴν τῶν ἄλλων γνώμην τὸ βουλητὸν τούτῳ ποιεῖν, ἀλλὰ διὰ τὴν τῶν πολλῶν οὐ συμφέρει βλάβην, ἐξ ὑποψίας μᾶλλον, ἥπερ ἀληθείας πολλῆς ἀναφυομένης τῆς καταγνώσεως, τὸ δὲ τὰς ὑπολήψεις κἂν ψευδεῖς ᾖσιν ἐκφεύγειν, ἐπαινετόν. Τὴν μὲν οὖν εἴσοδον καὶ ἔξοδον οὕτω κελεύει ἡ βασιλεία μου γίνεσθαι, τὸν δὲ λογαριασμὸν καθ' ἕκαστον μῆνα, συνεδριαζόντων τῷ προεστῶτι καὶ τοῖς τρισὶν ἐγκρίτοις ἀδελφοῖς, καὶ οὓς διὰ τὸ τὴν ἐκκλησιαστικὴν ἔχειν φροντίδα καὶ ἐπιμέλειαν εἰώθαμεν ὀνομάζειν ἐκκλησιαστικούς, καὶ λαμβανόντων ἀκριβῆ τῶν ἐξοδιασθέντων πραγμάτων εἴδησιν. Ὡσαύτως παρακελεύεται ἡ βασιλεία μου μὴ τὸν προεστῶτα σπεύδειν εἰς ἀποθέσεις χρημάτων ἐν τῇ μονῇ· τοῦτο γὰρ ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας κρίνεται ταύτῃ, (οβ.] καὶ θησαυρισμοὶ οὐ χρημάτων, ἀλλὰ σκωλήκων μὴ τελευτώντων, καὶ οὐ χρυσοῦ, ἀλλ' αἰθομένου πυρὸς καὶ μὴ σβενυμένου· εἰ γὰρ τὸ μὴ χρηματίζεσθαι κἂν τοῖς κατὰ κόσμον πολιτευομένοις, καὶ ταῖς τοῦ βίου πάγαις συμπεριειλημμένοις, καὶ γυναικὸς καὶ παίδων ἀνάγκαις συνισχημένοις, ὡς αἰωνιζούσης πρόξενον κολάσεως ἀπηγόρευται, καὶ μαρτυρεῖ πλούσιος ἐκεῖνος, ὁ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις φερόμενος, καὶ πυρὶ ἀστέκτῳ τηγανιζόμενος, ὁ τὸν Λάζαρον ὅλον ὡς βδελυγμίαν ἀποπεμπόμενος πρότερον, ὕστερον δὲ τὸν δάκτυλον ἐκείνου ζητῶν τοῦ φλογιζομένου στόματος εἰς μετρίαν ἀνάψυξιν, τοῖς κόσμῳ καὶ τοῖς ἐν κόσμῳ καὶ διὰ ταῦτα καὶ τῷ πικρῷ Κοσμοκράτορι ἀποταξαμένοις, καὶ ἄνω τὸ πολίτευμα ἔχειν, καὶ ἴσον κατ' ἰσχὺν τὴν ἀγγελικὴν μεταδιώκειν διαγωγὴν ἐπαγγειλαμένοις, τοῦτ' αὐτὸ ποίας ἂν εἴη συγγνώμης ἄξιον; ἢ τίνα δώσουσιν ἀπολογίαν οἱ περὶ τὰ τοιαῦτα ἐσπουδακότες μετὰ τὸ μοναχικὸν καὶ θεῖον ἐπάγγελμα τῷ ἀδεκάστῳ ἐκείνῳ καὶ φοβερῷ Δικαστῇ, πλουτοῦντες, ἄλλων ἐν κόσμῳ πενομένων, καὶ τῇ στερήσει τῶν ἀναγκαίων ἐκτριβομένων; Διά τοι ταῦτα βούλεται ἡ βασιλεία

μου, ἵνα πᾶν, ὃ μετὰ συμπλήρωσιν ἑνὸς ἑκάστου ἔτους ἀπολιμπάνεται τῇ δε (π. 214] τῇ σεβασμίᾳ μονῇ χρηματικόν, ἐκδίδωται εἰς αἰχμαλώτων ἀνάῤῥυσιν, εἰς ὀρφανῶν ἀντίληψιν, εἰς παρθένων, ἀπορίᾳ συνεχομένων, ἐννόμου γάμου κοινωνίαν καὶ σύζευξιν, καθὼς ἂν ἐπικρίνει ὁ προεστὼς καὶ οἱ λογάδες τῶν ἀδελφῶν. Τούτων δ' οὕτω γινομένων, πέποιθεν ἡ βασιλεία μου εἰς Θεόν, ὡς ἀντὶ τούτων ἑκάστου ἑκατονταπλασίονα λήψεσθε, ὦ κατὰ Κύριον ἀδελφοί, καὶ ζωὴν αἰώνιον κληρονομήσετε.

Περὶ διαίτης μοναχῶν.

„Τροφῆς μοναστῶν εἰς ἅπαντα τὸν χρόνον
„τάξις ὁ τύπος τῶν μονῶν Παλαιστίνης".

Ἐπεὶ δὲ τὸ ἱεροσολυμικὸν Τυπικὸν κρατεῖν καὶ ἐν τῇδε τῇ σεβασμίᾳ μονῇ προέφθασε καὶ ἀνωτέρω θεσπίσαι ἡ βασιλεία μου, προσεκτέον καὶ τῇ ἐκεῖσε περιειλημμένῃ διαίτῃ τῶν μοναχῶν, καὶ ταύτην ἀκριβῶς τηρητέον ἔν τε ταῖς ἄλλαις τῶν ἡμερῶν, καὶ ἐν σαββάτῳ, καὶ κυριακῇ, ἐν ταῖς ἑορταῖς τοῦ Δεσπότου μου καὶ Σωτῆρος Χριστοῦ, τῆς ὑπεράγνου Μητρὸς αὐτοῦ, τῆς ἀειπαρθένου καὶ Θεοτόκου τῆς Δεσποίνης μου, καὶ τῶν γνησίων πάντων αὐτοῦ λατρευτῶν, τῶν τῆς βασιλείας μου διηνεκῶν συμμάχων καὶ βοηθῶν· πλὴν ἐπ' ἀδείας ὁ (οβ.] προεστὼς ἔξει συγκαταβαίνειν κατ' ὀρθὴν διάκρισιν, καὶ παρακαλεῖν ἔστιν ὅτε τοὺς ἀδελφούς, τῷ μὲν νόσῳ ἐξεταζομένῳ ὑπενδώσει, τὸν δὲ γήρᾳ τετρυχωμένον ὑποθάλψει, ἑτέρου, πολλὰ καμόντος ἔν τινι τῆς μονῆς λειτουργήματι, τὸν κόπον ἀνακουφίσει. Καὶ ἐπὶ τούτοις μὲν οὕτως.

Διαιτωμένης δὲ τῆς ἀδελφότητος, πᾶς θόρυβος καὶ πᾶσα κραυγὴ ἐσθιόντων, διακονούντων, πόῤῥω πεμφθήσεται, καὶ ἀκριβὴς σιγὴ παρατηρηθήσεται, ὅπως ἂν πάντες συνεταῖς ἀκοαῖς καὶ δεκτικαῖς τῇ ἀναγνώσει προσέχοιεν, ὡς πανδαισίᾳ πνευματικῇ· καὶ γὰρ ὁ ἄρτος σώματι, τοῦτο ψυχῇ λόγος τῆς θεοπνεύστου γραφῆς· βεβαιοῖ δὲ τοῦτο αὐτὸ καὶ ὁ ἐμὸς Δεσπότης Χριστός, ὁ τῆς ζωῆς ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, „οὐκ ἐπ' ἄρτῳ μόνῳ, λέγων, ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Τοίνυν ὁ μὴ κατακόρως ἐσθίων τὸν μὴ οὕτως ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω, κατὰ τὸν θεῖον ἀπόστολον, ἀλλ' εὐχαριστείτωσαν τῷ Θεῷ καὶ ἄμφω, ὁ μὲν οἷς ἐκορέσθη, ὁ δ' ἐπὶ τῇ δοθείσαι αὐτῷ χάριτι. Ἐξιόντες δὲ τῆς τραπέζης, ἀπερχέσθωσαν ἅπαντες ἡσυχῇ, ὁ μὲν ἐπὶ τὸ ἴδιον κελλίον καὶ τὸ ἐργόχειρον, ὁ δ' εἰς τὸ ἐπικείμενον αὐτῷ διακόνημα. (π. 215] Περὶ μὲν οὖν τῆς τῶν μοναχῶν διαίτης τοσαῦτα τὰ εἰρημένα.

Περὶ τῶν ἡσυχαστηρίων, καὶ τῶν ἡσυχαστῶν.

„Τοῖς ἡσυχασταῖς, ὡς βιασταῖς τῶν ἄνω,
„σὺ τῆς μονῆς, πρόεδρε, τὰ κάτω νέμε".

Τὰ δὲ ὑπὸ τὴν μονὴν ἡσυχαστικὰ κελλία συνίστασθαι βούλεται ἡ βασιλεία μου, καὶ μένειν οὕτως εἰς τέλος ἡσυχαστήρια. Διὸ δὴ καὶ μόνον ἄνδρας ἡσυχίας ζηλωτάς, καὶ μονίας ἐραστάς, μεμαρτυρημένους κατά τε ἤθους σεμνότητα, καὶ βίου χρηστότητα, ἁπλότητί τε κατὰ Χριστὸν χαίροντας, καὶ μὴ ὑφάλους καὶ πολυτρόπους καὶ τὸ ἦθος ἐγκαθήμενον ἔχοντας, ὁποῖοί τινες σιδηροφόροι καὶ σακκοφόροι εὑρίσκονται, καὶ ἕτεροι περιβαλόμενοι κώδια, „τὸν λύκον τῇ ἀρνακίδι", κατὰ τὴν παροιμίαν ἐγκρύπτοντες. Ἔν τισι τούτων εἶναι ἡσυχαστήρια παρακελεύεται, τὸ πᾶν τῆς οἰκονομίας αὐτῶν εἰς ἀμφίασιν καὶ ὑπόδεσιν λαμβάνοντας ἀπὸ τῆς μονῆς δωρεάν, καὶ πάσης ἄνωθεν λήψεως τῆς οἰασοῦν ἀντιχάριτοι· οὔτε οὖν ἡ μονὴ χρεωστικῶς ἀπὸ τούτων βαρυνθήσεται, οὐτ' ἐκ τῆς μονῆς ὅσον δυνατὸν οὗτοι τὸ σύνολον παραλυπηθήσονται, ἀλλὰ πρὸς ἀλλήλους ἡ ἐξ ἀγάπης χάρις γενήσεται, χρηστῆς τε προαιρέσεως (**οϐ**.] καὶ αὐθαιρέτου μεταδόσεως· καὶ γὰρ νόμῳ φύσεως κοινωνικὸν ζῶον ὁ ἄνθρωπος, καὶ κυριακῷ παραγγέλματι ἕκαστος οἷς ἔχει συνωθεῖται μεταδιδόναι καὶ τῷ μὴ ἔχοντι. Τούτων γοῦν οὕτω γινομένων, καὶ ἀμφοῖν τοῖν μεροῖν ἀμφοτέρωθεν τὸ ἀβαρὲς προσέσται καὶ ἀσκανδάλιστον· ἐξέσται δὲ τῷ ἡγουμένῳ καὶ πλείονας κατοικίσας τοῖς ἡσυχαστηρίοις μοναστάς, ἐπὶ τὸ κρεῖττον τῆς μονῆς ἐπιδιδούσης, καὶ ἱκανὸν ἐχούσης ἐν τοῖς τοιούτοις τὸ δύνασθαι.

„Πείρας ἄνευθεν οὐδέ τις κουρὰν λάβῃ,
„Γυνὴ δὲ πόρρω τῆς μονῆς σχεδὸν πᾶσα".

Τοὺς μέντοι ἀπὸ λαϊκῆς καταστάσεως τῇ μονήρῃ διαγωγῇ προσιόντας, καὶ ἐν τῇ δὲ τῇ μονῇ τὰς κοσμικὰς αἱρουμένους ἀποκείρασθαι τρίχας, οὐχ ἁπλῶς καὶ ἄνευ δοκιμῆς ἀκριβοῦς βούλεται ὅλως ἡ βασιλεία μου παραλαμβάνεσθαι, ἵνα μὴ τυχὸν παραδεχθῇ ποτε σκαιὸς ἀνὴρ καὶ κακότροπος, παρεισφθαρεὶς εἰς λύμην ἄλλων ἀδελφῶν συνεργείᾳ τοῦ πονηροῦ· καὶ γὰρ τοῦτο τρόπος τῷ Σατανᾷ, τοῖς ἀγαθοῖς παρενεῖραι τὰ πονηρά, ὡς ζιζάνια τῷ σίτῳ, τῇ ἀμπέλῳ βάτον, καὶ τοῖς προβάτοις λύκον ὀλέθριον, ἴσον γὰρ τούτοις καὶ ταραχώδης ἀνὴρ συνοδίᾳ πνευμα-

τικῇ. Προσεκτέον (π. 216] οὖν μή τινι τὸ μονῆρες περιθέσθαι τριβώνιον, πρὶν ἂν καὶ χρόνῳ καὶ πείρᾳ τὰ κατὰ τοῦτον διαγνωσθῇ· συναχθέντι μέντοι τοῖς ἀδελφοῖς, καὶ μενέτω, τὰ συνήθη περικείμενος ἄμφια μέχρι τοὐλάχιστον ἑξαμηνιαίου καιροῦ· ἐν τοσούτῳ γὰρ μετρίως πως, εἰ καὶ μὴ πάμπαν, ἦθος ἀνδρὸς εἰκασθήσεται, καὶ τὸν μοναχὸν σχηματισθήσεται, ἢ ἀποδοκιμασθεὶς εἰρηνικῶς ἐκπεμφθήσεται· πρὸς δοκιμὴν μὲν ξεναγηθείς, ὡς ξενικὸς δὲ μετὰ τὴν βάσανον πρόπεμφθείς, καὶ οὐμενοῦν ὡς ἀδελφὸς τῆς συνοδίας ἀποκοπείς. Τὸν ἐγκριθέντα μέντοι γε, γυμναστέον εἰς πᾶσαν ὑπηρεσίαν τῆς ἀδελφότητος, οἵας ἂν καὶ εἴη κοσμικῆς ἀξίας καὶ καταστάσεως· πάντα γὰρ τὰ πολυτελῆ τοῦ κόσμου μικρόν, ἢ οὐδέν, πρὸς τὴν ἐν Χριστῷ μεγαλοπρεπεστάτην εὐτέλειαν. Γυναῖκες τὸ σύνολον πάροδον ἐν τῇ μονῇ μὴ ἐχέτωσαν προσκυνήσεως τοῦ ναοῦ ἢ ἄλλης χρείας ἕνεκεν, εἰ μὴ δέσποιναι εὐσεβεῖς, καὶ προσγενίδες τῶν φιλοχρίστων βασιλέων, καὶ μεθ' ἡμᾶς τῶν τῆς βασιλείας σκήπρων διαδόχων καὶ κληρονόμων, ἂν καὶ αὐθημερὸν ὑποχωρήσουσι, μηδεμιᾶς καταλιμπανομένης ἐν τῇ μονῇ. (οδ.]

„Τῶν μακαριστῶν μνημόσυνα κτητόρων,
„καὶ τῶν ἀδελφῶν ἐκτελείσθω συντόνως".

Οἱ μακαριστοὶ τοίνυν ὅτε πάππος καὶ ἡ μάμμη τῆς βασιλείας μου, ἦγουν ὁ μέγας δοὺξ ἐκεῖνος κῦρις Ἀλέξιος, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ἀντώνιος μοναχός, καὶ ἡ σύζυγος αὐτοῦ κυρὰ Εἰρήνη ἡ Κομνηνή, ἡ διὰ τοῦ μοναχικοῦ ἀμφίου κλῆσιν μεταλλάξασα τὴν τῆς Εὐγενίας, καὶ οἱ ἀοίδιμοι γονεῖς τῆς βασιλείας μου, ὅ τε μέγας δομέστικος ἐκεῖνος κῦρις Ἀνδρόνικος, ὁ διὰ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ἀρσένιος μοναχός, καὶ ἡ μήτηρ τῆς βασιλείας μου ἡ Κομνηνὴ κυρὰ Θεοδώρα, ἡ μετὰ τὸ μοναχικὸν ἐπάγγελμα κληθεῖσα Θεοδοσία μοναχή, ἔξουσι μὲν ὡς μέχρι τοῦ νῦν καὶ εἰς τὸ ἔμπροσθεν, ἔστ' ἂν Θεοῦ χάριτι καὶ ἀντιλήψει τοῦ γνησίου αὐτοῦ λειτουργοῦ, τοῦ Ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων Μιχαήλ, διαμένῃ ἥδε ἡ σεβασμία μονή, τὴν συνήθη καθ' ἡμέραν μνήμην διά τε Τρισαγίου καὶ λοιπῶν ψαλμῳδιῶν, κατὰ δὲ τὴν ἐννάτην τοῦ νοεμβρίου μηνός, τελεσθήσονται τούτων ὁμοῦ τὰ μνημόσυνα ἐπιμελῶς τε καὶ κτητορικῶς διὰ δωδεκαφωτίων δύο, καὶ λαμπάδων μεγάλων δύο, ἐν τούτοις εἵς τε κηρῶν ἀγοράν, καὶ ἑτέρων τινῶν χρειωδῶν (κ. 217] εἰς ὀψώνιον, καὶ διάδοσιν, ἐξοδιασθήσονται ὑπέρπυρα τεσσαράκοντα. Γενήσεται δὲ καὶ ἐν τῇ τραπέζῃ παράκλησις διὰ ψωμίων τοῦ συνήθους καθαρωτέρων, καὶ οἴνων καὶ ἐγκρί-

των, καὶ ἡ εἰς τὸν πυλῶνα διάδοσις διά τε ψωμίων, οἴνου καὶ νομισμάτων, καθὼς ἂν κελεύσῃ καὶ ἐπικρίνῃ ὁ προεστώς. Ἐπεὶ δὲ μέγα φιλαδελφίας τεκμήριον καὶ τὸ τὰ τῶν ἐποιχομένων ἐτησίως τελεῖσθαι μνημόσυνα, καὶ δὴ μὴ μόνον περιόντας τοὺς ἀδελφοὺς ἀλλήλοις βοηθεῖν καὶ συναίρεσθαι, ἀλλὰ καὶ τελευτῶσι τὰ εἰκότα χαρίζεσθαι, καὶ περὶ αὐτῶν μνείαν ποιεῖν· τοῦτο δὲ τοῖς μὲν ἀποιχομένοις ψυχωφελές, ὡς παρὰ διαφόρων γραφῶν μεμαθήκαμεν, ἡμῖν δὲ τῆς ἴσης μνήμης ἐχέγγυον καὶ ὠφελείας τῆς αὐτῆς, ἐπεὶ καὶ ἀψευδὴς ὁ εἰπών· „ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν". Τελείσθω τοῖς τελευτήσασι τὸ χρεών, πρῶτον μὲν τὰ τῇ ὁσίᾳ ἑκάστου ἀνήκοντα, κατὰ τὴν κρατήσασαν συνήθειαν, εἶτα τρίτα, ἔννατα, καὶ τεσσαρακοστά, πρὸς ἑσπέραν μέν, τῆς μνήμης γενομένης κολύβοις τε καὶ νεκρωσίμῳ κανόνι, κατὰ δὲ τὴν ἐπιοῦσαν, τελεώτερον ἀποδιδομένης κολύβοις τε καὶ ἱερουργίᾳ μυστικῇ. Δύο δὲ τεύχη διπτύχων ἰσότυπα περιεχέτωταν μόνον τῶν ἀδελφῶν τὰ ὀνόματα παρὰ τῶν κατὰ καιροὺς προεστώτων ἢ ἐκκλησιαρχῶν μνήμης ἕνεκα προσγραφόμενα, (σ6.] ὧν τὸ μὲν κείσθω τῇ βιβλιοθήκῃ τῆς μονῆς, τὸ δὲ παρὰ τῷ ἐκκλησιάρχῃ· οὐκ ἐξέσται δέ τινι προσθεῖναι τοῖς μνημονευομένοις ἀδελφοῖς οἱονδήτινα ἕτερον ἐκτὸς τῆς τοῦ προεστῶτος βουλῆς καὶ εἰδήσεως. Γυναῖκα μνημονεύεσθαι μὲν τῇ μονῇ συνευδοκεῖ ἡ βασιλεία μου καὶ συντίθεται, ταφῆναι δὲ πάμπαν ἀπαγορεύει καὶ ἀποτρέπεται.

Τὸ δέ γε παρὸν Τυπικὸν τῆς βασιλείας μου, θεσπίζομεν ἀναγινώσκεσθαι δωδεκάκις τοῦ ἔτους ἐν τῇ τραπέζῃ, διαιτουμένων τῶν ἀδελφῶν, ἤγουν κατὰ τὴν πρώτην ἑνὸς ἑκάστου μηνός, ἄνευ τοῦ νοεμβρίου· τότε γὰρ ἐν τῇ ἡμέρᾳ τῶν κτητορικῶν μνημοσύνων γενήσεται ἡ τούτου ἀνάγνωσις.

„Πρώτην ἑορτῶν τὴν Σύναξιν ἀγγέλων
„ὕμνησον, εἶτα θαῦμα ταῖς Χώναις ξένον".

Κυρία μέντοι τῶν ἑορτῶν λαμπροτέρα ἡ Σύναξις ἔστω τοῦ Ἀρχιστρατήγου Μιχαὴλ καὶ τῶν λοιπῶν ἀσωμάτων δυνάμεων, ἣ κατὰ τὸ κρατῆσαν ἔθος τῇ ὀγδόῃ συμφθάνει τοῦ νοεμβρίου μηνός. Ἀφ' ἑσπέρας μὲν οὖν ὁλονύκτιον ἀγρυπνίαν ποιήσουσιν οἱ μονάζοντες, πᾶσαν ἀκολουθίαν εὐρύθμως ἐκτελοῦντες, καὶ ἑορταστικῶς κηρίων ὑπαναπτόντων ἐν τῷ τέμπλῳ, καὶ ἐν ταῖς προσκυνήσεσι διόλου, καὶ δωδεκαφωτίων (π. 218] ἱσταμένων ἐν μεσονάῳ τεσσάρων, πρὸς δὲ καὶ ἀρωμάτων, καὶ καπνισμάτων αὐταρκῶς διαδιδομένων, ἀλλὰ καὶ ἡ τῆς τραπέζης ἑστίασις παρατιθέσθω

πολυτελῶς, ὀψωνίῳ καταλλήλῳ τῇ ἑορτῇ, καὶ ψωμίοις καθαρωτέροις τοῦ συνήθους, καὶ οἴνοις ἐγκρίτοις. Ἐν τῇ τοιαύτῃ γοῦν ἑορτῇ ὀφείλει ὁ προεστὼς καλεῖν καὶ ἑτέρους ἀδελφοὺς ἐκ τῶν ἑτέρων μονῶν, καὶ λοιποὺς ἱεροψάλτας τῇ ψαλμῳδίᾳ συγκροτήσοντας, καὶ πνευματικῶς τὴν ἁγίαν ἑορτὴν καὶ μετὰ θεοπρεποῦς θυμιδίας συνεορτάσοντας. Ἐν ταύτῃ γοῦν ἐξοδιασθήσονται, διά τε ἀγορᾶς κηρῶν, ὀψωνίου οἴνου τυχὸν ἐγκρίτου, καὶ τῆς ἐν τῷ πυλῶνι διαδόσεως, ὑπέρπυρα πεντήκοντα. Τὰ πάντα δὲ ἀνημνήσονται, καθὼς ἂν προκρίνῃ ὁ προεστώς, φίλα ποιῶν τῷ Θεῷ, τῷ Ἀρχιστρατήγῳ τῶν ἀΰλων αὐτοῦ δυνάμεων Μιχαήλ, μετὰ δέους εἰπεῖν, καὶ τῇ βασιλείᾳ μου. Κατὰ δὲ τὴν ἕκτην τοῦ σεπτεμβρίου μηνός, ἑορτασθήσεται καὶ τὸ ἐν Χώναις θαῦμα τοῦ Ἀρχιστρατήγου Μιχαήλ, μόνων παρόντων, καὶ τὴν ἑορτὴν συγκροτούντων ἁπάντων τῶν ἀδελφῶν, ἀλλὰ δὴ καὶ τῶν ἡσυχαστῶν τῆς μονῆς. Ἐν ταύτῃ δὲ τῇ ἑορτῇ διά τε κηρῶν ἐξωνήσεως, ὀψωνίου τυχὸν καὶ οἴνου, καὶ ἀναλόγου ἐν τῷ πυλῶνι διαδόσεως, ἐξοδιασθήσονται ὑπέρπυρα δώδεκα. Ἀλλὰ καὶ περὶ μὲν τῶν ἑορτῶν τοσαῦτα τὰ εἰρημένα. (οδ.]

„Θεοστεφεῖς ἄναχτες, ἀκούσατέ μου,
„Καὶ τέρμα μοι νέμοιτε τῶν αἰτουμένων".

Ἀπάρτι δὲ καὶ πρὸς ὑμᾶς τὸν λόγον τρεπτέον, ὦ φιλόχριστοι βασιλεῖς, καὶ μεθ' ἡμᾶς τῶν βασιλείων σκήπτρων κληρονόμοι τε καὶ διάδοχοι, καὶ ἀξιωτέον ὅσα ἡμᾶς μὲν εἰπεῖν, τὴν δ' ὑμετέραν ἐν Χριστῷ ἀγάπην ἀκοῦσαι καὶ πρᾶξαι, δίκαιόν τε ἅμα καὶ φίλον Θεῷ. Ὅσων μὲν οὖν ἡ βασιλεία μου παρὰ Θεοῦ διὰ τοῦ Ἀρχιστρατήγου τῶν ἀΰλων αὐτοῦ λειτουργῶν ἀπήλαυσεν εὐεργεσιῶν ἔφθασεν ἐν προοιμίοις ἐκ πολλῶν βραχὺ συλλαβὼν στηλογραφῆσαι, κἀν τῇ δε τῇ βίβλῳ, οἷον ἀναπαλείπτοις κύρβεσιν, ἐγχαράξαι μερικὰ διηγήματα· εἰ γὰρ καθ' ἕκαστον ἔμελλεν ἡ βασιλεία μου ταῦτα καὶ πλατυκώτερον ἀνατάξασθαι, ἐπέλειψεν ἂν ὁ χρόνος αὐτῇ, καὶ πρώτερον ἡ περὶ τὸ λέγειν ὁρμή. Ἐπεὶ οὖν ὑπὲρ τῶν τοσούτων αὐτοῦ μεγαλοδωρεῶν, δι' ὧν τὰ μὲν εἰς ἡμᾶς ἐκ διαδοχῆς τῶν πρὸ ἡμῶν μακαριστῶν βασιλέων ἐλθόντα συνετηρήσαμεν ἀκολόβωτα, τὰ δ' ἄλλα μὴ παρόντα προσεκτησάμεθα, καὶ μέχρις ὑμῶν σὺν Θεῷ δ' εἰρήσθω ταῦτα δὴ παρεπέμψαμεν, βραχυτάτην ἀντίδοσιν τῷ ὑψίστῳ κράτει αὐτοῦ προσηγάγομεν, οἷς τῷ πρωτοστάτῃ τῶν ἀΰλων θεραπόντων αὐτοῦ τήν δὲ τὴν μονὴν συνεστήσαμεν, καὶ εὐπρεπείᾳ τό γε κατ' ἰσχὺν (π. 219] ἐκαλλύναμεν, καὶ σύλλογον μοναχῶν εὐλαβῶν συνηθροίσαμεν, καὶ τὰ πρὸς αὐτάρκειαν τούτοις περιεστήσαμεν· δέον ἐστίν, ἵνα

καὶ ὑμεῖς τὴν τοιαύτην ἡμῶν εἰς τὸ θεῖον προσαγωγὴν οἰκειώσησθε, καὶ τὴν ταύτης συντήρησιν, καὶ εἰς τὸ κρεῖττον ἐπίδοσιν βασιλικῶς καὶ μεγαλοπρεπῶς ἐπεργάσησθε. Εἰ γὰρ ὑπὲρ τῶν εἰς ἡμᾶς τοῦ Θεοῦ εὐεργεσιῶν αἱ τοιαῦται προσαγωγαί, ἐκεῖναι δὲ πάντως διῆλθον καὶ πρὸς ὑμᾶς, τοὺς μεθ' ἡμᾶς κληρονόμους καὶ διαδόχους τῆς βασιλείου ἀρχῆς, ὑπὲρ ὑμῶν εἰσὶ πάντως καὶ ἅπερ ἡμεῖς ἀφωσιωσάμεθα τῷ Θεῷ· ἄλλως δὲ οὐδὲ πλεῖστα τῇ δε τῇ σεβασμίᾳ μονῇ χρήματα τῆς βασιλείας κατεκενώσαμεν, οὐ πολυάνθρωπα ταύτῃ χωρία, οὐ πολύπλεθρα γήδια, οὐ βαθεῖς καὶ καρποφόρους ἀγροὺς ἀφωρίσαμεν, τὸν βασίλειον ὄγκον καὶ τὸ ἐντεῦθεν αὐταρχικὸν ἐπιδεικνύμενοι καὶ αὐτόβουλον, δι' ἃ καί τις ἂν ἐν καιρῷ προφασίσαιτο τὴν τοῦ ὁλοκλήρου τυχὸν καινοτομῆσαι κολόβωσιν, ἀλλὰ τόσα ταύτῃ προσαρμόσαι διενοησάμεθα, ὅσα ἂν εὐγνωμόνως οἱ νουνεχεῖς διακρίνοιεν εἰς ἀντίχαριν, ἢ καὶ ἀντιμισθίαν λογισθῆναι τῶν ὑπὲρ τῆς Ῥωμανίας ἀγώνων καὶ καθημερινῶν καμάτων ἡμῶν, ὧν τε σὺν Θεῷ πρὸ τῆς βασιλείας, καὶ ὅσων (οϐ.] διηνύσαμεν μετὰ τὴν ἀρχήν· ἐκ πρώτης γάρ, ὅ φασι, τριχὸς ταῖς βασιλείοις αὐλαῖς ἀνετράφημεν παιδείας ἀγαθῆς χάριν, πράγματος οὐκ εὐπορίστου, καὶ ἥκιστα χωρὶς ἱδρώτων καὶ συχνῶν καμάτων ληπτοῦ. Ἤδη δὲ καὶ τὸν ὀκτωκαιδέκατον χρόνον ἐλαύνοντες Θεοῦ χορηγοῦντος τὸ δύνασθαι· καὶ γὰρ εἰ δεῖ με καυχήσασθαι, κατὰ τὸν θεῖον ἀπόστολον, ἐν Κυρίῳ καυχήσομαι, ὅπως ἂν μεγαληθείη τὰ τούτου ἔργα καὶ ἐν ἐμοί, περιεβαλόμεθα χιτῶνα φωλιδωτόν, κράνος ἐκορυφωσάμεθα σιδηροῦν, δόρυ διηγκωνισάμεθα δολιχόν, καὶ ἀρεϊκὴν ἀσπίδα ἐπωμισάμεθα, καιροῦ δὲ καλοῦντος καθ' ἑπάν τε καὶ δύσιν, στρατηγοὶ χειροτονηθέντες, πολυάνθρωπον στράτευμα σὺν Θεῷ διεθύναμεν, μάχας ποτὲ μὲν πρὸς Μυσούς, ἄλλοτε πρὸς Τριβαλούς, καὶ τοὺς ὁμοφίλους ἡμῶν Ῥωμαίους ἐχθρὰ καθ' ἡμῶν φρονοῦντας καὶ ἄσπονδα, ἐν καιρῷ πρὸς Πέρσας, καὶ τοὺς τῆς Κωνσταντίνου κατατυραννοῦντας ὑψαύχενας Λατίνους συνεκροτήσαμεν. Αὖθις τοῖς ἀνακτόροις ἐνδιατρίβοντες τὰ προσταττόμενα ἡμῖν διαφόροις ὑπηρεσίαις προθύμως καὶ εὐνοϊκῶς διηνύομεν, ἐν συμβουλίαις ἀγρυπνοῦντες, καὶ μᾶλλον ἀφοῦ τὰ πρῶτα τῆς γερουσίας ἐλάχομεν, ἐν ἡλίῳ διημερεύοντες, ὅπως τὰ βουλαῖς κυρωθέντα καλῶς, (л. 220| εἰς πράξεις ἀποβαῖεν ἐπιτυχεῖς, νῦν μὲν τάχους δεομένας, ἔστι δ' ὅτε καὶ βράδους διὰ τὴν τῶν πραγμάτων ἀνάγκην, ἢ διὰ τὴν τοῦ χρόνου φοράν. Ἐπεὶ δ' ὁ φθόνος καθὰ καὶ τοῖς πάλαι δοκεῖ τοῖς ἀνθρώποις ἀκόλουθον, ὡς σκιὰ τοῖς σώμασι παρεπόμενον, οὗτος φθάνει τὸ οἰκεῖον τόξον ἐντεῖναι καὶ καθ' ἡμῶν, καὶ ἀκοντίσαι ἐν σκοτομήνῃ βέλη πικρά, καὶ ταχ' ἂν ἔδρασέ τι δεινόν, εἰ μὴ ὁ Κύριος ἐγένετο

ἀντιλήπτωρ μου καὶ καταφυγή μου, ὁ Θεός μου βοηθός, ἐφ' ὃν ἤλπισα, καὶ οὐκ ἐφοβήθην ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετωμένου ἡμέρας, καὶ ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· παρῳδητέον γὰρ προσφόρως τὰ ψαλμικά. Τοίνυν καὶ τῆς ἐνδαπῆς ἀπάρας, τῆς τῶν Ῥωμαίων, φημί, προσπεύψευγα τὴν ἀλλοδαπήν· εἰσέδυν τὴν περσικὴν μεθ' ὅσων κινδύνων ἐνοδύνων ἄν εἴπῃ τις, ὧν ἁπάντων ἐρρύσθην παρὰ Θεοῦ, προσέμεινα χρόνον ἱκανὸν τῷ ἄρχοντι τῶν Περσῶν· πολέμους πολλάκις μοῖραν φέρων Περσῶν τὰ εἰς μάχην οὐκ ἀγενῆ, σὺν τοῖς Ἀταρίοις. Γένος δ' οὗτος τῶν ἑῴων οὐ πρὸ μακρῶν τῶν χρόνων ἀπάραν μερῶν, Ἄρεϊ σύντροφον, φιλαίματόν τε καὶ ἀγελόθυμον, ἐτολύπευσα φερόμενος τῷ καιρῷ, καὶ τῇ ἀνάγκῃ πειθόμενος. Τὰ μὲν οὖν ἐκεῖσε τελεσθέντα λεγέτωσαν (οϐ.] ἕτεροι· καὶ γὰρ οὐ χρεών μοι τοῖς τοιούτοις περιαυτολογεῖν· ἓν δὲ τὸ πᾶν συμπεριλαβὼν λέγω, καὶ μάρτυς μοι τῶν λεγομένων ὁ παντέφορος ὀφθαλμός, ὡς τῇ Περσίδι ἐγκαρτερῶν, οὐδέν τι λόγῳ, ἔργῳ, βουλῇ, ἐπιχειρήσει, κρύφα ἢ καὶ ἀναφανδὸν κατὰ τοῦ τότε τῶν Ῥωμαίων κρατοῦντος, ὁ μακαριστὸς ἦν ἐκεῖνος βασιλεὺς καὶ ἐμὸς ἐξάδελφος, ἢ κατὰ τῆς τῶν Ῥωμαίων ἐπικρατείας τὸ σύνολον εἰργασάμην, ἀλλ' ὅπερ συμφέρειν ἔμελλε τούτοις, ἐκεῖνο σὺν Θεῷ καὶ ἐμελέτησα καὶ διεπραξάμην· ἤδη δὲ τοῦ φθόνου ἠρεμήσαντος πρὸς βραχύ, τῆς Περσικῆς ἐκχωρήσας, πρὸς τὴν τῶν Ῥωμαίων ἐπαλιννόστησα, ὑποκείμενος τῷ κρατοῦντι, καὶ αὖθις εὐνοϊκῶς ἐν οἷς παρ' ἐκείνου προσεττατόμην ὑπηρετῶν· καὶ ταῦτα μὲν πρὸ τῆς βασιλείας. Τί δ' ἐξότου καὶ πρὸς τήν δε τὴν αὐτοκρατορικὴν ἀνήλθομεν σκοπιάν, τῇ τοῦ Κυρίου χειραγωγούμενοι δεξιᾷ; ἢ καὶ ἐν ἡμῖν θαυμασίως ἐποίησε δύναμιν, ἅπαντες σχεδὸν ὅσοι τοῖς ἄρτι χρόνοις ζῶσι διαφόρου τύχης καὶ ἡλικίας ὄντες καὶ ἀξιώματος, ἐν Κυρίῳ μοι ἀψευδέστατοι μάρτυρες, καὶ καυχήσεως στέφανος. Οὐκ ἔδωκα ὕπνον τοῖς ὀφθαλμοῖς μου, οὐ νυσταγμὸν τοῖς βλεφάροις, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, οὐ τῶν ἰσχύων μου τοὺς γλουτοὺς βασιλείῳ (π. 221] σκίμποδι προσανέπαυσα, ἕως ὅτου τὴν κατὰ τῶν Ῥωμαϊκῶν χωρῶν ἐποφθαλμίασιν τῶν ὑπεναντίων θυμῷ καὶ τύφῳ βαρβαρικῷ οἰστρηλατουμένων, πράξεσι πολυτρόποις ἀπεκρουσάμην, καὶ τὴν ὑψουμένην κεφαλὴν καθ' ἡμῶν, καὶ πτέρναν ἐπαίρουσαν, τοὺς τῶν Ῥωμαίων ἄρτους ἐσθίοντας, καὶ ἐπ' αὐτοὺς πτερνισμὸν μεγαλύνοντας, τοὺς τῆς Κωνσταντίνου ἐξορμῶντας Λατίνους, οἷον ἀσπίδων ἔγγονα πετώμενα, λεκτέον εὐκαίρως ἐνθαδί· καὶ γὰρ τὰ προφητικά, καὶ πᾶσαν χώραν βοσκόμενα τὴν ἀγχιθυροῦσαν καὶ πρόσοικον, καὶ τὴν πόρρω, ἠπειρωτικὴν καὶ παράλιον, ὅσα καὶ ἄχνην ἀπετιναξάμην ἀπὸ τῆς τῶν

Ῥωμαίων ἄλωνος θερινήν, καὶ τῆς τῶν ἐμῶν ὁμοφύλων ἐκτοπισταῖς οὐκ ἐδόθη τόπος ὑποσοῦν εἰς κατοίκησιν. Καὶ εὖγε, εὖγε, ἡμῖν προμαχούσης καὶ ὑπερμαχούσης τῆς χειρὸς τοῦ Θεοῦ, ἣν ὑψηλὴν ὁ Ἡσαΐας καλεῖ, οἶμαι πάντως διὰ τὴν αὐτῆς πρὸς τοὺς ὑπερηφάνους καταφοράν, βριαρὰν καὶ ἀρτιμελῆ τὴν βασιλείαν ἐν Θεῷ τῷ συνάγοντι ὀστᾶ πρὸς ὀστᾶ, καὶ ἁρμονίαν πρὸς ἁρμονίαν, ἀποκατέστησα, καὶ τοὺς ταύτης ὅρους, ὅσον ἦν μοι πρὸς ἰσχύος, ἐπηύξησα, καὶ διὰ ταῦτα κουροτρόφου εἰρήνης τὰ κατ' αὐτὴν καὶ περὶ αὐτὴν ἀπολαύει, καὶ μένει μέχρι τοῦ νῦν τοῖς (οϐ.] ὑπεναντίοις ἅπασι φοβερά· καὶ εἶεν οὕτω καὶ περαιτέρω καὶ ἐπὶ τὸ κρεῖττον ἐπιδιδοῖεν ἀεί, Θεὲ καὶ Κύριε τοῦ ἐλέους. Ἐπεὶ δὲ οὖν οὕτως ὑπὲρ τῶν Ῥωμαίων ἀγωνιζόμενος ἔφθασα καὶ αὐτός, ὡς τὴν ἀνθρωπίνην ἀσθένειαν περικείμενος, πολλῶν ἁμαρτιῶν ἐπιφορτίσαι τῇ ἐμῇ ψυχῇ φορυτόν, καὶ εἰς ἐξιλασμὸν τούτων τὴν βραχεῖαν προσήνεγκα τήνδε προσαγωγὴν τῷ Θεῷ, στεργητέαν ταύτην καὶ ὑμῖν γενέσθαι, ὦ θεοφιλεῖς βασιλεῖς, ἀξιῶ, καὶ παραφυλαχθῆναι ἀπαρεγχείρητον καὶ ἀκαινοτόμητον, κἂν σφόδρα ἀποδοῦναι ταύτην τῷ χρόνῳ συμβαίη καὶ ἐπαυξῆσαι, κἂν μείωσιν καὶ τὴν ἐσχάτην πρόβασιν ἐπὶ τὸ χεῖρον παθεῖν. Τί γὰρ ἡ ἐκ ταύτης τῷ δημοσίῳ συνεισφορά, καὶ ἡ ἐν τῷ τῆς βασιλείας ταμείῳ χρημάτων ἐπίδοσις, ἢ τίνι τῶν εὐγενῶν αὐτάρκης διοίκησις, ἢ στρατιωτῶν ἐντεῦθεν τὰ σιτηρέσια ληψομένων ἐπαύξησις, ἤ τι τοιοῦτον ἕτερον, ὅπου γε εἰ καὶ ταῦτα ἦν, ἐχρῆν ὡς τῷ Θεῷ ἀφοσιωθεῖσα τηρηθῆναι πάμπαν ἀδιαλώβητος, εἰ μήπού τις τὸ ἱεροσυλίας ἐγκληθῆναι, παρὰ φαῦλον ἡγεῖται, καὶ ἥκιστα κατὰ ψυχὴν ἐπιβλαβές τε καὶ ἐπικίνδυνον; Ἐπεὶ δὲ καὶ ἡμεῖς τὴν βασίλειον ἀναλαβόντες ἀρχὴν τὰς τῶν πρὸ ἡμῶν ἀοιδίμων βασιλέων διὰ χρυσοβούλλων δωρεάς, (π. 222] ἐν μοναστηρίοις, ἐκκλησίαις, πόλεσιν, ἄρχουσι καὶ προσώποις ἑτέροις ἀπαραλλάκτως ἐστέρξαμέν τε καὶ ἐκυρώσαμεν, σὺν Θεῷ δὲ τὰς ἐκ τούτων πλείους καὶ ἐπηυξήσαμεν, τοῦτ' ἐκεῖνο καὶ ἐν τοῖς ἡμετέροις αἰτοῦμεν κρατῆσαι δικαίοις, ὃ καὶ ἐν τοῖς τῶν ἄλλων κεκράτηται παρ' ἡμῶν, καὶ τὸν νόμον, ὃν μέχρις ἡμῶν πεφθακότα καὶ αὐτοὶ διετηρήσαμεν ἀπαράθραυστον, τοῦτον ἅτε καλῶς ἔχοντα καὶ τῷ χρόνῳ φέροντα τὸ πρεσβεῖον βαθύ, καὶ τοῖς μεθ' ἡμᾶς τηρεῖν ὑποτιθέμεθα καὶ προτρέπομεν, καὶ τήν δε τὴν μικρὰν ἡμῶν προσφοράν, ἣν καὶ ὡς θῦμα τῷ Θεῷ τέλειον προσηγάγομεν, ἀκολόβωτον ἀξιοῦμεν παραμεῖναι καὶ ἀπαράθραυστον, ἵνα μὴ τὰ κατὰ παρὰ τῷ νόμῳ κολοβόκερκα, ἢ ὠτότμητα θύματα, ὡς μὴ εὐπαράδεκτα, παροραθῶσι Θεῷ. Ἔτι δὲ καὶ ὡς λυχνίαν τήνδε τὴν μονὴν ἐκ τῆς ἐμπύρου καρδιακῆς διαθέσεως τῷ Ἀρχιστρατήγῳ ἀνάψαντες Μιχαήλ, τῷ μετὰ τὸ πρῶτον καὶ μέγιστον

φῶς δευτέρῳ καὶ μεγάλῳ φωτί, ἀείφωτον διαμένειν βουλόμεθά τε καὶ ψυχῆς ἐκ μέσης εὐχόμεθα, ἐπαρδομένην τῷ ἐλαίῳ τῆς εὐποιΐας ὑμῶν τῶν μεθ' ἡμᾶς κληρονόμων τῆς βασιλείας καὶ διαδόχων, ὡς υἱῶν ποιότητος γραφικῆς. Ἵνα τήν δε τὴν λυχνίαν ἡ τε βασιλεία μου καὶ ὑμεῖς εἰς τὴν (об.] πρὸς τὰς τῶν δικαίων σκηνάς, καὶ τὸν ἁγιώτατον χῶρον, τὸν θεῖον, λέγω, παράδεισον, εἴσοδον ἔχοιμεν ἀληθῶς φωτεινὴν λαμπάδα καὶ προπεμπτήριον, καὶ ὡς ἡμέρας υἱοὶ καὶ φωτὸς τῷ τε θείῳ βαπτίσματι, τῷ τε βασιλείῳ χρίσματι, καὶ τῆς ἡμέρας ἐκείνης ἀξίωθείημεν, ἣν οὐκ οἶδε διαδέχεσθαι νὺξ πρ. [1]).

„Τῶν πατριαρχῶν ἀκρότης σεβασμία,
„τὸν τῆς μονῆς κράτυνε σὺν Θεῷ τύπον".

Τοσαῦτα καὶ τοιαῦτα πρὸς τοὺς φιλοχρίστους βασιλεῖς ἡ βασιλεία μου λέξασα, ἤδη καὶ πρὸς ὑμᾶς ἀποτείνει τὸν λόγον, τοὺς τῆς κορυφαίας προϊσταμένους περιωπῆς, τοῦ πατριαρχικοῦ, φημί, θρόνου τῆς περιφανοῦς τῆς δε καὶ βασιλευούσης τῶν πόλεων, καὶ ὅσα δή τι ἐπισφράγισμα ἱερὸν τῆς νῦν ὑποθέσεως ἐπιτίθησι τοῦτον, ἢ καὶ ἀναγκαῖον συμπέρασμα. Ὅσας μὲν οὖν καὶ οἵας εὐεργεσίας ὁ Βασιλεὺς τῶν βασιλευόντων Θεὸς παρέσχε τῇ βασιλείᾳ μου, καὶ ὡς διὰ ταῦτα καὶ ἡμεῖς μικρὰν ἀντίχαριν τῶν τοσούτων ἀγαθῶν αὐτῷ ἀπονέμοντες, τήν δε τὴν σεβασμίαν μονήν, ἐπ' ὀνόματι τιμωμένην τοῦ Ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων, Μιχαήλ, ἀνηγείραμεν, ἔχοι ἂν μαθεῖν ἀκριβῶς ἡ ὑμετέρα ἀρετὴ ἐξ ὧν ἔν τε τοῖς προοιμίοις καὶ τῇ πρὸς τοὺς βασιλεῖς ὁμιλίᾳ (л. 223] μικρὸν ἐπεμνήσθημεν. Ἐπεὶ οὖν ἔθος τοῖς μονὰς ἀνοικοδομοῦσι, καὶ μοναχῶν ἐν τούτοις συνοικίζουσιν ὅμιλον πρὸς τοῖς ἄλλοις καὶ ἀντιλήπτορας, ἱκανὸν κεκτημένους τὸ δύνασθαι, δικαίως ἀποκαθιστάνειν αὐταῖς, τοῦτ' αὐτὸ ποιεῖ καὶ ἡ βασιλεία μου. Τοίνυν καὶ ἀκριβῶς εἰδυῖα, ὡς χρὴ τὰ πνευματικὰ μὴ ἀνατιθέναι πάμπαν οἷς σπουδὴ τὰ σωματικά, ἀλλ' ὑμῖν, οἷς ἡ ἀρχὴ πνευματική, καὶ τὸ περὶ σωτηρίας ψυχῶν φροντίζειν διηνεκὴς μελέτη τε καὶ σκοπός, ἀξιοῖ τὴν ὑμετέραν ἀρετὴν ἡ βασιλεία μου, ὅπως ἂν τῶν ὑπὲρ τῶν Ῥωμαίων ἀγώνων μνησθῆτε ταύτης, ὧν ἐν τοῖς ἀνωτέρω κεφαλαίοις περιελάβομεν, καὶ ὡς ἐκ Θεοῦ, ἐξ οὗ τὰ πάντα, διὰ τῶν ἡμετέρων ἱδρώτων τε καὶ καμάτων τῷ τῆς Κωνσταντίνου πόλεως ὑμεῖς ἀνιδιτὶ ἐγκάθησθε θρόνῳ, καὶ παρὰ πάντων οὐ τῶν οἰκείων μόνων, ἀλλὰ δὴ καὶ τῶν ἀλλοτρίων καὶ ἀλλογε-

[1]) Въ рукописи это слово не окончено.

νῶν πατριάρχας κυρίως καὶ ὀνομακλητὴν τῆς Κωνσταντίνου πόλεως περιάδεσθε, τῶν πρὸ ὑμῶν καὶ ἐκτὸς τῆς δε τῆς βασιλίδος τῶν πόλεων πατριαρχευσάντων παρὰ μὲν τοῖς „πατριαρχῶν Νικαίας“ ὀνομαζομένων, παρ' ἑτέροις δὲ „πατριαρχῶν τῆς τῶν Βιθυνῶν ἐπαρχίας“, ὡς καὶ τῶν εὐσεβεστάτων καὶ ἐν μακαρίᾳ τῇ λήξει γενομένων βασιλέων τῶν καὶ πρὸ ἡμῶν βεβασιλευκότων (σ6.] ποτὲ μὲν ἁπλῶς „ἀρχόντων τῆς Ῥωμανίας φημιζομένων“, ποτὲ δὲ καὶ βασιλέων, ἀλλ' οὐχ' ἁπάντων Ῥωμαίων, τῶν δὲ κατὰ ἀνατολὰς καὶ μόνων· ἀπιστήσειεν ἄν τις τοῖς λεγομένοις, εἰ μὴ τὴν τῶν Λατίνων ἐπίσταται κόρυζαν, καὶ τὸν σιδηροῦν αὐτῶν καὶ ἀκαμπῆ τράχηλον, καὶ τὴν καθ' ἡμῶν μανίαν δεινὴν τῶν ὁμοφύλων ἡμῖν Ῥωμαίων ἀποστατῶν, ἀσπόνδων ἐχθρῶν, ἀγρίων θηρῶν, τὴν τῆς Ῥωμανίας μονονουχὶ πνεόντων ἀπώλειαν· καὶ εἰ μὴ διὰ τ' ἄλλα, διὰ γοῦν τὰ νῦν προσεχῶς εἰρημένα, χάριν ταύτην ἡμῖν ἀπονέμοντες, δι' ἑαυτῶν ἀντιλαμβάνησθε τῆς δε τῆς μονῆς, καὶ τῶν ὑπ' αὐτὴν ὁλοσχερῶς κατὰ τὴν παροῦσαν ἐπιτροπὴν τῆς βασιλείας μου. Καὶ οὐχὶ δὴ τοῦτο μόνον, ἀλλὰ καὶ πρὸς τοὺς κατὰ καιροὺς κρατοῦντας κληρονόμους καὶ διαδόχους τῆς βασιλείας μου, εἰ δέον, περὶ τούτων ἀναφέρητε καὶ ἀναμιμνήσκητε αὐτοὺς τῆς τε συστάσεως, καὶ ἐπὶ τὸ κρεῖττον τῆς μονῆς ἐπιδόσεως, καὶ τοῦ ἀναφέρετα καὶ ἀναπόσπαστα πάντα φυλάττειν τὰ τῆς μονῆς κτήματα μέχρι καὶ τοῦ βραχυτάτου, κατὰ πάντα τρόπον τὸν ἐνταῦθα ἐμπεριειλημμένον, καὶ ἁπλῶς προσκαλεῖσθε τούτους εἰς τὸν τῆς μονῆς συνεχέστερον ἔλεον, καὶ τὸ τῶν μοναζόντων ἀπερίσπαστον, καὶ ἀτύρβαστον, ἵν' ἡρέμα καὶ ἡσυχίως οὗτοι διάγοντες, (π. 224] τῆς ἐμῆς ψυχῆς ὑπερεύχωνται, τῶν τε φιλοχρίστων βασιλέων, τῆς ὑμετέρας ἀρετῆς, καὶ παντὸς τοῦ χριστωνύμου συστήματος, καὶ πληρώματος. Εἰδέναι γοῦν ὀφείλετε, ὡς ἂν μὴ ταῦθ' οὕτω ποιήσητε, λόγον ὑφέξετε τῇ βασιλείᾳ μου καὶ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ἅτε μὴ βουληθέντες περατῶσαι βασιλέως εὐσεβοῦς, ὀρθοδόξου διὰ τῆς χάριτος τοῦ Χριστοῦ, καὶ πολλὴν ὑμῖν, ὡς εἴρηται, προκαταβαλλόντος τὴν χάριν, ἀξίωμα εὐχερέστατον, κἀκ τοῦ Ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων ἀντιλαβεῖν ἐφ' ἅπασιν ἀξιόχρεων τὸν μισθόν, καὶ τὴν ἀντίληψιν πολλαπλάσιον.

„Κἂν βραχέα πλὴν ἐνθαδὶ συντακτέα
„τὰ τῆς μονῆς κτήματα πεπλατυσμένως“.

B) Западные.

I.) a) Codex. CCXVI. b. III. 27. Τυπικὸν σὺν Θεῷ, ἤτοι διάταξις τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ ἀκολουθίας τῶν τε δεσποτικῶν ἑορτῶν, καὶ τῆς ὑπεραγίας Θεοτόκου, καὶ τῶν ἐπισήμων ἁγίων, καὶ ὅλου τοῦ ἐνιαυτοῦ, κατὰ τὴν παράδοσιν τῶν ἁγίων καὶ θεοφόρων πατέρων· τοῦ τε ἁγίου Σάββα, καὶ τοῦ Στουδίτου καὶ τὸ πλεῖστον τοῦ Ἁγίου Ὄρους, οὐ μήν, ἀλλὰ καὶ μέρος τι τῆς παραδόσεως τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Ἰωσὴφ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΝΙΚΟΛΑΟΥ ΤΩΝ ΚΑΣΟΥΛΩΝ, δηλοῦσα καὶ διακρίνουσα τάς τε ὀφειλομένας καὶ παραδεδομένας νηστείας καὶ γονυκλισίας, πῶς τε, καὶ πότε ὀφείλουσι γίνεσθαι, καὶ πότε οὔ. Καὶ πρῶτον μὲν ἐν κεφαλαίοις τισὶν ἐν ἐπιτομῇ ταῦτα προδηλοῦν, ἔπειτα δὲ καὶ τρανοτέρως κατὰ τάξιν ἐν τῷ ἰδίῳ καὶ προσφόρῳ καιρῷ διαλαμβάνειν. Рукопись университетской библіотеки въ Туринѣ въ полулистъ, 183 листа, писана на пергаминѣ скорописью XII—XIII в. Настоящій кодексъ представляетъ списокъ съ болѣе древняго, какъ это видно изъ слѣдующей приписки 1174 года: Τέλος εἴληφεν ἡ ἱερὰ βίβλος αὕτη τῆς ἐκκλησιαστικῆς διατάξεως χειρὶ Νικολάου μοναχοῦ καὶ εὐτελοῦς καθηγουμένου τῆς μονῆς τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου τῶν Κασούλων, μηνὶ Σεπτεμβρίῳ α'. ἔτει ,ςχπβ'. ἰνδ. ζ'. (л. **172 об.**] Рукопись эта описана Іосифомъ *Пазиномъ* (I. Pasinus) и др. въ книгѣ: „Codices manuscripti bibliothecae regii Taurinensis athenaei. Taurin. 1749 an. pars I. pag. 308—309“, но съ нѣкоторыми неточностями и ошибками. Такъ, напр., въ описаніи совершенно не упомянуто о записи на выходныхъ листахъ[1]) пожертвованій въ обитель Казулянскую книгами и священными облеченіями; о стихирахъ—„στιχηρὰ Νεκταρίου ἱερομονάχου καὶ καθηγουμένου τῆς εὐαγοῦς μονῆς τοῦ ἁγίου Νικολάου τῶν Κασούλων ἐπὶ τῶν πρὸ αὐτοῦ ἡγουμένων (тою же рукою на поляхъ замѣчено: εἰς τὸν κὺρ Ἰωσὴφ κτήτορα, εἰς τὸν Βίκτωρα, εἰς τὸν Νικόλαον, εἰς τὸν Καλλίνικον, εἰς τὸν Ἱλαρίωνα, εἰς τὸν Νικόδημον, εἰς τὸν Νεκτάριον καὶ εἰς τὸν μέλλοντα γενέσθαι), въ которыхъ кратко воспѣваются заслуги для монастыря каждаго изъ ктиторовъ—игуменовъ. Пра-

[1]) На полѣ л 6 замѣчено: Τὸ παρὸν Τυπικὸν ἐμοῦ Ζαχαρίου μέγα(;) Ἰωάννου. Ἠγόρασα αὐτὸ ,αφκ'.

вильнѣе назвать—это краткіе тропари. Въ выпискахъ съ третьяго листа на об. допущены ошибки: μητήρης вмѣсто μητρός, κυρὸς вмѣсто κῦρ или κυροῦ, ἐν ἡμέραις вмѣсто ἐν ἡμέρᾳ, μηνὶ Ἰανουαρίῳ κβ'. вмѣсто κζ'. и т. д. Въ первой припискѣ не только точно указанъ годъ построенія Казулянскаго монастыря: ϛχζ'. (у Pasinus'a опечатка ϛχξ'.), но съ боку приписаны день и число мѣсяца: ἐν ἡμέρᾳ κυριακῇ, εἰς β'. τοῦ Αὐγούστου μηνὸς τῆς δ'. ἰνδ. (?) Смерть игумена Никодима точно и ясно обозначено годомъ ϛψκ'. Послѣ приписокъ, приведенныхъ у Pasin. pag. 308, слѣдуетъ ἀπολυτίκιον τοῦ ἁγίου μεγάλου μάρτυρος Παντελεήμονος, ἦχος πλ. δ'. Μητρικὴν εὐσέβειαν ἐπιποθήσας.. Τῶν σαὐτοῦ στρατιῶν ἀρχιστράτηγος... а затѣмъ приписка: Ἰστέον, ὅτι ἐνθρονιάσθη, ἤγουν ἐγκαινίσθη ὁ πάνσεπτος ναὸς τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου τῶν Κασούλων ἐν ἔτει δευτέρῳ τῆς ἀρχῆς Καρούλου Ῥηγός, ἡγουμενεύοντος ἐν αὐτῷ Βασιλείου ἱερομονάχου παρὰ τοῦ πανευλαβεστάτου καρδιναλίου Ῥανδόλφου ἐν ἔτει ἀπὸ κτίσεως κόσμου, ϛψωπ'. μηνὶ νοεμβρίῳ δεκάτῃ τετάρτῃ, αὐτῇ τῇ ἡμέρᾳ τοῦ ἁγίου Φιλίππου, ὅτε καὶ αὐτὸς ὁ ἡγούμενος Βασίλειος παρὰ αὐτοῦ τοῦ καρδιναλίου μετηλλάγη εἰς τὸν ἅγιον βίτον τοῦ Πιτέρου εἰς ἡγούμενον. Болѣе обстоятельное описаніе Туринскаго Типикона сдѣлалъ недавно проф. Диль (Diehl) въ журналѣ Melng. d' archeolg. et d' histoir. 1886 an. fasicul. III—IV, pag. 173—188.

Л. 4 Отрывокъ изъ номоканона начинается 21 правиломъ и прерывается на 56. Начало: περὶ τοῦ βιβλιοφύλακος. Ἐὰν τίς λάβῃ βιβλίον καὶ μὴ φιλοκάλως κατέχῃ.

Л. 6. Τυπικὸν κ. τ. λ. см. заглавіе Типикона. (стр. 795.)

Κεφάλαιον α'. ἐν ᾧ περὶ τοῦ Θεὸς Κύριος. Ἰστέον, ὅτι τὸ Θεὸς Κύριος πάντοτε ἱστάμενοι ψάλλομεν, ὁμοίως καὶ τὸν ἀπόστολον ἱστάμενοι ἀκροώμεθα, ὡς καὶ τὸ θεῖον εὐαγγέλιον. Καὶ ὅτε ψάλλεται τὸ Θεὸς Κύριος, εἰς τὴν ἀρχὴν τοῦ ἑσπερινοῦ οὐ λέγομεν τὸ Ἅγιος ὁ Θεός, ἀλλὰ μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα, εὐθέως λέγομεν· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Θεῷ ἡμῶν. Δεῦτε προσκυνήσωμεν. Τοῦτο λέγομεν γ'. ὁμοίως καὶ εἰς τὸν ὄρθρον. Δόξα ἐν ὑψίστοις γ'. οὐ μετανοίας ποιοῦμεν. Ὅτε δὲ οὐκ ἔστι μνήμη ἐπισήμου ἁγίου, ὃν οὐχ ἑρτάζομεν, οὐδὲ Θεὸς Κύριος ψάλλομεν, ἀλλ' ἀντὶ τούτου ψάλλομεν Ἀλληλούια κατὰ τὸν ἦχον τῶν τριῳδικῶν τροπαρίων, ποιοῦμεν δὲ καὶ τὰς συνήθεις μετανοίας· καὶ εἰς τὸν ἑσπερινὸν ὡσαύτως λέγομεν τροπάριον· Θεοτόκε

παρθένε, Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, καὶ νῦν, Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν, Κύριε ἐλέησον μ'. καὶ ἀπόλυσις.

Κεφ. β'. Περὶ τοῦ σημαντηρίου. Εἰδέναι χρή, πῶς δεῖ σημαίνειν εἴς[1]) τε τὸ λυχνικὸν καὶ εἰς τὸν ὄρθρον. Γινώσκειν χρὴ τὸ σημαίνειν τὸν ἐκκλησιάρχην τὴν[2]) δικαίαν ὥραν, καὶ ἀπέρχεσθαι πρῶτον καὶ κρούειν τὸ μέγα σημαντήριον ὥραν ἱκανήν, εἶτα εἰσελθεῖν[3]) εἰς τὴν ἐκκλησίαν, καὶ ἅπτειν τὰς κανδήλας καὶ ποιεῖν τὸν θυμιατόν, καὶ πάλιν ἐξέρχεσθαι καὶ σημαίνειν τὸ μικρὸν ἢ τὸ κωδόνιον, ἐὰν ἐστί, καὶ ὑποστρέψας[4]) καὶ βάλλειν μετάνοιαν μέσον τοῦ ναοῦ, καὶ οὕτως ὁ ἱερεὺς εὐλογεῖ λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Οὕτως γίνεται εἰς τὸ ἑσπερινὸν καὶ εἰς τὸν ὄρθρον.

Κεφ. γ'. Περὶ τοῦ θυμιατοῦ. Содержаніе тоже самое, что и въ обычныхъ Типиконахъ.

Κεφ. δ'.[5]) ἐν ᾧ περὶ τῆς στιχολογίας τοῦ ὄρθρου[5]). Δεῖ εἰδέναι, ὅτι στιχολογοῦμεν εἰς τὸν ὄρθρον, παρεκτὸς τῶν μετὰ τὰς δεσποτικὰς ἑορτὰς τελουμένων τῇ ἐπαύριον μεθεόρτων. Ἀρχόμεθα δὲ ἀπὸ τῆς νέας κυριακῆς, ἤτοι τοῦ ἀντίπασχα, στιχολογοῦντες καθ' ἑκάστην νύκτα κάθισμα ἓν μέχρι τῶν κβ'. σεπτεμβρίου μηνός· ἀπὸ γὰρ ταύτης τῆς ἡμέρας ἀρχόμεθα στιχολογεῖν δύο καθίσματα μέχρι τῆς παρασκευῆς τῆς ἀπόκρεω[6]) Τά τε σάββατα πρὸς ἓν στιχολογοῦμεν κάθισμα, καὶ τὰς κυριακὰς πάσας τοῦ ἐνιαυτοῦ ὁμοίως πρὸς ἕν, καὶ αὐτὴν τὴν ἑβδομάδα ὅλην τῆς τυρίνης καὶ τὸ δωδεκαήμερον ἓν κάθισμα στιχολογοῦμεν.

Κεφάλαιον ε'.[7]) περὶ τῆς ἑσπερίνης στιχολογίας τοῦ σαββάτου. Ἀρχόμεθα στιχολογεῖν τὰ σάββατα ἑσπέρας εὐθὺς ἀπὸ τοῦ σαββάτου τῆς διακαινησίμου τὸ Μακάριος ἀνήρ, κατὰ σάββατον, χωρὶς τοῦ μεγάλου σαββάτου, καὶ τοῦ σαββάτου τῆς ν'. τότε γὰρ οὐ στιχολογοῦμεν.

---

[1]) Ркп. Барбер. библ. XVI в. Ш. 102 (236) словъ: εἴς τε τὸ λυχνικὸν καὶ εἰς τὸν ὄρθρον—нѣтъ [2]) τὰς δικαίας ὥρας, καὶ ἀπέρχεσθαι πρῶτον [3]) εἰσέρχεσθαι [4]) ὑποστρέφειν. [5]) Въ кодексѣ 1336 г. № 15 Лаврентіанской библ. во Флоренціи эта глава стоитъ на первомъ мѣстѣ и имѣетъ надъ собою слѣдующую любопытную надпись: Κεφάλαια ἐνεπιτόμως δηλοῦντα τὴν συνήθειαν τῆς ἐκκλησιαστικῆς καταστάσεως τοῦ Ἁγίου Ὄρους. (Κεφ. α'), ἐν ᾧ περὶ τῆς στιχολογίας τοῦ ὄρθρου. Въ варіантахъ мы и будемъ далѣе отмѣчать особенности тѣхъ же статей въ Лаврентіанской рукописи. [6]) словъ: ἡμεῖς δὲ μέχρι καὶ αὐτῆς τῆς κυριακῆς τῆς τυρίνης κάθισμα ἓν στιχολογοῦμεν, οἱ τῆς μονῆς τῶν Κασούλων—нѣтъ [7]) κεφ. β'.

Κεφ. ς'.[1]) περὶ στιχολογίας, τὸ Πρὸς Κύριον. Ἀρχόμεθα στιχολογεῖν τὰς ἑσπέρας τὰ Πρὸς Κύριον ἀπὸ τῶν ἁγίων πάντων καθεκάστην ἑβδομάδα δεύτερον ἢ τρίτον, καὶ δι' ὅλου τοῦ χρόνου τοῦτο[2]), εἰ μὴ περικόψῃ δεσποτικὴ ἑορτὴ μετὰ τῶν ἑορτασίμων[3]) αὐτῆς τῶν η'. καὶ μνήμας ἁγίων, οὓς ἑορτάζομεν[4]). Ὁμοίως καὶ τὴν ἑβδομάδα τῆς τυρίνης καὶ τὸ δωδεκαήμερον οὐ στιχολογοῦμεν τὰς ἑσπέρας τὰ πρὸς Κύριον.

Κεφ. ζ'.[5]) ἐν ᾧ περὶ τῶν δεσποτικῶν ἑορτῶν καὶ τῆς ὑπεραγίας Θεοτόκου[6]). Ἐν ταῖς παραμοναῖς τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῆς ὑπεραγίας Θεοτόκου, εἰς τὸν ἑσπερινὸν οὐ στιχολογοῦμεν, κἂν ἐν κυριακῇ λάχῃ ἡ δεσποτικὴ ἑορτή, ἀλλ' οὐδὲ τῇ ἐπαύριον[7]) τὸ μεθεόρτιον στιχολογοῦμεν. Ἡ δεσποτικὴ[8]) ἑορτὴ καὶ τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸν ὄρθρον ἰδίαν μόνον δὲ τὸν κανόνα ψάλλομεν. Φυλάττομεν δὲ καὶ τὰς η'. ἡμέρας μέχρι οὗ ἀποδώσωμεν τὴν ἑορτήν, μὴ στιχολογοῦντες τὰ Πρὸς Κύριον. Ἑκάστη δὲ ἑορτὴ τῶν δεσποτικῶν καὶ τῆς Θεοτόκου ἰδίαν ἔχει στιχολογίαν, ἣν καὶ παρακάτω ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς εὑρίσεις ἑκάστης, ποῖα ἀντίφωνα καὶ ποίους ψαλμοὺς ὀφείλεις στιχολογεῖν[9])

Κεφ. η'.[10]) περὶ τῶν μετανοιῶν. Ἰστέον, ὅτι[11]) μετανοίας ἀπὸ τοῦ Πάσχα οὐ βάλλομεν[12]) μέχρι τῶν ἁγίων πάντων, ἀπὸ δὲ τῆς ἀρχῆς τῆς τεσσαρακοστῆς τῶν ἁγίων ἀποστόλων ἀρχόμεθα βάλλειν μετανοίας ὅλον τὸν χρόνον, χωρὶς τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῆς Θεοτόκου σὺν ταῖς η'. ἡμέραις, καὶ τῶν ἁγίων, ὧν καὶ τὰς μνήμας ἑορτάζομεν, καὶ τὰ ιβ'. ἥμερα· πλὴν οὖν συνάπτεται ἡ πρώτη ὥρα, μετὰ τοῦ ὄρθρου πάντοτε[13]), εἰ μὴ περικόψῃ μεγάλη δοξολογία, τοῦτο ποιοῦμεν, ποιοῦντες ἐν τῷ

---

[1]) Κεφ. γ'. ἐν ᾧ [2]) прибавлено: ποιοῦμεν [3]) ἡμερῶν [4]) иное изложение: τὴν τοιαύτην τελοῦνται ἀκολουθίαν, ἤγουν ὅταν ἔχωμεν Ἀλληλούια μέχρι τῆς παρασκευῆς τῆς ἀπόκρεω· τὴν γὰρ ἑβδομάδα τῆς τυρίνης οὐ στιχολογοῦμεν τὰς ἑσπέρας οὔτε τὸ δώδεκα ἡμέρας χάριν ἀνέσεως, διὰ τὸν μέλλοντα κόπον γινέσθαι τῇ ἁγίᾳ μ'. [5]) κεφ δ'. [6]) прибавлено: ἐν οὓς (αἷς) οὐ στιχολογοῦμεν [7]) нѣтъ [8]) слова: ἡ δεσποτικὴ ἑορτὴ καὶ τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸν ὄρθρον ἰδίαν — опущены [9]) прибавлено: κατὰ τὴν τῶν μηνῶν καὶ τὴν ἡμέραν τῆς ἑορτῆς αὐτῆς διερευνῶμεν. [10]) κεφ. ε'. ἐν᾽ᾧ [11]) Ἰστέον, ὅτι — опущены [12]) прибавлено: ἐν τῇ ἐκκλησίᾳ. [13]) Вставка: καὶ ὅταν ψάλλωμεν Ἀλληλούια, οὐ μόνον ἐν ταῖς τεσσαρακοσταῖς, ἀλλὰ καὶ ὅλον ἐνιαυτόν.

τέλει στάσιν μίαν μετανοίας ιβ'. ὁμοίως [1]) καὶ εἰς τὸ λυχνικὸν μετανοίας ιβ'. καὶ εἰς τὸ ἀπόδειπνον οὕτως ποιοῦμεν.

Κεφ. θ'.[2]) περὶ τῆς τεσσαρακοστῆς τῶν ἁγίων ἀποστόλων. Ἐν τῇ τεσσαρακοστῇ τῶν ἁγίων ἀποστόλων, τὰς δύο ὥρας, τὴν γ'. καὶ τὴν ς'. μετὰ στιχολογίας ψάλλομεν, τὴν δὲ πρώτην καὶ θ'. οὐχί·[3]) ταύτας γὰρ τῇ μεγάλῃ μ'. καὶ μόνον ποιοῦμεν μετὰ καθίσματος, τὴν δὲ θ'. ψάλλομεν μετὰ τὸ ἄριστον, ἐπεὶ καὶ δὶς ἐσθίομεν, μόνον δὲ τῇ τεσσαρακοστῇ τοῦ ἁγίου Φιλίππου μονοσιτοῦμεν.

Κεφ. ι'.[4]) Δεῖ εἰδέναι, ὅτι ὅλον τὸν χρόνον εἰς τὰς λοιπὰς ἡμέρας, ὅτε οὐκ ἔστιν ἑορτή, ἀρχομένης τετάρτης ὥρας σημαίνει τὴν λειτουργίαν, καὶ ἀπολύοντες κρούει τὸ ξύλον ὁ κελαρίτης, καὶ εἰσερχόμενοι εἰς τὴν τράπεζαν, προηγουμένου τοῦ ἱερέως, τοῦ κατὰ τὴν ἡμέραν λειτουργήσαντος, λέγομεν τὸν συνήθη ψαλμόν, τὸ Ὑψώσω σε, ὁ Θεός μου. Ἐσθίομεν δὲ μίαν διακονίαν.

Κεφ. ια'.[5]) περὶ τῶν νηστίμων ἡμερῶν καὶ ἑορτῶν. Τὰς δὲ νηστίμους ἡμέρας, ἤγουν τετράδα καὶ παρασκευὴν ξηροφαγοῦμεν

---

[1]) опущены слова: ὁμοίως καὶ εἰς τὸ λυχνικὸν μετανοίας ιβ'. [2]) κεφ. ς'. ἐν ᾧ [3]) ἄνευ τὴν (τῆς α'.) καὶ τὴν (τῆς) θ'. [4]) Въ ркп. Лаврентіанской подобная глава обнимаетъ цѣлыхъ двѣ главы Туринской рукописи и по изложенію весьма разнится отъ послѣднихъ: κεφ. ζ'. περὶ τοῦ σημάντρου τῆς λειτουργίας καὶ τῆς εἰσόδου τῆς τραπέζης. Χρὴ γινώσκειν, ὅτι ἡ μὲν θεία λειτουργία ἀρχομένης τετάρτης ὥρας σημαίνει, καὶ μετὰ τὴν συμπλήρωσιν τῆς λειτουργίας, κρούει τὸ ξύλον, καὶ συνάγονται οἱ ἀδελφοί, καταλιμπάνοντες τὰ ἴδια ἐργόχειρα, καὶ εἰσέρχονται εἰς τὴν τράπεζαν, προηγουμένου τοῦ ἱερέως, τοῦ κατὰ τὴν ἡμέραν λειτουργήσαντος, καὶ τὸν συνήθη ψαλμὸν ψάλλονται, ἑπομένου καὶ συμψάλοντος τοῦ λαοῦ. Ὅταν δὲ ὥρας ποιοῦμεν, λέγω δὴ τὴν τεσσαρακοστὴν τῶν ἁγίων ἀποστόλων, ψάλλομεν τὴν γ'. ὥραν μετὰ στιχολογίας, καὶ οὕτως τελεῖται ἡ θεία λειτουργία· καὶ μετὰ τὴν λειτουργίαν σημαίνει τὴν ς'. καὶ ψάλλομεν μετὰ στιχολογίας, καὶ μετὰ τὴν πλήρωσιν ποιοῦμεν τὰς μετανοίας. Ψάλλομεν δὲ καὶ τοὺς μακαρισμοὺς καὶ τὰ λοιπά, καὶ οὕτως εἰσερχόμεθα εἰς τὴν τράπεζαν, τὴν δὲ θ'. ὡς εἴρηται, μετὰ τὸ ἄριστον, ψάλλομεν ἄνευ στιχολογίας. Τῇ μὲν μ'. τοῦ ἁγίου Φιλίππου, ἡνίκα ἐννάτας ποιοῦμεν, εἴ τε μὴν ἔχονται ἑορτή, ἡ μὲν θεία λειτουργία ἀφ' ἕκτης ὥρας τελεῖται, εἶτα σημαίνει τὴν θ'. καὶ ποιοῦμεν αὐτὴν ἄνευ στιχολογίας. Ἀντὶ δὲ ταύτης τῆς στιχολογίας στιχολογοῦμεν τὰ πρὸς Κύριον εἰς τὸν ἑσπερινόν, ἐὰν μὴ ἐστὶν ἑορτή. [5]) Въ Лаврентіанскомъ кодексѣ подобной главы нѣтъ.

δίχα ἀρρωστίας, κατὰ τὴν τῶν θείων πατέρων παράδοσιν. Ἐὰν δὲ λάχῃ ἐν αὐταῖς ἑορτὴ ἑνὸς τῶν ιβ'. ἀποστόλων, ἢ τῶν ἀσωμάτων, ἢ τὸ γενέθλιον τοῦ Προδρόμου, ἢ ἡ ἀποτομὴ αὐτοῦ, ἢ τῶν ἑορτῶν τῆς ὑπεραγίας Θεοτόκου, ἢ τῶν δεσποτικῶν ἑορτῶν, καὶ τὰ αὐτῶν ὀκταήμερα, ἢ ἀσθένεια σωματική τινι συμβῇ, καταλύομεν τὴν νηστείαν, ἁγνὰς δὲ αὐτὰς τηροῦμεν. Τῶν δὲ λοιπῶν ἁγίων, εἰ καὶ τὸ Θεὸς Κύριος ψάλλομεν, ἀλλ' ὅμως τὴν νηστείαν τῶν τεταδοπαρασκευῶν αὐτῶν ἀκριβῶς φυλάττομεν, κατὰ τὴν τῶν ἁγίων ἀποστόλων διάταξιν.

Κεφ. ιβ'.[1] Περὶ τοῦ πόσους στίχους ἱστῶμεν τῷ σαββάτῳ ἑσπέρας. Δεῖ γινώσκειν, ὅτι καθ' ἕκαστον σάββατον ἑσπέρας[2] εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η'. ἤγουν ἀπὸ τοῦ Ἐκ βαθέων ἐκέκραξα, καὶ ψάλλομεν στίχους η'. καὶ λέγομεν στιχηρὰ ἀναστάσιμα γ'. τὰ ἀρχαῖα, καὶ δύο ἰδιόμελα ἐκ τῶν Ἀνατολικῶν, καὶ γ'. τοῦ Μηναίου. Καὶ εἰς τὴν εἴσοδον θεοτοκίον[3] κατὰ τὸν ἦχον τοῦ Μηναίου ἐκ τῶν ἀρχαίων. Μετὰ δὲ τὸ προκείμενον, ἡ ἐκτενὴς καὶ αἱ αἰτήσεις, καὶ μετὰ τὴν ἐκφώνησιν τοῦ ἱερέως, συνάγονται οἱ δύο χοροὶ εἰς ἕν, καὶ ψάλλεται πρῶτον τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου, εἶτα ἐκ τοῦ ἀλφαβήτου τῆς ἀκροστιχίδος Ἰωάννου, καὶ εἰς τὸ Δόξα καὶ νῦν, θεοτοκίον ἐκ τοῦ ἀλφαβήτου.

Κεφ. ιγ'.[4] Περὶ τοῦ ἑσπερινοῦ τοῦ σαββάτου, ἐν ᾧ καὶ μνήμη τοῦ ἁγίου τελεῖται. Εἰ δὲ καὶ μνήμην ἁγίου ἐπιτελοῦμεν τῇ κυριακῇ, ψάλλομεν πάντα τὰ στιχηρά, ὡς προγέγραπται, εἰς τὸ Κύριε ἐκέκραξα. Μετὰ δὲ τὸ προκείμενον, καὶ τὴν ἐκτενῆν καὶ τὰς

---

[1]) κεφ. η'. ἐν ᾧ περὶ τῶν στιχηρῶν, πόσα ἱστῶμεν τῷ σαββάτῳ ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα, καὶ τῇ κυριακῇ πρωῒ εἰς τοὺς αἴνους. [2]) ἑσπέρᾳ ἱστῶμεν στίχους η'. καὶ λέγομεν στιχηρὰ ἀναστάσιμα γ'. καὶ δύο ἰδιόμελα κ. τ. λ. [3]) Иное изложеніе: Τὸ α'. τοῦ ἤχου τῆς Ὀκτωήχου, καὶ εἰς τὸν στίχον λέγεται τὸ ἀναστάσιμον, εἶτα ἐκ τοῦ ἀλφαβήτου τῆς ἀκροστιχίδος Ἰωάννου, καὶ εἰς τὸ Δόξα τοῦ ἁγίου, οὗ ἂν τύχῃ, εἰ δὲ οὐκ ἔχει, Δόξα καὶ νῦν, καὶ λέγει θεοτοκίον ἀπολυτίκιον· Θεοτόκε παρθένε. Ψάλλεται δὲ γ'. ἀργὰ καὶ ἀπόλυσις. Τῇ δὲ κυριακῇ εἰς τὸν ὄρθρον ψάλλομεν τοὺς β'. ἀναστασίμους, καὶ τοῦ Μηναίου· εἰς δὲ τοὺς αἴνους Πᾶσα πνοή, καὶ ψάλλομεν στιχηρὰ δ'. τῆς ἀρχῆς, καὶ δ'. Ἀνατολικά, Δόξα καὶ νῦν, καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, εἶτα, Ὑπερευλογημένη εἰς ἦχον β'. καὶ ἐκφωνεῖ ὁ ψάλτης· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ γίνεται καθεξῆς ἐκτενὴς συναπτὴ τῶν αἰτήσεων, καὶ ἀπόλυσις. [4]) κεφ. ια'. ἐν ᾧ περὶ τῶν ἑσπερινῶν τοῦ σαββάτου, ὅταν τύχῃ ἁγίου μνήμη, ἐν ᾧ ἑορτάζομεν.

αἰτήσεις τὸ στιχηρὸν τοῦ στίχου, καὶ εἰς τὰ στιχηρὰ τοῦ ἀλφαβήτου λέγεις στίχους· Ὁ Κύριος ἐβασίλευσεν, στίχος· Καὶ γὰρ ἐστερέωσε, καὶ εἰς τὸ ἰδιόμελον τοῦ ἁγίου λέγεις στίχους, εἰ μὲν ἐστὶν ἀποστόλου, Εἰς πᾶσαν τὴν γῆν· εἰ δὲ μάρτυρος, Εὐφρανθήσεται δίκαιος· εἰ δὲ ἱεράρχου, Οἱ ἱερεῖς σου· εἰ δὲ ὁσίου, Μακάριος ἀνήρ· εἰ δὲ ἁγία μάρτυς, Ὑπομένων ὑπέμεινα. Δόξα καὶ νῦν, θεοτοκίον ἐκ τοῦ ἀλφαβήτου, κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου, καὶ ἐν τῷ τέλει τὴν καταβασίαν τοῦ ἁγίου. Καὶ οὐ λέγομεν τὸ Θεοτόκε παρθένε, οὔτε τὸ ἀναστάσιμον τροπάριον, ἀλλὰ τὸ τροπάριον τοῦ ἁγίου, καὶ ἀπόλυσις.

Κεφ. ιδ'. Περὶ τοῦ ὄρθρου τῆς κυριακῆς, ἐν ᾗ οὐκ ἐπιτελοῦμεν μνήμην τῶν ἁγίων. Изложенъ обычный чинъ утрени, начиная съ шестопсалмія.

Κεφ. ιε'. Περὶ τοῦ ὄρθρου τῆς κυριακῆς, ἐν ᾗ καὶ μνήμην ἁγίου ἐπιτελοῦμεν. Отличій отъ нынѣшняго чина нѣтъ.

Κεφ. ις'.[1] Περὶ τῶν στίχων τῶν καθημερινῶν ἑσπερινῶν τοῦ ὅλου χρόνου, πόσους ἱστῶμεν. Δεῖ γινώσκειν, ὅτι καθ' ἕκαστον[2] ἑσπερινὸν τοῦ ὅλου χρόνου, δίχα τοῦ ὀψὲ σαββάτων, καὶ[3] τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῶν ἁγίων, ὧν τὰς μνήμας ἑορτάζομεν, ἓξ στίχους ἱστῶμεν[4]· τῶν σαββάτων ἑσπέρας, καὶ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς η'. στίχους κρατῶμεν, καὶ ταῖς ἑορταῖς, ἐν αἷς οὐχ ἑορτάζομεν, κρατῶμεν στίχους δ'. ὅταν δὲ κρατῶμεν στίχους ἓξ, δυσσεύομεν τῶν ἁγίων τὰ στι-

---

[1]) κεφ θ'. ἐν ᾧ περὶ τῶν στιχηρῶν τοῦ ὅλου χρόνου, πόσα ἱστῶμεν [2]) καθ' ἑκάστην εἰς τὸν ἑσπερινὸν [3]) нѣтъ—καὶ τῶν ἁγίων, ὧν τὰς μνήμας ἑορτάζομεν. [4]) Иное изложеніе: τὰ στιχηρὰ τῶν ἁγίων δυσσεύονται. Καὶ μετὰ τὸ προκείμενον ἐκ τῆς Ὀκτωήχου β'. κατανυκτικά, εἶτα σταυρώσιμον, εἴτε ἀποστολικόν, κατὰ τὴν ἡμέραν, καὶ ἐν μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον. Εἰς δὲ τὸν ὄρθρον, μετὰ τὸ εἰπεῖν τοὺς αἴνους καὶ τὸ Δόξα ἐν ὑψίστοις, ψάλλομεν τῆς Ὀκτωήχου β'. ὥσπερ ἔφημεν κατὰ τὴν ἡμέραν, καὶ μαρτυρικὸν καὶ θεοτοκίον. Ὅτε δὲ τύχῃ ἁγίου (μνήμη,) εἰς τὸ Κύριε ἐκέκραξα προσόμοιον τοῦ ἁγίου· μετὰ δὲ τὸ προκείμενον, τῆς Ὀκτωήχου, εἰς τὸ Δόξα, ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου, τὸ τραπάριον τοῦ ἁγίου, καὶ ἀπόλυσις. Εἰς δὲ τὸν ὄρθρον ἑνὸς ἑκάστου ἁγίου εὑρίσεις ἓν πρὸς ἕν, οὗ καὶ τὰ τροπάρια τοῦ κανόνος τὰ δισσεύομεν, ποιοῦντες αὐτὸν ἓξ μετὰ τοῦ καὶ νῦν· ὁμοίως καὶ εἰς τοὺς αἴνους, ἐὰν ἔχῃ στιχηρὰ προσόμοια, ψάλλομεν πρὸς ἅπαξ, καὶ εἰς τὸ στίχον τῆς Ὀκτωήχου, εἰς τὸ Δόξα, ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον, κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου.

χηρά, καὶ ποιοῦμεν αὐτὰ ἕξ, καὶ μετὰ τὸ προκείμενον, ἐκ τῆς Ὀκτωήχου δύο κατανυκτικὰ ἢ σταυρώσιμα, εἴτε ἀποστολικά, κατὰ τὴν ἡμέραν, καὶ ἓν μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον. Περὶ τοῦ ὄρθρου. Εἰς δὲ τὸν ὄρθρον, ὅτε τὸ Θεὸς Κύριος οὐ ψάλλεται, ἀλλὰ τὸ Ἀλληλούια καὶ τὰ τριαδικά, εὐλογεῖ ὁ ἱερεύς, λέγων οὕτως· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ἀρχόμεθα τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, εἶτα ὁ ἐκκλησιάρχης, ἢ ἄλλος τις τῶν μοναχῶν, ἄρχεται λέγων τὸ Δόξα ἐν ὑψίστοις γ΄. Κύριε τὰ χείλη β΄. καὶ εἰς τὸ τέλος τοῦ ἑξαψάλμου ἡ κατὰ συνήθειαν συναπτή, καὶ εὐθέως Ἀλληλούια κατὰ ἦχον, εἶτα τὰ τριαδικά. Ψάλλονται δὲ σχολέως καὶ κανοναρχοῦνται διὰ τοὺς χορικούς, εἶτα ἀρχόμεθα τὰς στιχολογίας, καὶ κατὰ ἀντίφωνα μετανοίας γ΄. Πληρουμένης δὲ τῆς στιχολογίας, ψάλλομεν καθίσματα, καὶ ἀναγινώσκομεν, εἶτα ὁ ν΄. καὶ οἱ κανόνες. Εἰς τὴν θ΄. ᾠδὴν μετάνοιαν μίαν, εἶτα τὸ φωταγωγικὸν τῆς ἡμέρας· εἰς τοὺς αἴνους στιχηρὰ οὐ ψάλλονται, ἀλλα μετὰ τὸ Δόξα καὶ νῦν, λέγομεν· Σοὶ δόξα πρέπει. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ποιοῦμεν μετανοίας γ΄. Καὶ μετὰ τὸ Δόξα ἐν ὑψίστοις ὁ ἱερεὺς τὴν ἐκτενῆν καὶ τὰς αἰτήσεις, καὶ ψάλλομεν τὰ στιχηρά, συνηγμένοι οἱ δύο χοροὶ εἰς ἕν, εἶτα λέγομεν Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, εὐθὺς τὸ Τρισάγιον, καὶ πληρουμένου τοῦ Τρισαγίου, τὸ Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον γ΄. καὶ γίνονται μετάνοιαι γ΄. μεγάλαι καὶ ἠρέμα. Ἄρχεται ὁ προεστώς· Δεῦτε προσκυνήσωμεν γ΄. μετανοίας γ΄. Εἰς τὸ πλήρωμα τῶν ψαλμῶν μετανοίας γ΄. ὁ ψάλτης πλ. β΄. Τὸ Πρωῒ εἰσάκουσον τῆς φωνῆς, Δόξα καὶ νῦν. Τί σε καλέσωμεν, μετάνοιαν μίαν, εἶτα Τὰ διαβήματά μου γ΄. ἀργόν, οὐ ποιοῦμεν δὲ μετάνοιαν, ἀλλ' εἰς τὸ Ἅγιος ὁ Θεὸς μετανοίας γ΄. εἶτα τὸ Κύριε ἐλέησον μ΄. καὶ γίνονται μετάνοιαι γ΄. μεγάλαι καὶ ἄλλαι ιβ΄. ἀργαί, καὶ ὅλαι ἴσαι, εἶτα πρὸς μικρὸν σιγή, καὶ εὔχονται κατὰ μόνας, εἶτα ὁ ἱερεύς· Δόξα σοι ὁ Θεός, ἡ ἐλπίς, καὶ ἀπολύει. Ὅτε δὲ τύχῃ ἁγίου, ὃν ἑορτάζομεν, εἰς τὸ Κύριε ἐκέκραξα προσομοια τοῦ ἁγίου ς΄. καὶ θεοτοκίον. Μετὰ δὲ τὸ προκείμενον, τὰ στιχηρὰ τῆς Ὀκτωήχου, εἰς τὸ Δόξα, ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου, τὸ τροπάριον τοῦ ἁγίου καὶ ἀπόλυσις. Ὅτε δ' οὖν τύχῃ ἁγίου, ὃν οὐχ ἑορτάζομεν, εἰς τὸ Κύριε ἐκέκραξα προσόμοια τοῦ ἁγίου δ΄. καὶ θεοτοκίον. Μετὰ δὲ τὸ προκείμενον, τὰ στιχηρὰ τῆς Ὀκτωήχου· εἰς τὸ Δόξα, ἰδιόμελον τοῦ ἁγίου, ἐὰν ἔχῃ, καὶ νῦν, θεοτοκίον κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου, τὸ τροπάριον τοῦ ἁγίου, καὶ ἀπόλυσις. Εἰς δὲ τὸν ὄρθρον ἑνὸς ἑκάστου ἁγίου εὑρίσεις ἔμπροσθεν, οὗ τὰ τροπάρια τοῦ κανόνος τὰ δύο δυσσεύομεν, ποιοῦντες αὐτὰ ς΄. καὶ μετὰ τοῦ Δόξα καὶ νῦν,

Ὁμοίως καὶ εἰς τοὺς αἴνους, ἐὰν ἔχῃ στιχηρὰ προσόμοια, ψάλλομεν αὐτὰ πρὸς ἅπαξ, καὶ γίνονται δ'. Καὶ εἰς τὸν στίχον, τῆς Ὀκτωήχου. Εἰς τὸ Δόξα, ἰδιόμελον τοῦ ἁγίου, καὶ νῦν, θεοτοκίον, κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου, εἶτα Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, καὶ μετὰ τὸ Τρισάγιον, τὸ τροπάριον τοῦ ἁγίου, καὶ ἡ ἐκτενὴς καὶ αἰτήσεις, καὶ ἀπολύει.

Κεφ. ιζ'.[1]) Περὶ τῶν δεσποτικῶν ἑορτῶν. Δεῖ εἰδέναι, ὅτι εἰς τὴν δεσποτικὴν ἑορτὴν τῇ παραμονῇ ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς γ'. τὰ β'. ἐκ τρίτου, καὶ ἓν δεύτερον. Εἰς τὸ Δόξα καὶ νῦν. ἰδιόμελον ὡσαύτως τῆς ἑορτῆς, ἅπερ εὑρίσεις εἰς τὴν ἡμέραν τῆς ἑορτῆς τρανότερον καὶ λεπτότερον[2]).

Κεφ. ιη'.[3]) Περὶ τῶν ὀκταημέρων τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῆς ὑπεραγίας Θεοτόκου. Τὰ δὲ ὀκταήμερα τῶν δεσποτικῶν ἑορτῶν οὕτως τελοῦνται. Εἰς μὲν τὸν ἑσπερινόν, εἰς τὸ Κύριε ἐκέκραξα, κρατῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ γ'. τῆς ἑορτῆς, καὶ γ'. τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, Δόξα καὶ νῦν, θεοτοκίον. Μετὰ δὲ τὸ προκείμενον, στιχηρὰ πάλιν τῆς ἑορτῆς, εἰς τὸ Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς, εἶτα τὸ τροπάριον τῆς ἑορτῆς, καὶ ἡ ἐκτενὴς καὶ αἱ αἰτήσεις, καὶ ἀπολύει. Εἰς δὲ τὸν ὄρθρον, καὶ τῷ καλοκαίρῳ καὶ τῷ χειμῶνι, εἰς τὸ ὀκταήμερον δύο κανόνας μόνον ψάλλομεν, ποιοῦντες τὸν κανόνα τῆς ἑορτῆς τροπάρια ς'. μετὰ τοῦ εἱρμοῦ, καὶ τοῦ ἁγίου δ'. μετὰ τοῦ Δόξα καὶ νῦν, δέκα στιχηρὰ ἱστῶμεν μετὰ τοῦ εἱρμοῦ καὶ τοῦ Δόξα καὶ νῦν. Τῆς δὲ Ὀκτωήχου τίποτε οὐ ψάλλομεν, μόνον τὰς κυριακὰς ψάλλομεν τὰ ἀναστάσιμα, καὶ προηγοῦνται ἐν μὲν τῷ ἑσπερινῷ, εἰς τὸ Κύριε ἐκέκραξα, πάντα τὰ ἀναστάσιμα, καὶ τοῦ ἁγίου, καὶ εἰς τὸ Δόξα καὶ νῦν, ἰδιόμελον τῆς ἑορτῆς. Ὁμοίως καὶ εἰς τὸν στίχον, τὸ ἀναστάσιμον πρῶτον, εἶτα τῆς ἑορτῆς, καὶ εἰς τὸ Δόξα καὶ νῦν, τῆς ἑορτῆς, καὶ τὸ τροπάριον τῆς ἑορτῆς, καὶ ἀπολύει. Ὁμοίως εἰς τὸν ὄρθρον τῆς κυριακῆς πρῶτον τὸν ἀναστάσιμον κανόνα, ἔπειτα τῆς ἑορτῆς, καὶ τότε τοῦ ἁγίου· ὁ γὰρ σταυροαναστάσιμος κανὼν ἀφίεται. Εἰς δὲ τοὺς αἴνους, τὰ ἀναστάσιμα στιχηρὰ πάντα, εἰς τὸ Δόξα καὶ νῦν, τὸ στιχηρόν, τὸ συνημμένον μετὰ τοῦ Δόξα ἐν ὑψίστοις, τῆς ἑορτῆς.

[1]) κεφ. ι'. безъ заглавія [2]) прибавленъ конецъ: περὶ πάντων ἐγγράφως ἐκτιθέμεθα, ἀλλὰ καὶ αὐτὴν πᾶσαν τὴν ἀκολουθίαν τοῦ ὄρθρου καὶ τῆς λειτουργίας. [3]) Въ Лаврентіанской рукописи № 15 главы съ 18 по 20 отсутствуютъ.

Κεφ. ιθ'. Περὶ τῆς ἀποδόσεως τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῆς ὑπεραγίας Θεοτόκου. Ὅτε δὲ ἀποδίδονται αἱ δεσποτικαὶ ἑορταί, καὶ τῆς ὑπεραγίας Θεοτόκου, οὐδόλως ψάλλομεν ἁγίου στιχηρὰ ἢ κανόνας, ἀλλ' ἢ μόνον εἰς τὸ ἀπόδειπνον. Εἰς τὴν ἀπόδοσιν δὲ τοῦ Σταυροῦ καὶ τῆς Ὑπαπαντῆς μόνον ψάλλομεν εἰς τὸν ὄρθρον τοῦ ἁγίου τὸν κανόνα, διὰ τὸ ἔχειν τὴν ἑορτὴν ἕνα κανόνα, καθὼς παρελάβομεν ἐξ ἀρχῆς.

Κεφ. κ'. Περὶ τῶν δεσποτικῶν ἑορτῶν, καὶ τῆς ὑπεραγίας Θεοτόκου, ἐὰν τύχωσιν ἐν κυριακῇ. Обычное правило о предпочтеніи господскихъ праздниковъ воскресной службѣ и о соединеніи богородичной службы съ воскресною.

Κεφ'. κα'.[1]) ἐν ᾧ περὶ τῶν στίχων, πόσους ἱστῶμεν εἰς τὸν ὄρθρον καθ' ἑκάστην. Χρὴ γινώσκειν, ὅτι εἰς ἕκαστον ὄρθρον ἱστῶμεν δέκα[2]) στίχους μετὰ τοῦ εἱρμοῦ καὶ τοῦ Δόξα καὶ νῦν, ἀρχόμενοι ἀπὸ τῆς νέας κυριακῆς, καθ' ἑκάστην ἡμέραν, μέχρι τῶν Ἁγίων Πάντων[3]), ποιοῦντες τὸν κανόνα τῆς κυριακῆς, εἴτε τῆς Μεσοπεντηκοστῆς, εἴτε τῆς Ἀναλήψεως, εἴτε τῆς Πεντηκοστῆς, καὶ πάντα τὰ η'. ἥμερα τροπάρια ς'. μετὰ τῶν εἱρμῶν, τοῦ δὲ Μηναίου δ'.[4]) μετὰ τοῦ Δόξα καὶ νῦν. Ὁμοίως καὶ ἀπὸ τῶν Ἁγίων Πάντων εἰς τὸν ὄρθρον δέκα στίχους ἱστῶμεν μετὰ τοῦ Δόξα καὶ νῦν. Καὶ ταῦτα μὲν ἐν ταῖς καθημεριναῖς

[1]) κεφ. ιγ'. [2]) η'. ἱστῶμεν στίχους, ἀρχόμενοι ἀπὸ τῆς νέας κυριακῆς. [3]) Прибавлено: χωρὶς τοῦ Δόξα καὶ νῦν [4]) Иное изложеніе: ἀπὸ δὲ τῶν ἁγίων πάντων προστίθεμεν στίχους β'. καὶ ψάλλομεν τὴν Ὀκτώηχον, ἀφίεμεν δὲ τὰ μαρτυρικά, τόν τε κατανυκτικὸν κανόνα, καὶ τὸν σταυρώσιμον ἕως οὗ ἀποδίδωμεν τὸ (τὰς) η'. ἡμέρας τῆς Ὑψώσεως· ἀπὸ γὰρ τότε προσθέτομεν ἑτέρους στίχους β'. καὶ ψάλλομεν τὰ μαρτυρικά, καὶ γίνονται ὁμοῦ τροπάρια ιδ'. μετὰ τοῦ Δόξα καὶ νῦν. Καὶ ταῦτα μὲν (ἐν) ταῖς καθημεριναῖς μέχρι τῆς τυρινῆς, ἐν δὲ ταῖς δεσποτικαῖς ἑορταῖς, καθὼς ἐν μιᾷ ἑκάστῃ τελοῦμεν εὑρίσεις ἐκτεθημένα ἔμπροσθεν. Ἐγειρόμεθα δὲ τὰς καθημερινάς, πληρουμένης ὥρας ἑβδόμης, ἀπὸ τῆς β'. μετὰ τῆς νέας κυριακῆς μέχρι τῆς τυρινῆς, τὰς δὲ κυριακὰς πάσας, πληρουμένης ὥρας ἕκτης, ἐν δὲ ταῖς δεσποτικαῖς ἑορταῖς πάσαις ἑορτάζομεν ἄχρις ὥρας ς'. τῆς δὲ διακαινησίμου τὴν ἑβδομάδα, καὶ τὸ δώδεκα ἡμέρας, ἕως συμπληρώσεως τοῦ ὀκταημέρου τῶν Φώτων, καὶ τῆς τυρινῆς τὴν ἑβδομάδα, καὶ τὰ μεθέορτα τῶν δεσποτικῶν ἑορτῶν, ἐννάτης ὥρας ἐγειρόμεθα. Ἀλλὰ τὰ σάββατα τοῦ ὅλου χρόνου ὀκτὼ στίχους ἱστῶμεν, διότι ψάλλομεν τῇ παρασκευῇ ἑσπέρας εἰς τὸ ἀπόδειπνον τῶν προφητῶν τὸν κανόνα, καὶ εἰς τὸν ὄρθρον κανόνας β'. τοῦ Μηναίου καὶ τῶν νεκρωσίμων· καὶ ὁ μὲν τοῦ Μηναίου ψάλλεται πρῶτον, ποιοῦντες αὐ-

μέχρι τῆς τυρινῆς, ἐν δὲ ταῖς δεσποτικαῖς ἑορταῖς, καθὼς ἐν μιᾷ ἑκάστη τελοῦμεν, εὑρίσεις ἐκτεθημένα ἔμπροσθεν.

Κεφ. κβ'.[1]) Περὶ τῶν κανόνων τῆς ὅλης ἑβδομάδος. Εἰσὶ δὲ καὶ οἱ κανόνες, οὓς ψάλλομεν δι' ὅλης τῆς ἑβδομάδος, ἀπὸ τῶν Ἁγίων Πάντων μέχρι τῆς τυρινῆς, ἄνευ τῶν κυριακῶν καὶ τῶν δεσποτικῶν ἑορτῶν καὶ ὀκταημέρων, οὗτοι·

Τῇ β'. κανόνες δύο· τῆς Ὀκτωήχου κανὼν κατανυκτικός, καὶ τοῦ Μηναίου.

Τῇ γ'. κατανυκτικός, καὶ τοῦ Μηναίου.

Τῇ δ'. σταυρώσιμος, καὶ τοῦ Μηναίου.

Τῇ ε'. τῶν ἀποστόλων, καὶ τοῦ Μηναίου.

Τῇ παρασκευῇ, σταυρώσιμος, καὶ τοῦ Μηναίου.

Τῷ σαββάτῳ, τοῦ Μηναίου πρῶτον, καὶ τὸν ἀναπαύσιμον.

Περὶ τῶν κανόνων, οὓς ψάλλομεν εἰς τὰ ἀπόδειπνα.

Τῇ κυριακῇ, εἰς τὸ ἀπόδειπνον ψάλλομεν κανόνα τῶν Ἀσωμάτων, τὴν ἀκολουθίαν τοῦ Θεοφάνους τῆς Ὀκτωήχου κατὰ τὸν ἦχον.

Τῇ β'. τοῦ Προδρόμου κατα τὸν ἦχον, τοῦ Θεοφάνους.

Τῇ γ'. τῆς ὑπεραγίας Θεοτόκου παρακλητικὸς κατὰ τὸν ἦχον.

τὸν τροπάρια ἓξ μετὰ τῶν εἱρμῶν, ὁ δὲ νεκρώσιμος κανὼν τροπάρια δ'. μετὰ το(ῦ) Δόξα καὶ νῦν. Ἐπεὶ καὶ εἰς τὸν ἑσπερινὸν τῆς παρασκευῆς οὐχὶ προηγοῦνται τὰ γ'. μαρτυρικὰ στιχηρὰ καὶ οὕτως τὰ γ'. τοῦ Μηναίου. Μετὰ δὲ τὸ προκείμενον τοῦ στίχου, τὸ μαρτυρικὸν καὶ τὰ β'. ἀναπαύσιμα, καὶ τὸ θεοτοκίον. Καὶ εἰς τὸν ὄρθρον, εἰς τοὺς αἴνους, τὰ μαρτυρικά, καὶ εἰς τὸν στίχον τὰ προσόμοια, νεκρόστιχος τοῦ κῦρ Θεοφάνους. Τὰς δὲ ὀκτὼ ἡμέρας τῶν ἑορτῶν καὶ τὸ καλοκαίριον καὶ τὸν χειμῶνα δύο καὶ μόνον κανόνας ψάλλομεν, ποιοῦντες τὸν κανόνα τῆς ἑορτῆς τροπάρια ς'. καὶ τοῦ ἁγίου δ'. μετὰ τὸ (τοῦ) Δόξα καὶ νῦν. Ὅταν γὰρ στίχους ἱστῶμεν, οὐδὲν γὰρ ἐνδέχεται τὸ ψαλθῆναί τι τῆς Ὀκτωήχους, μετὰ τὴν ἀνάγνωσιν δὲ ἐγειρόμενοι κατὰ μίαν ἑκάστην, λέγομεν τὸ Κύριε ἐλέησον ς'. καὶ οὕτως ἀρχόμεθα τῆς στιχολογίας η'. τοῦ κανόνος, διὰ τὸ φθᾶσαι τὸν ἀναγνώστην καὶ τὸν μέλλοντα ἐνάρξασθαι, ἵνα προσκυνήσωσιν ἀμφότεροι ὁμοῦ. Ὅταν δὲ θέλῃ ψαλθῆναι ὁ ν'. ἀπὸ τὴν ἀνάγνωσιν οὐ λέγεται τὸ Κύριε ἐλέησον, ἀλλ' εὐθὺς Ἐλέησόν με, ὁ Θεός. Ἀναγινώσκομεν δὲ ἀναγνώσεις β'. ὅταν ψάλλωμεν κάθισμα ἕν, ὅταν δὲ στιχολογοῦμεν καθίσματα β'. ποιοῦμεν ἀναγνώσεις γ'. ἐκ δὲ τῶν ἀναβαθμῶν ψάλλομεν ἀντίφωνον ἓν ἀπὸ τῆς κυριακῆς τοῦ ἀντίπασχα μέχρι τοῦ Σταυροῦ, ἀπὸ δὲ τοῦ Σταυροῦ τὰ γ'. ἀντίφωνα μέχρι τῆς Βαϊφόρου.

[1]) Въ Лавр. ркп. № 15 нѣтъ статей, составляющихъ главы съ 22 по 24.

Τῇ δ'. παρακλητικὸς τοῦ ἁγίου Νικολάου κατὰ τὸν ἦχον.

Τῇ ε'. παρακλητικὸς τῆς ὑπεραγίας Θεοτόκου κατὰ τὸν ἦχον.

Τῇ παρασκευῇ, παρακλητικὸς τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος.

Τῷ σαββάτῳ, εἰς τὸ ἀπόδειπνον τῆς Θεοτόκου κατὰ τὸν ἦχον.

Κεφ. κγ'. Περὶ τοῦ ἑσπερινοῦ τῆς παρασκευῆς. Χρὴ εἰδέναι, ὅτι τῇ παρασκευῇ, εἰς τὸν ἑσπερινόν, ἐὰν οὐκ ἔστι δεσποτικὴ ἑορτή, ἢ τῆς ὑπεραγίας Θεοτόκου, ἢ ὀκταήμερος, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν πρῶτον τὰ μαρτυρικὰ γ'. τῆς Ὀκτωήχου, καὶ τρία τοῦ Μηναίου. Εἰς δὲ τὸ Καταξίωσον, Κύριε, τὸ μαρτυρικὸν τοῦ στίχου πρῶτον, καὶ δύο ἀναπαύσιμα, καὶ θεοτοκίον. Εἰ δὲ ἐστι μνήμη ἁγίου, ὃν ἑορτάζομεν, ἢ ἀποστόλου, αὐτοῦ τὰ στιχηρὰ πρῶτον ψάλλομεν εἰς τὸ Κύριε ἐκέκραξα, καὶ οὕτως τὰ μαρτυρικά. Ὁμοίως καὶ εἰς τὸν ὄρθρον τοῦ σαββάτου, εἰς τοὺς αἴνους τὰ δ'. μαρτυρικά· καὶ εἰς τὸν στίχον, τὰ προσόμοια νεκρώσιμα τοῦ κυροῦ Θεοφάνους. Ἐγειρόμεθα εἰς τὸν ὄρθρον τὰς καθημερινὰς πλήρωμα ὥρας ζ'. ἀπὸ τῆς β'. τῆς μετὰ τὴν Νέαν Κυριακὴν μέχρι τῆς τυρινῆς, τὰς δὲ κυριακὰς πάσας πλήρωμα ὥρας ς'. ἐν δὲ ταῖς δεσποτικαῖς ἑορταῖς πάσαις ἀρχὴ ε'. ὥρας, τὰς δὲ μνήμας τῶν ἁγίων, ὧν ἑορτάζομεν, ἀρχὴ ὥρας ς'. τῆς δὲ διακαινησίμου τὴν ἑβδομάδα, καὶ τὸ δωδεκαήμερον ἕως συμπληρώσεως τοῦ ὀκταημέρου τῶν Φώτων, καὶ τῆς τυρινῆς τὴν ἑβδομάδα, καὶ μεθέορτα τῶν δεσποτικῶν ἑορτῶν, ἐννάτην ὥραν ἐγειρόμεθα.

Κεφ. κδ'. Περὶ τῆς ἀναγνώσεως. Χρὴ γινώσκειν, ὅτι, ὅταν στιχολογοῦμεν κάθισμα ἕν, ἀναγνώσεις δύο ποιοῦμεν· μίαν μετὰ τὴν στιχολογίαν, καὶ ἄλλην εἰς τὴν δ'. ᾠδήν. Ὅταν δὲ στιχολογοῦμεν καθίσματα β'. ποιοῦμεν τρεῖς ἀναγνώσεις, ἐγειρόμενοι δὲ ἀπὸ τῆς ἀναγνώσεως, λέγομεν τὸ Κύριε ἐλέησον ς'. καὶ οὕτως ἀρχόμεθα τῆς στιχολογίας ἢ τοῦ κανόνος, διὰ τὸ ψάλλειν τὸν ἀναγνώστην καὶ τὸν μέλλοντα ἐνάρξασθαι, ἵνα προσκυνήσωσιν ἀμφότεροι ὁμοῦ. Ὅταν δὲ θέλῃ ψαλθῆναι ὁ ν'. ἐγειρόμενοι ἀπὸ τῆς ἀναγνώσεως, οὐ λέγομεν τὸ Κύριε ἐλέησον, ἀλλ' εὐθὺς Ἀμήν. Ἐλέησόν με, ὁ Θεός.

Κεφ. κε'.[1] Περὶ τῶν ἀποδείπνων. Τὰ ἀπόδειπνα ποιοῦμεν οὕτως· ἀρχόμενοι ἀπὸ τοῦ σαββάτου τῆς διακαινησίμου ψάλλομεν τὸν κατὰ συνήθειαν ἐξάψαλμον, καὶ τὸ Μεθ' ἡμῶν ὁ Θεός, καὶ τὸν ν'. καὶ τὸ[2]

[1]) Κεφ. ιδ'. ἐν ᾧ [2]) καὶ τὸν κανόνα τοῦ τριῳδίου μέχρι τῶν ἁγίων πάντων κ. τ. λ.

τριῳδιον τῆς ἡμέρας τῆς ν'. Εἰς τὸ ἀπόδειπνον, τὰ τριῴδια ψάλλονται καθημερινὰ μέχρι τῶν Ἁγίων Πάντων, μὴ ποιοῦντες μετανοίας· ἀπὸ δὲ τῆς ἀρχῆς τῆς μ'. τῶν Ἁγίων Πάντων ψάλλομεν [1]) τὸν Ἄμωμον καὶ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ τὸ Κύριε Παντοκράτορ, καὶ ἐν τῷ τέλει τῆς στάσεως α'. μετανοίας ιβ'. ἐὰν οὐκ ἔχωμεν ἑορτὴν διὰ μέσου ταύτης τῆς τεσσαρακοστῆς. Τὸν αὐτὸν τύπον ποιοῦμεν καὶ τῇ μ'. τοῦ ἁγίου Φιλίππου [2]). Μετὰ δὲ τὸ διελθεῖν τῶν ἁγίων ἀποστόλων τὴν τεσσαρακοστήν, ἕως τοῦ Δόξα ἐν ὑψίστοις, τὸ Κύριε Παντοκράτορ. Εἰς δὲ τὸ ιβ'. ἡμέρας ἀναλαμβανόμεθα πάλιν τὴν ἀκολουθίαν, ἣν ποιοῦμεν μετὰ τὸ Πάσχα [3]) ἕως τῶν Ἁγίων Πάντων, λέγοντες μετὰ τὸν κανόνα, τὸ Δόξα ἐν ὑψίστοις, καὶ τὸ Τρισάγιον. Τὸ δὲ αὐτὸ ποιοῦμεν καὶ πάσας τὰς κυριακάς, ἤγουν τὰ σάββατα ὀψέ, καὶ τὴν ἑβδομάδα τῆς τυρινῆς [4]), καὶ πάντα τὰ ὀκταήμερα. Εἶτα πάλιν μετὰ τὸ δωδεκαήμερον καὶ τὰ ὀκταήμερα τῶν Φώτων ἀναβάλλομεν, τὴν ἀκολουθίαν τὴν ἀπὸ τῶν ἁγίων ἀποστόλων ἕως τοῦ ἁγίου ἀποστόλου Φιλίππου, ἕως τῆς παρασκευῆς τῆς ἀπόκρεω.

Κεφ. κς'. [5]) Περὶ τῶν ἀντιφώνων τῆς λειτουργίας. Ἰστέον, ὅτι ἀπὸ τῆς νέας κυριακῆς ἕως τῶν Ἁγίων Πάντων ἀντίφωνα ψάλλει ἡ ἐκκλησία κατ' οὐ τυπικά, ὁμοίως ιβ'. ἡμέρας, καὶ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς, καὶ τῶν ἁγίων ταῖς μνήμαις ἑορταζομέναις τὰ ἀντίφωνα ψάλλομεν, τὰς δὲ λοιπὰς πάσας κυριακὰς τοῦ χρόνου τυπικὰ ψάλλομεν.

Κεφ. κζ'. [6]) Δεῖ εἰδέναι [7]), ὡς ὅλον τὸν ἐνιαυτὸν οὐ συγχωρεῖται ὁ ἱερεὺς δοῦναι Δόξαν πρὶν ἂν μετὰ τὴν συμπλήρωσιν τοῦ δευτέρου συμαντηρίου ἐλθὼν ὁ εἰς αὐτὸ τεταγμένος, ἀνακαλύψας τὴν κεφαλὴν αὐτοῦ, ποιῇ μετάνοιαν μεγάλην ἐν τῷ μέσῳ τῆς ἐκκλησίας, καὶ οὕτως [8])

[1]) прибавлено: τὰ προλεχθέντα καὶ προστίθεμεν [2]) Далѣе читаемъ: εἰς δὲ τὸ ιβ'. ἡμέρας ἀναλαμβανόμεθα πάλιν τὴν ἀκολουθίαν κ. τ. λ. [3]) Иное изложеніе: καταλιμπάνομεν τὸν Ἄμωμον καὶ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ τὸ Κύριε Παντοκράτορ. Τὸ δὲ αὐτὸ ποιοῦμεν κ. τ. λ. [4]) Конецъ изложенъ такъ: Μετὰ δὲ τὸ διελθεῖν τῶν ἁγίων ἀποστόλων ἕως τοῦ ἁγίου ἀποστόλου Φιλίππου ψάλλομεν ἀπὸ τὸν κανόνα τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, τὸ Κύριε Παντοκράτορ, ἐκτὸς τῶν ὀκτὼ ἡμερῶν, ὡς προείρηται, εἶτα πάλιν μετὰ τὸ ιβ'. ἡμέρας καὶ τῶν ὀκτὼ ἡμερῶν τῶν Φώτων τὴν αὐτὴν ἀκολουθίαν ἀρχόμεθα ἕως τῆς παρασκευῆς τῆς ἀπόκρεω, ποιοῦντες ἐν τῷ τέλει μετανοίας ιβ'. Ἀλληλουία. [5]) Κεφ. ιε'. ἐν ᾧ [6]) κεφ. ις'. [7]) Δεῖ εἰδέναι καὶ τοῦτο, ὅτι πάντα τὸν τοῦ ἐνιαυτοῦ κύκλον οὐ συγχωρεῖται ὁ ἱερεὺς κ. τ. λ. [8]) Иное изложеніе: οὐ μήν, ἀλλὰ καὶ ὄρθρον, ἐὰν μὴ

εὐλογεῖ ὁ ἱερεὺς εἴς τε τὸν ὄρθρον καὶ εἰς τὸ λυχνικὸν καὶ εἰς τὴν λειτουργίαν ἐν ταῖς ἑορταῖς καὶ καθημεριναῖς ἡμέραις.

Κεφ. κη'. [1]) Περὶ τῆς στιχολογίας τοῦ Ἀμώμου. Δεῖ γινώσκειν, ὅτι τῷ σαββάτῳ ἡ στιχολογία[2]) γίνεται τοῦ Ἀμώμου. Εἰ μὲν ἐστὶ μνήμη ἁγίου ἑορτασίμου, οὗ τὸ τροπάριον εἰς τὸ Θεὸς Κύριος, ψάλλομεν τὸν Ἄμωμον μετὰ τοῦ Ἀλληλούια, καὶ λέγομεν καθίσματα μαρτυρικὰ β'. καὶ εἰς τὴν δ'. τοῦ Μηναίου, καὶ εἰς τὴν ζ'. μαρτυρικὸν καὶ

πληρώσῃ τὸ δεύτερον σημαντήριον ὁ ἱερεὺς τὸν στίχον οὐ ποιεῖ καὶ εἰς τὴν λειτουργίαν τῶν κυριακῶν, καὶ τῶν ἑορτῶν, καὶ τῶν ἁγίων ἑορταζομένων, ἐὰν μὴ πληρώσῃ τὸ δεύτερον σημαντήριον, οὐκ ἄρχεται ἡ λειτουργία.

[1]) κεφ. ιζ'. Заглавія нѣтъ. [2]) Иное изложеніе: εἰς τὴν στιχολογίαν τοῦ Ἀμώμου, εἰ μὲν ἐστὶ μετὰ τὸ Αλληλούια κάθισμα, μαρτυρικὸν λέγομεν, ἢ δεσποτικὴ ἑορτή, ἐὰν τελοῦμεν η'. ἡμέρας· εἰ δὲ στιχολογοῦνται τὰ β'. καθίσματα. εἰς τὸ Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ, κάθισμα μαρτυρικόν· κατὰ σάββατον γὰρ τοῦτο στιχολογοῦμεν· β'. καθίσματα καὶ ὁ Ἄμωμος, ὅτε ἂν στιχολογῆται μετὰ Ἀλληλούια, κάθισμα μαρτυρικὸν καὶ τὸ νεκρώσιμον. Ἀπὸ γ'. ὠδῆς] κάθισμα τοῦ ἁγίου, ἀπὸ ς'. τὸ κοντάκιον. Ὅταν δὲ οὐκ ἔχωμεν Θεὸς Κύριος, στιχολογεῖται τὸ Εὐλογητὸς εἶ, Κύριε, καὶ μετὰ τὸ εἰπεῖν· Τὴν πόλιν ταραχοθλίμονα, εὐχὴ καὶ συναπτὴ τῶν κεκοιμημένων, ὁμοίως καὶ εἰς τὸ πλήρωμα τούτου. Μετὰ τὸ ψαλθῆναι ψαλμόν, τροπάρια γ'. Τῶν ἁγίων ὁ χορός, Τὴν ὁδόν, Ἀνάπαυσον, ὁ Θεός, Δόξα, τριαδικὸν καὶ νῦν, θεοτοκίον. Τὰ δὲ σάββατα ὀψὲ εἰς τὸν ἑσπερινόν, καὶ τῶν ἑορτῶν ἑσπερινά, Δεῦτε προσκυνήσωμεν λέγει μετὰ τὸ εὐλογεῖν τὸν ἱερέα, ὁμοίως καὶ εἰς τὸ ἀπόδειπνον τῶν τε ἑορτῶν καὶ σαββάτου, τὰ δὲ λοιπὰ ἑσπερινὰ τοῦ χρόνου τὸ Πάτερ ἡμῶν ἀρχόμεθα, τὰς δὲ ὥρας μετὰ Τρισαγίου, ὁμοίως καὶ τὴν μεγάλην μ'. τὸ ἑσπερινὸν καὶ τὰς ὥρας καὶ τὰ ἀπόδειπνα μετὰ Τρισαγίου ἀρχόμεθα. Ἄρχεται δὲ τὴν στιχολογίαν τῆς α'. ὥρας ὁ ἐναρξάμενος χορὸς καὶ τὸν ὄρθρον, ὁμοίως καὶ τὴν ς'. καὶ τοὺς μακαρισμούς, τὴν δὲ γ'. καὶ θ'. ὁ ἕτερος χορός, καὶ ἡ μὲν α'. ὥρα ψάλλεται πλ. β'. προσόμοιον (?) Μακάριος ἀνήρ, ἡ δὲ γ'. ὁμοίως πλ. β'. Ἐξομολογήσομαι, ἡ δὲ ς'. ἦχος β'. Μακάριος ἀνήρ, ἡ δὲ θ'. προσόμοιον(?) Μακάριος. Οὕτως δὲ ψάλλομεν πᾶσαν τὴν τεσσαρακοστὴν τὰς ὥρας, μετὰ δὲ τὸ ψαλθῆναι τὴν θ'. ἤγουν Τί σε καλέσωμεν. Τὰ διαβήματα, δυσσεύομεν, ὁμοίως καὶ εἰς τὴν γ'. ὥραν, καὶ εἰς τὴν ς'. καὶ εἰς τὴν θ'. Μὴ δὴ παραδῴης μέχρι τὴν διαθήκην σου, καὶ πάλιν ἕως τέλους. Τὰ δὲ τριῴδια τῆς τυρινῆς εἰς τὸ ἀπόδειπνον ψάλλομεν ἕκαστον εἰς τὴν ἡμέραν αὐτοῦ, τὰ δὲ σάββατα εἰς τὸ ἀπόδειπνον ψάλλεται ὁ κανὼν τοῦ ἁγίου, οὗ ἂν τύχῃ καὶ μόνον, τὰ δὲ λοιπὰ σάββατα τῆς Θεοτόκου ὁ ἐγκωμιαστικὸς κανών. Δεῖ γινώσκειν, ὅτι τῇ παρασκευῇ τῆς α'. ἑβδομάδος τρώγομεν ἁπαλὸν πιστὸν καὶ ἀπιδοκόπεν ἐψημένον, ὁμοίως τῇ παρασκευῇ μόνον τῶν Χριστοῦ γέννων καὶ τῶν Φώτων.

ἀναπαύσιμον. Εἰ δὲ ἐστὶ ὀκταήμερον, ψάλλομεν κάθισμα τῆς ἑορτῆς, καὶ εἰς τὴν δ'. ᾠδήν, τοῦ Μηναίου, καὶ εἰς τὴν ς'. τὸ κοντάκιον τῆς ἑορτῆς· εἰ δὲ οὐκ ἔστι μνήμη ἁγίου, ὃν ἑορτάζομεν, ἢ ὀκταήμερον, ψάλλεται ὁ Ἅμωμος, πλ. α'. μετὰ τοῦ Εὐλογητὸς εἶ, Κύριε, δίδαξον, καὶ εἰς τὸ Σός εἰμι ἐγώ, ψάλλομεν τροπάριον, ἦχος πλ. α'. Τὴν πολυτάραχον θάλασσαν. Τοῦτο λέγεται ἅπαξ, καὶ εὐθὺς ὁ ἱερεὺς συναπτὴν καὶ εὐχὴν τῶν κεκοιμημένων, καὶ εἰς τὸ πλήρωμα τοῦ Ἀμώμου ψάλλονται τὰ τροπάρια ταῦτα· Τῶν ἁγίων ὁ χορός, Οἱ τὴν ὁδόν, Ἀνάπαυσον, ὁ Θεός, τοὺς δούλους, Δόξα, τριαδικόν, καὶ νῦν, θεοτοκίον· τρία γὰρ μόνον τροπάρια ψάλλονται, οἱ δὲ δύο στίχοι οὗτοι, Ζήσεται ἡ ψυχή μου, καὶ τὸ Ἐπλανήθην, ὡς πρόβατον, ψάλλονται ἐκ τρίτου μετὰ μέλους, πλ. α'. καὶ οὕτως ψάλλονται τροπάρια, ἤγουν Τῶν ἁγίων ὁ χορός.

Περὶ [1]) τοῦ ὄρθρου τοῦ σαββάτου.

Χρὴ δὲ γινώσκειν, ὅτι τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, ὅτε οὐκ ἔστι μνήμη ἁγίου ἑορτασίμου, ἢ ὀκταημέρου, οὐ ψάλλεται τὸ Θεὸς Κύριος, ἀλλ' ἀντὶ τούτου, Ἀλληλούια, ἦχος β'. τροπάριον, ἦχος β'. Ἀπόστολοι, μάρτυρες β'. Δόξα, Μνήσθητι, Κύριε, καὶ νῦν, Μῆτερ ἁγία τοῦ ἀφράστου φωτός.

Л. 15. Мнѣ Сентемврію, ѣхει ἡмέрас λ'. к. т. л. Службы Синаксарныя на цѣлый годъ, но съ пропусками многихъ чиселъ въ каждомъ мѣсяцѣ.

Μηνὶ τῷ αὐτῷ η'. Γενέθλιον τῆς ὑπεραγίας Θεοτόκου. Μετὰ [2]) τὸν προοιμιακὸν καὶ τὴν εὐχήν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στιχηρὰ [3]) η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα [4]), ἦχος δ'. Ἡ παγκόσμιος χαρά [5]). Δι' ἀγγέλου προρρήσεως [6]). Ταῦτα τὰ δύο ἐκ τρίτου λέγονται. Τὴν πάνσεπτόν σου. Τοῦτο δυσσεύεται, εἰς τὸ Δόξα καὶ νῦν, Στεῖρα ἄγονος, εἶτα γίνεται [7]) εἴσοδος· εἰς τὸ Φῶς ἱλαρόν, προκείμενον τῆς ἡμέρας, ἀναγνώσεις [8]) γ'. τὸ α'. Ἐξῆλθεν Ἰακώβ, τὸ β'. [9]) Ἔσται ἀπὸ τῆς ἡμέρας, τὸ γ'. [10]) Ἡ σοφία ᾠκοδόμησεν. Ὁ ἱερεὺς [11]) τὴν ἐκτενῆν καὶ τὰς αἰτήσεις. Εἰς τὸν στίχον, στιχηρὰ

[1]) Въ ркп. Лаврент. библ. № 15 подобной статьи нѣтъ. [2]) Ркп. Ватик. библ. 1292 г. № 1877 въ той же службѣ содержитъ слѣдующія отличія: Ἑσπέρας, μετὰ τὸν προοιμιακὸν στιχολογεῖται τὸ Μακάριος ἀνήρ, μόνον τὴν α'. δόξαν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα [3]) στίχους [4]) нѣтъ—ἰδιόμελα [5]) прибавлено: τὸ β'. [6]) τὸ γ'. Τὴν πάνσεπτόν σου· τὰ μὲν β'. ἐκ γ'. τὸ δὲ ἕτερον δυσσεύεται, Δόξα καὶ νῦν, ἦχος δ'. [7]) нѣтъ—εἶτα γίνεται [8]) ἀναγνώσματα γ'. τὸ α'. Γενέσεως. [9]) Ἰεζεκιήλ [10]) Παροιμιῶν [11]) нѣтъ—ὁ ἱερεὺς τὴν ἐκτενῆν καὶ τὰς αἰτήσεις.

ἦχος πλ. β'. Αὕτη ἡ ἡμέρα Κυρίου, στίχος· Ἄκουσον, θύγατερ. Σήμερον ὁ τοῖς νοεροῖς, στίχος· Τὸ πρόσωπόν σου λιτανεύσουσιν. Εἰ καὶ θείῳ βουλήματι, εἰς τὸ Δόξα καὶ νῦν, Σήμερον στειρωτικαὶ πύλαι, ἀπολυτίκιον ἦχος α'. Ἡ γέννησίς σου, Θεοτόκε [1]). Ὁ ἱερεύς· Ἐν εἰρήνῃ προέλθωμεν. Σοφία. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεός, καὶ ἀπολύει. Εἰς τὸ ἀπόδειπνον, κανὼν τῆς ὑπεραγίας Θεοτόκου. Εἰς δὲ τὸν ὄρθρον, στιχολογοῦμεν ἀντίφωνα γ'. τὸ α'. ψαλμὸς μδ'. Ἐξηρεύξατο ἡ καρδία μου, τὸ β'. ψαλμὸς με'. Ὁ Θεὸς ἡμῶν καταφυγή, τὸ γ'. Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ [2]). Μακαρίζομέν σε, Θεοτόκε παρθένε, ἡ κάθισμα τῆς ἑορτῆς [3]). Ἀνάγνωσις [4]), Ἀνδρέου Κρητός, εὐθὺς οἱ ἀναβαθμοί, ἀντίφωνον ἓν, ἦχος δ'. προκείμενον, ἦχος δ'. Μνησθήσομαι τοῦ ὀνόματος, στίχος· Ἄκουσον, θύγατερ, Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ, ὁ ν'. οἱ κανόνες [5]), ὁ εἰς ἦχον β'. Δεῦτε λαοί, ποιοῦμεν αὐτὸν τροπάρια η'. μετὰ τοῦ εἱρμοῦ, ὁ ἕτερος πλ. δ'. τροπάρια ς'. μετὰ τοῦ Δόξα καὶ νῦν. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα, καὶ ἀνάγνωσις [6]). Ψάλλομεν δὲ κατὰ ᾠδὴν τοῦ εἱρμοῦ τῆς Ὑψώσεως. Ἀπὸ ς'. τὸ κοντάκιον, ἀπὸ θ'. τὸ ἐξαποστειλάριον. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, στιχηρά, ἦχος α'. [7]) Ὦ τοῦ παραδόξου, καὶ τὰ ὅμοια τούτου, ποιοῦμεν αὐτὰ ς'. εἰς τὸ Δόξα καὶ νῦν, ἦχος β'. προσόμοιον· Σήμερον ὁ Χριστὸς ἐβαπτίσθη. Σήμερον ἡ παγκόσμιος χαρά, καὶ γίνεται μεγάλη δοξολογία, τὸ τροπάριον, ἡ ἐκτενὴς αἱ αἰτήσεις, καὶ ἀπολύει. Ἄγομεν ἀργίαν πάντες. (л. 17—18).

10. Τοῦ ἁγίου μάρτυρος Βαριψαβᾶ.

13. Отданіе праздника и обновленіе храма.

Μηνὶ τῷ αὐτῷ ιδ'. ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ. Ἑσπέρᾳ, εἰς τὸ λυχνικόν, μετὰ τὸ προοίμιον, εὐχὴ συναπτή, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν, ἦχος πλ. δ'. Ὅνπερ πάλαι Μωϋσῆς,

---

[1]) Прибавлено: Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου. Εἰς τὸν ὄρθρον στιχολογοῦμεν κ. τ. λ. О повечеріи и концѣ вечерни ничего не говорится [2]) прибавлено: ὑπακοή. [3]) Нѣтъ — κάθισμα τῆς ἑορτῆς [4]) прибавлено: λόγος Ἀνδρέου Κρήτης, οὗ ἡ ἀρχή· Ἀρχὴ μὲν ἑορτῶν, [5]) κανόνες β'. τῆς ἑορτῆς, εἰς ἦχον β'. καὶ ὁ ἕτερος πλ. δ'. Τῷ συντρίψαντι πολέμους, καὶ εἰς τὸ τέλος λέγομεν τὴν καταβασίαν τοῦ Σταυροῦ· Σταυρὸν χαράξας. Ἀπὸ γ'. ᾠδῆς κ. τ. λ. [6]) καὶ τὸ ἐπίλοιπον τῆς ἀναγνώσεως. Ἀπὸ ς'. τὸ κοντάκιον κ. τ. λ. [7]) ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Εὐφραθᾶ. Δόξα καὶ νῦν, Ὁ συνάναρχος, καὶ γίνεται δοξολογία μεγάλη, καὶ ἡ ἐκτενὴς καὶ συναπτὴ τῶν αἰτήσεων, καὶ ἀπολύει.

τὸ β΄. Ἡ φωνὴ τοῦ προφήτου σου. Ταῦτα τρισσεύονται. τὸ γ΄. Σήμερον ὁ Δεσπότης τῆς κτίσεως. Τοῦτο δισσεύεται. Εἰς τὸ Δόξα καὶ νῦν, Παρισταμένη τῇ σταυρώσει ἡ σὲ ἀγνῶς. Ἡ εἴσοδος, τὸ Φῶς ἱλαρόν, προκείμενον, ἦχος πλ. β΄. Ὁ Κύριος ἐβασίλευσεν, στίχος· Ἐνεδύσατο Κύριος, ἀναγνώσματα γ΄. τὸ α΄. τῆς Ἐξόδου· Ἐξῆρε Μωϋσῆς, τὸ β΄. Παροιμιῶν· Υἱέ, μὴ ὀλιγώρει παιδείας. Ζήτει τῇ ε΄. τῆς ε΄. ἑβδομάδος ἀπὸ τῆς μέσης, τὸ γ΄. Ἡσαΐου· Τάδε λέγει Κύριος· ἀνοιχθήσονται. Ζήτει τῷ μεγάλῳ σαββάτῳ ἑσπέρᾳ, ἀνάγνωσις β΄. ἀπὸ τῆς μέσης. Ὁ διάκονος. Εἴπωμεν πάντες, ἡ ἐκτενής, καὶ ἐκφώνησις. Καταξίωσον, Κύριε, ὁ διάκονος· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν. Στιχηρά, πλ. β΄. Ὁ τετραπέρατος κόσμος, στίχος· Μνήσθητι τῆς συναγωγῆς σου, Σήμερον τὸ φυτὸν τῆς ζωῆς, στίχος· Ὁ Θεὸς ἡμῶν βασιλεὺς ἡμῶν. Τῶν προφητῶν αἱ φωναί, Δόξα καὶ νῦν, ἦχος γ΄. Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀπολυτίκιον, ἦχος α΄. Σῶσον, Κύριε, τὸν λαόν, καὶ ἀπολύει.

Εἰς τὸ ἀπόδειπνον, ψάλλομεν τὸν κανόνα τοῦ Χρυσοστόμου, ὅτι ταύτῃ τῇ ἡμέρᾳ ἐστὶ ἡ κοίμησις αὐτοῦ, ἦχος πλ. δ΄. Σταυρὸν χαράξας Μωσῆς. Γίνεται δὲ καὶ λειτουργία ἐν ἑτέρᾳ ἐκκλησίᾳ εἰς ἱεράρχας αὐτῇ τῇ ἡμέρᾳ τῆς Ὑψώσεως.

Χρὴ γινώσκειν, ὅτι ἐὰν φθάσῃ ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ ἐν ἡμέρᾳ κυριακῇ, οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν, ἀλλὰ πᾶσαν τὴν ἀκολουθίαν τῆς Ὑψώσεως.

Εἰς τὸν ὄρθρον, τροπάριον, ἦχος α΄. Σῶσον, Κύριε. Τοῦτο λέγεται ἐκ β΄. εἰς τὸ Δόξα καὶ νῦν, ἦχος α΄. Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος. Στιχολογοῦμεν ἀντίφωνα γ΄. τὸ α΄. ψαλμὸς ογ΄. Ἵνα τί ὁ Θεὸς ἀπώσω, τὸ β΄. ψαλμὸς ιη΄. Ὁ Κύριος ἐβασίλευσεν, τὸ γ΄. Αἰνεῖτε τὸν Κύριον, ὑπακοή, ἦχος πλ. β΄. Σήμερον τὸ προφητικόν, Δόξα καὶ νῦν. Ὁ τὴν εὐλογημένην καλέσας. Ἀνάγνωσις, Ἀνδρέου Κρητός· Σταυροῦ πανήγυριν ἄγομεν, εἶτα οἱ ἀναβαθμοὶ πλ. δ΄. ἀντίφωνον ἓν, προκείμενον. ἦχος δ΄. Ὁ Θεὸς ἡμῶν βασιλεύς, στίχος· Μνήσθητι τῆς συναγωγῆς σου, τὸ Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ὁ φιλῶν τὴν ψυχήν, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ ν΄. ὁ κανών, ἦχος πλ. δ΄. τοὺς μὲν εἱρμοὺς ἐκ δευτέρου, τὰ δὲ τροπάρια ἀνὰ τεσσάρων, καὶ ποιοῦμεν αὐτὰ τροπάρια ιδ΄. μετὰ τοῦ Δοξα καὶ νῦν. Ἀπὸ γ΄. ᾠδῆς κάθισμα πλ. δ΄. Ἐν παραδείσῳ μὲν τὸ πρίν, καὶ ἀνάγνωσις. Ἀπὸ ς΄. τὸ κοντάκιον, ἀπὸ θ΄. τὸ ἐξαποστειλάριον. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἦχος δ΄. προσόμοιον· Ἔδωκας σημείωσιν. Σήμερον ἐξέλαμψε, καὶ τὰ ὅμοια τούτου, ποιοῦμεν αὐτὰ ς΄. Δόξα καὶ νῦν, ἦχος β΄. Σήμερον ὁ Σταυ-

ρὸς ὁ τίμιος ὑψοῦται μετὰ δόξης. Τέλος, ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς. Οἱ ψάλται ψάλλουσι τὸ Δόξα ἐν ὑψίστοις Θεῷ μ ε γ ά λ α. Τρισάγιον, τὸ τροπάριον, ἦχος α΄. Σῶσον, Κύριε, τὸν λαόν. Καὶ τούτου λεγομένου, ἐξέρχεται ὁ ἱερεύς, ὁ μέλλων ὑψῶσαι τὸ τίμιον ξύλον ἐκ τῶν ἁγίων θυρῶν, προπορευομένων ἔμπροσθεν δύο μοναχῶν μετὰ μανουαλίων, καὶ ὁ διάκονος, ἐπὶ χεῖρας ἔχων τὸν θυμιατὸν, ὄπισθεν τῶν λαμπάδων, ὁμοίως καὶ τὴν θήκην τοῦ τιμίου Σταυροῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἔχων, λέγοντος τοῦ λαοῦ, μετὰ τὸ Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ ἕτερον τροπάριον, ἦχος α΄. Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν. Εἶτα στάντες ἄνω ἐπὶ τοῦ ἄμβωνος τῆς ἐκκλησίας, καὶ διαβὰς ὁ ἱερεὺς ἢ ὁ καθηγούμενος, ὁ ὑψῶσαι θέλων τὸ τίμιον ξύλον, ποιεῖ γονυκλισίας γ΄. καὶ σταθεὶς κατὰ ἀνατολάς, ἄρας τὸ τίμιον ξύλον ἐκ τοῦ διακόνου, σφραγίζειν ἀπάρχεται, τοῦ ἐκκλησιάρχου, ἢ ἑτερός τις τῶν μοναχῶν, εὐθὺς τὸ Κύριε ἐλέησον ἐκ γ΄. μετὰ κραυγῆς ἰσχυρᾶς κράζοντος καὶ μετὰ μέλους. Καὶ ὁ μὲν ἱερεύς, σφραγίσας τρίτον μετὰ τοῦ τιμίου Σταυροῦ κατ' ἀνατολάς, ὑψοῖ αὐτόν, κατέχων ἀμφοτέραις ταῖς χερσὶν μετὰ καὶ κλάδων βασιλικῶν, ἱσταμένων τῶν μοναχῶν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων μετὰ καὶ τῶν μονουαλίων. Ὁ δὲ ἐκκλησιάρχης μετὰ παντὸς τοῦ λαοῦ λέγει τὸ Κύριε ἐλέησον ρ΄. ὥστε τὰς προλεχθείσας τρεῖς φωνάς, τὸ Κύριε ἐλέησον, ἐκτὸς εἶναι τοῦ ἀριθμοῦ τῶν ρ΄. Εἶτα, μετὰ τὸ ἐκβοῆσαι τὸν λαὸν τὸ Κύριε ἐλέησον ϟζ΄. πάλιν τῆς προτέρας φωνῆς ἅπτεται ὁ ἐκκλησιάρχης, ὡς αἰσθόμενον τὸν ἱερέα σφραγίζειν, καὶ αὖθις τρίτον, καὶ τελεῖται ἡ ἑκατοντάς. Εὐθὺς οὖν πρὸς τὸ νότιον μέρος στραφεὶς ὁ ἱερεύς, ὑψοῖ πάλιν τὸν τίμιον σταυρόν, συνεπομένων αὐτῷ τῶν μοναχῶν εἰς οἷον ἂν μέρος αὐτὸν ὑποκλίνῃ. Οὕτως ἐν ἀρχῇ τῆς ἑκατοστῆς καὶ ἐν τῷ τέλει, ἐν ᾧ μέρει ἵσταται σφραγίζων ἐκ τρίτου, ἑαυτὸν πάλιν πρὸς ὀυσμὰς ὑποκλίνει, κἀκεῖσε τὰ ὅμοια τῆς προτέρας ὑψώσεως διατελέσας, τοῖς πρὸς τὸ βόρειον μέρος ἑαυτὸν ἐμφανίζει, κἀκεῖθεν πάλιν πρὸς ἀνατολὰς τὴν ὕψωσιν ποιήσας, ἐν τῷ τέλει τρεῖς καὶ μόνας ὑψηλοτέρας φωνὰς ἀφιέντος τοῦ ἐκκλησιάρχου, καὶ τοῦ ἱερέως σφραγίζοντος, τέλος λαμβάνει ἡ ὕψωσις. Εἶτα ἄρχονται οἱ ψάλται ψάλλειν τὸ κοντάκιον, ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, ἐκ γ΄. Ὁ δὲ ἱερεὺς βαλὼν τὸν σταυρὸν εἰς τὴν θήκην, καὶ εἰσελθὼν εἰς τὸ θυσιαστήριον (πλύνει αὐτὸν μεθ' ὕδατος καθαροῦ), εἶτα λαβὼν τὸν θυμιατὸν καὶ θυμιάσας, ἄρας αὐτὸν μετὰ τῆς θήκης ἐκ τῆς ἁγίας τραπέζης, ἐξέρχεται ἔξω τοῦ βήματος, καὶ τιθεὶς παντὶ τῷ λαῷ εἰς προσκύνησιν, ψάλλονται τροπάριον, ἦχος α΄. Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν, φιλάνθρωπε... Εἶτα

προσκυνήσαντες πάντες καὶ μετὰ πόθου ἀσπαζόμενοι, ψάλλομεν τροπάριον, ἦχος πλ. β'. Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα... Εἶτα εἰσάγεται ὑπὸ τοῦ ἱερέως ἐν τῷ θυσιαστηρίῳ, (ψάλλοντες τὸ τροπάριον τοῦ Σταυροῦ τοῦτο), καὶ εὐθὺς γίνεται ἐκτενὴς καὶ συναπτὴ τῶν αἰτήσεων, καὶ ἀπολύει. Ἄγομεν ἀργίαν τὸ καθόλου ὅλην τὴν ἡμέραν. (л. 19—22).

21. Отданіе праздника воздвиженія св. креста. Находимъ здѣсь слѣдующее замѣчаніе: Δεῖ γινώσκειν, ὅτι ὅλον τὸ ὀκταήμερον τῆς Ὑψώσεως τοῦ Σταυροῦ ἀντίφωνον ψάλλει ἡ ἐκκλησία τῆς ἡμετέρας μονῆς, καὶ οὐ τυπικά. (л. 24 об.)

Нѣтъ памятей подъ числами 3, 17, 18. 19, 21, 22, 25 и 27.

Октябрь 1. Нѣтъ памяти св. Романа сладкопѣвца.

25. Τῶν ἁγίων νοταρίων, καὶ τοῦ ἁγίου Νέστορος.

27. Τῇ ἁγίας μάρτυρος Καπετολίνης καὶ Ἱεροτίδος, τῆς οἰκέτιδος, καὶ τοῦ ἁγίου Νέστορος.

Опущены памяти святыхъ подъ числами 4, 5, 8, 10, 13, 14, 15, 16, 17, 19, 22, 29, 30 и 31.

Ноябрь 20. Προεόρτια τῆς Θεοτόκου, καὶ μνήμη τοῦ ἁγίου Πρόκλου.

21. Въ службѣ утрени и литургіи положены антифоны.

22. Отданіе праздника, а памятей святыхъ не указано.

27. Τοῦ ἁγίου Ἰακώβου, τοῦ Πέρσου. Ἡ κοίμησις τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Νικολάου (т. е. τῶν Κασούλων) καὶ καθηγουμένου.

Нѣтъ памятей подъ числами 5, 7, 9, 10, 18. 19, 23, 26 и 29.

Декабрь 6. Служба св. Николаю праздничная съ антифонами на утрени и литургіи.

7. Отданіе праздника въ честь св. Николая. Служба св. Николаю.

8. Προεόρτια τῆς συλλήψεως τῆς ἁγίας Ἄννης, καὶ τοῦ ὁσίου Παταπίου.

20. Ἰστέον, ὅτι ἀπ' ἐντεῦθεν καταλιμπάνομεν καὶ τὸ ἀναπαύσιμον Τρισάγιον, καθὼς ἔθος ἔχομεν εἰς τὴν ἡμετέραν μονὴν ψάλλειν, ὁμοίως καθ' ἑκάστην ἡμέραν ἀπ' ἐντεῦθεν μέχρι τῆς ἑορτῆς εἰς τὸ ἀπόδειπνον ψάλλομεν τὰ τριῴδια, τὰ προεόρτια, καὶ εἰς τὸν ὄρθρον τὸν προεόρτιον κάμομεν τροπάρια ς'. καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου τροπάρια δ'. ὁμοίως καταλιμπάνομεν καὶ τὴν ἀκολουθίαν τῆς Ὀκτωήχου ἀπὸ τῆς σήμερον μέχρι τῆς ιγ'. Ἰανουαρίου μηνὸς ἄνευ τῶν μεταξὺ κυριακῶν· τὰς γὰρ κυριακάς, ἐν αἷς οὐ λάχῃ ἡ γέννησις ἢ ἡ βάπτισις τοῦ Κυρίου, λέγομεν τὴν Ὀκτώηχον, καὶ προηγεῖται, καθὼς εὑρίσεις παρακατίων ἐν

αὐτῇ, καταλιμπάνομεν δὲ καὶ Τῷ Κυρίῳ ᾄσωμεν, ἤγουν τὴν στιχολογίαν τῶν ᾠδῶν, ἀλλὰ μόνον ὅσα τροπάρια βάλλομεν εἰς τὸν κανόνα, τόσους στίχους λέγομεν, εἶτα μεσώριον καὶ τὴν στιχολογίαν τῶν ὡρῶν, καὶ τὰς μετανοίας, καὶ τὰ μεσονύκτια εἰς τὸν ὄρθρον μέχρι τοῦ ἀποδείπνου τῶν Φώτων, ἀλλ' εὐθύς, μετὰ τὴν στιχολογίαν τοῦ ὄρθρου, ψάλλομεν κανόνας β'. τὸν προεόρτιον, τροπάρια ς'. καὶ τοῦ ἁγίου, τροπάρια δ'. κ. τ. λ. (л. 46.)

24—25. Службы предпразднества и на самый праздникъ Рождества Христова. См. у Toscani. Ad typica graecorum pag. 44—51. Повечеріе на канунѣ Рождества Христова изложено такъ: Δεῦτε προσκυνήσωμεν γ'. Ὁ κατοικῶν ἐν βοηθείᾳ, Μεθ' ἡμῶν, καὶ τὰ λοιπά, εἶτα τὸ ἀπολυτίκιον, ἦχος δ'. Ἡ γέννησίς σου, τὸ Κύριε ἐλέησον ιβ'. καὶ ἡ ἀπόλυσις. Далѣе замѣчено: Ἰστέον, ὅτι τὸ αὐτὸ ἀπόδειπνον ψάλλομεν καὶ τῇ παραμονῇ τῶν Φώτων, καὶ τῇ κυριακῇ τῆς τυρινῆς ἑσπέρᾳ, καὶ τῷ μεγάλῳ σαββάτῳ μετὰ τὸν δεῖπνον· ἐν ταύταις γὰρ ταῖς παραμοναῖς ἡ ἐκκλησία ἡμῶν ἄλλο ἀπόδειπνον οὐ ψάλλει, εἰ μὴ τοῦτο, ὅπερ σήμερον ἐν τῇ παραμονῇ τῆς Χριστοῦ γεννήσεως ψάλλομεν (л. 51 об.)

Ἰστέον, ὅτι ἐν ταῖς δυσὶ ταύταις παραμοναῖς, τῆς τε τοῦ Χριστοῦ γεννήσεως καὶ τῶν Φώτων, κατὰ ἀρχαίαν παράδοσιν, μετὰ τὸν δεῖπνον καὶ τὸ ἀπόδειπνον, πολυχρονῆσαι τοὺς ἁγιωτάτους ἡμῶν βασιλεῖς, καὶ τοὺς σὺν αὐτοῖς πιστοὺς ὀρθοδόξους, οὐ μὴν ἀλλὰ καὶ τὸν καθηγούμενον τῆς ἡμετέρας μονῆς, καὶ τοὺς οἰκονόμους μετὰ τῶν ἄλλων διακονητῶν, καὶ πάντων τῶν ἀδελφῶν (л. 51 об.).

26. Εἰ δὲ τύχῃ ταύτῃ τῇ ἡμέρᾳ, ἤγουν τῇ κυριακῇ, τοῦ ἁγίου Στεφάνου [1]), ἢ τῶν ἁγίων νηπίων, καταλιμπάνομεν τὴν ἀκολουθίαν τῶν συγγενῶν τοῦ Κυρίου, καὶ ψάλλομεν τὴν ἀκολουθίαν τοῦ ἁγίου Στεφάνου [2]), ἢ τῶν ἁγίων νηπίων, καὶ εἰς τὸ ἀπόδειπνον ψάλλομεν κανόνα τῆς ὑπεραγίας Θεοτόκου (л. 56).

Не указаны памяти святыхъ подъ числами 1, 2, 3, 10, 12. 15, 16, 18, 19, 21, 22 и 23.

Генварь 1. Служба обычная съ слѣдующимъ замѣчаніемъ: Ταῦτα δὲ οὕτως γίνεται εἰς τὸν ναὸν τοῦ ἁγίου Νικολάου, ἢ τῆς Θεο-

[1]) Ркп. Валличиллианов. библ. XIII в. № 61 прибавлено: ἢ σύναξις τῆς ὑπεραγίας Θεοτόκου [2]) Тоже самое.

τόκου, ἢ ἑτέρου ἁγίους τινός. Εἰς δὲ ναόν, ἐν ᾧ δοξολογεῖται καὶ τιμᾶται ὁ ἅγιος Βασίλειος, поются антифоны на утрени и на литургіи (л. 58).

4. Τοῦ ὁσίου Ζωσίμου.

5. Предпраздненство. Χρὴ εἰδέναι, ὅτι, νηστείας οὔσης, εἰς τὴν εἴσοδον τῆς λειτουργίας τὴν εὐχὴν λέγει ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς· μὴ οὔσης δὲ νηστείας, τὴν εὐχὴν τῆς εἰσόδου τοῦ λυχνικοῦ· Ἑσπέρας καὶ πρωΐ. Γίνεται δὲ εἴσοδος μετὰ κηρῶν τριῶν καὶ θυμιατοῦ. Τὸ εὐαγγέλιον, κἂν ἐστὶ νηστεία. κἂν οὔκ. Μετὰ δὲ τὸ τέλος τῆς λειτουργίας καὶ τῆς ἐκφωνήσεως· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, οὐ λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν, οὔτε ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν, ἀλλ' εὐθέως ὁ ἐκκλησιάρχης, διανέμων τὰ κηρία πᾶσιν, ἄρχονται οἱ ψάλται τροπάριον, ἦχος πλ. δ'. Φωνὴ Κυρίου, στίχος· Καρδίαν καθαρὰν κτῆσον, στίχος· Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου. Ψάλλουσι δὲ τοῦτο γ'. Ἐξέρχεται ὁ καθηγούμενος, καὶ ὁ ἱερεὺς σὺν τοῖς διακόνοις καὶ πᾶσι τοῖς μοναχοῖς, περιβεβλημένοις στολὰς λευκάς, οἱ κληρικοί, καὶ περιφερόμενοι οἱ μὲν τὸν θυμιατόν, οἱ δὲ τὰ τίμια ξύλα, καὶ ἀνέρχονται εἰς τὴν κολυμβήθραν, κἀκεῖσε δὲ φθάσαντες, ἀναγινώσκομεν ἀναγνώσματα γ'. διατεταγμένα ἐν τῇ προφητείᾳ, τοῦ ἱερέως ἐκφωνοῦντος ἐν ἑκάστῃ προφητείᾳ· Εἰρήνη σοι, καὶ τοῦ διακόνου· Σοφία и обычный чинъ освященія воды. Καὶ μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ ἱερεὺς τὸ τίμιον ξύλον, καὶ βαπτίζει αὐτὸ σταυροειδῶς, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρός, ἑκάστῃ προσρήσει κατάγων αὐτὸν καὶ ἀνάγων, καὶ δεξάμενος τὸ τίμιον ξύλον ὁ προεστὼς ἢ ἄλλος τις, ὃν προστάξει ὁ καθηγούμενος, εἰσάγει αὐτὸ μετὰ τοῦ δίσκου ἐν τῷ θυσιαστηρίῳ, καὶ τίθησιν αὐτὸ ἐπάνω τῆς ἁγίας τραπέζης. Ὁ δὲ ἱερεύς, γεμίσας τὰ ἀγγεῖα τῆς ἐκκλησίας ἐκ τῆς φιάλης, ψαλλόντων τῶν ψαλτῶν τροπάριον, ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου, ἄρχεται ραίνειν ὁ ἱερεὺς τὸν λαὸν ἐκ τοῦ ἁγίου ὕδατος, εἶθ' οὕτως ἀπογεύεται ἐξ αὐτοῦ, μετὰ τὸ συστεῖλαι τὰ ἅγια, καὶ δίδωσι καὶ τῷ λαῷ, καὶ μετὰ τὸ πιεῖν ἅπαντα τὸν λαόν, εἰσερχόμενοι ἐν τῷ ναῷ πάντες εὐθέως, ἄρχεται ὁ ἱερεὺς λέγων· Ἐλέησον ἡμᾶς... Καὶ μετὰ τὴν ἐκφώνησιν, ὁ διάκονος· Ἐν εἰρήνῃ προελθωμεν κ. τ. λ. (л. 64—65).

Если навечеріе Богоявленія приходится въ субботу и ли въ воскресеніе то часы не поются, а литургія совершается св. Златоуста. Εἰςτὴν ὥραν αὐτῆς, καὶ λαμβάνουσιν οἱ ἀδελφοὶ κλαστόν, καὶ πρὸς ἓν κρασοβόλιον ἐν τῷ νάρθηκι καὶ πλέον οὐδέν. Εἰς δὲ τὸ λυχνικὸν, πάντα τελεῖται τῆς ἑορτῆς, καθὼς προγέγραπται, μέχρι τοῦ εὐαγγελίου. Καὶ μετὰ τὸ τέ-

λος τοῦ εὐαγγελίου ἐκφωνεῖ ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία, ὀρθοί, καὶ ἄρχονται οἱ ψάλται· Φωνὴ Κυρίου κ. τ. λ. (чинъ водоосвященія) Καὶ τοῦ ἁγιασμοῦ γενομένου, εἰσερχόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ γίνεται ἐκτενὴς καὶ συναπτὴ τῶν αἰτήσεων, καὶ ἀπόλυσις. Εἶθ' οὕτως εἰσερχόμεθα εἰς τὴν τράπεζαν μετὰ τοῦ· Ὑψώσω σε, ὁ Θεός, καὶ ἐσθίομεν ἰχθύας [1]) καὶ πίνομεν οἶνον καλὸν [2]) διὰ τὴν ἀκολουθίαν, καὶ ἀναστάντες ἐκεῖθεν ψάλλομεν τὸ μικρὸν [3]) ἀπόδειπνον· Ὁ κατοικῶν, τὸ Μεθ' ἡμῶν κ. τ. λ. Εἰς τὸ τέλος τὸ ἀπολυτίκιον· Ἐν Ἰορδάνῃ, καὶ πλέον οὐδέν. Εἶτα, μετὰ τὸ ἀπόδειπνον, ἄρχεται εἷς τῶν κληρικῶν, ὃν προστάξει ὁ καθηγούμενος, καὶ πολυχρονεῖ οὕτως, ὡς τὰ Χριστούγεννα (л. 65 об. 66.

Нѣтъ памятей подъ числами 19, 21, 24, 26 и 30.

Февраль 2. О службѣ праздника Срѣтенія Господня замѣчено: Ἰστέον, ὅτι ἐὰν λάχῃ ἡ ἑορτὴ αὕτη ἐν κυριακῇ, οὐδέν τι ἀναστάσιμον ψάλλομεν, ἀλλὰ πάντα τῆς ἑορτῆς (л. 75).

Ἰστέον, ὅτι ἐὰν τύχῃ ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς τῇ κυριακῇ τῆς ἀπόκρεω. ἡ μὲν ἀκολουθία τῆς ἀπόκρεω ψάλλεται τῇ πρὸ αὐτῆς κυριακῇ, ἤγουν τοῦ ἀσώτου, κατ' αὐτὴν δὲ τὴν κυριακὴν τῆς ἀπόκρεω ψάλλεται ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ μόνον. Εἰ δὲ λάχῃ ἡ ἑορτὴ αὕτη τῷ σαββάτῳ τῆς ἀπόκρεω. ὀφείλει ψάλλεσθαι ὁ κανὼν τῶν κοιμηθέντων τῇ ὄπισθεν ἡμέρᾳ, ἤγουν τῇ παρασκευῇ εἰς τὸν ὄρθρον, τῇ τοῦ Φευρουαρίου μηνός, καὶ ταύτην δὲ τὴν ἡμέραν τοῦ σαββάτου ψάλλεται ἡ ἀκολουθία τῆς Ὑπαπαντῆς καὶ μόνον. Ὁμοίως δὲ καὶ ἐὰν λάχῃ τῷ σαββάτῳ τῆς τυροφάγου, ὁ κανὼν τοῦ σαββάτου ψάλλεται τῇ ὄπισθεν παρασκευῇ, ἤγουν τῇ πρώτῃ ἡμέρᾳ τοῦ Φευρουαρίου μηνός, κατ' αὐτὴν δὲ τὴν ἡμέραν τοῦ σαββάτου ψάλλεται ἡ ἀκολουθία τῆς αὐτῆς ἑορτῆς τῆς Ὑπαπαντῆς. (л. 75 об.)

28. На полѣ записано: Τῇ αὐτῇ ἡμέρᾳ ἡ κοίμησις τοῦ πατρὸς ἡμῶν Ἰακώβου ἱερομονάχου, δευτέρου ἡγουμένου 6900 ἐτ. ἰνδ. ιε'.

Отсутствуютъ памяти подъ числами 4—8, 10, 12—23 и 25—28.

Мартъ 25. Службу Благовѣщенія см. у Toscani pag. 56—64, столбецъ второй по Типикону Calabro—Casulan.

Опущены памяти подъ числами съ 1—8 и съ 10—31.

---

[1]) Vallicill. cod. нѣтъ ἰχθύας [2]) прибавлено: διὰ τὴν ἑορτὴν [3]) τὸ μικρὸν—опущено.

Въ апрѣлѣ мѣсяцѣ изложены только три службы: 23 въ честь св. Георгія великомученика, 25 въ честь евангелиста Марка и 30 въ честь св. апостола Іакова.

Въ маѣ мѣсяцѣ не указаны памяти святыхъ на слѣдующія числа 3—7, 9, 11, 13—20, 22—31; въ іюнѣ мѣсяцѣ—съ 1—8, 10, 12—13, 15—18, 20—23, 26—28 и 30; въ іюлѣ 2—7, 9—14, 16, 18, 19, 21—24 и 28—31 и въ августѣ 3, 4, 7, 8, 11, 12, 17—22 и 25—28.

Подъ 1 числомъ августа ничего не говорится о выносѣ креста, но есть замѣчаніе объ успенскомъ постѣ патріарха константинопольскаго Николая, которое читается такъ: Νικολάου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, νέας Ῥώμης, περὶ τῆς τεσσαρακοστῆς τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου. Ἔστι δὲ παρ' ἡμῖν ἑτέρα νηστεία, προηγουμένη τῆς ὑπεραγίας Θεοτόκου, ἀπὸ τῆς α'. τοῦ Αὐγούστου μηνὸς ἀρχομένη, ἥτις περὶ τῆς ἑνώσεως τῆς ἁγίας [1]) συνόδου μνημονεύεται. Ἀλλὰ τὴν μὲν πρώτην ἡμέραν τοῦ Αὐγούστου μηνὸς οὐ νηστεύομεν διὰ τὴν ἑορτὴν τῶν ἁγίων Μακκαβαίων, ἀλλ' ἀπὸ τῆς β'. ἡμέρας τοῦ Αὐγούστου τὴν τετυπωμένην νηστείαν, καὶ τὴν τῆς Μεταμορφώσεως ἀκολουθίαν, ἤγουν τὴν η'. ἡμέραν, πᾶσαν τελείαν ψάλλομεν [2]). (л. 92)

6. На литургіи въ праздникъ Преображенія Господня положено пѣть антифоны и „Елицы во Христа крестистеся".

23. Празднуется отданіе праздника Успенія Богоматери.

Л. 98. Συναξάριον σὺν Θεῷ, ἀρχόμενον ἀπὸ τοῦ τελώνου καὶ τοῦ φαρισαίου μέχρι τῶν Ἁγίων Πάντων.

Эта часть Типикона по изложенію сходна съ Типиконами библіотекъ Барберіновской № 69 и № 102 и Валличилліановской № 61, а посему особенности службъ въ этой части изложимъ ниже, при описаніи этихъ послѣднихъ рукописей.

Л. 173. Περὶ τῆς μ'. [3]) τῶν ἁγίων ἀποστόλων.

Здѣсь изложены замѣчанія о пѣніи стихиръ на „Господи воззвахъ", о пѣніи стиха: „Господеви поемъ". о томъ, что въ постъ

[1]) Vallicill. cod. καὶ ἐβδόμης συνόδου τῆς ἐν Νικαίᾳ [2]) тамъ же прибавлено: ἀλλ' οὐ καταλύομεν ἕνεκεν τοῦ ὀκταημέρου τούτου τὴν νηστείαν. [3]) Pisanus p. 309 чичаетъ этотъ заголовокъ такъ: Περὶ τῆς μνήμης(?) τῶν ἁγίων ἀποστόλων.

не поется „Утверди Боже“, объ откровеніи главъ монаховъ, о поведеніи хоровъ и иноковъ въ храмѣ, о времени пробужденія братіи къ службамъ церковнымъ и о поведеніи иноковъ на трапезѣ.

Л. 175 об. Τοῦ ἁγίου Σάββα. Περὶ τοῦ σαββάτου, ἐν ᾧ καὶ Θεὸς Κύριος ψάλλεται.

Л. 136. Ὑποτύπωσις ἀκριβὴς καὶ κανὼν περὶ βρώσεως καὶ πόσεως τῆς μονῆς τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου τῶν Κασουλων, συγγραφεῖσα παρὰ Νικολάου μοναχοῦ, καὶ ἀναξίου ἡγουμένου τῆς αὐτῆς ἁγίας μονῆς ἐν ἔτει ,ζχξη΄. ἰνδ. η΄.

Κεφ. α΄. Χρὴ γινώσκειν, ὅτι κανόνα πρῶτον καὶ ἐπωφελῆ ταῖς ἡμετέραις ψυχαῖς παρελάβομεν ἐν τῇ ἡμετέρᾳ ἁγίᾳ μονῇ παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ κτήτορος τῆς μονῆς τοῦ ὁσίου πατρὸς Νικολάου τῶν Κασούλων κῦρ Ἰωσὴφ ἀπ' ἀρχῆς κτίσεως τῆς μονῆς, ἤγουν ἔτει ,ζχζ΄. ἰνδ. ζ΄. τοῦ μηδέποτε[1]) (ἐσθίειν) τοὺς μοναχοὺς τυρὸν ἢ ὠόν, ὁποῦ ἂν ὦσιν. Οὐ μόνον δὲ τοῦτον κρατεῖν ἐν τῇ ῥηθείσει ταύτῃ καὶ πρώτῃ μονῇ, ἀλλὰ καὶ πᾶσι τοῖς ὑπ' αὐτὴν οὖσι μετοχίοις.

Κεφ. β΄. Ἔτι μὴν παρελάβομεν παρ' αὐτοῦ ἐσθίειν τὸν ἅπαντα χρόνον ὄσπρια μετὰ ἐλαίου, καὶ λάχανον, καὶ ἰχθύας, καὶ οἰνοποιεῖν ἄνευ τῶν κεχωρισμένων ἡμερῶν τῶν ἁγίων τεσσαρακοστῶν· καὶ γὰρ ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ, δευτέραν μὲν καταλιμπάνομεν τὸ ἔλαιον, τετράδα δὲ καὶ παρασκευὴν καὶ τὸν οἶνον. (об.] Ὀψάριον δὲ παρ' ὅλην τὴν ἁγιαν τεσσαρακοστὴν μηδαμῶς ἐσθίειν, εἰ μήτοι τῶν ἀδελφῶν τινι βαρυτάτη ἀῤῥωστία συμβῇ.

Κεφ. γ΄. Ἐν δὲ ταῖς ἄλλαις δύο τεσσαρακοσταῖς, τοῦ τε ἁγίου Φιλίππου καὶ τῶν δώδεκα ἀποστόλων, τετράδα μὲν καὶ παρασκευὴν καταλιμπάνομεν τὸ ἔλαιον, τρίτην δὲ καὶ πέμπτην μεγειρίας ἐσθίομεν δύο, ὅμως δ' οὖν καὶ ἐν ταύταις ἐσθίομεν καὶ ἰχθύας· ἐν μὲν τῇ τοῦ ἁγίου ἀποστόλου Φιλίππου, τῇ ἑορτῇ τῶν Εἰσόδων τῆς ὑπεραγίας Θεοτόκου, καὶ τῇ ἑορτῇ τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου ἡμέρας τρεῖς, τὴν παραμονήν, λέγω, τὴν ἑορτήν, καὶ τὸ μεθέορτον· ἐν δὲ τῇ τῶν ἁγίων ἀποστόλων, τῇ ἑορτῇ τοῦ Προδρόμου, ἤγουν τὸ ἡλιοτρόπιον, καὶ μόνον.

[1]) На полѣ замѣчено такъ: Ὅτι μέν τινες καθάπτονται ἡμῶν περὶ τοῦ τοιούτου κανόνος φληνάφους αὐτοὺς ἀποδείκνυσιν ὁ τῆς ἁγίας ταύτης μονῆς προεστὼς Νεκτάριος ἐκ τοῦ σχολίου αὐτοῦ ἀποδέδεικται. Ζήτει δὲ τοῦτο ἐν τῷ τέλει ταύτης τῆς βίβλου, ἂν εὕρῃς τὸν ἄλλον.

Κεφ. δ'. Πρὸς τούτοις δὲ παρελάβομεν πάσαις ταῖς κυριακαῖς τοῦ χρόνου δύο μαγειρίας ἐσθίειν ἐν τῷ ἀρίστῳ, ἐν δὲ τῷ δείπνῳ μήδαμῶς τι μαγιρεύειν.

Κεφ. ε'. Δεῖ εἰδέναι, ὡς παρελάβομεν παρὰ τοῦ ἁγίου πατρὸς ἡμῶν καὶ τοῦτο, ὅπως τὰς τρεῖς ἡμέρας τῆς ἑβδομάδος, τοῦτ' ἔστι δευτέραν καὶ τετραδοπαρασκευήν, νηστεύωμεν, εἰ μὴ λάχῃ ἐν αὐταῖς ἑορτὴ δεσποτική, ἢ τῆς Θεοτόκου μετὰ τῶν ὀκταημέρων αὐτῶν, (л. 177] ἢ τῶν Ἀσωμάτων, ἢ τοῦ Προδρόμου, ἢ τῶν δώδεκα ἀποστόλων, ἢ ἑτέρου ἁγίου, οὗτινος ἡ μνήμη ἑορτάζεται. Εἰ δ' ἑνὸς τούτων μνήμη ἐν αὐταῖς λάχῃ, καταλύομεν τὴν νηστείαν, καὶ τρώγομεν ὡς καὶ τὰς ἄλλας ἡμέρας. Τὰς δὲ τέσσαρας ἡμέρας τῆς ἑβδομάδος, ἤγουν δευτέραν, τρίτην, πέμπτην καὶ τὸ σάββατον, ἐσθίομεν μαγειρίαν μίαν, ὄσπριον ἢ λάχανον μετὰ ἐλαίου, ἢ καὶ ἰχθύας, εἴπερ χορηγεῖ ἡμῖν ὁ Θεὸς ἐν αὐταῖς.

Κεφ. ς'. Προστίθεμεν οὖν ἀρτίως καὶ ἡμεῖς ἐν ταῖς δυσὶ ταύταις ἁγίαις ἡμέραις, ἤγουν τετράδι καὶ παρασκευῇ, ὅπως μὴ ὅλως ἐν ταύταις ὀψάριον τρώγωμεν, χωρὶς ἐπισήμου ἑορτῆς, ἀργίαν ἐχούσης, καὶ ἀῤῥωστίας καταναγκαζούσης (τοὺς) ἀδελφούς.

Κεφ. ζ'. Ἰστέον, ὅτι τῇ κυριακῇ τῆς Πεντηκοστῆς, μετὰ τὴν θείαν λειτουργίαν, εἰς τὴν τράπεζαν οὐκ ἀπερχόμεθα, ἀλλ' ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας ἐσθίομεν τὸ κλαστὸν καὶ μόνον, πίνοντες καὶ οἶνον ἀπὸ ποτηρίου ἑνός· μετὰ δὲ τὸν ἑσπερινόν, γίνεται τὸ κροῦσμα τοῦ τραπεζαρείου καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καὶ τρώγομεν εἶτι παράσχοι ἡμῖν ἡ χάρις τοῦ Ἁγίου Πνεύματος.

Κεφ. η'. Ὁμοίως τῇ παραμονῇ τῶν Χριστοῦ γέννων (об.] καὶ παραμονῇ τῶν ἁγίων Θεοφανίων, ἢ σαββάτῳ [1]), ἢ κυριακῇ τύχωσιν, ψάλλομεν τὴν ἁγίαν λειτουργίαν εἰς τὴν τετυπωμένην ὥραν αὐτῆς, εἶτα τρώγομεν τὸ κλαστὸν καὶ μόνον ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, καὶ οἶνον πίνομεν ἀπὸ ποτηρίου ἑνός. Εἰς δὲ τὸν ἑσπερινόν, μετὰ τὴν ἀκολουθίαν τοῦ ἁγίου βαπτίσματος, γευόμεθα ἐκ τοῦ ἁγίου ὕδατος, καὶ εἰσερχόμεθα εἰς τὸ τραπεζαρεῖον μετὰ τοῦ Ὑψώσω σε, ὁ Θεός μου, ὥσπερ καὶ εἰς τὸν δεῖπνον τῆς κυριακῆς τῆς ν'. καὶ ἐσθίομεν εἴ τι παράσχοι ἡμῖν ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ψάλλοντες ἐνταῦθα τὸ μικρὸν ἀπόδειπνον, εἰς τὸ τραπεζαρεῖον.

Κεφ. θ'. Ἰστέον, ὅτι τῇ ἁγίᾳ καὶ μεγάλῃ μ'. τὴν πρώτην ἑβδομάδα ἐσθίομεν ἄρτον καὶ φάβαν βρεκτὸν καὶ ὕδωρ, καὶ ταῦτα μὲν ἐγκρα-

[1]) Въ рукописи повсюду почти слово σάββατον пишется такъ: σάμβατον.

τῶς καὶ πάνυ μετριως ἄχρι τῆς ε΄. Τῇ γὰρ παρασκευῇ τρώγομεν φάβαν βρεκτὸν καὶ κόλυβα, καὶ οἶνον πίνομεν διὰ τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον, ἀλλ' οὐδὲ λάχανόν τι τρώγομεν παρ' ὅλην τὴν ἑβδομάδα ταύτην μέχρι τοῦ σαββάτου. Ἀπὸ δὲ τῆς κυριακῆς τῆς ὀρθοδοξίας ἄχρι τῆς κυριακῆς (π. **178**] τῶν βαΐων δευτέραν μὲν καταλιμπάνομεν τὸ ἔλαιον, τὸν δὲ οἶνον πίνομεν, τετράδα δὲ καὶ παρασκευὴν καταλιμπάνομεν καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον, καὶ ἄλλο τι οὐ τρώγομεν, εἰμὴ ἄρτον καὶ φάβαν εὐζεστόν, καὶ λάχανον ὠμόν, καὶ καρύδια, ἐὰν ᾖσι, καὶ ὕδωρ πίνομεν. Τὰς δὲ ἄλλας τέσσαρας ἡμέρας, ἤγουν τρίτην, πέμπτην, σάββατον καὶ κυριακὴν καθ' ἑκάστην ἡμέραν μαγειρίαν μίαν μετὰ ἐλαίου τρώγομεν, πίνομεν δὲ καὶ οἶνον. Τὴν δὲ μεγάλην ἑβδομάδα τὰς τρεῖς ἡμέρας, ἤγουν δευτέραν, τρίτην καὶ τὴν τετράδα κρατοῦμεν, ὥσπερ καὶ τὰς τέσσαρας τῆς πρώτης ἑβδομάδος ἡμέρας, τοῦτ' ἔστι δευτέραν, τρίτην, τετράδα καὶ τὴν πέμπτην. Τὴν δὲ ἁγίαν καὶ μεγάλην ε΄. ἐσθίομεν μαγειρίαν μετὰ ἐλαίου, καὶ οἶνον καλὸν πίνομεν διὰ τὴν ἀγρυπνίαν, ἣν τοῦ ἁγίου πάθους τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελέσαι μέλλοι(ο)μεν· καὶ γὰρ ἀπ' αὐτῆς τῆς ἑσπέρας τῆς μεγάλης ε΄. ἄχρι βαθείας νυκτὸς τοῦ ἁγίου καὶ μεγάλου σαββάτου οὐδέν τι τὸ σύνολον γευόμεθα, κατὰ τὸν λέγοντα τῆς ἐν τῷ Τρούλλῳ συνόδου κανόνα· Τῷ μεγίστῳ σαββάτῳ περὶ μέσας νύκτας ἡ νηστεία διαρκετέον (**οδ.**]. Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ ἑσπέρας, μετὰ τὴν θείαν λειτουργίαν, ἀπερχόμεθα ἐν τῇ τραπέζῃ μετὰ τοῦ Ὑψώσω σε, ὁ Θεός μου, καὶ τρώγομεν μαγειρίαν μετὰ ἐλαίου, πίνοντες δὲ καὶ οἶνον, εἶτα ἐκεῖ εἰς τὸ τραπεζαρεῖον (ψάλλομεν)˙τὸ μικρὸν ἀπόδειπνον, ὥσπερ καὶ τῇ μεγάλῃ ε΄. ἑσπέρας, καὶ τῇ παραμονῇ τῶν Χριστοῦ γέννων, καὶ τῇ παραμονῇ τῶν Φώτων, καὶ οὕτως ἀπερχόμεθα εἰς τὰ κελλία ἡμῶν, ψάλλων ὁ καθεὶς τὸ ἑαυτοῦ ἀπόδειπνον, κατὰ τὴν τάξιν αὐτοῦ.

Κεφ. ι΄. Χρὴ γινώσκειν, ὅτι ἀπὸ τῆς λαμπρᾶς κυριακῆς τοῦ Πάσχα μέχρι τῆς κυριακῆς τῶν Ἁγίων Πάντων δὶς ἐσθίομεν καθ' ἑκάστην, καὶ κατὰ τὸν κανόνα τῆς ἡμετέρας μονῆς τὴν βρῶσιν τρώγομεν, καὶ ἀπὸ τῆς κυρακῆς τῶν Ἁγίων Πάντων μέχρι τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, χωρὶς σαββάτου καὶ κυριακῆς καὶ μνήμης ἁγίου ἑορτασίμου, μονοσιτοῦμεν, κατὰ τὴν τῶν θείων ἀποστόλων παράδοσιν, ἐσθίοντες ἐν ταύτῃ, ὥσπερ καὶ ἐν ἐκείνῃ τῇ νηστείᾳ τοῦ ἁγίου ἀποστόλου Φιλίππου, πλὴν ἐν ταύτῃ τῇ νηστείᾳ τῇ ἑορτῇ τοῦ Προδρόμου τοῦ ἡλιοτρόπου τρώγομεν καὶ ὀψάριον, ὡς ἤδη εἰρήκαμεν.

Κεφ. ια΄. Ἰστέον, ὅτι ἐν τῇ Κοιμήσει τῆς ὑπεραγίας (π. **179**] Θεοτόκου τῇ πεντεκαιδεκάτῃ τοῦ Αὐγούστου μηνός, μετὰ τὴν θείαν λειτουργίαν,

εὐλογεῖ ὁ ἱερεὺς τὴν σταφυλήν, καὶ ἐσθίομεν αὐτὴν μετὰ τὸ ἐσθίειν τὸ κλαστὸν εἰς τὴν ἐκκλησίαν, κατὰ τὴν ἀρχαίαν παράδοσιν.

Κεφ. ιβ'. Καὶ ὅτι τῇ τέσσαρες καὶ δεκάτῃ τοῦ Σεπτεμβρίου μηνός, τῇ ἡμέρᾳ τῆς Ὑψώσεως τοῦ τιμίου καὶ ζωοποίου Σταυροῦ, ἐσθίομεν δίς, πλὴν φάβαν, ἢ ὄσπριον, ἢ λάχανόν τι μετὰ ὄξους, ἔλαιον δὲ ἢ ὀψάριον οὐ τρώγομεν τὴν ἡμέραν ταύτην, ἀλλὰ καὶ κατὰ τὸ Τυπικὸν τοῦ Ἁγίου Ὄρους ἄρτον καὶ οἶνον, τρώγομεν καὶ κολακύνθια μετὰ ὄξους μόνον.

Κεφ. ιγ'. Χρὴ εἰδέναι καὶ τοῦτο, ὅτι ἕνα ἄρτον ἐσθίομεν οἱ πάντες, καὶ οἶνον ἕνα πίνομεν, κατὰ ἀρχαίαν παράδοσιν τοῦ θεοτιμήτου πατρὸς ἡμῶν κῦρ Ἰωσὴφ τοῦ κτήτορος.

Κεφ. ιδ'. Καὶ ὅτι ὁ καθεὶς μοναχός, καθεζόμενος ἐν τῇ τραπέζῃ, ὀφείλει ἔχειν ἔμπροσθεν αὐτοῦ τὸ ἑαυτοῦ κρασοβόλιον, χωροῦν τὸ καθ' ἓν κεραστικὰ τρία, καὶ κρούων ὁ καθηγούμενος τὸ κωδώνιον, εὐλογεῖ ὁ ἑβδομαδάριος, καὶ πίνομεν ἐν πρώτοις εἰς τὴν δόξαν τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀσυγχύτου καὶ ἀδιαιρέτου Τριάδος (οϐ.)· τὸ δεύτερον εἰς τὴν πρεσβείαν καὶ ἀντίληψιν τῆς παναχράντου Θεομήτορος· τὸ τρίτον εἰς τὴν πρεσβείαν τῶν ἁγίων καὶ θεοφόρων πατέρων, καὶ εἰς τὴν σωτηρίαν καὶ εὐχὴν τοῦ τιμιωτάτου καὶ ὁσιωτάτου πνευματικοῦ ἡμῶν πατρὸς τοῦδε, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν σεβασμίας καὶ θεοσυλλέκτου ἀδελφότητος· τὸ δὲ τέταρτον κερνᾷ ὁ τραπεζίτης, καὶ πίνομεν εἰς τὴν μακαρίαν κοίμησιν καὶ ἀνάπαυσιν τῶν προαπελθόντων πατέρων ἡμῶν τε καὶ ἀδελφῶν, καὶ εἰς τὴν μνήμην τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν καὶ ἀδελφοῦ τοῦδε, δι' οὗ τὴν κοίμησιν σήμερον ἐπιτελοῦμεν· τὸ δὲ πέμπτον μετὰ τὸ ἆραι τὴν Παναγίαν πίνομεν, μηδὲν κερνῶν, εἰς τὴν πρεσβείαν καὶ ἀντίληψιν τῆς παναχράντου Θεομήτορος.

Κεφ. ιε'. Καὶ τοῦτο δεῖ γινώσκειν, ὅτι, ἐν τῇ τραπέζῃ καθήμενοι ἐσθίοντες, οὐκ ἔχομεν ἄδειαν συντυχεῖν τι ἢ βῆξαι χωρὶς μεγάλης ἀνάγκης.

Κεφ. ις'. Καὶ τοῦτο δεῖ γινώσκειν, ὡς τῇ παρασκευῇ ἑσπέρας τοῦ Λαζάρου, εἰ θέλημα ἐστὶ τοῦ καθηγουμένου, πίνομεν οἶνον διὰ τὴν ἀνάστασιν αὐτοῦ, ὁμως ἔστω τοῦτο τῇ τούτου διακρίσει.

(π. 180) Κεφ. ιζ. Ἰστέον, ὅτι ἀπὸ τῆς ἑορτῆς τῶν Χριστοῦ γέννων ἄχρι τῶν ὀκταημέρων τῶν ἁγίων Θεοφανίων οὐ νηστεύομεν, ἀλλ' ἔλαιον καὶ ὀψάριον καθ' ἑκάστην ἀκολύτως τρώγομεν, καὶ οἶνον ὁμοίως πίνομεν.

Κεφ. ιη'. Ἰστέον, ὅτι τὰ ὀκταήμερα τῶν δεσποτικῶν ἑορτῶν καὶ τῆς ὑπεραγίας Θεοτόκου οὐ νηστεύομεν, ἀλλὰ καὶ ὀψάριον καὶ μαγειρίαν μετὰ ἐλαίου τρωγομεν.

Κεφ. ιθ'. Καὶ ὅτι τὴν ἑβδομάδα τῆς τυροαποθέσεως καθ' ἑκάστην νηστεύομεν χωρὶς σαββάτου καὶ κυριακῆς, ἐσθίοντες μαγειρίαν μετὰ ἐλαίου καὶ ὀψάριον ἄχρι τῆς κυριακῆς ἑσπέρας, ἐν ᾗ καὶ τὸ μικρὸν ἐν τῷ τραπεζαρείῳ ἀπόδειπνον ψάλλομεν, καὶ οὕτως ἕκαστος πορεύεται εἰς τὸ κελλίον αὐτοῦ, ψάλλων ὁ καθεὶς τὸ τετυπωμένον αὐτοῦ Τρισάγιον καὶ ἀναπαύεται.

Κεφ. κ'. Ἱστέον δὲ καὶ τοῦτο, ὅτι, ἀνιστάμενοι ἀπὸ τῆς τραπέζης, παρελάβομεν ἀπὸ τῶν ἁγίων πατέρων, ὅπως μηδεὶς τῶν μοναχῶν ἀπέλθῃ ἐν κελλίῳ ἀδελφοῦ τινος διὰ τὸ συντυχεῖν τινι ἢ συμβουλεῦσαί τι, εἰ μὴ εἰς τὸ ἑαυτοῦ κελλίον ἕκαστος πορευόμενος ἀναγινωσκέτω, εἰδὼς γράμματα, εἰ δὲ μή, προσευχέσθω, (об.] κλαίων τὰς ἑαυτοῦ ἁμαρτίας, ποιῶν καὶ τὸ ἑαυτοῦ ἐργόχειρον μετ' ἐπιμελείας, διὰ τὸ τοὺς πονηροὺς ἀποδιώξαι λογισμούς.

Κεφ. κα'. Ἱστέον, ὅτι τὸ τοῦ στελλομένου ἀδελφοῦ μέρος εἴς τινα διακονίαν, εἴτε ὀψάριον, εἴτε ἄλλου τινὸς βρώματος, φυλαττέσθω λόγῳ αὐτοῦ ἕως οὗ ἐπανέλθῃ, καὶ εἰ μὲν καταλύεται τὸ βρῶμα, δοθήτω ἀδελφῷ ἀῤῥώστῳ, ἢ γέροντι, ἢ ὅπου ὁ κελαρίτης βούλεται, καὶ ἀντ' ἐκείνου ἄλλο αὐτῷ ἐπανελθόντι δότω, ὅμοιον ἐκείνῳ, ἢ καὶ βελτίον Θεοῦ συνεργίᾳ.

Κεφ. κβ'. Καὶ ὅτι τῇ δ'. ἑσπέρας, ὅταν βουλώμεθα ψάλλειν τὸν μέγαν κανόνα, χωρὶς ἐλαίου καὶ οἴνου ἐσθίομεν, ὥσπερ καὶ ταῖς ἄλλαις τετραδοπαρασκευαῖς τῆς ἁγίας μ'. Ὅμως δὲ καὶ περὶ τοῦ οἴνου τῆς δ'. ταύτης ἐν τῇ διακρίσει ἔστω τοῦ προεστῶτος διὰ τὸν κόπον, ὃν οἱ ἀδελφοὶ μέλλουσιν ἔχειν· τῇ δὲ ἑξῆς ἡμέρᾳ, ἤγουν τῇ ε'. τρώγομεν μαγειρίαν μετὰ ἐλαίου, καὶ οἶνον καλὸν πίνομεν.

Κεφ. κγ'. Ἱστέον, ὅτι τῇ παρασκευῇ τῆς α'. ἑβδομάδος, καὶ τῇ παρασκευῇ τοῦ Λαζάρου περὶ τοῦ οἴνου εἰς τὴν διάκρισιν [τοῦ προεστῶτος[1])· τὸ μὲν διὰ τὸν μεγαλομάρτυρα Θεόδωρον, τὸ δὲ διὰ τὴν ἀνάστασιν τοῦ ἁγίου καὶ δικαίου Λαζάρου.

Κεφαλ. κδ'. Ἱστέον, ὅτι τῇ παραμονῇ τοῦ Εὐαγγελισμοῦ, τῇ κδ'. τοῦ Μαρτίου μηνός, καὶ τῇ κε'. καὶ τῇ κς'. ἤτοι τὸ μεθέορτον, τὰς γ'.

---

[1]) Въ ркп. Туринской конца не достаетъ, который мы возстановляемъ на основаніи рукописи Барберинновской Ш. № 69 л. 119. Конецъ этихъ правилъ намъ любезно сообщилъ проф А. Л. Павловскій, списавшій его при помощи магистра филогіи М. Н. Крашенинникова. Считаемъ долгомъ выразить свою глубокую благодарность обоимъ этимъ лицамъ.

ἡμέρας ταύτας ἀκωλύτως διακονίας μετὰ ἐλαίου τρώγομεν, καὶ οἶνον κάλὸν πίνομεν διὰ τὴν χαρὰν τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ.

Κεφ. κε'. Καὶ περὶ τῶν ἁλιέων μοναχῶν ἄξιόν ἐστιν εἰπεῖν τὴν διαγωγὴν αὐτῶν, ἣν ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ μ'. μέλλουσιν ἐπιτελέσαι. Βουλόμεθα, ὅπως τὰς δύο ἡμέρας τῆς ἑβδομάδος, ἤγουν τετράδα καὶ παρασκευήν, ἁγνὰς αὐτὰς φυλάξωμεν ἀπό τε ἐλαίου καὶ ὀψαρίων μόνον, ἐν δὲ ταῖς ἄλλαις ἡμέραις ὀψάριον τρώγειν καὶ ἔλαιον ἀκολύτως, καὶ οἶνον πίνειν διὰ τὸν κόπον καὶ τὴν ἀγρυπνίαν, καὶ τὴν ἄλλην ἅπασαν κακουχίαν τῆς τε νυκτὸς καὶ ἡμέρας. Τέλος τῶν κανόνων].

Л. 181. Διάταξις τῆς προσκομιδῆς, σταλθεῖσα παρὰ τοῦ πατριάρχου Κωνσταντινουπόλεως τῷ κυρῷ Παύλῳ, ὑποψηφίῳ Καλλιπόλεως. Конца статьи нѣтъ.

Л. 182. Περὶ τῶν προηγιασμένων. Говорится здѣсь о приготовленіи св. Агнца на каждый день поста и о причинахъ сего обычая.

Л. 183. Замѣчаніе о пѣніи „Елицы во Христа крестистеся“ и „Кресту твоему“ вмѣсто „Святый Боже“.

Л. 183 об. Ἀναπαύσιμον ἀκολουθίαν. Заупокойная служба въ честь ктиторовъ. Не окончена служба, такъ какъ на этомъ листѣ рукопись обрывается.

b) № 69 III. (по Toscan. 77) Συναξάριον, σὺν Θεῷ ἀρχόμενον ἀπὸ τοῦ τελώνου καὶ τοῦ φαρισαίου μέχρι τῶν Ἁγίων Πάντων. Рукопись Барберіновской библіотеки въ 16 долю, 126 листовъ, писана на пергаминѣ (во многихъ мѣстахъ палимпсестъ) четкимъ почеркомъ 1205 года, какъ это видно изъ слѣдующей приписки въ концѣ Синаксаря: Τέλος εἴληφεν ἡ ἱερὰ αὕτη βίβλος τῆς ἐκκλησιαστικῆς τάξεως χειρὶ Ἱεροθέου μοναχοῦ, καὶ ἀναξίου θύτου, προτροπῇ τοῦ ὁσιωτάτου κυροῦ Νικοδήμου, καὶ καθηγουμένου τῆς μονῆς τῶν Κασουλίων μηνὶ Ἰανουαρίῳ εἰς τὴν κθ'. ἡμέραν τοῦ σαββάτου, ἔτει ,ϛψιγ'. ἰνδικτιῶνος γ'. (л. 112 об.). Приписка эта, или, вѣрнѣе, дата ея подверглась поддѣлкѣ: цифра ψ передѣлана въ рукописи на φ, а посему и годъ написанія рукописи указывается иногда 1005 г. (Bullet. critiqu. № 9, 1887 pag. 176, not 1), а не 1205 г., когда на самомъ дѣлѣ написана рукопись (Toscani. Ad typica graecorum. pag. 7 not. 8). На выходныхъ листахъ рукописи находятся двѣ приписки: а) на греческомъ языкѣ (л. 2) и писана рукою Франциска Аркудія.

архіепископа Солента, a b) на латинскомъ языкѣ съ подробнымъ описаніемъ содержанія рукописи (л. 1.) Вторая приписка читается такъ: *Scribenda in principio libri Typicon:* Synaxarium Typicum seu Ordinarium recitandi officium a Domenica, quae dicitur Pharisei et Publicani usque ad festum omnium Sanctorum, juxta ritum monasterii s. Nicolai Casulorum, in agro Hydruntino positi.

Extat in fine perpulchra et exacta regula vigenti quinque capitibus explicata circa cibum et potum observanda a monachis hujus monasterii, conscripta per indignum Nicolaum rectorem hujus monasterii, redolet autem haec regula nunquam satis laudatam antiquam monachorum pietatem et abstinentiam.

Extat etiam in fine ordo circa oblationem, missus à Patriarcha Constantinopolitana domino Paulo, suffraganeo Callipolitano.

Insigne hic extabat monasterium, a ss. Nicolao et Iosepho monahis constructum et celebris schola litterarum graecarum ac bibliotheca non vulgaris, ex qua quondam emin-mus Bessarion, cum primum Hydruntum appulit ad florentinum profecturus consilium multos codices excerpsit. Quae tamen omnia in curiam hominum, temporum injuriam ac barbarorum tyrranide, cum captum fuit Hydruntum, funditus eversa sunt. Fuit scriptus hic liber ante annos sexcentos triginta, ut in calce adnotatur, laceratus autem ac in multas partes discerptus et concisus à Turcis, sed per pium aliquem monachum è faucibus luporum utcunque ereptus statim resarcitus est; ita tamen, ut plagarum a barbarico furore illatarum cicatrices, tanquam religionis nostra de execranda immanitate reportatum triumphum adhuc ferat.

Службу недѣли мытаря и фарисея см. у Toscani. Ad Typica graecorum p. 52—54.

Σαββάτῳ τῆς ἀπόκρεω ψάλλομεν εἰς τὸ κοιμητήριον τῶν κοιμηθέντων.

Τῇ δ'. τῆς τυροφάγου λειτουργία μὲν οὐ τελεῖται, μεσασμοῦ [1]) δὲ ὥρας γ'. σημαίνει τὴν γ'. καὶ ψάλλομεν αὐτὴν μετὰ στιχολογίας, καὶ ἐν τῷ τέλει τοῦ μεσωρίου ποιοῦμεν μετανοίας ιβ'. ὁμοίως καὶ τὴν ς'. ὥραν, πέμπτης ὥρας μεσασμοῦ, σημαίνοντος τοῦ ἐκκλησιάρχου, ψάλλομεν καὶ αὐτὴν μετὰ στιχολογίας καὶ μετὰ τὸ τροπάριον· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ, καὶ τὸ

[1]) Vallicil. bibl. № 61. Турин. биб. № 216 л. 101 об. μεσασμῷ δὲ

θεοτοκίον[1]) ἐκφωνεῖ τοῖς πᾶσιν ὁ ψάλτης τὸ τροπάριον τῆς προφητείας καὶ ψάλλομεν αὐτὸ ἅπαξ, καὶ τοῦ ψάλτου τὸ Δόξα καὶ νῦν εἰπόντος, ἐκφωνεῖ· καὶ ψάλλει αὐτὸ ὁ λαός. Μετὰ δὲ τὸ τροπάριον, καθεσθέντος τοῦ λαοῦ, λέγεται τὸ προκείμενον καὶ προφητεία, εἶτα ἀνίστανται πάντες καὶ εὐθὺς λέγομεν τὸ Τάχυ προκαταλαβέτωσαν, εἶθ οὕτω Τρισάγιον λέγομεν καὶ τὸ μεσώριον[2]), καὶ μετὰ τὸ μεσώριον, Τρισάγιον καὶ τὰ τροπάρια, τὸ Κύριε ἐλέησον λ'. καὶ μετανοίας ιβ'. καὶ ἀπόλυσις. Εὐθὺς ὁ ἐκκλησιάρχης ποιῶν τὸ χρῦσμα τῆς θ'. καὶ ὁ ἱερεὺς ἄρχεται λέγων· Δεῦτε προσκυνήσωμεν и 9 часъ съ блаженными. (л. 6—7)

Πρόσχες, ὦ ἱερεῦ, ἵνα φυλάξῃς προηγιασμένα τρία διὰ τὴν λειτουργίαν τῶν προηγιασμένων, ἣν μέλλεις λειτουργῆσαι ταῖς τρισὶ τῆς ἑβδομάδος ταύτης ἡμέραις, τετράδι, πέμπτῃ καὶ παρασκευῇ· τῇ γὰρ δευτέρᾳ καὶ τρίτῃ τῆς πρώτης τῶν νηστειῶν ἑβδομάδος οὐδόλως λειτουργοῦμεν προηγιασμένα διά τινα πρόφασιν ἀγαθὴν καὶ εὐάρμοστον. (л. 11)

Εἰς τὸ διάφαυμα τῆς ἡμέρας, т. е. въ понедѣльникъ екклисіархъ ударяетъ 2-жды и, собравшись въ церковь, начинаемъ 1 часъ. Каѳизма одна, послѣ которой чтецъ произноситъ „Заутра“ и богородиченъ. „Ἀρχόμεθα ἀναγινώσκειν ἄνω εἰς τὸν ἄμβωνα τὸ κατὰ Ματθαῖον εὐαγγέλιον· Βίβλος γενέσεως. Τέλος· εἰς τοὺς αἰῶνας. Ἀμήν. πάντων ἱσταμένων καὶ ἀκροωμένων. Стопы моя“, Трисвятое, Отче нашъ, Господи помилуй 12, εἶτα ἀρχόμεθα μεσώρια, послѣ котораго Трисвятое, Отче нашъ, тропарь: „Пречистому твоему образу“, „Милосердія сущи источникъ“ и Господи помилуй 40 разъ, 23 поклона и отпустъ. Такой порядокъ службы всю недѣлю до пятницы. Ὥρας ἐννάτης ὅλον τὸ εὐαγγέλιον. Εἰς τὰς ὥρας τὸ κατὰ Ματθαῖον ἀναγνώσεις ς'. τὸ κατὰ Μάρκον, ἀναγνώσεις δ'. τὸ κατὰ Λουκὰν ς'. τῇ παρασκευῇ δὲ τὸ κατὰ Ἰωάννην, ἀναγνώσεις δ'. ἕως τῆς διαθήκης. (л. 12 об., 13.)

На 3 часѣ евангеліе отъ Матѳея: Εἶπεν ὁ Κύριος· ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις. Τέλος· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Послѣ Трисвятаго, Господи помилуй 12 разъ и междочасіе. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς ὥρας γ'. ἅμα τῷ εἰσελθεῖν ἕκαστον εἰς τὸ ἑαυτοῦ κελλίον, οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ βαλὼν τῷ ἑαυτοῦ κουκούλλιον ὁ ἐκκλησιάρχης, καὶ κατακαλύψας τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ῥάβδον κατέχων, στὰς κατὰ ἀνατολὰς ἔμπροσθεν τοῦ τραπεζαρίου, βοᾷ

[1]) Ὅτι οὐκ ἔχομεν. [2]) Εἶτα τὸ Τρισάγιον καὶ τὸ τροπάριον.

μετὰ κραυγῆς ἰσχυρᾶς, λέγων οὕτως· Κύριε, εὐλόγησον. Ἀδελφοὶ καὶ πατέρες, προσέχωμεν ἑαυτούς, ὅτι ἀποθνήσκομεν, μνημονεύσωμεν καὶ τῆς αἰωνίου κολάσεως. Πάντες οὖν οἱ ἀκούσαντες τῆς τοιαύτης φωνῆς εὐθέως κατακλίνουσιν ἑαυτοὺς ἐπὶ πρόσωπον. Καὶ μετὰ τὸ παύσασθαι τοῦ κράζειν, ἀνιστάμενος ἕκαστος ἄρχεται τὸ Τρισάγιον καὶ μετανοίας ιβ'. Τοῦτο τοίνυν ποιεῖ πᾶς ὁ ἀκούων τοιαύτης φωνῆς, ἐν ᾧ ἂν φθασθῇ τόπῳ. Οὕτως οὖν τοῦτο τελεῖται ἀπὸ τῆς β'. τῆς α'. ἑβδομάδος τῶν νηστειῶν ἕως τῆς ε'. ἑβδομάδος τῶν βαΐων χωρὶς σαββάτου καὶ κυριακῆς. (л. 13 об.)

Въ пятомъ часу звонъ къ 6 часу съ каѳизмою. Послѣ богородична часа, тропарь пророчества, πάντων ἱσταμένων, прокименъ, пророчество Исаіи и чтеніе евангелія отъ Матѳея: Εἶπεν ὁ Κύριος· τίνι ὁμοιώσω τὴν γενεὰν ταύτην. Τέλος· οὐ κοινοῖ τὸν ἄνθρωπον. Почасіе и отпустъ. Въ началѣ 7 звонъ на часъ 9 съ каѳизмою и евангеліемъ отъ Матѳея: Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Τέλος· λύτρον ἀντὶ πολλῶν. Господи помилуй 40 разъ и три поклона, и тотчасъ μετὰ μέλους ὃν ἂν προτρέψῃ ὁ ἐπιστημονάρχης εἰς ἦχον δ'. Помяни Господи". Καὶ ὅταν δοξάσωμεν, καὶ ὁ ἕτερος χορὸς εἴπῃ τὸ Καὶ νῦν, εὐθὺς οἱ δύο χοροὶ τρανότερον τὴν φωνὴν ὑψώσαντες, ψάλλομεν οὕτω λέγοντες· Μνήσθητι ἡμῶν, Κύριε и т. д. Вѣрую, Отче нашъ, „Господи помилуй" 20 и „Благословлю Господа" καὶ λέγομεν ὁμαλῶς καὶ ἡσύχῳ φωνῇ, ποιοῦντες μετὰ ταῦτα ἐν τῇ ἀπολύσει καὶ μετανοίας κδ'. καὶ οὕτως ἡ ἀπόλυσις· Εὐλογία Κυρίου ἐφ' ἡμᾶς. (л. 14—15).

Χρὴ γινώσκειν, ὅτι εἰς τὰ μοναστήρια ἐν ταῖς δυσὶν ἡμέραις τῆς πρώτης ἑβδομάδος τῆς ἁγίας μ'. ἤγουν τῇ β'. καὶ γ'. προηγιασμένα οὐ ψάλλονται, εἰ μὴ μόνον οἱ ἐπίσκοποι καὶ ἀρχιεπίσκοποι ψάλλουσι ταῦτα[1]) ἐν ταῖς ἐπισκοπαῖς αὐτῶν, καὶ μεγάλαις ἐκκλησίαις. (л. 16).

Въ первую недѣлю поста служба пророковъ и православія. Εἰς τὴν λειτουργίαν, μετὰ τὴν εἴσοδον, δίδοται καιρὸς ἐν τῷ ἄμβωνι τοῖς ἀναγνώσταις, καὶ δοξάζουσιν εἰς τὸν ἦχον τοῦ τροπαρίου τοῦ ἀναστασίμου, εἶτα τὸ Καὶ νῦν, εἰς ἦχον πλ. δ'. καὶ ψάλλεται τὸ κοντάκιον, εἶτα τὸ Τρισάγιον ἄνευ συναπτῆς· εἰρηνεύοντος δὲ τοῦ ἱερέως, καὶ καθεζομένου, καὶ τοῦ διακόνου λέγοντος· Σοφία, ἐκφωνεῖ ἐν τῷ ἄμβωνι ὁ μέλ-

[1]) Vallic. № 61 ἐν ταύταις ταῖς ἡμέραις.

λων ἀναγνῶναι τὸ συνοδικὸν λέγων οὕτως· Ἐποφειλομένη πρὸς Θεόν. Μετὰ τὸ συνοδικόν, ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία, εἶτα ὁ ἀναγνώστης, ἦχος βαρύς· Καυχήσονται ὅσιοι ἐν δόξῃ, στίχος· Ἄσατε τῷ Κυρίῳ. Ὁ ἀπόστολος· Πίστει Μωσῆς μέγας γενόμενος... Евангеліе отъ Іоанна: Τῷ καιρῷ ἐκείνῳ ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν (л. 24).

Если кто нибудь скончается въ четыредесятницу, то панихиды по умершемъ не поются въ теченіе всей недѣли до пятницы, а девятины и сорочины правятся по субботамъ, αἱ δὲ λειτουργίαι αὐτοῦ γίνονται ἀπὸ τῆς β'. τῆς μετὰ τὴν νέαν κυριακὴν τοῦ Θωμᾶ (л. 25).

Въ 3 недѣлю поста на утрени, μετὰ δὲ τὸ Δόξα ἐν ὑψίστοις καὶ τὸ ἀναστάσιμον τροπαρίον, ἐκφωνεῖ εἷς τῶν μοναχῶν τροπάριον, ἦχος α'. Τοῦ σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν, Φιλάνθρωπε... Καὶ εὐθέως, τοῦ τροπαρίου ψαλλομένου, εἷς τῶν ἱερέων λαμβάνει τὰ τίμια ξύλα μετὰ τῆς θήκης, βαστάζων αὐτὰ ἐπάνω τῆς κεφαλῆς αὐτοῦ, προπορευομένων τῶν ἱερέων καὶ διακόνων μετὰ μανουαλίων καὶ θυμιατοῦ, τίθησιν αὐτὰ ἐπὶ τραπεζακίου μικροῦ εἰς προσκύνησιν πᾶσιν ὀρθοδόξοις χριστιανοῖς· καὶ θυμιάσας αὐτὰ πρῶτον κυκλόθεν ὁ ἱερεύς, οὕτως ἄρχεται πρῶτον ὁ καθηγούμενος προσκυνεῖν τὰ ἅγια ξύλα, καὶ ἀσπαζόμενος αὐτὰ ψάλλει τροπάριον πλ. β'. Τὸν σταυρόν σου προσκυνοῦμεν. Εἶθ' οὕτως ἀσπάζεται αὐτὰ ὁ κλῆρος καὶ ὁ λοιπὸς λαός, ψάλλοντος τοῦ κλήρου καὶ τῶν μοναχῶν τὸ προγεγραμμένον τροπάριον κατ' αὐτὴν τὴν ὥραν τῆς προσκυνήσεως ἄχρις οὗ πληρωθῇ ἡ τῶν τιμίων ξύλων προσκύνησις. Εἶτα, μετὰ τὴν προσκύνησιν καὶ τὸν ἀσπασμὸν τῶν τιμίων ξύλων, ἐκφωνεῖ ὁ ψάλτης μετὰ τοῦ λαοῦ τροπάριον, ἦχος α'. Τοῦ σταυροῦ σου τὸ ξύλον, καὶ λέγει θεοτοκίον· Ὑπὸ τὴν σὴν προστασίαν, καὶ εὐθέως ἡ ἐκτενὴς καὶ συναπτὴ τῶν αἰτησέων καὶ ἀπόλυσις (л. 27).

Въ среду на утрени μετὰ δὲ τὸ Δόξα ἐν ὑψίστοις, τὸ ἰδιόμελον τῆς μ'. δίς, εἶτα μαρτυρικόν, εἰς τὸ Δόξα καὶ νῦν, σταυροθεοτοκίον· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν, καὶ ἀρχόμεθα ψάλλειν· Τοῦ σταυροῦ σου τὸ ξύλον, καὶ εὐθύς, λαμβάνων ὁ ἱερεὺς τὰ τίμια ξύλα μετὰ τοῦ δίσκου, καὶ βαστάζων αὐτὰ ἐπάνω τῆς κεφαλῆς αὐτοῦ, ἐξέρχεται ἀπὸ τοῦ θυσιαστηρίου, ποιοῦντες ἀνελλιπῶς τὴν προσκύνησιν, ὡς προτέτακται τῇ κυριακῇ. Μετὰ γοῦν ταῦτα λαμβάνων αὐτὰ ὁ ἱερεύς, ὡς τὸ πρότερον, καὶ εἰσάγων αὐτὰ εἰς τὸ θυσιαστήριον, οὕτως λαμβάνει τέλος ἡ τῶν τιμίων ξύλων προσκύνησις· καὶ εὐθὺς ὁ

διάκονος ἐκτενῆν καὶ τὰς αἰτήσεις. Μετὰ τὴν ἐκφώνησιν, Κύριε ἐλέησον μ'. στάσις μικρά, μετανοίας ιβ'. καὶ εὐθέως ὥρα α'.

Въ пятницу тоже самое, καὶ ἐν τῷ τέλει τῆς προσκυνήσεως ἐπαίρει αὐτὰ ὁ σκευοφύλαξ ἐν τῷ σκευοφυλακίῳ εἰς φύλαξιν, ψάλλων μετὰ τῶν λοιπῶν κληρικῶν τὸ κοντάκιον· Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, εἶτα ἡ ἐκτενὴς καὶ τὰ λοιπὰ καὶ ἀπόλυσις. (лл. 28, 29).

Служба Благовѣщенія, т. е. 24 и 25 марта издана Toscan. p. 56—64.

О великомъ четвергѣ съ праздникомъ Благовѣщенія замѣчено: Τινὲς δὲ ἀντὶ τοῦ χερουβικοῦ ὕμνου ψάλλουσι τροπάριον πλ. δ'. Τοῦ δείπνου σου, τὸ αὐτὸ δὲ λέγουσι καὶ κοινωνικόν, τὸ δὲ Συναξάριον τῆς μεγάλης ἐκκλησίας προτρέπει πρῶτον εἰπεῖν τὸ χερουβικόν, ἔπειτα τὸ τροπάριον· Τοῦ δείπνου σου. Ἡμεῖς δὲ τῷ ἡμετέρῳ ἐξακολουθοῦντες Τυπικῷ, ἤτοι τῷ τοῦ Ἁγίου Ὄρους, οὐδὲν τῶν ἀμφοτέρων ποιῆσαι βουλόμεθα, ἀλλ' ἢ μόνον τὸ χερουβικὸν ᾄδειν ᾆσμα τῆς λειτουργίας, ὁμοίως καὶ κοινωνικόν, τὰ προγραφέντα εἰς τὸν Εὐαγγελισμόν. Послѣ заамвонной молитвы совершался чинъ омовенія ногъ (л. 42).

Если Благовѣщеніе приходилось на Пасху. „Περὶ δὲ ὥραν πρώτην τῆς ἡμέρας τῆς μεγάλης κυριακῆς γίνεται λειτουργία τοῦ Χρυσοστόμου ἐν τῷ ναῷ τοῦ Προδρόμου, ἢ τῆς ὑπεραγίας Θεοτόκου, ἢ ἑτέρου τινὸς ἁγίου, καὶ ψάλλουσιν ἐκεῖ ἐν τῇ αὐτῇ λειτουργίᾳ τὴν ἀκολουθίαν τοῦ Εὐαγγελισμοῦ, προκείμενον, ἀπόστολος, ἀλληλούια, εὐαγγέλιον, κοινωνικόν. Περὶ δὲ ὥραν γ'. τῆς αὐτῆς ἡμέρας γίνεται ἡ θεία λειτουργία ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ψάλλομεν πᾶσαν τὴν ἀκολουθίαν τῆς μεγάλης κυρακῆς τοῦ Πάσχα. Ἰστέον δέ, ὅτι ἐν ταύτῃ τῇ μεγάλῃ κυριακῇ τοῦ Πάσχα λιτὴ κατὰ τὸ ἔθος τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ οὐ γίνεται... Τὸν δὲ ἀπόστολον ἀναγινώσκει ὁ διάκονος ἔσω εἰς τὸ θυσιαστήριον, τὸν δὲ ἀπόστολον τοῦ Εὐαγγελισμοῦ ἀναγινώσκει ὁ ἀναγνώστης ἄνω εἰς τὸν ἄμβωνα, ψάλλει δὲ τὸ ἀλληλουάριον τοῦ Πάσχα· τὸ δὲ εὐαγγέλιον τοῦ Πάσχα ἀναγινώσκει ὁ ἱερεὺς εἰς τὸ θυσιαστήριον, καὶ τούτου τελειωθέντος, λέγει εἰς τὸ βῆμα· Σοφία, ὀρθοὶ ἀκούσωμεν, καὶ ἀναγινώσκει ὁ διάκονος ἔξω, εἰς τὸ βῆμα τοῦ ἄμβωνος, τὸ εὐαγγέλιον τοῦ Εὐαγγελισμοῦ, καὶ καθεξῆς τελεῖται ἡ λειτουγία τοῦ Χρυσοστόμου (л. 46 об., 47).

На праздникъ Благовѣщенія въ великую пятницу περὶ ὥραν γ'. σημαίνει, καὶ ψάλλομεν τὴν ἀκολουθίαν τῶν ὡρῶν τῶν ἁγίων παθῶν, καθὼς ἐστι γεγραμμένον, τὸ δὲ Τυπικὸν τοῦ ἁγίου Σάββα λέγει,

ὅτι ὥρας οὐ ψάλλομεν, ἀλλὰ καταλιμπάνομεν αὐτὰς διὰ τὸ σεβάσμιον τῆς ἑορτῆς. Δεκτέον γάρ ἐστι καὶ τοῦτο, καὶ οὐδέν τι τῆς ἀκολουθίας ἐκπίπτει. На полѣ рукою писца приписано: Σὸ δὲ τοῦ ἁγίου Σάββα ἔχε τὸ κρεῖττον περὶ τῶν ὡρῶν, ἡμεῖς δὲ λέγομεν τὰς ὥρας κατὰ τὸ Τυπικὸν τοῦ Ἁγίου ὄρους (л. 44).

Въ великій четвертокъ положено совершать часы съ особыми псалмами: на первомъ часѣ псалмы 5, 35 и 40, на третьемъ— 51, 52 и 50, на шестомъ 54, 58 и 90 и на девятомъ 56, 139 и 85. Ταύτας τὰς ὥρας ψάλλομεν ἐν τῇ ἐκκλησίᾳ, ἰδίως ἑκάστην ὥραν ἄνευ στιχολογίας, καὶ εἰς τὸ τέλος ἑκάστης ὥρας λέγομεν Κύριε ἐλέησον λ'. Μετὰ τὴν θ'. ψάλλομεν τοὺς μακαρισμοὺς τὰ λοιπὰ καὶ ἀπόλυσις (л. 57—58).

Часы въ великую субботу совершались съ особыми псалмами: на первомъ часѣ положены псалмы 11, 15 и 5, на третьемъ 20, 29 и 50, на шестомъ 70, 81 и 90 и на девятомъ 91, 117 и 85. (л. 72 об.—73).

Μετὰ δὲ τὸ τέλος τῆς λειτουργίας (т. е. великой субботы) ἀπερχόμεθα εἰς τὴν τράπεζαν μετὰ τοῦ Ὑψώσω σε, καὶ τρώγομεν μαγειρίας μετὰ ἐλαίου, καὶ πίνομεν οἶνον. Μετὰ τὸ φαγεῖν ἀρχόμεθα τὸ Τρισάγιον, Δεῦτε προσκυνήσωμεν γ'. и т. д. повечеріе, которое начинается 90 псалмомъ, „Съ нами Богъ“, а затѣмъ слѣдуютъ „Пресвятая Богородица“, 50 псаломъ, „Слава въ вышнихъ“, тропарь: „Камени запечатану“, богородиченъ: „Гавріилу вѣщавшу тебѣ Дѣво“, Господи помилуй 12 и отпустъ. Εἶτα ὁ ἐκκλησιάρχης ἀπέρχεται εἰς τὴν ἐκκλησίαν μετὰ ἑνὸς ἢ δύο κληρικῶν ψάλαι τὸ ἀπόδειπνον· Ἐν τῷ ἐπικαλεῖσθαί με ἕως τέλους, ὁμοίως καὶ κανὼν παρακλητικὸς τῆς Θεοτόκου τοῦ πρώτου ἤχου, καὶ τροπάριον· Τοῦ λίθου σφραγισθέντος, καὶ τὸ θεοτοκίον. Τινὲς δὲ ποιοῦσιν οὕτως· μετὰ τὸν δεῖπνον, σημαίνει ὁ ἐκκλησιάρχης τὸ ἀπόδειπνον, καὶ εἰσέρχονται πάντες εἰς τὴν ἐκκλησίαν, μηδενὸς ἀπολιμπανομένου, ἐκτὸς τῶν γερόντων καὶ τῶν νοσιλευομένων· πάντας γὰρ εἰσάγει ὁ ποιμὴν εἰς τὴν ἐκκλησίαν, ἵνα μὴ ἀπολειφθῇ ἓν πρόβατον ἔξω τῆς μάνδρας· καὶ εὐθέως εἰσελθόντες ἄρχονται τὸ Δεῦτε προσκυνήσωμεν, Ἐν τῷ ἐπικαλεῖσθαί με καὶ καθεξῆς ἑξαψάλμους, τὸ Μεθ' ἡμῶν κ. τ. λ., τροπάριον· Τοῦ λίθου, τὸ Κύριε ἐλέησον γ'. ὁ ν'. καὶ ὁ κανὼν τῆς ὑπεραγίας Θεοτόκου. Μετὰ τὴν ς'. ἀνάγνωσις, λόγος Ἐπιφανίου, ἐπισκόπου Κύπρου· Τί τοῦτο σήμερον σιγὴ πολλή; εἶτα τὸ λοιπὸν τοῦ κανόνος, εἶτα ψάλλουσι καὶ ἕτερον κανόνα, ὃν διαχωρήσοι ὁ ἐκκλησιάρχης τῇ βουλῇ τοῦ

καθηγουμένου, καὶ ἀνάγνωσις, εἶτα κανὼν καὶ ἀνάγνωσις, καὶ αὖθις κανὼν καὶ ἀνάγνωσις ἕως οὗ φθάσωσιν εἰς τὴν ὡρισμένην ὥραν τοῦ ὄρθρου. Καὶ ταῦτα μὲν ἄλλοι, ἡμεῖς δὲ καθὼς προεγράψαμεν, οὕτω καὶ ποιοῦμεν κατὰ τὴν τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Ἰωσὴφ διάταξιν, τοῦ κτήτορος τῆς ἁγίας μονῆς τῶν Κασούλων. (л 77—78).

Τῇ ἁγίᾳ καὶ ζωηφόρῳ νυκτὶ τῆς ἐγέρσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὥρας θ'. ἀρχὴ σημαίνει, καὶ συναχθέντων τῶν ἀδελφῶν πάντων (л. 146) ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, ἀπαρχομένου τοῦ β'. σημαντῆρος, ἅπτουσι τὰς λαμπάδας αὐτῶν· ὁ δὲ ἱερεύς, ἔνδον τοῦ ναοῦ περιβαλλόμενος στολὴν λευκήν, κεκλεισμένων τῶν θυρῶν, θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ ἐξελθὼν διὰ τοῦ ἀριστεροῦ μέρους τοῦ θυσιαστηρίου θυμιᾷ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, εἶτα προπορευομένου ἑνὸς τῶν κληρικῶν μετὰ λαμπάδων καὶ μετὰ μανουαλίων ἔμπροσθεν τοῦ ἱερέως, καὶ αὐτοῦ τοῦ διακόνου ἐνδεδυμένου στολὴν λευκήν, ἐξέρχεται εἰς τὸν νάρθηκα. Εἶθ' οὕτως σφαλίζονται πάλιν αἱ πύλαι, μηδενὸς ἔνδον τοῦ ναοῦ καταλειφθέντος, εἰ μὴ τοῦ ἅπτοντος τὰ πυρεῖα. Εἶτα σταθεὶς ὁ ἱερεὺς ἐν μέσῳ αὐτῶν, καὶ σταυροειδῶς ἐν αὐτοῖς σφραγίσας μετὰ τοῦ θυμιατοῦ γ'. διέρχεται ἀπ' αὐτῶν εἰς τὸ δεξιὸν μέρος, προπορευομένου τοῦ διακόνου μετὰ μανουαλίων, καὶ ὁ ἱερεὺς θυμιᾷ τοὺς ἀδελφοὺς πάντας μετὰ σιωπῆς. Καὶ συντελέσας αὐτούς, ἵσταται ἔμπροσθεν τῶν πυλῶν, κεκλεισμένων αὐτῶν οὐσῶν, καὶ μόνον αὐτοῦ σφραγίσαντος, ἀνοίξαντες, εἰσερχόμεθα μηδὲν σύνολον ψάλλοντες· διαβὰς δὲ ὁ ἱερεὺς διὰ τοῦ δεξιοῦ μέρους τοῦ ναοῦ καὶ εἰσελθὼν ἐν τῷ θυσιαστηρίῳ, καὶ θυμιάσας ἐξέρχεται ἔξω τῶν ἁγίων θυρῶν, καὶ στὰς κατὰ ἀνατολάς, ἔμπροσθεν δὲ σταθεὶς ὁ διάκονος μετὰ μανουαλίων καὶ θυμιατῶν, ἄρχεται ψάλλειν ὁ ἱερεὺς εἰς ἦχον πλ. α'. Χριστὸς ἀνέστη... δωρησάμενος. Τούτου δὲ ψαλλομένου γ'. καὶ ἀποκρινομένου τοῦ λαοῦ κατὰ μίαν τῷ ἱερεῖ, εἶθ' οὕτως ἄρχεται στιχολογεῖν μελῳδικῶς λέγων· Αὕτη ἡ ἡμέρα... Καὶ ὁ λαὸς ἀποκρίνεται κατὰ στίχον τὸ Χριστὸς ἀνέστη, στίχος β'. Ὦ Κύριε, σῶσον δή... στίχος γ'. Συστήσασθε ἑορτὴν ἐν τοῖς ποικάζουσιν... Δόξα καὶ νῦν, Καὶ τοῖς ἐν τοῖς μνήμασι. Καὶ ὁ λαός· Χριστὸς ἀνέστη. Καὶ μετὰ τὸ Δόξα καὶ νῦν, εἰσέρχεται ὁ ἱερεὺς ἔνδον τοῦ θυσιαστηρίου τρανοτέρως· Χριστὸς ἀνέστη. Ὁ λαός· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Ὁ ἱερεύς· Καὶ τοῖς ἐν τοῖς μνήμασιν. Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Въ концѣ утрени, при пѣніи стихиръ Пасхи, происходило христосываніе. Καὶ τούτου λεγομένου, ἐξέρχεται ὁ ἡγούμενος ἠλλαγμένος εἰς τὸ βῆμα, βα-

στάζων τὸ ἅγιον εὐαγγέλιον, καὶ ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, εἶτα καθεξῆς οἱ ἱερεῖς καὶ διάκονοι, πάντες ἠλλαγμένοι, καὶ καθεὶς αὐτῶν ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν ἡγούμενον, ὁμοίως καὶ πάντες τοὺς πάντας. Εὐθέως, τοῦ ἀσπασμοῦ γινομένου, εἷς τῶν ἀδελφῶν, ἀναβὰς ἄνω εἰς τὸν ἄμβωνα, ἀναγινώσκει τὸν λόγον τοῦ Θεολόγου· Ἀναστάσεως ἡμέρα, πάντων ἱσταμένων καὶ ἐπακροωμένων τῆς ἀναγνώσεως, καὶ πληρωθείσης, ψάλλομεν τὸ Χριστὸς ἀνέστη, καὶ γίνεται ἐκτενὴς καὶ συναπτὴ τῶν αἰτησέων καὶ ἀπολύει.

Εἰς τὴν λειτουργίαν, αἱ ὧραι τῆς κυριακῆς καὶ πάσης τῆς ἑβδομάδος τῆς διακαινησίμου ψάλλονται οὕτως μέχρι τοῦ αὐτοῦ σαββάτου· Εὐλογεῖ ὁ ἱερεὺς λέγων· Εὐλογητὸς ὁ Θεός, Χριστὸς ἀνέστη γ'. Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ'. Κύριε ἐλέησον λ'. καὶ ἀπολύει. Ἕτεραι ὧραι τοῦ ἁγίου Σάββα, что нынѣ. (л. 78—81).

На литургіи ἀναγινώσκονται τὰ ἀμφότερα (т. е. апостолъ и евангеліе) ἔνδον τοῦ βήματος· ὁ μὲν ἀπόστολος ὑπὸ τοῦ διακόνου, τὸ δὲ εὐαγγέλιον ὑπὸ τοῦ ἡγουμένου· τὸ δὲ χερουβικὸν γ'. ὥσπερ καὶ τῷ μεγάλῳ σαββάτῳ. Τὸ δὲ εὐαγγέλιον ἀναγινώσκεται παρὰ τοῦ ἡγουμένου ἔνδον τοῦ βήματος, κρατοῦντες αὐτὸ δύο κληρικοὶ ἐνώπιον αὐτοῦ, ὅ τε ἐκκλησιάρχης καὶ εἷς τῶν ἀναγνωστῶν, καὶ ἐκφωνεῖ ὁ καθηγούμενος· Ἐκ τοῦ κατὰ Ἰωάννην. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ ἄρχεται ὁ ἡγούμενος τοῦ εὐαγγελίου, κατὰ δὲ στίχους εὐαγγελίου ἀνταποκρίνεται ὁ εὐαγγελιζόμενος διάκονος ἐν τῷ ἄμβωνι τὸν παρὰ τοῦ ἡγουμένου λεγόμενον λόγον. Μετὰ δὲ τὸ τελειῶσαι ἀμφότεροι τὸ εὐαγγέλιον, προσκυνεῖ ὁ ἡγούμενος ἔνθεν κἀκεῖθεν τοὺς σὺν αὐτῷ ὄντας ἱερεῖς ἐν τῷ θυσιαστηρίῳ καὶ τελεῖται εἶτα ἡ ἐκτενὴς καὶ ἡ λειτουργία τοῦ Χρυσοστόμου (л. 82).

Τῇ κυριακῇ ἑσπέρᾳ εἰς τὸ λυχνικόν, μετὰ τὸ δεύτερον σήμαντρον, ἤγουν τὸ σιδηροῦν, ἀνέρχεται ὁ διάκονος ἄνω εἰς τὸν ἄμβωνα λέγων· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία. Ὁ λαός· Ἀμήν, καὶ ἀρχόμεθα ψάλλειν ὁμοφώνως πάντες τὸ Χριστὸς ἀνέστη, εἶτα ὁ διάκονος συναπτὴν μεγάλην, καὶ ὁ ἱερεὺς τὴν εὐχήν, εἶθ' οὕτως μετὰ τὴν ἐκφώνησιν ὁ διάκονος θυμιᾷ ἠλλαγμένος, ψάλλοντος τοῦ λαοῦ, τὸ Κύριε ἐκέκραξα, ἦχος β'. στιχηρὰ τὰ ἐν ἀρχῇ Ὀκτωήχου γ'. καὶ ἀνατολικὰ γ'. Δόξα καὶ νῦν, θεοτοκίον ἐκ τῶν στιχηρῶν· Ὥσπερ παρθενευούσης τῆς φύσεως. Εἰ δ' οὐκ ἔχει τοῦτο, λέγε· Ὦ θαύματος καινοῦ... Во время чтенія евангелія, діаконъ кадитъ кругомъ св. трапезу и весь алтарь. Отпустъ совершается такъ: Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ

λαός· Ἐν ὀνόματι Κυρίου. Ὁ διάκονος· Σοφία. Ὁ λαός· Εὐλογεῖτε, ἅγιε, Κύριε εὐλόγησον, καὶ ἀπόλυσις (л. 83).

Τὸ δὲ ἀπόδειπνον γίνεται οὕτω· μετὰ τὸ σημαίνειν τὸν ἐκκλησιάρχην, εὐλογεῖ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, καὶ ἄρχεται ὁ λαὸς ψάλλειν ὁμοφώνως καὶ μελῳδικῶς τὸ Χριστὸς ἀνέστη γ΄. εἶτα ὁ κανών· Ἀναστάσεως ἡμέρα, ποιοῦμεν αὐτοῦ τροπάρια μετὰ τοῦ εἱρμοῦ καὶ τοῦ Δόξα καὶ νῦν. Ἀπὸ ς΄. τὸ κοντάκιον, ἀπὸ θ΄. ἐξαποστειλάριον, εἶθ' οὕτως Χριστὸς ἀνέστη γ΄. Κύριε ἐλέησον λ΄. Δεῖ γινώσκειν, ὅτι, ὥσπερ ἐγένετο ἡ τάξις τῆς α΄. ἡμέρας ἀπό τε τοῦ θυμιάματος τῆς ἀρχῆς τοῦ ὄρθρου μέχρι συμπληρώσεως τοῦ ἀποδείπνου, ἡ αὐτὴ τάξις τελεῖται μέχρι καὶ αὐτοῦ τοῦ σαββάτου τῆς διακαινησίμου ἀνελλιπῶς. Εὐθὺς ὁ ἱερεύς, λαβὼν τὸν θυμιατὸν καὶ ἐξελθὼν ἀπὸ τοῦ θυσιαστηρίου, θυμιᾷ, τοῦ διακόνου προπορευομένου ἔμπροσθεν αὐτοῦ (μετὰ) μανουαλίων δύο, ὁ δὲ λαὸς ἅπας, ἔνδον ὑπάρχων τοῦ ναοῦ, ὁμοίως, καὶ τὸ Χριστὸς ἀνέστη τοῦ ὄρθρου ὑπ' αὐτοῦ ψάλλεται μετὰ τῶν στίχων, καὶ ὁ αὐτὸς κανὼν ψάλλεται δι' ὅλης τῆς ἑβδομάδος εἰς τὸν ὄρθρον καὶ τὸ ἀπόδειπνον. (л. 84).

Служба отданію праздника Пасхи ничего не заключаетъ въ себѣ пасхальнаго. Канонъ слѣпому и святому. Но рядомъ съ этимъ имѣется: ἑτέρα ἀκολουθία τοῦ πατριαρχικοῦ Τυπικοῦ. Τῇ γ΄. ἑσπέρᾳ, εἰς τὸ Κύριε ἐκέκραξα, ἀναστάσιμα γ΄. τὰ ἀρχαῖα, καὶ τοῦ ἁγίου γ΄. εἰς τὸ Δόξα καὶ νῦν, ἦχος πλ. δ΄. Δικαιοσύνης ἥλιε. Εἰς τὸν στίχον, στιχηρὰ τοῦ στίχου, καὶ τὰ στιχηρὰ τοῦ Πάσχα, ἦχος πλ. α΄. Πάσχα ἱερὸν ἡμῖν, στίχος· Ἀναστήτω ὁ Θεός, στίχος β΄. Ὡς ἐκλείπει, Δεῦτε ἀπὸ θέας, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη γ΄. εἶτα Νῦν ἀπολύεις, ἀπολυτίκιον, πλ. α΄. ἦχος, Τὸν συνάναρχον Λόγον. Χαῖρε πύλη Κυρίου, καὶ ἀπολύει. Утреня Пасхи, какъ нынѣ (л. 97).

Службу праздника Вознесенія Господня см. у Toscan. p. 66—70.

Вечерня на Пятидесятницу начинается обычнымъ порядкомъ. Паремій, апостола и евангелія[1]) нѣтъ, но есть антифоны.

Л. 108. Περὶ τῆς μ΄. τῶν ἁγίων ἀποστόλων.

---

[1]) Въ рк. Барб. библ. № 102 чинъ вечерни съ пареміями Исаіи, Даніила и того же Даніила, апостолъ: Ἔκρινεν ὁ Παῦλος, εὐαγγέλιον· Ἐὰν ἀγαπᾶτέ με. Τέλος· καὶ ὑπομνήσει ὑμῖν πάντα, ἃ εἶπον ὑμῖν. Послѣ евангелія сугубая ектенья и чтеніе первой молитвы, антифонъ: Ἠγάπησα, ὅτι εἰσακούσεται. Ταῖς πρεσβείαις, ектенья и молитва вторая, 2 антифонъ:

Далѣе съ л. 112 слѣдуютъ тѣже статьи, какія имѣются въ предыдущемъ Туринскомъ кодексѣ, съ прибавленіемъ на л. 125 об. „Ἐκ τοῦ Τυπικοῦ τοῦ ἁγίου Σάββα“ замѣчаній о несовершеніи литургіи въ великую пятницу, о чтеніи евангелія на утрени чрезъ всю недѣлю Пасхи, о вечерни въ первую недѣлю поста и др. Послѣдняя статья, очевидно, вырвана изъ Туринской рукописи.

c) Типиконъ Валличеллiановской библіотеки въ Римѣ подъ буквою D. № 61 въ „Index universalis cognominum, nominum, auctorum et materiarum, quae in manuscriptis codicibus graecis bibliothecae Vallicellanae continentur, ordine alphabetico dispositus anno Domini MDCCXLIX“, находящемся въ самой библіотекѣ, описывается такъ: „Synaxarium Graecorum, scriptum circa XIII Iesu Christi saeculum, olim usui praecis presbiteris Galateis Neretinae dioecesis“. Настоящая рукопись въ 16 долю листа, всего 165 листовъ, писана на пергаменѣ (большинство листовъ палимпсесты) разгонистымъ небрежнымъ почеркомъ XIII вѣка. Рукопись безъ начала и конца. Начинается она изложеніемъ особенностей въ службѣ на 14 число ноября мѣсяца, а обрывается на службѣ шестой недѣли по Пасхѣ, или недѣли святыхъ отецъ. Своими литургическими особенностями и изложеніемъ ихъ, эта рукопись за весьма немногими исключеніями, сходна съ предыдущею рукописью Барберіновской библіотеки III № 69.

d) III. № 102 (236) Τυπικὸν σὺν Θεῷ τοῦ ὅλου χρόνου, ἔχον τὴν ἐκκλησιαστικὴν κατάστασιν ἅπασαν τῶν τε δεσποτικῶν ἑορτῶν καὶ τῆς ὑπεραγίας Θεοτόκου, καὶ τῶν ἐπισήμων ἁγίων, καὶ ὅλου τοῦ ἐνιαυτοῦ, κατὰ τὴν παράδοσιν τῶν ἁγίων πατέρων, τοῦ τε ἁγίου Σάββα, καὶ τοῦ Στουδίτου καὶ τὸ πλεῖστον τοῦ Ἁγίου Ὄρους· οὐ μὴν δ' ἀλλὰ καὶ μέρος τῆς παραδόσεως τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Ἰωσήφ, τοῦ κτήτορος τῆς ἁγίας μονῆς τοῦ ἁγίου Νικολάου τῶν Κασούλων. Καὶ πρῶτον μὲν ἐν κε-

---

Ἐπίστευσα, διὸ ἐλάλησα. „Спаси насъ, Утѣшителю благій“, „Единородный Сыне“, 3 молитва, антифонъ 3: „Хвалите Господа“ съ тропаремъ: „Благословенъ еси, Христе“, слава и нынѣ, кондакъ, Сподоби Господи, ектенья и стихиры на стиховнѣ, Нынѣ отпущаеши, Трисвятое, тропарь и отпустъ. На повечеріи канонъ святого.

φαλαίοις τισὶν ἐν ἐπιτομῇ πάντα προδηλοῦν, ἔπειτα δὲ τρανοτέρως κατὰ τάξιν ἐν τῷ ἰδίῳ καὶ προσφόρῳ τόπῳ καὶ καιρῷ διαλαμβάνον. Рукопись Барберіновской библіотеки въ 16 долю листа, 148 листовъ, писана на бумагѣ четкимъ почеркомъ 1583 года. Дата эта опредѣляется слѣдующею припискою на послѣднемъ листѣ: „Τὸ παρὸν Τυπικὸν τῆς μονῆς τοῦ ὁσίου πατρὸς ἡμῶν Νικολάου τῶν Κασούλων, ἀρχόμενον ἀπὸ τοῦ Σεπτεμβρίου μηνὸς μέχρις Αὐγούστου, καὶ ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου μέχρι τῆς τῶν Ἁγίων Πάντων, σὺν τοῖς αὐτοῦ κεφαλαίοις ἐγράφη διὰ χειρὸς τοῦ ἐλαχίστου καὶ ἀναξίου ἱερέως Στεφάνου Ῥήπα ἀπὸ τῆς πόλεως Σωλέντου καὶ ἐτελειώθη ἐν μηνὶ Ἰουλίῳ, ἡμέρᾳ ιγ'. ἔτει ἀπὸ κόσμου κτίσεως 7091, καὶ ἀπὸ τῆς ἐνσαρκώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ 1583. Ἀμήν. Τέλος τῷ Θεῷ χάρις“. (л. 148 об.). Въ рукописи имѣются еще двѣ приписки на латинскомъ языкѣ, опредѣляющія происхожденіе ея, изъ коихъ первая на выходномъ листѣ гласитъ слѣдующее: „Prior pars Typicon ex vetusto quodam codice ms., qui extat apud Antonium Arcudium archipresbyterum terrae Soleti Hydruntinae dioecesis transcripta, et ab eo nobis in urbem transmissa et accepta die XIII. mensis Iulii MDLXXXIII“, а вторая на 93 листѣ почти тожественна первой: „Posterior pars Typicon ex eodem vetusto codice ms. et ab eodem Antonio archipresbytero terrae Soleti Romam nobis transmissa et accepta die VII mensis Octobris MDLXXXIII“. Этимъ „нѣкіимъ древнимъ кодексомъ“, съ котораго списана настоящая рукопись, и нужно считать выше описанный нами кодексъ Туринской библіотеки № 216, воспроизведенный въ настоящей Барберіновской рукописи, за исключеніемъ конца, почти дословно.

Изъ дополнительныхъ статей, послѣ главы на л. 145 об. Περὶ τῆς μ'. τῶν ἁγίων ἀποστόλων, мы находимъ здѣсь замѣчанія о пѣніи стихиръ на „Господи воззвахъ“, стиховъ: „Господеви поемъ“ „Утверди Боже“ (послѣдній стихъ въ постъ не поется), объ откровеніи главъ, о поведеніи хоровъ и монаховъ въ храмѣ и внѣ его, о времени буженія братіи къ службамъ и оповеденіи ихъ на трапезѣ, извлеченіе изъ Типикона св. Саввы о службѣ субботней съ памятью какого нибудь святого и, наконецъ, на л. 147 об. Κεφάλαια τῶν παραλειπομένων τοῦ Τυπικοῦ Ἰωάννου τοῦ Νηστευτοῦ. Въ составъ этихъ послѣднихъ главъ входятъ замѣчанія о повседнев-

ныхъ припѣвахъ къ стихирамъ на стиховнѣ на утрени, о славникахъ для тѣхъ же стихиръ, о томъ, что въ господскіе праздники не должно пѣть обычныхъ, вмѣсто канона, пѣсней, говорить тропаря: „Господи, иже пресвятаго твоего Духа“, о чтеніи евангелія на утрени чрезъ всю недѣлю Пасхи и др. Подобныхъ главъ св. Іоанна Постника въ другихъ однородныхъ по содержанію рукописяхъ—нѣтъ.

Антоній Аркудій воспользовался описанною рукописью для своего извѣстнаго Анѳологіона, напечатаннаго имъ въ 1598 году въ Римѣ. Книга эта носитъ слѣдующее заглавіе: „Νέον Ἀνθολόγιον πληρέστατόν τε καὶ ἀκριβέστατον εἰς τὸ τὰς νυχθημέρους κανονικὰς ὥρας τε καὶ δεήσεις ἀναγινώσκειν, συντεθὲν καὶ συλλεχθέν, κατὰ τὴν τάξιν τοῦ παλαιοῦ καὶ καθολικοῦ Τυπικοῦ τῆς παραδόσεως τῶν ἁγίων πατέρων, τοῦ τε ἁγίου Σάββα καὶ τοῦ Στουδίτου, καὶ τὸ πλεῖστον τοῦ Ἁγίου Ὄρους· οὐ μὴν δ' ἀλλὰ καὶ μέρος τῆς παραδόσεως τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Ἰωσὴφ τῆς μονῆς τοῦ ἁγίου Νικολάου τῶν Κασούλων. Ἐτυπώθη ἐν Ῥώμῃ 1598 ἔτ. ἐκ τῆς Βατικανῆς τυπογραφίας“. Въ посвященіи этой книги папѣ Клименту VIII издатель опредѣляетъ составъ ея такимъ образомъ: Τοῦτο οὖν τὸ Ἀνθολόγιον συνέχει τὰ τοῦ παλαιοῦ Τυπικοῦ καθολικὰ κεφάλαια, τὸ Ψαλτήριον μετὰ τῶν ᾠδῶν, κατὰ τοὺς ἑβδομήκοντα, τῆς νέας διορθώσεως τὸ Ὡρολόγιον, τὴν τῆς ἑβδομάδος ἀκολουθίαν, ψαλλομένην ἀντὶ τῆς Παρακλητικῆς, τὴν ἀναστάσιμον Ὀκτώηχον μετὰ τῶν ἕνδεκα ἑωθινῶν εὐαγγελίων τε καὶ ἐξαποστειλαρίων ἀναστασίμων, τὸ Πεντηκοστάριον μετὰ τῶν τριῳδίων, ἐν τοῖς ἀποδείπνοις ψαλλομένων, τὴν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν τῶν κοιμηθέντων ἀκολουθίαν, τὰ τῶν κοινῶν ἁγίων στιχηρά, δόξας, καθίσματα καὶ κανόνας, καὶ τὰ αὐτῶν ἴδια Συναξάρια, ὧν τὰς τελετὰς ἑορτάζομεν, τὰς τοῦ Κυρίου, τῆς τε ὑπεραγίας Θεοτόκου Μαρίας, τέλος δέ, καὶ πάντων τῶν ἄλλων ἐπισήμων ἁγίων τοῦ ἐνιαυτοῦ ὁλοτελεῖς ἀκολουθίας, ἀντὶ δὲ τῶν ἰδίων κανόνων τῶν ἁπλῶν καὶ οὐχ ἑορταζομένων ἁγίων τὰ κοινὰ συμφωνοῦντα προσηρμώσαμεν· ἐξαπλῶς δὲ συνέχει οὐσιωδῶς πάσας τὰς ἐν ταῖς εἴκοσι βίβλοις συνεχομένας ὅλου τοῦ ἐνιαυτοῦ ἀκολουθίας“. Отсюда, слѣдовательно, ясно, что описываемая нами Барбериновская рукопись № 102 (236) послужила оригиналомъ для труда архипресвитера Антонія Аркудія только въ незначительной своей части, а именно, при изданіи имъ Типикона греческой церкви. Но и здѣсь изда-

тель его далеко не вездѣ слѣдуетъ за имѣвшимся у него подъ руками оригиналомъ, а измѣняетъ и передѣлываетъ послѣдній, по своему личному усмотрѣнію, сообразно съ своими планами и намѣреніями. Такъ, напр., въ самомъ началѣ онъ помѣщаетъ, согласно съ оригиналомъ, главы ἐν ἐπιτομῇ, но изъ нихъ опускаетъ главы 2, 3 и 10, и статьи: 1) περὶ τῆς ἐγέρσεως τοῦ ὄρθρου, 2) περὶ τῆς ἀναγνώσεως, 3) περὶ τοῦ ὄρθρου τοῦ σαββάτου и замѣчаніе о прощеніи іерея. Нѣкоторыя главы излагаются нѣсколько иначе (напр. 2, а по ркп. 4 περὶ τῆς στιχολογίας τοῦ ὄρθρου), или же получаютъ названія, не бывшія въ оригиналѣ (гл. 17 περὶ τοῦ ὄρθρου) и т. д.

К) а) № 1877. Ркп. Ватиканской библіотеки въ 16 долю листа, 260 листовъ, писана на пергаменѣ (нѣкоторые листы палимпсесты) почеркомъ 1292 года, какъ это видно изъ слѣдующей приписки въ срединѣ рукописи: „Ἀνάρχων, Χριστέ, τῶν καλῶν ἡ ἀκρότης, ὁ νύκτας ποιῶν καὶ δαδουχὼν ἡμέρας, σκέπε, φρούρει, φύλαττε τὸν Κορίνθιον Παῦλον, ὃς ἦν ἐκ μονῆς Ἅγρους τῶν ἀποστόλων, κάτοικος δ' αὖθις Θεοτόκου τοῦ Μῆλι, σύμπραξον ἀρχήν, συμμάχησον καὶ τέλος. Ἡ χεῖρ τὸ γράμμα, νοῦς ἐφέλκει τοὺς λόγους, τὸ πνεῦμα δ' αὖθις συμπαρέσχε τὴν ἰσχέσιν, ὡς τοῦ γράφειν ἔπαυσα τοὺς τρεῖς δακτύλους. Τῇ χειρί, Χριστέ, τῇ ταῦτα χαραξάσῃ παράσχου χάριν, χρηστὰ γράμματα γράφειν. Ἐτελειώθη δὲ μηνὶ Δεκεμβρίῳ, πρώτῃ, ἡμέρᾳ κυριακῇ, ὥρᾳ θ'. ἰνδικτιῶνος ς'. ἔτους ϡϟω (1292 года) δι' οἰκοδομῆς καὶ συνδρομῆς κυροῦ Νικοδήμου, κατὰ τὴν ἡμετέραν ἐκκλησίαν τῆς αὐτῆς ἁγίας μονῆς τῆς ὑπεραγίας Θεοτόκου τοῦ Μίλι (sic). Οἱ ἀναγινώσκοντες εὔχεσθέ μοι διὰ τὸν Κύριον, καὶ μὴ καταράσθε, ὅτι καὶ ὁ γραφὰς (γράψας) παραγράψας, καὶ μάλιστα ὄντος μου ἀμαθοῦς καὶ ἀπη... (Здѣсь переплетчикомъ строка отрѣзана), καὶ ἡ ἀνάγκη ἡ πολλή, ἀτυχιῶν τὰ πλήθη, καὶ ἡ τοῦ βίου μέριμνα ἐσκότισε τὸν νοῦν μου καὶ διὰ τοῦ εὔκαιραν κεφαλὴν εἰς τὸν γράψαντα. Ἡ χεῖρ με ἡ γράψασα σέσηπται τάφῳ, γραφὴ δὲ μένει αἰῶσιν ἀπεράντοις. Εὔχεσθε, φίλοι, τοῦ Κορινθίου Παύλου, οὗ γὰρ πατρὶς πέφυκε πόλις Τραΐνα. (л. 177).

Л. 1. Κεφάλαια ἐν ἐπιτόμῳ δηλοῦνται τῆς ἐκκλησιαστικῆς καταστάσεως.

Въ этихъ главахъ изложены особенности суточныхъ службъ, какъ это видно и изъ наименованій каждой главы, какъ напр.,

κεφ. α'. Περὶ τῆς στιχολογίας τοῦ ὄρθρου, κεφ. β'. Περὶ τῆς ἑσπερινῆς στιχολογίας, κεφ. γ'. ἐν ᾧ περὶ τῆς στιχολογίας, τὸ Πρὸς Κύριον и т. д. По изложенію эти главы нѣсколько отличны отъ подобныхъ главъ въ Туринскомъ Типиконѣ и въ однородныхъ съ нимъ Типиконахъ другихъ библіотекъ.

Л. 9 об. Мѣсяцесловъ. Ἡ ἀρχὴ τῆς ἰνδίκτου, καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου.

2. Τοῦ ἁγίου μάρτυρος Μάμαντος.

3. Τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου.

4. Τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα.

5. Τοῦ ἁγίου προφήτου Ζαχαρίου.

6. Μνήμη τοῦ γεγονότος θαύματος ὑπὸ τοῦ[1]) ἀρχιστρατήγου Μιχαὴλ ἐν ταῖς Χώναις.

7. Προεόρτιον τῆς γεννήσεως τῆς ὑπεραγίας Θεοτόκου, καὶ μνήμη τοῦ ἁγίου μάρτυρος Σώζοντος.

8. Τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου. Ἑσπέρας, μετὰ τὸν προοιμιακόν[2]), στιχολογεῖται τὸ Μακάριος ἀνὴρ[3]) μόνον[4]) τὴν α'. δόξαν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν στιχηρὰ γ'. ἦχος δ'. Ἡ παγκόσμιος χαρά, τὸ β'. Δι' ἀγγέλου προῤῥήσεως[5]), τὸ γ'. Τὴν πάνσεπτόν σου, τὰ μὲν β'. ἐκ γ'.[6]) τὸ δὲ ἕτερον δισσεύεται. Δόξα καὶ νῦν, ἦχος δ'. Στεῖρα ἡ Ἄννα, ἡ εἴσοδος, εἰς τὸ Φῶς ἱλαρὸν προκείμενον τῆς ἡμέρας, ἀναγνώσματα γ'. τὸ α'. Γενέσεως· Ἐξῆλθεν Ἰακώβ, τὸ β'. Ἰεζεκιήλ· Ἔσται ἀπὸ τῆς ἡμέρας, τὸ γ'. Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν. Εἰς τὸν στίχον, στιχηρά, ἦχος πλ. β'. Αὕτη ἡ ἡμέρα Κυρίου, στίχος α'. Ἄκουσον, θύγατερ. Σήμερον ὁ τοῖς νοεροῖς, στίχος β'. Τὸ πρόσωπόν σου λιτανεύσουσιν. Εἰ καὶ θείῳ βουλήματι, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Σήμερον στειρωτικαὶ πύλαι. Ἀπολυτίκιον, ἦχος α'. Ἡ γέννησίς σου, Θεοτόκε. Τὸ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, (καὶ) εἰς τὸ τέλος τοῦ ὄρθρου. Εἰς τὸν ὄρθρον στιχολογοῦμεν ἀντίφωνα γ'. τὸ α'. Ἐξηρεύξατο, ψαλμὸς μδ'. τὸ β'. Ὁ Θεὸς ἡμῶν καταφυγή, ψαλμὸς με'. τὸ γ'. Μνήσθητι, Κύριε, τοῦ Δαβίδ, ψαλμὸς ρλε'. Ἡ ὑπακοή· Μακαρίζομέν σε, ἀνάγνωσις, Λόγος

---

[1]) Ркп. Ватик. библ. № 1609 μεγάλου [2]) Barber. ms. № 78 ψαλμὸν στιχολογοῦμεν [3]) ркп. ватик. библ. № 1609 καὶ τοὺς μετὰ ταῦτα δύο μόνους ψαλμοὺς ἕως εἰς τὴν πρώτην δόξαν [4]) Barber. № 78. Этого слова нѣтъ. [5]) Ταῦτα ἐκ γ'. [6]) ркп. ватик. библ. № 1609 τὰ μὲν β'. ἐκ τρίτου, τὸ δὲ ἓν δισσεύεται.

Ἀνδρέου Κρήτης, οὗ ἡ ἀρχή· Ἀρχὴ μὲν ἑορτῶν ἡ παροῦσα πανήγυρις. Ἀναβαθμοί, ἀντίφωνον α'. ἦχος δ'. προκείμενον, ἦχος δ'. Μνησθήσομαι τοῦ ὀνόματός σου, στίχος· Ἄκουσον, θύγατερ, Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ, ὁ Ν'. κανόνας β'. τῆς ἑορτῆς, εἰς ἦχον β'.[1]) καὶ ὁ ἕτερος πλ. δ'. Τῷ συντρίψαντι πολέμους, καὶ εἰς τὸ τέλος λέγομεν τὴν καταβασίαν τοῦ Σταυροῦ· Σταυρὸν χαράξας Μωσῆς. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα καὶ τὸ ἐπίλοιπον τῆς ἀναγνώσεως· ἀπὸ ς'. τὸ κοντάκιον, ἀπὸ θ'. τὸ ἐξαποστειλάριον. Εἰς τοὺς αἴνους, στιχηρά[2]), ἦχος β'. Πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ, Δόξα καὶ νῦν, Ὁ συνάναρχος[3]), καὶ γίνεται δοξολογία μεγάλη καὶ συναπτὴ τῶν αἰτησέων καὶ ἀπολύει.

Ἔχει[4]) δὲ[5]) καὶ εἰς τὸ βιβλίον τοῦ κυροῦ Λέοντος τοῦ δεσπότου εἰς τὴν αὐτὴν ἑορτὴν λόγος, οὗ ἡ ἀρχή· Αὕτη ἡ ἡμέρα Κυρίου, καὶ εἰς τὸ Πανηγυρικὸν ἱστορίαν Ἰακώβου, οὗ ἡ ἀρχή· Ἐν ταῖς ἱστορίαις τῶν δώδεκα.

Εἰς τὴν λειτουργίαν[6]), ἀντίφωνα γ'. τὸ α'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, τὸ β'. Ὁ Κύριος ἐβασίλευσε. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου, τὸ γ'. Δεῦτε ἀγαλλιασώμεθα. Ἡ γέννησίς σου, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Προκείμενον, ἦχος γ'. ᾠδὴ τῆς Θεοτόκου, апостолъ, евангеліе и причастенъ, что нынѣ. Ἄγομεν ἀργίαν τοῦ καμάτου (лл. 15—16).

9. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης.

10. Τῶν ἁγίων Μηνοδώρας καὶ Νυμφοδώρας, καὶ Μητροδώρας, καὶ τῆς μητρὸς αὐτῶν Σοφίας.

11. Τῆς ὁσίας μητρὸς ἡμῶν Θεοδώρας, τῆς ἐν Ἀλεξανδρείᾳ[7]).

12. Τοῦ ἁγίου ἱερομάρτυρος Αὐτονόμου[8]).

13. Τὰ ἐγκαίνια τῆς Ἀναστάσεως[9]).

14. Ἡ Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, καὶ ἡ κοίμησις τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

---

[1]) Ркп. ватик. библ. № 1609 Δεῦτε λαοί [2]) Barber. № 78 στιχηρὰ προσόμοια, ἦχος α'. Δόξα καὶ νῦν, ἦχος β'. Σήμερον ἡ παγκόσμιος χαρά. [3]) ркп. ватик. библ. № 1609 Σήμερον ἡ παγκόσμιος χαρά [4]) Barber. № 78 Нѣтъ этого замѣчанія. [5]) Ркп. ватик. библ. № 1609. Ἔχει δὲ καὶ ἑτέρους λόγους διαφόρους εἰς ταῦτα, ἐν οἷς ἀναγινώσκονται, ὅταν προστεθῶσιν [6]) Barber. № 78 ἀντὶ τῶν μακαρισμῶν ἡ ς'. ᾠδὴ τοῦ κανόνος, ἦχος δ'. ἀντίφωνον [7]) καὶ τοῦ ὁσίου τοῦ Σπηλαίου [8]) ἐπισκόπου Ἰταλίας [9]) ркп. ватик. библ. № 1609. Τῆς ἁγίας Ἄννης, вмѣсто обновленія храма воскресенія, но службы въ обоихъ уставахъ дословно сходны. Не ошибка ли здѣсь?

Ἑσπέρᾳ εἰς τὸ λυχνικόν, μετὰ τὸν προοιμιακὸν ψαλμόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, τὴν α'. δόξαν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα δ'. εἰς ἦχον πλ. β'. καὶ δευτεροῦμεν αὐτά, τὸ α'. Σήμερον ξύλον ἐφανερώθη, τὸ β'. Σήμερον τὸ φυτὸν τῆς ζωῆς, τὸ γ'. Ὁ τετραπέρατος, τὸ δ'. Τῶν προφητῶν αἱ φωναί, Δόξα καὶ νῦν, Ἡ φωνὴ τοῦ προφήτου σου, ἡ εἴσοδος, εἰς τὸ Φῶς ἱλαρὸν προκείμενον· Ὁ Κύριος ἐβασίλευσε, στίχος· Ἐνεδύσατο Κύριος, ἀναγνώσματα γ'. τὸ α'. τῆς Ἐξόδου· Ἐξῆρε Μωσῆς, τὸ β'. Παροιμιῶν· Υἱέ, μὴ ὀλιγώρει, τὸ γ'. Ἡσαΐου· Τάδε λέγει Κύριος· ἀνοιχθήσονται πύλαι. Εἰς τὸν στίχον, στιχηρά, ἦχος πλ. β'. πρὸς τὸ Ὅλην ἀποθέμενοι. Σταυρὸς ἀνυψούμενος, Δόξα καὶ νῦν, ἦχος γ'. Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀπολυτίκιον· Σῶσον, Κύριε. Καὶ ὁ κανὼν τοῦ ἁγίου ψάλλεται εἰς τὸ μεσονύκτιον.

Εἰς τὸν ὄρθρον, εἰς τὸ Θεὸς Κύριος, τροπάριον, ἦχος β'. Τὸν ζωοποιὸν σταυρόν, στιχολογοῦμεν δὲ ἀντίφωνα γ'. τὸ α'. ὁ πολυέλεος, τὸ β'. Ἵνα τί ὁ Θεός, ψαλμὸς ογ'. τὸ γ'. Αἰνεῖτε τὸν Κύριον, ψαλμὸς ρμη'. κάθισμα, ἦχος πλ. β'. Σήμερον τὸ προφητικόν, Δόξα καὶ νῦν, Ὁ τὴν εὐλογημένην, ἀνάγνωσις Ἀνδρέου Κρήτης[1]· Σταυροῦ πανήγυριν, οἱ ἀναβαθμοί, ἦχος πλ. δ'. προκείμενον, ἦχος δ'. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν, στίχος· Μνήσθητι τῆς συναγωγῆς σου, εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ὁ φίλων πατέρα ἢ μητέρα, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ Ν'. ὁ κανών, ἦχος πλ. δ'. Σταυρὸν χαράξας Μωσῆς, ἀνὰ τροπάρια η'. Ἀπὸ γ'. ᾠδῆς, κάθισμα καὶ τὸ ἐπίλοιπον τῆς ἀναγνώσεως, ἀπὸ ς'. ᾠδῆς, τὸ κοντάκιον, ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, ἀπὸ θ'. τὸ ἐξαποστειλάριον· Σταυρὸς ὑψοῦται. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, στιχηρά, ἦχος β'. πρὸς τὸ Οἶκος τοῦ Ἐφραθᾶ, Δόξα καὶ νῦν, ἦχος β'. Σήμερον ὑψουμένου σου, ἢ Σήμερον ὁ σταυρὸς ὁ τίμιος, Δόξα ἐν ὑψίστοις, καὶ γίνεται δοξολογία μεγάλη· τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν[2], τροπάριον· Σῶσον, Κύριε. Καὶ τούτου λεγομένου, ἐξέρχεται ὁ ἱερεὺς ὁ μέλλων ὑψῶσαι τὸ τίμιον ξύλον ἐκ τῶν ἁγίων θυρῶν, προπορευομένων ἔμπροσθεν αὐτοῦ δύο[3] διακόνων, ἐπὶ χεῖρας ἔχοντος τοῦ ἑνὸς θυμιατῆρα, καὶ ὁ

[1]) Ркп. Ватик. библ. № 1609 οὗ ἡ ἀρχή. [2]) Нѣтъ—τὸ Πάτερ ἡμῶν. [3]) Barb. № 78; № 102 δύο μανουαλίων καὶ θυμιατοῦ, βαστάζων ἐπάνω κεφαλῆς αὐτοῦ τὸ τίμιον ξύλον, καὶ ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ, ποιεῖ γονυκλισίας γ'. κἂν τε σάββατόν ἐστι κἂν τε κυριακή, καὶ σταθεὶς κατ' ἀνατολάς, κρατῶν ταῖς χερσὶ τὸ τίμιον ξύλον, ἀπάρχεται σφραγίζειν, τοῦ ἐκκλησιάρχου μετὰ τῶν συνιστα-

ἱερεὺς[1]) μέλλων ὑψῶσαι, ποιεῖ γονυκλισίας γ'. καὶ σταθεὶς κατὰ ἀνατολὰς ἐπὶ τοῦ ἄμβωνος, ἄρας τὸ τίμιον ξύλον ἀπὸ τοῦ ἑτέρου[2]), ὁ ἱερεὺς ἀπάρχεται σφραγίζειν, τοῦ ἐκκλησιάρχου μετὰ τῶν συνισταμένων αὐτῷ εὐθὺς κράζοντος[3]) τὸ Κύριε ἐλέησον γ'. μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ ὁ ἱερεύς, σφραγίσας[4]) γ'. κατὰ ἀνατολάς, ὑψοῖ αὐτὸν κατέχων ἀμφοτέραις ταῖς χερσίν, ἱσταμένων τῶν διακόνων ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων[5]). Ὁ δὲ ἐκκλησιάρχης μετὰ παντὸς τοῦ λαοῦ λέγει· Κύριε ἐλέησον ρ'. ὥστε τὰς προλεχθείσας φωνὰς τρὶς τοῦ Κύριε ἐλέησον, ἐκτὸς εἶναι τοῦ ἀριθμοῦ τῶν ρ'. Εἶτα μετὰ τὸ ἐκβοῆσαι τὸν λαὸν ἐννενήκοντα ἑπτὰ τὸ Κύριε ἐλέησον, πάλιν τῆς προτέρας[6]) ἅπτονται ἰσχυρᾶς φωνῆς. Ὅτε ὁ ἐκκλησιάρχης καὶ οἱ μετ' αὐτοῦ ἐκ γ'. τὸ Κύριε ἐλέησον λέγοντες, ὡς αἰσθόμενοι τὸν ἱερέα σφραγίζειν γ'. καὶ τελεῖται ἡ ἑκατοντάς. Εὐθὺς οὖν, πρὸς τὸ νότιον μέρος στραφείς, ὁ ἱερεὺς ὑψοῖ πάλιν τὸν τίμιον σταυρόν, συνεπομένων[7]) αὐτῷ τῶν διακόνων εἰς οἷον ἂν μέρος ἑαυτὸν ὑποκλίνῃ. Οὕτως ἐν ἀρχῇ τῆς ἑκατοστῆς καὶ ἐν τῷ τέλει, ἐν ᾧ μέρει ἵστατο σφραγίζων ἐκ γ'. Καὶ πάλιν πρὸς δυσμὰς ὑποκλίνει, κἀκεῖσε ὅμοια τῆς προτέρας ὑψώσεως διατελέσας, τοῖς πρὸς τὸ βόρειον μέρος ἑαυτὸν ἐμφανίζει (л. 22), κἀκεῖθεν πάλιν τῇ ὑστεραίᾳ πρὸς[8]) ἀνατολὰς τὴν ὕψωσιν ποιήσας, ἐν τῷ τέλει τρεῖς μόνας ὑψηλοτέρας φωνὰς ἀφέντος τοῦ ἐκκλησιάρχου μετὰ τῶν σὺν αὐτῷ[9]) ψαλλόντων· Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Ὁ ἱερεύς, βαλὼν τὸν τίμιον σταυρὸν ἐν τῷ δίσκῳ[10]), κάτεισι μετ' αὐτοῦ,

---

μένων αὐτῷ εὐθὺς κράζοντος τὸ Κύριε ἐλέησον ἐκ γ'. μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ ὁ ἱερεύς, σφραγίσας γ'. μετὰ τοῦ τιμίου ξύλου κατὰ ἀνατολάς, ὑψοῖ αὐτὸν κατέχων.

[1]) Ркп. Ватик. библ. № 1609 καὶ ἕτερος ὄπισθεν βαστάζων τὸ τίμιον ξύλον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ διαβὰς ὁ μέλλων ὑψῶσαι ποιεῖ [2]) ἀπὸ τοῦ ἕτους [3]) κράζοντα [4]) μετὰ τοῦ τιμίου σταυροῦ [5]) Barber. № 78; № 102 ἢ εἰσίν, εἰ δὲ οὐκ εἰσιν οὔτε διάκονοι οὔτε ἱερεῖς, ἀρκετὸν αὐτὸς μόνον. [6]) Ркп. Ватик. библ. № 1609 φωνῆς [7]) συναπτὴ [8]) πρὸς ἐκκλησιάρχην μετὰ τῶν σὺν αὐτῷ, καὶ τοῦ ἱερέως σφραγίσαντος λαμβάνει ἡ ὕψωσις, εἶτα τοῦ πρώτου ψάλτου μετὰ τῶν σὺν αὐτῷ ψάλλομεν· Ὁ ὑψωθεὶς [9]) Barber. № 78; № 102 καὶ τοῦ ἱερέως σφραγίσαντος, τέλος λαμβάνει ἡ ὕψωσις, εἶτα ὁμοθυμαδὸν ψάλλων τὸ κοντάκιον. [10]) Καὶ ἀπομυρίσας αὐτὸν ἐν σκεύει ἱερῷ μετὰ ῥοδοστάγματος, καὶ λαβὼν τὸ θυμιατόν, καὶ θυμιάσας αὐτόν, προτίθησιν εἰς προσκύνησιν, προευτρεπισμένου ὑπάρχοντος πρὸ τῆς ὑψώσεως ἀναλογίου μετὰ πανίων χριστῶν καὶ βασιλικῶν. Μετὰ δὲ τὸ κοντάκιον.

καὶ εἰσελθὼν ἐν τῷ θυσιαστηρίῳ, καὶ λαβ(ὼν) τὸ θυμιατόν, καὶ θυμιάσας, ἄρας αὐτὸν μετὰ τοῦ δίσκου, ἐξέρχεται ἔξω τοῦ βήματος καὶ προτίθησιν [1]) εἰς προσκύνησιν. Μετὰ δὲ τὸ κοντάκιον, εὐθὺς ἄρχονται ψάλλειν· Τὸν σταυρόν σου ἐκ γ'. εἶτα τροπάρι(ο)ν, ἦχος πλ. β'. Μόνον ἐπάγη, καὶ πάλιν Τὸν σταυρόν σου προσκυνοῦμεν. Τούτω(ν) δὲ οὕτως ψαλλομένων, ἀπέρχεται πρῶτος ὁ προεστὼς μόνον καὶ προσκυνεῖ, καὶ μετὰ τοῦτον ὁ ὑψώσας τὸν τίμιον σταυρόν, εἶτα καθεξῆς πάντες μετ' εὐταξίας πολλῆς καὶ εὐλαβείας. Προσκυνούντων δὲ τῶν ἀδελφῶν, ἄρχονται ψάλλειν οἱ ψάλται στιχηρὰ ἰδιόμελα, ἦχος β'. Δεῦτε πιστοὶ τὸ ζωοποιὸν καὶ ἄλλο, ὃ ἐὰν θέλῃ ὁ πρωτοψάλτης, Δόξα καὶ νῦν, ἦχος πλ. β'. Σταυρὲ τοῦ Χριστοῦ, καὶ εὐθὺς Τὸν σταυρόν σου προσκυνοῦμεν, εἶτα γίνεται ἐκτενὴς καὶ συναπτὴ τῶν αἰτησέων καὶ ἀπολύει (л. 19—22).

15. Τοῦ ἁγίου μάρτυρος Νικήτα.

16. Τῆς ἁγίας μάρτυρος Εὐφημίας (τῆς πανευφήμου).

17. Τῆς ἁγίας μάρτυρος Σοφίας καὶ τῶν τέκνων αὐτῆς Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης.

18. Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐμενίου, ἐπισκόπου Γορτύνης.

19. Τῶν ἁγίων μαρτύρων Τροφίμου [2]) καὶ τοῦ σὺν αὐτῷ. (На полѣ: Νικάνδρου καὶ τῶν σὺν αὐτῷ [3]).

20. Τοῦ ἁγίου μεγαλομάρτυρος Εὐσταθίου καὶ τῶν σὺν αὐτῷ.

21. Τοῦ ἁγίου ἱερομάρτυρος Κοδράτου [4]). Ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ ἀποδίδοται ἡ ἑορτὴ τοῦ τιμίου σταυροῦ.

22. Τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ.

23. Σύλληψις τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου.

24. Τῆς ἁγίας μάρτυρος [5]) Θέκλας.

25. Τῆς ὁσίας Εὐφροσύνης τῆς ἐν Ἀλεξανδρείᾳ.

26. Μετάστασις τοῦ ἀποστόλου εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου. Ἄγομεν ἀργίαν καθόλου. На литургіи антифоны: „Благо есть“. Съ этого дня читаются двѣ каѳизмы и 3 чтенія (л. 29).

27. Τοῦ ἁγίου μάρτυρος Καλλιστράτου καὶ [6]) τῶν σὺν αὐτῷ, καὶ τελοῦμεν καὶ τὸ μεθεόρτιον τοῦ Θεολόγου, καὶ ψάλλομεν τῇ ἑσπέρᾳ στι-

---

[1]) Ркп. Ватик. библ. № 1609 Καὶ θυμιάσας, μετὰ δὲ τὸ κοντάκιον εὐθὺς ἄρχονται ψάλλειν· Τὸν σταυρόν σου. [2]) Σαββατίου καὶ Δορυμέδοντος. [3]) Barb. № 78 нѣтъ приписки. [4]) Имени Кодрата нѣтъ, а вмѣсто него: τοῦ προφήτου Ἰωνᾶ. [5]) Ркп. Ватик. библ. № 1609 πρωτομάρτυρος [6]) καὶ μεθεόρτιον τοῦ Θεολόγου.

χηρὰ τοῦ Θεολόγου καὶ τῶν ἁγίων. Εἰς τὸν ὄρθρον, στιχολογοῦμεν καθίσματα β'. ἀνάγνωσις, τὸ μαρτύριον τῶν ἁγίων, οὗ ἡ ἀρχή· Τὴν τοῦ Χριστοῦ ποίμνην. Κανόνες β'. τοῦ Θεολόγου καὶ τῶν ἁγίων.

28. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Χαρίτωνος.

29. Τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ τῆς ἐρήμου.

30. Τοῦ ἁγίου ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας.

Октябрь. 1. Τοῦ ἁγίου ἀποστόλου Ἀνανίου, καὶ τοῦ ὁσίου Ῥωμανοῦ τοῦ μελῳδοῦ.

2. Τοῦ ἁγίου ἱερομάρτυρος Κυπριανοῦ καὶ Ἰουστίνης.

3. Τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.

4. Τοῦ ἁγίου ἱερομάρτυρος [1]) Ἱεροθέου.

5. Τῆς ἁγίας μάρτυρος Χαριτίνης. Ἡ ἀκολουθία [2]) ὡς καθ' ἡμέραν.

6. Τοῦ ἁγίου ἀποστόλου Θωμᾶ. На утрени—антифоны.

7. Τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου.

8. Τῆς ὁσίας μάρτυρος ἡμῶν Πελαγίας [3]).

9. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

10. Τῶν ἁγίων μαρτύρων Εὐλαμπίου καὶ Εὐλαμπίας.

11. Τοῦ ἁγίου ἀποστόλου Φιλίππου, ἑνὸς τῶν ζ'. διακόνων. Γίνεται [4]) πᾶσα ἡ ἀκολουθία αὐτοῦ, καθὼς προεγράφη [5]) (л. 35).

12. Τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου [6]) καὶ Ἀνδρονίκου [7]).

13. Τῶν ἁγίων μαρτύρων Κάρπου καὶ Παπύλου.

[Приписаны другою рукою: 14 [8]) Τῶν ἁγίων μαρτύρων Γερβασίου, Ναζαρίου, Προτασίου καὶ Κελσίου.

15. Τοῦ ἁγίου μεγαλομάρτυρος Λουκιανοῦ]

16. Τοῦ ἁγίου μάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου.

17. Τοῦ ἁγίου προφήτου Ὡσηέ.

18. Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ.

19. Τοῦ ἁγίου προφήτου Ἰωήλ.

20. Τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου.

21. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος.

---

[1]) Ркп. Ватик. библ. № 1609. Имя святого не написано. [2]) Barb. № 78 Ἀλληλούια [3]) Ркп. Ватик. библ. № 1609 Εὐδοκίας [4]) Barb. № 78 ζήτει, ἡ ἀκολουθία πᾶσα εἰς ἀποστόλους [5]) Ркп. Ватик. библ. № 1609 προευαγγέλιον εἰς θ'. τοῦ Μηναίου [6]) Ταρασίου [7]) Barb. № 78 καὶ τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας [8]) Barb. № 78; Ркп. Ватик. библ. № 1609 и въ ркп. Вѣн. библ. № 127. Святые 14 и 15 чиселъ стоятъ на своемъ мѣстѣ.

22. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβερκίου.

23. Τοῦ ἁγίου Ἰακώβου ἀποστόλου καὶ Ἀδελφοθέου.

24. Τοῦ ἁγίου μάρτυρος Ἀρέθα καὶ τῶν σὺν αὐτῷ.

25. Τῶν ἁγίων νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου.

26. Τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου [1]).

27. Τοῦ ἁγίου μάρτυρος Νέστορος [2]).

28. Τῶν ἁγίων μαρτύρων Τερεντίου καὶ Νεονίλλης [3]).

29. Τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμανίας (Ῥωμαίας) καὶ τοῦ ὁσίου Ἀβραμίου.

30. Τῶν μαρτύρων Ζηνοβίου [4]) καὶ Ζηνοβίας.

31. Τῶν ἁγίων ἀποστόλων Στάχυος, Ἀμπλίου καὶ τῶν λοιπῶν, καὶ [5]) τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου.

Ноябрь. 1. Τῶν ἁγίων θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

2. Τῶν ἁγίων μαρτύρων Ἀκινδύνου, Πηγασίου [6]), Ἀφθονίου, Ἐλπιδιφόρου καὶ Ἀνεμποδίστου.

3. Τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ.

4. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου [7]).

5. Τῶν ἁγίων μαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης.

6. Τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ὁμολογητοῦ.

7. Τῶν ἁγίων [8]) μαρτύρων τῶν ἐν Μελετινῇ [9]).

8. Σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων.

9. Τοῦ ἁγίου μάρτυρος Ὀνησιφόρου, Πορφυρίου καὶ τῆς ὁσίας Ματρώνης, καὶ τὸ μεθεόρτιον τοῦ Ἀρχιστρατήγου.

10. Τοῦ ἁγίου μάρτυρος Ὀρέστου [10]) καὶ τῆς Θεοκτίστης [11]) τῆς Λεσβίας.

11. Τῶν ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου [12]) τῶν Στουδιτῶν.

---

[1]) Barb. № 78. Καὶ μνήμη τοῦ μεγάλου σεισμοῦ [2]) Ibid. и въ ркп. Вѣн. № 127 Μεθεόρτιον τοῦ ἁγίου Δημητρίου. [3]) Ркп. Ватик. библ. № 1609. Καὶ μεθεόρτον τοῦ ἁγίου Δημητρίου [4]) Barb. № 78. Ζήνωνος [5]) Этой прибавки нѣтъ [6]) Вѣн. ркп. № 127 нѣтъ имени Πηγασίου. [7]) Ркп. Ватик. библ. № 1609. Ἰωαννικήτου [8]) Barb. № 78; Вѣн. библ. № 127 τῶν ἁγίων λγ'. μαρτύρων. [9]) Ркп. Ватик. библ. № 1609 прибавлено: μαρτυρησάντων [10]) Τῶν ἁγίων ἀποστόλων Ὀλυμπᾶ καὶ τῶν σὺν αὐτοῖς, а имени Θεοκτисты не указано. [11]) Barb. № 78 καὶ τοῦ ὁσίου Θεοκτίστου. [12]) Θεοδοσίου. Очевидно, ошибка.

12. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐλεήμονος, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου μοναχοῦ.

13. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

14. Τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

16. [1]) Τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου.

17. Τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ θαυματουργοῦ.

18. Τοῦ ἁγίου μεγαλομάρτυρος Πλάτωνος.

19. Τοῦ ἁγίου προφήτου Αὐδιοῦ καὶ τοῦ ἁγίου μάρτυρος Βαρλαάμ [2]).

20. Τοῦ ὁσίου πατρὸς ἡμῶν Πρόκλου [3]) καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου, καὶ προεόρτιον τῶν Εἰσοδίων τῆς παναγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

21. Τὰ Εἰσόδια τῆς ὑπεραγίας καὶ πανασπίλου Δεσποίνης ἡμῶν Θεοτόκου ἐν τῷ ναῷ.

Ἱστέον δέ, ὅτι ἄγομεν ἀργίαν τοῦ καμάτου σήμερον, ἀλλὰ καὶ χθὲς ἐν τῇ παραμονῇ καὶ αὔριον τῶν μεθεόρτων· παραιτέρω γὰρ τῆς αὔριον οὐ προβαίνει τὸ μεθεόρτιον (л. 57 об.)

22. Τῆς ἁγίας μάρτυρος Κικιλίας.

